








ΗΣΙΟΔΟΥ ΠΟΙΗΜΑΤΑ.



HESIODI CARMINA.

PARISIIS. — EXCUDEBANT FIRMIN-DIDOT ET SOCIOS, VIA JACOB, 56.

ΗΣΙΟΔΟΥ
ΠΟΙΗΜΑΤΑ.
HESIODI CARMINA.

ΑΠΟΛΛΩΝΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΑ. | APOLLONII ARGONAUTICA.
ΜΟΥΣΑΙΟΥ ΤΑ ΚΑΘ' ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ. | MUSÆI CARMEN DE HERONE ET LEANDRO.
ΚΟΛΟΥΘΟΥ ΑΡΠΑΓΗ ΕΛΕΝΗΣ. | COLUTHI RAPTUS HELENÆ.
ΚΟΙΝΤΟΥ ΤΑ ΜΕΘ' ΟΜΗΡΟΝ. | QUINTI POSTHOMERICA.
ΤΡΥΦΙΟΔΩΡΟΥ ΑΛΩΣΙΣ ΙΛΙΟΥ. | TRYPHIODORI EXCIDIUM ILII.
ΤΖΕΤΖΟΥ ΠΡΟΟΜΗΡΙΚΑ, κ. τ. λ. | TZETZÆ ANTEHOMERICA, etc.

GRÆCE ET LATINE
CUM INDICIBUS NOMINUM ET RERUM
EDIDIT F. S. LEHRS.

ASII, PISANDRI, PANYASIDIS, CHŒRILI, ANTIMACHI
FRAGMENTA CUM COMMENTARIIS ALIORUM ET SUIS ADJECIT
FRIDERICUS DÜBNER.



PARISIIS,
EDITORE AMBROSIO FIRMIN-DIDOT,
INSTITUTI FRANCIÆ TYPOGRAPHO,
VIA JACOB, 56.

M DCCC LXXVIII.



PRÆFATIO.

In hoc septem poetarum corpore Hesiodo Apollonium ac Musæum subiunximus, ne reliquorum quatuor, qui de rebus Troicis sunt omnes, interrumpatur ordo. Critica, quam vocant, adhibita arte novas horum auctorum recensiones exhibendi fortasse ne facultas quidem fuisset, consilium certe non erat. Religiosi autem editoris esse putavimus, in usum suum convertere, si quid boni atque emendati virorum doctorum sive ingenio, sive studio nuper detectum invenerit. Quæ messis poetis nostris haud parcos reddidit fructus. Quo factum est, ut omnes, nisi forte Tzetzen excipere velis, permultis locis correcti, partim novam plane induti speciem, in lucem prodeant, plurimaque dici possint, quibus multæ, quas recepimus, lectiones explicentur, nonnullæ defendantur, excusentur non paucæ. Ne tamen modum, qui præfationi constitui solet, transeamus, de singulis mutationibus in editione nostra obviis fusius disserere supersedebimus, quas ne enumerare quidem licebit, nisi ubi id aut paucis absolvendum, aut sine magno lectorum nostrorum incommodo non evitandum iudicaverimus.

Gœttlingianus Hesiodi textus quinquaginta emendationes in Theogonia, viginti quinque in Scuto Herculis a nobis receptas egregiæ Hermanni recensioni (in opuscc. vol. VI, pag. 142 sqq.) debet. Quum de prisca Theogoniæ forma hodiernæque origine nihil constet (1), versus longioresve locos transponere, quomodo Hermannus hic illic faciendum docet, ausi non sumus, sed satis habuimus uncis includere, quæ, quo loco hodie leguntur, carminis tenorem interrumpunt, sive dispositionis hodierna antiquioris, sive variarum recensionum, sive interpolationum vestigia sint. Quod ad

(1) Mützellius, quem his in studiis totum esse viri docti non ignorant, in recensione libelli, in quo Sœtbeerus quidam sua Gruppiique somnia de primigenia Theogoniæ specie publici juris fecit (Zimmerm. ephemm. a. 1838, num. 10 sqq.), philologiæ hodiernæ vires difficultati huius quæstionis pares esse negat.

Scutum attinet, lectores ad egregiam Hermanni disputationem de triplici huius poematis recensione remittamus oportet. Carminis enim intellectui commodoque legentium male consultum fuisset, si nulla addita adnotatione textum dispositioni a viro doctissimo propositæ adaptare voluissemus (1). De tertii, quod superest, poematis Hesiodei natura Lehrsius frater dilectus *Quæstionum epicarum* a. 1837 editarum dissertatione tertia novam exposuit sententiam, quæ, quamvis minus probata a nonnullis, maxime tamen idoneum harum rerum iudicem nacta est defensorem (2). In nostra editione singulas facile agnosces sententias, quas Lehrsius non nisi propter verborum quorundam similitudinem interpositas cum reliquo carmine vix cohærere demonstrat. Quæ idem interpolata esse iudicat, uncis inclusimus; quæ e variis recensionibus manasse vult, indicare non licuit. Multas lectiones in recensione textus Gœttlingiani ab Hermanno commendatas in nostrum Operum et Dierum textum nova hac ratione dispositum introduci non potuisse apparet. Quod Hesiodi fragmentorum collectio tam aucta tamque emendata nunc in lucem prodit, id etiam Hermanno debetur, qui, postquam in recensione illa Gœttlingianam collectionem castigavit multisque locis citatis locupletavit, triginta tria fragmenta addidit nova (l. l. pag. 266—271), quæ in editione nostra litera H. notavimus. Accedunt præterea complura, quæ quamquam in Lehmanni *de Hesiodi carminibus perditis particula priori* anno 1828 Berolini edita jam leguntur, a Gœttlingio omissa sunt, triaque in Crameri anecdotis primum evulgata. Numeros Gœttlingianæ collectionis sine ulla litera nostris apposuimus, numeris collectionis Lehmanni litera L., collectionis Gaisfordi vel Dindorfii litera D. adscripta est. Fragmentum CXVII Hermannus in præfatione ad Eurip. Helen. pag. XVII correxit, ejusque emendationem recepimus, quamquam Hesiodum ita cecinisse nobis persuadere vix possumus.

In Apollonio a Wellaueri lectionibus nonnunquam recessimus. Ex iis, quas editionis Wellauerianæ criticus (ephemm. literr.

(1) Versum 144, qualem in una trium illarum recensionum fuisse Hermannus vult, textui suo loco subiunximus.

(2) Hermannum, qui in Jahnii annalibus philologiæ hunc librum atque illam præsertim dissertationem iudicavit. Aliud de eadem dissertatione iudicium in Zimmermanni ephemm. (a. 1836, pag. 1006 sqq.) sub calce recensionis, quam Iulius Cæsar de illo Sœtbeeri opusculo scripsit, nos legere meminimus.

Halenss. a. 1828, num. 305 seqq.) proposuit, has fere recepimus, e codicibus maximam partem haustas, paucas e conjectura: I. 61, ἀριστήων. 176, Ὑπερησίου. 372, πρώρην. 672, ἐπιγνοάουσαι. 806, δορυκτήταις. 812, ἀτημελέως. 881, ταί. 893, ἄν τοι. 1120, ὀκριόεντι· 1161, καμάτῳ. 1176, κακά. II. 87, φυσιόωντες. 375, τρηχεῖα. 427, ἀΐξαντες. 504, χθονίης. III. 5, τοι. 15, μὲν γάρ. 173, τε. 198, ἀνά. 286, ἐπ'. 410 et 496, φυσιόωντες. 519, ἐπιγνοάοντας, quod non recipere cautius fortasse fuisset; 1009, δέ. 1195, εὐφεγγέος. 1265, ζοφεροῖο. 1331, ὀκριόεσσα. IV. 59, δολίῃσιν. 202, δ' ἐνί. 271, προχοῇσι. 323, ἔπειτ' et punctum post versum 326; 652, ἐπίουροι. 690, ἐστ'. 800, εἰσόκε. 1103, ἐφ' Ἑλλάδι. 1212, εἰσόκε. 1260, ἀκηχεμένοις. 1324, μηδ' ἔτι. 1647, τῆς. 1711, τόφρα φαάνθη. Præterea I. 523, ἀρτύνεσθαι. 533, ὑποκλάσθη. 749, ἀμυνόμενοι. II. 28, οἷον. 573, ἔκραγε. 1180, γε et ἠδέ. III. 1374, ἐπήϊον. 1384, γούνων. 1396, ἀπὸ, scripsimus e coniectura Struvii, qui anno 1822 in libello scholastico præter has lectiones alias etiam emendationes Apollonii dedit, elegantes omnes, sed fortasse minus veras. Lib. IV. v. 290, τῆλ' Wellaueri coniectura est. Lib. III. 1393, Hermanni ἀρούρης recepimus, quamvis, quid poeta scripserit, haud facile divinaris, vulgata tamen sensu omnino carente. Multas mutationes leviores, ad orthographiam plerumque spectantes, enumerare supersedemus.

Musæus Passowii maximam partem emendationum, quibus ornatus nunc editur, Wernickio debet, cuius coniecturas in commentario ad Tryphiodorum hic illic obvias recepimus has: v. 18 et 252, ἀμφοτέραις. v. 38, βασίλειαν. v. 58, χιονέης (e codd.) et παρειῆς. v. 210, ἐμοί τινα. v. 272, τάδ' ἔειπεν. v. 309, χειμερίαις. Eodem Wernickio suadente v. 53, ἀθανάτοισιν ἄγειν, et v. 118, θαρσαλέῃ, e codicibus dedimus. V. 81, ἐν Hermanni coniectura, v. 271, παρακάτθεο eiusdem emendatio est e codicibus sumpta (vid. emendd. ad Coluth. v. 278, opuscc. vol. IV, pag. 223). V. 219 antiquam lectionem, εἰ ἐτεὸν δ' ἐθέλεις, restituimus (vid. Græfii *coniectanea in Musæum*, post Coluthum Schæferi, pag. 259).

Colutho post viri cl. Stanislai Iuliani editionem e Bekkeri recensione denuo impresso contigit ante hos undecim annos, ut Hermannus operam suam ei præstaret. Is elegantissimas huius poetæ emendationes anno 1828 edidit (repetitas in opuscc. vol. IV, pag. 205 sqq.), quarum multas in usum nostrum convertendas putavi

mus, neque tamen eas, quas sagax viri egregii ingenium excogitavit, quod antiqua lectio putida esset, nimis languida, minus elegans, etc. Alias etiam nonnullas coniecturas non recipiendas iudicavimus, ut v. 17, τοῖσι, quia ante hunc versum aliquid excidisse probabilius nobis videtur, quæ suspicio in his carminis centonibus facillime movetur. In iis, quæ Hermannus de v. 46 sqq. disputat, illud certe verum est, Lennepii εὐρέα ineptum esse, de reliquis vero, quæ addit, longe aliter sentimus. Si quid de nostro in textum introducere voluissemus, ὀξέα scripsissemus. Qui cum Hermanno in corrupta vulgata codicisque Mutinensis lectione vocem οὖδας agnoscere vult, is coniiciat poetam scripsisse οὖδας ἄκαμπτον aut ἄκαρπον. Spatiis illis, quæ inter duos versus passim vides, lacunas indicavimus in hoc poemate, verius dixeris, in his poematis fragmentis non raras.

Quinti textum plane novum lectoribus nostris tradimus. Quamquam hic poeta alterum Rhodomannum frustra adhuc expectabat, novaque editione, quam Spitznerum et Kœchlyum coniunctis viribus parare accipimus, magnopere indiget, tamen triginta duobus his annis post Tychsenii editionem magna moles emendationum Quinti hic illic dispersarum accumulata est, in quibus non pauca invenies, quæ Rhodomannus, adeo Pauwius recte viderat, Tychsenius neglexit. Ecce subsidia, quibus instructi Posthomericorum textum recensuimus. Multa egregia in Hermanni Orphicis insunt, nonnulla utilia in Wernickii commentario ad Tryphiodorum, multa bona in Spitzneri observationibus in Quintum ad calcem libri, quem *de versu Græcorum heroico* scripsit, anno 1816 editis. Eiusdem auctoris *observationum in Quinti Posthomerica* particula prima et altera Vitebergæ a. 1815 prodierunt, tertia anno 1837 in Zimmermanni ephemeridibus (num. 143 sqq., pag. 1161 sqq.) (1), postquam Bonitii *symbolæ criticæ in Quintum Smyrnæum* ibidem anno 1836 publici juris factæ sunt. Struvius in compluribus libellorum scholasticorum, quos inter annum 1817 et 1822 Regimontii edidit, egregias Quinti emendationes proposuit (2). Glasewaldi *coniectanea* in poe-

(1) Spitznerus omnes, quas de Quinto scripsit, observationes in uno volumine coniunctas nuperrime edidit.

(2) Quo rariora hæc Struvii opuscula sunt paratuque difficiliora, eo maiores gratias lectores nostri habebunt viro clarissimo et humanissimo *de Sinner*, qui e bibliotheca, quam habet opulentam atque exquisitam, integram illorum collectionem nobiscum communicavit.

tam nostrum anno 1817 Vitebergæ evulgata non vidimus. Quum tamen ab aliis interdum laudentur, nihil eorum, quæ bona insunt, nos fugisse putamus. Lehrsius, a quo pauci Quinti loci in *quæstionibus epicis* emendati sunt, magnum numerum emendationum per literas nobiscum communicavit, cuius benevolentiæ verbis nostris lectorumque nostrorum gratias amantissimo fratri agimus. Idem nos monuit, poetæ nostri libros Eustathio auctore (ad Iliad. pag. 4) Λόγους esse inscribendos. Novissimum idque optimum subsidium ad emendandum Quintum Kœchlyus nuper suppeditavit, qui codice Monacensi denuo collato *Emendationes et adnotationes in Quintum Smyrnæum* in actorum Societatis Græcæ, quæ Lipsiæ floret, Vol. II. Fasc. I. anno præterito in lucem emisit. Nisi hic fasciculus sero ad nos pervenisset, prior Posthomericorum pars bonis nonnullis lectionibus fuisset locupletata, quas recipere non amplius licitum erat. Iam nostræ editionis lectiones a textu Tychsenii recedentes hic subiungimus, prætermissa permagna copia correctionum minoris momenti ad accentus, ad orthographiam atque interpunctionem pertinentium. Legitur enim

IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
L. I. v. 2. κέχευθε	κεχεύθει
v. 11. ὑπαὶ	ὑπὸ
v. 22. ἑ ὸν	ἑὸν
v. 32. νυ	τιν'
v. 39. ὑπαὶ	ὑπὸ
v. 44. κυανώπις	κυανῶπις
v. 58. ἐρατεινὸν,	ἐρατεινόν·
v. 60. ὑπαχλύνθη	ὑπηχλύνθη
v. 99. τοῖα	τοῖον
v. 136. ἐν	ἐνὶ
v. 147. ἔθετ'	ἕλετ'
v. 159. βουπλῆγα, τὸν	βουπλῆγ', ὃν
v. 166. ἀάσχετα	ἀάσχετον
v. 167. τε, τὸν	θ', ὃν
v. 168. κιοῦσα	κιούσῃ
v. 179. Ἡ δ' οἴη	Οἴη δ' ἣ
v. 190-200. θεῇσιν· Ἐκπάγλως δ' ἠ σεῖο, θεοῦ γένος, ἐστὶ γενέθλης·	θεῇσιν Ἐκπάγλως, ἣ σεῖο θεουδέος ἐστὶ γενέθλης·
v. 217. λαβόντες	βαλόντες
v. 246. ἐν	ἐνὶ
v. 254. Θερμώδουσαν	Θερμώδοσσαν
v. 259. ὀκρυόεντι	ὀκριόεντι (1)
v. 286. πολυγνάμπτῃσιν	πολυγνάμπτοισιν
v. 287. ἐν	ἐνὶ
v. 308. κυδοιμὸς	Κυδοιμὸς
v. 310. θανάτοιο	Θανάτοιο
v. 326. οἳ	ὡς
v. 341. μιν	οἱ (2)
v. 370.	in uncis.

IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
v. 426. τῇ	τῆς
v. 434. ἐπ'	ὑπ'
v. 443. αὖ	αὖθ'
v. 448. κεῖναι	κείνῃ
v. 457. ἐξαρχῆς	ἐξ ἀρχῆς
v. 468. ἐπεντύνεσθε et ἔντοσθι	ἐπεντύνεσθαι ἔντοσθε
v. 490. κέδασσεν	κέασσεν
v. 492. κέκλιτο	κεκύλιστο
v. 504. ἀφραδίῃσι	ἐγχείῃσι
v. 505. Λαομέδοντος	λαὸν ἑλόντες
v. 529. Δήϊχον, ἠδὲ	Δηΐοχον τ' ἰδ'
v. 542. θορεῖ	θόρῃ
v. 558. ἵκεσθε	ἵκεσθον
v. 563. Ἦ. μέγα τοὶ δ'	Ἦ μέγα· τοὶ δ'
v. 575. ἐπέεσιν	ἐπέεσσιν
v. 583. ἔτλης	ἔρῃς
v. 596. μελέεσιν	μελέεσσιν
v. 598. δύσαν	δῦσαν
v. 613. ὑπαὶ	ὑπὲρ
v. 615. ἠδ'	ἣ
v. 673. τετρυγμένοι, αἰψά γε	τετρυμένοι ἄψεα
v. 677. ἀεικτυπέοντι	ἐπικτυπέοντι
v. 715. ἀθανάτοιο	ἀκαμάτοιο
v. 723. ἤκαχε	ἤπαφε
v. 724. οὕνεκα	εἵνεκα
v. 727. μέμβλετο	μέμβλεται
v. 752. ὅπῃ	ἐπεὶ
v. 753. θέμις et ἄτη	Θέμις et Ἄτη
v. 759. προπάροιθεν	τοπάροιθεν

(1) Ad v. 256 Struvius: « Perpetuus, inquit, poetarum usus postulare videtur δοpι. » Q[illegible] admissa mutatione τὴν esse scribendum Lehrsius vidit. Conf. IX, 259, ubi Kœchlyus vulgatam (δόρυ) defendit.
(2) Lehrsius vult μετ'. Idem ad v. 336: « βίην, fortasse λίην. »

	IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
	v. 761. ἐξεφαάνθη	ἐξεφαάνθην
	v. 793. μένος μέγα	μέγα σθένος (1)
L. II.	v. 6. σκοπίασκον	σκοπίαζον
	v. 30. πω	που
	v. 48. ὄρνυτ'	ὤρνυτ'
	v. 55. ἦ μὲν	ἡμὲν
	v. 59. ἐνὶ	μετὰ
	v. 61. ὄφελεν, καὶ	ὄφελον καὶ
	v. 80. μαρναμένῳ	παρφαμένῳ
	v. 127. Μέμνων	Μέμνον
	v. 163. τάχα	τοῖς
	v. 165. ἐν	ἐνὶ
	v. 169. ὀχέεσφι	ὀχέεσσι
	v. 174. κεν	καὶ
	v. 187. ὕστερος	ὕστατος
	v. 196. ἅπαν· οἱ	πᾶν· τοὶ
	v. 200 ἔσαν et ἀγυιὰ	ἴσαν et ἄγυια
	v. 224. θηγόμεν' et πάρος	θεινόμεν' et πυρὸς
	v. 232. βαρὺ	βαθὺ
	v. 233. οἵ γ'	οἵγ'
	v. 289. γὰρ	δὲ
	v. 300. ἔτι ἐλθέμεν	ἔτ' ἐπελθέμεν
	v. 314. μόγου	μόθου
	v. 320. Μέμνων	Μέμνον
	v. 339. τοὶ	οἱ
	v. 361. μοῖρα	Μοῖρα
	v. 421. προφερεστέρα	προφερεστέρη (2)
	v. 446. βεβλημένος	βεβλημένον
	v. 495. ὑπέβραχεν	ἐπέβραχεν
	v. 520. ἦ μὲν et ἦ δ'	ἡμὲν et ἠδ'
	v. 543. ἄορ	αἷμα
	v. 546. ἐπεσμαράγησε	ὑπεσμαράγησε
	v. 602. θέρους	θέρευς
	v. 618. οὔτ' ἄρ' et ὀπίσατο	οὐ γὰρ et ὠπίσατο
	v. 665. ῥὰ Πληϊάδες	μὲν ἄρ' Ἡλιάδες
	v. 666. ὤϊξε	ἤϊξε.
L. III.	v. 28. δ' ἔθηκε	δὲ θῆκε
	v. 49. ἤκαχες	ἥπαφες
	v. 57. ἑ	οἱ
	v. 58. οὐδ'	οὔτ'
	v. 65. ὑπὲρ	ὑπὲκ
	v. 69. τλήτω	στήτω
	v. 70. τοι	οἱ
	v. 94. οἱ δὲ	ἠδὲ
	v. 114. σχέτλιε	σχέτλιος
	v. 159. ἤριπε γαίης	ἤριπε, βαιὸν
	v. 169. τίσεσθ'	τίσετ' ἄρ' (3)
	v. 184. ἑ	οἱ
	v. 190. ἀρήγετε	ἀρήγοιτ'
	v. 210. πόλιν et εἰρύσαντες	πτόλιν et εἰρύσωμεν
	v. 222. τε	ῥά θ'
	v. 225. ὑπαὶ	ὑπὸ
	v. 295. δὴ	δῆτ'
	v. 304. ναιετάεσκεν	ναιετάασκεν
	v. 319. ἀπαὶ	ἀπὸ
	v. 340. ἐμπνείοντα	ἀμπνείοντα
	v. 379. οἳ	οἵγ'
	v. 386. εὖτε	ἔστε
	v. 409. τ' αὖ	δ' αὖτ'

	IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
	v. 440. ἐπιστάμενος	ἐπισταμένως
	v. 443. ἐπεσσυμένως	ἐπεσσυμένῳ
	v. 452. αὐτῇ σὺν φήμῃ et μεγάθυμον	αὐτή κεν φήμη τάχα θυμὸν
	v. 457. περιώσιος	περιώσιον
	v. 464. ὀφελέν με	ὀφελόν με
	v. 467. ἀγανούς τε	γεραρούς τε
	v. 469. δ' ἔθηκεν	δὲ θῆκεν
	v. 480. πένθος	θυμὸν
	v. 481. λευγαλέον· τό με εἶθε	πένθος λευγαλέον· τό
	v. 502. ἀκάχησας	ἀπάφησας
	v. 526. ὁ	ὅγ'
	v. 538. οἷον, ὅτ'	οἱόν τ'
	v. 614. ὃν	τὸν
	v. 619. ἄλλοτε	ἀλλ' ὅτε
	v. 661. θοὴν	θεὰν
	v. 665. Ἀλλ' ὅτε	Καὶ τότε
	v. 714. εὖ πνείοντες	εὔπνείοντες
	v. 716. δ' ἐγίγνετο	δὲ γίγνετο
	v. 783. τὰ μὲν	τά τε
L. IV.	v. 6. σχεδὸν	πέδον
	v. 17. αὖ	αὖθ'
	v. 22. ἢ	τοῦ
	v. 27. ἐπέδρακεν	ἐσέδρακεν
	v. 33. αὖ	αὖτ'
	v. 46. δ' ἐγήθεον	δὲ γήθεον
	v. 70. δῆτ'	δαῖτ'
	v. 93. ἥδεται	ἔλδεται (4)
	v. 146. ὅσσ'	ὥς δ'
	v. 168. ἔσσυτο	ἵστατο
	v. 185. οἶδε	δοιοὶ
	v. 249. δένδρ'	δένδρε'
	v. 265. ἐν	ἐνὶ
	v. 277. γ' ἐτέρπετο	τε τέρπετο
	v. 311. κρατερώτερος	κρατερώτατος
	v. 326. ἔνεγγυς	ἐγγὺς
	v. 364. ἤλασε	ὄκλασε
	v. 383. Ἰάσονος	Ἰήσονος
	v. 396. ἀμφιτετρυμμένα	αἶψα τεθρυμμένα (5)
	v. 400. προπάροιθε	τοπάροιθε
	v. 416. ἐπαλγύνεσκε	ἔτ' ἀλγύνεσκε
	v. 420-421. ἀπόνητο, ἀγλαόν·	ἀπόνητο· ἄχνοον —
	v. 441. θέρους εὐθαλπέος	θέρευς εὐθαλπέος
	v. 445. μὲν	μιν
	v. 487. ἔλευσσον	ἔνευσαν
	v. 488. Ἴδμονι πυγμαχίης	Ἴδμονι, παμμαχίης
	v. 522. ἔνθορον·	ἔκθορον·
	v. 559. ἐν	ἐνὶ
L. V.	v. 14. ἀμφιτέτυκτο	ἀμφετέτυκτο
	v. 35. θανάτου	Θανάτου
	v. 36. ὑσμῖναι	Ὑσμῖναι·
	v. 72. μειδιόωσ'	μειδιόων
	v. 125. κ'	τ'
	v. 126. νύ κεν	νῦν
	v. 127. μετεύαδεν	μέγ' εὔαδεν
	v. 134. Ἰδομενῆ' αὐτὸν,	Ἰδομενῆα κλυτὸν,
	v. 145. δῴη	δώῃ
	v. 169. ἀνέρα, ὅντινα τῶνδε	ὅντινά κεν τῶνδ' ἄνδρα
	v. 176. ἐρατεινήν·	ἀλεγεινήν·

(1) V. 792 Struvius συγκείασθαι coniecit pro συγχεύασθαι.
(2) V. 391 οἱ pro altero μοι scribendum esse coniicimus.
(3) Olim τίσετε, Hermannus voluit τίσαιτ'. Suamne lectionem Tychsenius sine codice e iudicio suo, an e codice hauserit sine iudicio, nescimus.
(4) Spitzneri emendatio. Struvius et Bonitius maluerunt φρεσὶ μήδεται, Lehrsio κήδεται in mentem venit. Mox v. 168 ἵστατο Lobeckii coniectura est ad Aiac. p. 156.
(5) Struvius, cui hæc emendatio debetur, αἶψα dubium esse ipse confitetur, Lehrsius αὖθι fortasse scribendum coniicit.

IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
v. 212. ἔχες	ἔχεις
v. 216. μ' ὑπόειχε	μοι ὕπειχε
v. 240. οὐτιδανόν	ταρβαλέον
et ἀργαλέον	οὐτιδανὸν
v. 249. ζεύγλης	ζεύγλῃς
v. 256. ἐϋσθενέα	ἐϋσθενέος
v. 281. μητιόωντο	μητιόωνται
v. 299. καταβοσκομένοισιν·	κάτα βοσκομένοισιν·
v. 354. ἀλλά γ'	ἀλλ' ἄρ'
v. 359. ὡς	ὧς
v. 362. ὄρεξεν·	ἔρεξεν·
v. 386. ἠδὲ	ἠὲ
v. 388. βίῃ	βίη
v. 393. ὑπέβραχε	ἐπέβραχε
v. 394. ὑπετρομέεσκον	ὑποτρομέεσκον
v. 399. ἐπεὶ	ὅτι
v. 422. ἤκαχε	ἤπαφε
v. 435. ὑποπτώσσουσι	ὑποπτώσσωσι
v. 436. ὅτ'	ὁ δ'
v. 444. κύων·	κύον·
v. 457. χόλον	δόλον
v. 460. ἐπιβήμεναι,	ἔτι βήμεναι,
v. 469. χείρεσ'	χερσὶν
v. 470. δέ κεν	δὲ καὶ
v. 492. ὀδυρομένοις et δῖον	ὀδυρομένων et δῖαν
v. 509. ἔβλαβεν	ἐβλάβη
v. 517. ὄφρα με	ὄφρ' ἐμὲ
v. 523. ἁπάντων	ἄνασσαν
v. 524. ἄνασσαν ἔμεν, ὅσσων	ἁπάντων ἔμμεν, ὅσων
v. 550. νῦν μὲν	μέν μοι
v. 554. ἀνδρέσσιν	ἀνδράσι οἱ
v. 555. ἐπ'	ἐν
v. 563. θεήν,	θεάν,
v. 587. καὶ	οἱ
v. 611. ἀμφικάνωσιν	ἀμφιχάνωσιν
v. 619. πέρι δινήσαντο·	περινήσαντο·
v. 622. καὶ	οἱ
v. 649. πολύκμητος	πολυκμήτου
L.VI. v. 35. ἐκ	ὑπὲκ
v. 54. ἀνέρας, ἠδ' ἵππους,	αὐτοῖς ἠδ' ἵπποις,
v. 81. κεν	καὶ
v. 99. βαλόντες,	βάλοντο,
v. 114. ἀποσκοπίαζον	ἀπὸ σκοπίαζον
v. 126. ἥμενοι	ἥμεροι
v. 131. ἔσπετο	ἔπλετο
v. 145. καθ'	καὶ
v. 149. ἤρετο	εἴρετο
v. 151. ἔνθ' ἄρα	ἐνθάδ' ἄρ'
v. 183. ηὔχοντο	εὔχοντο
v. 194. ἴσαν	ζῶσαν
v. 209. ἐπὶ	ὑπὸ
v. 214. μὲν	ῥα
v. 224. ἐτίνυτο	ἐσίνετο
v. 225. χρυσοῖο	χρυσέοιο
v. 227. Στυμφαλίδες·	Στυμφηλίδες,
v. 247. ὑπὸ	ἐπὶ

IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
v. 250. καρήατα δ'	κάρη δέ οἱ
v. 258. ἄλλοθεν	ἄλλυδις
v. 283. αὖ	αὖθ'
v. 298. ἔωλπεν	ἐολπεν (1)
v. 317. Πολυδάμαντα	Πουλυδάμαντα
v. 329. αὐτῶν ἠδ'	αὐτῶν τ' ἠδ'
v. 384. τῷ δ' ἔπι	τῷ δ' ἄρ' ἐπ'
v. 388. σχέτλιε,	σχέτλιος,
v. 392. ὅς	ὁ
v. 418. ἔτι ἔλπῃ	ἔτ' ἐέλπῃ
v. 457. τετυγμένα	τετυμμένα
v. 474. δ' ἐκεῖνο	δὲ ἐκεῖνο
v. 485. τεταγμένη	τεταμμένη
v. 500. δὴ τότε γ'	δή ῥα τότ'
v. 526. ἐμπνείοντα	ἀμπνείοντα
v. 532. ἠδὲ	ἠὲ
v. 533. ἀολλίσωσ'	ἀολλίσσωσ'
v. 544. ἀρίδηλος	ἀΐδηλος
v. 580. Ἐχέμμονα δηϊοτῆτι	ἑλὼν ἀνὰ δηϊοτῆτα
v. 592.	in uncis.
v. 602. ἐπεσσύμενος	ἐπισπόμενος
v. 604. ἕνα	ἐνὶ
v. 631. Μόνυσον	Μόσυνον
L.VII. v. 28. ὑπὸ	ὕπαὶ
v. 38. πόνου	γόου
v. 57. ἔζεεν	ἔῤῥεεν
v. 65. τεθνεότες	τεθνεῶτες
v. 71. θεῶν ἐν	θεῆς ἐνὶ
v. 77. πνοιῇ	πνοίης
v. 78-79.	lacuna. (2)
v. 79. οὔτοι et ἄλλος	οὔτι et σκολιὸς
v. 137. φάραγγας	φάραγγος
v. 163. μίην	μίαν
v. 175. προπάροιθε	τοπάροιθε
v. 196. τεύχεα	τεύχεσι
v. 247. ἄτροπος et μοῖρα,	Ἄτροπος et Μοῖρα, (3)
v. 248. ὑπέκλασε	ὑπέτμαγε
v. 254. ὄρνυτο·	ὤρνυτο·
v. 261. πυμάτων	μυχάτων
v. 264. ὑπ' ἀργαλέης ὑσμίνης,	κατ' ἀργαλέας ὑσμίνας,
v. 285. οὕνεκα	τοὔνεκα
v. 290. οὕνεκ'	εἵνεκ'
v. 299-300.	lacuna. (4)
v. 340. μεγάλας	ἀταλὰς
v. 348. λαοῦ	ἄλλοι
v. 372. ἄρ'	ἀν'
v. 381. φέρων, καὶ ὅσ'	φέρων κλέος (5)
v. 395. πολυῤῥοθίοιο	πολυῤῥοίοιο
v. 426. δὲ	δὴ
v. 436. νεὼς	νεὸς
v. 468. ἢ μὲν	ἠμὲν
v. 475. μὲν ἐπέπλετο	σφίσιν ἔπλετο
v. 483. τε ἰδὲ	τ' ἠδὲ
v. 485. αἶψ',	ἄψ
v. 498. ὀκρυόεσσαν	ὀκριόεσσαν
v. 510. ἀνδρῶν,	αὐτῶν

(1) Idem mendum sæpius nobis tollendum erat, ut v. 21; VII, v. 692, etc.

(2) Lacunæ, quas in nostrum textum introduximus novas, solo spatio, quas Tychsenii editio iam habuit, asteriscis notantur.

(3) V. 224, quem Tychsenius primus exhibuit, παρατεκτήνασθαι vix recte habet. Coniicimus poetam scripsisse προπάροιθε τανύσσαι vel τιταίνειν vel τιτῆναι.

(4) Quam lacunam ex Homeri Od. λ. 129 facile explendam Lehrsius vidit.

(5) Spitznerus χάριν voluit. Nos Lobeckii emendationem recepimus, nihil dubitantes, quin epici poetæ, qui ὀπάζειν κλέος, κῦδος φέρειν et κῦδος ὀπάζειν (conf. noster XII, 252, 265, 273) dicebant, φέρειν κλέος dicere potuerint.

	IN TYCHSENII EDITIONE:	IN EDITIONE NOSTRA:
	v. 532. ἀήρ·	αἰθήρ·
	v. 547. καναχὴ et περὶ πέτρῃ,	καναχῇ et πέρι πέτρη,
	v. 549. βήμεναι	δύμεναι
	v. 584. δῖον,	δεῖος,
	v. 640. κῦσεν	κύσσεν
	v. 650. φήσασκεν et ἔμμεν,	φαίης κεν et εἶναι
	v. 653. ἂρ	ἄρα
	v. 656. κέκευθε	κεκεύθει
L.VIII.	v. 4. περὶ	ποτὶ
	v. 11. μαψιδίῃ	μαψιδίη
	v. 41-42.	lacuna.
	v. 48. δὴ	δὲ
	v. 79. ναιετάεσκε	ναιετάασκε
	v. 99. Ἔνθ'	Ἐν δ'
	v. 103. ναιετάεσκε	ναιετάασκε
	v. 137. δὲ	δέ ἑ
	v. 157. ἀκρονύχων	ἄκρον ὕδωρ
	v. 235. ὀχέεσφι	ὀχέεσσι
	v. 303. ὅς τε πάροιθεν	ὃς τοπάροιθεν
	v. 304. ναιετάεσκε	ναιετάασκε
	v. 305. ἔδρακεν αἶαν.	ἔδρακε γαῖαν.
	v. 332. περιῤῥήσσῃ	περιῤῥίψῃ
	v. 333. θᾶττον	τυτθῇ
	v. 337. Τρῶας et ἄλλους	Τρωσὶν et ἄλλον (1)
	v. 338. λαὸν ἐπαΐσσοντας·	λαοῦ ἐπαΐσσοντος·
	v. 339-340.	lacuna.
	v. 345. ἔδεισε·	ἔσεισε· (2)
	v. 377. ἄρα	ἄφαρ
	v. 378. τεύχεσσιν	τείχεσσιν
	v. 381. νεφέεσσι	νιφάδεσσι
	v. 400. οἱ ἤθελε θυμὸς ἀμύνειν	ἀμύνειν ἤθελε θυμῷ
	v. 412. ἑτέρωθεν	ἑτέρωσε
	v. 436. ἐν	ἐνὶ
	v. 438. κραδίῃ	κραδίη
	v. 459. πάντας et ἐπεὶ	παντ' et ἐπειὴ
	v. 484. ἀνέμβατον	ἀνάμβατον
L.IX.	v. 2. ἀπείριτος	ἀπείριτον
	v. 55. οὐδὲ σ' ἐγώ περ	οὔτε σ' ἔγωγε
	v. 81. αὐτὸν	αὐτοῦ
	v. 83. ὀλέσσῃ·	ἐλάσσῃ·
	v. 88. μοῦνος	μοῦνον
	v. 110. ἐντύναντο	ἐντύνοντο
	v 114. παρανήεε	παρενήνεε
	v. 119. αὐτοῦ.	αὐτοῦ.
	v. 132. μίῃ	μίγῃ
	v. 134. ἔγχεϊ	ἔγχεσι
	v. 160. ὑπέρχετο·	ὑπώχετο·
	v. 195. αὖθις	αἰὲν
	v. 241. ἑτέρωθι	ἑτέρωθε
	v. 259. δόρυ	δορὶ
	v. 260. ἧερα	omissum,
	et τοῖον φάτο μῦθον·	ποτὶ τοῖον μῦθον ἔειπεν.
	v. 298. δὲ βοήσας	δ' ἐβόησε
	v. 299. Τρώεσσι	Τρωσὶν δὲ

	IN TYCHSENII EDITIONE:	IN EDITIONE NOSTRA:
	v. 301. ἐπέπνευσεν	ἐνέπνευσεν
	v. 311. ἐρυμνὴ	ἐρεμνὴ
	v. 324. ἐπιτέρπετο	ἐπετέρπετο
	v. 330. ἠγαθέοισιν ἐπέφρα-σεν	ἤ ῥα θεοῖσιν ἐπεφρά-σατ'
	v. 336. οἱ	τοὶ
	v. 376. οὕνεκ' οἱ ἄλκος ἔμελ-λεν et ἱκέσθαι,	οὕνεκά οἱ μέλαν ἄλκος et ἵκανε, (3)
	v. 382. ὑπὸ βρωθέντα θαλάσ-σης·	ὑποβροθέντα θαλάσσῃ·
	v. 384. ἀπὸ στυφελοῖο,	ἄπο, στυφελοῖς —
	v. 392. παρέκειτο γε	παρεκέκλιτο
	v. 409. ἤροντ'·	εἴροντ'·
	v. 420. μέγα	μάλα
	v. 467. ἀμφὶς ἔχρισαν	ἀμφί ἑ χρῖσαν
	v. 469. οἱ	τοὶ
	v. 496. a Rhodomanno in-ventus.	lacuna.
	v. 501. ἄλλῃ·	ἄλλη·
	v. 502. αἶσαν,	αἴσῃ,
	v. 519. εἴπου τὶς	τῶν εἴ τις
	v. 520. πέλεται νόος ἀνδρά-σιν ἐσθλοῖς,	νόος ἀνδράσι γίνεται ἐσθλοῖς,
L. X.	v. 30. ἀλλὰ γ'	ἀλλ'
	et ἀλευομένους	μέγ' ἀλευομένους
	v. 32. ἔτι	ἐπὶ
	v. 42. τοι et κἀκείνῳ	κεν et καὶ κείνῳ
	v. 54. ὤμοις	ὤμους
	v. 64. ὀτρύνοντες	ἀρτύνοντες
	v. 66. ὥς που	ὡς ἢ
	v. 67. εἴαρος	χείματος
	v. 68-69. — φύει, ἠδ' ὥστε δι' ἀζαλέης ξυλόχοιο Πῦρ βρέμει αἰθόμενον, ἠδ' ὡς—	—χέει, ἢ ὡς ὅτ' ἀν' ἀζα-λέην ξύλοχον πῦρ Αἰθό-μενον βρομέει, ἢ ὡς—
	v. 73. ἄλλον	ἄλλῳ
	v 81. Ὕαλον, εὐγλώχινι	Ὕλλον, ἐϋγλώχινι
	v. 87. Χέδιόν τε,	Σχέδιόν τε,
	v. 89. Γαηνὸν,	Γαληνὸν,
	v. 91. ἅμα πίονι	ἅμ' ἀπείρον:
	v. 126. ναιετάεσκεν	ναιετάασκεν
	v. 131. πονέουσαν	περ ἐοῦσαν (4)
	v. 132. δ' ἄρ'	γὰρ
	v. 135. κεῖνο δ' ἵησι	εἰ δ' ἐπίῃσθα,
	v. 136. ἵκηται,	ἵκηαι,
	v. 139. καί μιν ἀεὶ σπαίρου-σαν	καί ῥά μιν ἀσπαίρου-σαν (5)
	v. 143. Φύλαῖς εὔζωνος	Φύλλις ἐΰζωνος
	v. 155. ἄνευ	ἄνευθ'
	v. 172. πέτρης,	πέτρῃς,
	v. 194. ὡς ἐτεὸν καύσαιτο, μέγας	ὡς ἐτεὸν, κεκέδαστο μέλας
	v. 241. ἔτ' ἔμιμνε	ἔτι μίμνε
	v. 250. ἐννεσίῃ	ἐννεσίῃς
	v. 276. βεβλημένος	βεβολημένος

(1) Lehrsius ad hunc versum: « ἐτίνυτο, fortasse ἐσίνετο. » Conf. VI, 224.

(2) Egregiam hanc coniecturam vir cl. C. Lachmannus communicavit cum Lehrsio, amico suo, qui ipse coniecerat ἔβρισε.

(3) Ad v. 347 Lehrsius: « ἀπαναίνεται fortasse ἀγριαίνεται. »

(4) Orellius in epistolis philologicis (pag. 407) præter hanc emendationem tres alias (X, 105; XII; 580; XIII, 159) proposuit, quas recepimus. — Quum in nonnullis codicibus huius versus lacuna verbo ἐτείρετο expleatur, eaque, quæ sequuntur, cum præcedentibus vix cohæreant, cui malo Kœchlyi coniectura non medetur, plura excidisse suspicamur poetamque huiuscemodi aliquid scripsisse:

ἀθανάτην περ ἐοῦσαν· ἐτείρετο δ' ἄρ φίλον ἦτορ,
πρὶν κείνῳ φιλότητι μιγήμεναι, ἧς ἔτι νῦν περ
εὐνῆς σῆμα κ. τ. λ.

(5) Kœchlyi coniectura. Lehrsius voluit μένει σπαίρουσαν vel μένει ἀσπαίρουσαν.

IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
v. 277. νούσῳ, καὶ	νούσῳ τε καὶ
v. 309. μεγάροισι, μεγ' ἀσκετα	μεγάροισιν ἀάσπετα
v. 357. ἔμπροσθεν et ἐμβεβαυίας· ·	ἔντοσθεν et ἐμβεβαυίης·
v. 379. προπάροιθεν	τοπάροιθεν
v. 398. με ἄσπετον	μ' ἀάσπετον
v. 405. ἐδάμασσα	ἔδαμ' αἶσα
v. 406. οὐ γοόωσα	οὔτι γοῶσα
et τόσσον, ὅσον	τόσον, ὅσσον ἄρ'
v. 408. κείνη	κεῖνον
v. 409 et 410. ἠδὲ	αἱ δὲ
v. 413. κώκυσεν,	κώκυσ',
v. 428. ὀφελόν ποτε	ὄφελον τότε
v. 431. ἠώς·	αἰών·
v. 435. ἐϋπέπλους	εὐπέπλους
v. 459. μακρὸν πέρι κωκύεσκον.	μόρον περικωκύεσκον.
v. 465. βοήσατο	γοήσατο
L. XI. v. 6. ἠδὲ	οἱ δὲ
v. 9. ἴκελοι	εἴκελοι
v. 23. δὴ	δι'
v. 25. ἀνίη	ἀνίης
v. 56. ἐς δορὶ	ἄορι
v. 59. ἅμα πέπτατο	ἅμ' ἀπέπτατο
v. 63. αἰνὸν	αἰνοῦ
v. 66. ἐπὶ	τότε
v. 103. τῷ	τοῦ
v. 123. ὑπαὶ	ὑπὸ
v. 136. βοῆς	ῥοῆς
v. 161. δ' ἄρ' ἰαίνετο	δ' ἰαίνετο
v. 173. ἐσσυμένως	ἐσσυμένους
v. 194. λεῖπεν et κραταιὴν	λίπεν et κρεμαστὴν,
v. 195. ἐμπεφυυῖαν	ἐκπεφυυῖαν
et ἐϋγνάμπτοισι χαλινοῖς,	ἐϋγνάμπτοιο χαλινοῦ,
v. 208. οὐς, ἄμοτον	οὖς τ' ἄμοτον
v. 209. τύψη ὑπαὶ	τύψεν ὑπὸ
v. 219. ἄγε θέσθ'	ἅζεσθ'
v. 249. ἀπροτίοπτον ὀμίχλην·	ἀπροτίοπτος ὀμίχλη·
v. 251. ἕλοντο	ἕλοιντο
v. 284. ἐπ'	ἄρ'
v. 286. μετ'	μέγ'
v. 324. ἀΰτεον.	ἀΰτευν.
v. 360. ἐντύναντο	ἐντύνοντο
v. 361. μίη—ἅρμη.	μίῃ—ἅρμῃ.
v. 365. τοῖαι Ἀργείων	τοῖαι ἄρ' Ἀργείων
v. 367. ἀρηράμεναι	ἀρηράμενοι
v. 372. βελέμνοις,	βοείαις,
v. 379. δρόμος et δ'	βρόμος et θ'
v. 432. πόληος, ἑῶν	πόληος ἑῆς, (1)
v. 450. ἐπιβήσατο	ἐπεβήσατο
v. 472. συνηλλοίωτο	συνηλοίηντο
v. 495. καὶ	σὺν
L. XII. v. 30. πάντα	πάντες
v. 31. ἐν κλισίῃς	ἐς κλισίας
v. 43. ἅμα	ἀνὰ
v. 53. οὐ γάρ	οὐχί
v. 55-56. ἀλλα Ζηνός· ἃ μὲν	ἀλλα· Ζηνὸς μὲν
v. 65. σφιν	σφισι
v. 76. πολλὰ	πάντα

IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
v. 99. κάρτεος	θάρσεος
v. 103. ἠ Διὸς	ἐκ Διὸς
v. 106. γένος ἀμφιλιποῦσα,	ἕδος αἰπὺ λιποῦσα
v. 111. ἔνδοθι	ἀγχόθι
v. 124. ἐς	ἀν'
v. 127. δεύοντο	δεύοντ' ἐκ
v. 135. ὀκρυόεντι	ὀκριόεντι
v. 164. ἐπὶ	ποτὶ
v. 176. ὑπεσμαράγησε	ἐπεσμαράγησε
v. 186. οὔδεος	οὔρεος
v. 188. περὶ	ἀμφ'
v. 198. ἐν	ἐκ
v. 209. ἡμέας	ὑμέας
v. 212. γαίη ἀπειρεσίη·	γαίῃ ἀπειρεσίῃ·
et ἄμμιν	ὔμμιν
v. 220. νῦν et ἀκριτόμυθοι,	κλυτοὶ et ὀβριμόθυμοι,
v. 224. τι	κε
v. 236. μίμνετε	μίμνειν
v. 257. τοι	που
v. 258. πολέμου	πολέμοιο
v. 260. αὖ	αὖθ'
v. 275. Νέστωρ	Νέστορ
v. 277. τις	τοι
v. 284. μὶν	τὸν
v. 301. δ' ὑπ' Ἄρηϊ	κεν ὑπ' Ἄρει
v. 313. οὔρεϊ οὔτε	οὔρεϊ τ' οὔτε
v. 315. δ' ὁ	δὲ
v. 323. Ἀντίμαχος	Ἀμφίλοχος
v. 331. ἡ μὲν	ἠμὲν
v. 333. αὖ	εὖ
v. 343. ἔργῳ et ἄνακτας	ἔργον et ἄνακτες
v. 394. γνῶναι	γνώμεναι
v. 410. εἴδεεν	εἴδεται
v. 414. θεή· λευκαὶ δὲ	θεά· γλαυκαὶ δ' ἄρ'
v. 430. περιστενάχουσι	περιστενάχοντο
v. 445. τῷ	τοὶ
v. 453. κικλήσκουσιν,	ἐπικλείουσιν,
v. 461. ἷξαν	ἷξον
v. 467. ἔνθα	ἐν δὲ
v. 476. ὃς	ὅγ'
v. 484. καὶ ἐπὶ	ᾧ ἔπι
v. 488. ἀφραδίῃ	ἐν κραδίῃ (2)
v. 495. λυγρὸν	λυγρῷ
v. 496. ἐπὶ	περὶ
v. 515. ἀχλὺς ἄρ' ἀμφεκάλυψε	ἀχλὺς ἀμφεκάλυψε
v. 528. ἦεν,	αἰὲν,
v. 544. ἄρα	ἅμα
v. 545. χαίρετε	χαίρετ' ἄρ'
v. 559. πού	γάρ
v. 564. οὕνεκά σφιν μέγα	οὕνεκ' ἄρα σφίσι
v. 580. οὔρεσι καγχαλόωσα	οὔρεσιν ἀσχαλόωσα
v. 383. ἀχνυμένη	ἐσσομένη
v. 585. φόνου· et σφίσι	φόνῳ· et μέγα
L. XIII. v. 4. περὶ	παρὰ
v. 19. φρένα	φρένας
v. 36. ἀτρεκέως	ἀτρεμέως
v. 42. ἐξανέδυσεν ἰδὼν	ἐξανέδυ σανίδων
v. 54. ἄλλοθεν ἄλλοι	ἄλλος ἐπ' ἄλλῳ
v. 68. ἄτρομοι	ἄβρομοι
v. 70. ἀνίαχοι	αὐίαχοι
v. 73. ἐπιβρίσουσι	ἐπιβρίσωσι

(1) V. 404 interpretes in verbis ἀλλ' ὅσα πάντα offenduntur. Struvius ἄλσεα πάντα tentavit, quod falsum esse Lehrsius videns requiri dicit huiusmodi aliquid : μηλονόμοι καὶ πώεα πάντα. Kœchlyus fortasse scribendum existimat αἰπόλοι αἰνά. Nonne sufficeret scribere : ἀλλ' ἅμα πάντα?

(2) Aut sic, aut ἀργαλέην scribi Lehrsius vult.

IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
v. 89. οἱ	τοὶ
v. 106. γε	ἑ
v. 110. λυγρῆς,	λυγρῇς,
v. 113. ἔχειν	ἑλεῖν
v. 132-133. Τρῶες. ὡς δ' ὑπὸ	Τρῶες, ὡς ὑπὸ
v. 139. ὀλέκουσι μένοντες	ὀλέκουσιν ἔδοντες
v. 152. τμηθέντες	δμηθέντες
v. 162. μεγάροιϊν	μεγάροιο
v. 183. ἐνὶ	ἐπὶ
v. 192. γέροντι τεὰς	γέροντος ἑὰς (1)
v. 241. χάρη.	χάρην
v. 244. πολλὸν	πουλὺν
v. 250. πολλῶν	πάντων
v. 257. οὔτοι	οὔ πω
v. 268. φίλου, αἰνὸν	φίλου ἔνδον,
v. 276. ἐνὶ	ἔνι
v. 295. ὃς	ὡς
v. 345. οἱ, et ἄλλων ἐν	καὶ et ἄλλ' ὅσ' ἐνὶ
v. 348. μίη	μί' ἡ
v. 362. σ' ἐδέξατ'	σε δέξατ'
v. 368. ἄρ ἔμελλεν	ἄρα μέλλεν
v. 384. παρ'	καὶ
v. 394. ἀρίζηλο	ἀρίδηλον
v. 401. θεὴ	θεὰ
v. 405. ἄρ ἔθελγεν	ἄρα θέλγεν
v. 410. ἀναιρέμεν	ἐναιρέμεν
v. 425. οὐδὲ ἡ	οὐδ' ἥγ'
v. 428. ἔτρεσεν	ἔτρεμεν
v. 429. ἐπεί οἱ	ὅτι οἱ
v. 445. αὐτὸν	αὐτὸς (2)
v. 452. ἤριπεν	ἔῤῥιφεν
v. 489. ὑπὲκ	ὕπαὶ
v. 518. οἱ	τοὶ (3)
v. 522. ἀναμνήσαντο	ἀνεμνήσαντο
v. 542. τι μυρομένων et περιπίπτατ'	κινυρομένων περιπέπτατ'

IN TYCHSENII EDITIONE :	IN EDITIONE NOSTRA :
v. 555. ἐπ' ὄψεῖ	ἐπόψιαι
L.XIV. v. 12. οἷο	ἀμφὶ
v. 20. Κασσάνδραν	Κασσάνδρην
v. 53. ἀκοίτου	ἀκοίτεω
v. 92-93.	lacuna.
v. 113. καὶ οὔδεος	διειδέος
v. 121-122.	lacuna.
v. 142.	in uncis.
v. 159. πάρος μεμαυῖαν	μέγ' ἐμμεμαυῖαν
v. 166. ἴσχομεν	ἰσχέμεν
v. 171. ἄρ'	ἄμ'
v. 172. βλεφάρων ἤλειβετο	βλεφάροιϊν ἐλείβετο
v. 178. συνέχοντο	συνέχυντο
v. 188. ἄδην ἐμὸν	ἀρήϊον
v. 198. ἀπηέξηνθ'·	ἐπηέξηνθ'·
v. 214 et 241. εὔπεπλον	εὔπεπλον
v. 262. ἔκχυσο	ἔκχυτο
v. 263. χείματι	χέρματι
v. 265. περιτρύζωσι	περιτρίζωσι
v. 269. στεναχῇσι	στοναχῇσι
v. 281. ἀνωλύζεσκε	ἀνῳμώζεσκε
v. 283. σπαργεῦσα	σπαργῶσα
v. 292. ἠδὲ et ἠδ'	ἠὲ et ἢ
v. 299. ἐνὶ μαίνεται	ἔτ' ἰαίνεται
v. 302. βλεφάρων χεύοντο	βλεφάροιϊν ἔχυντο
v. 328. οἶδμα	χεῦμα
v. 386. δὲ τὰ	δ' ἑὰ (4)
v. 389. ἀπόπροθε	ἀπόπροθι
v. 402. αὐτοὶ	παῦροι
v. 444. οὔτι	οὔτοι
v. 495. τις	οἱ (5)
v. 504. διέχευον	διέχευαν
v. 507. πότμον	πόντον
v. 557. μὲν	μέγ'
v. 590. Ὡς	Ὣς

Tryphiodorum e Wernickii recensione imprimendum curavimus, nisi quod versus mendosos, quos ille asterisco notavit, e virorum doctorum coniecturis iis, quæ maxime probabiles nobis visæ sunt, emendavimus. Versum 301, magis corruptum, quam ut poetæ scripturam divines, dedimus, quomodo apud priores editores ipsumque Wernickium legitur.

Tzetzes e Bekkeri recensione prodit, correctis levibus paucis sive editoris sive typothetarum erroribus.

In *interpretationibus latinis*, quas nostris poetis addidimus, elegantiam frustra quæres, quum græca, quantum fieri potuit, ad verbum reddere statuerimus,

(1) In hoc versu a variis varie tentato αἴδεσαι ἄντα γέροντος ἔχειν χέρας legendum olim coniecimus. Nunc tamen lectionem a nobis receptam bene habere putamus, neque Kœchlyus aliquid excidisse nobis persuadet.

(2) V. 432 Struvius et Bonitius mutata interpunctione αἰνὸς ὁμοῦ· καίοντο legere voluerunt. Sed ὁμοῦ, quod Rhodomannus interposuit, ubi lacuna olim fuerat, mendosum est. Totum locum intento animo legentibus nobis suspicio movetur, duo hemistichia inter αἰνὸς et καίοντο excidisse.

(3) V. 497 καίπερ ἐελδομένη vitiosum est. Lehrsius καὶ πρὶν ἐελδομένη, Kœchlyus καίπερ ἀλωομένη coniecit, uterque dubitanter.

(4) Versum 386 et 387, in quibus Pauwius verum iam viderat, melius ita disposuissemus :

καί ῥ' αἱ μὲν περὶ γούνατ' ἔχον χέρας· αἳ δὲ μέτωπα
* * * * * * αἳ δ' ἑὰ τέκνα
ἄμπεχον κ. τ. λ.

(5) Miramur, cur Kœchlyo, quum v. 483 κανεῷ improbaret, κοινῷ potius quam κοίλῳ succurrerit.

quo consilio in Hesiodo magis etiam stetimus quam in reliquis auctoribus. Priorum versionum, quæ earum natura erat, modo plura, modo pauciora, interdum nulla reperies vestigia. Tzetzen etiam interpretatione donavimus, non quo operæ pretium esse putaremus, hunc laborem in poetillam impendere, sed ut æquabilitatis legem editioni nostræ præscriptam observemus.

Indicibus nominum et rerum, quos singulis auctoribus subiunximus locupletissimos, lectorum commodo nos optime consuluisse eorumque approbationem meruisse confidimus.

Iam lectores harum rerum periti operam nostram benigne iudicent, reliqui iudicio abstineant velimus, valere iubemus omnes.

Parisiis, Kalendis Decembribus a. MDCCCXXXIX.

PRÆFATIO

NOVÆ EDITIONIS.

Hoc volumen prelo iterum subjici nolui, quin emendarem quæ in recensendis his poetis minus bene fecisse mihi visus sum. Ac primum quidem in Hesiodi Operibus et Diebus variarum recensionum vestigia a fratre dilecto agnita (Quæstt. epp. diss. III, p. 177 sqq.), quibus nihil esse verius, nihil ad illustrandam carminis naturam aptius intelligebam, signis quibusdam indicanda judicavi. Quod tamen quomodo vellem effici non potuisse ægre fero. Nam præter crucis signum (†), quo illarum de quinque hominum generibus narrationum, quas a variis auctoribus confectas variisque ex recensionibus commixtas esse constat, notata vides initia, alias inveni notas, quibus binos locos e variis recensionibus superstites, qui sibi invicem respondeant, significarem. Quas notas quum frustra quæras in Hesiodi carmine, quale nunc prodit, locos illos hic indicabo, quia persuasum mihi habeo lectorem, qui in exemplari suo eos notaverit, facilius intellecturum carminis structuram ac sensum.

Sunt enim quinque loci, qui ex duplici recensione bis leguntur in hoc carmine, quale hodie est:

v. 227 ad 231 ex alia recensione repetitur... ....v. 232-237,
v. 239...................v. 242-247,
v. 393-397 med..........v. 397 med.-404,
v. 618-642..............v. 646-662,
v. 678-681 **............v. 682-688.

In Apollonio nonnullos mutavi locos e Kœchlyi *Collectaneis in Apollonium et Oppianum* (Lips. 1838). Hinc nunc legitur lib. I, v. 8, μετέπειτ' αὐτὴν. v. 299, τῷ. v. 323, ἰθὺς ἰόντας. v. 644, ἐποιχομένου. v. 1099, πεπείρανται. v. 1187, δαῖτα πένεσθαι ἑταίρους. v. 1359, λάβρον (quod operarum errore non correctum video). Lib. II, v. 93-94, πῆχον· τυτθὸν δ' ἀγχ' —. v. 628, ἔσκειμαι. v. 915, παρεμέτρεον. v. 1258, ἀπ' —. Lib. III, v. 211, αἰθέρος. v. 1048, ἄσχετον. v. 1136, λιποῦσ' ἄπο. Lib. IV, v. 1647, librorum τήν restitutum. Quæ præterea ad lib. I, v. 747 et v. 881, ad lib. III, v. 1384 proponuntur, emendationes olim jam dedi, e Struvii conjectura primam tertiamque, e Spitzneri secundam.

Coluthus duobus nunc auctus est versibus, quos vir cl. Millerus primus publici juris fecit *) e codice satis antiquo, sæculi fortasse decimi, a Mutinensi fere non diverso, qui in Græcorum bibliothecæ regiæ codicum supplemento latuit. Prior illorum versuum, versum 67 sequens :

Ἥρη δ' οὐ μεθέηκε καὶ οὐχ ὑπόειχεν Ἀθήνη·

a Millero ita editus :

Ἥρη δ' οὐ μεθέηκε, καὶ οὐχ ὑπόειχεν Ἀθήνη·

lacunam post v. 65 olim indicatam explet; posteriori (v. 239-240) :

...... φίλος κτέρας Ἀπόλλωνος
οἶκον Ἀμυκλαίοιο......

Κάρνειος epitheton, cui debetur, Apollini redditur. Lacunam, quam olim post v. 257 indicaram, injuria obliterarunt operæ. V. 48, οὖδας ἄκαμπτον e conjectura scripsi. Quoniam enim hoc loco ad conjecturam necessario refugiendum erat, prætuli dare quod auctor scribere saltem potuit, quam quod eum scribere non potuisse apparet.

Quum viri cl. Kœchlyi *Emendationes et adnotationes in Quintum Smyrnæum*, (vid. Acta Societatis Græcæ, etc., vol. II, Fasc. 1.) ad priores etiam hujus poetæ libros emendandos adhibere nunc liceret, hæc præsertim carminis pars lectionibus novis locupletata est plurimis, quas vir doctissimus sive e conjectura, sive e codice Monacensi poetæ vindicavit. Idem in editionis meæ recensione, quæ in Zimmermanni ephemm. (a. 1841, n. 8 sqq.) legitur, multas lectiones sive novas introducendas, sive antiquas, injuria a me expulsas, revocandas indicavit, quarum ne plures, quam debebam, receperim, nimis indulgens viri egregii ingenio, vereor. Quas indefessus Quinti sospitator in *epistola critica* (in Zimmerm. ephemm. a. 1841, n. 84 sqq.) cum Spitznero,

*) Éloge de la chevelure, discours inédit d'un auteur grec anonyme, etc. par E. Miller. Paris. 1840. Introduct., page 16 et 17.

exinde vita defuncto, communicavit emendationes, in usum meum nondum verti. Ecce jam locos, ubi hæc editio a priori recedit.

Nunc enim legitur lib. I, v. 3, Πριάμοιο πόληα pro Πριάμου πτολίεθρον. v. 38, ἀριζήλη pro ἀρίζηλος. v. 98, Τῆς δ' — ἐπάκουσεν pro Τῆσδ' — ἐσάκουσεν. v. 99, τοῖα φίλῳ pro τοῖον ἐῷ. v. 101, ἔσται pro ἐστίν. v. 142, ἀργυφέῃσιν pro ἀργυρέῃσιν. v. 184, αἰπὺ pro ἠύ. v. 250, δουροτόμοι pro δρυοτόμοι. v. 290, κε pro γε. v. 308, ἀργαλέοι pro ἀργαλεον. v. 313, Τρώων τ' Ἀργείων, inserta particula τε. v. 336, θηρὶ pro Κηρί. v. 337, βαρυστόμῳ, quod Pauwius jam conjecerat, pro βαθυστόμῳ. v. 339, ἰοδόκην pro ἰοδόκον. v. 341, μετ' e fratris mei conjectura, pro οἱ. v. 481, ἤϊον ἄλλοι pro ἤϊεν ἄλλος. v. 505, Λαομέδοντος *** antiqua lectio cum lacuna, pro λαὸν ἑλόντες. v. 527, ἐμπλήσωνται, e Rhodomanni conj. et cod. Monac. pro ἐμπλήσονται. v. 545, Ἀρήϊοι pro Ἀρήϊον. v. 563, δ' ἄρα e conj. mea pro μέγα. v. 583, ἔτλης, antiqua lectio, pro ἔρης. v. 591, ἀμφιχάνωσιν pro ἀμφιχέωνται. v. 611, ἐπεσσύμενος pro ἐπεσσυμένῃ. v. 675, ὑπὸ φρένας pro ἀάπλετον. v. 677, ἀγακτυπέοντι, Hermanni conj. pro ἐπικτυπέοντι. v. 715, εἰ Διὸς — παρὲκ pro εἰδὼς δ' — πατρός. v. 739, νίκης pro νίκη. v. 766, ἄτρομος pro ἄλκιμος. v. 805, ποτὶ pro περί. v. 815, ἐπ' pro ἔτ'. Lib. II, v. 1, ὑπὲρ ἠχηέντων pro ὑπερηχηέντων. v. 49, μηδὲ pro μήτε. v. 80, μαρναμένῳ, antiqua lectio, pro παρφαμένῳ. v. 82-83, αὖσαι Κεῖνος· pro αὖσαι· Κεῖνος —. v. 181, καὶ pro ἐς initio versus. v. 283, ἠλιβάτοιο pro εὐρυβάτοιο. v. 300, μεμαῶτες pro μεμαῶτ' ἔτ'. v. 348, χεῖμα· — δὲ pro χεῖμα, — τε. v. 400, κατέναντα pro κατέναντι. v. 407, σάκεος στυφέλιξεν pro σάκος ἐστυφέλιξεν. v. 420, καὶ — ἀλεείνω pro κατὰ — ἀλεγίζω. v. 536, τεθνεῶτας — ἄλσος pro τεθνεώτας — ἄλσῃ. v. 577, ἀναειρόμενοι pro ἀναγειρόμενοι. v. 616, ἐκ pro ἤ, deleto commate in fine versus, ex Hermanni conjectura. v. 618, καὶ pro κεν. v. 627, φέρων, Spitzneri conj. pro φέρειν. v. 665, ἄρα Ἠλιάδες et v. 666, ὤϊξε, antiqua lectio, pro ἄρ' Ἡλιάδες et ἤϊξε. Lib. III, v. 41, εἰσέτι — κῆρας pro ὥς σ' ἔτι — χεῖρας. (Non recepi σ', quod Kœchlyus ante ἐπὶ inserere vult.) v. 54, ἀεὶ pro ἅμα. v. 65, ὑπὲρ pro ὑπέκ. v. 81, ὀϊζυρῶς pro ὀϊζυροῖς. v. 94, Ἀχαιοῖσιν, τοὶ δ' αὖ δίχα pro Ἀχαιοῖς, ἠδὲ διάνδιχα, quam tamen conjecturam ut multi faciam, tantum abest ut cum Kœchlyo fere consentiam, qui in epist. critica de hoc loco disputans, versum excidisse suspicatur, quamvis διὰ δ' ἄνδιχα ex uno Hesiodi loco Quinto sine dubitatione tribui, librique XII versu 162 satis probari nequeat deos Trojanorum Græcorumque pugnam observantes duplicem tantum sententiam prodidisse, neque fuisse qui neutris faverent. v. 147, ἕλκος pro ἔγχος. v. 159-160, γαίης Ἐκπνείων, antiqua lectio, pro βαιὸν Ἀμπνείων. v. 169, αἰνὸν τίσετ', Gerhardi (lectt. Apollon. p. 186) conj., pro τίσετ' ἄρ' αἰνόν. v. 184, καὶ ὡς pro οἱ, ὡς. v. 209-210, ἐρύκει, Τόνδ' — εἰρύσαντες, antiqua lectio, pro ἐρύκει· Τὸν δ' — εἰρύσωμεν (operarum errore τόν δ' separatim impressum est). v. 267, ἐνεστρωφᾶτο pro ἐπεστρωφᾶτο. v. 295, κῆρ pro δηῦτ'. v. 336, δ' ἄρ' pro γάρ. v. 343, ἀσχαλόων κῆρ pro ἀσχαλόωντι. v. 367, ἐσέχυντο πόληα pro ἐπέχυντο πόληος. v. 386, εὖ τε pro ἔστε. v. 417, τις, Hermanni emendatio pro τοι. v. 443, ἀφιστάμενος pro ἐπεσσυμένῳ. v. 452, αὐτῇ δ σὺν φήμῃ (ita enim legenda, quæ operarum incuria deformavit), Hermanni emendatio pro αὐτή κεν φήμη. v. 454, ὅσσα, ejusdem conj. pro αἶσα. v. 475, ἀλγεινῇσι pro ἐννεσίῃσι. v. 534, ῥά τε pro ἄρα. v. 692, βάλοντο θυώδεα pro βάλοντ' εὐώδεα. v. 735, ἀθρόον ἐγχρίσασαι pro ἀθρόα ταρχύσασαι. v. 783, τὰ δέ pro τά τε. Lib. IV, v. 6, σχεδὸν, antiqua lectio, pro πέδον. v. 27, ἔναντα χιὼν pro ἔναντ' ἐλθών. v. 99, σέθεν pro σευ. v. 146, ὅς e Rhodomanni conj. pro ὥς. v. 151, δ' interpositum post ὡς. v. 245, καταχεύεται pro κατεχεύατο. v. 421, ἀγλαΐης· δὴ pro ἄγνοον ἤδη, deleto commate in fine præcedentis versus. v. 488, ἴδμονι παμμαχίης, εὖ εἰδότες, Hermanni emendatio pro ἴδμονι, παμμαχίης εὖ εἰδότι. v. 534, δ' ἄρ' pro γάρ. v. 558, ἱμάσθλην, e Pauwii emend. pro ἱμάσθλῃ. Lib. V, v. 1, δή ῥ' ἄλλοι pro δὴ πολλοί. v. 15, τῶν, antiqua lectio, pro τῷ. v. 27, μίγδην οἷς pro μίγδα ἑοῖς. v. 52, πάντῃ pro πάντες. v. 126, καί νύ κε, antiqua lectio, et τεύχε', pro καὶ νῦν οἱ et τεύχῃ. v. 344, ἐγγύθι, mutata commatis sede, ex Herm. emendatione pro ἔνθοθι. v. 354, ὅγ', Spitzneri conj. pro ἄρ'. v. 422, ἤκαχε, antiqua lectio, pro ἥπαφε. v. 446, ἐλδομένοισι pro ἐλπομένοισι. v. 555, ὑπ' et v. 556, παισὶ, e Glaswaldi conj. pro ἐν et πᾶσι. v. 585, ἄλλον pro ἄλλων. v. 643, ἢ οἷος pro ἠδ' οἷον. v. 649, πολύκμητον pro πολυκμήτου. Lib. VI, v. 150, ὧς pro ὥς. v. 151, ἦλθον δ' et ἔνθα δ' pro ἤλυθον et ἐνθάδ'. v. 161, λαοὶ pro Δαναοί. v. 176, οἷσιν — ἐπὶ pro ᾗσιν — ἐνί. v. 223, ἀλεγεινῶν pro ἀλεγεινόν. v. 258, ἄλλοθεν, antiqua lectio, pro ἄλλυδις. v. 276, περὶ δμηθέντες pro περιδμηθέντες. v. 326, ἐχόμεναι pro ἐσσύμεναι. v. 469, ἀντίθεος pro ἀντίθεον. v. 485, τετραμμένη pro τεταμμένη v. 529, ὅ τι σθένε pro ὅ τ' ἔσθενε. v. 580, Ἐχέμμονα δηριόωντα, antiqua lectio, pro ἑλὼν ἀνὰ δηϊοτῆτα. v. 650, αὐτῶν pro αὐτοῦ. Lib. VII, v. 68, ὀρφανίην pro ὀρφανίης. v. 71, θεῶν, antiqua lectio, pro θεῆς. v. 72, Μοίρῃ γ' pro Μοίρης. v. 74, δ' insertum post τοῖς. v. 77, πνοιῇ ὁμῶς, Spitzneri emen-

datio pro πνοίῃς ὡς. v. 79, ἀλαὸς, e Lobeckii emendatione pro σκολιός. v. 81, ἴχνος pro εἶδος. v. 85, οὔτι pro οὗτοι. v. 196, θνητοῖς τεύχεα pro θνητῶν τεύχεσι. v. 224, προπάροιθε τανύσσαι, quod jam olim proposui pro παρατεχτήνασθαι. v. 237, ἀπεσσυμενον pro ἐπεσσύμενον. v. 248, ὑπέκλασε, antiqua lectio, pro ὑπέτμαγε. v. 333, χήρην, Rhodomanni emendatio, pro χήρη. v. 363, αἰεὶ pro αἰέν. v. 364, καὶ pro οἱ. v. 384, θαλάμοισιν pro θαλάμῃσιν. v. 534-535, Νεοπτολέμου φοβέοντο Πᾶν — pro Νεοπτόλεμον φοβέοντο· Πᾶν —. v. 557, Οὐλύμποιο θυωδέος pro Οὐλύμπου εὐωδέος. v. 571, διεγρομένῃ — ἀϋτμῇ, antiqua lectio, pro διεγρόμενον — ἀϋτμῆς. v. 583, χόρος πολέμου pro μενεπτολέμου, durius enim videtur, κάματος e versu 581 ad verbum ἄμφεχεν (584) referre, revocata v. 584 δῖον, antiqua lectione, pro δεῖος. v. 623, ἔνδοθι pro ἀγχόθι. v. 712, χήρην pro χῆραι. Lib. VIII, v. 1, περιχίδνατο γαῖαν pro περιχίδναται αἶαν. v. 89, ὑπεχειντο pro ὑπόειχον. v. 157, ἀχρόνυχοι, Spitzneri emend. pro ἄχρον ὕδωρ. v. 300, κατέπεφνε pro γε κατέκτα. v. 400, δὴ γάρ οἱ — θυμὸς, ex Hermanni emendatione pro αἰεὶ γὰρ — θυμῷ. Lib. X, v. 392, αὐτῷ τοι pro οἱ αὐτῷ. v. 431, ἠώς, antiqua lectio pro αἰών. v. 459, νεκρὸν πέρι κωκύεσκον pro μόρον περικωκύεσκον. Lib. XI, v. 41, ἐπὶ pro περί. v. 379, θρόος, Lobeckii emendatio, pro βρόμος. v. 495, καὶ, antiqua lectio, pro σύν. Lib. XII, v. 195, ἀκαμάτῃσιν pro ἀκαμάτοισιν. v. 197, ἄλλοθεν ἄλλαι pro ἄλλοτε δ' ἄλλαι. v. 236, μιμνέμεν pro μίμνειν. v. 521, ὑπὸ pro ἐπί. Lib. XIII, v. 54, ἄλλοθεν ἄλλοι, antiqua lectio pro ἄλλος ἐπ' ἄλλῳ. v. 132-133, Τρῶες· ὡς δ' ὑπὸ, antiqua lectio, pro Τρῶες, ὡς ὑπό. v. 139, μένοντες, item, pro ἔδοντες. v. 268, φόνον αἰνὸν (quæ vocabula a typothetis inepte transposita esse video), Hermanni emendatio, pro φίλου ἔνδον. v. 362, μέλας pro μέγας. Lib. XIV, v. 72, ἀναπνείων pro ἀποπνείων. v. 113, καὶ εἴδεος pro διειδέος. v. 131, δὲ interpositum post ὡς. v. 178, συνέχοντο, antiqua lectio pro συνέχυντο. — Præterea tam in Quinto quam in reliquis auctoribus, qui hoc volumine continentur, satis multa correxi operarum errata; nova quædam, quæ, quamvis pauca sint, irrepsisse ægre fero, hac in præfatione prætereundo indicavi.

Parisiis, Non. April. a. MDCCCLXV.

F. S. LEHRS.

ΗΣΙΟΔΟΥ

ΕΠΗ

ΚΑΙ ΕΠΩΝ ΛΕΙΨΑΝΑ.

HESIODI

CARMINA ET FRAGMENTA.

ΗΣΙΟΔΟΥ ΘΕΟΓΟΝΙΑ.

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵθ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
ὀρχεῦνται καὶ βωμὸν ἐρισθενέος Κρονίωνος·
καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο,
ἢ Ἵππου κρήνης, ἢ Ὀλμειοῦ ζαθέοιο,
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο,
καλοὺς, ἱμερόεντας· ἐπεῤῥώσαντο δὲ ποσσίν.
Ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
ἐννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι,
ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην,
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην,
Φοῖβόν τ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἠδὲ Ποσειδάω γαιήοχον, ἐννοσίγαιον,
καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥβην τε χρυσοστέφανον καλήν τε Διώνην,
[Ἠῶ τ' Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην,]
Λητώ τ' Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην,
Γαῖάν τε Ὠκεανόν τε μέγαν, καὶ Νύκτα μέλαιναν,
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων·
αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδὴν,
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὕπο ζαθέοιο.
Τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπαν,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.
Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι·
καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον
δρέψασθαι θηητόν· ἐνέπνευσαν δέ μοι αὐδὴν
θείην, ὡς κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα.
Καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδειν.
ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;
Τύνη, Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἰρεῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου,
δώματά τ' ἀθανάτων. Αἱ δ' ἄμβροτον ὄσσαν ἱεῖσαι
θεῶν γένος αἰδοίων πρῶτον κλείουσιν ἀοιδῇ
ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτεν,

HESIODI THEOGONIA.

A Musis Heliconiadibus incipiamus canere,
quæ Heliconis habitant montem magnumque divinumque,
atque circa fontem nigrum pedibus teneris
saltant, et aram præpotentis Saturnii,
atque ablutæ tenerum corpus aqua Permessi,
aut Hippocrenes, aut Olmii sacri,
summo in-Helicone choreas ducebant
pulchras, amabiles; tripudiabant vero pedibus :
Inde concitatæ, velatæ aere multo,
noctu incedebant, perpulchram vocem emittentes,
celebrantes Jovemque ægida-tenentem et venerandam Junonem] argivam, aureis calceamentis incedentem :
filiamque ægida-tenentis Jovis, cæruleis-oculis Minervam,
Phœbumque Apollinem et Dianam sagittis-gaudentem,
atque Neptunum terram-continentem, terram-moventem,
et Themin venerandam, et pætis-oculis Venerem,
Hebenque aurea-corona, formosamque Dionen,
[Auroramque, Solemque magnum, splendidamque Lunam,]
Latonamque, Japetumque et Saturnum versipellem,
Terramque, Oceanumque vastum et Noctem atram,
aliorumque immortalium sacrum genus semper existentium :
quæ olim Hesiodum pulchrum docuerunt carmen,
agnos pascentem Helicone sub divino.
Hoc autem me primum Deæ sermone compellarunt,
Musæ Olympiades, filiæ Jovis ægida-tenentis :
Pastores agrestes, mala probra, ventres solum,
scimus falsa multa dicere veris similia :
scimus autem, quando voluerimus, vera loqui.
Sic dixerunt filiæ Jovis magni veridicæ,
et mihi sceptrum dederunt, lauri perviridis ramum,
ut-decerperem, mirandum. Inspirarunt autem mihi vocem
divinam, ut canerem futuraque præteritaque.
Et me jubebant celebrare beatorum genus sempiternorum,
se vero ipsas primo et postremo semper canere.
Sed quo mihi hæc circa quercum aut circa petram?
O tu, a Musis ordiamur, quæ Jovi patri
canendo oblectant magnum animum in Olympo,
memorantes præsentiaque futuraque præteritaque,
voce concinentes. Earum vero indefessa fluit vox
ab ore suavis. Ridet autem domus patris
Jovis valde-tonantis, Dearum voce liliacea
dispersa. Resonat vero vertex nivosi Olympi,
domusque immortalium. Hæ vero immortalem vocem emittentes,] deorum genus venerandorum primo celebrant cantilena] ab exordio, quos Tellus et Cœlum latum genuerunt,

οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ, δωτῆρες ἐάων.
Δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ λήγουσί τ' ἀοιδῆς,
ὅσσον φέρτατός ἐστι θεῶν κράτεϊ τε μέγιστος.
Αὖτις δ' ἀνθρώπων τε γένος κρατερῶν τε γιγάντων
ὑμνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
Ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων·
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
μέμβλεται, ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσαις,
[τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου,
ἔνθα σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά.
πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν,]
ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόματ' ὄσσαν ἱεῖσαι
μέλπονται πάντων τε νόμους καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουσαι, ἐπήρατον ὄσσαν ἱεῖσαι.
Αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει,
νισσομένων πατέρ' εἰς ὅν· ὁ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν,
κάρτεϊ νικήσας πατέρα Κρόνον. Εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς καὶ ἐπέφραδε τιμάς.
Ταῦτ' ἄρα Μοῦσαι ἄειδον Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ' Εὐτέρπη τε, Θάλειά τε Μελπομένη τε,
Τερψιχόρη τ' Ἐρατώ τε, Πολύμνιά τ' Οὐρανίη τε,
Καλλιόπη θ'· ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.
Ἣ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ,
ὅντινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε·
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
ῥηϊδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
Ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι·
οἷά τε Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
Ἐκ γάρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί·
ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέϊ θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς

quique ex his prognati-sunt Dii, datores bonorum.
Secundo etiam Jovem, Deorum patrem atque etiam hominum,
Incipientesque celebrant Deæ finiuntque carmine *celebrare*,
quam præstantissimus sit Deorum imperioque maximus.
Porro autem hominumque genus fortiumque gigantum
celebrantes oblectant Jovis mentem in Olympo
Musæ Olympiades, filiæ Jovis ægida-habentis:
quas in Pieria Saturnio peperit patri mista
Mnemosyne, arvis Eleutheris imperans,
oblivionemque malorum solatiumque curarum.
Novem enim cum-ea noctes mistus-est prudens Jupiter,
seorsim ab immortalibus, sacrum lectum conscendens.
Sed cum jam annus esset, circumvolverentur vero tempestates,] mensibus exactis, diesque multi transacti essent,
ipsa peperit novem filias concordes, quibus carmen
curæ-est, in pectoribus securum animum habentibus,
[paululum a summo vertice nivosi Olympi,
ubi ipsis splendidique chori et ædes pulchræ.
Juxta vero eas Gratiæque et Cupido domos habitant,]
in conviviis: amabilem autem per os vocem emittentes,
canunt omniumque leges et mores venerandos
immortalium celebrant, amabilem vocem emittentes.
Illæ tum ibant ad Olympum exsultantes voce pulchra,
immortali cantilena: circum vero resonabat terra atra
canentibus: jucundus vero a pedibus strepitus excitabatur,
euntium patrem ad suum. Is autem in cœlo regnat,
ipse habens tonitru atque ardens fulmen,
vi superato patre Saturno. Bene autem singula
immortalibus disposuit simul, et ordinavit honores.
Hæc sane Musæ canebant, cœlestes domos incolentes:
Novem filiæ magno e Jove prognatæ:
Clioque Euterpeque Thaliaque Melpomeneque,
Terpsichoreque Eratoque, Polymniaque Uraniaque,
Calliopeque: hæc autem præstantitissima est omnium
Hæc enim et reges venerandos comitatur.
Quemcunque honorarunt Jovis filiæ magni,
nascentemque adspexerunt a-Jove-nutritorum regum,
huic quidem super linguam dulcem fundunt rorem,
hujus vero verba ex ore fluunt suavia: at sane populi
omnes ipsum respiciunt, reddentem jus
rectis judiciis. Hic autem secure concionabundus
statim etiam magnam contentionem scite dirimebat.
Propterea enim reges prudentes *sunt*, ut populis
læsis in-foro integras res restituant
facile, mollibus alloquentes verbis.
Incedentem vero per urbem, tanquam Deum, venerantur
reverentia blanda: eminet vero inter congregatos.
Taleque Musarum sanctum munus hominibus.
A Musis enim et eminus-feriente Apolline
viri cantores sunt super terram et citharœdi,
ex Jove vero reges. Ille vero beatus, quemcumque Musæ
amant: suavis ei ab ore fluit vox.
Si quis enim vel luctum habens recens-afflicto animo
tristetur, animo dolens, sed cantor

Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ, μάκαράς τε θεοὺς, οἳ Ὄλυμπον ἔχουσιν,
αἶψ' ὅγε δυσφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε, τέκνα Διὸς, δότε δ' ἱμερόεσσαν ἀοιδήν.
[Κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ γῆς ἐξεγένοντο καὶ οὐρανοῦ ἀστερόεντος,
νυκτός τε δνοφερῆς, οὕς θ' ἁλμυρὸς ἔτρεφε πόντος.]
Εἴπατε δ' ὡς ταπρῶτα θεοὶ καὶ γαῖα γένοντο,
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι θύων,
ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ, δωτῆρες ἐάων,
ὥς τ' ἄφενος δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς ταπρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
Ταῦτά μοι ἔσπετε Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι
ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅ τι πρῶτον γένετ' αὐτῶν.
Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
[ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,]
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
λυσιμελὴς πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη, Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
Γείνατο δ' Οὔρεα μακρὰ, θεῶν χαρίεντας ἐναύλους,
Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.
Ἠδὲ καὶ ἀτρύγετον πέλαγος τέκεν, οἴδματι θῦον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην,
Κοῖόν τε Κρῖόν θ', Ὑπερίονά τ' Ἰαπετόν τε,
Θείην τε Ῥείην τε, Θέμιν τε Μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν.
Τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
δεινότατος παίδων· θαλερὸν δ' ἤχθηρε τοκῆα.
Γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀμβριμόθυμον,
οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν τεῦξάν τε κεραυνόν.
Οἱ δ' ἤτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ.
[Οἱ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες·
Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ·]
ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις.
Ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
τρεῖς παῖδες μεγάλοι τε καὶ ὄμβριμοι, οὐκ ὀνομαστοὶ,
Κόττος τ' Ὀβριάρεώς τε Γύης θ' ὑπερήφανα τέκνα.
Τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
ἄπλητοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.

Musarum famulus gloriam priscorum hominum
celebraverit beatosque Deos, qui Olympum incolunt;
statim hic sollicitudinum obliviscitur, nec quicquam dolorum
meminit: cito vere deflexerunt *eos* dona Dearum.
Salvete, natæ Jovis, date vero amabilem cantilenam.
[Celebrate autem immortalium sacrum genus, semper exsistentium,] qui tellure prognati sunt et cœlo stellato,
nocteque caliginosa, quosque salsus nutrivit pontus.]
Dicite autem, quomodo primum Dii et terra facti-sint
et flumina et pontus immensus, æstu furens,
astraque fulgentia et cœlum latum superne:
et qui ex his nati sunt Dii, datores bonorum,
utque opes diviserint et quomodo honores distinxerint,
atque etiam quomodo primum multicavum tenuerint Olympum:] hæc mihi dicite, Musæ, celestes domos inhabitantes,
ab initio, et dicite quidnam primum fuerit illorum.
Igitur primum quidem Chaos fuit, ac deinde
Tellus lato-pectore, omnium sedes tuta semper
[immortalium, qui tenent juga nivosi Olympi,]
Tartaraque tenebricosa in-recessu terræ spatiosæ:
atque Amor, qui pulcherrimus inter immortales Deos,
solvens-curas omniumque Deorum omniumque hominum,
domat in pectoribus animum et prudens consilium.
Ex Chao vero Erebusque nigraque Nox editi-sunt.
Ex Nocte porro Ætherque et Dies prognati-sunt:
quos peperit, ubi-conceperat, Erebo concubitu mista.
Tellus vero primum quidem genuit æqualem sibi
Cœlum stellatum, ut ipsam totam circumtegat,
ut esset beatis Diis sedes tuta semper.
Genuit vero Montes altos, Dearum grata domicilia
Nympharum, quæ habitant per montes saltuosos.
Atque etiam infrugiferum pelagus peperit æstu furens,
Pontum, absque amore suavi: sed deinde
Cœlo concumbens, peperit Oceanum profundis-vorticibus,
Cœumque Criumque, Hyperionemque Japetumque,
Theamque Rheamque, Theminque Mnemosynenque,
Phœbenque aurea-corona, Tethynque amabilem.
Hos vero post natu-minimus natus-est Saturnus versutus,
sævissimus inter-liberos: floridum autem oderat parentem.
Vero etiam genuit Cyclopes superbum cor habentes,
Brontenque Steropenque et Argen forti-animo,
qui Jovi et tonitru dederunt et fabricarunt fulmen.
Hi autem sane cæterum quidem Diis similes erant,
unus vero oculus media positus-erat in-fronte.
[Hi vero ex immortalibus mortales evaserunt loquentes:
Cyclopes vero nomen erat impositum, eo quod ipsorum
orbiculatus oculus unus inerat fronti:]
roburque ac vires et variæ-artes erant in operibus.
Alii vero etiam e Tellureque et Cœlo prognati-sunt
tres filii magnique et prævalidi, nefandi,
Cottusque Briareusque Gyasque, superba proles.
Quorum centum quidem manus ab humeris prorumpebant
inaccessæ, capita vero unicuique quinquaginta
ex humeris prognata-erant super robustos artus.

οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ, δωτῆρες ἐάων.
Δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ λήγουσί τ' ἀοιδῆς,
ὅσσον φέρτατός ἐστι θεῶν κράτεϊ τε μέγιστος.
Αὖτις δ' ἀνθρώπων τε γένος κρατερῶν τε γιγάντων
ὑμνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
Ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰςαναβαίνων·
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
μέμβλεται, ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσαις,
[τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου,
ἔνθα σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά.
πὰρ δ' αὐτῆς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν,]
ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόματ' ὄσσαν ἱεῖσαι
μέλπονται πάντων τε νόμους καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουσαι, ἐπήρατον ὄσσαν ἱεῖσαι.
Αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει,
νισσομένων πατέρ' εἰς ὅν· ὁ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνόν,
κάρτεϊ νικήσας πατέρα Κρόνον. Εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς καὶ ἐπέφραδε τιμάς.
Ταῦτ' ἄρα Μοῦσαι ἄειδον Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ' Εὐτέρπη τε, Θάλειά τε Μελπομένη τε,
Τερψιχόρη τ' Ἐρατώ τε, Πολύμνιά τ' Οὐρανίη τε,
Καλλιόπη θ'· ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.
Ἣ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ,
ὅντινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τ' ἐςίδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε·
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
ῥηϊδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
Ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι·
οἵά τε Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
Ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί·
ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέϊ θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς

quique ex his prognati-sunt Dii, datores bonorum.
Secundo etiam Jovem, Deorum patrem atque etiam hominum,
Incipientesque celebrant Deæ finiuntque carmine *celebrare*,
quam præstantissimus sit Deorum imperioque maximus.
Porro autem hominumque genus fortiumque gigantum
celebrantes oblectant Jovis mentem in Olympo
Musæ Olympiades, filiæ Jovis ægida-habentis :
quas in Pieria Saturnio peperit patri mista
Mnemosyne, arvis Eleutheris imperans,
oblivionemque malorum solatiumque curarum.
Novem enim cum-ea noctes mistus-est prudens Jupiter,
seorsim ab immortalibus, sacrum lectum conscendens.
Sed cum jam annus esset, circumvolverentur vero tempesta-
tes,] mensibus exactis, diesque multi transacti essent,
ipsa peperit novem filias concordes, quibus carmen
curæ-est, in pectoribus securum animum habentibus,
[paululum a summo vertice nivosi Olympi,
ubi ipsis splendidique chori et ædes pulchræ.
Juxta vero eas Gratiæque et Cupido domos habitant,]
in conviviis : amabilem autem per os vocem emittentes,
canunt omniumque leges et mores venerandos
immortalium celebrant, amabilem vocem emittentes.
Illæ tum ibant ad Olympum exsultantes voce pulchra,
immortali cantilena : circum vero resonabat terra atra
canentibus : jucundus vero a pedibus strepitus excitabatur,
euntium patrem ad suum. Is autem in cœlo regnat,
ipse habens tonitru atque ardens fulmen,
vi superato patre Saturno. Bene autem singula
immortalibus disposuit simul, et ordinavit honores.
Hæc sane Musæ canebant, cœlestes domos incolentes :
Novem filiæ magno e Jove prognatæ :
Clioque Euterpeque Thaliaque Melpomeneque,
Terpsichoreque Eratoque, Polymniaque Uraniaque,
Calliopeque : hæc autem præstantitissima est omnium
Hæc enim et reges venerandos comitatur.
Quemcunque honorarunt Jovis filiæ magni,
nascentemque adspexerunt a-Jove-nutritorum regum,
huic quidem super linguam dulcem fundunt rorem,
hujus vero verba ex ore fluunt suavia : at sane populi
omnes ipsum respiciunt, reddentem jus
rectis judiciis. Hic autem secure concionabundus
statim etiam magnam contentionem scite dirimebat.
Propterea enim reges prudentes *sunt*, ut populis
læsis in-foro integras res restituant
facile, mollibus alloquentes verbis.
Incedentem vero per urbem, tanquam Deum, venerantur
reverentia blanda : eminet vero inter congregatos.
Taleque Musarum sanctum munus hominibus.
A Musis enim et eminus-feriente Apolline
viri cantores sunt super terram et citharœdi,
ex Jove vero reges. Ille vero beatus, quemcumque Musæ
amant : suavis ei ab ore fluit vox.
Si quis enim vel luctum habens recens-afflicto animo
tristetur, animo dolens, sed cantor

Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ, μάκαράς τε θεοὺς, οἳ Ὄλυμπον ἔχουσιν,
αἶψ' ὅγε δυςφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε, τέκνα Διὸς, δότε δ' ἱμερόεσσαν ἀοιδήν.
[Κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ γῆς ἐξεγένοντο καὶ οὐρανοῦ ἀστερόεντος,
νυκτός τε δνοφερῆς, οὓς θ' ἁλμυρὸς ἔτρεφε πόντος.]
Εἴπατε δ' ὡς ταπρῶτα θεοὶ καὶ γαῖα γένοντο,
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι θύων,
ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ, δωτῆρες ἐάων,
ὥς τ' ἄφενος δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς ταπρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
Ταῦτά μοι ἔσπετε Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι
ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅ τι πρῶτον γένετ' αὐτῶν.
Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
[ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,]
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
λυσιμελὴς πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
δαμνᾷ τ' ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη, Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
Γείνατο δ' Οὔρεα μακρὰ, θεῶν χαρίεντας ἐναύλους,
Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.
Ἠδὲ καὶ ἀτρύγετον πέλαγος τέκεν, οἴδματι θῦον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην,
Κοῖόν τε Κρῖόν θ', Ὑπερίονά τ' Ἰαπετόν τε,
Θείην τε Ῥείην τε, Θέμιν τε Μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν.
Τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
δεινότατος παίδων· θαλερὸν δ' ἤχθηρε τοκῆα.
Γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀμβριμόθυμον,
οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν τεῦξάν τε κεραυνόν.
Οἱ δ' ἤτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ.
[Οἱ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες·
Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ·]
ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις.
Ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
τρεῖς παῖδες μεγάλοι τε καὶ ὄμβριμοι, οὐκ ὀνομαστοὶ,
Κόττος τ' Ὀβριάρεώς τε Γύης θ' ὑπερήφανα τέκνα.
Τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
ἄπλητοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.

Musarum famulus gloriam priscorum hominum
celebraverit beatosque Deos, qui Olympum incolunt;
statim hic sollicitudinum obliviscitur, nec quicquam dolorum
meminit: cito vere deflexerunt *eos* dona Dearum.
Salvete, natæ Jovis, date vero amabilem cantilenam.
[Celebrate autem immortalium sacrum genus, semper exsistentium,] qui tellure prognati sunt et cœlo stellato,
nocteque caliginosa, quosque salsus nutrivit pontus.]
Dicite autem, quomodo primum Dii et terra facti-sint
et flumina et pontus immensus, æstu furens,
astraque fulgentia et cœlum latum superne:
et qui ex his nati sunt Dii, datores bonorum,
utque opes diviserint et quomodo honores distinxerint,
atque etiam quomodo primum multicavum tenuerint Olympum:] hæc mihi dicite, Musæ, celestes domos inhabitantes,
ab initio, et dicite quidnam primum fuerit illorum.
Igitur primum quidem Chaos fuit, ac deinde
Tellus lato-pectore, omnium sedes tuta semper
[immortalium, qui tenent juga nivosi Olympi,]
Tartaraque tenebricosa in-recessu terræ spatiosæ:
atque Amor, qui pulcherrimus inter immortales Deos,
solvens-curas omniumque Deorum omniumque hominum,
domat in pectoribus animum et prudens consilium.
Ex Chao vero Erebusque nigraque Nox editi-sunt.
Ex Nocte porro Ætherque et Dies prognati-sunt:
quos peperit, ubi-conceperat, Erebo concubitu mista.
Tellus vero primum quidem genuit æqualem sibi
Cœlum stellatum, ut ipsam totam circumtegat,
ut esset beatis Diis sedes tuta semper.
Genuit vero Montes altos, Dearum grata domicilia
Nympharum, quæ habitant per montes saltuosos.
Atque etiam infrugiferum pelagus peperit æstu furens,
Pontum, absque amore suavi: sed deinde
Cœlo concumbens, peperit Oceanum profundis-vorticibus,
Cœumque Criumque, Hyperionemque Japetumque,
Theamque Rheamque, Theminque Mnemosynenque,
Phœbenque aurea-corona, Tethynque amabilem.
Hos vero post natu-minimus natus-est Saturnus versutus,
sævissimus inter-liberos: floridum autem oderat parentem.
Vero etiam genuit Cyclopes superbum cor habentes,
Brontenque Steropenque et Argen forti-animo,
qui Jovi et tonitru dederunt et fabricarunt fulmen.
Hi autem sane cæterum quidem Diis similes erant,
unus vero oculus media positus-erat in-fronte.
[Hi vero ex immortalibus mortales evaserunt loquentes:
Cyclopes vero nomen erat impositum, eo quod ipsorum
orbiculatus oculus unus inerat fronti:]
roburque ac vires et variæ-artes erant in operibus.
Alii vero etiam e Tellureque et Cœlo prognati-sunt
tres filii magnique et prævalidi, nefandi,
Cottusque Briareusque Gyasque, superba proles.
Quorum centum quidem manus ab humeris prorumpebant
inaccessæ, capita vero unicuique quinquaginta
ex humeris prognata-erant super robustos artus.

Ἰσχὺς δ' ἄπλητος κρατερὴ μεγάλῳ ἐπὶ εἴδει.
Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
δεινότατοι παίδων, σφετέρῳ δ' ἤχθοντο τοκῆϊ
ἐξ ἀρχῆς. Καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίεσκε,
Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανός· ἡ δ' ἐντὸς στοναχίζετο Γαῖα πελώρη
στεινομένη· δολίην δὲ κακὴν ἐπεφράσσατο τέχνην.
Αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος
τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παισὶ φίλοισιν.
Εἶπε δὲ θαρσύνουσα, φίλον τετιημένη ἦτορ·
Παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου, αἴ κ' ἐθέλητε
πείθεσθαι, πατρός κε κακὴν τισαίμεθα λώβην
ὑμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα. [τῶν
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ἕλεν δέος, οὐδέ τις αὐ-
φθέγξατο· θαρσήσας δὲ μέγας Κρόνος ἀγκυλομήτης
ἂψ αὖτις μύθοισι προσηύδα μητέρα κεδνήν·
Μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποσχόμενος τελέσαιμι
ἔργον, ἐπεὶ πατρός γε δυσωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο· γήθησεν δὲ μέγα φρεσὶ Γαῖα πελώρη.
Εἷσε δέ μιν κρύψασα λόχῳ· ἐνέθηκε δὲ χειρὶ
ἅρπην καρχαρόδοντα· δόλον δ' ὑπεθήκατο πάντα.
Ἦλθε δὲ Νύκτ' ἐπάγων μέγας Οὐρανὸς, ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητος ἐπέσχετο καί ῥ' ἐτανύσθη
πάντῃ· ὁ δ' ἐκ λοχεοῖο πάϊς ὠρέξατο χειρὶ
σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
μακρὴν, καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
ἐσσυμένως ἤμησε, πάλιν δ' ἔῤῥιψε φέρεσθαι
ἐξοπίσω. Τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός·
ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
πάσας ἐδέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν
γείνατ' Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας,
τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας,
Νύμφας θ' ἃς Μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν·
μήδεα δ' ὡς τοπρῶτον ἀποτμήξας ἀδάμαντι
κάββαλ' ἀπ' Ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ,
ὣς φέρετ' ἂμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ' ἔνι κούρη
ἐθρέφθη· πρῶτον δὲ Κυθήροισι ζαθέοισιν
ἔπλητ'· ἔνθεν ἔπειτα περίῤῥυτον ἵκετο Κύπρον.
Ἐκ δ' ἔβη αἰδοίη καλὴ θεὸς, ἀμφὶ δὲ ποίη
ποσσὶν ὕπο ῥαδινοῖσιν ἀέξετο· τὴν δ' Ἀφροδίτην,
ἀφρογενέα τε θεὰν καὶ ἐϋστέφανον Κυθέρειαν
κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ
θρέφθη· ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις.
Κυπρογενέα δ', ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ·
ἠδὲ φιλομμηδέα, ὅτι μηδέων ἐξεφαάνθη.
Τῇ δ' Ἔρος ὡμάρτησε, καὶ Ἵμερος ἕσπετο καλὸς
γεινομένῃ ταπρῶτα θεῶν τ' ἐς φῦλον ἰούσῃ.
Ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει ἠδὲ λέλογχε
μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
παρθενίους τ' ὄαρους μειδήματά τ' ἐξαπάτας τε
τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε.

Robur autem inaccessum, validum, ingenti in statura.
Quotquot enim Tellureque et Cœlo procreati-sunt,
potentissimi *sunt* filiorum, a-suo vero infestabantur parente
ab initio. Et horum quidem ut quisque primum nascebatur,
omnes occultabat, et in lucem non emittebat,
Terræ in latebris malo autem oblectabatur opere
Cœlus, ipsa vero intus ingemiscebat Terra vasta,
referta: dolosam vero malam excogitavit artem.
Statim vero procreans genus cani ferri
fabricavit magnam falcem et edixit liberis caris.
Dixit autem animum-addens, suo mœrens corde:
Filii mei et patris nefarii, si volueritis
parere, patris malam ulciscemur contumeliam
vestri. Prior enim indigna machinatus-est opera.
Sic dixit: illos vero sane omnes invasit metus, neque quisquam eorum] locutus-est. Confirmato-animo tamen magnus
Saturnus versutus] rursus verbis compellavit matrem venerandam:]
Mater, ego hoc certe in-me-recipiens peragam
facinus, quoniam patrem detestabilem nihil curo
nostrum. Prior enim indigna machinatus-est opera.
Sic dixit: gavisa-est autem valde animo Tellus ingens.
Collocavit autem ipsum celans in-insidiis: indidit vero manui
harpen asperis-dentibus: dolum autem suppeditavit omnem.
Venit autem Noctem inducens magnus Cœlus: circum vero
Telluri] cupiens amoris incumbebat, et sane extensus-est
undique: ex insidiis autem filius petiit manu
sinistra, dextra vero immanem cepit harpen,
longam, asperis-dentibus, suique genitalia patris
festinanter demessuit, retro autem jecit ut-ferrentur
pone. Illa quidem non incassum effugerunt manu:
quotquot enim guttæ proruperunt cruentæ,
omnes suscepit Terra: inversis autem annis,
produxit Erinnyasque validas magnosque Gigantes
armis nitentes, longas hastas manibus tenentes:
Nymphasque, quas Melias vocant super immensam terram.
Genitalia autem ut prius resecta ferro
projecerat ex Epiro in pontum undosum,
sic ferebantur per pelagus longo tempore: circumcirca vero
alba] spuma ab immortali corpore oriebatur: in ea autem
puella] innutrita est: primum vero ad-Cythera divina
vehebatur, inde tum circumfluam pervenit ad-Cyprum.
Prodiit vero veneranda formosa Dea, circum vero herba
pedibus sub mollibus crescebat: ipsam autem Aphroditen
spumigenamque Deam et pulchre-coronatam Cythereani
nominant Diique et homines, quia in spuma
nutrita-fuit: at Cythercam, quod appulit Cythera:
Cyprigenam vero, quod nata-est undosa in Cypro:
atque amantem-genitalia, quod e genitalibus emersit.
Hanc vero Amor comitatus-est, et Cupido sequebatur pulcher,
natam primum Deorumque ad cœtum euntem.
Hunc vero ab initio honorem habet, atque sortita-est
sortem inter homines et immortales Deos,
virgineasque confabulationes risusque fallaciasque
oblectationemque suavem amoremque blanditiamque.

Τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκεν
παῖδας νεικείων μέγας Οὐρανὸς οὓς τέκεν αὐτός.
Φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.
Νὺξ δ' ἔτεκε στυγερόν τε Μόρον καὶ Κῆρα μέλαιναν
καὶ Θάνατον, τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων·
οὔτινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή.
Δεύτερον αὖ Μῶμον καὶ Ὀϊζὺν ἀλγινόεσσαν,
Ἑσπερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο
χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπόν.
[Καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε βροτοῖσι
γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,
αἵτ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσιν,
οὐδέ ποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν, ὅστις ἁμάρτῃ.]
Τίκτε δὲ καὶ Νέμεσιν, πῆμα θνητοῖσι βροτοῖσι,
Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλότητα,
Γῆράς τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτερόθυμον.
Αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα
Λήθην τε Λιμόν τε καὶ Ἄλγεα δακρυόεντα,
Ὑσμίνας τε Φόνους τε, Μάχας τ' Ἀνδροκτασίας τε,
Νείκεά τε ψευδέας τε Λόγους Ἀμφιλογίας τε,
Δυσνομίην, Ἄτην τε, συνήθεας ἀλλήλῃσιν,
Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.
Νηρέα δ' ἀψευδέα καὶ ἀληθέα γείνατο Πόντος,
πρεσβύτατον παίδων· αὐτὰρ καλέουσι γέροντα,
οὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμιστέων
λήθεται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν·
αὖτις δ' αὖ Θαύμαντα μέγαν καὶ ἀγήνορα Φόρκυν
Γαίῃ μισγόμενος καὶ Κητὼ καλλιπάρῃον,
Εὐρυβίην τ' ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.
Νηρῆος δ' ἐγένοντο μεγήρατα τέκνα θεάων
πόντῳ ἐν ἀτρυγέτῳ καὶ Δωρίδος ἠϋκόμοιο,
κούρης Ὠκεανοῖο, τελήεντος ποταμοῖο,
Πρωτώ τ' Εὐκράντη τε, Σαώ τ' Ἀμφιτρίτη τε,
Εὐδώρη τε Θέτις τε, Γαλήνη τε Γλαύκη τε,
Κυμοθόη, Σπειώ τε, Θόη θ' Ἁλίη τ' ἐρόεσσα,
καὶ Μελίτη χαρίεσσα καὶ Εὐλιμένη καὶ Ἀγαυή,
Πασιθέη τ' Ἐρατώ τε καὶ Εὐνείκη ῥοδόπηχυς,
Δωτώ τε Πρωτώ τε, Φέρουσά τε Δυναμένη τε,
Νησαίη τε καὶ Ἀκταίη καὶ Πρωτομέδεια,
Δωρὶς καὶ Πανόπεια καὶ εὐειδὴς Γαλάτεια,
Ἱπποθόη τ' ἐρόεσσα καὶ Ἱππονόη ῥοδόπηχυς,
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδέϊ πόντῳ
πνοιάς τε ζαθέων ἀνέμων σὺν Κυματολήγῃ
ῥεῖα πρηΰνει καὶ ἐϋσφύρῳ Ἀμφιτρίτῃ,
Κυμώ τ' Ἠϊόνη τε ἐϋστέφανός θ' Ἁλιμήδη,
Γλαυκονόμη τε φιλομμειδὴς καὶ Ποντοπόρεια,
Λειαγόρη τε καὶ Εὐαγόρη καὶ Λαομέδεια,
Πουλυνόμη τε καὶ Αὐτονόη καὶ Λυσιάνασσα,
Εὐάρνη τε, φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος,
καὶ Ψαμάθη, χαρίεσσα δέμας, δίη τε Μενίππη,

Illos vero pater Titanas cognomento vocabat,
filios objurgans magnus Cœlus, quos genuit ipse.
Dictitabat autem *eos* tendentes-*manus* protervia magnum
patrasse] facinus, cujus deinceps ultio in-posterum futura-sit.
Nox vero peperit odiosumque Fatum et Parcam atram,
et Mortem : peperit vero Somnum : peperit vero agmen Somniorum : nemini concumbens Dea peperit Nox obscura.
Deinde etiam Momum et Ærumnam dolore-plenam,
Hesperidesque, quibus mala trans inclytum Oceanum
aurea pulchra curæ-sunt, ferentesque arbores fructum :
et Parcas et fatales-Deas genuit inexorabiles,
Clothoque Lachesinque et Atropon, quæ mortalibus
nascentibus dant habendum bonumque malumque,
et quæ hominumque Deorumque delicta persequuntur,
neque unquam deponunt Deæ vehementem iram,
priusquam ab illo sumserint gravem pœnam, quisquis peccarit.] Peperit autem et Nemesin, cladem mortalibus hominibus,] Nox perniciosa ; post hanc vero Fraudem enixa-est et Concubitum] Seniumque perniciosum, et Contentionem peperit pertinacem.] At Contentio odiosa peperit quidem Laborem molestum,] Oblivionemque Famemque et Dolores lacrimabiles,] Pugnasque Cædesque Prœliaque Stragesque virorum,] Jurgiaque mendacesque Sermones Disceptationesque,] legum-contemtum Noxamque, familiares inter-se,
Jusjurandumque, quod sane plurimum terrestres homines
lædit, quando quispiam volens perjurium juraverit.
Nereum vero veracem et ingenuum genuit Pontus,
maximum-natu filiorum : sed vocant senem,
eo quod verusque et placidus : nec legum
obliviscitur, sed justa et moderata judicia novit;
rursum vero etiam Thaumantem magnum et fortem Phorcyn,] Terræ commistus, et Ceto formosis-genis
Eurybiamque, adamantis in pectore animum habentem.
Ex-Nereo autem prognatæ sunt peramabiles filiæ Dearum
Ponto in infructuoso, et e-Doride pulcra,
filia Oceani, ultimi fluvii,
Protoque Eucrateque, Saoque Amphitriteque,
Eudoraque Thetisque, Galeneque Glauceque,
Cymothoë, Spioque, Thoëque Haliaque amabilis
et Melita gratiosa et Eulimene et Agave,
Pasitheaque Eratoque, et Eunice roseis-brachiis,
Dotoque Protoque, Pherusaque Dynameneque,
Nesæaque et Actæa et Protomedia,
Doris et Panopia et formosa Galatea,
Hippothoëque amabilis et Hipponoë roseis-brachiis,
Cymodoceque, quæ fluctus in obscuro ponto
flatusque divinorum ventorum una-cum Cymatolege
facile mitigat et *cum* Amphitrite pulcris-talis,
Cymoque, Ejoneque, pulchreque-coronata Halimede,
Glauconomeque hilaris et Pontoporia,
Liagoreque et Evagore et Laomedia,
Polynomeque et Autonoë et Lysianasse
Evarneque, indole grata et specie inculpata,
et Psamathe, decora corpore, divaque Menippe,

Νησώ τ' Εὐπόμπη τε, Θεμιστώ τε Προνόη τε,
Νημερτής θ', ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
Αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
κοῦραι πεντήκοντα, ἀμύμονα ἔργ' εἰδυῖαι.

Θαύμας δ' Ὠκεανοῖο βαθυῤῥείταο θύγατρα
ἠγάγετ' Ἠλέκτρην· ἡ δ' ὠκεῖαν τέκεν Ἶριν,
ἠϋκόμους θ' Ἅρπυιας, Ἀελλώ τ' Ὠκυπέτην τε,
αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
ὠκείης πτερύγεσσι· μεταχρόνιαι γὰρ ἴαλλον.
Φόρκυϊ δ' αὖ Κητὼ Γραίας τέκε καλλιπαρήους
ἐκ γενετῆς πολιάς, τὰς δὴ Γραίας καλέουσιν
ἀθάνατοί τε θεοὶ χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι,
Πεφρηδώ τ' εὔπεπλον Ἐνυώ τε κροκόπεπλον,
Γοργούς θ', αἳ ναίουσι πέρην κλυτοῦ Ὠκεανοῖο,
ἐσχατιῇ πρὸς νυκτός, ἵν' Ἑσπερίδες λιγύφωνοι,
Σθεινώ τ' Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα.
Ἡ μὲν ἔην θνητή, ταὶ δ' ἀθάνατοι καὶ ἀγήρῳ,
αἱ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης
ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσι.
Τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν,
ἐξέθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος.
Τῷ μὲν ἐπώνυμον ἦν, ὅτ' ἄρ' Ὠκεανοῦ περὶ πηγὰς
γένθ', ὁ δ' ἄορ χρύσειον ἔχεν μετὰ χερσὶ φίλῃσι.
Χὠ μὲν ἀποπτάμενος, προλιπὼν χθόνα μητέρα μή-
ἵκετ' ἐς ἀθανάτους· Ζηνὸς δ' ἐν δώμασι ναίει, [λων,
βροντήν τε στεροπήν τε φέρων Διὶ μητιόεντι.
Χρυσάωρ δ' ἔτεκε τρικάρηνον Γηρυονῆα
μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο.
Τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη
βουσὶ πάρ' εἰλιπόδεσσι περιῤῥύτῳ εἰν Ἐρυθείῃ·
ἤματι τῷ ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
Τίρυνθ' εἰς ἱερήν, διαβὰς πόρον Ὠκεανοῖο,
Ὄρθρον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα
σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ Ὠκεανοῖο.
Ἡ δ' ἔτεκ' ἄλλο πέλωρον, ἀμήχανον, οὐδὲν ἐοικὸς
θνητοῖς ἀνθρώποις οὐδ' ἀθανάτοισι θεοῖσι,
σπῆϊ ἔνι γλαφυρῷ, θείην κρατερόφρον' Ἔχιδναν,
ἥμισυ μὲν νύμφην ἑλικώπιδα, καλλιπάρηον,
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν, δεινόν τε μέγαν τε,
[ποικίλον, ὠμηστήν, ζαθέης ὑπὸ κεύθεσι γαίης.
Ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλη ὑπὸ πέτρῃ
τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων·
ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.]
Ἡ δ' ἔρυτ' εἰν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,
ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.
Τῇ δὲ Τυφάονά φασι μιγήμεναι ἐν φιλότητι,
δεινόν θ' ὑβριστήν τ' ἄνεμον ἑλικώπιδι κούρῃ·
ἡ δ' ὑποκυσαμένη τέκετο κρατερόφρονα τέκνα.
Ὄρθρον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆϊ·
δεύτερον αὖτις ἔτικτεν ἀμήχανον, οὔτι φατειὸν
Κέρβερον, ὠμηστήν, Ἀΐδεω κύνα χαλκεόφωνον,
πεντηκοντακάρηνον, ἀναιδέα τε κρατερόν τε·
τὸ τρίτον Ὕδρην αὖτις ἐγείνατο, λύγρ' εἰδυῖαν

Nesoque Eupompeque, Themistoque Pronoëque,
Nemertesque, quæ patris habet mentem immortalis
Hæ quidem ex-Nereo inculpato procreatæ-sunt
filiæ quinquaginta, inculpata opera callentes.

Thaumas vero Oceani profundiflui filiam
duxit Electram : hæc autem celerem peperit Irim,
pulchricomasque Harpyias, Aëlloque Ocypetenque,
quæ sane ventorum flamina et aves una comitantur
pernicibus alis : similes-tempori enim volitant.
Phorco vero dein Ceto Græas peperit formosas
a partu canas, quas inde Græas vocant
immortalesque Dii humique incedentes homines,
Pephredoque pulchro-peplo, Enyoque croceo-peplo,
Gorgonesque, quæ habitant trans celebrem Oceanum,
in-extrema-parte ad noctem, ubi Hesperides argutæ,
Sthenoque Euryaleque Medusaque gravia perpessa.
Illa quidem erat mortalis, hæ autem immortales et senii expertes] duæ : cum una vero concubuit cærulea-cæsarie Neptunus] in molli prato et floribus vernis.
Ejus autem quum jam Perseus caput amputasset,
exsiluit Chrysaorque magnus et Pegasus equus.
Huic quidem cognomen erat, quoniam Oceani apud fontes
natus-erat, ille vero ensem aureum tenebat manibus suis.
Et-ille quidem cum-avolasset, relicta terra matre pecorum,
pervenit ad immortales : Jovis vero in domo habitat,
tonitruque fulgurque ferens Jovi prudenti.
Chrysaor autem genuit tricipitem Geryonem,
mistus Calliroæ filiæ nobilis Oceani.
Illum quidem armis-exuit vis Herculea,
boves apud flexipedes circumflua in Erythia :
die illo, ubi boves egit latas-frontes-habentes
Tiryntha in sacram, trajecto Oceano
Orthroque interfecto et bubulco Eurytione,
stabulo in obscuro, trans inclytum Oceanum.
Ipsa autem peperit aliud monstrum, intractabile, nihil simile] mortalibus hominibus neque immortalibus Diis,
specu in concavo, divinam infracto-animo Echidnam :
dimidiam quidem nympham nigris-oculis, pulcris-genis,
dimidiam contra ingentem serpentem, horrendumque magnumque,] [varium, crudivorum, divinæ sub cavernis terræ.
Illic vero ei specus est in-imo cava sub petra,
procul ab immortalibusque Diis mortalibusque hominibus :
ibi sane ei destinarunt Dii inclytas domos incolere.]
At coercebatur apud Arimos sub terra misera Echidna,
immortalis nympha et senii-expers diebus omnibus.
Huic vero Typhaonem aiunt mistum-esse concubitu,
vehementemque violentumque ventum, nigris-oculis puellæ :
ea vero gravida-facta peperit truces liberos :
Orthrum quidem primo canem peperit Geryoni.
Secundo iterum edidit-partu intractabilem, haud effabilem
Cerberum, crudivorum, Plutonis canem ænea-voce,
quinquaginta-capitum, impudentemque fortemque.
Tertio Hydram rursus genuit perniciosa scientem,

Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος Ἥρη,
ἄπληστον κοτέουσα βίῃ Ἡρακληείῃ.
Καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλέϊ χαλκῷ
Ἀμφιτρυωνιάδης σὺν ἀρηϊφίλῳ Ἰολάῳ
Ἡρακλέης βουλῇσιν Ἀθηναίης ἀγελείης.
Ἡ δὲ Χίμαιραν ἔτικτε, πνέουσαν ἀμαιμάκετον πῦρ,
δεινήν τε μεγάλην τε, ποδώκεά τε κρατερήν τε.
Τῆς δ' ἦν τρεῖς κεφαλαί· μία μὲν χαροποῖο λέοντος,
ἡ δὲ χιμαίρης, ἡ δ' ὄφιος, κρατεροῖο δράκοντος.
[Πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ Χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.]
Τὴν μὲν Πήγασος εἷλε καὶ ἐσθλὸς Βελλεροφόντης.
Ἡ δ' ἄρα Φῖκ' ὀλοὴν τέκε, Καδμείοισιν ὄλεθρον,
Ὄρθρῳ ὑποδμηθεῖσα, Νεμειαῖόν τε λέοντα,
τόν ῥ' Ἥρη θρέψασα, Διὸς κυδνὴ παράκοιτις,
γουνοῖσιν κατένασσε Νεμείης, πῆμ' ἀνθρώποις.
Ἔνθ' ἄρ' ὅγ' οἰκείων ἐλεφαίρετο φῦλ' ἀνθρώπων,
κοιρανέων Τρητοῖο Νεμείης, ἠδ' Ἀπέσαντος·
ἀλλά ἑ ἶς ἐδάμασσε βίης Ἡρακληείης.
Κητὼ δ' ὁπλότατον Φόρκυι φιλότητι μιγεῖσα
γείνατο δεινὸν ὄφιν, ὃς ἐρεμνῆς κεύθεσι γαίης
πείρασιν ἐν μεγάλοις παγχρύσεα μῆλα φυλάσσει.
Τοῦτο μὲν ἐκ Κητοῦς καὶ Φόρκυνος γένος ἐστί.

Τηθὺς δ' Ὠκεανῷ Ποταμοὺς τέκε δινήεντας,
Νεῖλόν τ' Ἀλφειόν τε καὶ Ἠριδανὸν βαθυδίνην,
Στρυμόνα, Μαίανδρόν τε καὶ Ἴστρον καλλιρέεθρον,
Φᾶσίν τε Ῥῆσόν τ', Ἀχελώϊον ἀργυροδίνην
Νέσσον τε, Ῥοδίον θ' Ἁλιάκμονά θ' Ἑπτάπορόν τε,
Γρήνικόν τε καὶ Αἴσηπον, θεῖόν τε Σιμοῦντα,
Πηνειόν τε καὶ Ἕρμον, ἐϋρρείτην τε Κάϊκον,
Σαγγάριόν τε μέγαν, Λάδωνά τε Παρθένιόν τε,
Εὔηνόν τε καὶ Ἄρδησκον, θεῖόν τε Σκάμανδρον.
Τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν
ἄνδρας κουρίζουσι σὺν Ἀπόλλωνι ἄνακτι
καὶ Ποταμοῖς, ταύτην δὲ Διὸς πάρα μοῖραν ἔχουσι,
Πειθώ τ' Ἀδμήτη τε, Ἰάνθη τ' Ἠλέκτρη τε,
Δωρίς τε Πρυμνώ τε καὶ Οὐρανίη θεοειδής,
Ἱππώ τε Κλυμένη τε, Ῥόδειά τε Καλλιρόη τε,
Ζευξώ τε Κλυτίη τε, Ἰδυῖά τε Πασιθόη τε,
Πληξαύρη τε Γαλαξαύρη τ', ἐρατή τε Διώνη
Μηλόβοσίς τε, Θόη τε καὶ εὐειδὴς Πολυδώρη,
Κερκηΐς τε, φυὴν ἐρατή, Πλουτώ τε βοῶπις,
Περσηΐς τ' Ἰάνειρά τ', Ἀκάστη τε Ξάνθη τε,
Πετραίη τ' ἐρόεσσα, Μενεστώ τ' Εὐρώπη τε,
Μῆτίς τ' Εὐρυνόμη τε, Τελεστώ τε κροκόπεπλος
Χρυσηΐς τ', Ἀσίη τε καὶ ἱμερόεσσα Καλυψώ,
Εὐδώρη τε, Τύχη τε καὶ Ἀμφιρὼ Ὠκυρόη τε,
καὶ Στύξ, ἣ δὴ σφεων προφερεστάτη ἐστὶν ἁπασέων.
Αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι. Πολλαί γε μέν εἰσι καὶ ἄλλαι.
Τρὶς γὰρ χίλιαί εἰσι τανύσφυροι Ὠκεανῖναι,
αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντη ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα.

Lernæam, quam enutrivit Dea albis-ulnis Juno,
implacabiliter irascens robori Herculeo.
Atque eam quidem Jovis filius occidit sævo ferro
Amphitryoniades cum bellicoso Jolao,
Hercules, ex-consiliis Minervæ prædatricis.
Illa vero Chimæram peperit, spirantem inexpugnabilem ignem,] trucemque magnamque, pernicemque validamque.
Hujus autem erant tria capita: unum quidem terribilis leonis,
alterum capellæ, tertium vero serpentis, robusti draconis.
[Ante leo, pone vero draco, in-medio autem capra,
horrende efflans ignis vim ardentis.]
hanc quidem Pegasus occidit et strenuus Bellerophontes.
At ea sane Sphingem perniciosam peperit, Cadmeis perniciem,
ab-Orthro compressa, Nemeaeumque leonem,
quem sane Juno cum-enutrivisset, Jovis veneranda uxor,
in arvis collocavit Nemeæ, cladem hominibus.
Ibi sane hic commorans damno-afficiebat genera hominum,
dominans Treto Nemeæ *monte* atque Apesanti:
sed ipsum vis domuit roboris Herculei.
Ceto vero minimum-natu cum-Phorcyne concubitu mista
peperit sævum serpentem, qui obscuræ in-latibulis terræ
finibus in amplis aurea mala custodit.
Hæc quidem Cetus et Phorcynis soboles est.

Tethys autem Oceano Flumina peperit vorticosa,
Nilumque Alpheumque et Eridanum profundis-vorticibus,
Strymonem, Mæandrumque et Istrum pulchrifluum,
Phasinque Rhesumque, Acheloum argenteis-vorticibus
Nessumque, Rhodiumque Haliacmonemque, Heptaporumque] Granicumque et Æsepum, divumque Simoënta,
Peneumque et Hermum, amœneque-fluentem Caïcum,
Sangariumque magnum, Ladonemque Partheniumque,
Evenumque et Ardescum, divumque Scamandrum.
Peperit autem filiarum sacrum genus, quæ per terram
viros tondent, cum Apolline rege,
et Fluminibus: hanc vero a Jove sortem habent,
Pithoque Admeteque, Jantheque Electraque,
Dorisque Prymnoque et Urania Deæ-similis,
Hippoque Clymeneque, Rhodiaque Calliroëque,
Zeuxoque Clytieque, Idyiaque Pasithoëque,
Plexaureque Galaxaureque, amabilisque Dione
Melobosisque, Thoëque et formosa Polydora,
Cerceisque indole amabilis, Plutoque magnis-oculis,
Perseisque Janiraque, Acasteque Xantheque,
Petraeaque amabilis, Menestoque Europaque,
Metisque Eurynomeque, Telestoque croceo-peplo
Chryseisque, Asiaque et amabilis Calypso,
Eudoreque, Tycheque et Amphiro Ocyroëque,
et Styx, quæ sane ipsarum excellentissima est omnium.
Hæ vero Oceano et Tethye prognatæ-sunt,
majores-natu filiæ. Multæ quidem sunt et aliæ.
Ter mille enim sunt teneris-malleolis Oceanitides,
quæ sane multum-dispersæ terram et profunditates lacus
undique pariter obeunt, Dearum splendida proles.

Τόσσοι δ' αὖθ' ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες,
υἱέες Ὠκεανοῦ, τοὺς γείνατο πότνια Τηθύς·
τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἄνδρα ἐνισπεῖν,
οἱ δὲ ἕκαστοι ἴσασιν, ὅσοι περιναιετάουσι.
Θείη δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
ἀθανάτοις τε θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.
Κρίῳ δ' Εὐρυβίη τέκεν ἐν φιλότητι μιγεῖσα
Ἀστραῖόν τε μέγαν Πάλλαντά τε δῖα θεάων
Πέρσην θ', ὃς πᾶσησι μετέπρεπεν ἰδμοσύνῃσιν.
Ἀστραίῳ δ' Ἠὼς ἀνέμους τέκε καρτεροθύμους,
Ἀργέστην, Ζέφυρον, Βορέην τ' αἰψηροκέλευθον
καὶ Νότον, ἐν φιλότητι θεὰ θεῷ εὐνηθεῖσα.
Τοὺς δὲ μέτ' ἀστέρα τίκτεν Ἑωσφόρον Ἠριγένεια
ἄστρα τε λαμπετόωντα, τάτ' οὐρανὸς ἐστεφάνωται.
Στὺξ δ' ἔτεκ' Ὠκεανοῦ θυγάτηρ Πάλλαντι μιγεῖ-
Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισι· [σα
καὶ Κράτος ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα,
τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος, οὐδέ τις ἕδρη,
οὐδ' ὁδὸς ὅππῃ μὴ κείνοις θεὸς ἡγεμονεύῃ,
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
Ὣς γὰρ ἐβούλευσε Στὺξ ἄφθιτος Ὠκεανίνη
ἤματι τῷ ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσσε θεοὺς ἐς μακρὸν Ὄλυμπον,
εἶπε δ', ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
μή τιν' ἀποῤῥαίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἑξέμεν ἣν τὸ πάρος γε μετ' ἀθανάτοισι θεοῖσι.
Τὸν δ' ἔφαθ', ὅστις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
τιμῆς καὶ γεράων ἐπιβησέμεν ἣ θέμις ἐστίν.
Ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος Οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι φίλου διὰ μήδεα πατρός.
Τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν.
Αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἑοὺς μεταναιέτας εἶναι.
Ὣς δ' αὔτως πάντεσσι διαμπερές, ὥσπερ ὑπέστη,
ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ ἠδὲ ἀνάσσει.
Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
κυσαμένη δὴ ἔπειτα θεὰ θεοῦ ἐν φιλότητι
Λητὼ κυανόπεπλον ἐγείνατο, μείλιχον αἰεί,
ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
[μείλιχον ἐξ ἀρχῆς, ἀγανώτατον ἐντὸς Ὀλύμπου.]
Γείνατο δ' Ἀστερίην εὐώνυμον, ἥν ποτε Πέρσης
ἠγάγετ' ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.

[Ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
Ἡ δὲ καὶ ἀστερόεντος ὑπ' οὐρανοῦ ἔμμορε τιμῆς,
ἀθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.
[Καὶ γὰρ νῦν ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο τιμὴ
ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς·

Tot vero etiam alii fluvii cum-strepitu fluentes,
filii Oceani, quos peperit veneranda Tethys :
quorum nomina difficile *est* omnium mortalem virum proloqui,] sed singuli noverunt, quicumque circum-habitant.
Thia autem Solemque magnum lucidamque Lunam
Auroramque, quæ omnibus terrestribus lumen-præbet
immortalibusque Diis, qui cœlum latum tenent,
peperit, compressa Hyperionis in concubitu.
Crio autem Eurybia peperit in concubitu mista,
Astræumque magnum Pallantemque diva Dearum,]
Persenque, qui omni eminebat peritia.
Astræo vero Aurora ventos peperit validos,
Argesten, Zephyrum, Boreamque velocem-viatorem
et Notum, in concubitu Dea cum-Deo congressa.
Post hos vero Aurora stellam peperit Luciferum mane-genita,
astraque fulgentia, quibus cœlum cinctum-est.
Styx vero peperit Oceani filia, Pallanti mista,
Zelum et Nicen pulcris-malleolis, in ædibus;
et Robur atque Vim, præclaros peperit filios,
quorum non est seorsim a-Jove domus, neque ulla sedes,
nec via, quin illis Deus præeat,
sed semper prope Jovem graviter-tonantem sedent.
Sic enim consuluit Styx, incorruptibilis Oceanitis,
die illo, quando omnes Olympius fulgurator
immortales vocavit Deos ad latum Olympum :
dixit autem, quisquis una secum Deorum contra-Titanas pugnet,] nulli *se* ademturum præmia, sed honorem quemque
habiturum, quem antea inter immortales Deos.
Illum vero dixit, qui honoris-expers *fuerit* sub Saturno et immunis,] ad honores ac præmia *se* provecturum, ut æquum est.] Venit autem sane prima Styx incorruptibilis in-Olympum] cum suis filiis sui per consilia patris.
Eam vero Jupiter honoravit, eximiaque dona dedit.
Ipsam enim quidem constituit, Deorum magnum ut-sit jusjurandum,] filii autem diebus omnibus sui inquilini ut-sint.
Similiter vero omnibus continuo, sicuti pollicitus-erat,
perfecit : ipse autem prævalet atque imperat.
Phœbe vero etiam Cœi perjucundum venit ad torum;
gravida-facta autem deinde Dea Dei in concubitu,
Latonam cæruleo-peplo peperit, blandam semper,
mitem hominibus atque immortalibus Diis,
[blandam ab initio, suavissimam in Olympo.]
Peperit vero Asteriam claram, quam olim Perses
duxit in amplam domum, sua ut-vocaretur uxor.

[Illa autem gravida-facta Hecaten peperit, quam præ omnibus
Jupiter Saturnius honoravit : dedit vero ei splendida dona,
potestatem ut-habeat terræque et infructuosi maris.
Ea autem etiam stellato sub cœlo sortita-est honorem,
immortalibusque Diis honorata est maxime.
[Etenim nunc, quando alicubi aliquis terrestrium hominum
faciens sacra pulchra secundum ritum expiat,
invocat Hecaten : ingensque eum sequitur honor
facillime, cui benevola certe Dea suscipit preces :

καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίς γε πάρεστιν.]
Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων,
οὐδέ τί μιν Κρονίδης ἐβιήσατο, οὐδέ τ' ἀπηύρα
ὅσσ' ἔλαχεν Τιτῆσι μετὰ προτέροισι θεοῖσιν,
ἀλλ' ἔχει ὡς τοπρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός.
Οὐδ', ὅτι μουνογενής, ἧσσον θεὰ ἔμμορε τιμῆς,
[καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάσσῃ·]
ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς τίεται αὐτήν.
Ὧ δ' ἐθέλει μεγάλως παραγίγνεται ἠδ' ὀνίνησιν·
ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει ὅν κ' ἐθέλῃσιν·
ἠ δ' ὁπότ' ἐς πόλεμον φθισήνορα θωρήσσωνται
ἀνέρες, ἔνθα θεὰ παραγίγνεται, οἷς κ' ἐθέλῃσι
νίκην προφρονέως ὀπάσαι καὶ κῦδος ὀρέξαι·
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει·
ἐσθλὴ δ' αὖθ', ὁπότ' ἄνδρες ἀγῶνι ἀεθλεύωσιν,
ἔνθα θεὰ καὶ τοῖς παραγίγνεται ἠδ' ὀνίνησι.
Νικήσας δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἄεθλον
ῥεῖα φέρει χαίρων τε τοκεῦσιν κῦδος ὀπάζει.
Ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν οἷς κ' ἐθέλῃσι,
καὶ τοῖς οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται·
εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ.
Ῥηϊδίως δ' ἄγρην κυδνὴ θεὸς ὤπασε πολλήν,
ῥεῖα δ' ἀφείλετο φαινομένην, ἐθέλουσά γε θυμῷ.
Ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ ληΐδ' ἀέξειν·
βουκολίας τ' ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν,
ποίμνας τ' εἰροπόκων ὀΐων, θυμῷ γ' ἐθέλουσα,
ἐξ ὀλίγων βριάει, καὶ ἐκ πολλῶν μείονα θῆκεν.
Οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσι.
Θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
ὀφθαλμοῖσι ἴδοντο φάος πολυδερκέος Ἠοῦς.
Οὕτως ἐξ ἀρχῆς κουροτρόφος· αἳ δέ τε τιμαί.]

atque illi divitias largitur, quoniam facultas sane *ei* adest.]
Quotquot enim Terra Cœloque prognati-sunt
et honorem sorte-acceperunt, illorum habet sortem omnium,
neque quidquam ei Saturnius per-vim-ademit, neque abstulit,
quæcumque sortita-est Titanas inter priores Deos,
sed habet, sicut primum ab initio facta-est distributio.
Nec, quia unigenita *est*, minus Dea sortita-est honoris,
[et potestatem in terraque et cœlo atque *in* mari :]
sed insuper etiam multo plus, quoniam Jupiter honorat eam.
Cui vero vult, magnifice præsto-est atque *eum* juvat :
inque concione inter-homines eminet, quem voluerit :
quando autem ad bellum exitiosum armantur
viri, tum Dea adest, quibus voluerit,
victoriam benevole ut-præbeat et laudem porrigat :
inque judicio reges apud venerandos sedet :
eximia vero etiam, quando viri in-certamine colluctantur,
ibi dea et his præsto-est atque *eos* juvat.
Qui-vicerit vero virtute et robore, pulcrum præmium
facile fert, gaudensque parentibus gloriam parat.
Bona autem equitibus adesse, quibus voluerit :
et his qui cæruleum *mare* trajectu-difficile exercent :
vota-faciunt vero Hecatæ, et valde-sonanti Neptuno.
Facile etiam prædam inclyta Dea dedit copiosam ;
facile autem abstulit apparentem, volens animo.
Bona item in stabulis cum Mercurio pecus ad-augendum ;
armentaque-boum gregesque et greges magnos caprarum,
gregesque lanigerarum ovium, animo certe volens,
ex paucis copiosos-reddit et ex multis pauciores reddit.
Ita sane etiam unigenita ex matre (exsistens)
omnes inter immortales honorata-est muneribus.
Fecit autem eam Saturnius altricem-juvenum, qui post eam
oculis adspexerunt lumen multa-contuentis Auroræ.
Sic ab initio nutrix-puerorum *est* : hi igitur *sunt* honores.

Ῥείη δ' ὑποδμηθεῖσα Κρόνῳ τέκε φαίδιμα τέκνα,
Ἱστίην, Δήμητρα, καὶ Ἥρην χρυσοπέδιλον,
ἴφθιμόν τ' Ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοσίγαιον,
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών.
Καὶ τοὺς μὲν κατέπινε Κρόνος μέγας, ὅστις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο,
τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων
ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληΐδα τιμήν.
Πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι,
καὶ κρατερῷ περ ἐόντι, Διὸς μεγάλου διὰ βουλάς·
τῷ καὶ ὅγ' οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥέην δ' ἔχε πένθος ἄλαστον.
Ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
μῆτιν συμφράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, τίσαιτο δ' ἐρινῦς πατρὸς ἑοῖο

Rhea autem compressa a-Saturno peperit illustres liberos,
Vestam, Cererem, et Junonem aureis-calceamentis,
fortemque Plutonem, qui sub terra domos incolit,
immite cor habens, et valde-sonantem Neptunum,
Jovemque sapientem, Deorum patrem atque etiam hominum,
cujus etiam a tonitru concutitur lata terra.
Et illos quidem deglutiebat Saturnus magnus, quicumque
utero ex sacro matris ad genua venerat,
hæc agitans, ne quis clarorum Cœli-filiorum
alius inter immortales haberet regium decus.
Audierat enim ex-Terraque et Cœlo stelligero,
quod sibi fatale-esset suo a filio domari,
quamvis robusto (exsistenti), Jovis magni per consilia :
ideoque hic non vanam-speculationem habuit, sed insidias-
struens] filios suos devorabat : Rheam autem tenebat luctus
gravis.] Sed quando jam Jovem erat Deorum patrem atque
etiam virorum] paritura, tum tandem caris supplicabat paren-
tibus] suis, Terræque et Cœlo stellato,
consilium ut-conferrent, quo-pacto clam pareret
filium carum, ulcisceretur vero furias patris sui

παίδων οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.
Οἱ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
καί οἱ πεφραδέτην ὅσαπερ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆϊ καὶ υἱέϊ καρτεροθύμῳ.
Πέμψαν δ' ἐς Λύκτον, Κρήτης ἐς πίονα δῆμον,
ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τεκέσθαι,
Ζῆνα μέγαν· τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε.
[Ἔνθα μιν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
πρώτην ἐς Λύκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
ἄντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,
Αἰγαίῳ ἐν ὄρει, πεπυκασμένῳ, ὑλήεντι.]
Τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆϊ·
τὸν τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐγκάτθετο νηδὺν,
σχέτλιος, οὐδ' ἐνόησε μετὰ φρεσὶν, ὥς οἱ ὀπίσσω
ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
λείπεθ', ὅ μιν τάχ' ἔμελλε, βίῃ καὶ χερσὶ δαμάσσας,
τιμῆς ἐξελάαν, ὁ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.
Καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένων δ' ἐνιαυτῶν
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς
ὃν γόνον ἂψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης,
νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο.
Πρῶτον δ' ἐξήμεσσε λίθον, πύματον καταπίνων·
τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὕπο Παρνησοῖο
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσι.
Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ἀπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν·
οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,
δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν
καὶ στεροπήν· τοπρὶν δὲ πελώρη Γαῖα κεκεύθει·
τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
Κούρην δ' Ἰαπετὸς καλλίσφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην καὶ ὁμὸν λέχος εἰςανέβαινεν.
Ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα·
τίκτε δ' ὑπερκύδαντα Μενοίτιον ἠδὲ Προμηθέα
ποικίλον, αἰολόμητιν, ἁμαρτίνοόν τ' Ἐπιμηθέα,
ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῇσι·
πρῶτος γάρ ῥα Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
παρθένον. Ὑβριστὴν δὲ Μενοίτιον εὐρύοπα Ζεὺς
εἰς Ἔρεβος κατέπεμψε βαλὼν ψολόεντι κεραυνῷ
εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
πείρασιν ἐν γαίης, πρόπαρ Ἑσπερίδων λιγυφώνων,
ἑστηὼς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσι.
Ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.
Δῆσε δ' ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον
δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας.
Καί οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ' ἧπαρ
ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ
νυκτὸς, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.
Τὸν μὲν ἄρ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς

contra-filios, quos devoraverat ingens Saturnus versutus.
Illi vero filiæ dilectæ bene quidem auscultarunt atque morem-gesserunt,] et ei commemorarunt, quæcumque constitutum-esset fieri] circa Saturnum regem et filium magnanimum.] Miserunt autem in Lyctum, Cretæ in pinguem tractum] cum minimum-natu filiorum esset paritura,
Jovem magnum : hunc quidem sibi suscepit Terra vasta
Creta in lata educandum enutriendumque.
[Tum eum pervenit ferens celerem per noctem nigram,
primum ad Lyctum : abscondit autem ipsum manibus prehensum] antro in excelso, divinæ sub latebris terræ,
Ægeo in monte, denso, silvoso.]
Illi autem fasciis-involutum magnum lapidem in-manus-dedit] Cœli-filio, præpotenti, Deorum priori regi :
quem tum arreptum manibus suam condidit in-alvum
miser, nec cogitavit animo, quod sibi in-posterum
pro lapide suus filius invictus et securus
superesset, qui ipsum mox esset vi et manibus domitum
honore expulsurus, ipse vero inter immortales regnaturus.
Celeriter autem deinde robur et splendida membra
crescebant illius regis : inversis vero annis,
Terræ consilio astuto circumventus,
suam sobolem iterum emisit magnus Saturnus versutus,
victus artibus vique filii sui.
Primum vero evomuit lapidem, ultimo devoratum :
hunc quidem Jupiter defixit in terram spatiosam
Pytho in divina, sub amfractibus Parnassi,
monumentum ut-sit in posterum, miraculum mortalibus hominibus.] Solvit vero patruos perniciosis a vinculis
Cœligenos, quos vinxerat pater ex-amentia :
qui ipsi retulerunt gratiam beneficiorum,
dederuntque tonitru atque candens fulmen
et fulgur ; antea vero immanis Terra *ea* occultaverat :
quibus confisus, mortalibus et immortalibus imperat.
Puellam vero Japetus pulcris-malleolis Oceanidem
duxit Clymenen et eundem lectum conscendit.
Ipsa vero ei Atlantem magnanimum peperit filium :
peperit præterea præclarum Menœtium atque Prometheum
varium, versutum, amentemque Epimetheum,
qui noxa ab-initio fuit hominibus inventoribus :
primus enim sane Jovis fictam suscepit mulierem
virginem. Flagitiosum vero Menœtium late-videns Jupite
in Erebum demisit feriens ardente fulmine,
propter improbitatemque et fortitudinem insolentem.
Atlas vero cœlum latum sustinet dura ex necessitate,
finibus in terræ, e-regione Hesperidum argutarum,
stans, capiteque et indefessis manibus.
Hanc enim ipsi sortem destinavit prudens Jupiter.
Ligavit vero indissolubilibus-compedibus Promethea versutum,] vinculis duris mediam in columnam affigens.
Et ei aquilam immisit expansis-alis : at hæc hepar
comedebat immortale ; id autem crescebat tantum ubique
noctu, quantum toto die edisset extentis-alis avis.
Hanc quidem sane Alcmenæ formosis-malleolis fortis filius

Ἡρακλέης ἔκτεινε, κακὴν δ' ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ, καὶ ἐλύσατο δυςφροσυνάων,
οὐκ ἀέκητι Ζηνὸς Ὀλυμπίου ὑψιμέδοντος,
ὄφρ' Ἡρακλῆος Θηβαγενέος κλέος εἴη
πλεῖον ἔτ' ἢ τοπάροιθεν ἐπὶ χθόνα πουλυβότειραν.
Ταῦτ' ἄρ' ὅγ' ἀζόμενος τίμα ἀριδείκετον υἱόν·
καίπερ χωόμενος παῦθη χόλου ὃν πρὶν ἔχεσκεν,
οὕνεκ' ἐρίζετο βουλὰς ὑπερμενέϊ Κρονίωνι.
Καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ, τότ' ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
δασσάμενος προὔθηκε, Διὸς νόον ἐξαπαφίσκων.
Τῷ μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονι δημῷ
ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ,
τῷ δ' αὖτ' ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.
Δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἰαπετιονίδη, πάντων ἀριδείκετ' ἀνάκτων,
ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.
Ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Τὸν δ' αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης,
ἦκ' ἐπιμειδήσας, δολίης δ' οὐ λήθετο τέχνης·
Ζεῦ κύδιστε, μέγιστε θεῶν αἰειγενετάων,
τῶνδ' ἕλευ ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.
Φῆ ῥα δολοφρονέων· Ζεὺς δ' ἄφθιτα μήδεα εἰδὼς
γνῶ ῥ' οὐδ' ἠγνοίησε δόλον· κακὰ δ' ὄσσετο θυμῷ
θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλε.
Χερσὶ δ' ὅγ' ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφα.
[Χώσατο δὲ φρένας, ἀμφὶ χόλος δέ μιν ἵκετο θυμόν,
ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.]
Ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
ὦ πέπον, οὐκ ἄρα πω δολίης ἐπιλήθεο τέχνης.
Ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς·
ἐκ τούτου δὴ ἔπειτα, δόλου μεμνημένος αἰεί,
οὐκ ἐδίδου μελέοισι πυρὸς μένος ἀκαμάτοιο
θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσιν.
Ἀλλά μιν ἐξαπάτησεν ἐῢς παῖς Ἰαπετοῖο,
κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν
ἐν κοίλῳ νάρθηκι· δάκεν δ' ἄρα νειόθι θυμὸν
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ,
ὡς ἴδεν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
Αὐτίκα δ' ἀντὶ πυρὸς τεῦξεν κακὸν ἀνθρώποισι.
Γαίης γὰρ σύμπλασσε περικλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
ἀργυφέῃ ἐσθῆτι· κατακρῆθεν δὲ καλύπτρην
δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι·
[ἀμφὶ δέ οἱ στεφάνους, νεοθηλέας ἄνθεσι ποίης,
ἱμερτούς, περέθηκε καρήατι Παλλὰς Ἀθήνη·]
ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις,
ἀσκήσας παλάμῃσι, χαριζόμενος Διὶ πατρί.

Hercules occidit, malam vero pestem profligavit
ab-Japetionida, et liberavit *eum* ab ægritudine :
non invito Jove Olympio in-alto-imperante,
quo Herculis Thebis-geniti gloria esset
major etiam quam antea super terram multos-pascentem.
His igitur is venerabundus honorabat præclarum filium :
quamvis iratus remisit iram, quam prius habuerat,
eo-quod certasset consilio *cum* præpotente Saturnio.
Etenim quando disceptabant *inter se* Dii mortalesque homines] Meconæ, ibi tum magnum bovem volente animo
divisum proposuit, Jovis mentem fallens.
Hic enim carnesque et intestina cum pingui adipe
in pelle deposuit, tegens ventre bubulo;
illic rursum ossa alba bovis dolosa arte
rite-disponens deposuit, tegens candida arvina.
Jam tum ipsum allocutus-est pater hominumque Deorumque :
Japetionida, omnium illustrissime regum,
o amice, quam inique partitus-es portiones!
Sic dixit *eum* carpens Jupiter perpetua consilia sciens.
Hunc vero vicissim allocutus-est Prometheus vafer,
leniter arridens; dolosæ autem non obliviscebatur artis :
Jupiter gloriosissime, maxime Deorum sempiternorum,
harum elige utram tibi in pectoribus animus suadet.
Dixit igitur dolosa-cogitans. Jupiter autem æterna consilia sciens] cognovit certe nec ignoravit dolum : mala autem spectabat animo] hominibus mortalibus, quæ etiam perficienda erant.] Manibus vero hic utrisque sustulit album adipem.
[Irascebatur autem mente : ira vero ejus circumvenit animum,] ut vidit ossa alba bovis *disposita* dolosa arte.]
Ex illo vero *tempore* immortalibus super terram genera hominum] adolent ossa alba odoratis in aris.
Hunc autem valde indignatus allocutus-est nubicogus Jupiter :] Japetionida super omnibus *rebus* consilia sciens,
o amice, nondum sane dolosæ oblitus-es artis.
Sic dixit irascens Jupiter æterna consilia sciens :
ex illo *tempore* sane deinceps, doli memor semper,
non dabat miseris ignis vim insatiabilis
mortalibus hominibus, qui super terram habitant.
Sed ipsum decepit egregius filius Japeti,
furatus indomiti ignis eminus-apparentem splendorem
in concava ferula : momordit vero sane intus-in animo
Jovem in-alto-tonantem, et ad-iram-commovit eum carum cor,] ubi vidit inter-homines ignis procul-apparentem splendorem.] Protinus autem pro igne struxit malum hominibus.
E-terra enim conformavit perceleber Vulcanus
virginis pudicæ simulacrum Saturnii per consilia.
Cinxit vero et adornavit Dea lucidis-oculis Minerva
candida veste : capiti vero calyptram
artificiosam manibus imposuit, mirum visu :
[circum vero ei serta, recens-florentis floribus herbæ
amœna, imposuit capiti Pallas Minerva :]
circum vero ei coronam auream caput posuit,
quam ipse fecerat inclytus Vulcanus,
elaborans manibus, gratificans Jovi patri.

Τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
κνώδαλ', ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα.
Τῶν ὅγε πόλλ' ἐνέθηκε, (χάρις δ' ἀπελάμπετο πολ-
θαυμάσια, ζωοῖσιν ἐοικότα φωνήεσσιν. [λή,)
Αὐτὰρ ἐπεὶ τεῦξεν καλὸν κακὸν ἀντ' ἀγαθοῖο,
ἐξάγαγ' ἔνθαπερ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι
κόσμῳ ἀγαλλομένην Γλαυκώπιδος ὀμβριμοπάτρης.
Θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώ-
ὡς εἶδον δόλον αἰπὺν, ἀμήχανον ἀνθρώποισιν. [πους,
[Ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων.]
Τῆς γὰρ ὀλώϊόν ἐστι γένος καὶ φῦλα γυναικῶν,
πῆμα μέγ', αἳ θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.
Ὡς δ' ὁπότ' ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
κηφῆνας βόσκωσι, κακῶν ξυνήονας ἔργων·
αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
[ἠμάτιαι] σπεύδουσι, τιθεῖσί τε κηρία λευκὰ,
οἱ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους,
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται·
ὣς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήονας ἔργων
ἀργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο·
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται,
χήτει γηροκόμοιο, ὁ δ' οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
χηρωσταί· ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' ἔσχεν ἄκοιτιν, ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.
Ὡς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
Οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκης
καὶ πολύϊδριν ἐόντα μέγας κατὰ δεσμὸς ἐρύκει.
Ὀβριάρεῳ δ' ὡς πρῶτα πατὴρ ὠδύσσατο θυμῷ
Κόττῳ τ' ἠδὲ Γύῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ,
ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος
καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης·
ἔνθ' οἵγ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες
εἵατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ', ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες,
ἀλλά σφεας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις·
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε,
σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
Δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας·
οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοὶ,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοὶ, δωτῆρες ἐάων,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνῳ εὐνηθεῖσα·

In hac autem artificiosa multa cælata-erant, mira visu,
belluæ, quales continens multas alit atque mare.
Harum ille multas in-ea-posuit, (gratia vero resplendebat
magna,) mirabiles, animantibus similes vocalibus.
At postquam effecit pulchrum malum pro bono,
eduxit, ubi alii erant Dii atque homines,
ornatu gestientem *Palladis* splendidis-oculis, forti-patre-
prognatæ.] Admiratio autem cepit immortalesque Deos
mortalesque homines,] ubi viderunt dolum exitiosum,
inexplicabilem hominibus.] [Ex illa enim genus est mulierum
feminearum.] Illius enim perniciosum est genus et gens mulie-
rum,] clades ingens, quæ mortales inter homines habitant,
perniciosæ paupertatis non comites, sed luxus.
Veluti vero cum in alveariis tectis apes
fucos pascunt, malorum participes operum;
illæque quidem *per* totum diem ad solem occidentem
[diurnæ] laborant, finguntque favos albos,
hi vero intus permanentes coopertis in alveariis,
alienum laborem suum in ventrem metunt:
ita vero similiter viris rem-malam mortalibus mulieres
Jupiter altitonans dedit, participes operum
molestorum: alterum autem præbuit malum pro bono:
qui nuptias refugiens et anxia opera mulierum,
non uxorem-ducere velit, gravemque attigerit senectutem,
ob-inopiam senectutem-foventis, is autem non victus indi-
gens] vivit, mortui tamen possessionem *inter se* dividunt
remoti-cognati. Cui vero contra nuptiarum conditio conti-
gerit,] pudicam autem habuerit conjugem, firmam in-mente,
huic tamen etiam post hominum-memoriam malum cum-bono
certat,] ut-adsit: qui vero adeptus-fuerit noxium genus *mu-
lierum*,] vivit in pectore gestans perpetuum mœrorem
animo et cordi, et immedicabile malum est.
Adeo non licet Jovis fallere consilium neque effugere.
Neque enim Japetionides innocens Prometheus
illius evitavit gravem iram, sed per necessitatem *eum*,
quamvis multiscium (exsistentem), magnum vinculum coer-
cet.] Briareo vero ubi primum pater iratus-erat animo
Cottoque atque Gyæ, ligavit forti vinculo,
fortitudinem immanem admirans atque etiam formam
et magnitudinem: collocavit autem *eos* sub terram latam:
ibi illi dolores habentes sub terra habitantes,
sedent in extrema-plaga, magnæ in finibus terræ,
usque valde, mœrentes, corde magnum luctum habentes;
sed ipsos Saturniusque et immortales Dii alii,
quos peperit pulchricoma Rhea Saturni in amore,
Terræ consiliis reduxerunt in lucem iterum:
ipsa enim eis cuncta longius recensuit,
cum illis victoriamque et splendidam gloriam *eos* acceptu-
ros-esse.] Diu enim pugnarunt, laborem animum-crucian-
tem habentes,] Titanesque Dii et quotquot e-Saturno nati-
sunt,] contra sese-invicem per validas pugnas:
hi quidem ab alta Othry, Titanes gloriosi,
illi vero sane ab Olympo, Dii datores bonorum:
quos peperit pulchricoma Rhea Saturno concumbens;

οἵ ῥα τότ' ἀλλήλοισι μάχην θυμαλγέ' ἔχοντες
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
Οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτὴ
οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
Ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα,
νέκταρ τ' ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι,
[πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ.
Ὡς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν,]
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι
νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα.
Ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίοι ἐν δαῒ λυγρῇ,
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
ἐς φάος ἂψ ἀφίκεσθε, δυσηλεγέος ἀπὸ δεσμοῦ,
ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
Ὣς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·
δαιμόνι', οὐκ ἀδάητα πιφάσκεαι· ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν ὅ τοι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα,
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο.
Ἄψορρον δ' ἐξαῦτις, ἀμειλίκτων ἀπὸ δεσμῶν,
σῇσιν ἐπιφροσύνῃσιν ὑπὸ ζόφου ἠερόεντος
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντες.
Τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
Ὣς φάτ'· ἐπῄνησαν δὲ θεοί, δωτῆρες ἐάων,
μῦθον ἀκούσαντες· πολέμου δὲ λιλαίετο θυμὸς
μᾶλλον ἔτ' ἢ τοπάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν
πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
[Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,]
οὕς τε Ζεὺς Ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φόωσδε,
δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.
Τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀίσσοντο
πᾶσιν ὁμῶς, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ,
πέτρας ἠλιβάτους στιβαρῇς ἐν χερσὶν ἔχοντες
[Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας]
προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
ἀμφότεροι, δεινὸν δὲ περίαχε πόντος ἀπείρων,
γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρὺς
σειόμενος, πεδόθεν δὲ τινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα, ποδῶν τ' αἰπεῖα ἰωὴ
ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων·
ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
Φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
Οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος· ἀλλά νυ τοῦγε
εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν

illi igitur tum inter-se pugnam animum-excruciantem habentes,] continenter pugnabant decem totos annos.
Neque ullus erat contentionis gravis exitus neque finis
alterutris; æqualiter autem finis extendebatur belli.
Sed quando jam illis præbuit congruentia omnia,
nectarque ambrosiamque, quibus Dii ipsi vescuntur,
[omnium in pectoribus augebatur animus generosus.
Ubi vero nectar gustarunt et ambrosiam amabilem,]
jam tum ipsos *sic* affatus-est pater hominumque Deorumque:
Audite me, Terræque et Cœli inclyti liberi,
ut dicam quæ me animus in pectore jubet.
Jam enim admodum diu adversi nobis-invicem
victoriæ et imperii gratia pugnavimus dies omnes,
Titanesque Dii et quotquot e-Saturno nati-sumus.
Vos vero magnamque vim et manus invictas
ostendite Titanibus contrarii in pugna tristi,
memores amicitiæ placidæ, quam-multa perpessi
ad lucem redieritis, molesto a vinculo,
nostra per consilia, e caligine obscura.
Sic dixit: hunc vero rursum excepit Cottus egregius:
venerande, non ignota loqueris: sed et ipsi
scimus, quod tibi excellat quidem mens, excellat autem intellectus,] depulsor vero immortalibus damni sis horrendi.
Retro vero acerbis a vinculis,
tua providentia e caligine tenebrosa
venimus, Saturni fili rex, insperata passi.
Ideo et nunc intentoque animo et prudenti consilio
vindicabimus imperium vestrum in gravi conflictu,
pugnantes cum-Titanibus in acribus præliis.
Sic dixit: collaudarunt vero Dii, datores bonorum,
sermone audito: bellumque cupiebat animus
magis etiam quam antea: pugnam vero lugubrem ciebant
omnes, feminæque et mares, die illo,
[Titanesque Dii et quotquot Saturno prognati-sunt,]
quosque Jupiter ex-Erebo sub terra misit ad lucem,
acresque fortesque, vires immensas habentes.
Horum centum quidem manus ab humeris erumpebant
omnibus simul, capita vero unicuique quinquaginta
ex humeris enata-erant in robustis artubus.
Hi tum Titanibus oppositi-fuere in pugna luctuosa,
rupes ingentes validis in manibus gestantes
[Titanes vero ab-altera-parte confirmabant phalanges]
alacriter, manuumque viriumque simul opus ostentabant
utrique; horrende vero insonuit pontus immensus,
terra autem valde stridebat, ingemiscebat vero cœlum latum
quassatum, penitusque concutiebatur amplus Olympus
ab impetu immortalium, concussio vero pervenit gravis
ad Tartarum tenebricosum, pedumque acris fragor,
immodici tumultus ictuumque fortium:
ita igitur in sese-mutuo jaciebant tela lamentabilia.
Vox autem utrorumque pervenit *ad* cœlum stellatum
adhortantium: at illi congrediebantur magno *cum* clamore.
Neque sane amplius Jupiter cohibebat suum robur, sed jam
ipsius] statim quidem robore implebatur animus, atque etiam

φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμ-
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ [που
ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστραπῇ εὖ ποτέοντο
χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες,
ταρφέες, ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν
καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
Ἔζεε δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα,
πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους, φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
ἄσπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
Καῦμα δὲ θεσπέσιον κάτεχεν χάος· εἴσατο δ' ἄντα
ὀφθαλμοῖσιν ἰδεῖν ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι
αὔτως, ὡς εἰ γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
πίλνατο· τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει
τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος.
Τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.
Σὺν δ' ἄνεμοι ἔνοσίν τε κόνιν θ' ἅμα ἐσφαράγιζον
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
ἐς μέσον ἀμφοτέρων· ὄτοβος δ' ἄτλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ' ἀνεφαίνετο ἔργων,
ἐκλίνθη δὲ μάχη· πρὶν δ' ἀλλήλοις ἐπέχοντες
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας,
οἱ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν
Κόττος τ' Ὀβριάρεώς τε Γύης τ' ἄατος πολέμοιο.
Οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσι
Τιτῆνας, καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας,
τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
ἶσον γάρ τ' ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα.
Ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν δεκάτῃ δ' ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐκ γαίης κατιὼν δεκάτῃ δ' ἐς Τάρταρον ἵκοι.
Τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρήν· αὐτὰρ ὕπερθεν
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο.
[χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.]
Τοῖς οὐκ ἐξιτόν ἐστι, πύλας δ' ἐπέθηκε Ποσειδέων
χαλκείας, τεῖχος δὲ περοίχεται ἀμφοτέρωθεν.
Ἔνθα Γύης, Κόττος τε καὶ Ὀβριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.

Ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ', εὐρώεντα, τάτε στυγέουσι θεοί περ,
χάσμα μέγ', οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.

omnem] ostendebat vim : simul vero sane a cœlo atque ab
Olympo] fulgurans incedebat continuo : fulmina autem
confertim una-cum tonitruque et fulgure volabant
manu a robusta, sacram flammam circumvolventia,
crebra; circum vero terra alma reboabat
ardens, crepitabatque undique igne valde immensa silva.
Fervebatque terra tota, et Oceani fluenta,
pontusque immensus : illos autem circumdedit calidus vapor
Titanes terrestres; flamma vero *ad* aërem divinum pervenit
ingens : oculos vero visu-privabat quantumvis fortium
splendor radians fulminisque fulgurisque.
Incendium autem ingens corripuit chaos : videbatur vero co-
ram] oculis adspicienti atque auribus vocem audienti
eodem-modo, ac si terra et cœlum latum superne
miscebantur : talis enim maximus strepitus excitabatur
illius quidem dirutæ, hujus autem ex-alto proruentis.
Tantus fragor erat Deorum certamine confligentium.
Simul vero venti motumque pulveremque una cum-strepitu
excitabant] tonitruque fulgurque et ardens fulmen,
tela Jovis magni, ferebantque fremitum clamoremque
in medium utrorumque : strepitus igitur intolerabilis exci-
tabatur] horrendi certaminis; robur autem apparebat operum.
Inclinata vero est pugna : prius autem sibi-mutuo imminen-
tes,] constanter pugnabant in forti prælio.
Illi vero sane inter primos pugnam acrem ciebant,
Cottusque Briareusque Gyasque insatiabilis belli.
Hi igitur trecentas petras robustis e manibus
mittebant frequentes, obumbrarunt autem jaculis
Titanas, atque hos quidem sub terram late-patentem
miserunt et vinculis molestis alligarunt,
cum-vicissent manibus superbi licet essent,
tantum infra sub terram, quantum cœlum distat a terra :
par enim *spatium* a terra ad Tartarum caliginosum.
Novem enim noctesque et dies ærea incus
cœlitus delabens decimo *die* ad terram perveniret :
novem vero rursus noctesque et dies ærea incus
ex terra descendens decimo *die* ad Tartarum perveniret.
Quem circa æreum septum ductum-est : circum vero ipsum
nox] tripliciter fusa-est circa collum : sed superne
terræ radices sunt et infructuosi maris :
illic Dii Titanes sub caligine tenebrosa
absconditi-sunt consiliis Jovis nubicogi.
[loco in putrido, *ubi* vastæ ultima *loca sunt* terræ.]
His non exeundum est, portas enim imposuit Neptunus
æreas, murusque circuit utrimque.
Illic Gyas Cottusque et Briareus magnanimus
habitant, custodes fidi Jovis ægida-tenentis.

Ibi vero terræ tenebricosæ et Tartari caliginosi
pontique infructuosi et cœli stelligeri
ex-ordine omnium fontes et fines sunt,
molesti, squalidi, quos oderunt Dii quidem,
hiatus ingens, nec *quisquam* toto integro anno
solum attingeret, ubi primum portas intra venisset.

Ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλη
[ἀργαλέη· δεινὸν δὲ καὶ ἀθανάτοισι θεοῖσι
τοῦτο τέρας· καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
ἕστηκεν νεφέλης κεκαλυμμένα κυανέῃσι.]
Τῶν πρόσθ' Ἰαπετοῖο πάϊς ἔχει οὐρανὸν εὐρὺν
ἑστηὼς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν,
ἀστεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρη ἆσσον ἰοῦσαι
ἀλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν,
χάλκεον, ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε
ἔρχεται, οὐδέ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει,
ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα
μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔστ' ἂν ἵκηται,
[ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα,
ἡ δ' Ὕπνον μετὰ χερσὶ, κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοὴ, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.]
Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν
οὐρανὸν εἰσανιὼν οὐδ' οὐρανόθεν καταβαίνων.
Τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι,
τοῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲς ἐν στήθεσσιν· ἔχει δ' ὃν πρῶτα λάβῃσιν
ἀνθρώπων· ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες,
ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης,
ἑστᾶσιν, δεινὸς δὲ κύων προπάροιθε φυλάσσει,
νηλειὴς, τέχνην δὲ κακὴν ἔχει· ἐς μὲν ἰόντας
σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν,
ἐξελθεῖν δ' οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐσθίει ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα
[ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης.]
Ἔνθα δὲ ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι,
δεινὴ Στὺξ, θυγάτηρ ἀψοῤῥόου Ὠκεανοῖο
πρεσβυτάτη. Νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
μακρῇσιν πέτρῃσι κατηρεφέ'· ἀμφὶ δὲ πάντῃ
κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.
Παῦρα δὲ Θαύμαντος θυγάτηρ πόδας ὠκέα Ἶρις
ἀγγελίης πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης,
ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται,
καί ῥ' ὅστις ψεύδηται Ὀλύμπια δώματ' ἐχόντων·
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
τηλόθεν ἐν χρυσέῃ προχόῳ, πολυώνυμον ὕδωρ,
ψυχρὸν, ὅ τ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο,
ὑψηλῆς· πολλὸν δέ θ' ὑπὸ χθονὸς εὐρυοδείης
ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέρας· δεκάτη δ' ἐπὶ μοῖρα δέδασται.
Ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίνης ἀργυρέης εἰλιγμένος εἰς ἅλα πίπτει,
ἡ δὲ μί' ἐκ πέτρης προρέει μέγα πῆμα θεοῖσιν.
Ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
κεῖται νήϋτμος τετελεσμένον εἰς ἐνιαυτόν,

Sed sane huc et illuc ferret antea procella procellæ
[molesta : horrendum vero etiam immortalibus Diis
hoc monstrum : et noctis obscuræ domus horrenda
stat, nubibus obtecta nigris.]
Has ante *portas* Japeti filius sustinet cœlum latum
stans, capiteque et indefessis manibus,
firmiter, ubi Noxque et Dies prope euntes
sese-mutuo compellabant, alternis-subeuntes magnum limen
æreum : hæc quidem intus itura-est, illa vero foras
egreditur, neque unquam utrasque domus intus cohibet;
sed semper altera saltem extra domum (existens)
super terram versatur; altera rursum intra domum (existens)
exspectat sui tempus itineris, donec veniat.
[Hæc quidem terrestribus lumen multa-cernens habens,
illa vero Somnum in manibus, fratrem Mortis,
Nox noxia, nube tecta caliginosa.]
Ibi autem Noctis filii obscuræ domus habent,
Somnus et Mors, graves Dii : neque unquam eos
Sol lucidus intuetur radiis
cœlum scandens, nec cœlitus descendens.
Horum alter quidem terramque et lata dorsa maris
quietus percurrit et placidus hominibus;
alterius vero ferreum quidem cor, aheneum vero ei pectus
crudele in præcordiis : tenet autem quem primum arripuerit
hominum : hostis vero etiam immortalibus Diis.
Illic dei inferi in-anteriore-parte ædes resonantes,
fortisque Plutonis et terribilis Proserpinæ,
stant : horrendus autem canis foris custodit,
sævus, artemque malam habet : introeuntibus quidem
adulatur pariter caudaque et auribus ambabus ;
exire vero non iterum permittit retro, sed observans
devorat, quemcunque prenderit extra portas euntem
[fortisque Plutonis et terribilis Proserpinæ.]
Ibidem vero habitat abominanda dea immortalibus,
horrenda Styx, filia reciprocantis Oceani
maxima-natu. Seorsum vero a diis inclytas ædes incolit
ingentibus saxis supertectas : circum autem quaque
columnis argenteis ad cœlum firmatæ-sunt.
Raro vero Thaumantis filia, pedibus velox Iris,
nuntii *causa* versatur super lata dorsa maris,
quando lis et contentio inter Deos exorta-fuerit,
et sane quisquis mentiatur cœlestes domos tenentium :
Jupiter vero Irim misit Deorum magnum jusjurandum ut-fe
rat] e-longinquo in aureo vase, multum-celebratam aquam.
frigidam, quæ e petra destillat excelsa,
alta : multum vero etiam subtus terram spatiosam
e sacro flumine fluit per noctem nigram
Oceani cornu : decima vero pars secreta-est.
Novem quidem circa terramque et lata dorsa maris
vorticibus argenteis volvens in mare cadit;
illa vero una e saxo profluit, magnum damnum Diis.
Quisquis perjurium libans juraverit
immortalium, qui tenent verticem nivosi Olympi,
jacet spiritus-expers integrum per annum,

οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
βρώσιος, ἀλλά τε κεῖται ἀνάπνευστος καὶ ἄναυδος
στρωτοῖς ἐν λεχέεσσι, κακὸν δ' ἐπὶ κῶμα καλύπτει.
Αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτὸν,
ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτερος ἆθλος.
Εἰνάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων,
οὐδέ ποτ' ἐς βουλὴν ἐπιμίσγεται οὐδ' ἐπὶ δαῖτας
ἐννέα πάντ' ἔτεα· δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
εἴραις ἀθανάτων οἳ Ὀλύμπια δώματ' ἔχουσι.
Τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ Στυγὸς ἄφθιτον ὕδωρ,
ὠγύγιον, τό θ' ἵησι καταστυφέλου διὰ χώρου.
[Ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ', εὐρώεντα, τάτε στυγέουσι θεοί περ.
Ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ χάλκεος οὐδὸς,
ἀστεμφὴς, ῥίζῃσι διηνεκέεσσιν ἀρηρὼς,
αὐτοφυής· πρόσθεν δὲ θεῶν ἔκτοσθεν ἁπάντων
Τιτῆνες ναίουσι, πέρην Χάεος ζοφεροῖο.
Αὐτὰρ ἐρισμαράγοιο Διὸς κλειτοὶ ἐπίκουροι
δώματα ναιετάουσιν ἐπ' Ὠκεανοῖο θεμέθλοις,
Κόττος τ' ἠδὲ Γύης· Βριάρεών γε μὲν ἠῢν ἐόντα
γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος Ἐννοσίγαιος,
δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν, θυγατέρα ἥν.]

Αὐτὰρ ἐπεὶ Τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε Ζεὺς,
ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη
Ταρτάρου ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην.
Οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύϊ ἔργματ' ἔχουσαι,
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος,
γλώσσῃσι δνοφερῇσι λελειχμότες, ἐν δέ οἱ ὄσσων
θεσπεσίῃς κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε·
[πασέων δ' ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο,]
φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσι
παντοίην ὄπ' ἰεῖσαι, ἀθέσφατον. Ἄλλοτε μὲν γὰρ
φθέγγονθ' ὥστε θεοῖσι συνιέμεν, ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω, μένος ἀσχέτου, ὄσσαν ἀγαύρου,
ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος,
ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα, θαύματ' ἀκοῦσαι,
ἄλλοτε δ' αὖ ῥοίζεσχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
Καί νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ,
καί κεν ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον, ἀμφὶ δὲ γαῖα
σμερδαλέον κονάβησε καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
πόντος τ' Ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης.
Ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' Ὄλυμπος
ὀρνυμένοιο ἄνακτος· ὑπεστενάχιζε δὲ γαῖα.
Καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον
βροντῆς τε στεροπῆς τε, πυρός τ' ἀπὸ τοῖο πελώρου,
[πρηστήρων τ' ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.]
ἔζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα·
θῦε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφί τε κύματα μακρὰ

neque unquam ambrosiæ et nectaris accedit propius
cibum, sed jacet non-respirans et mutus
stratis in lectis, malus autem sopor *eum* obtegit.
Sed postquam morbo defunctus-est magnum per annum,
alia ex alia excipit molestior ærumna.
Novennio autem a Diis separatur æternis
neque unquam ad concilium miscetur neque ad epulas
novem totis annis: decimo vero miscetur iterum
cœtibus immortalium, qui cœlestes domos incolunt.
Tale itaque jusjurandum constituerunt Dii Stygis perennem
aquam,] priscam, quæ fluit valde-asperum per locum.
Ibi autem terræ caliginosæ et Tartari obscuri
pontique infructuosi et cœli stellati,
ex-ordine omnium fontes et fines sunt,
molesti, squalidi, quos oderunt Dii ipsi.
Illic autem splendidæque portæ et æreum limen
immotum, radicibus longis compactum,
sua-sponte-natum: ante-illud vero deos extra omnes
Titanes habitant, ultra Chaos caliginosum.
Ceterum valde-crepantis Jovis inclyti auxiliarii
domus incolunt in Oceani fundamentis,
Cottusque atque Gyas. Briareum quippe fortem (existentem)
generum suum fecit graviter-fremens Neptunus;
dedit autem Cymopoliam in-matrimonium-ducendam, filiam [suam.

Ast ubi Titanes e Cœlo expulerat Jupiter,
minimum-natu peperit filium Typhoëum Terra ingens
Tartari in concubitu per auream Venerem.
Cujus manus quidem sunt ob robur laboribus aptæ
et pedes indefessi robusti Dei: ex humeris vero ei
erant centum capita serpentis, horrendi draconis,
linguis nigris lambentia; hujus autem in oculorum
admirandis capitibus sub superciliis ignis micabat:
[omnibus autem ex capitibus ignis flagrabat cernentis,]
voces autem in omnibus erant horrendis capitibus,
omnigenum sonitum emittentes, ineffabilem. Interdum enim
quidem] sonabant, ut Diis intelligendum-esset, interdum vero
etiam] tauri valde-mugientis, robore indomiti, vocem ferocis,
interdum vero etiam leonis sævum animum habentis,
interdum vero etiam catulis similia, mira auditu,
interdum vero stridebat, resonabant autem montes alti.
Et sane evenisset res inevitabilis die illo,
et hic mortalibus et immortalibus imperasset,
nisi sane bene intellexisset pater hominumque Deorumque.
Graviter autem intonuit atque fortiter, circum vero terra
horrende edidit-fragorem et cœlum latum superne,
pontusque Oceanique fluctus et tartara terræ.
Pedibus vero sub immortalibus magnus contremuit Olympus,
insurgente rege: ingemiscebat autem tellus.
Ardor vero ab utroque occupabat cæruleum pontum
tonitruque fulgurisque, ignisque ab illo monstro,
[flammisque ventisque fulmineque ardenti:]
fervebat autem terra omnis et cœlum atque mare:
furebant vero sane circum littora undique fluctus magni

ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει·
τρέσσ' Ἀΐδης, ἐνέροισι καταφθιμένοισιν ἀνάσσων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶς ἐόντες,
[ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηϊοτῆτος.]
Ζεὺς δ', ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα,
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνὸν,
πλῆξεν ἀπ' Οὐλύμποιο ἐπάλμενος· ἀμφὶ δὲ πάσας
ἔπρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
Αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
ἤριπε γυιωθεὶς, στενάχιζε δὲ γαῖα πελώρη·
φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος
οὔρεος ἐν βήσσῃσιν ἀϊδνῆς, παιπαλοέσσης,
πληγέντος· πολλὴ δὲ πελώρη καίετο γαῖα
ἀτμῇ θεσπεσίῃ καὶ ἐτήκετο κασσίτερος ὣς,
τέχνῃ ὑπ' αἰζηῶν, ὑπό τ' εὐτρήτου χοάνοιο
θαλφθεὶς, ἠὲ σίδηρος, ὅπερ κρατερώτατός ἐστιν,
[οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ ὑφ' Ἡφαίστου παλάμῃσιν.]
ὣς ἄρα τήκετο γαῖα σέλᾳ πυρὸς αἰθομένοιο.
Ῥῖψε δέ μιν θυμῷ ἀκαχὼν ἐς Τάρταρον εὐρύν.
Ἐκ δὲ Τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
νόσφι Νότου Βορέω τε, καὶ Ἀργέστεω Ζεφύρου τε
οἵ γε μὲν ἐκ θεόφιν γενεὴ, θνητοῖς μέγ' ὄνειαρ.
Αἱ δ' ἄλλαι μὰψ αὖραι ἐπιπνείουσι θάλασσαν.
Αἱ δ' ἤτοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι, κακῇ θύουσιν ἀέλλῃ·
ἄλλοτε δ' ἄλλαι ἄεισι, διασκιδνᾶσί τε νῆας,
ναύτας τε φθείρουσι· κακοῦ δ' οὐ γίγνεται ἀλκὴ
ἀνδράσιν, οἳ κείνῃσι συνάντωνται κατὰ πόντον·
αἱ δ' αὖ καὶ κατὰ γαῖαν ἀπείριτον, ἀνθεμόεσσαν,
ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων,
πιμπλεῦσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.

Αὐτὰρ ἐπεί ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδὲ ἀνάσσειν
Γαίης φραδμοσύνῃσιν Ὀλύμπιον εὐρύοπα Ζῆν'
ἀθανάτων· ὁ δὲ τοῖσιν ἐῢ διεδάσσατο τιμάς·
Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν,
πλεῖστα θεῶν εἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
Ἀλλ' ὅτε δὴ ῥ' ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεσθαι, τότ' ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
αἱμυλίοισι λόγοισιν ἑὴν ἐγκάτθετο νηδὺν
Γαίης φραδμοσύνῃσι καὶ Οὐρανοῦ ἀστερόεντος.
Τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
ἄλλος ἔχῃ Διὸς ἀντὶ θεῶν αἰειγενετάων.
Ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι·
πρώτην μὲν κούρην γλαυκώπιδα Τριτογένειαν
ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν·
αὐτὰρ ἔπειτ' ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα·
ἀλλ' ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐγκάτθετο νηδὺν,
ὥς οἱ συμφράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.
Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,

ab impetu Deorum, concussioque non-sedanda oriebatur :
expavit Pluto, inferis mortuis imperans,
Titanesque sub-tartarum circa Saturnum (exsistentes),
[*ob* inexstinguibilem fremitum et gravem conflictum.]
Jupiter vero postquam jam incitavit suum robur sumpsitque
arma,] tonitruque fulgurque et coruscans fulmen,
percussit ab Olympo insiliens : circum vero omnia
combussit ingentia capita sævi monstri.
Ast ubi jam hoc vicit ictibus percutiens,
id cecidit mutilatum, ingemiscebat autem terra vasta :
flamma vero fulminato prosiliebat a-rege
montis in saltibus opacis, asperis,
percusso : multaque vasta ardebat terra
vapore ingenti et liquescebat velut stannum
per artem juvenum, inque bene-forato catino
calefactum, vel ferrum, quod solidissimum est,
[montis in saltibus victum igne flammeo,
liquescit in terra divina, sub Vulcani manibus.]
Sic igitur liquescebat terra jubare ignis ardentis.
Abjecit autem illum animo mœstus in Tartarum vastum.
Ex Typhoëo autem est ventorum vis humide flantium,
excepto Noto Boreaque, et Argeste Zephyroque.
Qui quidem ex Diis *sunt natum* genus, hominibus magna
utilitas.] Alii vero sine-usu venti inspirant mare.
Hi sane incidentes in obscurum pontum,
clades magna hominibus, gravi sæviunt turbine;
alibi autem alii flant, dissipantque naves,
nautasque perdunt : mali autem non est remedium
viris, qui illis occurrerint in ponto :
illi rursum etiam per terram immensam, floridam,
opera jucunda corrumpunt humi-prognatorum hominum,
replentes pulvereque et molesto tumultu.

Sed postquam sane laborem beati Dii perfecerunt,
cum-Titanibus autem honorum *causa* certarunt vi,
jam tum jubebant regnare atque imperare,
Terræ ex-consilio, Olympium late-cernentem Jovem
immortalibus. Hic vero ipsis bene distribuit honores.
Jupiter autem Deorum rex primam uxorem duxit Metidem,
plurimum ex-Diis edoctam atque mortalibus hominibus.
Sed cum jam esset Deam splendidis-oculis Minervam
paritura, tum jam dolose animo decepto
blandis sermonibus, in suam condidit alvum *Jupiter*,
Telluris consiliis et Cœli stellati.
Sic enim ei suaserunt, ne regium honorem
alius haberet Jovis loco Deorum sempiternorum.
Ex hac enim in-fatis-erat prudentes liberos nasci :
primam quidem virginem splendidis-oculis Tritonidem
par habentem patri robur et prudens consilium :
sed deinde sane filium Deorum regem et virorum
erat paritura, superbum animum habentem :
sed sane illam Jupiter ante in suum condidit ventrem,
ut sibi indicaret Dea bonumque malumque.
Postea duxit splendidam Themidem, quæ peperit Horas,

Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν,
αἵτ' ἔργ' ὠρεύουσι καταθνητοῖσι βροτοῖσι·
Μοίρας θ', ἧς πλείστην τιμὴν πόρε μητίετα Ζεύς,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε διδοῦσι
θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.
Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρῄους,
Ὠκεανοῦ κούρη, πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ' ἐρατεινήν·
τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων
λυσιμελής· καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.
Αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν,
ἣ τέκε Περσεφόνην λευκώλενον, ἣν Ἀϊδωνεὺς
ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς.
Μνημοσύνης δ' ἐξαῦτις ἐράσσατο καλλικόμοιο,
ἐξ ἧς οἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
ἐννέα, τῇσι ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἱμερόεντα γόνον περὶ πάντων Οὐρανιώνων,
γείνατ' ἄρ' αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν.
Ἡ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτε
μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆϊ καὶ ἀνδρῶν·
αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα Τριτογένειαν,
δεινὴν, ἐγρεκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
πότνιαν, ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.
Ἥρη δ' Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα
γείνατο, καὶ ζαμένησε καὶ ἤρισεν ᾧ παρακοίτῃ,
ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.
Ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας, ὅστε θαλάσσης
πυθμέν' ἔχων παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
ναίει χρύσεα δῶ, δεινὸς θεός. Αὐτὰρ Ἄρηϊ
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτε
δεινοὺς, οἵτ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας
ἐν πολέμῳ κρυόεντι σὺν Ἄρηϊ πτολιπόρθῳ,
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.
Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν,
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν
μιχθεῖσ' ἐν φιλότητι Διώνυσον πολυγηθέα,
ἀθάνατον θνητή· νῦν δ' ἀμφότεροι θεοί εἰσιν.
Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην Ἡρακληείην
μιχθεῖσ' ἐν φιλότητι Διὸς νεφεληγερέταο.
Ἀγλαΐην δ' Ἥφαιστος, ἀγακλυτὸς ἀμφιγυήεις,
ὁπλοτάτην Χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.
Χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,
κούρην Μίνωος, θαλερὴν ποιήσατ' ἄκοιτιν.
Τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε Κρονίων.
Ἥβην δ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς,
ἲς Ἡρακλῆος, τελέσας στονόεντας ἀέθλους,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου,
αἰδοίην θέτ' ἄκοιτιν ἐν Οὐλύμπῳ νιφόεντι,
ὄλβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας
ἱει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.

Eunomiamque Dicenque et Irenen florentem,
quæ opera curant mortalium hominum;
Parcasque, quibus maximum honorem dedit prudens Jupiter,
Clothoque Lachesinque et Atropon, quæ dant
mortalibus hominibus habendum bonumque malumque.
Tres vero ei Eurynome Gratias peperit pulcris-genis,
Oceani filia, peroptabilem formam habens
Aglajamque et Euphrosynen Thaliamque amabilem:
harum etiam e palpebris amor destillabat spectantium
solvens-membra: jucundum vero sub superciliis spectant.
Ceterum hic Cereris multorum-altricis ad lectum venit,
quæ peperit Proserpinam candidis-ulnis, quam Pluto
rapuit sua a matre; dedit autem sapiens Jupiter.
Mnemosynen vero deinceps amavit pulchricomam,
ex qua ipsi Musæ aureis-diadematis natæ-sunt
novem, quibus placent convivia, et oblectatio cantus.
Latona autem Apollinem et Dianam sagittis-gaudentem,
suavissimam prolem præ omnibus Cœlitibus,
peperit sane, ægida-tenenti Jovi concubitu mista.
Postremam vero Junonem floridam duxit uxorem.
Hæc autem Heben et Martem et Lucinam peperit,
mista in concubitu Deorum regi et hominum;
ipse vero ex capite splendidis-oculis Tritonidem,
acrem, tumultus-excitantem, ducem-exercitus, indomitam,
venerandam, cui clamoresque placuerunt bellaque pugnæ-
que.] Juno autem Vulcanum inclytum, concubitu non mis-
ta,] peperit, (ac succensuit et contendit *cum* suo marito,)
præ omnibus artibus ornatum Cœlitibus.
Ex Amphitrite autem et valde-resonante Neptuno
Trito late-potens natus-est magnus, qui maris
fundum tenens apud matrem caram et patrem regem
incolit aureas ædes, sævus Deus. Sed Marti
clypeos-dissecanti Cytherea Terrorem et Pavorem peperit
sævos, qui virorum densas turbant phalanges
in bello horrido cum Marte urbes-devastanti,
Harmoniamque, quam Cadmus magnanimus duxit uxorem.
Jovi vero Atlantis Maja peperit gloriosum Mercurium,
præconem Deorum, sacrum lectum conscendens.
Cadmea vero ei Semele peperit clarum filium,
mixta in concubitu, Bacchum multum-hilarantem
immortalem mortalis: nunc vero ambo Dii sunt.
Alcmene vero peperit vim Herculeam,
mixta in concubitu Jovi nubes-cogenti.
Aglajam vero Vulcanus, percelebris utrimque-claudus,
minimam-natu Gratiarum floridam duxit uxorem.
Aureo-crine autem Bacchus flavam Ariadnen,
filiam Minois, floridam fecit conjugem.
Hanc vero ei immortalem expertemque-senii fecit Saturnius.
Heben autem Alcmenæ pulcris-talis fortis filius,
vis Herculis, peractis luctuosis certaminibus,
filiam Jovis magni et Junonis aureis-calceamentis,
pudicam duxit uxorem in Olympo nivoso:
felix, qui magno facinore inter Deos confecto,
habitat illæsus et expers-senii omnibus diebus.

Ἠελίῳ δ' ἀκάμαντι τέκε κλυτὸς Ὠκεανίνη
Περσηῒς Κίρκην τε καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ' υἱὸς φαεσιμβρότου Ἠελίοιο
κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο
γῆμε θεῶν βουλῆσιν Ἰδυῖαν καλλιπάρῃον.
Ἡ δέ νύ οἱ Μήδειαν ἐΰσφυρον ἐν φιλότητι
γείναθ' ὑποδμηθεῖσα διὰ χρυσέην Ἀφροδίτην.
Ὑμεῖς μὲν νῦν χαίρετ' Ὀλύμπια δώματ' ἔχοντες,
[νῆσοί τ' ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος.]
Νῦν δὲ θεάων φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
ὅσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰασίῳ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι
νειῷ ἔνι τριπόλῳ Κρήτης ἐν πίονι δήμῳ,
ἐσθλὸν, ὃς εἶσ' ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
πᾶσιν· τῷ δὲ τυχόντι καὶ οὗ κ' ἐς χεῖρας ἵκηται
τὸν δ' ἀφνειὸν ἔθηκε, πολύν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' Ἁρμονίη, θυγάτηρ χρυσέης Ἀφροδίτης,
Ἰνὼ καὶ Σεμέλην καὶ Ἀγαυὴν καλλιπάρῃον,
Αὐτονόην θ', ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης,
γείνατο καὶ Πολύδωρον ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
[Κούρη δ' Ὠκεανοῦ, Χρυσάορι καρτεροθύμῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης,
Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,
Γηρυονῆ, τὸν κτεῖνε βίη Ἡρακληείη
βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιῤῥύτῳ εἰν Ἐρυθείῃ.]
Τιθωνῷ δ' Ἠὼς τέκε Μέμνονα χαλκοκορυστὴν,
Αἰθιόπων βασιλῆα, καὶ Ἠμαθίωνα ἄνακτα.
Αὐτάρ τοι Κεφάλῳ φιτύσατο φαίδιμον υἱὸν,
ἴφθιμον Φαέθοντα, θεοῖς ἐπιείκελον ἄνδρα.
Τόν ῥα νέον τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης
παῖδ' ἀταλὰ φρονέοντα φιλομμειδὴς Ἀφροδίτη
ὦρτ' ἀνερειψαμένη, καί μιν ζαθέοις ἐνὶ νηοῖς
νηοπόλον νύχιον ποιήσατο, δαίμονα δῖον.

Κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης βουλῆσι θεῶν αἰειγενετάων
ἦγε παρ' Αἰήτεω, τελέσας στονόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
ὑβριστὴς Πελίης καὶ ἀτάσθαλος, ὀμβριμοεργός.
Τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο, πολλὰ μογήσας,
ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.
Καί ῥ' ἥγε δμηθεῖσ' ὑπ' Ἰήσονι ποιμένι λαῶν
Μήδειον τέκε παῖδα, τὸν οὔρεσιν ἔτρεφε Χείρων
Φιλυρίδης· μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.

Αὐτὰρ Νηρῆος κοῦραι, ἁλίοιο γέροντος,
ἤτοι μὲν Φῶκον Ψαμάθη τέκε δῖα θεάων
Αἰακοῦ ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην,
Πηλέϊ δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα
γείνατ' Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα.

Soli autem indefesso peperit inclyta Oceanis
Perseis Circenque et Æetem regem.
Æetes autem filius mortales-illuminantis Solis
filiam Oceani, extremi fluvii,
duxit Deorum ex-consiliis, Idyiam pulcris-genis.
Hæc autem ei Medeam pulcris-talis in concubitu
peperit subacta per auream Venerem.
Vos quidem nunc valete, Olympias domos tenentes,
[insulæque continentesque-terræ et salsus intus pontus.]
Nunc autem Dearum genus cantate, blandiloquæ
Musæ Olympiades, filiæ Jovis ægida-tenentis,
quæcunque quidem mortales apud viros cubantes
immortales pepererunt Diis similes liberos.
Ceres quidem Plutum peperit, diva Dearum,
Jasio heroi mista jucundo amore
novali in ter-proscisso, Cretæ in pingui tractu,
egregium, qui vadit super terramque et lata dorsa maris
omnibus (*ut prosit*) : occurrenti vero et cujus ad manus venerit,] illum locupletem reddidit, multasque ei præbuit fortunas.]
Cadmo autem Harmonia, filia aureæ Veneris,
Ino et Semelen et Agaven pulcris-genis,
Autonoënque, quam duxit Aristæus densa-cæsarie,
peperit et Polydorum pulchre-cinctis (in) Thebis.
[Filia vero Oceani, Chrysaori magnanimo
mixta in concubitu aureæ Veneris,
Calliroë, peperit filium mortalium robustissimum omnium,
Geryonem, quem interfecit vis Herculea
boves propter flexipedes circumflua in Erythea.]
Tithono vero Aurora peperit Memnona ære-armatum,
Æthiopum regem, et Hemathionem regem.
Verum Cephalo sevit inclytum filium,
fortem Phaëthontem, Diis similem virum :
Hunc sane juvenem, tenerum florem habentem gloriosæ pubertatis,] puerum juvenilia cogitantem amans-risum Venus
aufugit quum-abripuisset, et ipsum sacris in templis
templi-custodem nocturnum fecit, dæmonem divinum.

Filiam vero Æëtæ a Jove-nutriti regis
Æsonides, voluntate Deorum æternorum
abduxit ab Æëta, peractis luctuosis certaminibus,
quæ multa imperabat magnus rex superbus,
injurius Pelias et impius, fortium-facinorum-patrator.
His peractis ad Jolcum rediit, multa perpessus,
veloci in nave vehens pætis-oculis puellam,
Æsonides, et ipsam floridam fecit uxorem.
Et hæc quidem subacta ab Jasone, pastore populorum,
Medeum peperit filium, quem in-montibus educabat Chiron
Philyrides : magni vero Jovis voluntas perficiebatur.

At Nerei filiæ, marini senis,
nimirum Phocum quidem Psamathe peperit, diva Dearum,
Æaci in amore per auream Venerem,
Peleo autem subacta Dea Thetis argenteis-pedibus
peperit Achillem prosternentem-viros, animo-leonino.

Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐϋστέφανος Κυθέρεια
Ἀγχίσῃ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ὑληέσσης.
Κίρκη δ', Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε,
Τηλέγονόν τε ἔτικτε διὰ χρυσέην Ἀφροδίτην.
Οἱ δ' ἤτοι μάλα τῆλε μυχῷ νήσων ἱεράων
πᾶσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσι ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆϊ Καλυψὼ δῖα θεάων
γείνατο Ναυσίνοόν τε μιγεῖσ' ἐρατῇ φιλότητι.
[Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.]

Æneam vero peperit pulchre-coronata Cytherea
Anchisæ heroï mixta jucundo concubitu,
Idæ in verticibus multicavæ, silvosæ.
Circe vero, Solis filia, Hyperionis,
peperit Ulixis ærumnosi in amore
Agrium atque Latinum inculpatumque fortemque,
Telegonumque peperit per auream Venerem.
Hi vero sane valde procul in-recessu insularum sacrarum
omnibus Tyrrhenis valde-inclytis imperabant.
Nausithoum vero Ulixi Calypso, diva Dearum,
peperit Nausinoumque, mista amabili concubitu
[Hæ quidem, mortales apud viros cubantes,
immortales pepererunt Diis pares liberos.
Nunc vero feminarum genus cantate, suaviloquæ
Musæ Olympiades, filiæ Jovis ægida-tenentis.]

ΑΣΠΙΣ ΗΡΑΚΛΕΟΥΣ.

Ἠ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν
ἤλυθεν ἐς Θήβας μετ' ἀρήϊον Ἀμφιτρύωνα
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος.
Ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων
εἴδεΐ τε μεγέθει τε· νόον γε μὲν οὔτις ἔριζε
τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
Τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἄπο κυανεάων
τοῖον ἄηθ' οἷόν τε πολυχρύσου Ἀφροδίτης.
Ἡ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,
ὡς οὔπω τις ἔτισε γυναικῶν θηλυτεράων·
ἦ μήν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανεν ἶφι δαμάσσας,
χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅγε πατρίδα γαῖαν
ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους.
Ἔνθ' ὅγε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
νόσφιν ἄτερ φιλότητος ἐφιμέρου, οὐδέ οἱ ἦεν
πρὶν λεχέων ἐπιβῆναι ἐϋσφύρου Ἠλεκτρυώνης,
πρίν γε φόνον τίσαιτο κασιγνήτων μεγαθύμων
ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.
Ὣς γάρ οἱ διέκειτο, θεοὶ δ' ἐπιμάρτυροι ἦσαν·
τῶν ὅγ' ὀπίζετο μῆνιν, ἐπείγετο δ' ὅ ττι τάχιστα
ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν.
Τῷ δ' ἅμα ἱέμενοι πολέμοιό τε φυλόπιδός τε
Βοιωτοὶ πλήξιπποι, ὑπὲρ σακέων πνείοντες,
Λοκροί τ' ἀγχέμαχοι καὶ Φωκῆες μεγάθυμοι
ἕσποντ'· ἦρχε δὲ τοῖσιν ἐῢς παῖς Ἀλκαίοιο,
κυδιόων λαοῖσι. Πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσίν, ὄφρα θεοῖσιν
ἀνδράσι τ' ἀλφηστῇσιν ἀρῆς ἀλκτῆρα φυτεύσαι.
Ὦρτο δ' ἀπ' Οὐλύμποιο δόλον φρεσὶ βυσσοδομεύων,
ἱμείρων φιλότητος ἐϋζώνοιο γυναικὸς,
ἐννύχιος· τάχα δ' ἷξε Τυφαόνιον, τόθι δ' αὖτις
Φίκιον ἀκρότατον προσεβήσατο μητίετα Ζεύς.
Ἔνθα καθεζόμενος φρεσὶ μήδετο θέσκελα ἔργα·
αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου Ἠλεκτρυώνης
εὐνῇ καὶ φιλότητι μίγη, τέλεσεν δ' ἄρ' ἐέλδωρ,
αὐτῇ δ' Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως,
ἐκτελέσας μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε.
Οὐδ' ὅγ' ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας
ὦρτ' ἰέναι, πρίν γ' ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς·
τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.
Ὡς δ' ὅτ' ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγῃ κακότητα
νούσου ὕπ' ἀργαλέης ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ,
ὥς ῥα τότ' Ἀμφιτρύων χαλεπὸν πόνον ἐκτολυπεύσας
ἀσπασίως τε φίλως τε ἑὸν δόμον εἰσαφίκανε.
Παννύχιος δ' ἄρ' ἔλεκτο σὺν αἰδοίῃ παρακοίτι,
τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης.
Ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,
οὐκέθ' ὁμὰ φρονέοντε· κασιγνήτω γε μὲν ἤστην·

SCUTUM HERCULIS.

Aut qualis, relicta domo ac patria terra,
venit Thebas secuta martium Amphitryonem
Alcmena, filia populorum-incitatoris Electryonis
Ea sane mulierum genus superabat feminearum
Formaque proceritateque.: prudentia quidem nulla *cum ea*
certabat] earum, quas mortales mortalibus peperere concumbentes.] Ejus et a vertice palpebrisque a nigricantibus
tale *quiddam* spirabat, quale etiam *ab* aureæ Veneris.
Hæc vero etiam sic in animo suum colebat conjugem,
quomodo numquam ulla coluit mulierum feminearum :
quamquam *ille* ei patrem præstantem occiderat, vi domitum,
iratus propter boves : relicta autem idem patria terra
Thebas venit-supplicans scutatis Cadmeis.
Ibi is domum habitabat cum veneranda conjuge,
seorsim absque concubitu desiderabili; neque-enim ei licebat] ante lectum conscendere pulchris-talis Electryonidis
quam cædem ultus-esset fratrum magnanimorum
suæ conjugis validoque combussisset igne vicos
virorum heroum Taphiorum atque Teleboarum.
Ita enim ipsi constitutum-erat, dii vero testes erant :
eorum ille verebatur iram, festinabat autem quam celerrime
exsequi magnum opus, quod ei divinitus fas erat.
Hunc autem una, cupidi bellique prœliique,
Bœotii equorum-domitores, super clypeos (*robur*) spirantes,
Locrique cominus-pugnantes et Phocenses magnanimi
sequebantur : ducebat autem eos egregius filius Alcæi,
glorians populis. At pater hominumque Deorumque
aliud consilium texebat in animo, ut Diis
hominibusque inventoribus damni depulsorem generaret.
Profectus-est autem ab Olympo dolum mente intus-struens,
desiderans concubitum pulchre-cinctæ mulieris,
nocturnus : celeriter autem venit *in* Typhaonium, inde rursum] Phicium summum accessit prudens Jupiter.
Ubi sedens mente meditabatur divina opera :
nam eadem quidem nocte teneris-talis Electryonidi
lecto et concubitu mistus-est, perfecitque sane desiderium;
eadem autem Amphitryo populorum-incitator, splendidus heros,] perfecto magno opere, rediit suam domum.
Neque is ad famulos et pastores agrestes
festinabat ire anteaquam suæ conjugis conscendisset lectum.
Tale enim corde desiderium ceperat pastorem populorum.
Sicut autem quando vir voluptuose subterfugit malum
morbo ex gravi aut etiam validis ex vinculis;
ita sane tunc Amphitryo difficili labore exantlato,
voluptuose lubenterque suam domum reversus-est.
Tota-nocte vero concubuit cum veneranda uxore,
se-oblectans muneribus aureæ Veneris.
Illa autem a-Deo compressa et viro longe optimo,
Thebis septem-portis geminos peperit pueros,
non-amplius consentientes · fratres quamquam erant :

τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην·
τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι,
αὐτὰρ Ἰφικλῆ λαοσσόῳ Ἀμφιτρύωνι,
κεκριμένην γενεήν· τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα,
τὸν δὲ Διὶ Κρονίωνι, θεῶν σημάντορι πάντων.

Ὃς καὶ Κύκνον ἔπεφνεν Ἀρητιάδην μεγάθυμον.
Εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου Ἀπόλλωνος
αὐτὸν καὶ πατέρα ὃν, Ἄρην, ἇτον πολέμοιο,
τεύχεσι λαμπομένους σέλας ὣς πυρὸς αἰθομένοιο,
ἑσταότ' ἐν δίφρῳ· χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι,
νύσσοντες χηλῇσι, κόνις δέ σφ' ἀμφιδεδήει
κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων.
Ἅρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον,
ἵππων ἱεμένων· κεχάρητο δὲ Κύκνος ἀμύμων,
ἐλπόμενος Διὸς υἱὸν ἀρήϊον ἡνίοχόν τε
χαλκῷ δῃώσειν καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
Ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος Ἀπόλλων·
αὐτὸς γάρ οἱ ἐπῶρσε βίην Ἡρακληείην.
Πᾶν δ' ἄλσος καὶ βωμὸς Ἀπόλλωνος Παγασαίου
λάμπεν ὑπαὶ δεινοῖο θεοῦ τευχέων τε καὶ αὐτοῦ·
πῦρ δ' ὣς ὀφθαλμῶν ἀπελάμπετο. Τίς κεν ἐκείνῳ
ἔτλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι
πλὴν Ἡρακλῆος καὶ κυδαλίμου Ἰολάου;
κείνῳ γὰρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Ὅς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον·

Ἥρως ὦ Ἰόλαε, βροτῶν πολὺ φίλτατε πάντων,
ἦ τι μέγ' ἀθανάτους μάκαρας τοὶ Ὄλυμπον ἔχουσιν
ἤλιτεν Ἀμφιτρύων, ὅτ' ἐϋστέφανον ποτὶ Θήβην
ἦλθε λιπὼν Τίρυνθον, ἐϋκτίμενον πτολίεθρον,
κτείνας Ἠλεκτρύωνα βοῶν ἕνεκ' εὐρυμετώπων·
ἵκετο δ' ἐς Κρείοντα καὶ Ἡνιόχην τανύπεπλον,
οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον,
ἣ δίκη ἔσθ' ἱκέτῃσι, τίον δ' ἄρα κηρόθι μᾶλλον.
Ζῶε δ' ἀγαλλόμενος σὺν ἐϋσφύρῳ Ἠλεκτρυώνῃ,
ἧ ἀλόχῳ· τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
γεινόμεθ' οὔτε φυὴν ἐναλίγκιοι οὔτε νόημα,
σός τε πατὴρ καὶ ἐγώ. Τοῦ μὲν φρένας ἐξέλετο Ζεὺς,
ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέρους τε τοκῆας
ᾤχετο, τιμήσων ἀλιτήμενον Εὐρυσθῆα,
σχέτλιος· ἦπου πολλὰ μετεστοναχίζετ' ὀπίσσω
ἣν ἄτην ἀχέων· ἡ δ' οὐ παλινάγρετός ἐστιν.
Αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
Ὦ φίλος, ἀλλὰ σὺ θᾶσσον ἔχ' ἡνία φοινικόεντα
ἵππων ὠκυπόδων· μέγα δὲ φρεσὶ θάρσος ἀέξων
ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων,
μηδὲν ὑποδδείσας κτύπον Ἄρεος ἀνδροφόνοιο,
ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος
Φοίβου Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος·
ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄαται πολέμοιο.
Τὸν δ' αὖτε προσέειπεν ἀμώμητος Ἰόλαος.

alterum quidem deteriorem, alterum autem contra longe
præstantiorem virum,] Validum ac fortem, vim Herculeam:
hunc quidem compressa a-nubilo Saturnio,
contra Iphicleum *ab* hastarum-concussore Amphitryone,
diversam sobolem: hunc quidem mortali viro mixta,
illum autem Jovi Saturnio, Deorum imperatori omnium.

Is et Cycnum occidit, Martis-filium magnanimum.
Invenit enim in luco longe-jaculantis Apollinis
ipsum et patrem ejus, Martem, insatiabilem bello,
armis fulgentes, ceu jubar ignis ardentis,
stantes in curru: terram autem pulsabant veloces equi,
ferientes ungulis; pulvisque circa ipsos fervebat,
excitatus compacto sub curru et pedibus equorum.
Currus autem fabrefactus et rotæ circum-resonabant,
equis festinantibus: gaudebat vero Cycnus egregius,
sperans *se* Jovis filium bellicosum aurigamque
ferro interemturum-esse, et inclytis armis exuturum.
Sed ei vota non exaudivit Phœbus Apollo:
ipse enim illi concitavit vim Herculeam.
Totus vero lucus et ara Apollinis Pagasæi
collucebat (a) sævi Dei armisque et ipso;
ignis autem instar oculis effulgebat. Quis illi
sustinuisset mortalis (exsistens) obviam ferri,
præter Herculem et præclarum Iolaum?
illi enim magnaque vis et manus invictæ
ex humeris crescebant in robustis membris.
Is igitur tunc aurigam allocutus-est fortem Iolaum:

Heros, o Iolae, mortalium longe carissime omnium,
utique aliquid magnum in immortales beatos, qui Olympum
tenent,] deliquit Amphitrye, ubi bene-cinctas (ad) Thebas
abiit relicta Tirynthо, bene-condita urbe,
occiso Electryone boum causa latis-frontibus:
venitque ad Creontem et Heniochen longo-peplo,
qui eum comiter-exceperunt et grata omnia *ei* præbuerunt,
ut æquum est supplicibus, coluerunt autem ex-animo magis.
Vivebat vero exsultabundus cum formosa Electryonide,
sua conjuge: mox autem nos inverso anno
nati-sumus, neque statura similes, neque ingenio,
paterque tuus et ego. Ejus quidem mentem sustulit Jupiter,
qui relictis suaque domo suisque parentibus,
abiit honoraturus nefarium Eurystheum,
temerarius: certo multum ingemiscebat postea
suæ culpæ, lugens: ea vero non revocabilis est.
Sed mihi Deus difficiles imperavit labores.
O amice, sed tu cito arripe habenas purpureas
equorum celeripedum: magnamque *in* mente fiduciam augens] recta dirige velocem currum et celeripedum robur
equorum,] nihil veritus strepitum Martis homicidæ,
qui nunc crepitans furit-circum sacrum nemus
Phœbi Apollinis, longe-jaculantis Regis:
enimvero quamvis validus (exsistens) satiatur bello.
Hunc autem contra allocutus-est egregius Iolaus:

Ἠθεῖ᾽, ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε
τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος Ἐννοσίγαιος,
ὃς Θήβης κρήδεμνον ἔχει ῥύεταί τε πόληα·
οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε
σὰς εἰς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.
Ἀλλ᾽ ἄγε δύσεο τεύχε᾽ ἀρήϊα, ὄφρα τάχιστα
δίφρους ἐμπελάσαντες Ἄρηός θ᾽ ἡμέτερόν τε
μαρνώμεσθ᾽, ἐπεὶ οὔτοι ἀτάρβητον Διὸς υἱὸν
οὐδ᾽ Ἰφικλείδην δειδίξεται, ἀλλά μιν οἴω
φεύξεσθαι δύο παῖδας ἀμύμονος Ἀλκείδαο,
οἳ δή σφι σχεδὸν εἰσὶ, λιλαιόμενοι πολέμοιο
φυλόπιδα στήσειν, τά σφιν πολὺ φίλτερα θοίνης.
Ὣς φάτο· μείδησεν δὲ βίη Ἡρακληείη,
θυμῷ γηθήσας· μάλα γάρ νύ οἱ ἄρμενα εἶπεν·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἥρως ὦ Ἰόλαε, διοτρεφὲς, οὐκέτι τηλοῦ
ὑσμίνη τρηχεῖα· σὺ δ᾽ ὡς πάρος ἦσθα δαΐφρων,
ὣς καὶ νῦν μέγαν ἵππον Ἀρείονα κυανοχαίτην
πάντη ἀναστρωφᾶν, καὶ ἀρηγέμεν ὥς κε δύνηαι.
Ὣς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,
Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμησιν ἔθηκε,
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε,
καλὸν, χρύσειον, πολυδαίδαλον, ὅν οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη, κούρη Διὸς, ὁππότ᾽ ἔμελλε
τοπρῶτον στονόεντας ἐφορμήσασθαι ἀέθλους.
Θήκατο δ᾽ ἀμφ᾽ ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
δεινὸς ἀνήρ· κοίλην δὲ περὶ στήθεσσι φαρέτρην
καββάλετ᾽ ἐξόπιθεν· πολλοὶ δ᾽ ἔντοσθεν ὀϊστοὶ
ῥιγηλοὶ, θανάτοιο λαθιφθόγγοιο δοτῆρες.
Πρόσθεν μὲν θάνατόν τ᾽ εἶχον καὶ δάκρυσι μῦρον,
μέσσοι δὲ ξεστοὶ, περιμήκεες, αὐτὰρ ὄπισθεν
μόρφνοιο φλεγύαο καλυπτόμενοι πτερύγεσσιν.
Εἵλετο δ᾽ ὄμβριμον ἔγχος ἀκαχμένον αἴθοπι χαλκῷ·
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε,
δαιδαλέην, ἀδάμαντος, ἐπὶ κροτάφοις ἀραρυῖαν,
ἥτ᾽ εἴρυτο κάρη Ἡρακλῆος θείοιο.
Χερσί γε μὲν σάκος εἷλε παναίολον, οὐδέ τις αὐτὸ
οὔτ᾽ ἔῤῥηξε βαλὼν οὔτ᾽ ἔθλασε, θαῦμα ἰδέσθαι.
Πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ λευκῷ τ᾽ ἐλέφαντι
ἠλέκτρῳ θ᾽ ὑπολαμπὲς ἔην, χρυσῷ τε φαεινῷ
λαμπόμενον, κυάνου δὲ διὰ πτύχες ἠλήλαντο.
* Ἐν μέσσῳ δὲ δράκοντος ἔην φόβος οὔτι φατειὸς,
ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς·
τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων,
δεινῶν, ἀπλήτων, ἐπὶ δὲ βλοσυροῖο μετώπου
δεινὴ ἔρις πεπότητο κορύσσουσα κλόνον ἀνδρῶν,
σχετλίη, ἥ ῥα νόον τε καὶ ἐκ φρένας αἴνυτο φωτῶν,
οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν.
Τῶν καὶ ψυχαὶ μὲν χθόνα δύνουσ᾽ Ἄϊδος εἴσω
αὐτῶν, ὀστέα δέ σφι περὶ ῥινοῖο σαπείσης
Σειρίου ἀζαλέοιο κελαινῇ πύθεται αἴῃ.
Ἐν δὲ Προΐωξίς τε Παλίωξίς τε τέτυκτο,

* Ἐν μέσσῳ δ᾽ ἀδάμαντος ἔην Φόβος, οὔτι φατειός,

Carissime, certo valde pater hominumque Deorumque
honorat tuum caput et taurinus Neptunus,
qui Thebarum mœnia tenet tueturque civitatem:
sicut jam et hunc mortalem validumque magnumque
tuas in manus adducunt, ut gloriam eximiam auferas.
Sed age, indue arma Mavortia, ut celerrime
currus committentes, Martisque nostrumque,
decertemus, quoniam non-sane intrepidum Jovis filium
neque Iphiclidem perterrebit: sed ipsum puto
fugiturum duos filios inculpati Alcidæ,
qui jam ei prope sunt, cupientes belli
prælium conserere: quæ ipsis multo gratiora *sunt* epulis.
Sic ait: arrisit autem vis Herculea,
animo oblectatus: admodum enim ipsi grata dixerat:
et eum excipiens verbis volucribus allocutus-est:
Heros, o Iolae, Jovis-alumne, non-jam procul
pugna aspera. Tu vero quomodo antea fuisti bellicosus,
ita et nunc magnum equum Arionem nigris-jubis
quoquoversum converte, et auxiliare, quomodo poteris.
Sic locutus, ocreas orichalci splendidi,
Vulcani inclyta dona, circum tibias posuit;
deinde etiam thoracem pectori induit
pulchrum, aureum, valde-artificiosum, quem ipsi dederat
Pallas Minerva, filia Jovis, ubi erat
primum luctuosa aggressurus certamina.
Posuit autem circa humeros exitii depulsorem ferrum
fortis vir: cavam autem circa pectora pharetram
rejecit in-tergum: multæ vero intus *erant* sagittæ
horrendæ, mortis vocem-eripientis datrices.
Ab-anteriori-parte quidem mortem habebant et lacrimis madebant;] mediæ autem politæ *erant*, perlongæ, sed a-tergo
nigræ aquilæ contectæ pennis.
Corripuit autem validam hastam acutam corusco ære:
capiti vero in robusto galeam fabrefactam posuit,
artificiosam, ferream, ad tempora aptatam,
quæ muniebat caput Herculis divini.
Manibus quidem clypeum cepit undique-varium: nec quisquam eum] perrupisset jaciendo neque comminuisset, mirum visu.] Nam totus quidem circum gypso candidoque ebore
et electro lucidus erat, auroque fulgido
splendens; chalybis vero laminæ erant-ductæ.
*) In medio autem draconis erat terror haudquaquam effabilis,
retro oculis igne lucentibus spectans:
hujus etiam dentibus quidem repletum-erat os candide dispositis,] sævis, inaccessis; supra terribilem autem frontem
sæva contentio volitabat, parans pugnam virorum,
tetra, quæ sane mentemque et præcordia eximebat viris
quicumque bellum adversus Jovis filium gererent.
Horum et animæ quidem *sub* terram submerguntur ad-Orcum intro] ipsorum; ossa autem eorum, circum pelle putrefacta,] Sirio torrido, *in* nigra putrescunt terra.
In *eo* autem Propulsatioque Repulsioque factæ-erant;

* In medio autem e chalybe (*factus*) erat Timor, haudquaquam effabilis. [*Vid. præfat.*]

ἐν δ' Ὅμαδός τε Φόνος τ' Ἀνδροκτασίη τε δεδήει.
Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ Κὴρ
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν,
δεινὸν δερκομένη καναχῇσί τε βεβρυχυῖα.
Ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν, οὔτι φατειῶν,
δώδεκα, ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν·
τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης, τὰ δὲ δαίετο θαυματὰ ἔργα·
στίγματα δ' ὣς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι,
κυάνεοι κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.
Ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν ἠδὲ λεόντων
ἐς σφέας δερκομένων, κοτεόντων θ' ἱεμένων τε.
Τῶν καὶ ὁμιληδὸν στίχες ἤϊσαν· οὐδέ νυ τοίγε
οὐδέτεροι τρεέτην· φρῖσσόν γε μὲν αὐχένας ἄμφω.
Ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
δοιοί, ἀπουράμενοι ψυχάς, κατὰ δέ σφι κελαινὸν
αἷμ' ἀπελείβετ' ἔραζ'· οἱ δ', αὐχένας ἐξεριπόντες,
κείατο τεθνηῶτες ὑπὸ βλοσυροῖσι λέουσι·
Τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην, κοτέοντε μάχεσθαι,
ἀμφότεροι, χλοῦναί τε σύες χαροποί τε λέοντες.
Ἐν δ' ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων
Καινέα τ' ἀμφὶ ἄνακτα Δρύαντά τε Πειρίθοόν τε
Ὁπλέα τ' Ἐξάδιόν τε Φάληρόν τε Πρόλοχόν τε
Μόψον τ' Ἀμπυκίδην, Τιταρήσιον, ὄζον Ἄρηος,
Θησέα τ' Αἰγείδην, ἐπιείκελον ἀθανάτοισιν·
ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε' ἔχοντες.
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο
ἀμφὶ μέγαν Πετραῖον ἰδ' Ἄσβολον οἰωνιστὴν
Ἄρκτον τ' Οὔρειόν τε μελαγχαίτην τε Μίμαντα
καὶ δύο Πευκείδας, Περιμήδεά τε Δρύαλόν τε,
ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
Καί τε συναΐγδην ὡσεὶ ζωοί περ ἐόντες
ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠριγνῶντο.
Ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι
χρύσεοι, ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος οὔλιος Ἄρης
αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
αἵματι φοινικόεις, ὡσεὶ ζωοὺς ἐναρίζων,
δίφρῳ ἐπεμβεβαώς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
ἕστασαν ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
Ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
τῇ ἰκέλη ὡσεί τε μάχην ἐθέλουσα κορύσσειν,
ἔγχος ἔχουσ' ἐν χερσὶν ἰδὲ χρυσέην τρυφάλειαν,
αἰγίδα τ' ἀμφ' ὤμοις· ἐπὶ δ' ᾤχετο φύλοπιν αἰνήν.
Ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ' ἄρα μέσσῳ
ἱμερόεν κιθάριζε Διὸς καὶ Λητοῦς υἱὸς
χρυσείῃ φόρμιγγι· θεῶν δ' ἕδος ἁγνὸς Ὄλυμπος
[ἐν δ' ἀγορή, περὶ δ' ὄλβος ἀπείριτος ἐστεφάνωτο]
ἀθανάτων ἐν ἀγῶνι· θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομένῃς εἰκυῖαι.
Ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης
κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο,

in *eo* Tumultusque Nexque Homicidiumque ardebant.
In *eo* Contentio Turbaque furebant, in *eo* perniciosa Mors,
alium virum tenens recens-vulneratum, alium illæsum,
alium mortuum per pugnam trahebat pedibus.
Vestem autem habebat circum humeros cruentam sanguine
virorum,] sævum intuens clamoribusque vociferans.
In *eo* autem serpentum capita sævorum erant, haudquaquam
effabilium,]duodecim, quæ perterrefaciebant super terram genera hominum,] quicumque bellum contra Jovis filium gererent;]eorum et dentium quidem crepitus erat, quoties pugnabat] Amphitryoniades: hæc autem fulgurabant miranda opera:] punctorum vero instar apparebant conspicuæ sævis draconibus,] (*qui erant*) cærulei per terga, *quorum* vero nigricabant maxillæ.] In *eo* autem suum greges agrestium erant atque leonum] sese adspicientium, irascentiumque cupientiumque.] Quorum etiam turmatim ordines incedebant; neque sane hi] neutri tremebant; horrebant tamen colla utrique.] Jam enim ipsis jacebat magnus leo, circum autem apri
duo, spoliati anima, deorsumque iis niger
cruor destillabat in-terram: ipsi autem, cervicibus dejectis,
jacebant mortui sub terribilibus leonibus.
Hi vero etiam magis excitabantur, incensi ad-pugnandum,
utrique, agrestesque sues trucesque leones.
In *eo* autem erat pugna Lapitharum bellatorum
Cæneumque circa regem Dryantemque Pirithoumque
Hopleumque Exadiumque Phalerumque Prolochumque
Mopsumque Ampyciden, Titaresium, prolem Martis,
Theseumque Ægiden, similem immortalibus:
(*qui erant*) argentei, aurea circum corpus arma habentes.
Centauri autem ex-altera-parte adversi congregabantur
circum magnum Petræum atque Asbolum augurem
Arctumque Huriumque, nigrisque-pilis Mimantem
et duos Peucidas, Perimedeum Dryalumque,
argentei, aureas abietes in manibus habentes.
Atque simul-impetu-facto tanquam (exsistentes) vivi
lanceis atque abietibus cominus contendebant.
In *eo* autem Martis terribilis celeripedes stabant equi
aurei, in *eo* vero etiam ipse spoliator perniciosus Mars,
hastam in manibus habens, milites exhortans,
sanguine cruentus, quasi vivos spolians,
currui insistens: juxta autem Pavorque Terrorque
stabant cupientes bellum subire virorum.
In *eo* autem Jovis filia prædatrix Tritogenia,
ei similis quasique pugnam volens parare,
hastam habens in manibus atque auream galeam,
ægidemque circum humeros: ingrediebatur autem prælium
sævum.] In *eo* autem erat immortalium sacer chorus; in medio vero] dulce citharizabat Jovis et Latonæ filius
aurea lyra: Deorum autem sedes, sanctus Olympus
[in *eo* autem forum, circum vero opes immensæ fusæ-erant]
immortalium in certamine: Deæ autem incipiebant cantum
Musæ Pierides, acute canentibus similes.
In *eo* autem portus appulsu-facilis immensi maris
rotundus factus-erat purissimo *e* stanno,

κλυζομένῳ ἴκελος· πολλοί γε μὲν ἂμ μέσον αὐτοῦ
δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες,
νηχομένοις ἴκελοι· δοιοὶ δ' ἀναφυσιόωντες
ἀργύρεοι δελφῖνες ἐφοίτων ἔλλοπας ἰχθῦς.
Τῶν δ' ὕπο χάλκειοι τρέον ἰχθύες· αὐτὰρ ἐπ' ἀκταῖς
ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος· εἶχε δὲ χερσὶν
ἰχθύσιν ἀμφίβληστρον, ἀποῤῥίψοντι ἐοικώς.
Ἐν δ' ἦν ἠϋκόμου Δανάης τέκος, ἱππότα Περσεὺς,
οὔτ' ἄρ' ἐπιψαύων σάκεος ποσὶν οὔθ' ἑκὰς αὐτοῦ,
θαῦμα μέγα φράσσασθαι, ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
Τὼς γάρ μιν παλάμαις τεῦξε κλυτὸς Ἀμφιγυήεις
χρύσεον· ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα.
Ὤμοισιν δ' ὅ μὲν ἀμφὶ μελάνδετον ἆορ ἔκειτο
χάλκεον ἐκ τελαμῶνος· ὁ δ' ὥστε νόημ' ἐποτᾶτο.
Πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου,
Γοργοῦς· ἀμφὶ δέ μιν κίβισις θέε, θαῦμα ἰδέσθαι,
ἀργυρέη· θύσανοι δὲ κατηωρεῦντο φαεινοὶ
χρύσειοι· δεινὴ δὲ περὶ κροτάφοισιν ἄνακτος
κεῖτ' Ἄϊδος κυνέη νυκτὸς ζόφον αἰνὸν ἔχουσα.
Αὐτὸς δὲ σπεύδοντι καὶ ἐῤῥίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο. Ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐῤῥώοντο,
ἱέμεναι μαπέειν. Ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
βαινουσέων ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ
ὀξέα καὶ λιγέως· ἐπὶ δὲ ζώνῃσι δράκοντε
δοιὼ ἀπηωρεῦντ' ἐπικυρτώοντε κάρηνα.
Λίχμαζον δ' ἄρα τώγε· μένει δ' ἐχάρασσον ὀδόντας
ἄγρια δερκομένω. Ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείοις ἐδονεῖτο μέγας φόβος· οἱ δ' ὑπὲρ αὐτέων
ἄνδρες ἐμαρνάσθην πολεμήϊα τεύχε' ἔχοντες,
τοὶ μὲν ὑπὲρ σφετέρης πόλιος σφετέρων τε τοκήων
λοιγὸν ἀμύνοντες, τοὶ δὲ πραθέειν μεμαῶτες.
Πολλοὶ μὲν κέατο, πλέονες δ' ἔτι δῆριν ἔχοντες
μάρναντ'· αἱ δὲ γυναῖκες ἐϋδμήτων ἐπὶ πύργων,
χαλκέων, ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειὰς,
ζωῇσιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίστοιο.
Ἄνδρες δ', οἳ πρεσβῆες ἔσαν, γῆράς τ' ἐμέμαρπεν,
ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν, ἂν δὲ θεοῖσι
χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι
δειδιότες· τοὶ δ' αὖτε μάχην ἔχον· αἱ δὲ μετ' αὐτοὺς
Κῆρες κυάνεαι, λευκοὺς ἀραβεῦσαι ὀδόντας,
δεινωποὶ βλοσυροί τε, δαφοινοί τ' ἄπλητοί τε
δῆριν ἔχον περὶ πιπτόντων. Πᾶσαι δ' ἄρ' ἵεντο
αἷμα μέλαν πιέειν· ὃν δὲ πρῶτον μεμάποιεν
κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
βάλλ' ὄνυχας μεγάλους, ψυχὴ δ' Ἀϊδόσδε κατεῖεν
Τάρταρον ἐς κρυόενθ'. Αἱ δὲ φρένας εὖτ' ἀρέσαντο
αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπτασκον ὀπίσσω,
ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι.
Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν· ἡ μὲν ὑφήσσων
Ἄτροπος οὔτι πέλεν μαγάλη θεὸς, ἀλλ' ἄρα ἥγε
τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν πρεσβυτάτη τε.
Πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο.
Δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,

undanti similis : multi vero per medium ipsius
delphines hac et illac ferebantur piscantes,
natantibus similes : duo autem flando-excitantes
argentei delphines natabant mutos pisces.
Sub his vero æerei trepidabant pisces : at in ripis
sedebat vir piscator observans; habebat autem manibus
piscium rete, projecturo similis.
In *eo* autem erat pulcricomæ Danaës filius, eques Perseus,
neque sane contingens clypeum pedibus, neque procul ab eo,
miraculum magnum dictu, quoniam nusquam nitebatur.
Ita enim hunc manibus fecerat inclytus Vulcanus
aureum; circum autem pedes habebat alata talaria.
Et humeros quidem circum nigre-munitum ensem suspensum
habebat] æreum e loro : ipse autem velut cogitatio volabat.
Totum vero tergum *ejus* tenebat caput sævi monstri
Gorgonis : circum autem ipsum pera complectebatur, mirum
visu,] argentea, fimbriæque dependebant lucidæ
aureæ : terribilis autem circum tempora regis
posita-erat Orci galea, noctis caliginem gravem habens.
Ipse vero fugienti et formidanti similis
Perseus Danaides protendebatur. At post eum
Gorgones inaccessæ neque effabiles ruebant,
cupientes apprehendere. In pallido autem chalybe
euntium resonabat clypeus magno strepitu
acutum et tinnulum : in zonis autem dracones
duo dependebant incurvantes capita.
Lambebant vero illi, iraque acuebant dentes,
sævum tuentes. Supra sæva autem capita
Gorgonum agitabatur magnus terror : sed supra ipsos
viri pugnabant, bellica arma habentes,
hi quidem a sua civitate suisque parentibus
pestem depellentes, illi autem devastare studentes.
Multi quidem jacebant, plures autem sustinentes pugnam
dimicabant : mulieres autem bene-constructis in turribus,
æreis, acute clamabant, lacerabantque genas,
vivis similes, opera inclyti Vulcani.
Viri autem, qui seniores erant, et *quos* senectus arripuerat,
conferti extra portas erant, sursumque Diis
manus tendebant beatis, pro suis liberis
metuentes : illi vero contra pugnam sustinebant : at post ipsos
Fatales-Deæ nigræ candidis crepantes dentibus,
torvæ terribilesque, cruentæque inaccessæque
pugnam sustinebant de cadentibus. Omnes enim cupiebant
cruorem nigrum bibere : quem vero primum forte-ceperant
jacentem vel cadentem recens-saucium, ei quidem
injiciebat *una* ungues magnos : anima vero ad Orcum descendebat,] Tartarum in frigidum. Illæ autem animum quum
satiassent] sanguine humano, hunc *hominem* quidem abjiciebant post-tergum,] retro autem *in* tumultum et stragem
festinabant iterum euntes.] Clotho et Lachesis iis adstabant; debilior quidem] Atropos nequaquam erat, magna Dea :
sed sane hæc] aliis quidem præstantiorque erat maximaque-natu.] Omnes circa unum virum pugnam acerbam committebant :[1] truculente vero se-mutuo adspiciebant oculis

ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο.
Πὰρ δ' Ἀχλὺς εἱστήκει ἐπισμυγερή τε καὶ αἰνή,
χλωρὴ, αὐσταλέη, λιμῷ καταπεπτηυῖα,
γουνοπαγὴς, μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν.
Τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
αἷμ' ἀπελείβετ' ἔραζ'· ἡ δ' ἄπληστον σεσαρυῖα
εἱστήκει, πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,
δάκρυσι μυδαλέη. Παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν·
χρύσειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
ἑπτὰ πύλαι· τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
τέρψιν ἔχον· τοὶ μὲν γὰρ ἐϋσσώτρου ἐπ' ἀπήνης
ἦγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει·
τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
χερσὶν ἔνι δμωῶν. Ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
πρόσθ' ἔκιον· τοῖσιν δὲ χοροὶ παίζοντες ἕποντο.
Ταὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Οἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.
Ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ,
τοί γε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ,
τοί γε μὲν αὖ γελόωντες· ὑπ' αὐλητῆρι δ' ἕκαστος
πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε
ἀγλαΐαι τ' εἶχον. Τοὶ δ' αὖ προπάροιθε πόληος
νῶθ' ἵππων ἐπιβάντες ἐθύνεον. Οἱ δ' ἀροτῆρες
ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας
ἐστάλατ'. Αὐτὰρ ἔην βαθὺ λήϊον· οἵγε μὲν ἤμων
αἰχμῇς ὀξείῃσι κορυνιόεντα πέτηλα
βριθόμενα σταχύων, ὡσεὶ Δημήτερος ἀκτήν.
Οἱ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον καὶ ἔπιτνον ἀλωὴν,
οἱ δ' ἐτρύγων οἴνας δρεπάνας ἐν χερσὶν ἔχοντες,
οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων,
βριθομένων φύλλοισι καὶ ἀργυρέῃς ἐλίκεσσιν·
οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν. Παρὰ δέ σφισιν ὄρχος
χρύσεος ἦν, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο,
σειόμενος φύλλοισι καὶ ἀργυρέῃσι κάμαξι,
[τοί γε μὲν αὖ παίζοντες ὑπ' αὐλητῆρι ἕκαστος]
βριθόμενος σταφυλῇσι· μελάνθησάν γε μὲν αἵδε.
Οἵγε μὲν ἐτράπεον, τοὶ δ' ἤρυον· οἱ δ' ἐμάχοντο
πύξ τε καὶ ἑλκηδόν. Τοὶ δ' ὠκύποδας λαγὸς ᾖρευν
ἄνδρες θηρευταὶ, καὶ καρχαρόδοντε κύνε πρὸ,
ἱέμενοι μαπέειν, οἱ δ' ἱέμενοι ὑπαλύξαι·
πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἀέθλοις
δῆριν ἔχον καὶ μόχθον. Ἐϋπλεκέων δ' ἐπὶ δίφρων
ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους
ῥυτὰ χαλαίνοντες, τὰ δ' ἐπικροτέοντα πέτοντο
ἅρματα κολλήεντ', ἐπὶ δὲ πλῆμναι μέγ' ἀΰτευν.
Οἱ μὲν ἄρ' ἀΐδιον εἶχον πόνον, οὐδέ ποτέ σφιν
νίκη ἐπηνύσθη, ἀλλ' ἄκριτον εἶχον ἄεθλον.
Τοῖσι δὲ καὶ προὔκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,
χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.
Ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς·
πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον. Οἱ δὲ κατ' αὐτὸν

succensentes,] ungues vero manusque audaces conserebant.
Juxta autem Tristitia stabat fœdaque et misera,
pallida, arida, fame oppressa,
rigidis-genibus : longi vero ungues manibus insidebant.
Hujus quidem ex naribus mucus manabat, ex genis autem
cruor destillabat in-terram : hæc vero immense dentes-strin-
gens,] stabat, multus autem pulvis inspersus-erat humeris,
lacrymis madens. Juxta vero turrita urbs hominum :
aureæ autem eam tenebant superliminaribus adaptatæ
septem portæ : homines vero in voluptatibusque choreisque
oblectationem capiebant : nam alii quidem bene-rotali in
rheda] ducebant viro uxorem, multusque hymenæus excita-
batur :] procul autem ab ardentibus facibus fulgor resplende-
bat] in manibus famularum. Hæ vero venustate florentes
præibant : illos autem chori saltantes sequebantur.
Hæ quidem ad canoras fistulas emittebant cantum
ex teneris oribus, circumque eas frangebatur echo.
Illi vero ad citharas ducebant chorum amabilem.
Inde rursum ex-alia-parte juvenes comissabantur ad tibiam,
alii quidem etiam ludentes inter saltationem et cantum,
alii vero etiam ridentes : sub tibicine autem singuli
procedebant : totam vero urbem voluptatesque choreæque
festivitatesque tenebant. Alii autem rursus extra oppidum
tergis equorum conscensis currebant. Aratores vero
proscindebant terram divam, succinctisque tunicis
cincti-erant : sed erat profunda seges : alii quidem metebant
mucronibus acutis cauliculata folia,
gravidas spicis, tamquam Cereris donum.
Alii autem (in) restibus ligabant et sternebant aream :
alii vero vindemiabant vinum, falces in manibus habentes :
alii vero etiam in qualos ferebant a vindemiatoribus
albos et nigros racemos magnis ex vineis,
gravidis foliis et argenteis capreolis :
alii vero etiam in qualos ferebant. Juxtaque illos vinea
aurea erat, inclyta opera prudentis Vulcani,
agitata foliis et argenteis perticis,
[alii quidem etiam ludentes sub tibicine singuli]
onerata uvis; nigritabant tamen ipsæ.
Alii quidem calcabant, alii autem hauriebant; alii autem di-
micabant] pugilandoque et luctando : alii vero celeripedes
lepores venabantur] viri venatores, et asperis-dentibus ca-
nes-duo ante *eos*,] cupientes capere, illi vero cupientes ef-
fugere :] juxta ipsos autem equites habebant laborem, pro-
que præmiis] certamen habebant et pugnam : bene-contextis
vero in curribus] aurigæ stantes immittebant veloces equos,
habenas laxantes, illi autem crepitantes volabant
currus compacti, et modioli valde resonabant.
Illi quidem igitur perpetuum habebant laborem, neque un-
quam iis] victoria expedita-erat, sed anceps habebant cer-
tamen.] Illis autem etiam propositus-erat magnus tripus in
stadio,] aureus, inclyta opera prudentis Vulcani.
Circa vero marginem manabat Oceanus, turgenti similis;
totum autem amplectebatur clypeum artificiosissimum. At per

κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον, οἵ ῥά τε πολλοὶ
νῆχον ἐπ' ἄκρον ὕδωρ, πὰρ δ' ἰχθύες ἐκλονέοντο.
Θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, οὗ διὰ βουλὰς
Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε,
ἀρσάμενος παλάμησι. Τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
πάλλεν ἐπικρατέως· ἐπὶ δ' ἱππείου θόρε δίφρου,
εἴκελος ἀστεροπῇ πατρὸς Διὸς αἰγιόχοιο,
κοῦφα βιβάς· τῷ δ' ἡνίοχος κρατερὸς Ἰόλαος
δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.
Ἀγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
καί σφεας θαρσύνουσ' ἔπεα πτερόεντα προσηύδα·
Χαίρετε, Λυγκῆος γενεὴ τηλεκλειτοῖο·
νῦν δὴ Ζεὺς κράτος ὔμμι διδοῖ μακάρεσσιν ἀνάσσων,
Κύκνον τ' ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
Ἄλλο δέ τοί τι ἔπος ἐρέω, μέγα φέρτατε λαῶν·
εὖτ' ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
ἔνθα κε γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
ὀφθαλμοῖσιν ἴδῃς, ἔνθ' οὐτάμεν ὀξέϊ χαλκῷ·
ἂψ δ' ἀναχάσσασθαι· ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν
οὔθ' ἵππους ἑλέειν οὔτε κλυτὰ τεύχεα τοῖο.
Ὣς εἰποῦσ' ἐς δίφρον ἐβήσατο δῖα θεάων,
νίκην ἀθανάτης χερσὶν καὶ κῦδος ἔχουσα,
ἐσσυμένως. Τότε δή ῥα διόγνητος Ἰόλαος
σμερδαλέον ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὁμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο.
Ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη
αἰγίδ' ἀνασσείσασα· περιστονάχιζε δὲ γαῖα.
Τοὶ δ' ἅμυδις προγένοντ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ,
Κύκνος θ' ἱππόδαμος καὶ Ἄρης ἀκόρητος ἀϋτῆς.
Τῶν ἵπποι μὲν ἔπειθ' ὑπεναντίοι ἀλλήλοισιν
ὀξεῖα χρέμισαν, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Τὸν πρότερος προσέειπε βίη Ἡρακληείη·
Κύκνε πέπον, τί νυ νῶϊν ἐπίσχετον ὠκέας ἵππους,
ἀνδράσιν οἵ τε πόνου καὶ ὀϊζύος ἴδριές εἰμεν;
ἀλλὰ παρὲξ ἔχε δίφρον ἐΰξοον ἠδὲ κελεύθου
εἶκε παρὲξ ἰέναι. Τρηχῖνα δέ τοι παρελαύνω
ἐς Κήϋκα ἄνακτα· ὁ γὰρ δυνάμει τε καὶ αἰδοῖ
Τρηχῖνος προβέβηκε, σὺ δ' εὖ μάλα οἶσθα καὶ αὐτός·
τοῦ γὰρ ὀπυίεις παῖδα Θεμιστονόην κυανῶπιν.
Ὦ πέπον, οὐ μὲν γάρ τοι Ἄρης θανάτοιο τελευτὴν
ἀρκέσει, εἰ δὴ νῶϊ συνοισόμεθα πτολεμίζειν.
Ἤδη μέν τέ ἕ φημι καὶ ἄλλοτε πειρηθῆναι
ἔγχεος ἡμετέρου, ὅθ' ὑπὲρ Πύλου ἠμαθόεντος
ἀντίος ἔστη ἐμεῖο, μάχης ἄμοτον μενεαίνων.
Τρὶς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἠρείσατο γαίῃ,
οὐταμένου σάκεος, τὸ δὲ τέτρατον ἤλασα μηρὸν,
παντὶ μένει σπεύδων, διὰ δὲ μέγα σαρκὸς ἄραξα·
πρηνὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
Ἔνθα κε δὴ λωβητὸς ἐν ἀθανάτοισιν ἐτύχθη,
χερσὶν ὑφ' ἡμετέρῃσι λιπὼν ἔναρα βροτόεντα.
Ὣς ἔφατ'· οὐδ' ἄρα Κύκνος ἐϋμμελίης ἐμενοίνα

ipsum] cygni altivolantes magnum clangebant, qui sane multi
natabant in summa aqua, juxta autem pisces lasciviebant.
Mirum visu etiam Jovi gravitonanti, cujus per consilia
Vulcanus fecit clypeum magnum validumque
aptans manibus. Hunc quidem Jovis fortis filius
vibrabat violenter: in equinum autem insiliit currum,
similis fulguri patris Jovis ægida-tenentis,
leviter ingrediens: huic autem auriga, fortis Iolaus,
bigis insistens regebat curvum currum.
Prope autem his advenit Dea splendidis-oculis Minerva,
atque ipsos confirmans verbis volucribus allocuta-est:
Salvete, Lyncei progenies longe inclyti:
nunc itaque Jupiter robur vobis dat beatis (*deis*) imperans,
Cycnumque interficiendi et inclyta arma despoliandi.
Aliud autem tibi verbum dicam, multo fortissime hominum:
postquam enim Cycnum dulci vita spoliaveris,
illum quidem tum ibidem relinque et arma ejus:
ipse autem homicidam Martem accedentem observans,
ubi nudatum clypeo (*ab*) artificioso
oculis videris, ibi vulnera acuto ferro:
retro autem te-recipe, quoniam non sane tibi in-fatis est
neque equos capere, neque inclyta arma illius.
Sic locuta in currum adscendit diva Dearum,
victoriam immortalibus manibus et gloriam tenens,
celeriter. Tunc jam igitur Jove-natus Iolaus
horrendum equos increpuit: hi autem ex adhortatione
raptim ferebant celerem currum pulverem-cientes per-campum.] Nam iis animum addiderat Dea splendidis-oculis Minerva,] ægide concussa: circum-ingemiscebat autem tellus.
Illi autem simul procedebant, similes igni sive procellæ,
Cycnusque equum-domitor et Mars insatiabilis belli.
Horum equi quidem deinde obvii sibi-mutuo
acutum hinnivere, circaque eos resonabat echo.
Hunc prior alloquebatur vis Herculea:
Cycne ignave, cur jam nobis immittitis veloces equos,
viris, qui laboris et ærumnæ experti sumus?
agedum præterage currum bene-politum, atque e-via
cede prætergrediendo. Trachinem enim tendo
ad Ceycem regem: is enim potentiaque et reverentia
Trachini præest: tu vero satis bene scis etiam ipse:
ejus enim uxorem-habes filiam Themistonoën nigris-oculis.
O ignave, non quidem enim tibi neque Mars mortis exitium
prohibebit, si jam nos congressi-fuerimus ad-pugnandum.
Jam quidem ipsum aio etiam alias periculum-fecisse
hastæ nostræ, quando pro Pylo arenosa
adversus stetit mihi, pugnam insatiabiliter cupiens.
Ter quidem mea ab hasta percussus nixus-est terra,
vulnerato clypeo: quarto autem transadegi femur
omnibus viribus incumbens, magnumque clypeum perforavi;
pronus autem in pulveribus humi cecidit hastæ impetu.
Ibi jam infamis inter immortales fuit,
manibus sub nostris relictis spoliis cruentis.
Sic dixit: neque tamen Cycnus bene-hastatus volebat,

τῷ ἐπιπειθόμενος ἐχέμεν ἐρυσάρματας ἵππους.
Δὴ τότ' ἀπ' εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν
παῖς τε Διὸς μεγάλου καὶ Ἐνυαλίοιο ἄνακτος.
Ἡνίοχοι δ' ἔμπλην ἔλασαν καλλίτριχας ἵππους·
τῶν δ' ὕπο σευομένων κανάχιζε πόσ' εὐρεῖα χθών.
Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
πέτραι ἀποθρώσκωσιν, ἐπ' ἀλλήλαις δὲ πέσωσι,
πολλαὶ δὲ δρῦς ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ' αὐτῶν
ῥίμφα κυλινδομένων, εἵως πεδίονδ' ἀφίκωνται,
ὣς οἱ ἐπ' ἀλλήλοισι πέσον μέγα κεκλήγοντες.
Πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλειτή τ' Ἰαωλκὸς,
Ἄρνη τ' ἠδ' Ἑλίκη Ἄνθειά τε ποιήεσσα
φωνῇ ὑπ' ἀμφοτέρων μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ
θεσπεσίῳ σύνισαν· μέγα δ' ἔκτυπε μητίετα Ζεὺς,
κὰδ δ' ἄρ' ἀπ' οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας,
σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέϊ παιδί.
Οἷος δ' ἐν βήσσῃς ὄρεος χαλεπὸς προϊδέσθαι
κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι
ἀνδράσι θηρευτῇς, θήγει δέ τε λευκὸν ὀδόντα
δοχμωθεὶς, ἀφρὸς δὲ περὶ στόμα μαστιχόωντι
λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην,
ὀρθὰς δ' ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρήν·
τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου.
Ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ
ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν
ἄρχεται, ᾧτε πόσις καὶ βρῶσις θῆλυς ἐέρση,
καί τε πανημέριός τε καὶ ἠῷος χέει αὐδὴν
ἴδει ἐν αἰνοτάτῳ, ὁπότε χρόα Σείριος ἄζει·
(τῆμος δὴ κέγχροισι πέρι γλῶχες τελέθουσι,
τούςτε θέρει σπείρουσιν, ὅτ' ὄμφακες αἰόλλονται,
οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος,)
τὴν ὥρην μάρναντο, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
[Ὡς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο
ἀλλήλοις κοτέοντες ἐπὶ σφέας ὁρμήσωσι,
δεινὴ δέ σφ' ἰαχὴ ἄραβός θ' ἅμα γίγνετ' ὀδόντων·]
οἱ δ' ὥστ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι,
πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχησθον
αἰγὸς ὀρεσσινόμου ἢ ἀγροτέρης ἐλάφοιο,
πίονος, ἥντ' ἐδάμασσε βαλὼν αἰζήϊος ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς, αὐτὸς δ' ἀπαλήσεται ἄλλῃ,
χώρου ἄϊδρις ἐὼν, οἱ δ' ὀτραλέως ἐνόησαν,
ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο,
ὣς οἱ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Ἔνθ' ἤτοι Κύκνος μὲν ὑπερμενέος Διὸς υἱὸν
κτεινέμεναι μεμαὼς σάκει ἔμβαλε χάλκεον ἔγχος,
οὐδ' ἔρρηξεν χαλκόν· ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδης δὲ, βίη Ἡρακληείη,
μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ
αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου
ἤλασ' ἐπικρατέως· ἀπὸ δ' ἄμφω κέρσε τένοντε
ἀνδροφόνος μελίη· μέγα γὰρ σθένος ἔμπεσε φωτός.
Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ὅτε πέτρη

huic obtemperans, retinere trahentes-currum equos.
Jam tunc a bene-compacto curru desilierunt celeriter in ter-
ram,] filiusque Jovis magni et Enyalii regis.
Aurigæ autem propius egerunt pulcricomos equos :
illis autem sub irruentibus sonabat pedibus lata terra.
Ut autem quando ab alto vertice montis magni
rupes desiliunt, super alias-aliæ vero cadunt,
multæque quercus alticomæ, multæque et piceæ,
populique radicibus-altis franguntur ab ipsis
raptim volventibus, donec in-campum perveniant :
ita illi in se-mutuo ruebant, magnum crepantes.
Tota autem Myrmidonumque civitas celebrisque Iolcus,
Arneque atque Helice Antheaque herbosa
(sub) voce utriusque valde resonabant : ii autem *cum* clamore
mirando congressi-sunt : valde autem intonuit prudens Jupi-
ter,] deorsumque sane a cœlo guttas jecit sanguinolentas,
signum ponens belli suo magnanimo filio.
Qualis autem in saltibus montis sævus adspectu
aper dentibus-exsertis meditatur animo pugnare
cum-viris venatoribus, acuitque candidum dentem
incurvatus, spuma autem circa os mandenti
destillat, oculique ejus igni splendenti similes-sunt,
erectis autem in dorso horret setis circaque collum :
huic similis Jovis filius ab equino desiliit curru.
Quando autem viridi nigris-alis sonora cicada
ramo insidens æstatem hominibus canere
incipit, cui potus et cibus fecundus ros *est*,
atque per-totum-diem et matutina fundit vocem
æstu in gravissimo, quando cutem Sirius exsiccat :
(tum jam milio circum aristæ nascuntur,
quod æstate seminant, cum uvæ-acerbæ variegantur,
qualia Bacchus dedit hominibus lætitiam et laborem ;)
ea tempestate pugnabant, magnus autem tumultus excitaba-
tur.] [Ut vero leones duo pro occiso cervo
sibi-mutuo irati in se-ipsos irruunt,
sævusque ipsis rugitus strepitusque exoritur dentium :]
hi autem, sicut vultures incurvis-unguibus, repandis-rostris,
rupe in excelsa magnum clangentes dimicaverint
capræ montivagæ *gratia* aut feræ cervæ,
pinguis, quam interfecit jaculans juvenis vir
sagitta e nervo, ipse autem aberrarit alibi
loci ignarus (exsistens) : at illi celeriter animadvertunt,
rapideque pro ea pugnam acrem instituunt :
sic hi clamantes contra se-mutuo irruerunt.
Ibi sane Cycnus quidem potentis Jovis filium
occidere cupiens, clypeo adegit æream hastam,
neque perrupit æs : defendebant enim dona Dei.
Amphitryoniades autem, vis Herculea,
inter galeamque et scutum hasta longa
cervicem nudatam celeriter infra mentum
percussit violenter ; at ambos abscidit nervos
homicida fraxinus : magnum enim robur inciderat viri.
Cecidit autem, veluti quum aliqua quercus, aut quum rupes

ἠλίβατος, πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
ὣς ἔριπ'· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας,
ὅςτε μάλ' ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
σχίσσας ὅ ττι τάχιστα μελίφρονα θυμὸν ἀπηύρα·
ἐμ μένεος δ' ἄρα τοῦγε κελαινὸν πίμπλαται ἦτορ·
γλαυκιόων δ' ὄσσοις δεινὸν πλευράς τε καὶ ὤμους
οὐρῇ μαστιόων ποσσὶ γλάφει, οὐδέ τις αὐτὸν
ἔτλη ἐςάντα ἰδὼν σχεδὸν ἐλθεῖν οὐδὲ μάχεσθαι·
τοῖος ἄρ' Ἀμφιτρυωνιάδης, ἀκόρητος ἀϋτῆς,
ἀντίος ἔστη Ἄρηος, ἐνὶ φρεσὶ θάρσος ἀέξων,
ἐσσυμένως· ὁ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ,
ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ,
μακρὰ δ' ἐπιθρώσκουσα κυλίνδεται, ἡ δέ τε ἠχῇ
ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν
ὑψηλός· τῷ δὴ συνενείκεται· ἔνθα μιν ἴσχει·
τόσσῃ ὁ μὲν ἰαχῇ, βρισάρματος οὔλιος Ἄρης,
κεκληγὼς ἐπόρουσεν· ὁ δ' ἐμμαπέως ὑπέδεκτο.
Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἀντίη ἦλθεν Ἄρηος ἐρεμνὴν αἰγίδ' ἔχουσα·
δεινὰ δ' ὑπόδρα ἰδοῦσ' ἔπεα πτερόεντα προςηύδα·
Ἄρες, ἔπισχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους.
Οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα, Διὸς θρασυκάρδιον υἱόν.
Ἀλλ' ἄγε παῦε μάχης, μηδ' ἀντίος ἵστασ' ἐμεῖο.
Ὣς ἔφατ'· ἀλλ' οὐ πεῖθ' Ἄρεος μεγαλήτορα θυμόν,
ἀλλὰ μέγα ἰάχων φλογὶ εἴκελα τεύχεα πάλλων
καρπαλίμως ἐπόρουσε βίῃ Ἡρακληείῃ,
κακτάμεναι μεμαώς· καί ῥ' ἔμβαλε χάλκεον ἔγχος
σπερχνὸν, ἑοῦ παιδὸς κοτέων πέρι τεθνηῶτος,
ἐν σάκεϊ μεγάλῳ. Ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη
ἔγχεος ὁρμὴν ἔτραπ' ὀρεξαμένη ἀπὸ δίφρου.
Δριμὺ δ' Ἄρην ἄχος εἷλεν· ἐρυσσάμενος δ' ἄορ ὀξὺ
ἔσσυτ' ἐφ' Ἡρακλέα κρατερόφρονα· τὸν δ' ἐπιόντα
Ἀμφιτρυωνιάδης, δεινῆς ἀκόρητος ἀϋτῆς,
μηρὸν γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
οὔτασ' ἐπικρατέως· διὰ δὲ μέγα σαρκὸς ἄραξε
δουρατι νωμήσας, ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.
Τῷ δὲ Φόβος καὶ Δεῖμος ἐΰτροχον ἅρμα καὶ ἵππους
ἤλασαν αἶψ' ἐγγύς, καὶ ἀπὸ χθονὸς εὐρυοδείης
ἐς δίφρον θῆκαν πολυδαίδαλον· αἶψα δ' ἔπειτα
ἵππους μαστιέτην· ἵκοντο δὲ μακρὸν Ὄλυμπον.
Υἱὸς δ' Ἀλκμήνης καὶ κυδάλιμος Ἰόλαος
Κύκνον συλήσαντες ἀπ' ὤμων τεύχεα καλὰ
νίσσοντ'· αἶψα δ' ἔπειτα πόλιν Τρηχῖνος ἵκοντο
ἵπποις ὠκυπόδεσσιν. Ἀτὰρ γλαυκῶπις Ἀθήνη
ἐξίκετ' Οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ' αὖ Κήϋξ θάπτεν καὶ λαὸς ἀπείρων,
οἵ ῥ' ἐγγὺς ναῖον πόλιος κλειτοῦ βασιλῆος
Ἄνθην Μυρμιδόνων τε πόλιν κλειτήν τ' Ἰαωλκὸν

Excelsa, icta Jovis fumanti fulmine :
sic cecidit : circum ipsum autem resonabant arma variata
ære.] Hunc quidem dein reliquit Jovis ærumnosus filius :
ipse autem homicidam Martem accedentem observans,
sævum videns oculis, ut leo corpus *aliquod* forte-nactus,
qui admodum avide pelle validis unguibus
dissecta quam celerrime dulcem animam abstulit :
ferocia autem sane hujus nigrum intumuit cor :
splendidis-spectans vero oculis sævum costasque et humeros
cauda flagellans pedibus fodit, neque quisquam ipsum
sustinuit ex-adverso adspiciens prope ire, neque pugnare :
talis igitur Amphitryoniades insatiabilis belli
adversus stetit Marti in præcordiis audaciam augens,
celeriter : is autem ipsi prope accessit mœsto corde;
utrique autem clamantes se-invicem invaserunt.
Ut autem, quando a magno rupes cacumine præcipitarit,
longe vero insiliendo volvitur, atque cum fragore
venit irruens, collis autem huic obvius-fuit
altus : huic iam concucurrit; ibi *is* eam retinet :
tanto ille quidem fremitu, gravans-currum perniciosus Mars,
vociferans irruit; ille autem prompte *eum* excepit.
Ast Minerva, filia Jovis ægida-tenentis,
obviam venit Marti, tenebrosam ægidem habens :
sæva autem torve intuens verbis volucribus allocuta-est :
Mars, inhibe animos fortes et manus invictas.
Neque enim tibi fas est inclytis armis spoliare
Herculem occisum, Jovis magnanimum filium.
Sed age, desine pugna, neve adversus sta mihi
Sic ait : sed non persuasit Martis magnanimi animo;
sed magnum crepans flammæ similia arma vibrans,
celeriter invasit vim Herculeam,
occidere cupiens : et igitur conjecit æratam hastam
vehementer, sui filii irascens gratia mortui,
in clypeum magnum : at splendidis-oculis Minerva
hastæ impetum avertit, protendens-se a curru.
Acerbus autem Martem dolor cepit : extracto vero gladio
acuto] irruit contra Herculem magnanimum : at hunc accedentem] Amphitryoniades, sævi insatiabilis belli,
femore nudatum clypeo sub artificioso
vulneravit violenter : at valde carnem perscidit
hastâ jaculans, inque terram *eum* prostravit mediam.
Huic autem Terror et Pavor bene-rotalem currum et equos
adegerunt celeriter propius, et a terra spatiosa
in currum posuerunt artificiosissimum : celeriter autem
deinde] equos flagellabant : venerunt vero *in* magnum
Olympum.] Filius autem Alcmenæ et gloriosus Iolaus,
Cycno detractis ab humeris armis pulcris
revertebantur : mox autem exinde *ad* urbem Trachinis venerunt] equis celeripedibus. At splendidis-oculis Minerva
pervenit *in* Olympumque magnum et domos patris.
Cycnum autem contra Ceyx sepelivit et populus innumerus,
qui prope urbem habitabant inclyti regis
Anthen Myrmidonumque urbem celebremque Iolcum,

Ἄρνην τ' ἠδ' Ἑλίκην· πολλὸς δ' ἠγείρετο λαὸς,
τιμῶντες Κήϋκα, φίλον μακάρεσσι θεοῖσι.
Τοῦ δὲ τάφον καὶ σῆμ' ἀϊδὲς ποίησεν Ἄναυρος,
ὄμβρῳ χειμερίῳ πλήθων. Τὼς γάρ μιν Ἀπόλλων
Λητοΐδης ἤνωξ', ὅτι ῥα κλειτὰς ἑκατόμβας
ὅςτις ἄγοι Πυθώδε βίῃ σύλασκε δοκεύων.

**Arnenque atque Helicen : multus autem congregabatur populus,] honorantes Ceycem, carum beatis Diis.
Illius vero sepulcrum et monumentum invisibile reddidit Anaurus,] imbre hiemali inundans. Ita enim eum Apollo Latonæ-filius jussit, quoniam (*Cycnus*), inclytas hecatombas quicumque ageret Delphos, *eum* vi spoliabat insidiatus.**

ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.

Μοῦσαι Πιερίηθεν ἀοιδῇσι κλείουσαι,
δεῦτε, Δί' ἐννέπετε, σφέτερον πατέρ' ὑμνείουσαι·
ὅντε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε
ῥητοί τ' ἄῤῥητοί τε, Διὸς μεγάλοιο ἕκητι.
Ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει,
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.
Κλῦθι ἰδὼν ἀΐων τε, δίκῃ δ' ἴθυνε θέμιστας.
Τύνη, ἐγὼ δέ κε, Πέρση, ἐτήτυμα μυθησαίμην.

Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινήσειε νοήσας,
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
Ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔτις τήν γε φιλεῖ βροτὸς, ἀλλ' ὑπ' ἀνάγκης
ἀθανάτων βουλῇσιν Ἔριν τιμῶσι βαρεῖαν.
Τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννὴ,
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι, πολλὸν ἀμείνω·
ἥτε καὶ ἀπάλαμόν περ ὁμως ἐπὶ ἔργον ἐγείρει.
Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃ σπεύδει μὲν ἀρόμμεναι ἠδὲ φυτεύειν,
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' Ἔρις ἥδε βροτοῖσι.
Καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.
Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ,
μηδέ σ' Ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπτεύοντ' ἀγορῆς ἐπακουὸν ἐόντα.
Ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε
ᾧτινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν.
Τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις
κτήμασ' ἐπ' ἀλλοτρίοις· σοὶ δ' οὐκέτι δεύτερον ἔσται
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
ἰθείῃσι δίκαις, αἵτ' ἐκ Διός εἰσιν ἄρισται.
Ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ', ἄλλα τε πολλὰ
ἁρπάζων ἐφόρεις, μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δικάσσαι.
Νήπιοι, οὐδὲ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντὸς,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.
Ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσσαιο,
ὥστε σέ κ' εἰς ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα·
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
Ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν,
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης.

OPERA ET DIES.

Musæ, ex-Pieria carminibus celebrantes,
adeste, Jovem dicite, vestrum patrem canentes,
per quem mortales homines pariter obscurique clarique *sunt*,
nobilesque ignobilesque, Jovis magni voluntate.
Nam facile quidem extollit, facile vero elatum deprimit,
facileque præclarum minuit et obscurum auget,
facileque corrigit pravum et superbum attenuat
Jupiter altitonans, qui supremas ædes incolit.
Audi intuens auscultansque, juste autem rege judicia.
Agedum, ego vero, Persa, vera dixerim.

Non igitur unum erat Contentionum genus, sed super terram
sunt duo : alteram quidem probaverit prudens,
altera vero vituperanda; diversam autem mentem habent.
Nam hæc quidem bellumque malum et discordiam fovet,
noxia : nemo hanc sane amat mortalis, sed necessario
immortalium consiliis Contentionem colunt molestam.
Alteram vero priorem quidem genuit nox obscura,
posuit vero eam Saturnius altithronus, in-æthere habitans,
terræque in radicibus et *inter* homines, longe meliorem.
Hæc quamvis inertem tamen ad opus excitat.
In alium enim quispiam intuens opere vacans
divitem, ipse festinat quidem arare atque plantare,
domumque bene instituere : æmulatur enim vicinum vicinus,
ad divitias contendentem : bona autem Contentio hæc hominibus.] Et figulus figulo succenset et fabro faber,
et mendicus mendico invidet et cantor cantori.
O Persa, tu vero hæc tuo repone-in animo :
neve tibi Contentio malis-gaudens ab opere animum abducat,] lites spectanti fori auditori (exsistenti).
Tempus enim raro litiumque est forique,
cuicumque non victus domi in-annum repositus-est,
tempestivus, quem terra fert, Cereris munus.
Hoc satiatus lites ac rixam moveas
de facultatibus alienis : tibi vero non-amplius secunda-vice
licebit] sic facere : sed extemplo dirimamus litem
rectis judiciis, quæ ex Jove sunt optima.
Nam jam quidem patrimonium divisimus, aliaque multa
rapiens auferebas, valde adulans reges
donivoros, qui hoc jus volunt judicasse.
Stulti, neque sciunt quanto plus dimidium *sit* toto
neque quam in malvaque et asphodelo magna utilitas.
Absconditum enim habent Dii victum hominibus.
Facile enim vel uno die acquisivisses,
ut tu in annum haberes, etiam otiosus (exsistens):
statim gubernaculum quidem super fumo poneres,
opera boum vero cessarent et mulorum laboris-patientium.
Sed Jupiter abscondit iratus animo suo,
quod ipsum decepit Prometheus versutus.

Τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
Κρύψε δὲ πῦρ· τὸ μὲν αὖτις ἐὺς παῖς Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος
ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
Τὸν δὲ χολωσάμενος προςέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι·
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάταις δὲ θεαῖς εἰς ὦπα ἐΐσκειν
παρθενικῆς καλὸν εἶδος, ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην,
καὶ πόθον ἀργαλέον καὶ γυιοκόρους μελεδῶνας·
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείαν ἤνωγε διάκτορον Ἀργειφόντην.
Ὣς ἔφαθ'· οἱ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.
Αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς·
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήνγε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι·
[πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.]
Ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
τεῦξε Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν
θῆκε θεῶν κήρυξ· ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες
δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.
Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην
δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον· οὐδ' Ἐπιμηθεὺς
ἐφράσαθ', ὥς οἱ ἔειπε Προμηθεὺς μήποτε δῶρον
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
Αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.
Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο,
νούσων τ' ἀργαλέων, αἵτ' ἀνδράσι κῆρας ἔδωκαν.
[Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.]
Ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
Μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀῤῥήκτοισι δόμοισιν
ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο,
αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.
Ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ

Idcirco igitur hominibus machinatus-est molestias tristes.
Abscondit vero ignem: hunc quidem rursus egregius filius
Japeti] furatus-est hominibus-*dandum* Jove a prudenti
in cava ferula, fallens Jovem fulmine-gaudentem.
Hunc autem indignatus affatus-est nubicogus Jupiter:
Japetionide, præ omnibus consilia sciens,
gaudes ignem furatus et meam mentem quod-deceperis,
tibique ipsi magnum exitium et posteris.
Ipsis vero pro igne dabo malum, quo omnes
Oblectentur (in) animo, suum malum amore-amplectentes.
Sic ait: risitque pater hominumque Deorumque.
Vulcanum vero jussit inclytum quam celerrime
terram aqua miscere, et hominis indere vocem
et robur, immortalibus vero Deabus facie assimilare
virginis pulcram speciem, peramabilem: at Minervam
opera docere, artificiose telam texere:
et gratiam circumfundere capiti auream Venerem,
et desiderium grave, et membra-rodentes curas:
indere vero impudentem mentem et fallaces mores
Mercurium jussit nuntium Argicidam.
Sic dixit: illi autem obtemperarunt Jovi Saturnio regi.
Statim vero ex terra finxit inclytus Vulcanus
virgini verecundæ similem, Saturnii ex consiliis:
cinxit vero et ornavit Dea splendidis-oculis Minerva:
circum autem (huic) Charitesque Deæ et veneranda Suada
monilia aurea posuerunt corpori: circumque eam
Horæ pulcricomæ coronarunt floribus vernis:
[omnem vero ejus corpori ornatum adaptavit Pallas Minerva.]
At ipsi in pectore nuntius Argicida
mendaciaque blandosque sermones et dolosos mores
condidit Jovis consilio graviter-tonantis; ac nomen
imposuit Deorum præco; appellavit autem hanc mulierem
Pandoram, quia omnes Olympias domos habentes
donum donarunt, detrimentum hominibus inventoribus.
At postquam dolum perniciosum inevitabilem absolvit,
ad Epimetheum misit pater inclytum Argicidam
munus ferentem, Deorum celerem nuntium: neque Epimetheus] cogitavit, quod ipsi dixisset Prometheus, ne quando
munus] acciperet a Jove Olympio, sed remitteret
retro, ne forte quidquam mali mortalibus eveniret.
Verum ille recepto-*eo*, cum jam malum haberet, sensit.
Prius enim quidem vivebant in terra genera hominum
procul absque malis et sine difficili labore,
morbisque molestis, qui hominibus mortem dederunt.
[Mox enim in miseria mortales consenescunt.]
Sed mulier manibus amphoræ magnum operculum cum-dimovisset,] dispersit; hominibus autem paravit curas tristes.
Sola vero illic Spes in illæso domicilio
intus mansit dolii sub labris, neque foras
evolavit: prius enim injecit operculum dolii,
ægida-tenentis consiliis Jovis nubes-cogentis.
Alia vero innumera mala inter homines vagantur.
Plena enim quidem terra *est* malis, plenum vero mare:
morbi autem hominibus interdiu atque noctu

αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.
[Οὕτως οὔτι πη ἔστι Διὸς νόον ἐξαλέασθαι.]

Εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
εὖ καὶ ἐπισταμένως· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
[ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι.]
†Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.
Οἳ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν·
ὥστε θεοὶ δ' ἔζωον ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ οἰζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων·
θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη, πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
ἥσυχοι ἔργ' ἐνέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν,
[ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσι.]
Αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς
ἐσθλοί, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι πάντῃ φοιτῶντες ἐπ' αἶαν,
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.
†Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
Ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ·
ἀλλ' ὅτ' ἂν ἡβήσειε καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
ἀφραδίῃς· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
ᾗ θέμις ἀνθρώποισι κατ' ἤθεα. Τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμὰς
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς οἳ Ὄλυμπον ἔχουσιν.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται,
δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ. [πων
†Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώ-
χάλκειον ποίησ', οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄμβριμον· οἷσιν Ἄρηος
ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν,
ἄπλητοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
Καὶ τοὶ μὲν χείρεσσιν ὕπο σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀΐδαο,
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.

spontanei ventitant, mala mortalibus ferentes
tacite; nam vocem exemit prudens Jupiter.
[Sic non usquam licet Jovis voluntatem evitare.]

Si autem volueris, alium tibi ego sermonem summatim-fa-
ciam] belle ac scienter : tu vero menti infige tuæ :
[quomodo ex-eadem-origine nati-sunt Dii mortalesque homi-
nes.] Aureum quidem primo genus loquentium hominum
immortales fecerunt Olympias domos habentes.
Ii quidem sub Saturno erant, cum in cœlo regnaret :
sicut Dii autem vivebant securum animum habentes,
procul absque et laboribus et ærumna : neque misera
senectus aderat, semper vero pedibus ac manibus *sibi* similes
oblectabantur in conviviis mala extra omnia;
moriebantur autem tamquam somno obruti : bona vero omnia
illis erant; fructumque ferebat fertile arvum
sponte-sua multumque et copiosum : ii vero lubentes
quieti operibus fruebantur cum bonis multis.
[abundantes pomis, cari beatis Diis.]
Verum postquam hoc genus terra abscondit,
ii quidem dæmones sunt, Jovis magni ex consiliis,
boni, in-terra-versantes, custodes mortalium hominum :
qui sane custodiunt et justitiam et prava opera,
aëre induti ubique oberrantes per terram,
opum-datores : et hoc munus regium obtinebant.
Secundum inde genus multo deterius postea
argenteum fecerunt Olympias domos habentes,
aureo neque forma simile, neque ingenio.
Sed centum quidem puer annis apud matrem sedulam
educabatur crescens valde rudis sua in domo :
sed quum pubuisset et pubertatis metam advenisset,
pauxillum vivebant ad tempus, dolores habentes
ob-stultitias : injuriam enim temerariam non poterant
a-se-mutuo abstinere, neque immortales colere
volebant, neque sacrificare beatorum sacris in aris,
uti fas est hominibus ex-more. Hos quidem deinde
Jupiter Saturnius abscondit iratus, quia honores
non dabant beatis Diis, qui Olympum habitant.
At postquam et hoc genus terra occultavit,
hi quidem subterranei beati mortales vocantur,
secundi; sed tamen honor etiam hos comitatur.
Jupiter vero pater tertium aliud genus loquentium homi-
num] æneum fecit, omnino argenteo nihil simile,
e fraxinis, violensque et robustum : quibus Martis
opera curæ-erant luctuosa et injuriæ : neque ullum frumen-
tum] edebant, sed adamantis habebant durum animum,
inaccessi : magna autem vis et manus invictæ
ex humeris nascebantur in validis membris.
His autem erant ænea quidem arma, æneæ vero etiam domus;
æreque operabantur : nigrum enim non erat ferrum.
Et hi quidem manibus sub suis domiti
abierunt in putridam domum horribilis Plutonis,
ignobiles : mors autem *eos*, terribiles quamvis (exsistentes),
cepit atra, splendidumque liquerunt lumen solis.

†Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
αὖτις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε, δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο,
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
Ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε·
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης,
τηλοῦ ἀπ' ἀθανάτων· τοῖσιν Κρόνος ἐμβασιλεύει.
Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι παρ' Ὠκεανὸν βαθυδίνην,
ὄλβιοι ἥρωες, τοῖσιν μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.
†Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας·
ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντες ἔπεσσι,
σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵγε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
Οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὔτε δικαίου
οὔτ' ἀγαθοῦ, μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσὶ, καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
Ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
δυσκέλαδος, κακόχαρτος ὁμαρτήσει, στυγερώπης.

Sed postquam et hoc genus terra operuit,
rursum etiam aliud quartum super terram multorum-altricem
Jupiter Saturnius fecit, justius et melius,
virorum heroum divinum genus, qui vocantur
semidei priore ætate per immensam terram.
Et hos quidem bellumque malum et pugna gravis
alios quidem ad septiportes Thebas, Cadmea *in* terra,
perdidit pugnantes propter oves Œdipodæ;
alios vero etiam in navibus trans magnam latitudinem maris
ad Trojam ducens Helenæ gratia pulcricomæ.
Ibi sane eos quidem mortis exitium occultavit:
iis autem seorsum ab-hominibus vitam et sedem tribuens
Jupiter Saturnius constituit pater ad fines terræ
procul ab immortalibus: horum Saturnus rex-est.
Et ii quidem habitant securum animum habentes
in beatorum insulis juxta Oceanum vorticosum,
felices heroes, quibus mellitum fructum
ter quotannis florentem fert fecundus ager.
Utinam non jam debuissem ego quintis interesse
hominibus, sed aut prius mori, aut postea nasci!
Nunc enim jam genus est ferreum: neque unquam interdiu
cessabunt a-labore et miseria, neque noctu,
corrupti: graves vero Dii dabunt curas.
Sed tamen et hisce admiscebuntur bona malis.
Jupiter autem perdet etiam hoc genus loquentium hominum,
postquam nati cani-circum-tempora facti-fuerint.
Neque pater liberis concordans, neque liberi *patri*,
neque hospes hospiti, neque amicus amico,
neque frater carus erit, ut antehac certe.
Celeriter vero senescentes dehonestabunt parentes;
incusabunt autem sane hos molestis alloquentes verbis,
impii, neque Deorum vindictam scientes: neque hi
senibus parentibus educationis-præmia reddent,
violenti: alter autem alterius civitatem diripiet.
Neque ulla pii gratia erit, neque justi,
neque boni; magis vero maleficum et injurium
virum honorabunt: justitia autem in manibus, et pudor
non erit: lædetque malus meliorem virum,
verbis pravis alloquens, perjurium vero jurabit.
Livor autem homines miseros omnes
maledicus, malis-gaudens comitabitur inviso-vultu.

Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν
ἀθανάτων μετὰ φῦλον ἴτην προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

Et tum jam ad cœlum a terra spatiosa,
candidis vestibus tectæ corpus pulcrum,
immortalium ad genus iverunt relictis hominibus
Pietas et Nemesis: at relinquentur dolores graves
mortalibus hominibus; contra-malum vero non erit defensio.

Νῦν δ' αἶνον βασιλεῦσιν ἐρέω φρονέουσι καὶ αὐτοῖς.
Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον,
ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς·
ἡ δ' ἐλεὸν γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι
μύρετο· τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε·
Δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων·

Nunc vero fabulam regibus narrabo, sapientibus quamvis [ipsis.
Sic accipiter affatus-est lusciniam varii-gutturis,
admodum alte in nubibus ferens unguibus correptam:
hæc vero misere, curvos fixa circum ungues,
lugebat: eam autem ille imperiose sermone allocutus-est:
Infelix, quid strepis? habet sane te multo fortior:

τῇ δ' εἶς ᾗ σ' ἂν ἐγώ περ ἄγω, καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ', αἴ κ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω.
Ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις.
Ὦ Πέρση, σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε·
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς,
ἐγκύρσας ἄτῃσιν· ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.
Αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
[Τῆς δὲ Δίκης ῥόθος ἑλκομένης ᾗ κ' ἄνδρες ἄγωσι
δωροφάγοι, σκολιῇς δὲ δίκῃς κρίνωσι θέμιστας.]
Ἡ δ' ἕπεται κλαίουσα πόλιν καὶ ἤθεα λαῶν,
ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
οἵτε μιν ἐξελάσωσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
ἰθείας καὶ μή τι παρεκβαίνουσι δικαίου,
τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ·
εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς·
οὐδέ ποτ' ἰθυδίκῃσι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,
οὐδ' ἄτη, θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται.
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον, οὔρεσι δὲ δρῦς
ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·
εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι·
τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν·
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
νίσσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.
Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπη- [ύρα,
ὅςτις ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί.
Οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδοσμύνῃσιν Ὀλυμπίου· ἄλλοτε δ' αὖτε
ἢ τῶνγε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅγε τεῖχος,
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.
Ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι φράζονται ὅσοι σκολιῇσι δίκῃσι
ἀλλήλους τρίβουσι θεῶν ὄπιν οὐκ ἀλέγοντες.
Τρὶς γὰρ μύριοί εἰσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι πάντῃ φοιτῶντες ἐπ' αἶαν.
Ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα,
κυδρή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσιν.
Καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι
γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
[δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες

hac ibis, qua te equidem ducam, licet cantatricem (exsistentem):] cœnam vero, si voluero, faciam, aut dimittam.
Imprudens autem, quicumque voluerit cum potentioribus contendere;] victoriaque privatur, præterque contumelias dolores patitur.] Sic ait velociter-volans accipiter, latis-alis avis.] O Persa, tu vero audi justitiam, neque injuriam fove:
injuria enim etiam mala misero *est* homini; nec quidem dives
facile ferre potest, gravaturque ab ea,
illapsus damnis: via vero aliter perveniendi
melior ad justa: justitia autem injuriam superat
ad finem progressa: passus vero *damna* stultus cognovit.

Cito enim currit jusjurandum una-cum injustis judiciis.
At Justitiæ tumultus *est* tractæ, quo viri duxerint
donivori, pravis autem sententiis deciderint jura.
Hæc vero sequitur deplorans urbemque et sedes populorum,
aerem induta, malum hominibus adferens,
qui ipsam expellunt, neque justam *partem* distribuunt.

Qui vero jura peregrinis et civibus dant
recta, neque quidquam prætergrediuntur justum,
his floret urbs, populique florent in ipsa:
pax vero per terram juvenum-altrix, neque umquam illis
molestum bellum decernit late-cernens Jupiter,
neque umquam justos inter homines fames versatur,
neque damnum: in- conviviis autem cura-partis operibus fruuntur.] His quidem fert terra multum victum, in-montibus vero quercus] summa quidem fert glandes, media vero apes:] lanigeræ autem oves velleribus onustæ sunt:
pariunt vero mulieres similes liberos parentibus:
florent autem bonis perpetuo: neque in navibus
iter-faciunt; fructum vero fert fecundus ager.

Quibus autem injuriaque curæ-est mala pravaque opera,
iis vindictam Saturnius decernit late-cernens Jupiter.

Sæpe etiam universa urbs malo viro detrimentum-cepit,
quicumque peccat et iniqua machinatur.
Illis autem cœlitus magnum importavit malum Saturnius
famem simul et pestem: intereunt vero populi;
neque mulieres pariunt; minuuntur autem familiæ,
Jovis consiliis Olympii: interdum vero etiam
aut eorum exercitum ingentem perdidit aut idem murum,
aut naves in ponto Saturnius punit ipsorum.

O reges, vos autem considerate etiam ipsi
hanc vindictam: prope enim inter homines versantes
immortales observant, quotquot pravis judiciis
se-mutuo atterunt, Deorum vindictam non curantes.
Ter enim decies-mille sunt in terra multorum-altrice
immortales Jovis custodes mortalium hominum:
hi igitur custodiunt et justitiam et prava opera,
aëre induti, ubique oberrantes per terram.
Illa autem virgo est, Justitia, *ex* Jove, procreata
augustaque venerandaque Diis qui Olympum habent.
Et igitur, cum quis eam lædat impie spernens,
statim apud Jovem patrem considens Saturnium,
refert hominum injustam mentem, ut luat
populus peccata regum, qui perniciosa meditant

ἄλλῃ παρκλίνωσι δίκας σκολιῶς ἐνέποντες.]
Ταῦτα φυλασσόμενοι, βασιλεῖς, ἰθύνετε μύθους,
δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.
Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας
καί νυ τάδ', αἴ κ' ἐθέλησ', ἐπιδέρκεται, οὐδέ ἑ λήθει
οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
Νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην μήτ' ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει·
[ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.]
Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσι,
καί νυ δίκης ἐπάκουε, βίης δ' ἐπιλήθεο πάμπαν.
Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων·
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς·
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
γίγνεται. Εἰ γάρ τίς κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεύειν
γιγνώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύς·
ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας νήκεστον ἀασθῇ,
τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.
Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρση.
Τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως· λείη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τοπρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.
Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ,
φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.
Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
ἐργάζευ, Πέρση, δῖον γένος, ὄφρα σε Λιμὸς
ἐχθαίρῃ, φιλέῃ δέ σ' ἐϋστέφανος Δημήτηρ,
αἰδοίη, βιότου δὲ τεὴν πιμπλῆσι καλιήν.
Λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργὴν,
οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.
Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε·
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν
ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς.
Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
Εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
Δαίμονι δ' οἷος ἔησθα, τὸ ἐργάζεσθαι ἄμεινον**
εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν

alio inflectunt jura prave dicentes.
Hæc observantes reges, corrigite sententias,
donivori, pravorum vero judiciorum prorsus obliviscamini.
Sibi ipsi mala struit vir alii mala struens,
malumque consilium consulenti pessimum.
Omnia videns Jovis oculus et omnia animadvertens
etiam hæc, siquidem vult, inspicit : neque eum latet,
quale jam hoc quoque judicium urbs intus exerceat.
Nunc jam ego neque ipse inter homines justus
sim, nec meus filius : quoniam malum *est* virum justum
esse, siquidem majus jus injustior habebit.
[Sed hæc nondum spero perfecturum Jovem fulmine-gaudentem.] O Persa, tu vero hæc in animo repone tuo,
et quidem justitiæ obtempera, violentiæ autem obliviscere
omnino.] Hanc enim hominibus legem imposuit Saturnius :
piscibus quidem et feris et avibus volucribus,
ut devorent se-mutuo, quoniam non justitia est inter eos :
hominibus autem dedit justitiam, quæ multo optima
est. Si enim quis velit justa profiteri
cognoscens, ei opes dat late-videns Jupiter :
qui vero testimoniis volens perjurium jurans
mentietur, justitiamque impediens immedicabiliter læsus-sit,
ejus certe obscurior progenies posthac relicta-est :
viri autem juste-jurantis progenies posthac præstantior.
Tibi vero bona intelligens dicam, valde stulte Persa.
Vitium quidem sane etiam cumulatim est capere
facile : plana quidem via *est*, valde autem procul habitat.
Virtuti vero sudorem Dii anteposuerunt
Immortales : longa vero et ardua via *est* ad eam,
et aspera primum : ubi vero ad summum *aliquis* venerit,
facilis jam deinceps est, quamvis difficilis (exsistens).
Ille quidem optimus est, qui per-se omnia intellexerit,
cogitans quæcumque dein et ad finem sint meliora.
Bonus vero etiam ille, qui bene monenti paruerit.
Qui vero neque ipse sapit, neque alium audiens
in animo reposuerit, ille contra inutilis vir *est*.
At tu quidem nostri memor semper præcepti
operare, Persa, diva proles, ut te Fames
oderit, amet autem pulcre-coronata Ceres
veneranda, victuque tuum impleat horreum.
Fames enim semper ignavo comes *est* viro.
Huic vero Dii indignantur et homines, quicumque otiosus
vivit, fucis aculeo-carentibus similis indole,
qui apum laborem absumunt otiosi,
vorantes : tibi vero opera gratum esto decentia obire,
ut tibi tempestivo victu impleantur horrea.
Ex laboribus autem viri *evadunt* pecorosique opulentique :
etiam laborans multo carior immortalibus
eris atque hominibus : valde enim oderunt otiosos.
Labor autem minime dedecus, ignavia autem dedecus *est*.
Quod si laboraveris, mox te æmulabitur otiosus
Ditescentem : divitias vero virtus et gloria comitatur.
Fortuna autem qualis sis, laborare est melius.**
si quidem ab alienis facultatibus stolidum animum

εἰς ἔργον τρέψας μελετᾷς βίου, ὥς σε κελεύω.
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
αἰδώς, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.
Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
Χρήματα δ' οὐχ ἁρπακτά· θεόσδοτα πολλὸν ἀμείνω.
Εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται, οἷά τε πολλὰ
γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ·
ῥεῖα δέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκοι
ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
Ἶσον δ' ὅς θ' ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξῃ,
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνῃ
κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων,
ὅς τέ τευ ἀφραδίης ἀλιταίνεται ὀρφανὰ τέκνα,
ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν.
Τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
Ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν.
Κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὲ σπονδῇς θυέεσσί τε ἱλάσκεσθαι,
ἠμὲν ὅτ' εὐνάζῃ καὶ ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ·
ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν·
[ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.]
Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι·
τὸν δὲ μάλιστα καλεῖν ὅστις σέθεν ἐγγύθι ναίει.
εἰ γάρ τοι καὶ χρῆμ' ἐγχώμιον ἄλλο γένοιτο,
γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.
Πῆμα κακὸς γείτων ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.
Ἔμμορέ τοι τιμῆς ὅστ' ἔμμορε γείτονος ἐσθλοῦ.
Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.
Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι,
αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴ κε δύνηαι,
ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.
Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτῃσιν.
Τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι·
καὶ δόμεν ὅς κεν δῷ, καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.
Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔτις ἔδωκεν.
Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.
Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε κἂν μέγα δοίη,*
χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·
ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
καί τε σμικρὸν ἐόν, τὸ δ' ἐπάχνωσεν φίλον ἦτορ.
Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.
Ὃς δ' ἐπ' ἐόντι φέρει, ὁ δ' ἀλύξεται αἴθοπα λιμόν·
Οὐδὲ τόγ' εἰν οἴκῳ κατακείμενον ἀνέρα κήδει.
Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν.
Ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
χρηΐζειν ἀπεόντος, ἅ σε φράζεσθαι ἄνωγα.
Ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.

ad opus convertens curam-habeas victus, sicut te jubeo.
Pudor autem non bonus egenum hominem tenet,
pudor, qui homines valde lædit atque juvat.
Pudor sane cum inopia, audacia vero cum opibus.
Opes autem non rapiendæ: divinitus-datæ multo meliores.
Si quis enim et manibus per-vim magnas opes ceperit,
aut is lingua prædatus-fuerit, qualia multa
Fiunt, quam primum lucrum mentem deceperit
hominum, pudorem vero impudentia expulerit:
facile autem illum obscurant Dii, minuuntur vero familiæ
viro tali; exiguumque ad tempus divitiæ comitantur.
Pariter vero, et qui supplicem et qui hospitem male tractaverit;] quique fratris sui lectum adscenderit
secreti concubitus uxoris, scelerata patrans;
quique cujuspiam imprudentia fraudat orphanos liberos;
quique parentem senem misero in senectutis limite
increpuerit gravibus incessens verbis:
huic autem certo Jupiter ipse irascitur, ad extremum vero
operibus pro iniquis gravem exhibet talionem.
Verum tu ab-his quidem omnino cohibe stultum animum.
Pro facultate autem facito sacra immortalibus Diis
caste et pure, nitida vero femora adoleto:
alias autem libationibus thuribusque placato,
et quando cubitum-is, et quum lux sacra venerit:
ut tibi benevolum cor et animum habeant;
[ut aliorum emas agrum, non tuum alius.]
Amicum ad convivium vocato, inimicum vero relinque:
eum autem potissimum vocato, quicumque te prope habitat.
Quotiescumque enim tibi etiam domesticum aliud *quid* acci-
vicini non-cincti accurrunt, cinguntur autem cognati. [dat,
Damnum malus vicinus, quantum bonus magnum com-
modum.] Nactus-est sane pretium, quicumque nactus est vi-
cinum bonum.] Neque bos interierit, nisi vicinus malus sit.
Recte quidem metiaris *mutuans* a vicino, recte vero redde
eadem mensura, et amplius, si quidem possis:
ut indigens etiam in posterum æquum *eum* invenias.
Ne mala lucra-captes: mala lucra æqualia damnis.
Amantem ama, et succurrenti succurre:
et da ei-qui dederit, neve da ei-qui non dederit.
Datori quidem aliquis dedit, non-danti vero nemo dedit.
Donatio bona, rapina vero mala, mortis datrix.
Quicumque enim quidem vir libens *dat*, is etiam multum dederit.*] gaudet dono et delectatur suo in animo.
Qui vero ipse ceperit impudentiæ obsecutus
quamvis exiguum (exsistens), id tamen rigidat ejus animum.
Siquidem enim et parvum ad parvum posueris,
et frequenter istud feceris, mox magnum et hoc evaserit.
Qui vero ad id-quod-adest adjicit, is vitabit atram famem
Neque vero quod domi repositum *est* hominem cruciat.
Domi melius *est* esse, quoniam damnosum, quod foris *est*.
Bonum quidem de-præsenti capere, miseria vero animo,
egere absente: quæ te meditari jubeo.
Incipiente autem dolio et desinente saturare·
in-medio parce: sera vero in fundo parsimonia.

Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι·
πίστεις δ' ἄρ τοι ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.
Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω
αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν.
Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φιλήτῃσι.
Μουνογενὴς δὲ πάϊς εἴη πατρώϊον οἶκον
φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι.
Γηραιὸς δὲ θάνοις ἕτερον παῖδ' ἐγκαταλείπων.
Ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.
Πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.
[Σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσιν,
ὧδ' ἔρδειν, καὶ ἔργον ἐπ' ἔργῳ ἐργάζεσθαι.]

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμητοῦ· ἀρότοιο δὲ δυσομενάων.
Αἳ δ' ἤτοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται ταπρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον
ναίουσιν· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,
γυμνὸν δ' ἀμάαν, εἴ χ' ὥρια πάντ' ἐθέλῃσθα***
ἔργα κομίζεσθαι Δημήτερος, ὥς τοι ἕκαστα
ὥρι' ἀέξηται, μή πως τὰ μέταζε χατίζων
πτώσσῃς ἀλλοτρίους οἴκους, καὶ μηδὲν ἀνύσσῃς.
Ὡς καὶ νῦν ἐπ' ἔμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω,
οὐδ' ἐπιμετρήσω· ἐργάζευ, νήπιε Πέρση,
ἔργα, τάτ' ἀνθρώποισι θεοὶ διετεκμήραντο,
μήποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων
ζητεύῃς βίοτον κατὰ γείτονας, οἱ δ' ἀμελῶσιν.
Δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις·
ἀχρεῖος δ' ἔσται ἐπέων νομός. Ἀλλά σ' ἄνωγα
φράζεσθαι χρειῶν τε λύσιν λιμοῦ τ' ἀλεωρήν.
Οἶκον μὲν πρώτιστα, γυναῖκά τε, βοῦν τ' ἀροτῆρα,
[κτητήν, οὐ γαμετήν, ἥτις καὶ βουσὶν ἕποιτο,]
χρήματα δ' εἰν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τε ἔργον.
Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφιν·
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν,
οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τε ἔργον ὀφέλλει.
Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.
Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς*
πολλὸν ἐλαφρότερος· δὴ γὰρ τότε Σείριος ἀστὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ·
τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιό τε λήγει·
τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥρια ἔργα.

Merces autem viro amico constituta æqua esto.
Etiam cum-fratre ludens testem adhibeto :
credulitas autem sane pariter ac diffidentia perdiderunt homines.] Ne vero mulier tibi animum nates-exornans decipiat,
blanda garriens, tuum inquirens domicilium.
Qui enim mulieri confidit, confidit is furibus.
Unicus vero filius sit, paternam domum
qui-servet : ita enim opulentia crescet in ædibus.
Senex autem moriaris, alterum filium relinquens.
Facile vero et pluribus præbuerit Jupiter ingentes opes.
Major quidem plurium cura, major autem accessio.
[Tibi vero si opes mens appetit in animo tuo,
sic facito, et operi super opus operare.]

Pleiadibus Atlante-natis exorientibus,
incipe messem ; arationem vero, occidentibus.
Hæ autem sane noctesque et dies quadraginta
latent : rursum vero inverso anno
apparent primum ubi-acuitur ferrum.
Hæc utique camporum est lex, *iis*que, qui mare
prope habitant, *iis*que, qui valles flexuosas,
a-mari fluctuante procul, pinguem regionem
incolunt : nudus serito, nudusque arato,
nudusque metito, si quidem tempestiva omnia voles***
opera tibi-parare Cereris, ut tibi singula
tempestiva crescant, ne quando interim egens
mendices *ad* alienas domos, et nihil efficias.
Sicut et nunc ad me venisti : ego vero tibi non amplius-dabo,
neque admetiar : operare, stolide Persa,
operibus, quæ hominibus Dii destinarunt :
ne-quando cum liberis uxoreque animo dolens
quæras victum per vicinos, hi vero negligant.
Bis quidem enim et ter forsitan consequeris : si vero amplius molestus-fueris,] rem quidem non facies, tu vero inania multa dices :] inutilis autem erit verborum copia. Sed te jubeo] cogitare debitorumque solutionem famisque evitationem.] Domum quidem primum,' fœminamque bovemque aratorem,] [servam non nuptam, quæ et boves sequatur :]
utensilia vero domi omnia apta parato :
ne tu quidem petas ab alio, is vero recuset, tuque careas,
tempus autem prætereat, minuaturque etiam opus.
Neve differas in crastinum inque perendinum :
non enim fustra-laborans vir implet horreum,
neque differens : studium vero opus auget.
Semper autem dilator-operum vir cum-damnis luctatur.
Quum jam desinit vis acuti solis
æstum sudoriferum, per-autumnum pluente
Jove præpotente, mutatur vero humana cutis*
multo agilior : jam enim tunc Sirius stella
paulisper supra caput mortalium hominum
venit interdiu, magis autem nocte fruitur :
tum minime-rosa (*vermibus*) est cæsa ferro
silva, folia antem humi fundit, germinationeque desinit :
tunc igitur lignari memento tempestiva opera.

Ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονά θ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενος οὕτως·
εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ σφῦράν κε τάμοιο.
Τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἁμάξῃ.
Πολλ' ἐπικαμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅτ' ἂν εὕ-
εἰς οἶκον, κατ' ὄρος διζήμενος ἢ κατ' ἄρουραν, [ρῃς,
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν,
εὖτ' ἂν Ἀθηναίης δμῶος, ἐν ἐλύματι πήξας,
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆϊ.
Δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν, ἐπεὶ πολὺ λῷον οὕτω·
εἴ χ' ἕτερόν γ' ἄξαις, ἕτερόν κ' ἐπὶ βουσὶ βάλοιο.
Δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες,
δρυὸς ἔλυμα, γύης πρίνου. Βόε δ' ἐνναετήρω
ἄρσενε κεκτῆσθαι, τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν,
ἥβης μέτρον ἔχοντε· τὼ ἐργάζεσθαι ἀρίστω.
Οὐκ ἂν τώ γ' ἐρίσαντ' ἐν αὔλακι κὰμ μὲν ἄροτρον
ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.
Τοῖς δ' ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο
ἄρτον δειπνήσας, τετράτρυφον, ὀκτάβλωμον,
ὅς κ' ἔργου μελετῶν ἰθεῖαν αὔλακ' ἐλαύνοι,
μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ' οὔτι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσσασθαι καὶ ἐπισπορίην ἀλέασθαι.
Κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται.
Φράζεσθαι δ', εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης·
ἥτ' ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω·
δὴ τότε χορτάζειν ἕλικας βοῦς ἔνδον ἐόντας·
[ῥηΐδιον γὰρ ἔπος εἰπεῖν Βόε δὸς καὶ ἅμαξαν·
ῥηΐδιον δ' ἀπανήνασθαι. Πάρα δ' ἔργα βόεσσιν.
Φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἅμαξαν,
νήπιος, οὐδὲ τὸ οἶδ'· ἑκατὸν δέ τε δούραθ' ἁμάξης,
τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήϊα θέσθαι.]
Εὖτ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανείη,
δὴ τότ' ἐφορμηθῆναι ὁμῶς δμῶές τε καὶ αὐτὸς
αὔην καὶ διερὴν ἀρόων ἀρότοιο καθ' ὥρην,
πρωῒ μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι.
(Ἔαρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.)
Νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.
(Νειὸς ἀλεξιάρη παίδων εὐκηλήτειρα.)
Εὔχεσθαι δὲ Διὶ χθονίῳ, Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν,
ἀρχόμενος ταπρῶτ' ἀρότου, ὅτ' ἂν ἄκρον ἐχέτλης
χειρὶ λαβὼν ὅρπηκα βοῶν ἐπὶ νῶτον ἵκηαι
ἔνδρυον ἑλκόντων μεσάβῳ. Ὁ δὲ τυτθὸς ὄπισθεν
δμῶος ἔχων μακέλην πόνον ὀρνίθεσσι τιθείη,
σπέρμα κατακρύπτων· εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
Ὧδέ κεν ἁδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι,
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα
γηθήσειν, βιότου αἱρεύμενον ἔνδον ἐόντος.

Mortarium quidem tripetale seca, pistillum vero tricubitale,
axemque septempedalem: valde enim certe conveniens sic:
si vero octopedalem, inde et malleum secueris.
Trium-palmorum vero rotam secato decem-palmorum plau-
stro.] Multa curva ligna: ferto autem buram, cum invene-
ris] domum, in monte quærens vel in campo,
ilignam: hæc enim bobus ad-arandum firmissima est,
si Minervæ famulus, dentali infigens,
clavis conjungens adaptaverit temoni.
Bina vero facito aratra, fabricans domi,
alterum nativa-bura et *alterum* compactile: quoniam multo
melius sic:] si alterum quidem fregeris, alterum bobus inje-
ceris.] E-lauro autem vel ulmo minime-vermiculati temones,
e-quercu dentale, bura ex-ilice. Boves vero *duos* novennes
mares comparato (horum enim robur non imbecillum *est*)
juventutis mensuram habentes: hi ad-laborandum optimi.
Non hi utique dimicantes in sulco quidem aratrum
fregerint, opus vero inutile ibi reliquerint.
Hos autem simul quadragenarius juvenis sequatur,
panem postquam-prandit quadrifidum, octo-quadrarum,
qui opus curans rectum sulcum ducat,
non-amplius circumspiciens æquales, sed in opere
animum habens: hoc vero neque junior alius melior
ad-spargendum semina et iteratam-sationem ad-evitandam.
Junior enim vir ad æquales desiderio-trahitur.
Observa vero, cum gruis vocem audieris
alte in nubibus quotannis clangentis:
hæc arationisque signum affert, et hyemis tempus
indicat imbriferæ: cor autem rodit viri bobus-carentis.
Tunc sane pasce camuros boves domi manentes.
[Facile enim *est* verbum dicere: Par-boum da et plaustrum;
facile autem recusare: Sunt vero opera bobus. [strum,
Putat autem vir mente *nempe* dives se fabricaturum plau-
stultus, neque hocce scit: centum enim *sunt* ligna plaustri,
quorum ante curam habere oportet domum ferendorum.]
Cum vero primum arationis-tempus mortalibus apparuerit,
Jam tunc aggredere, simul servique et ipse,
siccum et humidum arans arationis per tempus,
mane valde festinans, ut tibi impleantur arva.
[Vere vertito; æstate vero iteratum *arvum* non te fallet.]
Novalem autem serito adhuc levem agrum.
[Novalis exsecrationum-expultrix, liberorum placatrix.]
Supplica vero Jovi infero, Cererique castæ,
perfecte ut-onerent Cereris sacrum munus,
incipiens primum arationem, cum extremum stivæ
manu capiens stimulum, boum ad terga adtigeris
temonis-cuneum trahentium subjugiis: puer autem a-tergo
sequens] servus tenens ligonem negotium avibus facessat,
semina abscondens. Diligentia enim optima
mortalibus hominibus, negligentia vero pessima.
Sic ubertate spicæ nutaverint ad-terram,
si finem ipse postea Olympius præbuisset,
e vasis autem ejeceris araneas; et te spero
gavisurum, de-victu sumentem intus reposito.

Εὐοχθέων δ' ἵξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸς ἄλλους
αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
Εἰ δέ κεν ἠελίοιο τροπῇς ἀρόσῃς χθόνα δῖαν,
ἥμενος ἀμήσεις, ὀλίγον περὶ χειρὸς ἐέργων,
ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων·
οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
[Ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο,]
ἀργαλέος δ' ἄνδρεσσι κατὰ θνητοῖσι νοῆσαι.
Εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη·
ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
τοπρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν·
τῆμος Ζεὺς ὕοι τρίτῳ ἤματι, μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν μήτ' ἀπολείπων·
οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζοι.
[Ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ' ἔαρ γιγνόμενον πολιὸν μήθ' ὥριος ὄμβρος.]
Πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην
ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρα ἔργων
ἰσχάνει, ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλοι,
μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζῃς.
Πολλὰ δ' ἀεργὸς ἀνήρ, κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
[Ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.
Δείκνυε δὲ δμώεσσι, θέρευς ἔτι μέσσου ἐόντος,
Οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.]
[Μῆνα δὲ Ληναιῶνα, κάκ' ἤματα, βουδόρα πάντα,
τοῦτον ἀλεύασθαι, καὶ πηγάδας, αἵτ' ἐπὶ γαῖαν
πνεύσαντος Βορέαο δυσηλεγέες τελέθουσιν,
ὅςτε διὰ Θρῄκης ἱπποτρόφου εὐρέϊ πόντῳ
ἐμπνεύσας ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη·
πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας
οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
Θῆρες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο,
τῶν καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
ψυχρὸς ἐὼν διάησι δασυστέρνων περ ἐόντων.
Καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει·
καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔτι,
οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν
ἲς ἀνέμου Βορέου· τροχαλὸν δὲ γέροντα τίθησι.
Καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
ἥτε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνῃ,
οὔπω ἔργ' εἰδυῖα πολυχρύσου Ἀφροδίτης·
εὖτε λοεσσαμένη τέρενα χρόα καὶ λίπ' ἐλαίῳ
χρισαμένη μυχίη καταλέξεται ἔνδοθι οἴκου,
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένδει,
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἤθεσι λευγαλέοισιν,
οὐδέ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι·
ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
στρωφᾶται, βράδιον δὲ Πανελλήνεσσι φαείνει.
Καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
λυγρὸν μυλιόωντες ἀνὰ δρία βησσήεντα

Bene-onustus autem pervenies *ad* album ver, neque ad alios
respicies : tui vero alius vir indigus erit.
Si vero sole vertente (*bruma*) divam araveris terram,
sedens metes, pauxillum manu comprehendens,
alternatim ligans puluerulentus, non valde gaudens.
Feres autem in sporta : pauci vero te suspicient.
Alias autem alia Jovis mens ægida-habentis,
difficilis vero hominibus mortalibus intellectu.
Sin autem sero araveris, id tibi remedium fuerit.
Quando cuculus canit quercus in foliis,
primum, delectatque mortales super immensam terram;
tunc Jupiter pluat tertio die, neve desinat,
neque sane excedens bovis ungulam neque deficiens :
ita serus-arator priorem æquarit.
[Animo autem bene omnia serva : neve te lateat
neque ver evadens album, neque tempestivus imber.]
Præteri autem ærariam officinam et calidam tabernam,
tempore hiberno, quando frigus virum ab-operibus
arcet, ubi impiger vir valde domum augeat :
ne te malæ hyemis difficultas deprehendat
cum paupertate, macra vero crassum pedem manu premas.
Multa autem ignavus vir, vanam ob spem exspectans,
egens victus, mala locutus-est ad-animum *suum*.
[Spes vero non bona indigentem virum fovet,
sedentem in taberna, cui non victus sufficiens sit.
Demonstra autem servis, æstate adhuc media (exsistente) :
Non semper æstas erit, exstruite casas.]
Mensem vero Lenæonem, malos dies, boves-cruciantes
omnes,] hunc vitate, et glacies, quæ super terram
flante Borea molestæ exsistunt,
qui per Thraciam equorum-altricem lato mari
inspirans *id* concutit : remugit autem terra et silva :
multas vero quercus alticomas abietesque densas
montis in saltibus dejicit terræ multos-pascenti
irruens, et omnis reboat tunc innumera silva.
Feræ autem horrent, caudasque sub pudenda ponunt,
quarum etiam villis cutis obtecta *est* : sed sane et has
frigidus cum-sit perflat, villosis-pectoribus licet exsistentes.
Et per pellem bovis penetrat, neque *hæc* eum arcet;
et etiam per capram flat longis-pilis : sed ovium-greges omnino,] quia valde-densi villi ipsarum, non perflat
vis venti Boreæ : incurvum vero senem facit.
Etiam per virginem tenelli-corporis non perflat,
quæcumque intra ædes caram apud matrem manet,
nondum opera sciens aureæ Veneris;
quando lota tenerum corpus et pingui oleo
uncta in-recessu cubat intra domum
die hiberno, quando exossis (*polypus*) suum pedem arrodit.
inque domo sine-igne et in latibulis tristibus,
neque ei sol ostendit pabulum invadendum :
sed super nigrorum hominum populumque urbemque
vertitur, tardius autem Græcis lucet.
Et tunc jam cornuti et non-cornuti silvicolæ
misere manducantes per nemora saltuosa

φεύγουσιν, καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,
οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι,
καὶ γλάφυ πετρῆεν· τοὶ δὲ τρίποδι βροτοὶ ἶσοι,
οὗτ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται,
τῷ ἴκελοι φοιτῶσιν, ἀλευόμενοι νίφα λευκήν.]
Καὶ τότε ἕσσασθαι ἔρυμα χροὸς, ὥς σε κελεύω,
χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα·
στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι·
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι,
μηδ' ὀρθαὶ φρίσσωσιν ἀειρόμεναι κατὰ σῶμα.
Ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.
Πρωτογόνων δ' ἐρίφων, ὁπότ' ἂν κρύος ὥριον ἔλθῃ,
δέρματα συῤῥάπτειν νεύρῳ βοὸς, ὄφρ' ἐπὶ νώτῳ
ὑετοῦ ἀμφιβάλῃ ἀλέην· κεφαλῆφι δ' ὕπερθεν
πῖλον ἔχειν ἀσκητὸν, ἵν' οὔατα μὴ καταδεύῃ·
ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος,
ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος
ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις,
ὅςτε ἀρυσσάμενος ποταμῶν ἀπὸ ἀενaόντων,
ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ,
ἄλλοτε μέν θ' ὕει ποτὶ ἕσπερον, ἄλλοτ' ἄησιν,
πυκνὰ Θρηϊκίου Βορέου νέφεα κλονέοντος.
Τὸν φθάμενος, ἔργον τελέσας, οἶκόνδε νέεσθαι,
μήποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,
χρῶτά τε μυδαλέον θείῃ, κατά θ' εἵματα δεύσῃ.
Ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώ-
Τῆμος θὤμισυ βουσὶν, ἐπ' ἀνέρι δὲ πλέον εἴη [ποις.
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίῤῥοθοι εὐφρόναι εἰσί.
[Ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν
ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰςόκεν αὖτις
γῆ, πάντων μήτηρ, καρπὸν σύμμικτον ἐνείκῃ.]
Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο
πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκροκνέφαιος.
Τὸν δὲ μέτ' ὀρθρογόη Πανδιονὶς ὦρτο χελιδὼν
ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
Τὴν φθάμενος οἴνας περιταμνέμεν· ὣς γὰρ ἄμεινον.
Ἀλλ' ὁπότ' ἂν φερέοικος ἀπὸ χθονὸς ἂμ φυτὰ βαίνῃ,
Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων·
ἀλλ' ἅρπας τε χαρασσέμεναι καὶ δμῶας ἐγείρειν.
Φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠῶ κοῖτον
ὥρῃ ἐν ἀμήτου, ὅτε τ' ἠέλιος χρόα κάρφει.
Τημοῦτος σπεύδειν, καὶ οἴκαδε καρπὸν ἀγινεῖν,
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη.
Ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν.
Ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου·
ἠὼς, ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους, πολλοῖσι δ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.
Ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ, καὶ ἠχέτα τέττιξ
δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,

fugiunt, (et omnibus in animo id curæ-est,)
ubi tecta quærentes densas latebras habent,
et antrum petrosum : illi vero tripodi (*seni*) homines similes,
cujus dorsum fractum-est, caputque ad terram spectat,
huic similes incedunt, vitantes nivem albam.]
Et tunc indue munimentum corporis, ut te jubeo,
lænamque mollem et talarem tunicam :
stamine vero in pauco multum subtegmen intexe.
Hanc circuminduito, ne tibi pili tremant,
neve erecti horreant surgentes per corpus.
Circum vero pedes calceos bovis vi occisi
aptos ligato, pilis intus condensatos.
Primogenitorum vero hœdorum, cum frigus tempestivum
venerit,] pelles consuito nervo bovis, ut super dorsum
pluviæ circum-injicias munimentum : in capite vero superne
pileum habeto elaboratum, ne aures humeflas :
frigida enim et aurora est Borea cessante :
matutina vero super terram a cœlo stellato
nebula frugifera extenditur fortunatorum super operibus :
quæ hauriens fluminibus e perennibus,
alte supra terram sublata venti procella,
interdum quidem etiam pluit ad vesperam, interdum vero
descendit] densas Thracio Borea nubes excitante.
Hunc antevertens, opere perfecto, domum redi,
ne-quando te cœlitus tenebrosa nubes circumtegat
corpusque madidum reddat, vestesque humectet.
Sed evitato : mensis enim gravissimus hic
hibernus, gravis pecudibus, gravisque hominibus.
Tunc dimidium bobus, homini vero plus adsit
cibariorum : longæ enim adjutrices noctes sunt.
[Hæc observans totum in annum
æquato noctesque et dies, donec rursum
terra, omnium mater, fructum omnigenum ferat.]
Quum autem sexaginta, post conversionem Solis (*brumam*),] hibernos exegerit Jupiter dies, jam sane tunc stella
Arcturus relinquens sacrum fluctum Oceani
primum totus-apparens exoritur vespertinus.
Post hunc autem mane-querula Pandionis surgit hirundo
in lucem hominibus, vere recens-ineunte.
Hanc prævertens vites amputato : sic enim melius.
At cum domiporta (*cochlea*) e terra plantas adscenderit,
Pleiades fugiens, tunc jam circumfossura non-amplius vitium :] sed falcesque acuito et servos excitato.
Fugito vero umbrosas sedes et matutinum somnum,
tempore messis, quando et Sol cutem exsiccat.
Tunc festina et domum fruges congere,
mane surgens, ut tibi victus sufficiens sit.
Aurora enim etiam operis tertiam sortitur partem.
Aurora sane promovet quidem viam, vero etiam promovet
opus :] Aurora, quæ apparens multos ingredi-fecit viam
homines, multis autem juga bobus imponit.
Quum vero scolymosque floret, et canora cicada
arbori insidens stridulum defundit cantum
frequenter sub alis, æstatis laborioso tempore,

τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριστος,
μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες
εἰσίν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει,
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος. Ἀλλὰ τότ' ἤδη
εἴη πετραίη τε σκιὴ, καὶ βίβλινος οἶνος,
μᾶζά τ' ἀμολγαίη, γάλα τ' αἰγῶν σβεννυμενάων,
καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίης,
πρωτογόνων τ' ἐρίφων· ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον,
ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς,
ἀντίον ἀκραέος Ζεφύρου τρέψαντα πρόσωπον,
κρήνης τ' ἀενάου καὶ ἀποῤῥύτου, ἥτ' ἀθόλωτος,
τρεῖς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.
Δμωσὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ σθένος Ὠρίωνος,
χώρῳ ἐν εὐαεῖ καὶ ἐϋτροχάλῳ ἐν ἀλωῇ·
μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν. Αὐτὰρ ἐπὴν δὴ
πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθι οἴκου,
[θῆτά τ' ἄοικον ποιεῖσθαι, καὶ ἄτεκνον ἔριθον
δίζεσθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος·]
καὶ κύνα καρχαρόδοντα κομεῖν· μὴ φείδεο σίτου·
μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται.
Χόρτον δ' ἐσκομίσαι καὶ συρφετὸν, ὄφρα τοι εἴη
βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. Αὐτὰρ ἔπειτα
δμῶας ἀναψῦξαι φίλα γούνατα καὶ βόε λῦσαι.
Εὖτ' ἂν δ' Ὠρίων καὶ Σείριος ἐς μέσον ἔλθῃ
οὐρανὸν, Ἀρκτοῦρον δ' ἐσίδῃ ῥοδοδάκτυλος Ἠὼς,
ὦ Πέρση, τότε πάντας ἀπόδρεπε οἴκαδε βότρυς.
δεῖξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας·
πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
δῶρα Διωνύσου πολυγηθέος. Αὐτὰρ ἐπὴν δὴ
Πληϊάδες θ' Ὑάδες τε τό τε σθένος Ὠρίωνος
δύνωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη.

Εἰ δέ σε ναυτιλίης δυςπεμφέλου ἵμερος αἱρεῖ,
εὖτ' ἂν Πληϊάδες σθένος ὄβριμον Ὠρίωνος
φεύγουσαι πίπτωσιν ἐς ἠεροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θύουσιν ἀῆται·
καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ,
γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω.
Νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι, πυκάσαι τε λίθοισι
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.
Ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐνικάτθεο οἴκῳ,
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο·
πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.
Αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰςόκεν ἔλθῃ·
καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι,
ὥςπερ ἐμός τε πατὴρ καὶ σὸς, μέγα νήπιε Πέρση,
πλωΐζεσκ' ἐν νηυσὶ, βίου κεχρημένος ἐσθλοῦ·
ὅς ποτε καὶ τῇδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,
Κύμην Αἰολίδα προλιπὼν, ἐν νηῒ μελαίνῃ·
οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,

tunc pinguissimæque capræ et vinum optimum,
lascivissimæ autem mulieres, imbecillissimi vero etiam viri
sunt, quoniam caput et genua Sirius siccat,
siccum vero etiam corpus ob æstum. Sed tunc jam
sit petræque umbra, et Biblinum vinum,
panisque bene-coctus, lacque caprarum non-amplius-lactantium,] et vaccæ in-silva-pascentis caro nondum enixæ,
primogenitorumque hœdorum : insuper vero nigrum bibito
vinum,] in umbra sedens, saturatus cor cibo,
contra acute-spirantem Zephyrum vertens vultum,
fontisque perennis ac defluentis, quique illimis *sit*,
tres *partes* aquæ infunde, quartam vero immitte vini.
Famulis autem impera Cereris sacrum munus
triturare, quando primum apparuerit robur Orionis,
loco in ventoso et bene-orbiculata in area :
mensura vero diligenter recondito in vasis. Sed postquam
jam] omnem victum deposueris paratum intra domum,
[servumque domo-carentem conducere, et sine-liberis servam
quærere te jubeo : molesta autem liberos-habens serva.]
Et canem asperis-dentibus nutrito, nec parcas cibo,
ne quando tibi interdiu-dormiens vir res auferat.
Fœnum autem importato et paleas, ut tibi sit
bobus ac mulis annuum *pabulum*. Sed postea
servorum refocilla cara genua et boves solve.
Quum vero Orion et Sirius in medium venerit
cœlum, Arcturum autem inspexerit roseis-digitis Aurora,
o Persa, tunc omnes decerptas-fer domum uvas :
monstrato vero soli decemque dies et decem noctes,
quinque autem in-umbra-pone, sexto autem in vasa haurito
dona Bacchi oblectatoris. Sed postquam jam
Pleiadesque Hyadesque ac robur Orionis
occiderint, tunc deinde arationis memor esto
tempestivæ : annus autem per terram prosper sit.

Sin autem te navigationis periculosæ desiderium capit :
quando Pleiades robur validum Orionis
fugientes ceciderint in obscurum pontum,
jam tunc omnigenorum ventorum furunt flamina :
et tunc ne-amplius naves habeto in nigro ponto :
terram autem exercere memento : uti te jubeo.
Navem vero in continentem trahito, munitoque lapidibus
undique, ut arceant ventorum vim humide flantium,
paxillo extracto, ne putrefaciat Jovis imber.
Armamenta vero disposita omnia tuæ repone domi,
diligenter componens navis alas (*vela*) marivagæ :
clavum vero fabrefactum super fumum suspendito.
Ipse autem tempestivam exspectato navigationem, dum veniat :] et tum navem celerem in-mare trahito, intus vero etiam
onus] aptum imponito, ut domum lucrum reportes,
quemadmodum meusque pater et tuus, valde stolide Persa,
navigabat in navibus, victus indigens honesti :
qui olim et huc venit, multum pontum emensus,
Cuma Æolide relicta, in navi nigra :
non abundantiam fugiens neque divitiasque et fortunam,

ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεσσι δίδωσι.
Νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ, [λῇ.
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθ-
Τύνη δ', ὦ Πέρση, ἔργων μεμνημένος εἶναι
ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.
[Νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι,
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
ἔσσεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.]
Εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν,
βούληαι δὲ χρέα προφυγεῖν καὶ ἀτερπέα λιμὸν,
δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν.
Οὐ γάρ πώποτε νηΐ γ' ἐπέπλων εὐρέα πόντον,
εἰ μὴ ἐς Εὔβοιαν ἐξ Αὐλίδος, ᾗ ποτ' Ἀχαιοὶ
μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.
Ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος
Χαλκίδα τ' εἰςεπέρησα· τὰ δὲ προπεφραδμένα πολλὰ
ἄθλ' ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα μέ φημι
ὕμνῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα.
Τὸν μὲν ἐγὼ Μούσαις Ἑλικωνιάδεσσ' ἀνέθηκα,
ἔνθα με τοπρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
Τόσσον τοι νηῶν γε πεπείρημαι πολυγόμφων·
ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο·
Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
ἐς τέλος ἐλθόντος θέρεος, καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα,
εἰ δὴ μὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι·
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε·
τῆμος δ' εὐκρινέες τ' αὖραι καὶ πόντος ἀπήμων·
εὔκηλος τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
ἑλκέμεν ἐς πόντον, φόρτον τ' εὖ πάντα τίθεσθαι·
σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι·
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον,
καὶ χειμῶν' ἐπιόντα, Νότοιό τε δεινὰς ἀήτας,
ὅςτ' ὤρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ, ὀπωρινῷ, χαλεπὸν δέ τε πόντον ἔθηκεν.
Ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν.
Ἦμος δὴ τοπρῶτον, ὅσον τ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανείη[σα**
ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατός ἐστι θάλασ-
Εἰαρινὸς δ' οὗτος πέλεται πλόος. Οὔ μιν ἔγωγε
αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν·
ἁρπακτὸν χαλεπῶς κε φύγοις κακόν· ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο·
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
Δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν· ἀλλά σ' ἄνωγα
φράζεσθαι τάδε πάντα μετὰ φρεσὶν, ὡς ἀγορεύω.
Μὴ δ' ἐνὶ νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι·
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
Δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κῦρσαι.

sed malam pauperiem, quam Jupiter hominibus dat.
Habitavit autem prope Heliconem misero in vico,
Ascra, hyeme malo, æstate molesto, neque umquam bono
Tu vero, o Persa, operum memor esto
tempestivorum omnium, de navigatione vero maxime.
Navem parvam laudato, magnæ vero onera imponito;
majus quidem onus, majus vero ad lucrum lucrum
erit, si venti quidem malos contineant flatus.
Quando ad mercaturam verteris imprudentem animum,
volueris autem debita effugere et injucundam famem,
ostendam jam tibi rationes multisoni maris,
neque omnino navigandi peritus, neque omnino navium.
Neque enim umquam navi tranavi latum mare;
nisi in Eubœam ex Aulide, ubi quondam Argivi,
exspectantes tempestatem (*desinentem*), multum populum
collegerunt] Græcia e sacra in Trojam pulcris-fœminis.
Ibi vero ego ad certamina strenui Amphidamantis
Chalcidemque trajeci: indicta (*per præcones*) vero multa
præmia posuerunt filii magnanimi: ubi me glorior
carmine victorem tulisse tripodem auritum.
Quem quidem ego Musis Heliconiadibus dicavi,
ubi me primum dulci adduxerunt cantui.
Tantum igitur naves quidem expertus-sum multos-clavos-
habentes.] Sed etiam sic dicam Jovis voluntatem ægida-ha-
bentis:] Musæ enim me docuerunt divinum carmen canere.
Dies quinquaginta post conversionem solis,
ad finem progressa æstate, laborioso tempore,
tempestiva est mortalibus navigatio: neque navem
fregeris, neque homines perdiderit mare,
nisi forte data-opera Neptunus terræ-concussor
aut Jupiter, immortalium rex, velit perdere.
Penes hos enim exitus est pariter bonorumque malorumque
Tunc vero dispositæque auræ et mare innocuum:
securus tunc navem celerem, ventis fretus,
deducito in pontum, onus vero bene omne colloca.
Propera autem quam celerrime rursus domum redire:
neque exspectato vinumque novum et autumnalem imbrem,
et hyemem accedentem, Notique sævos flatus,
qui concitat mare, comitans Jovis imbrem
multum, autumnalem, difficilemque pontum reddit.
Alia vero verna est navigatio hominibus.
Cum enim primum, quantum incedens cornix
vestigium facit, tantum folia homini apparuerint
in ficu summa; tum etiam pervium est mare.
Verna autem hæc est navigatio: non ipsam equidem
probo: neque enim meo animo grata est;
arreptum ægre effugeris malum. Sed tamen et hæc
homines faciunt, stultitia mentis:
opes enim anima sunt miseris mortalibus.
Dirum vero est mori in fluctibus: at te jubeo
considerare hæc omnia in animo, uti dico.
Ne vero in navibus omnem fortunam cavis pone:
sed plura relinquito, pauciora vero imponito.
Dirum enim ponti in fluctibus exitio occurrere.

[Δεινὸν δ' εἴ κ' ἐφ' ἅμαξαν ὑπέρβιον ἄχθος ἀείρας
ἄξονα καυάξαις, τὰ δὲ φορτί' ἀμαυρωθείη.]
Μέτρα φυλάσσεσθαι· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων
μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος,
ἡ δὲ γυνὴ τέτορ' ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο.
Παρθενικὴν δὲ γαμεῖν, ἵνα ἤθεα κεδνὰ διδάξῃς.
Τὴν δὲ μάλιστα γαμεῖν ἥτις σέθεν ἐγγύθι ναίει,
πάντα μάλ' ἀμφὶς ἰδὼν μὴ γείτοσι χάρματα γήμῃς.
Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχης· ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὕει ἄτερ δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκεν.
Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.
Μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς.
Μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δέ κέ σ' ἄρχῃ
ἤ τι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας,
δὶς τόσα τίνυσθαι μεμνημένος· εἰ δέ κεν αὖτις
ἡγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,
δέξασθαι· δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται. Σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
Μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι,
μηδὲ κακῶν ἕταρον μηδ' ἐσθλῶν νεικεστῆρα.
Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
Εἰ δὲ κακὸν εἴπῃς, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
Μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι
ἐκ κοινοῦ· πλείστη δὲ χάρις δαπάνη τ' ὀλιγίστη.
Μηδέ ποτ' ἐξ ἠοῦς Διὶ λείβειν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοισιν μηδ' ἄλλοις ἀθανάτοισιν.
Οὐ γὰρ τοίγε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.
Μηδ' ἀντ' ἠελίου τετραμμένος ὀρθὸς ὀμιχεῖν·
αὐτὰρ ἐπεί κε δύῃ, μεμνημένος, εἰς ἀνιόντα
μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς,
μηδ' ἀπογυμνωθῇς· μακάρων τοι νύκτες ἔασιν·
ἑζόμενος δ' ὅνθειος, ἀνὴρ πεπνυμένα εἰδώς,
ἢ ὅγε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.
Μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθι οἴκου
ἱστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.
Μηδ' ἀπὸ δυςφήμοιο τάφου ἀπονοστήσαντα
σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.
Μηδέ ποτ' ἀενάων ποταμῶν καλλίρροον ὕδωρ
ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,
χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
Ὃς ποταμὸν διαβῇ, κακότητι δὲ χεῖρας ἄνιπτος,
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἄλγεα δῶκαν ὀπίσσω.
Μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.
Μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν

[Dirumque, si in plaustrum prægrande onere imposito
axem fregeris, onera vero corrumpantur.]
Modum servato : opportunum-tempus vero in omnibus optimum.

Mature autem uxorem tuam ad domum ducito,
neque triginta annis valde multum deficiens
neque adjiciens valde multum : nuptiæ vero tibi tempestivæ
hæ,] mulier autem quatuor *annos* pubescat, quinto vero (*pubertatis*) nubat.] Virginem vero ducito, ut mores castos doceas.] Eam vero potissimum ducito, quæ te prope habitat :
omnia bene circumspiciens, ne vicinis ludibria ducas.
Neque enim quicquam muliere vir sortitur melius
bona, verum contra mala non gravius aliud,
comissatrice : quæ virum, etiamsi robustum (exsistentem),
torret sine face et crudæ senectæ tradit.
Bene vero vindictam immortalium beatorum observato.
Neque fratri æqualem facito amicum :
sin autem feceris, ne ipsum prior malo afficias.
Ne vero mentiaris dicis gratia : sin autem tibi cœperit
aut aliquod verbum dicere infestum, aut facere,
bis tantum puniri memento : si vero rursus
redeat ad amicitiam, pœnam autem velit dare,
recipe : miser sane vir amicum alias alium
facit. Tuum vero ne quid animum coarguat vultus.
Ne vero multorum-hospes, neve nullius-hospes dicaris,
neve malorum socius, neve bonorum conviciator.
Neque umquam perniciosam pauperiem animum-comedentem homini] patiaris exprobrare, beatorum munus sempiternorum.] Linguæ certo thesaurus inter homines optimus
parcæ, plurima vero gratia modum servantis :
Sin autem malum dixeris, forsan ipse majus audies.
Neve in communi convivio morosus sis
de symbolis : plurima vero gratia sumtusque minimus.
Neve umquam ex aurora Jovi libato nigrum vinum
manibus illotis, neve aliis immortalibus :
neque enim hi exaudiunt, respuunt vero etiam preces.
Neu contra solem versus stans meito,
sed-etiam postquam occidit, memento, adversus orientem
neque in via, neque extra viam inter-eundum meiere.
Neve denuderis : Deorum quippe noctes sunt :
sedens vero in-fumeto vir prudentia doctus,
aut idem ad parietem accedens bene-septæ caulæ.
Neu pudenda semine pollutus intra domum
focum juxta revelato, sed caveto.
Neve a mali-ominis funebribus reversus
seminato progeniem, sed immortalium a convivio.
Neve umquam perennium fluviorum pulcre-fluentem aquam
pedibus transito, priusquam precatus-fueris adspiciens pulcra
fluenta,] manus lotus amœna aqua limpida.
Qui fluvium transierit, malitia vero manus illotus,
huic Dii succensent et dolores dant in-posterum.
Ne vero a manu, Deorum in convivio splendido,
siccum a viridi reseca nigro ferro.
Neve umquam cyathum pone super craterem

πινόντων· ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.
Μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,
μή τοι ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη.
Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιῤῥέκτων ἀνελόντα
ἔσθειν μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔνι ποινή.
Μηδ' ἐπ' ἀκινήτοισι καθίζειν, οὐ γὰρ ἄμεινον,
παῖδα δυωδεκαταῖον, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ,
[Μηδὲ δυωδεκάμηνον· ἴσον καὶ τοῦτο τέτυκται.]
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
ποινή. Μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας,
μωμεύειν ἀΐδηλα· θεός τοι καὶ τὰ νεμεσσᾷ.
Μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων,
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔτοι λώϊόν ἐστιν.
Ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
Φήμη γάρ τε κακὴ πέλεται κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.
Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
λαοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατὰ [μοῖραν
πεφραδέμεν δμώεσσι· τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν ἠδ' ἁρμαλιὴν δατέασθαι,
εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.
Αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς πάρα μητιόεντος.
Πρῶτον ἔνη τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ,
τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ,
ὀγδοάτη τ' ἐνάτη τε. δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι,
ἑνδεκάτη τε δυωδεκάτη τ'· ἄμφω γε μὲν ἐσθλαί,
ἡ μὲν ὄϊς πείκειν, ἡ δ' εὔφρονα καρπὸν ἀμᾶσθαι·
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων·
τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε τ' ἴδρις σωρὸν ἀμᾶται·
τῇ δ' ἱστὸν στήσαιτο γυνή, προβάλοιτό τε ἔργον.
Μηνὸς δ' ἱσταμένου τρισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.
Ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν,
ἀνδρογόνος δ' ἀγαθή· κούρῃ δ' οὐ σύμφορός ἐστιν,
οὔτε γενέσθαι πρῶτ' οὔτ' ἄρ γάμου ἀντιβολῆσαι.
Οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃσι γενέσθαι
ἄρμενος, ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων,
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήϊον ἤπιον ἦμαρ·
ἐσθλὴ δ' ἀνδρογόνος· φιλέει δέ τε κέρτομα βάζειν,
ψεύδεά θ' αἱμυλίους τε λόγους κρυφίους τ' ὀαρισμούς.
Μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.
Εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἵστορα φῶτα
γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστίν.
Ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη, κούρῃ δέ τε τετρὰς
μέσση· τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς,
καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
πρηΰνειν ἐπὶ χεῖρα τιθείς· πεφύλαξο δὲ θυμόν·

bibentium : perniciosum enim in eo fatum est.
Neu domum exstruens impolitam relinquito,
ne forte insidens crociat stridula cornix.
Neve ex ollis-pedatis nondum-dedicatis capiens
edito, neve lavator : quia et hisce inest pœna.
Neve in immobilibus (*monimentis*) ponito, non enim melius
est,] puerum duodecennem, quod virum impubem reddit :
[neque duodecim mensium : æquale et hoc est.]
Neu muliebri balneo corpus abluito
vir : gravis enim ad tempus est etiam in eo
pœna. Neu sacrificia in accensa incidens,
reprehende arcana : Deus sane et hæc indigne-fert.
Neve umquam in alveo fluviorum mare influentium,
neu super fontes meito, sed valde evitato;
neve incacato; id enim nihilo melius est.
Sic facito : gravem vero mortalium evitato famam.
Fama enim mala est levis quidem levatu
facillime, molesta vero portatu, difficilisque depositu.
Fama vero nulla omnino perit, quam-quidem multi
populi divulgant; Dea sane quædam est et ipsa.

Dies vero ex Jove observans bene secundum decorum,
doce servos : tricesimum mensis optimum
operaque ad-inspicienda atque demensum dividendum,
quum ex-veritate populi eum judicantes degunt.
Hi enim dies sunt Jove a prudente.
Primum primus quartusque et septimus sacer dies,
(hoc enim Apollinem ense-aureo peperit Latona),
octavusque nonusque; duo quidem dies mensis
egregii crescentis mortalia opera ad-curanda,
undecimusque duodecimusque : ambo quidem boni,
hic quidem ovibus tondendis, ille vero lætis segetibus metendis :] duodecimus autem undecimo multo melior :
hoc enim net fila alte-suspensa aranea
die ex pleno, quum et prudens (*formica*) acervum colligit.
Hoc vero telam instituat mulier, proponatque sibi opus.
Mensis autem ineuntis decimotertio evitato
sementem incepturus : plantis vero inferendis optimus *est*.
Sextus vero medius valde incommodus est plantis,
viriparus autem bonus : puellæ vero non utilis est,
neque gignendæ primum, nec nuptui collocandæ.
Nec primus quidem sextus puellis gignendis
aptus, sed hœdis castrandis et gregibus ovium,
stabuloque circumsepiendo pastorali benignus dies :
bonus autem viriparus : amat vero etiam convitia loqui,
mendaciaque blandosque sermones occultaque colloquia.
Mensis vero octavo verrem et bovem mugientem
castrato, mulos autem duodecimo patientes-laboris.
Vicesimo vero (in) magno nono, pleno die, prudentem virum
generato : valde enim animo sapiens est.
Bonus autem viriparus decimus, puellæ vero et quartus
medius; hoc vero et oves et flexipedes camuros boves,
et canem asperis-dentibus et mulos patientes-laboris
cicurato, manum imponens; cave vero iram *eorum*.

Τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε
ἄλγεα θυμοβορεῖν· μάλα τοι τετελεσμένον ἦμαρ.
Ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθ' εἰς οἶκον ἄκοιτιν,
οἰωνοὺς κρίνας οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.
Πέμπτας δ' ἐξαλέασθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί·
ἐν πέμπτῃ γάρ φασιν Ἐρινύας ἀμφιπολεύειν
Ὅρκον γεινόμενον τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.
Μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν
εὖ μάλ' ὀπιπτεύοντα ἐϋτροχάλῳ ἐν ἀλωῇ
βάλλειν· ὑλοτόμον τε ταμεῖν θαλαμήϊα δοῦρα,
νήϊά τε ξύλα πολλά, τάτ' ἄρμενα νηυσὶ πέλονται.
Τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.
Εἰνὰς δ' ἡ μέσση ἐπὶ δείελα λώϊον ἦμαρ.
Πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν·
ἐσθλὴ μὲν γάρ θ' ἥδε φυτευέμεν ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔποτε πάγκακον ἦμαρ.
Παῦροι δ' αὖτε ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
[ἄρξασθαί τε πίθου, καὶ ἐπὶ ζυγὸν αὐχένι θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι,]
νῆα πολυκλήϊδα θοὴν εἰς οἴνοπα πόντον
εἰρύμεναι· παῦροι δέ τ' ἀληθέα κικλήσκουσι
[τετράδι δ' οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ]
μέσσην· παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
ἠοῦς γεινομένης· ἐπὶ δείελα δ' ἐστὶ χερείων.
Αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ.
Αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.
Ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν.
Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη ἄλλοτε μήτηρ.
Τάων εὐδαίμων τε καὶ ὄλβιος ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν,
ὄρνιθας κρίνων καὶ ὑπερβασίας ἀλεείνων.

Quarto caveto finientis inchoantisque *mensis*
doloribus animum conficias : valde sane perfectus dies *est*.
Quarto autem mensis in domum uxorem ducito
auguriis observatis, quæ ad rem hanc optima.
Quintos vero evitato, quia difficilesque *sunt* et graves :
(in) quinto enim aiunt Furias servire
Horco *eo die* nato, quem Eris peperit pestem perjuris.
Medio vero septimo Cereris sacrum munus
bene valde inspiciens bene-orbiculata in area
ventilato : lignicidaque secato cubicularia ligna,
navaliaque ligna multa, quæ apta navibus sunt.
Quarto vero incipito naves compingere fragiles.
Nonus autem medius ad vesperam melior dies.
Primus vero nonus prorsus-innoxius hominibus :
bonus quidem enim et hic ad plantandum atque generandum,
viroque et mulieri : neque umquam prorsus-malus dies.
Pauci vero etiam sciunt tertium-nonum mensis optimum
ad-relinendum dolium et jugum collo imponendum
bobus et mulis et equis celeripedibus,]
navem multis-transtris celerem in nigrum pontum
ad-trahendam : pauci autem veracem dicunt
[quarto vero aperi dolium : præ omnibus sacer dies :]
medium : pauci vero etiam post vicesimum mensis optimum
aurora oriente : ad vesperam autem est deterior.
Hi quidem dies sunt hominibus magno commodo.
Cæteri autem intercidentes innoxii, nihil ferentes.
Alius vero alium laudat, pauci autem norunt.
Interdum noverca est dies, interdum mater.
Horum *dierum*, beatusque et fortunatus *est is*, qui hæc omnia
sciens operatus-fuerit, inculpatus immortalibus,
auguria observans et delicta evitans.

HESIODI FRAGMENTA.

ΑΙΓΙΜΙΟΣ.

I. 1.

Schol. Apollon. III, 587. Ἄγγελόν φησιν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι κελεύοντα δέξασθαι τὸν Φρίξον, ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. Ὁ δὲ τὸν Αἰγίμιον ποιήσας διὰ τὸ δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. Λέγει δὲ, ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων.

II. 2.

Schol. Apollon. IV, 816. ὁ τὸν Αἰγίμιον ποιήσας (ἐν δευτέρῳ) φησίν, ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλε τοὺς ἐκ Πηλέως γενομένους αὐτῇ παῖδας, βουλομένη εἰδέναι, εἰ θνητοί εἰσιν· ἑτέρους δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός φησι. Καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα καὶ διὰ τοῦτο καταλιπεῖν τὴν Θέτιν αὐτόν.

III. 3. (D. 47.)

Stephanus Byz. Ἀβαντὶς ἡ Εὔβοια, ὡς Ἡσίοδος ἐν Αἰγιμίου δευτέρῳ περὶ Ἰοῦς.

νήσῳ ἐν Ἀβαντίδι δίῃ,
τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,
τὴν τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασεν Ζεύς.

IV. 4. (D. 47.)

Schol. Eur. Phœn. 1123. Ὁ δὲ τὸν Αἰγίμιον ποιήσας φησί·

καί οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε μέγαν τε
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα,
ἀθάνατον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πῖπτεν ἐπὶ βλεφάροις, φυλακὴ δ' ἔχεν ἔμπεδον αὐτόν.

Conf. Tzetz. Exeg. Il. p. 153, 21.

V. 5 et 142. (D. 5. 83. 91.)

Apollod. II, 3. Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτὴν (τὴν Ἰὼ) φασιν εἶναι· ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε. Φωραθεὶς δὲ ὑφ' Ἥρας, τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν, αὐτῇ δὲ ἀπωμόσατο μὴ συνελθεῖν. Διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος.

Herodian : περὶ μονήρους λέξεως p. 17. — Καθ' Ἡσίοδον Πειρήν, πατὴρ Ἰοῦς.

Schol. ad Platon. sympos. p. 45. (374, Bekk.) :

ἐκ τοῦ δ' ὅρκον ἔθηκεν ἀπήμονα ἀνθρώποισιν
νοσφιδίων ἔργων πέρι Κύπριδος.

Hesych. in Ἀφροδίσιος ὅρκος : πρῶτος δὲ Ἡσίοδος ἔπλασε τοὺς περὶ τὸν Δία καὶ τὴν Ἰὼ ὀμάσαι.

VI. 6. (D. 47.)

Athenæus XI. p. 503. D. καὶ ὁ τὸν Αἰγίμιον δὲ ποιήσας, εἴθ' Ἡσίοδός ἐστιν ἢ Κέρκωψ ὁ Μιλήσιος·

ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν.

VII. 7. (D. 68. L. 20.)

Etymol. M. p. 768. 25. Τριχάϊκες οἱ συνεχῶς κινοῦντες ἐν

ÆGIMIUS.

I.

Nuntium dicit a Jove Mercurium missum esse qui juberet Phrixum excipi, ut Æetæ filiam in matrimonium duceret. Sed Ægimii auctor illum propter pellem de industria moratum esse tradit et, quum sacrificio facto pellem sacrasset, tum demum in Æetæ ædes intrasse vellus portantem.

II.

Ægimii auctor in secundo libro Thetidem ait filios e Peleo sibi natos in lebetem aqua ferventi plenum conjecisse, scire cupientem, an mortales essent; alios vero in ignem esse conjectos Apollonius refert. Et multis jam interemtis, Peleum prohibuisse, quominus Achillem lebeti injiceret et propterea hunc a Thetide esse relictum.

III.

Abantis Eubœa est, ut Hesiodus in altero Ægimii libro de Io :

insula in Abantide diva,
quam prius Abantida vocabant dii sempiterni,
quam tunc cognominem Eubœam bovis nominavit Jupiter.

IV.

Ægimii auctor ait :

Ei ipsi custodem Argum misit fortemque magnumque,
quaternis oculis videntem hic et illic ;
immortale vero huic injecit dea robur, neque ei somnus [eum.
cadebat super palpebras, vigilantia autem habebat perpetuo

V.

Hesiodus et Acusilaus Pirenis eam (Io) esse filiam dicunt. Quam sacerdotium Junonis habentem Jupiter vitiavit. Superveniente autem Junone puellam tactu in vaccam transformavit candidam ipsique se non coiturum juravit. Quocirca sacramentis de amore juratis deorum iram excitari Hesiodus negat.

Hesiodo auctore Piren Ius pater.

Hinc autem jusjurandum statuit innoxium hominibus furtivis de operibus Cypreæ.

Primus Hesiodus Jovem et Io jurasse fecit.

VI.

Et qui Ægimium fecit, sive is Hesiodus sit, sive Cecrops Milesius :

Ibi aliquando erit meum umbraculum, princeps populorum

VII.

Trichaices, qui in bello cristæ pilos perpetuo movent : que

τοι, πολεμοις τας κατὰ λόφον τρίχας· τοιοῦτο καὶ ὁ κορυθαίολος Ἕκτωρ. Ἡσίοδος δὲ διὰ τὸ τριχῇ αὐτοὺς οἰκῆσαι, οἷον,

πάντες δὲ τριχάϊκες καλέονται,
οὕνεκα τρισσὴν γαῖαν ἑκὰς πάτρης ἐδάσαντο.

Τρία γὰρ Ἑλληνικὰ ἔθνη τῇ Κρήτῃ ἐπῴκησαν, Πηλασγοί, Ἀχαιοί, Δωριεῖς.

VIII. 8. (L. 88.)

Schol. Pind. Ol. XI, 79. (p. 252. Bœckh.) τὴν δὲ πάλην ἐνίκησεν Ἔχεμος Ἀρκὰς τὸ γένος. Ὑπὸ δὲ τούτου Ἐχέμου τὸν Ὕλλον φασὶ τελευτῆσαι κατιόντα εἰς Πελοπόννησον. Ἐγάμησε δὲ τὴν Τιμάνδραν. Ἡσίοδος

Τιμάνδρην, φησίν, Ἔχεμος θαλερὴν ποιήσατ' ἄκοιτιν.

IX. 9. (D. 23. L. 118.)

Schol. Apollon. Rhod. I, 824. Θέσθαι τὸ αἰτῆσαι, καὶ ἱκετεῦσαι. Καὶ Ἡσίοδος·

θεσσάμενος γενεὴν Κλεαδαίου κυδαλίμοιο.

ΑΣΤΡΟΝΟΜΙΑ.

X. 10. (D. 44.)

Athenæus XI. p. 491. C. καὶ ὁ τὴν εἰς Ἡσίοδον ἀναφερομένην ποιήσας Ἀστρονομίαν ἀεὶ πελειάδας αὐτὰς λέγει.

τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας.

καὶ πάλιν·

χειμέριαι δύνουσι Πελειάδες.

καὶ πάλιν·

τῆμος ἀποκρύπτουσι Πελειάδες.

XI. 11.

Hygin. poet. Astr. XXV. Virgo. Hanc Hesiodus Jovis et Themidis filiam dicit. Cf. Oper. 256.

ΕΡΓΑ.

XII. 12. (D. 86.)

Fulgentius Myth. III, 1. Prœtos Pamphyla lingua sordidus dicitur, sicut Hesiodus in bucolico carmine scribit dicens

PEPRIGROSIS TAFULVE ULACTIS MENES EMORUM
i. e. sordidus uvarum bene calcatarum rore.

Versum græcum Jacobsius Fulgentii codice Goth. adjutus ita restituit :

προῖτος σταφυλῶν καλῶς λακτιστῶν αἱμάτιος δρόσος.

XIII. 13.

Plinius H. N. XV, 1. Hesiodus quoque in primis cultum agrorum docendam arbitratus vitam negavit oleæ satorem fructum ex ea percepisse quemquam : tam tarda tunc res erat.

XIV. 14.

Plin. H. N. XXI, 17. Asphodelus manditur et semine tosto et bulbo, sed hoc in cinere tosto, dein sale et oleo addito : præterea tuso cum ficis, præcipua voluptate, ut videtur Hesiodo.

XV. 15.

Plin. H. N. XXI, 20. Polio Musæus et Hesiodus perungi jubent dignationis gloriæque avidos : polium tractari, coli, polium contra serpentes substerni, uri vel portari : in vino decoqui recens vel aridum illinique. Cf. XXV, 2.

XVI. 16.

Plin. H. N. XXV, 2. Musæus et Hesiodus polion herbam in quantum mirati sunt diximus. Orpheus et Hesiodus suffitiones commendavere.

XVII. 17.

Servius ad Virg. Georg. III, 283. Scit lectum esse apud Hesiodum herbam esse quandam, quæ hippomanes vocatur, quasi ἵππου μανία. Si enim eam comederint equi, furorem patiuntur.

XVIII. 18. (L. 72.)

Schol. Ambr. Odyss. VII, 104. καὶ Ἡσίοδος γάρ φησι τὸ

ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπὸν

ἐπὶ τῆς ἠλακάτης τῆς στρεφομένης δίκην μύλης· μήλοπα γὰρ τὸν τῶν προβάτων καρπόν, ἤτοι τὸν μαλλόν.

---

sensu etiam κορυθαίολος Hector. Hesiodus tamen, quia tripartito habitabant. Dicit enim :

omnes autem Trichaices vocantur,
quia triplicem terram procul a-patria partiti-sunt.

Tres enim Græcæ gentes Cretam incolebant Pelasgi, Achæi, Dorienses.

VIII.

Luctam Echemus, Arcas genere, vicit. Ab hoc Echemo Hyllum in Peloponnesum se conferentem occisum esse tradunt. Is Timandram in matrimonium duxit. Hesiodus

Timandram, ait, Echemus floridam fecit uxorem.

IX.

Θέσθαι rogare et supplicare. Hesiodus etiam :

Supplicans soboli Cleadæi illustris.

ASTRONOMIA.

X.

Astronomiæ etiam, quæ Hesiodo attribuitur, auctor Peleiades semper eas appellat :

eas vero mortales vocant Peleiades ;

et rursus :

hibernæ occidunt Peleiades ;

et rursus :

tunc occultantur Peleiades.

OPERA.

XVIII.

Etenim Hesiodus ait illud :

molunt in mola flavum fructum,

in colo molæ instar rotanti : flavum enim ovium fructum, i. e. lanam, intelligit.

ΚΑΤΑΛΟΓΟΙ Η ΗΟΙΑΙ.

XIX. 19.

Servius ad Virg. Æn. VII. p. 426. Hesiodus etiam περὶ τῶν γυναικῶν inducit multas heroidas optasse nuptias virorum fortium.

XX. 20. (L. 17.)

Laur. Lyd. de mens. cap. 4. Ἐν καταλόγοις·

κούρη δ' ἐν μεγάροισιν ἀγαυοῦ Δευκαλίωνος
Πανδώρη Διὶ πατρὶ, θεῶν σημάντορι πάντων,
μιχθεῖσ' ἐν φιλότητι τέκε Γραῖκον μενεχάρμην.

XXI. 21. (L. 14.)

Schol. Apollon. III, 1086. ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων Ἡσίοδος πρώτῳ καταλόγων φησὶ, καὶ ὅτι Προμηθέως καὶ Πύῤῥας Ἕλλην.

XXII. 22.

Schol. Ambr. Hom. Od. X, 2. Δευκαλίων Προμηθέως μὲν υἱὸς, μητρὸς δὲ, ὡς οἱ πλεῖστοι λέγουσι, Κλυμένης, ὡς δὲ Ἡσίοδος, Πρυνείης.

XXIII. 23. (D. 28. L. 16.)

Ἕλληνος δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες
Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.
Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολομήτης
Σαλμωνεύς τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης.

Tzetzes ad Lycophr. 284. cum Schol. Pind. Pyth. IV, 252, Conf. Schol. Thucyd. I, 3. Plutarch. t. II, p. 747, F. Herodian. περὶ μονήρους λέξεως, p. 42. Tzetz. — Exeg. p. 63, 5. 13. Adde Schol. min. ad Od. X, 2. Ἕλλην, ὃς ἦν Διὸς, οὗ καὶ Ἡσίοδος μέμνηται. (Hellen, Jovis filius, cujus etiam Hesiodus mentionem facit.) Vid. Frag. XXI.

XXIV. 24.

Schol. Apollon. IV, 266. Οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος.

XXV. 25. (D. 11. L. 32.)

Strabo VII. p. 322. Gemist. Pletho epit. Strab.

ἤτοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν,
τούς ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα μήδεα εἰδὼς
λεκτοὺς ἐκ γαίης ἀλέους (?) πόρε Δευκαλίωνι.

XXVI. 26. (D. 88. L. 18. 19.)

Constantinus Porphyrogen. de Themat. p. 22. ed. Paris. Μακεδονία ἡ χώρα ὠνομάσθη ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ Θυίας τῆς Δευκαλίωνος, ὥς φησιν Ἡσίοδος ὁ ποιητής·

ἡ δ' ὑποκυσαμένη Διὶ γείνατο τερπικεραύνῳ
υἷε δύω, Μάγνητα Μακηδόνα θ' ἱππιοχάρμην,
οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον.

Herodian. de solœcismo (Boisson. Anecd. Gr. t. III. n°. 9. ap. Valcken. post Ammon. p. 196. coll. Apollod. I, 9, 6.)

Μάγνης δ' αὖ Δίκτυν τε καὶ ἀντίθεον Πολυδευκέα.

XXVII. 27. (D. 5. L. 110.)

Eustath. ad Odyss. p. 1746. κνύος δὲ τὴν φθορὰν κατὰ γένος οὐδέτερον. Ἡρωδιανὸς φέρει καὶ χρῆσιν ἐκ τοῦ παρὰ Ἡσιόδῳ καταλόγου περὶ τῶν Προιτίδων·

καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἰνὸν ἔχευεν·
ἄλφος γὰρ χρόα πάντα κατέσχεν, ἐν δέ νυ χαῖται
ἔῤῥεον ἐκ κεφαλέων, ψίλωτο δὲ καλὰ κάρηνα.

Conf. Etym. M. p. 523, 8.

XXVIII. 28. (D. 5. L. 109.)

Suidas v. μαχλοσύνη, κατωφέρεια, γυναικομανία. Ἡσιόδειος ἡ λέξις. Λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων·

εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος.

Conf. Eustath. p. 1337, 34.

CATALOGI S. EOEÆ.

XX.

Virgo autem in ædibus augusti Deucalionis
Pandora Jovi patri, deorum imperatori omnium,
mixta in amore peperit Græcum bellipotentem.

XXI.

Promethei et Pandoræ filium Deucalionem fuisse Hesiodus in catalogorum primo tradit, et Promethei Pyrrhæque Hellenem.

XXII.

Deucalio Promethei filius matrisque, uti plurimi dicunt, Clymenæ, ut vero Hesiodus, Pryneæ.

XXIII.

Ab Hellene autem geniti-sunt jus-dicentes reges
Dorusque Xuthusque et Æolus equis-gaudens.
Æolidæ autem fuerunt jus-dicentes reges
Cretheus atque Athamas et Sisyphus versutus
Salmoneusque injustus et superbus Perieres.

XXIV.

Qui a Deucalione originem ducebant, in Thessalia regnabant, ut Hecatæus et Hesiodus tradunt.

XXV.

Certe enim Locrus Lelegeiis præerat populis,
quos olim Saturnius Jupiter æterna consilia sciens,
electos e terra vecordes (?) dederat Deucalioni.

XXVI.

Macedonia nominata est e Macedone Jovis filio et Thyia Deucalionis filia, ut ait Hesiodus poeta:

ea autem gravida-facta Jovi peperit gaudenti-fulmine
filios duos, Magnetem Macedonemque equis-gaudentem,
qui circa Pieriam et Olympum domos incolebant.

Magnes autem rursus Dictynque et Deo-similem Pollucem.

XXVII.

Κνύος (scabies) neutrius generis perniciem significat. Herodianus etiam ex Hesiodi catalogo vocis usum de Prœtidibus factum laudat:

etenim his super capita scabiem gravem effudit:
vitiligo enim cutem omnem obtinuit, in-ea autem capilli
defluebant ex capitibus, decalvabantur vero pulcra capita.

XXVIII.

Μαχλοσύνη, lascivia, nymphomania. Vox Hesiodea. Dicit enim de Prœti filiabus:

propter lasciviam odiosam tenerum amiserunt florem.

XXIX. 29. (D. 83.)

Apollodorus II, 2. αὗται δὲ (αἱ Προιτίδες) ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησι, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο.

XXX. 30. (D. 22. L. 33.)

Schol. Apollon. ad I, 156. Ἡσίοδος δὲ (Periclymenum) μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωϊ· τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι, τῆς Ἀθηνᾶς ὑποδειξάσης. Φησὶ δὲ οὕτως·

Περικλύμενόν τ' ἀγέρωχον,
ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετὸς, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,
μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,
ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος. Εἶχε δὲ δῶρα
παντοῖ', οὐκ ὀνομαστὰ, τά μιν καὶ ἔπειτα δόλωσεν
βουλῇ Ἀθηναίης.

Scholiastes minor ad Il. Π. 336. ἐφ' ὅσον μὲν Περικλύμενος ὁ Νηλέως ἔζη, δυσάλωτος ἦν ἡ πόλις. Ἀμφίβιος γὰρ ἐγένετο ἐκεῖνος, καὶ δὴ γενόμενον αὐτὸν μέλισσαν, καὶ στάντα ἐπὶ τοῦ Ἡρακλέους ἅρματος, Ἀθηνᾶ δείξασα Ἡρακλεῖ, ἐποίησεν ἀναιρεθῆναι. Τότε Νέστωρ ἐν Γερήνοις τρεφόμενος, πορθηθείσης τῆς Πύλου, καὶ τῶν ἕνδεκα ἀδελφῶν αὐτοῦ ἀναιρεθέντων, μόνος περιελείφθη· διὸ καὶ Γερήνιος ὠνομάσθη· ἱστορεῖ Ἡσίοδος ἐν Καταλόγοις. Cf. Schol. Ambr. Od. XI, 285. Eustath. p. 1685, 61. Schol. min. ad Od. III, 68 et XI, 285. Eudoc. p. 333.

XXXI. 31. (D. 22. L. 35.)

Stephan. Byz. v. Γερηνία et Eustath. ad Il. B. p. 231.

κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς
ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ
ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερήνοις

et rursus

Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ.

Stephan. Byz. v. Τάβαι. — Ἡσίοδος·

παρ' ἱπποδάμοισι Γερήνοις.

XXXII. 32. (D. 9. L. 4.)

Strabo I, p. 42. (conf. Eustath. ad Dionys. v. 927.) Ἡσίοδος δ' ἐν καταλόγῳ φησί·

καὶ κούρην Ἀράβοιο, τὸν Ἑρμάων ἀκάκητα
γείνατο καὶ Θρονίη, κούρη Βήλοιο ἄνακτος.

XXXIII. 33. (D. 59. L. 101.)

Schol. Hesiodi Theogon. v. 142. οἱ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν.] Κράτης ἀντὶ τούτου ἄλλον στίχον παρατίθεται· οἱ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες. Πῶς γὰρ τοὺς αὐτοὺς θεοῖς ἐναλιγκίους λέγει καὶ ἐν τῷ τῶν Λευκιππιδῶν καταλόγῳ ὑπὸ Ἀπόλλωνος ἀναιρεῖσθαι ποιεῖ;

XXXIV. 34. (D. 59. L. 99.)

Athenagoras Legat. p. 134. περὶ δ' Ἀσκληπιοῦ Ἡσίοδος μὲν

πατὴρ ἀνδρῶν τε θεῶν τε
χώσατ', ἀπ' Οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ
ἔκτανε Λητοΐδην, φίλον σὺν θυμὸν ὀρίνων.

XXXV. 35. (D. 59. L. 99.)

Schol. Pind. Nem. X, 150. Ἡσίοδος οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος.

XXXVI. 37. (L. 89)

Schol. Pind. ibid. ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ.

XXIX.

Prœtides quum adultæ jam ætatis essent, in insaniam inciderunt, quod, ut Hesiodus inquit, Bacchi ferias haud receperant.

XXX.

Hesiodus Periclymenum tradit in unam formarum adsuetarum commutatum umbelico jugi equorum Herculis insedisse, cupientem pugnam conserere cum heroe, Herculem vero, Minerva indicante, ad tempus eum sagitta occidisse. Canit enim ita:

Periclymenumque ferocem,
felicem, cui dederat dona Neptunus quassator-terræ
omnigena: aliquando enim quidem inter aves videbatur
aquila, aliquando autem rursus erat, mirabile visu!
formica, aliquando autem rursus apium splendidum examen,
aliquando terribilis serpens et immitis: habebat vero dona
omnigena, non nominanda, quæ eum etiam deinde deceperunt consilio Minervæ.

Dum Periclymenus, Nelei filius, vivebat, urbs difficilis erat captu. Ancipitis enim vitæ ille erat. Quem in apem commutatum stantemque in Herculis curru Minerva Herculi ostendit occidique jussit. Nestor, qui tum inter Gerenos educabatur, vastata Pylo undecimque fratribus interfectis, solus relictus est. Inde etiam Gerenius nominatus est. Narrat Hesiodus in catalogis.

XXXI.

Interfecit autem Nelei ærumnosi filios egregios
undecim, duodecimus autem Gerenius eques Nestor
hospes versabatur apud equorum-domitores Gerenos.

Et rursus:

Nestor solus effugit in florenti Gereno (*versatus*).

XXXII.

Hesiodus in catalogo ait:

et filiam Arabi, quem Mercurius benevolus
genuit et Thronia, filia Beli regis.

XXXIII.

Qui sane ceterum quidem diis similes erant.] Crates pro hoc versu alium proponit hunc: ii vero ex immortalibus mortales nutriti-sunt loquentes. Quomodo enim eosdem diis similes dicit et in Leucippidarum catalogo ab Apolline occidi facit?

XXXIV.

De Æsculapio Hesiodus:

pater hominumque deorumque
iratus-erat, ab Olympo autem jaciens flammeo fulmine
interfecit Latoïden, suum animum concitans.

XXXV.

Hesiodus nec Ledæ neque Nemesis, sed Oceani et Tethyis filiam Helenam esse vult.

XXXVI.

Hesiodus utriusque (Castoris et Pollucis) originem a Jove ducit.

XXXVII. 38. (D. 84. L. 91.)

Schol. Victor. Il. XIX, 240. (apud Heynium T. VII. p. 806.) Κρὴς ὁ Λυκομήδης, ὥς φησιν Ἡσίοδος καταλέγων τοὺς μνηστῆρας Ἑλένης.

XXXVIII. 40. (D. 85.)

Schol. Harl. Odyss. I, 199. a Porsono emendatus: — Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου. Cf. Schol. Ambr. ad Odyss. IX, 198. Eustath. p. 1623, 45.

XXXIX. 41. (D. 73.)

Porphyrius in Schol. Ven. Il. Ξ. 200. (ἀπειρέσιος·) Σημαίνει δὲ καὶ ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ' Ἡσιόδῳ ἐν γυναικῶν καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδός

Δημοδόκης, τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων
μνήστευον, καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν
ἴφθιμοι βασιλῆες, ἀπειρέσιον κατὰ εἶδος.

Conf. Schol. Ambr. ad Odyss. I., 98.

XL. 42. (D. 92. L. 77.)

Herodianus περὶ μονήρους λέξεως p. 18. διὰ τὸ φανὴ παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένον,

οἱ πρόσθε φανὴν ἔντοσθεν ἔχευθον.

XLI. 43. (D. 93. L. 51.)

Herodianus περὶ μονήρους λέξεως p. 42. Νοῦθος κύριον· ψόφος ἐν οὔδει· Ἡσίοδος τρίτῳ.

Νοῦθος (?) δὲ ποδῶν ὑπὸ δοῦπος ὀρώρει.

XLII. 44 et 126. (D. 94. L. 52.)

Harpocratio p. 191. Μακροκέφαλοι. Ἀντιφῶν· ἐν τῷ περὶ ὁμονοίας. Ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος ἐν τρίτῳ καταλόγῳ μέμνηται.

Strab. I, p. 43. Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν ἡμίκυνας λέγοντος καὶ μακροκεφάλους καὶ πυγμαίους. Conf. Strab. VII, p. 299.

XLIII. 46. (D. 63.)

Schol. Arat. ad v. 322. De Orione: τοῦτον δὲ Ἡσίοδός φησι Βρύλλης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι· δωρεὰν δὲ ἔχειν παρὰ τοῦ πατρὸς, ἐπὶ τῶν κυμάτων πορεύεσθαι· ἐλθόντα δὲ ἐς Χίον, Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι, οἰνωθέντα· τὸν δὲ Οἰνοπίωνα χαλεπαίνοντα ἐκτυφλῶσαι αὐτόν· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλιτεύοντα τῷ Ἡφαίστῳ συμμίξαι, ὃς αὐτὸν ἐλεήσας, δίδωσιν αὐτῷ ποδηγέτην Κυδαλίωνα· ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε, τὰς ὁδοὺς αὐτῷ σημαίνοντα. Ἐλθὼν δὲ εἰς ἀνατολὰς, καὶ ἡλίῳ συμμίξας, ὑγιάσθη. Καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἦλθε, τιμωρήσασθαι μέλλων. Ὁ δὲ μαθὼν ὑπὸ γῆν ἐκρύβη. Ἀπελπίσας δὲ αὐτὸν εὑρεῖν, εἰς Κρήτην ἦλθε, καὶ τῇ Ἀρτέμιδι σύνθηρος ἦν. Ἐπιχειρήσας οὖν καὶ ταύτην βιάσασθαι, ὑπὸ σκορπίου πληγεὶς ἐτελεύτησεν. Conf. Schol. Nicandri Theriac 15. Hygin. poet. Astron. XXXIV.

XLIV. 47. (D. 83. L. 128.)

Apollod. III, 5, 6. Ἡσίοδος (testatur Nioben habuisse) δέκα μὲν υἱοὺς, δέκα δὲ θυγατέρας.

Aelian. V. H. XII, 36: Ἡσίοδος δὲ ἐννεακαίδεκα (Νιόβης παῖδας λέγει), εἰ μὴ ἄρα οὐκ εἰσιν Ἡσιόδου τὰ ἔπη, ἀλλ', ὡς πολλὰ καὶ ἄλλα, κατέψευσται αὐτοῦ.

XLV. 48. (D. 41. L. 29.)

Schol. Sophocl. Trach. 263. διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ τέσσαράς φησιν Εὐρύτου καὶ Ἀντιόπης παῖδας, οὕτως·

ἡ δ' ὑποκυσαμένη καλλίζωνος Στρατονίκη

XXXVII.

Lycomedes Cres, uti dicit Hesiodus in recensendo procos Helenæ.

XXXVIII.

— Hesiodum, qui Maronem ex Œnopione Bacchi filio natum dicit.

XXXIX.

Ἀπειρέσιος, infinitus). Significat vero etiam forma eminentem et perpulcrum, ut apud Hesiodum in mulierum catalogo de Agenoris filia.

Demodoce, quam plurimi terrestrium hominum
ambibant, et cui multa et splendida dona pollicebantur
potentes reges, eminentem propter formam.

XL.

— propter vocabulum φανή (fax) apud Hesiodum in secundo libro scriptum:

hi antea facem intus occultabant.

XLI.

Nuthus, nomen proprium; strepitus in solo excitatus. Hesiodus in tertio libro:

Nuthus (?) autem sub pedibus strepitus excitatus est.

XLII.

Μακροκέφαλοι (capitones). Antiphon in libro de concordia. Populus est ita appellatus, cujus etiam Hesiodus in tertio catalogo mentionem facit.

Hesiodi vero nemo arguerit ignorantiam, quippe semicanes nominantis et capitones et pygmæos.

XLIII.

Hesiodus Orionem Brylles, Minois filiæ, Neptunique filium esse refert. Huic quum facultatem per undas incedendi pater dono dedisset, eum in Chium se contulisse ibique Meropen, Œnopionis filiam, stuprasse ebrium: ab Œnopione irato oculorum lumine orbatum Lemnumque insulam nactum errando Vulcanum convenisse, quem misericordia commotum Cydalionem itineris ducem ipsi dedisse. Hunc in humeris ferebat vias indicantem. Ad orientem deinde profectus solisque consuetudine sanatus, ad Œnopionem reversus est ultionem petiturus. Cujus de adventu certior factus Œnopio sub terra se occuluit. Quem se reperturum desperans Orio in Cretam abiit, ubi Dianæ venationis socius factus est. Quum vero huic etiam vim afferre studeret, a scorpione ictus obiit.

XLIV.

Hesiodus Nioben decem filios totidemque filias habuisse testatur.

Hesiodus undeviginti Niobes liberos fuisse dicit, nisi forte illa carmina Hesiodi non sunt, sed, sicut multa quoque alia, falso ipsi tribuuntur.

XLV.

Eurytidarum numerus ab aliis alius traditur. At Hesiodus quidem quatuor Euryti et Antiopes filios hisce verbis enumerat:

Ea autem gravida-facta pulcre-cincta Stratonice

Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν·
τοῦ δ' υἱεῖς ἐγένοντο Δηΐων τε Κλύτιός τε
Τοξεύς τ' ἀντίθεος, ἠδ' Ἴφιτος, ὄζος Ἄρηος·
τοὺς δὲ μεθ' ὁπλοτάτην τέκετο, ξανθὴν Ἰόλειαν
Ἀντιόπη χρείουσα Πύλωνος Ναυβολίδαο.

XLVI. 49. (D. 57. L. 38.)

Tzetzes Proleg. ad Lycophron. p. 261. Ἡσίοδος αὐτὸς γράψας ἐπιθαλάμια εἰς Πηλέα καὶ Θέτιν·

τρὶς μάκαρ Αἰακίδη καὶ τετράκις, ὄλβιε Πηλεῦ,
ὃς τοῖσδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις.

XLVII. 50. (D. 19. L. 96.)

Strabo IX. p. 442. καὶ δὴ καὶ λέγεται ὑπὸ τῶν ὕστερον ἐπὶ χρόνον συχνὸν ἡ οἴκησις τῶν Ἀθαμάνων ἐν τῷ Δωτίῳ γενέσθαι πεδίῳ· τοῦτο δέ ἐστι πλησίον τῆς ἄρτι λεχθείσης Περραιβίας καὶ τῆς Ὄσσης καὶ ἔτι τῆς Βοιβηΐδος λίμνης, ἐν μέσῃ μέν πως τῇ Θετταλίᾳ, λόφοις δὲ ἰδίοις περικλειόμενον· περὶ οὗ Ἡσίοδος οὕτως εἴρηκεν·

Ἢ οἵη Διδύμους ἱεροὺς ναίουσα κολώνους
Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἀντ' Ἀμύροιο
νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής.

Conf. Strab. XIV, p. 647. Stephan. Byz. in Ἄμυρος.
Stephan. Byz. in Bibl. Coislin. p. 290. — Ἡσίοδος Δωτίῳ ἐν πεδίῳ φάσκει αὐτὸν (Θάμυριν) τετυφλῶσθαι.

XLVIII. 51. (D. 3.)

Etym. MS. Bibl. Paris. allegatum a Ruhnkenio : Ἰλεὺς ὁ Αἴαντος πατὴρ ἐτυμολογεῖται ὑφ' Ἡσιόδου·

Ἰλέα, τόν ῥ' ἐφίλησεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων,
καί οἱ τοῦτ' ὀνόμηνʼ ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην
εὑράμενος ἵλεων μίχθη ἐρατῇ φιλότητι
ἤματι τῷ, ὅτε τεῖχος ἐϋδμήτοιο πόληος
ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων.

Conf. ἐκλογαὶ διαφόρων λέξεων in Crameri anecdotis, vol. II, p. 751. Eustath. p. 101,19. 277,2. 650,48. 1018,59. Tzetz. ad Lycoph. 393. Tzetz. Exeg. p. 126, seq. Etym. M. p. 346. 41. Schol. Pind. ad Olymp. IX, 167.

XLIX. 52. (D. 4. L. 123.)

Ἢ οἵη Ὑρίῃ Βοιωτίῃ ἔτρεφε κούρην

Schol. Ven. Il. 496. (Cat. 3.) Eustath. p. 265, 5.

L. 53. (D. 36. L. 130.)

Ἢ οἵη Ὑρίῃ πυκινόφρων Μηκιονίκη,
ἣ τέκεν Εὔφημον γαιηόχῳ Ἐννοσιγαίῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης.

Ex μεγάλαις Ἠοίαις laudat Schol. Pind. Pyth. IV, 35.

LI. 54. (D. 39. L. 135)

Schol. Soph. ad Trachin. 1174. καὶ Ἑλλοπίαν τὴν Δωδώνην νομίζουσιν εἶναι. Τὴν γὰρ χώραν οὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις λέγων οὕτως.

Ἔστι τις Ἑλλοπίη, πολυλήϊος ἠδ' εὐλείμων,
ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν·
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται,
πολλοί, ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρώπων.
Ἐνθάδε Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται·
τὴν δὲ Ζεὺς ἐφίλησε, καὶ ὃν χρηστήριον εἶναι,
τίμιον ἀνθρώποις, ...
. . . . ναῖον δ' ἐν πυθμένι φηγοῦ.
Ἔνθεν ἐπιχθονίοις μαντεύματα πάντα φέρονται·

Eurytum in ædibus peperit carissimum filium.
Hujus vero filii fuerunt Deionque Clytiusque
Toxeusque Deo-similis atque Iphitus, soboles Martis :
post hos vero minimam-natu peperit flavam Ioleam
Antiope regina, Pylonis *filia* Naubolidæ.

XLVI.

Hesiodus, qui ipse epithalamia in Peleum Thetidemque scripsit :
Ter beate Æacida et quater, fortunate Peleu,
qui his in ædibus sacrum lectum conscendis.

XLVII.

Et posteri quidem affirmant Athamanes longo tempore in Dotio campo habitasse, qui Perrhæbiæ, cujus mentionem modo feci, propinquus est et Ossæ ac Bœbeidi paludi, in media fere Thessalia, collibus totus inclusus. De quo sic Hesiodus cecinit :
aut qualis Didymos sacros incolens colles
Dotio in campo racemosi e-regione Amyri
abluit Bœbeïde palude pedem virgo intacta.

Hesiodus Thamyrin poetam in Dotio campo excæcatum ait.

XLVIII.

Ilei, quo Aiax patre utebatur, nomen ab Hesiodo ita derivatur :
Ileum, quem sane amavit rex Jovis filius Apollo,
et ipsi hoc indidit nomen habendum, quia nympham
inveniens propitiam, mixtus-est jucundo amore
die illo, ubi murum bene-constructæ urbis
excelsum fecit Neptunus et Apollo.

XLIX.

Aut qualis in-Hyria Bœotica nutrivit puellam.

L.

Aut qualis Hyriæ prudens Mecionice,
quæ peperit Euphemum terram-continenti Neptuno
mixta in concubitu aureæ Veneris.

LI.

Dodonam Ellopiæ nomine intelligi putant. Ejus enim loci Hesiodus in Eœis mentionem hoc modo injicit :

Est quædam Ellopia, dives-segetum atque pascuosa,
abundans pecudibus et recurvos-pedes-habentibus bobus :
intus autem viri habitant dites-ovibus, dites-bobus,
multi, innumeri, genera mortalium hominum :
ibi Dodona quædam in extrema-parte condita-est :
hanc vero Jupiter amavit, et suum oraculum esse,
venerandum hominibus,......
......habitabant autem in trunco fagi :
hinc terrestribus vaticinia omnia feruntur :

ὅς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ,
δῶρα φέρων ἔλθῃσι σὺν οἰωνοῖς ἀγαθοῖσιν.

Conf. Strab. VII, p. 328.

LII. 55. (D. 35. L. 105.)

Schol. Pindar. Pyth. IX, 6.

ἢ οἵη Φθίη Χαρίτων ἄπο κάλλος ἔχουσα,
Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη.

LIII. 56. (D. 20. L. 129.)

Pausan. Bœot. IX, 36, 4. Ὑήττου δὲ ἐποιήσατο μνήμην καὶ ὁ τὰ ἔπη συνθεὶς, ἃς μεγάλας Ἠοίας καλοῦσιν Ἕλληνες·

Ὕηττος δὲ Μόλυρον, Ἀρίσβαντος φίλον υἱὸν,
κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ' ἧς ἀλόχοιο,
οἶκον ἀποπρολιπὼν φεῦγ' Ἄργεος ἱπποβότοιο,
ἷξεν δ' Ὀρχομενὸν Μινύειον· καί μιν ὅγ' ἥρως
δέξατο, καὶ κτεάνων μοῖραν πόρεν, ὡς ἐπιεικές.

LIV. 57. (D. 21. L. 104.)

Pausan. Bœot. IX, 40, 5. τὸ δὲ νῦν τοῖς Χαιρωνεῦσιν ὄνομα γεγονέναι ἀπὸ Χαίρωνος, ὃν Ἀπόλλωνός φασιν εἶναι, μητέρα δὲ αὐτοῦ Θηρὼ τὴν Φύλαντος εἶναι. Μαρτυρεῖ δὲ καὶ ὁ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ποιήσας·

Φύλας δ' ὤπυιεν κούρην κλειτοῦ Ἰολάου,
Λειπεφίλην· ἣν δ' εἶδος Ὀλυμπιάδεσσιν ὁμοίη,
Ἱππότην δέ οἱ υἱὸν ἐνὶ μεγάροισιν ἔτικτεν,
Θηρώ τ' εὐειδῆ ἰκέλην φαέεσσι σελήνης.
Θηρὼ δ' Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα
γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο.

LV. 58.

Hygin. poët. astr. XX. p. 465. Stav. Aries. Hic existimatur esse, qui Phrixum transtulisse et Hellen dictus est per Hellespontum, quem Hesiodus et Pherecydes ait habuisse auream pellem.

LVI. 59.

Schol. Apollon. IV, 284. Ἡσίοδος δέ φησι διὰ Φάσιδος αὐτοὺς (τοὺς Ἀργοναύτας) πεπλευκέναι.

LVII. 60. (L. 57.)

Schol. Apoll. IV, 259. Ἡσίοδος δὲ καὶ Πίνδαρος καὶ Ἀντίμαχος διὰ τοῦ Ὠκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς (τοὺς Ἀργοναύτας) εἰς Λιβύην, καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

LVIII. 61. (L. 50. 112.)

Schol. Apoll. II, 178. ὡς δὲ Ἡσίοδός φησιν Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας (υἱὸς ἦν Φινεύς).

LIX. 62.

Schol. Apoll. II, 181. πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν εἰς Σκυθίαν ὁδὸν ἐμήνυσεν, ἐν δὲ τῷ γ' καταλόγῳ, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν.

LX. 63. (L. 21.)

Schol. Apoll. I, 482. Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτοὺς [λέγει τοὺς Ἀλωΐδας] καὶ Ἄλον πόλιν Αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι.

LXI. 64. (D. 66. L. 121.)

Schol. Apoll. IV, 57. Ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ Διὸς εἰς οὐρανόν· ἐρασθέντα δὲ Ἥρας παραλογισθῆναι διὰ τὸν ἔρωτα εἰδώλῳ νεφέλης καὶ ἐκβληθέντα κατελθεῖν εἰς ᾅδου.

LXII. 65.

Schol. Apoll. II, 1123. Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς

---

qui jam illuc profectus deum immortalem interrogarit,
dona ferens venerit cum avibus bonis.

LII.

Aut qualis Phthia, a Gratiis pulcritudinem habens,
Penei ad aquam pulcra habitabat Cyrene.

LIII.

Auctor etiam illorum carminum, quæ a Græcis magnæ Eœæ vocantur, Hyetti mentionem facit:

Hyettus vero Molyrum, Arisbantis carum filium,
cum occidisset in ædibus concubitus causa suæ conjugis
domo relicta fugit Argo equos-pascente,
venit autem Orchomenum Minyeium: et eum heros
excepit, et opum partem præbuit, ut æquum *erat*.

LIV.

Hodiernum nomen Chæronensibus a Chærone deducitur, quem Apollinis filium, cujus matrem Theronem Phylantis filiam fuisse affirmant. Testatur etiam auctor carminum, quæ magnæ Eœæ vocantur:

Phylas autem compressit filiam inclyti Iolai,
Lipephilen: erat autem pulcritudine Deabus similis,
Hippoten vero ei filium in ædibus peperit,
Theronemque formosam similem radiis Lunæ.
Thero vero Apollinis in ulnas quum-incidisset,
peperit Chæronis fortem vim equorum-domitoris.

LVI.

Hesiodus Argonautas Phasin trajecisse dicit.

LVII.

Hesiodus Pindarusque et Antimachus Argonautas per Oceanum in Libyam portantesque Argo nostrum in pelagus venisse tradunt.

LVIII.

Hesiodo auctore Phineus Phœnicis, filii Agenoris, et Cassiopeæ filius erat.

LIX.

Phineum excæcatum esse Hesiodus in magnis Eœis dicit, quod Phrixo viam in Scythiam indicasset, contra in tertio catalogo, quum longam vitam oculorum lumini præferendam judicasset.

LX.

Aloidas nomine quidem Aloei et Iphimedeæ, sed revera Neptuni atque Iphimedeæ filios esse Hesiodus auctor est, et Alon urbem Ætoliæ ab eorum patre ædificatam.

LXI.

In magnis Eœis legitur Endymionem a Jove in cœlum esse sublatum, propter amorem autem, quo Junonem amplexus esset, nubis imagine deceptum atque in orcum dejectum.

LXII.

Acusilaus et Hesiodus in magnis Eœis tradunt ex Iophossa

μεγάλαις Ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου (παῖδας γεγονέναι Φρίξῳ) καὶ οὗτος μέν φησιν αὐτοὺς τέσσαρας Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσωρον.

LXIII. 66. (L. 113.)

Schol. Apoll. IV. 828. Ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα.

LXIV. 67. (D. 37. L. 61.)

Schol. Pind. ad Nem. III, 21. (adde eund. ad Ol. VIII, 27.) περὶ τῶν Μυρμιδόνων Ἡσίοδος μὲν οὕτως φησίν·

ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην.
Αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
μοῦνος ἐὼν ἤσχαλλε. Πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.
Οἳ δή τοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας.
πρῶτοι δ' ἱστία θέσσαν, νεὼς(?) πτερὰ ποντοπόροιο.

Conf. Tzetzes ad Lycophr. 176.

LXV. 68. (D. 43L. . 136.)

Athenaeus X. p. 428. C. διὸ καὶ Ἡσίοδος ἐν ταῖς Ἠοίαις εἶπεν·

οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος,
ὅςτις ἄδην πίνει, οἶνος δέ οἱ ἔπλετο μάργος,
σύν τε πόδας χεῖράς τε δέει γλῶσσάν τε νοον τε
δεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος.

Idem VIII. p. 364. B. quædam profert, ἅπαρ πάντα ἐκ τῶν εἰς Ἡσίοδον ἀναφερομένων μεγάλων Ἠοίων, καὶ [μεγάλων] Ἔργων παρῴδηται.

LXVI. 69. (D. 43.)

Anonymi ad Aristot. Eth. Nicom. III. p. 43. r. καὶ ὅτι πόνηρος ἐπὶ τοῦ ἐπιπόνου τάττεται καὶ δυςτυχοῦς, ἱκανὸς Ἡσίοδος παραστῆσαι ἐν ταῖς μεγάλαις Ἠοίαις τὴν Ἀλκμήνην ποιῶν πρὸς τὴν Ἡρακλέα λέγουσαν·

ὦ τέκνον, ἦ μάλα δή σε πονηρότατον καὶ ἄριστον
Ζεὺς ἐτέκνωσε πατήρ.

Subiungit Aspasius καὶ πάλιν·

τέκνον ἐμὸν Μοῖραί σε πονηρότατον καὶ ἄριστον.

LXVII. 70. (D. 60.)

Schol. Arati Phæn. 172. Ἡσίοδος δέ φησι περὶ αὐτῶν (sc. Ὑάδων)

Νύμφαι Χαρίτεσσιν ὁμοῖαι,
Φαισύλη ἠδὲ Κορωνὶς ἐϋστέφανος τε Κλέεια
Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος,
ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

Cf. ad v. 255. Tzetzes Chil. XII, 171.

LXVIII. 71. (D. 61. L. 30)

Tzetzes ad Lycophr. 344. Ὁ Αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλε, ὥς φησι καὶ Ἡσίοδος·

πάντα γὰρ ὅσσα λάβεσκεν ἀείδελα πάντα τίθεσκε.

Conf. Eudocia in Violeto p. 375. 394. Etymol. M. p. 21. 26.

LXIX. 72. (D. 58. L. 8.)

Eustath. Il. p. 461. Πολυδίψιον δὲ τὸ Ἄργος καλεῖ ἢ ὡς πάνυ ποθούμενον Ἕλλησιν, ἢ ὅτι μυθεύεται ἄνυδρόν ποτε εἶναι. ὕστερον μέντοι ἔνυδρον γενέσθαι Ποσειδῶνος ἀναῤῥήξαντος τὰς ἐν Λέρνῃ πηγὰς διὰ τὸν τῆς Ἀμυμώνης ἔρωτα (Apollod. II. c. 1. p. 121.), ἐξ ἧς καὶ Ἀμυμώνια ἐν Ἄργει ὕδατα

Æeti filia Phrixo filios esse natos, eosque quatuor, uti Hesiodus affirmat, Argum, Phrontida, Melanem, Cytisorum.

LXIII.

In magnis Eœis Scylla Phorbantis et Hecates filia.

LXIV.

De Myrmidonibus Hesiodus sic ait:

ea autem gravida-facta peperit Æacum equis-gaudentem:
sed postquam pubertatis amabilis attigit mensuram,
solus quod-esset dolebat: pater vero hominumque deorum-[que,
quotquot erant formicæ amœnam intra insulam,
eas viros fecit alteque-cinctas mulieres;
qui jam primum instruxerunt naves utrimque-remigatas:
primi vero vela posuerunt, navis alas per-mare-vectæ.

LXV.

Propterea Hesiodus etiam in magnis Eœis dixit:

Qualia Bacchus dedit hominibus gaudium et molestiam;
quisquis copiose bibit, vinum vero huic est contumeliosum,
simulque pedes manusque colligat linguamque mentemque
vinculis occultis; amat autem eum mollis somnus.

—

Quæ omnia ad imitationem magnarum Eœarum, quas Hesiodo attribuunt Operumque expressa sunt.

LXVI.

Πόνηρον (malum, miserum) de laborioso et infelice dici, idoneus testis Hesiodus est, qui in magnis Eœis Alcmenen ad Herculem ita dicere facit:

o fili, sane te miserrimum et optimum
Jupiter genuit pater.

Et rursus:

Mi fili, parcæ te miserrimum et optimum.

LXVII.

Hesiodus de Hyadibus ait:

Nymphæ Gratiis similes,
Phæsyla atque Coronis pulcreque-coronata Cleea
Phæoque amabilis et Eudora longo-peplo,
quas Hyades vocant super terra genera hominum.

LXVIII.

Autolicus arte furandi præ omnibus eminebat, uti Hesiodus etiam ait:

omnia enim quæcunque attingebat, inconspicua omnia reddebat.

LXIX.

Siticulosissimum Argos vocat, aut quia valde desideratum est Græcis, aut quia aqua id olim caruisse in fabulis est, dein vero aquosum factum, fontibus in Lerne a Neptuno apertis ob amorem Amymonæ ex qua etiam Amymoniæ Argorum aquæ

(Schol. Euripid. Phœn. 195.), ἢ καὶ ἀπὸ τῶν Δαναΐδων, αἳ παραγενόμεναι ἐξ Αἰγύπτου φρωρυχίαν ἐδίδαξαν, ὡς Ἡσίοδος·

Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον.

Strabo. VIII, 371. ἀφ' οὗ καὶ τὸ ἔπος εἰπεῖν τοῦτο.

Ἄργος ἄνυδρον ἐὸν Δαναοὶ θέσαν Ἄργος ἔνυδρον.

Hesychius : Δίψιον Ἄργος· Ἡσίοδος μὲν τὸ ἄνυδρον.

LXX. 73. (L. 106.)

Servius ad Virg. Georg. I, 14. Aristæum invocat, i. e. Apollinis et Cyrenes filium, quem Hesiodus dicit Apollinem pastoralem.

LXXI. 74. (D. 75. L. 24.)

Schol. Ven. XXIII. 638. Ἄκτορος υἱοὺς — Ἀρίσταρχος διδύμους ἀκούει· οὐχ οὕτως, ὡς ἡμεῖς ἐν τῇ συνηθείᾳ νοοῦμεν, οἷοι ἦσαν καὶ οἱ Διόσκουροι, ἀλλὰ τοὺς διφυεῖς δύο ἔχοντας σώματα, Ἡσιόδῳ μάρτυρι χρώμενος, καὶ τοὺς συμπεφυκότας ἀλλήλοις. Adde Schol. ad Iliad. XI, 749, Eustath. p. 882,27. 1321,22. Apollon. Lex. Hom. in Μολίονε. Plutarch. περὶ τῶν κοινῶν ἐννοιῶν p.1083. C.

LXXII. 75. (D. 70. L. 59.)

Schol. Ven. II. 764.(Catal. 271.) ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης, παρὰ γοῦν Ἡσιόδῳ ἀνεγνώκασι

ποδώκης δῖ' Ἀταλάντη.

LXXIII. 76. (D. 70. L. 58.)

Apollod. III, 9, 8. Ἡσίοδος δὲ καί τινες ἕτεροι τὴν Ἀταλάντην οὐκ Ἰάσου, ἀλλὰ Σχοινέως εἶπον.

LXXIV. 77. (L. 71.)

Schol. Ambr. Hom. Od. VII, 54. Ἡσίοδος δὲ ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπέλαβεν.

LXXV. 78. (D. 98. L. 34.)

Philemo v. εὐφυής et Favorinus p. 781. 20. καὶ τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα, ὡς παρ' Ὁμήρῳ κλυτὸς Ἱπποδάμεια καὶ θερμὸς ἀϋτμὴ καὶ ἁλὸς πολιοῖο, καὶ παρ' Ἡσιόδῳ·

δαϊζομένοιο πόληος.

LXXVI. 79.

Chœroboscus in Bekkeri Anecdotis p. 1183. ὁ Θόας, τοῦ Θόα, ὡς παρ' Ἡσιόδῳ·

ἡ δὲ Θόαν τέκεν υἱόν.

LXXVII. 80. (D. 100. L. 93.)

Tzetzes Exeges. in Iliad. p. 68. 20. ὁ Ἀγαμέμνων, ὁμοίως δὲ καὶ Μενέλαος καθ' Ἡσίοδον καὶ Αἰσχύλον Πλεισθένους υἱοῦ Ἀτρέως παῖδες νομίζονται, κατὰ δὲ τὸν ποιητὴν καὶ πάντας ἁπλῶς Ἀτρέως αὐτοῦ. — Ἀτρέως δὲ καὶ Ἀερόπης κατὰ μὲν τὸν ποιητὴν καὶ πάντας ἁπλῶς Ἀγαμέμνων, Μενέλαος καὶ Ἀναξιβία ἡ μήτηρ Πυλάδου· κατὰ δὲ Ἡσίοδον καὶ Αἰσχύλον καὶ ἄλλους τινὰς Ἀτρέως καὶ Ἀερόπης Πλεισθένης. Πλεισθένους δὲ καὶ Κλεόλλας τῆς Δίαντος Ἀγαμέμνων, Μενέλαος καὶ Ἀναξιβία. νέου δὲ τοῦ Πλεισθένους τελευτήσαντος ὑπὸ τοῦ πάππου αὐτῶν ἀνατραφέντες Ἀτρέως Ἀτρεῖδαι πολλοῖς ἐνομίζοντο. Cf. Eustath. p. 21,14.

Schol. Ven. ad Iliad. I, 7. Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δὲ Ἀερόπης, κατὰ δὲ Ἡσίοδον Πλεισθένους· τὸ γένος Μυκηναῖος. Conf. Eudot. p. 23.

LXXVIII. 81. (D. 45. L. 82.)

Hesychius : Ἐπ' Εὐρυγύῃ ἀγών. Μελησαγόρας τὸν Ἀνδρόγεων Εὐρυγύην εἰρῆσθαί φησι τὸν Μίνωος, ἐφ' ᾧ ἀγῶνα τίθεσθαι ἐπιτάφιον Ἀθήνησιν ἐν τῷ Κεραμεικῷ· καὶ Ἡσίοδον.

Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηνάων ἱεράων.

---

nominantur, aut a Danaidibus, quæ quum ex Ægypto venissent, puteorum fodiendorum artem docebant, uti Hesiodus :

Argos aquæ-expers Danaus reddidit aquosum.

Hinc quoque illud dictum :

Argos aquæ-expers Danaides fecerunt Argos aquosum.

Siticulosum Argos. Hesiodus ἄνυδρον (aqua carens) id cognominat.

LXXI.

Actoris filios — geminos Aristarchus, non quo sensu in cognatione vocem intelligimus, quales etiam Dioscuri erant, sed ancipites interpretatur esse, duo habentes corpora, Hesiodo teste usus, et concretos inter se.

LXXII.

Vocabulum ποδώκης ubi Achilli tribuitur peculiariter gravem habere accentum, affirmant. Apud Hesiodum enim legunt :

ποδώκης (celeripes) diva Atalanta.

LXXIII.

Hesiodus et alii quidam Atalanten non Iasi, sed Schœnei filiam esse dixerunt.

LXXIV.

Hesiodus Alcinoi sororem Aretam fuisse existimavit.

LXXV.

Femininis etiam nominibus adjectiva masculina conjungunt, ut apud Homerum κλυτὸς κ. τ. λ. (inclyta Hippodamia et calidus flatus et maris cani,)et apud Hesiodum :

divisæ urbis.

LXXVI.

Thoas, genit. Thoa, ut apud Hesiodum :

ea autem Thoan peperit filium.

LXXVII.

Et Agamemno et Menelaus Hesiodo Æschyloque auctoribus e Plisthene, Atrei filio nati esse habentur, Homero autem omnibusque veracibus ex ipso Atreo. — Atrei enim et Aëropæ secundum hos liberi Agamemno, Menelaus et Anaxibia, Pyladæ mater, erant. Hesiodus Æschylusque et alii nonnulli Atrei et Aëropes filium Plisthenem faciunt; hujus et Cleollæ, Diantis filiæ, liberos Agamemnonem Menelaumque et Anaxibiam esse volunt. Plisthene vero præmature mortuo Atridas ab Atreo avo educatos esse multi existimant.

Agamemno secundum Homerum Atrei, filii Pelopis, filius est ex matre Aerope, secundum Hesiodum Plisthenis, genere Mycenensis.

LXXVIII.

Eurygyæ certamen.] Melesagoras Androgeon, Minois filium, Eurygyen vocatum esse ait, cui funebre certamen celebrari Athenis, in Ceramico. Hesiodus etiam :

Eurygyes autem adhuc puer Athenarum sacrarum.

LXXIX. 82. (D. 45.)

Ammonius v. Ὄρθρος· καὶ Ἡσίοδος, τελευτῆσαί τινα

πρωῒ μάλ' ἠίθεον.

LXXX. 83. (D. 79. L. 22.)

Suidas et Zonaras in Ἐπιάλτην. Ὅμηρος καὶ Ἡσίοδος καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα, διὰ δὲ τοῦ φ τὸν ἄνδρα Ἐφιάλτην, καὶ ῥιγοπύρετον λεγόμενον.

LXXXI. 84. (D. 80. L. 102.)

Schol. Eurip. Alcest. I. ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ αὕτη ἐστίν, ᾗ κέχρηται νῦν Εὐριπίδης. Οὕτω δέ φησι καὶ Ἡσίοδος.

LXXXII. 85. (D. 31. L. 37.)

Schol. Pindari Nem. IV, 95. memorata Dædali et Acasti historia, ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος, λέγων οὕτως.

ἧδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
αὐτὸν μὲν σχέσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις·
ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη.

LXXXIII. 86. (D. 32. L. 42.)

Schol. Pindari Nem. III, 92. ὅτι δὲ ἐτράφη παρὰ τῷ Χείρωνι ὁ Ἰάσων Ἡσίοδός φησιν·

Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰήσονα, ποιμένα λαῶν,
ὃν Χείρων ἔθρεψ' ἐνὶ Πηλίῳ ὑλήεντι.

LXXXIV. 87.

Plut. Thes. c. 16. Καὶ γὰρ ὁ Μίνως ἀεὶ διετέλει κακῶς ἀκούων καὶ λοιδορούμενος ἐν τοῖς Ἀττικοῖς θεάτροις. Καὶ οὔτε Ἡσίοδος αὐτὸν ὤνησε, βασιλεύτατον — προσαγορεύσας.

LXXXV. 88. (D. 51. L. 83.)

Plutarchus Thes. c. 20. ἀπολειφθῆναι δὲ τὴν Ἀριάδνην, τοῦ Θησέως ἐρῶντος ἑτέρας·

δεινὸς γάρ μιν ἔτειρεν ἔρως Πανοπηΐδος Αἴγλης.

Τοιοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατον ἐξελεῖν φησιν Ἡρέας ὁ Μεγαρεύς.

LXXXVI. 89. (D. 51. L. 83.)

Athenæus XIII. p. 557. Ἡσίοδος δέ φησι Θησέα νομίμως γῆμαι καὶ Ἵππην καὶ Αἴγλην, δι' ἣν καὶ τοὺς πρὸς Ἀριάδνην ὅρκους παρέβη, ὥς φησι Κέρκωψ.

LXXXVII.

Schol. Pind. Pyth. III. 14. (Coll. Pausan. II. 26,7):

ἡ δ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιόν, ὄρχαμον ἀνδρῶν,
Φοίβῳ ὑποδμηθεῖσα, ἐϋπλόκαμόν τ' Ἐριῶπιν.

καὶ περὶ Ἀρσινόης ὁμοίως.

Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητοῦς υἱῷ
τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε.

Idem ibid. — Apud Gœttl. 90. (D. 29. L. 98.)

[τῶν μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς
Πυθὼ ἐς ἠγαθέην, καί ῥ' ἔφρασεν ἔργ' ἀΐδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅτι Ἴσχυς γῆμε Κορωνὶν
Εἰλατίδης, Φλεγύαο διογνήτοιο θύγατρα.]

LXXXVIII. 91. (D. 30.)

Schol. Pindari ad Ol. X, 46. τὴν πόλιν δὲ καλεῖσθαί φασι Φύκτεον ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος οὕτω·

τὴν Ἀμαρυγκείδης Ἱππόστρατος, ὄζος Ἄρηος,
Φυκτέως ἀγλαὸς υἱός, Ἐπειῶν ὄρχαμος ἀνδρῶν.

LXXIX.

Orthrus.] Hesiodus etiam, obiisse aliquem
præmature valde juvenem.

LXXX.

Epialten Homerus Hesiodusque atque Attici dæmonem appellant, virum autem et febrem illam (ῥιγοπύρετον) Ephialten per ph.

LXXXI.

Historia de Apolline apud Admetum serviente, qualis in vulgi ore est, Euripides utitur, neque aliter Hesiodus eam tradit.

LXXXII.

Atque ea quidem præter multos alios Hesiodus hoc modo narrat:

Id autem ei in animo optimum videbatur consilium,
ipsum quidem retinere, occultare vero inopinato gladium
pulcrum, quem ei fabricaverat inclytus Vulcanus:
ut hunc quærens solus per Pelium altum
extemplo a Centauris montanis domaretur.

LXXXIII.

Jasonem apud Chironem esse educatum Hesiodus ait:
Æson, qui genuit filium Jasonem, pastorem populorum,
quem Chiron educabat in Pelio silvoso.

LXXXIV.

Minos enim hodieque semper male audit et increpatur in theatris Atticis, neque Hesiodus eum adjuvit eo quod maxime regium cognominavit.

LXXXV.

Ariadnam relictam esse Theseo aliam amante:
crudelis enim eum cruciavit amor Panopeïdis Æglæ.

Id enim ita ex Hesiodeis carminibus a Pisistrato sumptum esse Hereas Megarensis ait.

LXXXVI.

Hesiodus Theseum legitimo matrimonio ait habuisse et Hippen et Æglen, propter quam etiam jusjurandum, quo Ariadnæ se obstrinxerat, violavit, ut Cecrops tradit.

LXXXVII.

Ea autem peperit in ædibus Æsculapium, ducem virorum,
Phœbo compressa, pulcricomamque Eriopidem.

Et de Arsinoe similiter:

Arsinoe autem mixta Jovis et Latonæ filio
peperit Æsculapium filium inculpatumque fortemque.

[Horum quidem igitur nuntius venit corvus sacro a convivio
Pytho in divinam, et sane indicabat facta ignota
Phœbo intonsis-comis, Ischyn duxisse Coronidem,
Ilatiden, Phlegyæ e-Jove-nati filiam.]

LXXXVIII.

Urbem Phycteum nominari dicunt e Phycteo quodam, quem Hesiodus etiam memorat his verbis:

eam Amaryncides Hippostratus, suboles Martis,
Phyctei splendidus filius, Epeorum dux virorum.

Apollod. I, 8. Ἡσίοδος δὲ (Περιβοίαν) ἐξ Ὠλένου τῆς Ἀχαίας, ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόῤῥω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι.

Conf. Strab. VIII, p. 324 .vid. inf. frag. CLIV.

LXXXIX. 92. (L. 60.)

Schol. Ven. Il. XXIII, 683.περιζώματα γὰρ ἕως ποδῶν διήκοντα ἐφόρουν πρὸς τὸ μὴ εὐκόλως πλήττεσθαι, ὕστερον δὲ Ἀθήνησί τινων ἀγωνιζομένων, ἄρχοντος Ἱππομένους, συνέβη ἕνα αὐτῶν πεσόντα πρὸς τὸ ἐμποδισθῆναι ὑπὸ τοῦ περιζώματος τελευτῆσαι.ὅθεν ἐθεσπίσθη γυμνοὺς ἀγωνίζεσθαι μέχρι τοῦ νῦν. διὸ καὶ οἱ τόποι ἐν οἷς ἔκτοτε ἐπονοῦντο γυμνάσια καλοῦνται· νεώτερος οὖν Ἡσίοδος γυμνοὺς ἐςάγων ἀγωνιστάς.
Conf. Eustath. p. 1324,16.

XC. 93. (L. 28.)

Schol. Pindar. Ol. VII, 42. (p. 166. Boeckh.) Ὅμηρος ταύτην Ἀστυόχην φησὶν, οὐκ Ἀστυδάμειαν — καὶ Ἡσίοδος δὲ Ἀστυδάμειαν αὐτήν φησι.

XCI. 94. (D. 13. L. 9.)

Strabo. X. p. 471. Ἡσίοδος μὲν γὰρ Ἑκαταίου καὶ τῆς Φορωνέως θυγατρὸς πέντε γενέσθαι θυγατέρας φησίν

ἐξ ὧν οὔρειαι Νύμφαι θεαὶ ἐξεγένοντο,
καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοεργῶν,
Κουρῆτές τε θεοὶ, φιλοπαίγμονες, ὀρχηστῆρες.

XCII. 95. (D. 38. L. 85.)

Schol. Pindari Olymp. X, 83. Ἔνιοι δὲ γράφουσι Σῆρος Ἀλιῤῥοθίου, οὗ μέμνηται Ἡσίοδος·

ἤτοι ὁ μὲν Σῆρον καὶ Ἀλάζυγον υἱέας ἐσθλούς.

ἦν δὲ ὁ Σῆρος τοῦ Ἀλιῤῥοθίου τοῦ Περιήρους καὶ Ἀλκυόνης.

XCIII. 96. (D. 40. L. 94.)

Schol. Soph. Electr. 539. Συμφωνεῖ τῷ Ἡσιόδῳ λέγοντι·

ἣ τέκεθ' Ἑρμιόνην δουρικλειτῷ Μενελάῳ·
ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος.

XCIV. 97. (D. 1. L. 1.)

Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱὸν,
ὃν δὴ ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταὶ
πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε,
ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν.

Eustath. Il. p. 1163, 61. Eudoc. p. 278.

XCV. 98. (D. L. 2.)

Λίνον κιθαριστὴν,
παντοίης σοφίης δεδαηκότα.

Clemens Alexandr. Strom. 1. p. 330.

XCVI. 99. (D. 90. L. 76.)

Herodianus περὶ μονήρους λέξεως p. 11. Φέλλος τὸ κύριον. Ἡσίοδος.

Φέλλον ἐϋμμελίην τέκε τῇ (?) Μελιβοίᾳ.

XCVII. 100. (D. 83 L. 10.)

Apollod. II, 1. Ἡσίοδος δὲ τὸν Πελασγὸν αὐτόχθονά φησι.

XCVIII. 101. (D. 10. L. 11.)

Υἱεῖς ἐξ ἐγένοντο Λυκάονος ἀντιθέοιο,
ὅν ποτε τίκτε Πελασγός.

Strabo. V. p. 221.

XCIX. 102. Addito H. 191.

Hygin. poët. astr. p. 419. Munck. Arcton Hesiodus ait esse Callisto nomine Lycaonis filiam, ejus qui in Arcadia

---

Hesiodus Peribœam ait, ex Oleno Achaiæ oppido, defloratam ab Hippostrato Amaryncei filio, Hipponoum patrem misisse ad Œneum, qui tum procul a Græcia agebat, atque huic mandasse ut eam interficeret.

LXXXIX.

Subligacula enim ad usque pedes demissa portabant, ne tam facile vulnerarentur. Postea vero, Hippomene archonte, Athenis accidit, ut certantium unus, quum subligaculo impeditus cecidisset, animam expiraret. Hinc lex lata est, ut nudi certarent, sicut hodieque. Propterea loca ea, in quibus ex illo tempore certamina instituebantur, gymnasia vocantur. Hesiodus igitur recentior est, quippe qui certantes introducat nudos.

XC.

Eamdem, quam Hesiodus Astydamiam vocat, Homerus Astyochen appellat.

XCI.

Hesiodus quidem Hecatæi et filiæ Phoronei quinque fuisse filias ait,

ex quibus montanæ Nymphæ, deæ, ortæ-sunt,
et genus nequam Satyrorum et indocilium-laboris,
Curetesque dii, ludorum-amantes, saltatores.

XCII.

Nonnulli scribunt Σῆρος Ἀλιῤῥοθίου (Serus Halirrhothii), quem Hesiodus memorat:

sane is quidem Serum et Alazygum filios egregios.

Serus enim Halirrhothii, filii Perieris, et Alcyones filius erat.

XCIII.

Consentit Hesiodo, qui dicit:

Ea peperit Hermionem hasta-inclyto Menelao:
minimum-natu autem peperit Nicostratum, subolem Martis.

XCIV.

Urania igitur peperit Linum valde-amabilem filium,
quem sane quotquot mortales sunt cantores et fidicines
omnes quidem lugent in conviviisque chorisque,
incipientes vero Linum et desinentes vocant.

XCV.

Linum fidicinem,
omnigenæ sapientiæ peritum.

XCVI.

Phellus, nomen proprium. Hesiodus:

Phellum bene-hastatum peperit Melibœæ.

XCVII.

Hesiodus Pelasgum indigenam fuisse ait.

XCVIII.

Filii sex erant Lycaonis deo-similis
quem olim genuerat Pelasgus.

XCIX.

Harum Arctorum alteram, eamque majorem, quam Aratus Helicen paulo post appellat, Hesiodus Lycaonis ait fuisse filiam.

regnavit : eamque studio venationis inductam ad Dianam se applicuisse : a qua non mediocriter esse dilectam propter utriusque consimilem naturam. Postea autem ab Jove compressam veritam Dianæ suum dicere eventum, quod diutius celare non potuit; nam jam utero ingravescente prope diem partus in flumine corpus exercitatione defessum quum recrearet, a Diana cognita est non conservasse virginitatem : cui dea pro magnitudine suspicionis non minorem retribuit pœnam : erepta enim facie virginali in ursæ speciem est conversa, quæ Græce ἄρκτος appellatur. In ea figura corporis Arcada procreavit.

Schol. Arat. 27. Τὴν μίαν δὲ τούτων τῶν Ἄρκτων τὴν μεγάλην, ἣν μετ' ὀλίγον ὀνομάσει Ἑλίκην, Ἡσίοδός φησι Λυκάονος θυγατέρα εἶναι, καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν ἑλέσθαι μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν ὄρεσι ποιεῖσθαι· φθαρεῖσαν δὲ ὑπὸ Διὸς, καὶ ἤδη μέλλουσαν τεκεῖν, ὀφθῆναι ὑπ' αὐτῆς λουομένην· ἐφ' ᾧ ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτήν· καὶ οὕτω τεκεῖν ἄρκτον οὖσαν, τὸν κληθέντα Ἀρκάδα· οὖσαν δὲ ἐν τῷ ὄρει θηρευθῆναι ὑπ' αἰπόλων τινῶν, καὶ παραδοθῆναι Λυκάονι μετὰ τοῦ βρέφους· μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ Λύκαιον, ὅ ἐστι τοῦ Διὸς ἄβατον, ἀγνοήσασαν τὸν νόμον, ὑπὸ τοῦ ἰδίου υἱοῦ διωκομένην· τῶν Ἀρκάδων δὲ αὐτὴν ἀναιρεῖν μελλόντων διὰ τὸν εἰρημένον νόμον, ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτῆς ἐξείλετο, καὶ ἐν τοῖς ἄστροις ἔθηκεν, Ἄρκτον αὐτὴν ὀνομάσας, διὰ τὸ σύμπτωμα.

C. 103. (D. 7. L. 73.)

Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐΰζωνος Πολυκάστη,
Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδαο,
Περσέπολιν, μιχθεῖσα διὰ χρυσέην Ἀφροδίτην.

Eustath. Od. p. 1796.

CI. 104. (D. 89.)

Schol. Ambr. (col. Schol. min.) Hom. Od. IV, 231. Διαφέρει ὁ Παιήων Ἀπόλλωνος, ὡς καὶ Ἡσίοδος μαρτυρεῖ·

εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσει
ἢ αὐτὸς Παιὼν, ὃς πάντα τε φάρμακα οἶδεν.

Conf. Eustath. p. 1494. v. 11.

CII. 105. (D. 77. L. 34.)

Schol. Pindari Pyth. IV, 181. Ἡσίοδος Ναΐδα φησὶ τὸν Χείρωνα γῆμαι.

CIII. 106. (D. 50.)

Plutarch. de Oracul. defectu. 11. T. II. p. 415. C. Ὁ δὲ Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς· λέγει γὰρ ἐν τῷ τῆς Ναΐδος προςώπῳ, καὶ τὸν χρόνον αἰνιττόμενος·

Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη
ἀνδρῶν γηρώντων· ἔλαφος δέ τε τετρακόρωνος·
τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται. Αὐτὰρ ὁ φοίνιξ
ἐννέα τοὺς κόρακας· δέκα δ' ἡμεῖς τοὺς φοίνικας
νύμφαι ἐϋπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο.

Cf. Auson. Idyll. XVIII. Plin. H. N. VII, 48. Etym. M. p. 13, 36. Schol. ad Aristoph. Av. 610. Tzetz. Exeg. p. 149. Adde Plutarch. Gryll. p. 989. A. Tzetz. ad Lycophr. V. 797.

Huc pertinere videtur Hesiodi ἐκπύρωσις (conflagratio) ap. Plut. de def. or. 11. 12.

CIV. 107.

Hygin. fab. 154. Phaëthon Hesiodi. Phaëthon Clymenis Solis filii et Meropes nymphæ filius, quam Oceanitidem accepimus, quum indicio patris avum Solem cognovisset, impetratis curribus male usus est. Nam quum esset propius terram vectus, vicino igni omnia conflagrarunt et fulmine ictus in vicinum Padum cecidit. Hic amnis a Græcis Eridanus dicitur, quem Pherecydes primus vocavit. Indi autem, quod calore vicini ignis sanguis in atrum colorem versus est, nigri sunt facti. Sorores autem Phaëthontis, dum interitum deflent fratris, in arbores sunt populos versæ. Harum lacrimæ, ut Hesiodus indicat, in electrum sunt duratæ : Heliades tamen nominantur. Sunt autem Merope, Helie, Aegle, Lampetie, Phœbe, Aetherie, Dioxippe. Cygnus autem rex Liguriæ, qui fuit Phaëthonti propinquus, dum deflet propinquum, in cygnum conversus est. Is quoque moriens flebile canit. Cf. Lactant. Pl. narr. fab. II, 111. V Pausan. Attic. 3. Cf. fragm. CLXII.

CV. (H. 189. L. 95.)

Pausan. I, 43, 1. Ἐγὼ δὲ ἤκουσα μὲν καὶ ἄλλον ἐς Ἰφιγένειαν λόγον ὑπὸ Ἀρκάδων λεγόμενον, οἶδα δὲ Ἡσίοδον ποιήσαντα ἐν καταλόγῳ γυναικῶν Ἰφιγένειαν οὐκ ἀποθανεῖν, γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι.

Eam in Arcadia habitantem Dianæ in montibus feras venantis sociam esse factam. Stupratam vero a Jove et, quum jam paritura esset, a Diana in balneo conspectam atque in ursam ab irata dea commutatam filium peperisse Arcadem. Versantem deinde in montibus eam a pastoribus venantibus captam Lycaonique redditam esse cum parvulo. Hanc aliquanto post Lycæum, inaccessum Jovis delubrum, ingressam, nesciam legis, ab ipso filio esse propulsam. Quam quum Arcades secundum hanc, quam dixi, legem interfecturi essent, Jupiter amoris memor surripuit, eamque inter astra collocatam Arctum propter eventum illum nominavit.

C.

Telemacho igitur peperit bene-cincta Polycaste,
Nestoris minima-natu filia Nelidæ,
Persepolin, mista ob auream Venerem

CI.

Pæon ab Apolline differt, ut Hesiodus etiam testatur :

nisi Apollo Phœbus a morte servabit
aut ipse Pæon, qui omnia medicamina novit.

CII.

Hesiodus Naidem Chironi nupsisse ait.

CIII.

Hesiodus certis temporis conversionibus mortem geniis obtingere censet : dicit enim sub Naidis persona, tempore ænigmate circumscripto :

novem sane vivit ætates garrula cornix
hominum senum; cervus vero etiam quatuor-cornices-æquat.
trium autem cervorum corvus ætatem-attingit : sed phœnix
novem cornices *æquat*, decem vero nos phœnices
nymphæ cincinnatæ, filiæ Jovis ægida-tenentis.

CV.

Ego vero etiam, quam longe secus de Iphigenia Arcades narrant, historiam audivi, neque ignoro Hesiodum in catalogo mulierum Iphigeniam non cæsam cecinisse, sed Dianæ voluntate Hecaten factam.

CVI. (L. 86.)

Pausan. II, 2, 3. Πεποίηται δὲ ἐν μεγάλαις Ἠοίαις, Οἰϐάλου θυγατέρα εἶναι Πειρήνην.

CVII. (L. 137.)

Pausan. — II, 16, 3. Ταύτην (Μυκήνην) εἶναι θυγατέρα Ἰνάχου, γυναῖκα δὲ Ἀρέστορος τὰ ἔπη λέγει, ἃ δὴ Ἕλληνες καλοῦσιν Ἠοίας μεγάλας· ἀπὸ ταύτης οὖν γεγονέναι καὶ τὸ ὄνομα τῇ πόλει φασίν.

CVIII. (L. 92.)

Pausan. III, 24,7. Καὶ ὅτι μὲν οὖν Ἑλένης μνηστήρων Ἀχιλλεὺς οὐκ ἔστιν ἐν καταλόγῳ γυναικῶν, μηδὲν τοῦτο ἔστω τεκμήριον, οὐκ αἰτῆσαι Ἑλένην αὐτόν.

CIX. (L. 117.)

Pausan. IV, 2, 1. Ἀλλὰ Ὕλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι Πολυκάονα υἱὸν Βούτου λεγούσας τὰς μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην παρεῖταί σφισιν.

CX. (L. 132.)

Pausan. VI, 21, 7. Ἀπέθανον δὲ ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας Ἀλκάθους ὁ Πορθάονος, δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι· μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος.

CXI. (L. 87.)

Pausan. X, 31, 2. Αἱ δὲ Ἠοῖαί τε καλούμεναι καὶ ἡ Μινυὰς ὡμολογήκασιν ἀλλήλαις· Ἀπόλλωνα γὰρ αὐταί φασιν αἱ ποιήσεις ἀμῦναι Κούρησιν ἐπὶ τοὺς Αἰτωλούς, καὶ ἀποθανεῖν Μελέαγρον ὑπὸ Ἀπόλλωνος.

CXII. (H. 190. L. 103.)

Antonin. Liber. Cap. 23 (de Batto), cuius in summario legitur : ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α', καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, κ. τ. λ.

CXIII. (L. 79.)

Eustath. pg. 13. Ἦν δὲ, φασὶ, Βούτης υἱὸς Ποσειδῶνος, ὡς Ἡσίοδος ἐν καταλόγῳ.

CXIV. (H. 173. L. 55.)

Harpocration et Suidas : Ὑπὸ γῆν οἰκοῦντας λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας, καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν τρίτῳ Καταλόγου Κατουδαίους ὀνομαζομένους. Conf. Photius : ὑπὸ γῆν οἰκοῦντας.

CXV. (L. 115.)

Schol. Pind. Isthm. V, 53. Εἴληπται δὲ ἐκ τῶν μεγάλων Ἠοιῶν ἡ ἱστορία· ἐκεῖ γὰρ εὑρίσκεται ἐπιξενούμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι καὶ ἐμβαίνων τῇ δορᾷ καὶ εὐχόμενος, καὶ οὕτος ὁδιόπομπος αἰετός, ἀφ' οὗ τὴν προσωνυμίαν ἔλαβεν Αἴας.

CXVI. (H. 187. L. 107.)

Schol. Apollon. I, 118. Ἐν δὲ ταῖς καλουμέναις μεγάλαις Ἠοίαις λέγεται, ὡς ἄρα Μελάμπους φίλος ὢν τῷ Ἀπόλλωνι ἀποδημῶν κατέλυσε παρὰ Πολυφάτῃ· θύοντος δ' ἐκείνου βοῦν δράκων ἀνερπύσας κατέφαγε τὸν τοῦ Πολυφάτου θεράποντα. Χαλεπήνας δὲ ὁ βασιλεὺς ἀποκτείνει τὸν δράκοντα. Ἀναιρεθεὶς δὲ ἐτάφη ὑπὸ Μελάμποδος. Τὰ δὲ ἔκγονα αὐτοῦ ἐκτραφέντα, καὶ περιλείχοντα τὰ ὦτα τοῦ Μελάμποδος, ἐνέπνευσαν αὐτῷ τὴν μαντικήν. Φωραθέντα δ' ἐπὶ κλωπείᾳ τῶν βοῶν Ἰφίκλου τοῦ Φυλάκου, καὶ συλληφθέντα ὑπ' αὐτοῦ τὸν Μελάμπουν, ἐπειδὴ τὸ στέγος ἔμελλεν ὅσον οὔπω πεσεῖσθαι τῆς οἰκίας, κατανενοηκότα ὑπὸ μαντικῆς, ἐν δεσμωτηρίῳ κατεχόμενον, εἰπεῖν τῇ θεραπαίνῃ τοῦ Ἰφίκλου. Ὁ δὲ Ἴφικλος, μαθὼν τὸ πρόῤῥημα, αὐτός τε ἀπαλλάττεται τοῦ δεινοῦ, καὶ Μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς, ἃς ἀφίκετο κλέψαι. Conf. Eudoc. p. 286.

ΜΕΛΑΜΠΟΔΙΑ.

CXVII. 108. (D. 14.)

Strabo XIV. p. 642. Λέγεται δὲ Κάλχας ὁ μάντις μετ' Ἀμ-

CVI.

In magnis Eœis Œbali fuisse filiam Pirenen proditum est.

CVII.

Mycenen Inachi filiam Arestoris uxorem fuisse, illa, quæ a Græcis magnæ Eœæ vocantur, carmina tradunt. Eam itaque nomen etiam urbi dedisse aiunt.

CVIII.

Nam quod in catalogo mulierum inter Helenæ procos Achilles non numeratur, id argumento esse nequit, Helenam ab eo non esse petitam.

CIX.

Sed filiam Hylli, Herculis filii, Euæchmen cum Polycaone Butæ filio nuptam fuisse quamquam in magnis Eœis legi scio, eædem tamen et Messenes virum et Messenen ipsam silentio prætereunt.

CX.

Occisi sunt ab Œnomao, sicut in carminibus, quæ magnæ Eœæ vocantur, legitur, primus post Marmacem Alcathous Parthaonis filius, deinde Euryalus Eurymachusque et Crotalus.

CXI.

Eœæ, quas vocant, et Minyas in idem consentiunt: utrumque enim carmen ab Apolline Curetas adjutos esse tradit contra Ætolos occisumque Meleagrum ab Apolline.

CXII.

Narrant Nicander libro primo de immutatis et Hesiodus in magnis Eœis.

CXIII.

Buten Neptuni filium esse ait, sicut Hesiodus in Catalogo.

CXIV.

Sub terra habitantes forsitan appellaverit, quos Scylax in Periplo Troglodytas vocat, qui iidem ab Hesiodo in catalogi tertio libro Catudæi nominantur.

CXV.

Quæ narratio e magnis Eœis desumpta est. Ibi enim mentio est de Hercule a Telamone hospitaliter excepto indutaque pelle preces faciente et de aquila illa itineris duce, quæ Ajaci nomen dedit.

CXVI.

In magnis, quas vocant, Eœis, Melampus Apollini amicus apud Polyphaten peregrinatus esse traditur. Quo immolante bovem draco prorepens Polyphatæ famulum devoravit. Draconem a rege interfectum Melampus sepelivit ejusque sobolem nutrivit. Quæ Melampodis aures circumlambens vaticinandi artem ipsi insinuavit. Is deinde comprehensus in furto boum Iphicli, filii Phylaci, et in vincula conjectus quum tectum domus brevi collapsurum divinatione intellexisset, cum Iphicli ancilla in carcere communicavit. Quo vaticinio accepto Iphiclus periculum effugit et timore affectus Melampodi libertatem restituit bovesque, quos furaturus venerat, insuper dedit.

MELAMPODIA.

CXVII.

Calchas vates cum Amphilocho Amphiarai filio a Troia re

φιλόχου τοῦ Ἀμφιαράου κατὰ τὴν ἐκ Τροίας ἐπάνοδον πεζῇ δεῦρο ἀφικέσθαι· περιτυχὼν δ' ἑαυτοῦ κρείττονι μάντει κατὰ τὴν Κλάρον, Μόψῳ τῷ Μαντοῦς τῆς Τειρεσίου θυγατρὸς, διὰ λύπην ἀποθανεῖν. Ἡσίοδος μὲν οὖν οὕτω πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα·

Θαῦμά μ' ἔχει κατὰ θυμὸν, ἐρινεὸς οὗτος· ὀλύνθους
οὖς ὅδ' ἔχει, μικρός περ ἐών, εἴποις ἂν ἀριθμόν;

τὸν δ' ἀποκρίνασθαι·

Μύριοί εἰσιν ἀριθμὸν, ἀτὰρ μέτρον γε μέδιμνος·
εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο.
Ὣς φάτο· καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου·
καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψε.

CXVIII. 109. (D. 46.)

Athenæus II. p. 40. F. Οὐ χαίρει τῷ πόματι ἐκ πρώτης ἐθισθεὶς ἀνατροφῆς ὑδροποτεῖν.

Ἡδὺ γάρ ἐστ' ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται.

Ἡσίοδος ἐν Μελαμποδίᾳ φησί.

CXIX. 110. (D. 55.)

Clemens Alex. Strom. VI. p. 751. Ἡσίοδός τε ἐπὶ τοῦ Μελάμποδος ποιεῖ·

ἡδὺ δὲ καὶ τὸ πυθέσθαι ὅσα θνητοῖσιν ἔδειμαν
ἀθάνατοι, δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές·

καὶ τὰ ἑξῆς, παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν.

CXX. 111. (D. 56.)

Tzetzes ad Lycophron. 682. Τὸν Τειρεσίαν λέγει, ἐπειδή φασιν αὐτὸν ζ' γενεὰς ζῆσαι, ἄλλοι δὲ θ'· ἀπὸ γὰρ Κάδμου ἦν, καὶ κατώτερον Ἐτεοκλέους καὶ Πολυνείκους, ὥς φησι καὶ ἡ τῆς Μελαμποδίας ποίησις, παρεισάγει γὰρ τὸν Τειρεσίαν λέγοντα·

Ζεῦ πάτερ, εἴθ' ἧσσω μοι ἔχειν αἰῶνα βίοιο
ὤφειλες δοῦναι καὶ μήδεα ἴδμεναι ἶσα
θνητοῖς ἀνθρώποις· νῦν δ' οὐδέ με τυτθὸν ἔτισας,
ὅς γέ με μακρὸν ἔθηκας ἔχειν αἰῶνα βίοιο,
ἑπτά μ' ἐπὶ ζώειν γενεὰς μερόπων ἀνθρώπων.

Cf. Tzetz. Exeg. Il. p. 149.

CXXI. 112. (D. 56.)

Ibidem paulo post : Περὶ δὲ τοῦ Διὸς καὶ Ἥρας παρὰ Τειρεσίου ἕνεκα τῆς λαγνείας κρίσεως καὶ ἡ τῆς Μελαμποδίας ποίησις, ὡς ἀπὸ τοῦ Τειρεσίου, φησίν.

Οἴην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνὴρ,
τὰς δέκα δ' ἐμπίμπλησι γυνὴ τέρπουσα νόημα.

Conf. Apollod. III, 6.

CXXII. 113. (D. 42.)

Athenæus XI. p. 498. A. Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδίας σὺν τῷ π σκύπφον λέγει.

* τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου,
πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι.

Καὶ πάλιν·

Καὶ τότε μάντις μὲν δεσμὸν βοὸς αἴνυτο χερσὶν,
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο· τῷ δ' ἐπ' ὄπισθεν
σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας,
ἔστειχεν Φύλακος, καὶ ἐνὶ δμώεσσιν ἔειπεν.

Cf. Eustath. p. 900, 17, 1775, 17.

CXXIII. (H. 166.)

Athenæus XIII. p. 609. E. Ἡσίοδος δ' ἐν τρίτῳ Μελαμποδίας τὴν ἐν Εὐβοίᾳ Χαλκίδα καλλιγύναικα εἶπεν. Conf. Eustath. p. 875, 52.

---

vertens pedibus eo venisse fertur, quumque apud Clarum urbem in vatem se præstantiorem incidisset, Mopsum filium Mantus, quæ Tiresiæ filia erat, præ mœrore diem obiisse. Atque Hesiodus quidem hoc modo fabulam exponit. Calchantem enim Mopso hoc proposuisse ait :

admiratio me tenet in animo; caprificus hæc, grossos[rum?
quos ea habeat, parva quamvis (exsistens) : dixerisne nume-

ad quod hunc respondisse :

Decies-mille sunt numero, sed mensura quidem medimnus :
unus vero superest, quem imponere non potueris.
Sic dixit : et ipsis numerus verus cognitus-est mensuræ :
et tum sane Calchantem somnus mortis obtexit.

CXVIII.

Non gaudet poculo, qui a prima ætate aquam bibere adsuevit.

Dulce enim est in convivio et epulo florente
delectari sermonibus, postquam convivio saturati-sunt.

Hesiodus ait in Melampodia.

CXIX.

Hesiodus canit de Melampode :

dulce vero etiam audire, qualia mortalibus perfecerunt
immortales, turpiumque et honestorum signum clarum,

et quæ sequuntur, quæ ad verbum expressit ex Musæo poeta.

CXX.

Tiresiam dicit, quem septem ætates vixisse vult, quum alii novem ei tribuant. Cadmo e[illegible] Eteocli et Polynici superstes fuit, quod Melampodia etiam testatur, quæ Tiresiam ita loquentem introducit :

Jupiter pater, utinam minus mihi spatium vitæ
dedisses et consilia scire æqualia
mortalibus hominibus : nunc vero non me tantillum honorasti,
qui quidem me longum statuisti habere spatium vitæ,
septem me vivere per ætates loquentium hominum.

CXXI.

Jovis Junonisque de concubitus voluptate altercationem a Tiresia dijudicatam carmen etiam, quod de Melampode est, commemorat, his verbis Tiresiæ suppeditatis :

una quidem parte decem partium delectatur vir,
omnes decem vero implet mulier oblectans animum.

CXXII.

Hesiodus in secundo libro Melampodiæ scypphum dicit, inserta litera p :

huic vero Mares velox nuntius venit per ædes,
impletum autem argenteum scypphum ferebat dabatque regi.

Et iterum :

et tunc vates quidem vinculum bovis capessivit manibus,
Iphiclus autem ad dorsum instabat *ei* : huic vero a tergo
scypphum tenens altera *manu*, altera autem sceptrum tol-
incedebat Phylacus, et inter famulos *sic* locutus-est. [lens,

CXXIII.

Hesiodus in tertio Melampodiæ libro Chalcidem
bem formosis-mulieribus-præditam vocavit.

CXXIV 114. (D. 52.

Clemens Alexandr. Strom. V. p. 727. Ἀλλὰ καὶ Ἡσίοδος δι' ὧν γράφει συνᾴδει τοῖς προειρημένοις·

Μάντις δ' οὐδεὶς ἔστιν ἐπιχθονίων ἀνθρώπων,
ὅςτις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο.

ΧΕΙΡΩΝΟΣ ΥΠΟΘΗΚΑΙ.

CXXV. 115. (D. 33.)

Schol. Pind. Pyth. VI, 19. Τὰς δὲ Χείρωνος ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν, ὧν ἡ ἀρχή·

Εὖ νῦν μοι τάδ' ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσι
φράζεσθαι· πρῶτον μὲν ὅτ' εἰς δόμον εἰςαφίκηαι
ἔρδειν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσι.

CXXVI. 116. (D. 65.)

Harpocratio : Ἔργα νέων· τοῦτο καὶ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου φησὶν εἶναι. Παροιμία τις ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς οὕτως ἔχουσαν·

Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

CXXVII. 117. (D. 87.)

Plato Rep. III. p. 390. H. St. Οὐδ' ᾀστέον αὐτοῖς.

Δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας.

Suidas v. Δῶρα κ. τ. λ. οἱ μὲν Ἡσιόδειον οἴονται τὸν στίχον.

CXXVIII. 118. (D. 62.)

Scholiastes Theocriti XI, 75. Ἡσίοδος·

Νήπιος ὃς τὰ [χ'] ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει

Conf. Plutarch. II. p. 505. D.

FRAGMENTA PERIPLI INCERTÆQUE SEDIS.

CXXIX. 119. (D. 67.)

Origenes c. Celsum IV. p. 216. ed. Spencer. Ὥςτε κατ' ἀρχὰς ἐπιμιξίαν γεγονέναι τῆς θείας φύσεως πρὸς τοὺς ἀνθρώπους· ἅπερ καὶ ὁ Ἀσκραῖος ποιητὴς ἐννοῶν εἶπε·

ξυναὶ γὰρ τότε δαῖτες ἔσαν, ξυνοὶ δὲ θόωκοι
ἀθανάτοισι θεοῖσι καταθνητοῖς τ' ἀνθρώποις.

Cf. Schol. ad Arat. v. 102.

CXXX. 120.

Diogen. L. VIII, 1, 26. Ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην (Πυθαγόραν)· ὡς δὲ Θεόφραστος Παρμενίδην, ὡς δὲ Ζήνων, Ἡσίοδον.

CXXXI. 121. (D. 16. L. 45.)

Strabo VII. p. 302. Ἡσίοδον δὲ ἐν τῇ καλουμένῃ Γῆς περιόδῳ τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν ἄγεσθαι

Γλακτοφάγων εἰς αἶαν, ἀπήναις οἰκί' ἐχόντων.

CXXXII. 122. (D. 17. L. 46.)

Strabo VII. p. 300. Πῶς οὖν ἠγνόει τοὺς Σκύθας ὁ ποιητής, Ἱππημολγοὺς καὶ Γαλακτοφάγους τινὰς προςαγορεύων;

CXXIV.

Sed Hesiodus etiam cum iis, quæ diximus, consentit in illo:

vates autem nullus est terrestrium hominum,
qui novit Jovis mentem ægida-tenentis.

CHIRONIS INSTITUTIONES.

CXXV.

Chironis præcepta Hesiodo attribuuntur, quorum exordium hoc est:

Bene nunc mihi hæc omnia in mente prudenti
indicato; primum quidem quum in ædes veneris
facturus sacra pulcra diis sempiternis.

CXXVI.

Facta juvenum : id Hyperides etiam in oratione contra Autoclem Hesiodi esse ait : est enim proverbium quoddam ab Aristophane quoque grammatico literis mandatum :

Facta juvenum, consilia vero mediorum (*virorum*), preces autem senum.

CXXVII.

Neque canendum ipsis :

dona deos movent, dona venerandos reges.

Dona deos etc. Hesiodeum esse existimant versum.

CXXVIII.

Hesiodus :

Stultus, qui certa linquens incerta sequitur.

FRAGMENTA PERIPLI INCERTÆQUE SEDIS.

CXXIX.

Ita, ut initio natura divina hominibus admixta fuisset; quibus bene perspectis Ascræus poeta cecinit :

communia enim tunc convivia erant, communes autem sedes] immortalibus Diis mortalibusque hominibus.

CXXX.

At cœlum quidem mundum, terramque rotundam primus vocavit Pythagoras, Theophrasto vero teste Parmenides, Zenoneque Hesiodus.

CXXXI.

Hesiodus in periodo, quam vocant, terræ Phineum dicit ab Harpyiis propulsum esse

Lactivororum in terram, in plaustris domicilia habentium.

CXXXII.

Quomodo igitur Homerus Scythas ignorabat, qui Equimulgos et Lactivoros quosdam nominat? Hos enim ea tempestate Equi-

Ὅτι γὰρ οἱ τότε τούτους Ἱππημολγοὺς ἐκάλουν, καὶ Ἡσίοδος μάρτυς ἐν τοῖς ὑπ' Ἐρατοσθένους παρατεθεῖσιν ἔπεσιν

Αἰθίοπας Λίγυάς τε ἰδὲ Σκύθας ἱππημολγούς.

CXXXIII. 123 (L. 53.)

Schol. Æschyl. Prom. 793. Περὶ γρυπῶν Ἡσίοδος πρῶτος ἐτερατεύσατο

CXXXIV. 124. (D. 18. 39.)

Strabo VII. p. 475.

Δωδώνην φηγόν τε, Πελασγῶν ἕδρανον, ἧκεν.

CXXXV. 125.

Stephan. Byz. v. Αἰγαῖον πέλαγος. Ἔστι καὶ αἰγαῖον πεδίον, συνάπτον τῇ Κίῤῥᾳ, ὡς Ἡσίοδος. Λέγεται παρὰ αἶγά ποτε φερομένην ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρους, ἀφ' οὗ καὶ τὸ πεδίον Αἴγαιον.

CXXXVI. 127. (L. 65.)

Strabo I. p. 23. Ἐρατοσθένης δὲ Ἡσίοδον μὲν εἰκάζει πεπυσμένον περὶ τῆς Ὀδυσσέως πλάνης, ὅτι κατὰ Σικελίαν καὶ Ἰταλίαν γεγένηται, πιστεύσαντα τῇ δόξῃ μὴ μόνον τῶν ὑφ' Ὁμήρου λεγομένων μεμνῆσθαι, ἀλλὰ καὶ Αἴτνης καὶ Ὀρτυγίας τοῦ πρὸς Συρακούσας νησίου καὶ Τυῤῥηνῶν.

CXXXVII. 128. (D. 27. L. 67).

Schol. Apollon. Rhod. IV, 892. ἠκολούθησεν Ἡσιόδῳ οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων·

νῆσον ἐς ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων.

CXXXVIII. 164.

Eustath. pag. 1710. 39. ὡς ἐντεῦθεν λαβὼν Ἡσίοδος ἐμυθεύσατο ὑπὸ Σειρήνων καὶ τοὺς ἀνέμους θέλγεσθαι. Conf. Schol. Ambr. Od. XII, 168.

CXXXIX. 129. (L. 54.)

Herodot. IV, 32. ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα.

CXL. 131.

Schol. Ven. Il. 1, 246. Σημειοῦνταί τινες, ὅτι τὴν ὅλην Πελοπόννησον οὐκ οἶδεν ὁ Ποιητής, Ἡσίοδος δέ.

CXLI. 153 (D. 6. L. 125.)

Eustath. p. 275.

ὅστε Λιλαίηθεν προχέει καλλίῤῥοον ὕδωρ.

Conf. Schol. Ven. Il. II, 522. (Cat. 29.)

CXLII. 132. (D. 15. L. 124.)

Strabo IX. p. 424. Ἡσίοδος δ'ἐπιπλέον περὶ τοῦ ποταμοῦ (Κηφισοῦ) λέγει καὶ τῆς ῥύσεως, ὡς δι' ὅλης ῥέοι τῆς Φωκίδος σκολιῶς καὶ δρακοντοειδῶς·

ὅς παρὰ Πανοπίδα — Γλήχωνα τ' ἐρυμνήν,
καί τε δι' Ὀρχομενοῦ εἰλιγμένος εἶσι, δράκων ὥς.

Conf. Theo ad Arati Phænom. 45.

CXLIII. 133. (D. 76. L. 126.)

Schol. Pindari Olymp. XIV. Argum. Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται· ταύταις γὰρ Ἐτέοκλος ὁ Κηφισοῦ, τοῦ ποταμοῦ, πρῶτος ἔθυσεν, ὥς φησιν Ἡσίοδος· διὰ δὲ τοῦ Ὀρχομενοῦ ὁ Κηφισὸς ῥεῖ.

CXLIV. 134. (D. 66. L. 121.)

Apollonius Dyscolus de Pronominibus, p. 106. A. Bekk. Τῇ τὶν σύζυγος ἡ ἵν, τοῦ τ ἀρθέντος. Ἡσίοδος·

ἶν δ' αὐτῷ θανάτου ταμίης.

Schol. Apollon. Rhod. IV, 57. Τὸν Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης παῖδα λέγει, παρὰ Διὸς εἰληφότα δῶρον, αὐτὸν ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι.

---

mulgos fuisse appellatos, Hesiodus quoque testatur in illis, qui ab Eratosthene laudantur, versibus :

Æthiopes Liguresque atque Scythas equimulgos.

CXXXIII.

De gryphis primus Hesiodus portenta retulit.

CXXXIV.

Ad Dodonam fagumque, Pelasgorum sedem, venerat.

CXXXV.

Ægæum pelagus. Est etiam Ægæus campus, qui adhæret Cirrhæ, ut Hesiodus ait. Dicitur autem sic παρὰ αἶγα i. e. a capra aliquando huc ex monte circa Pythium portata, unde campus Ægæus vocatus.

CXXXVI.

Eratosthenes Hesiodum conjicit, quum Ulixem errantem in Siciliam Italiamque venisse audivisset eique opinioni fidem adhibuisset, non eorum modo fecisse mentionem, quæ ab Homero referuntur, sed Ætnæ etiam et Ortygiæ, parvæ insulæ ante Syracusas sitæ, et Tyrrhenorum.

CXXXVII.

Secutus est Hesiodum, qui Sirenum insulam ita appellat :

Insulam in floridam, ubi iis dedit Saturnius.

CXXXVIII.

Sic, inde hauriens, Hesiodus a Sirenibus ventos etiam deleniri finxit.

CXXXIX.

At Hesiodus quidem de Hyperboreis locutus est.

CXL.

Adnotatum est a quibusdam, Peloponnesum Hesiodo notam fuisse totam, nondum tamen Homero.

CXLI.

Qui ex Lilæa profundit pulcre-fluentem aquam.

CXLII.

Hesiodus de Cephisso amne ejusque alveo copiose scribit, quomodo per totam Phocidem oblique fluat et anguis instar :

qui præter Panopidem — Glechonemque munitam
atque per Orchomenum circumvolutus it, anguis sicut.

CXLIII.

Cephissus amnis Orchomeni, ubi Gratiæ etiam coluntur : his enim primus Eteoclus, Cephissi fluvii filius, sacra fecit, uti Hesiodus ait. Cephissus vero per Orchomenum fluit.

CXLIV.

Pronomini τὶν cognatum est pronomen ἵν, sublata litera τ. Hesiodus :

sibi autem ipsi mortis dispensator.

Endymionem Hesiodus Aëthlii, filii Jovis, filium esse et Calycæ dicit; cui a Jove dono datum fuisse, ut ipse sibi mortem destinaret, quando obire vellet.

CXLV. 135. (D. 63.)

Schol. Nicandr. Ther. 452. κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθασσῶν τίθεται καὶ Ἡσίοδος·

χρή σε πατρὶ κτίλον ἔμμεναι.

CXLVI. 136. (D. 64. L. 90.)

Schol. Euripid. Orest. 249. Στησίχορός φησιν, ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο. Ἡ δὲ θεὸς ὀργισθεῖσα διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ἐποίησεν. — Καὶ Ἡσίοδος·

τῇσιν δὲ φιλομμειδὴς Ἀφροδίτη
ἠγάσθη προσιδοῦσα, κακὴν δέ σφ' ἔμβαλε φήμην.

CXLVII. 137.

Schol. Apoll. IV, 1396. Τὸν δράκοντα Λάδωνα ἐκάλουν· τοῦτον δὲ Πείσανδρος ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι, Ἡσίοδος δὲ ἐκ Τυφῶνός φησιν.

CXLVIII. 139. (D. 82. L. 80.)

Ælianus V. H. XII, 20. Λέγει Ἡσίοδος τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμελεῖν ὕπνου, καὶ διὰ τέλους ἀγρυπνεῖν· τὴν δὲ χελιδόνα οὐκ εἰς τὸ παντελὲς ἀγρυπνεῖν καὶ ταύτην δὲ ἀπολωλέναι τοῦ ὕπνου τὸ ἥμισυ. Τιμωρίαν δὲ ἄρα ταύτην ἐκτίνουσι διὰ τὸ πάθος τὸ ἐν Θρᾴκῃ κατατολμηθὲν, τὸ εἰς τὸ δεῖπνον ἐκεῖνο τὸ ἄθεσμον.

CXLIX. 140. (D. 101. L. 5.)

Schol. Venet. ad Iliad. XII, 292: Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη, καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει. Οὕτως τε τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε, καὶ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ· εἶθ' οὕτως συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητῶν βασιλεῖ. Γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, Μίνωα, Σαρπηδόνα καὶ Ῥαδάμανθυν. Ἡ ἱστορία παρ' Ἡσιόδῳ καὶ Βακχυλίδῃ. Conf. Schol. Victor. ibid. et Schol. Eurip. Rhesi Vaticanus v. 28.

CL. 141. (D. 54.)

Clemens Alexandr. Strom. I. p. 337. Ἡσίοδος·

Μουσάων, αἵτ' ἄνδρα πολυφραδέοντα τιθεῖσι
θέσπιον, αὐδήεντα.

Εὔπορον μὲν γὰρ ἐν λόγοις τὸν πολυφράδμονα λέγει· δεινὸν δὲ τὸν αὐδήεντα· καὶ θέσπιον τὸν ἔμπειρον, καὶ φιλόσοφον, καὶ τῆς ἀληθείας ἐπιστήμονα.

CLI. 143. (D. 24. L. 49.)

Schol. Apollon. Rhod. II, 297. Ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διὶ στραφέντες, λέγει καὶ Ἡσίοδος·

ἔνθ' οἵγ' εὐχέσθην Αἰνηΐῳ ὑψιμέδοντι.

Ἔστι γὰρ καὶ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν. — Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος δὲ Ἑρμῆν.

CLII. 147.

Schol. Apoll. II, 296. Οἱ δὲ στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι εὔξαντο τῷ Διὶ καταλαβεῖν τὰς Ἁρπυίας. Κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται.

CLIII. 144. (D. 25. L. 70.)

Schol. Apollon. Rhod. I, 757. Διαφέρει πλήμνη καὶ πλήσμη. Ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ, ἡ δὲ πλήσμη τὴν πλήμμυραν τοῦ ποταμοῦ. Διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον·

αὐτὸς δ' ἐν πλήσμῃσι διιπετέος ποταμοῖο

καὶ οὐχ' ὥς τινες, ἐν πλήμνῃσι.

CXLV.

Κτῖλα de suavibus mitibusque dicit etiam Hesiodus:

oportet te patri mitem esse.

CXLVI.

Stesichorus Tyndareum Diis sacrificantem Veneris oblitum fuisse ait. Qua de causa irata dea ejus filias bis et ter nuptas et relictas a maritis esse voluit. — Etiam Hesiodus:

iis autem amans-risum Venus
irata-est intuita, malam vero ipsis injecit famam.

CXLVII.

Draconem Ladonem vocant. Hunc Pisander e terra natum existimavit, Hesiodus ex Typhone ait.

CXLVIII.

Hesiodus dicit lusciniam solam ex avibus somnum negligere semperque vigilare, hirundinem vero etsi non in perpetuum vigilantem, dimidium tamen somni amisisse. Has autem pœnas luunt propter facinus in Thracia perpetratum, cœnam illam impiam.

CXLIX

Europam, Phœnicis filiam, quum Jupiter in prato aliquo inter puellas vidisset flores carpentem, amore exarsit: cœlo relicto taurique accepta forma Europam croci odore, quem ex ore edebat, deceptam in tergum sustulit atque in Cretam insulam trajecit. Ibi postquam cum ipsa concubuit, Asterioni, Cretensium regi, connubio eam junxit. Quæ gravida facta tres filios peperit, Minoem, Sarpedonem, Rhadamanthum. Hæc historia apud Hesiodum et Bacchyliden legitur.

CL.

Hesiodus:

Musarum, quæ hominem multa-loquentem reddunt,
divinum, vocalem.

In verbis enim copiosum dicit multa-loquentem, disertum vero vocalem, et divinum eum, qui peritus est et philosophus et veri gnarus.

CLI.

Zeten fratremque revertentes Jovem implorasse Hesiodus etiam dicit:

Ibi illi precati-sunt Æneum alte-regnantem.

Ænus enim mons Cephalleniæ est, ubi Jupiter Ænesius templum habet. — Apollonius igitur, qui illos reverti jussisset, Iridem, Hesiodus Mercurium fuisse tradit.

CLII.

Strophades eas insulas vocatas esse ferunt, quia Zetes et Calais inde revertentes Jovem implorassent, ut Harpyias ibi retineret. Et Hesiodo quidem Antimachoque et Apollonio testibus non interficiuntur.

CLIII.

Πλήμνην et πλήσμη inter se differunt. Illa enim vox rotæ modiolum, contra hæc tumescentem fluvii aquam significat. Quare apud Hesiodum legendum:

αὐτὸς δ' ἐν etc. (ipse vero in fluctibus e-Jove-cadentis fluminis),

at non, uti nonnulli legunt ἐν πλήμνῃσι.

CLIV. 145. (D. 26.)

Schol. Apollon. Rh. I, 456. Ἡσίοδος δέ φησι λαροῖς ποσὶ, τοῖς κατ' ὄψιν ἡδέσιν. Etym. M. p. 557. 8:

βαίνου (?) λαροῖς ποσί.

CLV. 148.

Plin. H. N. VII, 16. Ferrum Hesiodus in Creta eos [temperasse dicit], qui vocati sunt Dactyli Idaei.

CLVI. 149. (D. 12. 30. L. 26.)

Strabo VIII. p. 324. Τοῦ δ' Ἡσιόδου εἰπόντος

ᾤκεε δ' Ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθας
εὐρεῖος Πείροιο —

μεταγράφουσί τινες πόροι, οὐκ εὖ. V. Stephanum Byz. v. Ὤλενος. — Conf. frag. LXXXVIII.

CLVII. 150. (D. 69.)

Anonymus apud Aristot. Eth. N. V. 5.

Εἴκε πάθοι τὰ κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο.

ubi Mich. Ephesius p. 67. b. Ἔστι δὲ τὸ ἔπος ἀπὸ τῶν Ἡσιόδου.

CLVIII. 151. (D. 74.)

Schol. Ven. Il. XXI, 528. Τρῶες ἄφαρ κλονέοντο πεφυζότες] Ὅθεν ἄφυζαν τὸν λέοντα Ἡσίοδός φησι. Conf. tamen schol. Vict. ibid.

CLIX. 152 (D. 53.)

Clemens Alexandr. Cohort. p. 63. Strom. V. p. 716.

Αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν,
ἀθανάτων τέ οἱ οὔτις ἐρήρισται κράτος ἄλλος.

CLX. 154. (D. 72.)

Schol. Ven. Il. XIV. 119. Καὶ ὁ Ἡσίοδος δὲ οὕτως ἀκήκοεν·

ἰδὼν δ' ἱππηλάτα κήρυξ (?)

ἀντὶ τοῦ ἱππικός.

CLXI. 155. (D. 8. L. 23.)

Φυλέα — φίλον μακάρεσσι θεοῖσι.

Eustath. ad Il. p. 125. Cf. idem, p. 126, 10. 797, 45.

CLXII. 156. (D. 2.)

Schol. Ambr. Od. XI, 325. Κλυμένη Μινύου τοῦ Ποσειδῶνος καὶ Εὐρυανάσσης τῆς Ὑπέρφαντος γαμηθεῖσα Φυλάκῳ τῷ Δηΐωνος Ἴφικλον τίκτει ποδώκεα παῖδα· τοῦτον λέγει διὰ τὴν τῶν ποδῶν ἀρετὴν συναμιλλᾶσθαι τοῖς ἀνέμοις ἐπί τε τῶν ἀσταχύων διέρχεσθαι καὶ διὰ τοῦ πάθους τὴν κουφότητα [μὴ] περικλᾶν τοὺς ἀθέρας· ἔνιοι δὲ αὐτὴν τὴν Κλυμένην προγαμηθῆναί φασιν Ἡλίῳ, ἐξ ἧς Φαέθων ἐγένετο παῖς· ἡ δὲ ἱστορία παρὰ Ἡσιόδῳ. Conf. frag. CIV.

Eustath. ad Iliad. p. 245. Περὶ οὗ (Ἰφίκλου) Ἡσίοδος, ὅτι ταχύτητι διήνεγκεν, οὐκ ὤκνησεν ἐπ' αὐτοῦ ταύτην εἰπεῖν τὴν ὑπερβολήν·

Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν οὐδὲ κατέκλα,
ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων δρομάσκε πόδεσσι
. . . . . . καὶ οὐ σινέσκετο καρπόν.

Conf. Eustath. p. 1206, 8. 1689, 2. Schol. min. ad Od. XI, 325. Schol. Ven. ad Il. XX, 227. Schol. ad Apollon. I, 45.

CLXIII. 157. (D. 48. L. 63.)

Nicolaus Damascenus in Excerpt. Valesii p. 445. (coll. Suida v. Ἀλκή.) Ὅτι ἐδόκει φρονήσει τὸ τῶν Ἀμυθαονιδῶν γένος τὸ παλαιὸν ἐν τοῖς Ἕλλησι πρωτεύειν· ὥσπερ καὶ Ἡσίοδός φησιν ἐν τούτοις·

Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδαισι,
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρείδῃσι.

CLXIV. 158. (D. 49. L. 62.)

Polybius V. 2. Οἵους Ἡσίοδος παρεισάγει τοὺς

Αἰακίδας, πολέμῳ κεχαρηότας ἠΰτε δαιτί.

Cf. Suidas in δαῖτας.

CLIV.

Hesiodus λαροῖς ποσί (suavibus pedibus) dicit pro gratis videnti.

CLVI.

Hesiodo dicente:

habitabat autem Oleniam rupem fluvii ad ripas
pulcre-fluentis Piri —

nonnulli πόροι scribunt minus recte.

CLVII.

Utinam patiatur quæ perpetravit, pœnaque justa fiat!

Versus hic ex Hesiodeis est.

CLVIII.

Troes statim turbabantur fugati.] Hinc ἄφυζαν leonem Hesiodus vocat.

CLIX.

Ipse enim omnium rex et dominus est,
immortaliumque cum-eo nemo certat de-potentia alius.

CLX.

Quod eodem modo Hesiodus etiam intelligit:

videns autem equorum-agitator præco

pro ἱππικός (eques).

CLXI.

Phyleum — amicum beatis diis.

CLXII.

Clymene, filia Minyæ, qui Neptuni et Euryanassæ, Hyperphantis filiæ, erat filius, cum Phylaco Deionis filio nupta Iphiclum parit celeripedem. Hunc dicit propter pedum præstantiam ventos comitari tantaque esse levitate, ut per spicas incedens aristas non rumpat. Nonnulli hanc ipsam Clymenen cum Sole prius concubuisse dicunt et Phaethontem ex ea esse natum. Hæc historia apud Hesiodum est.

Iphiclum celeritate insignem fuisse Hesiodus tradidit, neque dubitavit hac de eo hyperbole uti:

Summum per spicarum fructum currebat neque rupit,
sed super acutas aristas cursitabat pedibus
. . . . neque auferebat frugem.

CLXIII.

Amythaonidarum gens antiquitus prudentia inter Græcos excelluisse videtur, ut etiam Hesiodus ait:

Robur quidem enim dedit Olympius Æacidis,
mentem vero Amythaonidis, divitias autem præbuit Atridis.

CLXIV.

Quales Hesiodus introducit

Æacides, bello gaudentes veluti convivio.

CLXV. 159.

Clemens Alexandr. Str. V. p. 713 (600, Sylb.)

Ἑβδομάτῃ δ' αὖτις λαμπρὸν φάος ἠελίοιο.

CLXVI. 160. (D. 35.)

Χαρίτων ἀμαρύγματ' ἔχουσα.

Etym. M. p. 77, 31.

CLXVII. 162.

Plinius H. N. XXII, 22. Asphodelon ab Hesiodo quidam ἅλιμον appellari existimavere. Quod falsum arbitror. Est enim suo nomine ἅλιμον.

CLXVIII. 163. (D. 34.)

Schol. Pindar. Nem. II. 1. Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν οὕτω φησὶν αὐτοὺς προςκεκλῆσθαι· δηλοῖ δὲ Ἡσίοδος λέγων·

ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα, χρυσάορον, ὃν τέκε Λητώ.

Ῥαψῳδῆσαι δέ φησι πρῶτον Ἡσίοδον Νικοκλῆς.
Conf. Eustath. p. 6, 14.

CLXIX. 165. (L. 81.)

Pausan. II, 6. Ὁ μὲν Ἡσίοδος ἐποίησεν, ὡς Ἐρεχθέως εἴη Σικυών.

CLXX. (H. 167. L. 131.)

Etym. M. p. 60, 41. Πίστις τούτου ἐκ τοῦ παρ' Ἡσιόδῳ μετὰ προςθήκης τοῦ ι λέγεσθαι τὸ πατρωνυμικόν· Ἐλαρίδην γάρ φασι Τιτυόν.

CLXXI. (H. 168.)

Etym. M. p. 133, 34. 183, 24 Ἀπτερέως. (sine pennis).

CLXXII. (H. 169. L. 3.)

Etym. M. 215, 37. Βροτός. — Ὁ δὲ Ἡσίοδος ἀπὸ Βροτοῦ τοῦ Αἰθέρος καὶ Ἡμέρας.

CLXXIII. (H. 170.)

Etym. M. p. 430, 56. Ἡμύω· ἐκ τοῦ μύω, πλεονασμῷ τοῦ η· ὁ δὲ Ἡσίοδος ἀμύοντα χάμαζε εἶπε διὰ τοῦ α.

CLXXIV. (H. 171.)

Etym. M. p. 796, 57. Φοῖβος — ἢ ἀπὸ Φοίβης μαμμωνυμικῶς, ὡς Ἡσίοδος. Conf. Schol. Iliad. I, 43. Ὁμήρου ἐπιμερισμοὶ in Crameri anecdott. v. Φοῖβος.

CLXXV. (H. 172. L. 84.)

Harpocration in Μελίτη· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν τρίτῃ ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος. Conf. Suid. in Μελίτη.

CLXXVI. (H. 174. L. 119.)

Apollon. lex. Hom. Αἴπυτον. — Ἔστι δὲ οὗτος τῶν Ἀρκαδικῶν ἡρώων, περὶ οὗ φησιν Ἡσίοδος·

Αἴπυτος αὖ τέκετο Τλησήνορα Πειρίθοόν τε.

CLXXVII. (H. 175)

Suidas in ἀγάλματα· καὶ Ἡσίοδος τὸν ὅρμον ἄγαλμα καλεῖ.

CLXXVIII. (H. 176.)

Diodor. Sicul. IV, 85. Ἡσίοδος δὲ ὁ ποιητής φησι τοὐναντίον ἀναπεπταμένου τοῦ πελάγους, Ὠρίωνα προςχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον, καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι, τιμώμενον ὑπὸ τῶν ἐγχωρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μεταστῆναι κἀκεῖ κατοικῆσαι· διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἄστροις καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης.

CLXXIX (H. 177. L. 100.)

Schol. Ven. (col. schol. min.) ad Iliad. IV, 195. Μαχάων δὲ οὗτος υἱὸς Ἀσκληπιοῦ καὶ Ἀρσινόης ἢ Κορωνίδης, κατὰ δὲ τινὰς Ἠπιόνης τῆς Μέροπος, κατὰ δὲ Ἡσίοδον Ξάνθης.

CLXV.

Septimo autem *die* rursus nitida lux solis.

CLXVI.

Gratiarum venustatem habens.

CLXVIII.

Philochorus rhapsodos a componendo connectendoque carmine cognominatos esse ait. Id Hesiodus etiam demonstrat, ubi dicit:

In Delo olim primus ego et Homerus poetæ
canebamus, in novis hymnis suentes cantum,
Phœbum Apollinem aureo-ense, quem peperit Latona.

Hesiodum primum fuisse rhapsodum Nicocles ait.

CLXIX.

Hesiodus Sicyonem Erechthei filium esse cecinit.

CLXX.

Fides hujus rei, quod apud Hesiodum addita litera ι patronymicum legitur; Ellariden enim Tityum appellat

CLXXII.

Βροτός. Hesiodo derivante a Broto Ætheris et Diei filio.

CLXXIII.

Ἡμύω. A μύω (inclinor), abundante litera η. Hesiodus autem ἀμύοντα χάμαζε (se inclinantem humi) dixit per α.

CLXXIV.

Phœbus — aut a Phœbe, ut mammonymicum (nomen ab aviæ nomine deductum) sit, ut Hesiodus vult.

CLXXV.

Melite. Philochorus tertio libro tribum dicit nominatam e Melite, quæ Hesiodo auctore Myrmecis, Musæo autem teste, Dii filia erat, filii Apollinis.

CLXXVI.

Æpytum. — qui Arcadicorum heroum unus est, de quo Hesiodus ait:

Æpytus rursus genuit Tlesenorem Pirithoumque.

CLXXVII.

Hesiodus etiam monile ἄγαλμα (ornamentum) vocat.

CLXXVIII.

Hesiodus autem poeta contrarium statuit: latius enim ibi extenso mari, Orionem adjecisse Peloridis promontorium delubrumque Neptuni in eo exstruxisse, vario modo cultum ab incolis: quibus rebus perfectis in Eubœam eum se contulisse ibique habitasse, dein propter famam inter sidera cœlestia numeratum immortalem memoriam esse nactum.

CLXXIX.

Hic Machaon Æsculapii filius et Arsinoes, aut secundum alios Epiones, filiæ Meropis, Hesiodo tamen auctore Xanthes.

CLXXX. (H. 178.)

Schol. Ven. et min. ad Il. XI, 155. ἄξυλον. Οἱ μὲν τὴν θρυώδη ἀποδεδώκασιν, οἱ δὲ τὴν πολύξυλον· βέλτιον δὲ, ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο, ὡς Ἡσίοδος·

τῆλε γὰρ ἀξυλίῃ κατεπόθετο χείλεα νηῶν

CLXXXI. (H. 179. L. 41.)

Schol. min. et Ambros. ad Odyss. XII, 68. Αἴσονος δὲ καὶ Πολυμήλας καθ' Ἡσίοδον γίνεται Ἰάσων.

CLXXXII. (H. 180.)

Athenæus II, p. 49. B. Ὅτι Ἡσίοδος ἐν Κήϋκος γάμῳ, κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι, τρίποδας τὰς τραπέζας φησί. Pollux VI, 83. Ἦσαν δέ τινες πρῶται τράπεζαι, καὶ δεύτεραι, καὶ τρίται, καὶ τρίποδες μὲν, ἐφ' ὧν ἔκειντο. Καὶ ἔστι τοὔνομα παρ' Ἡσιόδῳ καὶ ἐν Τελμησσεῦσιν Ἀριστοφάνους.

CLXXXIII. (H. 181.)

Strabo VIII, p. 364. Ἡσιόδου δὲ ὅτι τὸ βριθὺ, τὸ βριαρὸν βρῖ λέγει. Conf. Eustath. pag. 295, 4.

CLXXXIV. (H. 182.)

Strabo VIII, p. 370. Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας· τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα ὡς Πανέλληνας ἐμνήστευον αὐτὰς, τὸν δὲ ὡς Πανελλήνων ὀϊζὺς ἐς Θάσον συνέδραμεν.

CLXXXV. (H. 183.)

Strabo XIII. p. 588. Οὐδὲ γὰρ Ἡσίοδος οἶδε Πρίαμον.

CLXXXVI. (H. 184.)

Strabo XIV. p. 676. Ἡσίοδος δ' ἐν Σόλοις ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Ἀμφίλοχον φησίν.

CLXXXVII. (H. 185.)

Schol. Sophocl. ad Œd. Tyr. arg. Οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει.

CLXXXVIII. (H. 186. L. 40.)

Eustath. pag. 112, ult. Ἰστέον δὲ ὅτι τὸν Πάτροκλον ἡ παλαιὰ ἱστορία καὶ συγγενῆ τῷ Ἀχιλλεῖ παραδίδωσι, λέγουσα ὅτι Ἡσίοδός φησι Μενοίτιον τὸν Πατρόκλου πατέρα Πηλέως εἶναι ἀδελφὸν, ὡς εἶναι αὐτανεψιοὺς οὕτως ἀμφοτέρους ἀλλήλοις. Conf. Eudoc. p. 331.

CLXXXIX. (H. 188. L. 122.)

Schol. Theocrit. XVI, 49. Ἡσίοδος δέ φησιν αὐτὸν (τὸν Κύκνον) τὴν κεφαλὴν ἔχειν λευκήν· διὸ καὶ ταύτης τῆς κλήσεως ἔτυχεν.

CXC. (H. 192.)

Eustath. p. 272, 18. Ὀρχομενοῦ γάρ φασιν υἱοί·

Ἀσπληδὼν Κλύμενός τε καὶ Ἀμφίδοκος θεοειδής.

CXCI. (H. 193.)

Eustath. p. 1318, 8. Ὑπερβασία, ἧς καὶ παρ' Ἡσιόδῳ χρῆσις ἐν τῷ·

ὑπερβασίαι δ' ἀλεγειναί.

CXCII. (H. 194.)

Eustath. p. 6424, 6. Ὅτι δ' ἐντεῦθεν λαβὼν Ἡσίοδος καὶ τὰ Μέγαρα τὴν χώραν σκιόεντα ἔφη, ὁ Πορφύριος δηλοῖ.

CLXXX.

Ἄξυλον alii junceam esse interpretati sunt, alii ligno abundantem; melius vero : unde nemo lignatus est, ut Hesiodus, procul enim in-silva-incadua putrescebant labia navium.

CLXXXI.

Ex Æsone et Polymela auctore Hesiodo Jason natus est.

CLXXXII.

At Hesiodus in Ceycis nuptiis (licet enim grammaticorum pueri hoc carmen illius poetæ esse negent, mihi tamen vetustissimum videtur esse) mensas tripodas vocat.
Erant enim quædam primæ mensæ et secundæ et tertiæ, eæque tripodes, quibus adjacebant. Quod nomen apud Hesiodum est et in Telmessibus Aristophanis.

CLXXXIII.

Ex Hesiodo, quippe qui βρῖ dicat pro gravi, valido (βριθύ, βριαρόν).

CLXXXIV.

Hesiodus tamen atque Archilochus Græcos cunctos Panhellenes quoque vocari jam norant, quum ille de Prœtidibus loquens Panhellenes earum conjugia ambivisse dicat, hic Panhellenum ærumnam Thasum concurrisse scribat.

CLXXXV.

Neque enim Hesiodus Priamum novit.

CLXXXVI.

Hesiodus in Discis Amphilochum ab Apolline interfectum esse ait.

CLXXXVII.

Neque enim Homerus, neque Hesiodus, neque alius quisquam veterum tyranni in poematis mentionem injicit.

CLXXXVIII.

Antiqua historia (id, quod notitia dignum est) Patroclum Achillis consanguineum esse tradit, teste utens Hesiodo, qui Menœtium, Patrocli patrem, Pelei esse fratrem dicat, ita ut alter alterius patruelis sit.

CLXXXIX.

Hesiodus Cycnum capite cano fuisse ait. Hinc etiam hoc nomen nactus est.

CXC.

Orchomeni enim filii dicunt :

Aspledon Clymenusque et Amphidocus Deo-similis.

CXCI.

Ὑπερβασία (injuria), qua voce etiam Hesiodus usus est in illo :

injuriæ autem graves.

CXCII.

Inde haurientem Hesiodum Megara nominasse umbrosa Porphyrius testatur.

CXCIII. (H. 195.)

Porphyrius de abstin. II, 18. p. 134. Καὶ τὸν Ἡσίοδον οὖν εἰκότως τὸν τῶν ἀρχαίων θυσιῶν νόμον ἐπαινοῦντα εἰπεῖν.

ὥς κε πόλις ῥέζῃσι· νόμος δ' ἀρχαῖος ἄριστος.

CXCIV. (H. 196. D. 78. L. 39.)

Schol. Victor. ad Iliad. XVI, 174. Ζηνόδοτος δὲ Κλεοδώρην φησίν, Ἡσιόδου καὶ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλούντων.

CXCV. (H. 197.)

Pollux X. 85. Τὰ δὲ κάναστρα τοῦ ποιήσαντος τοὺς Καρεμέας, οὓς τινὲς Ἡσιόδῳ προσνέμουσι· λέγει γοῦν·

εὖ δὲ πεπανθεῖεν κότυλοι καὶ πάντα κάναστρα.

Vid. Homeri epigr. XIV. 3.

CXCVI. 47. (D. 83. L. 6.)

Apollodor. III, 14, 4. Ἡσίοδος δὲ αὐτὸν (Ἄδωνιν) Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει. Conf. Probus ad Virg. Ecl. X, 18.

CXCVII. (L. 7.)

Theon. progymnast. p. 34, ult. (cap. VI.) Κατὰ γὰρ Ἡσίοδον πρεσβύτερος Ἡρακλέους ἐστὶν ὁ Βούσιρις ἕνδεκα γενεαῖς.

CXCVIII. (L. 12.)

Stephan. Byz. Παλλάντιον· πόλις Ἀρκαδίας, ἀπὸ Πάλλαντος, ἑνὸς τῶν Λυκάονος παίδων, ὡς Ἡσίοδος.

CXCIX. (L. 36.)

Schol. Vict. ad Il. VI, 164. ap. Valck. ad Amm. p. 242. Συντόμως δὲ τὰ ἀρχαῖα δεδήλωκε, μιγῆναι οὐκ ἐθελούσῃ· ἀλλ' οὐχ' ὥσπερ Ἡσίοδος τὰ περὶ τοῦ Πηλέως καὶ τῆς Ἀκάτου γυναικὸς κατὰ μικρὸν ἐπεξελθών.

CC. (L. 48.)

Strab. I, 59. Συγχοῦνται δὲ καὶ αἱ λοιπαὶ (νησῖδες), ὥς Ἡσίοδός φησιν.

CCI. (L. 64.)

Idem, IX, 393. Ἀφ' οὗ δὴ καὶ Κυχρείδης ὄφις, ὅν φησιν Ἡσίοδος τραφέντα ὑπὸ Κυχρέως ἐξελαθῆναι ὑπὸ Εὐρυλόχου, λυμαινόμενον τὴν νῆσον, ὑποδέξασθαι δὲ αὐτὸν τὴν Δήμητραν εἰς Ἐλευσῖνα, καὶ γενέσθαι ταυτης ἀμφίπολον.

CCII. (L. 66.)

Schol. Apollon. ad III, 311. Φησὶ δὲ Ἀπολλώνιος, Ἡσιόδῳ ἑπόμενος, ἐπὶ τοῦ ἅρματος τοῦ Ἡλίου εἰς τὴν κατὰ Τυῤῥηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν.

CCIII. (L. 69.)

Schol. Ambros. ad Odyss. I, 85. Τὴν μὲν γὰρ Ὠγυγίαν ἐντὸς εἶναι πρὸς ἑσπέραν, τὴν δὲ Ὠγυλίαν κατὰ Κρήτην Ἡσίοδός φησι κεῖσθαι.

CCIV. (L. 127.)

Palæphat. 42, init. Περὶ Ζήθου καὶ Ἀμφίονος. Ἱστοροῦσιν ἄλλοι τε καὶ Ἡσίοδος, ὅτι κιθάρᾳ τὸ τεῖχος τῶν Θηβῶν ἐτείχισαν.

CCV. (L. 132.)

Eudocia, p. 314. Τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολλυμένων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμμαρτυρεῖ.

CXCIII.

Hesiodus etiam antiquorum sacrorum legem merito collaudans dixit :

Ut urbs sacra faciat : lex autem antiqua optima *est* :

CXCIV.

Zenodotus Cleodoram eam nominat, quæ ab Hesiodo reliquisque Polydora vocatur,

CXCV.

Canistra poetæ illius, qui Figulos fecit, Hesiodo a nonnullis adscriptos. Dicit enim :

Bene autem coquantur cotylæ et omnia canistra.

CXCVI.

Hesiodus Adonidem Phœnicis et Alphesibœæ filium esse dicit.

CXCVII.

Secundum Hesiodum Busiris undecim ætatibus major erat quam Hercules.

CXCVIII.

Pallantium, Arcadiæ urbs, nominata e Pallante, uno ex filiis Lycaonis, ut Hesiodus tradit.

CXCIX.

Antiqua carmina breviter significaverunt eum cum illa concubuisse nolente, neque vero, ut Hesiodus, qui historiam Pelopis et mulieris Acati minutissime persequitur.

CC.

Reliquas etiam insulas continenti terræ adjungi, Hesiodus ait.

CCI.

Hinc etiam Cychrides serpens, quem alitum a Cychreo, Hesiodus ait, ab Eurylocho profligatum fuisse, quum insulam infestaret, receptumque Eleusine a Cerere in locum administri.

CCII.

Apollonius Hesiodum secutus Circen ait in Solis curru venisse ad insulam Tyrrheniæ adjacentem.

CCIII.

Ogygiam versus occidentem, Ogyliam vero prope Cretam esse sitam Hesiodus ait.

CCIV.

De Zetho et Amphione. Quos Thebarum murum ope citharæ, ædificasse, quum alii, tum Hesiodus narrant.

CCV.

Huic numero procorum interfectorum et Hesiodus et Epimenides adsentiunt.

CCVI. (L. 133.)

Schol. Ven. ad Iliad. XIX, 116. Ἡσίοδος δὲ Ἀρτιβίαν τὴν Ἀμφιδάμαντος ἀποφαίνεται.

CCVII.

Id, ibid. Ἡσίοδος δὲ Νικίππην φησὶ τὴν Πέλοπος.

CCVIII.

Ὁμήρου ἐπιμερισμοί, Crameri anecd. Vol. I. p. 46. 31. Ἡσίοδος δὲ τὸ πρόκριν παρὰ τὸ κρίσις, πρόκρισις, πρόκρισιν καὶ ἐν συγκοπῇ πρόκριν.

CCIX.

Ibid. p. 55. lin. 32. Σεσημείωται παρ' Ἡσιόδῳ τὸ εὐθύνεον, ὡς ἐνόεον, ἢ πλεονασμῷ τοῦ ε, ἢ μεταβολῇ τοῦ νυ.

CCX.

Ibid. p. 148. lin. 23. Ἡσίοδος·

δῶρα νεῶν μακάρων πλῆσθαι χθονί.

CCXI. (H. 198.)

Suidas : Κομιδή· ἡ ἀνάσωσις. Ἡρόδοτος· λέγεται δὲ καὶ ἡ ἄφιξις. [Ἡσίοδος.] Πολύβιος.

CCXII. 138 (D. 81. L. 78.)

Tzetz. ad Lycoph. 1396. Αἴθων δὲ ὁ Ἐρυσίχθων ἐκαλεῖτο, [ὥς φησιν Ἡσίοδος,] διὰ τὸν λιμόν. Conf. Grammat. Bachmanni anecd. I, p. 281.

CCVI.

Hesiodus Artibiam Amphidamantis filiam esse facit.

CCVII.

Hesiodus Nicippen Pelopis filiam esse ait.

CCVIII.

Hesiodus habet πρόκριν a κρίσις, πρόκρισις, πρόκρισιν et per syncopen πρόκριν.

CCIX.

Notatum est apud Hesiodum εὐθύνεον, ut ἐνόεον, sive per pleonasmum literæ ε, sive per metabolen syllabæ νυ.

CCX.

Hesiodus :

Dona deorum beatorum accumulata-esse *in* terra.

CCXI.

Κομιδή. Receptus in locum aliquem. Herodotus. Adventus etiam hoc nomine appellatur. [Hesiodus.] Polybius.

CCXII.

Æthon (*lividus*) Erysichthon vocabatur, [ut ait Hesiodus,] propter famem.

ΗΣΙΟΔΟΥ ΚΑΙ ΟΜΗΡΟΥ ΑΓΩΝ.

1. Ὅμηρον καὶ Ἡσίοδον τοὺς θειοτάτους ποιητὰς πάντες ἄνθρωποι πολίτας ἰδίους εὔχονται γενέσθαι. Ἀλλ' Ἡσίοδος μὲν, τὴν ἰδίαν ὀνομάσας πατρίδα πάντας τῆς φιλονεικίας ἀπήλλαξεν εἰπὼν, ὡς ὁ πατὴρ αὐτοῦ·

εἴσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ·

Ὅμηρον δὲ πᾶσαι ὡς εἰπεῖν αἱ πόλεις καὶ οἱ ἄποικοι αὐτῶν παρ' ἑαυτοῖς γεγενῆσθαι λέγουσι. Καὶ πρῶτοί γε Σμυρναῖοι Μέλητος ὄντα τοῦ παρ' αὐτοῖς ποταμοῦ καὶ Κρηθηΐδος Νύμφης κεκλῆσθαί φασι πρότερον Μελησιγένη, ὕστερον μέντοι τυφλωθέντα Ὅμηρον μετονομασθῆναι, διὰ τὴν παρ' αὐτοῖς ἐπὶ τῶν τοιούτων συνήθη προσηγορίαν. Χῖοι δὲ πάλιν τεκμήρια φέρουσιν, ἴδιον εἶναι πολίτην λέγοντες καὶ περισώζεσθαί τινας ἐκ τοῦ γένους αὐτοῦ παρ' αὐτοῖς, Ὁμηρίδας καλουμένους. Κολοφώνιοι δὲ καὶ τόπον δεικνύουσιν, ἐν ᾧ φασιν αὐτὸν γράμματα διδάσκοντα τῆς ποιήσεως ἄρξασθαι, καὶ ποιῆσαι πρῶτον τὸν Μαργίτην. Περὶ δὲ τῶν γονέων αὐτοῦ πάλιν πολλὴ διαφωνία παρὰ πᾶσιν ἐστιν. Ἑλλάνικος μὲν γὰρ καὶ Κλεάνθης Βίωνα λέγουσιν, Εὐμαίων δὲ Μέλητα, Καλλικλῆς δὲ Δμασαγόραν, Δημόκριτος δὲ Τροιζήνιος Δαήμονα ἔμπορον, ἔνιοι δὲ Ταμύραν, Αἰγύπτιοι δὲ Μενέμαχον προγραμματέα· εἰσὶ δ' οἳ Τηλέμαχον τὸν Ὀδυσσέως· μητέρα δ' οἱ μὲν Μῆτιν, οἱ δὲ Κρηθηΐδα, οἱ δὲ Θεμίστην, οἱ δὲ Εὐγνηθὼ, ἔνιοι δὲ Ἰθακησίαν τινὰ ὑπὸ Φοινίκων ἀπεμποληθεῖσαν, οἱ δὲ Καλλιόπην τὴν Μοῦσαν, τινὲς δὲ Πολυκάστην τὴν Νέστορος. Ἐκαλεῖτο δὲ Μέλης, ὡς δέ τινες φασὶ, Μελεσιγένης, ὡς δὲ ἔνιοι, Αὐλήτης. Ὀνομασθῆναι αὐτόν φασί τινες Ὅμηρον διὰ τὸ τὸν πατέρα αὐτοῦ ὅμηρον δοθῆναι ὑπὸ Κυπρίων Πέρσαις, οἱ δὲ διὰ τὴν πήρωσιν τῶν ὀμμάτων. Παρὰ γὰρ τοῖς Αἰο-

HESIODI ET HOMERI CERTAMEN.

1. Homerum et Hesiodum, poetarum excellentissimos, omnes suos fuisse cives gloriantur. Hesiodus autem, sua patria nominata, omnem contentionem diremit dicens de patre suo:

habitavit autem prope Heliconem misero in vico,
Ascra, hieme malo, æstate molesto, numquam bono.

Homerum autem omnes pene urbes, earumque coloni apud se natum affirmant : primi quidem Smyrnæi Meletis, patrii fluvii, et Critheidos Nymphæ filium fuisse, et exinde Melesigenem primo nominatum dicunt; deinde vero, cum cæcus factus esset, Homeri nomen accepisse, quod quidem imponere visu privatis in ista regione mos erat. Chii rursus argumenta adhibent, eum civem esse suum dicentes et apud se etiamnum restare quosdam de genere ejus Homeridas appellatos. Colophonii autem vel locum ostentant, in quo dicunt eum, dum litteras doceret, poesin primo attigisse, initio facto a poemate, quod nuncupatur Margites. De parentibus autem ejus summa est apud omnes disceptatio. Hellanicus quidem et Cleanthes dicunt, patrem ejus Bionem fuisse; Eumæon autem, Meletem; Callicles, Dmasagoram; Democritus Trœzenius, Daemonem mercatorem; quidam vero Tamyram; Ægyptii autem Menemachum, scribam; sunt etiam, qui Telemachum Ulixis filium. Matrem autem ejus hi Metin, hi Crethelda, hi Themisten, hi Eugnetho, aliqui vero Ithacensem quamdam a Phœnicibus in servitutem venditam; alii Calliopen, Musam; alii Polycasten, Nestoris filiam. Vocabatur autem Meles, vel, ut alii ferunt, Melesigenes; vel secundum nonnullos, Auletes; aliqui vero Homerum nominatum prædicant ex eo, quod pater ejus in obsidem Persis a Cypriotis traditus fuerit; alii vero, ob cæcitatem; ita enim cæci ab Æolis vocantur. Quod vero

λεῦσιν οὕτως οἱ πηροὶ καλοῦνται. Ὅπερ δὲ ἀκηκόαμεν ἐπὶ τοῦ θειοτάτου αὐτοκράτορος Ἀδριανοῦ εἰρημένον ὑπὸ τῆς Πυθίας περὶ Ὁμήρου, ἐκθησόμεθα. Τοῦ γὰρ βασιλέως πυθομένου πόθεν Ὅμηρος καὶ τίνος, ἀπεφοίβασε δι' ἑξαμέτρου τόνδε τὸν τρόπον·

Ἄγνωστόν μ' ἔρεαι γενεὴν καὶ πατρίδα γαῖαν
ἀμβροσίου σειρῆνος. Ἕδος δ' Ἰθακήσιός ἐστιν·
Τηλέμαχος δὲ πατὴρ, καὶ Νεστορέη Ἐπικάστη
μήτηρ, ἥ μιν ἔτικτε βροτῶν πολὺ πάνσοφον ἄνδρα.

2. Οἷς μάλιστα δεῖ πιστεύειν διά τε τὸν πυθόμενον καὶ τὸν ἀποκρινάμενον, ἄλλως τε οὕτως τοῦ ποιητοῦ μεγαλοφυῶς τὸν προπάτορα διὰ τῶν ἐπῶν δεδοξακότος. Ἔνιοι μὲν οὖν αὐτὸν προγενέστερον Ἡσιόδου φασὶν εἶναι· τινὲς δὲ νεώτερον καὶ συγγενῆ. Γενεαλογοῦσί τε οὕτως· Ἀπόλλωνός φασι καὶ Θοώσης τῆς Ποσειδῶνος γενέσθαι Λίνον, Λίνου δὲ Πίερον, Πιέρου δὲ καὶ Νύμφης Μεθώνης Οἴαγρον, Οἰάγρου δὲ καὶ Καλλιόπης Ὀρφέα, Ὀρφέως δὲ Ὄρτην, τοῦ δὲ Ἁρμονίδην, τοῦ δὲ Φιλοτέρπην, τοῦ δὲ Εὔφημον, τοῦ δὲ Ἐπιφράδην, τοῦ δὲ Μελάνωπον, τούτου δὲ Δῖον καὶ Ἀπέλλαιον, Δίου δὲ καὶ Πυκιμήδης τῆς Ἀπόλλωνος θυγατρὸς Ἡσίοδον καὶ Πέρσην, Πέρσου δὲ Μαίονα, Μαίονος δὲ θυγατρὸς καὶ Μέλητος τοῦ ποταμοῦ Ὅμηρον.

3. Τινὲς δὲ συνακμάσαι φασὶν αὐτοὺς, ὥστε καὶ ἀγωνίσασθαι ὁμόσε ἐν Αὐλίδι τῆς Βοιωτίας· ποιήσαντα γὰρ τὸν Μαργίτην Ὅμηρον περιέρχεσθαι κατὰ πόλεις ῥαψῳδοῦντα, ἐλθόντα δὲ καὶ ἐς Δελφοὺς περὶ τῆς πατρίδος αὐτοῦ πυνθάνεσθαι τίς εἴη· τὴν δὲ Πυθίαν εἰπεῖν·

Ἔστιν Ἴος νῆσος μητρὸς πατρὶς ἥ σε θανόντα
δέξεται. Ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι.

τὸν δὲ ἀκούσαντα περιίστασθαι μὲν τὴν εἰς Ἴον ἄφιξιν, διατρίβειν δὲ περὶ τὴν ἐκεῖ χώραν. Κατὰ δὲ τὸν αὐτὸν χρόνον Γανύκτωρ ἐπιτάφιον τοῦ πατρὸς Ἀμφιδάμαντος βασιλέως Εὐβοίας ἐπιτελῶν πάντας τοὺς ἐπισήμους ἄνδρας οὐ μόνον ῥώμῃ καὶ τάχει ἀλλὰ καὶ σοφίᾳ ἐπὶ τὸν ἀγῶνα, μεγάλαις δωρεαῖς τιμῶν, συνεκάλεσε. Καὶ οὗτοι οὖν ἐκ τύχης, ὥς φασι, συμβαλόντες ἀλλήλοις ἦλθον εἰς Χαλκίδα, Ὅμηρός τε καὶ Ἡσίοδος. Τοῦ δὲ ἀγῶνος ἄλλοι τέ τινες τῶν ἐπισήμων Χαλκιδέων ἐκαθέζοντο κριταὶ καὶ μετ' αὐτῶν Πανίδης, ἀδελφὸς ὢν τοῦ τετελευτηκότος. Ἀμφοτέρων δὲ τῶν ποιητῶν θαυμαστῶς ἀγωνισαμένων, νικῆσαί φασι τὸν Ἡσίοδον τὸν τρόπον τοῦτον· προελθόντα γὰρ εἰς τὸ μέσον πυνθάνεσθαι τοῦ Ὁμήρου καθ' ἓν ἕκαστον, τὸν δὲ Ὅμηρον ἀποκρίνασθαι. Φησὶν οὖν Ἡσίοδος·

Υἱὲ Μέλητος, Ὅμηρε, θεῶν ἄπο μήδεα εἰδὼς,
εἴπ' ἄγε μοι παμπρῶτα τί φέρτατόν ἐστι βροτοῖσιν;

ΟΜΗΡΟΣ.

Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι.

Ἡσίοδος τὸ δεύτερον·

Εἴπ' ἄγε μοι καὶ τοῦτο, θεοῖς ἐπιείκελ' Ὅμηρε,
τί θνητοῖσιν ἄριστον ὀΐεαι ἐν φρεσὶν εἶναι;

4. Ὁ δέ·

Ὁππόταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι·
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

5. Ῥηθέντων δὲ τῶν ἐπῶν, οὕτω σφοδρῶς φασι θαυμασθῆναι ὑπὸ τῶν Ἑλλήνων τὰ ἔπη, ὥστε χρυσοῦς αὐτοὺς στίχους προςαγορευθῆναι, καὶ ἔτι καὶ νῦν ἐν ταῖς κοιναῖς πρὸ τῶν δειπνῶν καὶ σπονδῶν προκατεύχεσθαι πάντας. Ὁ δὲ Ἡσίοδος, ἀχθε-

audivimus, Adrianum, divinum illum imperatorem, Pythiam de Homero consuluisse, id exponemus. Cum enim rex ille interrogaret, qua patria et patre natus fuerit Homerus, hujusmodi responsum versibus hexametris comprehensum, tulit :

Ignotum me percontaris genus et patriam terram
divini Sirenis : sedes autem Ithacensis est :
Telemachus vero pater, et filia-Nestoris Epicaste
mater, quæ eum peperit, mortalium longe sapientissimum virum.

2. Quibus omnino fides est adhibenda, et ejus gratia, qui interrogavit, et ejus, qui responsum dedit; præsertim vero cum ipse poeta avum suum tam magnifice carminibus celebraverit. Aliqui autem dicunt, antiquiorem eum Hesiodo fuisse; nonnulli autem juniorem et cognatum. Et hi quidem generis originem hoc modo deducunt. Ab Apolline, ut dicunt, et Thoosa, Neptuni filia, genitus erat Linus; a Lino Pierus; a Piero et Nympha Methone OEagrus; ab Œagro et Calliope Orpheus; ab Orpheo Ortes; ab eo Harmonides; ab eo Philoterpes; ab eo Euphemus; ab eo Epiphrades; ab eo Melanopus; ab eo Dius et Apellæus; a Dio vero et Pycimede, Apollinis filia, Hesiodus et Perses; a Perse Mæon; a Mæonis vero filia et Melete fluvio, Homerus.

3. Aliqui autem eos una floruisse dicunt, simulque certasse Aulide in Bœotia. Homerum enim, cum poema suum, Margitem, composuisset, id canentem urbes circumisse; cum Delphos vero advenisset, de patria sua percontatum, quænam esset; Pythiam autem respondisse :

Est Ios insula, matris patria, quæ te mortuum
excipiet; sed juvenum ænigma cave.

Eum autem, hoc audito responso, in Ium noluisse proficisci, sed in illa regione commoratum. Hoc vero tempore Ganyctor funebres ludos patri suo Amphidamanti, Eubœæ regi, instituens, omnes non robore solum et velocitate, sed sapientia etiam præcellentes viros, magnis præmiis ad certamen invitabat; illi autem fortuito, ut dicunt, sibi invicem obvii Chalcida venerunt, Homerus et Hesiodus. Certaminis autem judices constituebantur aliqui maxime conspicui e Chalcidensibus viri, et inter eos Panides, defuncti regis frater; et utroque poeta admirabiliter certante, Hesiodum tandem hoc modo vicisse dicunt. In medium enim prodeuntem quæstiones seriatim Homero proposuisse, Homerum autem respondisse. Dicit igitur Hesiodus :

Fili Meletis, Homere, a diis consilia sciens,
age, dic mihi primum, quid optimum sit mortalibus?

HOMERUS.

Initio quidem non nasci mortalibus optimum,
natum vero quam celerrime portas Orci transire.

Secunda vice Hesiodus :

Age; dic mihi et hoc, diis similis Homere,
quid mortalibus (*dum vivunt*) optimum existimas in mente esse?

4. Homerus.

Quoties lætitia quidem detineat populum universum,
convivantesque per domum audiant cantorem
sedentes ordine, juxta vero impleantur mensæ
pane et carnibus, vinumque ex cratere hauriens
pincerna adferat et infundat poculis :
hoc quidem mihi pulcherrimum in mente videtur esse.

5. His vero recitatis carminibus, adeo vehementer omnes Græcos ea admiratos fuisse dicunt, ut exinde aurea carmina nominarentur; et his etiam temporibus in publicis sacrificiis pro communi precationis formula ante cœnas et libationes

. . . .

εὔχεσθαι δὲ θεοῖσι· τὸ πάντων ἐστὶν ἄμεινον.

ΗΣΙΟΔΟΣ.

Ἐν δ' ἐλαχίστῳ ἄριστον ἔχειν σ' ὅ τι φύεται εἰπεῖν;

ΟΜΗΡΟΣ.

Ὡς μὲν ἐμῇ γνώμῃ, φρένες ἐσθλαὶ σώμασιν ἀνδρῶν.

ΗΣΙΟΔΟΣ.

Ἡ δὲ δικαιοσύνη τε καὶ ἀνδρείη δύναται τί;

ΟΜΗΡΟΣ.

Κοινὰς ὠφελίας ἰδίοις μόχθοισι πορίζειν.

ΗΣΙΟΔΟΣ.

Τῆς σοφίης δὲ τί τέκμαρ ἐπ' ἀνθρώποισι πέφυκεν;

ΟΜΗΡΟΣ.

Γιγνώσκειν τὰ παρόντ' ὀρθῶς, καιρῷ δ' ἅμ' ἕπεσθαι.

ΗΣΙΟΔΟΣ.

Πιστεῦσαι δὲ βροτοῖς ποῖον χρέος ἄξιόν ἐστιν;

ΟΜΗΡΟΣ.

Οἷς αὐτὸς κίνδυνος ἐπὶ πραχθεῖσιν ἕπηται.

ΗΣΙΟΔΟΣ.

Ἡ δ' εὐδαιμονίη τί ποτ' ἀνθρώποισι καλεῖται;

ΟΜΗΡΟΣ.

Λυπηθέντ' ἐλάχιστα θανεῖν, ἡσθέντα τε πλεῖστα.

12. Ῥηθέντων δὲ καὶ τούτων, οἱ μὲν Ἕλληνες πάντες τὸν Ὅμηρον ἐκέλευον στεφανοῦν· ὁ δὲ βασιλεὺς Πανίδης ἐκέλευσεν ἕκαστον τὸ κάλλιστον ἐκ τῶν ἰδίων ποιημάτων εἰπεῖν. Ἡσίοδος οὖν ἔφη πρῶτος·

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμητοῦ, ἀρότοιό τε δυσομενάων·
αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ, περιπλομένου ἐνιαυτοῦ,
φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος· οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον
ναίουσιν. Γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν·
γυμνόν τ' ἀμάαν, ὅταν ὥρια πάντα πέλωνται.

13. Μεθ' ὃν Ὅμηρος·

Ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραὶ, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν,
οὔτε κ' Ἀθηναίη λαοσσόος. Οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ·
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
μακραῖς, ἃς εἶχον ταμεσίχροας. Ὄσσε δ' ἄμερδεν
αὐγὴ χαλκείη, κορύθων ἄπο λαμπομενάων,
θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. Μάλα κεν θρασυκάρδιος εἴη
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.

14. Θαυμάσαντες δὲ καὶ ἐν τούτῳ τὸν Ὅμηρον οἱ Ἕλληνες ἐπῄνουν, ὡς παρὰ τὸ προσῆκον γεγονότων τῶν ἐπῶν, καὶ ἐκέλευον διδόναι τὴν νίκην. Ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνω-

. . . .

precari autem diis : id omnium est optimum.

HESIODUS.

In re-minima optimum, habesne, quid generetur, dicere?

HOMERUS.

Mea quidem sententia, animi boni *in* corporibus hominum.

HESIODUS.

At justitiaque et fortitudo quid potest?

HOMERUS.

Publicam utilitatem privatis laboribus promovere.

HESIODUS.

Sapientiæ vero quid indicium inter homines est?

HOMERUS.

Intelligere præsentia recte, opportunitatem vero sequi.

HESIODUS.

Credere vero hominibus quale negotium par est?

HOMERUS.

Ea, quæ ipsum periculum transacta sequatur.

HESIODUS.

Felicitas autem quid in hominibus vocatur?

HOMERUS.

Dolentem minime, mori, gaudentem vero maxime.

12. Cum autem et hæcce dicta essent, Græci omnes Homerum coronari jusserunt : jussit autem rex Panides utrumque poematum suorum pulcherrimam aliquam partem recitare. Hesiodus igitur primus dixit :

Pleiadibus Atlante-natis exorientibus
Incipe messem, arationem vero occidentibus
hæ quidem noctesque et dies quadraginta
latent : rursum vero revoluto anno
apparent, primum ut-acuitur ferrum.
Hæc utique arvorum est lex, et *iis*, qui mari
prope habitant, et *iis*, qui valles flexuosas,
mari fluctuante procul, pinguem regionem
incolunt : nudus serito, nudusque arato;
nudusque metito, cum tempestiva omnia fiant.

13. Post quem Homerus :

Circum autem Ajaces duos stabant phalanges
firmæ, quas neque Mars vituperasset interveniens,
neque Minerva populorum-concitatrix : illi enim præstantissimi] delecti Trojanosque et Hectorem divum manebant,
addensantes hastam hastæ, scutum scuto valido :
clypeus igitur clypeum fulciebat, galea galeam, virumque vir :] seque *invicem* attingebant comantes galeæ splendidis conis] nutantium, adeo densi steterunt inter-se.
Horruit autem pugna mortalibus-exitiosa hastis
longis, quas tenebant incidentes-corpora : oculosque perstringebat] splendor æreus galeis a lucentibus,
thoracibusque recens-extersis, scutisque fulgentibus,
congredientium in-unum : valde audax-animo esset,
qui tunc gavisus-esset videns laborem neque tristatus-esset.

14. Græci autem et in hoc Homerum admirati laudarunt, quod pulchriora, quam expectare fas erat, carmina composuisset, ideoque eum victorem prædicari jusserunt : rex autem Hesiodum coronavit, dicens, æquum esse, ut ille, qui ad agri-

σεν εἰπὼν δίκαιον εἶναι τὸν ἐπὶ γεωργίαν καὶ εἰρήνην προκαλούμενον νικᾷν, οὐ τὸν πολέμους καὶ σφαγὰς διεξιόντα. Τῆς μὲν οὖν νίκης οὕτω φασὶ τυχεῖν τὸν Ἡσίοδον· καὶ λαβόντα τρίποδα χαλκοῦν ἀναθεῖναι ταῖς Μούσαις, ἐπιγράψαντα·

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν,
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

15. Τοῦ δὲ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος εἰς Δελφοὺς χρησόμενος, καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. Προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ, ἔνθεον γενομένην τὴν προφῆτίν φασιν εἰπεῖν·

Ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος, Μούσῃσι τετιμένος ἀθανάτῃσι·
τοῦ δ' ἤτοι κλέος ἔσται ὅσην ἐπικίδναται ἠώς.
Ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

16. Ὁ δὲ Ἡσίοδος ἀκούσας τοῦ χρησμοῦ, τῆς Πελοποννήσου μὲν ἀνεχώρει, νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν· εἰς δὲ Οἰνόην τῆς Λοκρίδος ἐλθὼν καταλύει παρὰ Ἀμφιφάνει καὶ Γανύκτορι τοῖς Φηγέως παισίν, ἀγνοήσας τὸ μαντεῖον. Ὁ γὰρ τόπος οὗτος ἐκαλεῖτο Διὸς Νεμείου ἱερόν. Διατριβῆς δ' αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰνῶσιν, ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. Τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος, ἑορτῆς τινος ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας, πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον· καὶ τὸ σῶμα γνωρίσαντες, ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν. Οἱ δὲ φοβηθέντες τὴν τῶν πολιτῶν ὀργήν, κατασπάσαντες ἁλιευτικὸν σκάφος διέπλευσαν εἰς Κρήτην· οὓς κατὰ μέσον τὸν πλοῦν ὁ Ζεὺς κεραυνώσας κατεπόντωσεν, ὥς φησιν Ἀλκιδάμας ἐν Μουσείῳ. Ἐρατοσθένης δέ φησιν ἐν Ἐνηπόδῳ Κτίμενον καὶ Ἄντιφον τοὺς Γανύκτορος ἐπὶ τῇ προειρημένῃ αἰτίᾳ ἀνελθόντας σφαγιασθῆναι θεσμοῖς ξενίοις ὑπὸ Εὐρυκλέους τοῦ μάντεως. Τὴν μέντοι παρθένον, τὴν ἀδελφὴν τῶν προειρημένων, μετὰ τὴν φθορὰν ἑαυτὴν ἀναρτῆσαι· φθαρῆναι δὲ ὑπό τινος ξένου, συνόδου τοῦ Ἡσιόδου, Δημώδους ὄνομα· ὃν καὶ αὐτὸν ἀναιρεθῆναι ὑπὸ τῶν αὐτῶν φησιν. Ὕστερον δὲ Ὀρχομένιοι κατὰ χρησμὸν μετενέγκαντες αὐτὸν παρ' αὐτοῖς ἔθαψαν, καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ·

Ἄσκρη μὲν πατρὶς πολυλήϊος· ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

17. Καὶ περὶ μὲν Ἡσιόδου τοσαῦτα· ὁ δὲ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ζ, ἧς ἡ ἀρχή·

Ἄργος ἄειδε, θεά, πολυδίψιον, ἔνθεν ἄνακτες·

εἶτα Ἐπιγόνους, ἔπη ζ, ὧν ἡ ἀρχή·

Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα, Μοῦσαι.

18. Φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. Ἀκούσαντες δὲ τῶν ἐπῶν οἱ Μίδα τοῦ βασιλέως παῖδες, Ξάνθος καὶ Γόργος, παρακαλοῦσιν αὐτὸν ἐπίγραμμα ποιῆσαι ἐπὶ τοῦ τάφου τοῦ πατρὸς αὐτῶν, ἐφ' οὗ ἦν παρθένος χαλκῆ τὸν Μίδου θάνατον οἰκτιζομένη. Καὶ ποιεῖ οὕτως·

Χαλκέη παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματος ἧμαι.
Ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
καὶ ποταμοὶ πλήθωσι, περικλύζῃ δὲ θάλασσα,
ἠέλιος ἀνιὼν φαίνῃ λαμπρά τε σελήνη,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ
σημανέω παριοῦσι, Μίδης ὅτι τῇδε τέθαπται.

culturam et pacem adhortaretur, victoriam reportaret, non ille, qui bella et cædes narraret. Victoriam igitur hoc modo asse cutum fuisse Hesiodum dicunt; tripodemque æreum, quem præmio acceperat, Musis consecrasse, hac prius inscriptione notatum :

Hesiodus Musis Heliconiadibus hunc consecravit,
cantu quum vicisset Chalcide divinum Homerum.

15. Certamine igitur dimisso, Hesiodus Delphos navigavit, oraculum ibidem consulturus, et victoriæ suæ primitias Deo consecraturus. Cum vero templum ingrederetur, deo repletam prophetissam hoc modo cecinisse dicunt :

Felix ille vir, qui circa meam domum versatur,
Hesiodus, Musis honoratus immortalibus :
ejus certe gloria erit, quocumque dispergitur aurora.
Sed Jovis cave Nemei pulchrum lucum;
ibi enim tibi mortis exitus destinatus est.

16. Hesiodus autem, audito oraculo, a Peloponneso discessit, putans illam, quæ in illa erat regione, Nemeam deum significare. Œnoen vero in Locride adveniens, apud Amphiphanem et Ganyctorem, Phegei filios, diversatur, vaticinii sane ignarus; omnis enim illa regio Jovi Nemeo consecrata erat. Cum autem diutius apud Œnoenses commoratus esset, suspicati adolescentes Hesiodum sorori suæ stuprum intulisse, eum interfecerunt, marique, quod Eubœam et Locridem interjacet, submerserunt. Cum vero tertio post die cadaver ad terram delphines detulissent, quo tempore festum solenne in honorem Ariadnæ celebrabatur, omnes ad littus decurrerunt, agnitoque corpore, illud quidem lugentes sepellierunt, interfectores autem exquisiverunt; qui sane civium suorum iram pertimescentes, cymba piscatoria raptim comparata, ad Cretam navigarunt. Eos autem in ipso itinere fulmine percussos Jupiter submersit, ut narrat Alcidamas in Museo. Eratosthenes autem dicit in Enepodo Ctimenum et Antiphum, Ganyctoris filios, ob illud, quod diximus, crimen, cum rediissent, ab Eurycle haruspice, ut leges hospitales exigunt, morte mulctatos fuisse. Virginem quidem, horum hominum sororem, post violatæ pudicitiæ injuriam, semet suspendisse; corruptam vero fuisse ab hospite quodam, qui Hesiodo comes itineris fuerat, nomine Demode, quem et ipsum ab illis interfectum narrat. Postremo vero Orchomenii, oraculo moniti, corpus ad se translatum sepellierunt, et hanc inscriptionem tumulo imposuerunt :

Ascre quidem patria dives-segetum; sed mortui
ossa equos-concitantium terra Minyarum detinet
Hesiodi, cujus plurima inter homines gloria est,
hominibus judicantibus in tentamine sapientiæ.

17. Hæc vero de Hesiodo. Homerus autem post amissam victoriam circumerrans recitabat poemata; primum quidem Thebaida, septies mille versus, quæ sic incipit :

Argos cane, dea, siticulosum, ubi reges;

deinde Epigonos, totidem versus, quorum initium :

Nunc autem a recentioribus initium-faciamus, Musæ.

18. Dicunt enim nonnulli et hos Homeri esse. Auditis autem carminibus Xanthus et Gorgus, Midæ filii, rogant eum, ut epigramma, patris sui sepulchro inscribendum, componeret. Sepulchro autem imposita erat imago virginis ænea, Midæ mortem deflentis. Epitaphium igitur, quod sequitur, componit :

Ænea virgo sum, Midæque in monimento sedeo :
dum undaque fluit, et arbores altæ florent,
et fluvii tument, inundatque mare,
sol exoriens lucet splendidaque luna;
hic manens deplorato super tumulo
narro prætereuntibus, Midas quod hic sepultus est.

σθεὶς ἐπὶ τῇ Ὁμήρου εὐημερίᾳ, ἐπὶ τὴν τῶν ἀπόρων ὥρμησεν ἐπερώτησιν, καί φησι τούςδε τοὺς στίχους·

Μοῦσ', ἄγε μοι τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα·
τῶν μὲν μηδὲν ἄειδε, σὺ δ' ἄλλης μνῆσαι ἀοιδῆς.

6. Ὁ δὲ Ὅμηρος, βουλόμενος ἀκολούθως τὸ ἄπορον λῦσαι, φησίν·

Οὐδέποτ' ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
ἅρματα συντρίψουσιν ἐρίζοντες περὶ νίκης.

7. Καλῶς δὲ καὶ ἐν τούτοις ἀπαντήσαντος, ἐπὶ τοὺς ἀμφιβόλους γνώμας ὥρμησεν ὁ Ἡσίοδος, καὶ πλείονας στίχους λέγων ἠξίου καθ' ἕνα ἕκαστον συμφώνως ἀποκρίνασθαι τὸν Ὅμηρον. Ἔστιν οὖν ὁ μὲν πρῶτος Ἡσιόδου, ὁ δὲ ἑξῆς Ὁμήρου, ἐνίοτε δὲ καὶ δύο στίχων τὴν ἐπερώτησιν ποιουμένου τοῦ Ἡσιόδου.

ΗΣΙΟΔΟΣ.
Δεῖπνον ἔπειθ' εἵλοντο βοῶν κρέα κ' αὐχένας ἵππων
ΟΜΗΡΟΣ.
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμοιο κόρεσθεν.
ΗΣΙΟΔΟΣ.
Καὶ Φρύγες, οἳ πάντων ἀνδρῶν ἐπὶ νηυσὶν ἄριστοι
ΟΜΗΡΟΣ.
ἀνδράσι ληϊστῆρσιν ἐπ' ἀκτῆς δόρπον ἑλέσθαι.
ΗΣΙΟΔΟΣ.
Ἡρακλέης ἀπέλυσεν ἀπ' ὤμων καμπύλα τόξα,
ΟΜΗΡΟΣ.
χερσὶ βαλὼν ἰοῖσιν ὅλων κατὰ φῦλα γιγάντων.
ΗΣΙΟΔΟΣ.
Οὗτος ἀνὴρ ἀνδρός τ' ἀγαθοῦ καὶ ἀνάλκιδός ἐστι
ΟΜΗΡΟΣ.
μητρός· ἐπεὶ πόλεμος χαλεπὸς πάσῃσι γυναιξί.
ΗΣΙΟΔΟΣ.
Ἦ τ' ἄρα σοί γε πατὴρ ἐμίγη καὶ πότνια μήτηρ,
ΟΜΗΡΟΣ.
σῶμα τότε σπείραντε διὰ χρυσέην Ἀφροδίτην.
ΗΣΙΟΔΟΣ.
Αὐτὰρ ἐπεὶ δμήθη γάμῳ Ἄρτεμις ἰοχέαιρα,
ΟΜΗΡΟΣ.
Καλλιστὼ κατέπεφνεν ἀπ' ἀργυρέοιο βιοῖο.
ΗΣΙΟΔΟΣ.
Ὣς οἱ μὲν δαίνυντο πανήμεροι, οὐδὲν ἔχοντες
ΟΜΗΡΟΣ.
οἴκοθεν· ἀλλὰ παρεῖχεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
ΗΣΙΟΔΟΣ.
Δεῖπνον δειπνήσαντες ἐνὶ σποδῷ αἰθαλοέσσῃ
ΟΜΗΡΟΣ.
σύλλεγον ὀστέα λευκὰ βοὸς κατατεθνηῶτος.
ΗΣΙΟΔΟΣ.
. . . .
ΟΜΗΡΟΣ.
παιδὸς ὑπερθύμου Σαρπηδόνος ἀντιθέοιο.
ΗΣΙΟΔΟΣ.
Ἡμεῖς δ' ἀμπεδίον Σιμοέντιον ἥμενοι αὔτως
ΟΜΗΡΟΣ.
. . . .

usurpentur. Hesiodus autem, Homeri famam ægre ferens, ad intricatas deinde quæstiones pergit, et hos versus recitat:

Musa, age mihi præsentiaque futuraque et præterita:
eorum quidem nihil cane; tu vero aliæ memento cantilenæ.

6. Homerus vero carmine consequente difficultatem solvere cupiens, dicit:

Numquam circa Iovis tumulum sonipedes equi
currus collident, contendentes pro victoria.

7. His igitur pulchre expeditis, ad ambiguas sententias processit Hesiodus, et plures versus recitaturus voluit, ut eorum singulis, alii post alium, Homerus congruenter responderet. Prior igitur est Hesiodi, posterior Homeri, aliquando tamen duobus versibus quæstionem suam proponit Hesiodus.

HESIODUS.
Cœnabant deinde boum carnem, et cervices equorum
HOMERUS.
solvebant sudantes, postquam bello satiati sunt.
HESIODUS.
Et Phryges, qui omnium hominum in navibus optimi *sunt*,
HOMERUS.
ut per viros prædones in littore cœnam sumant.
HESIODUS.
Hercules solvit ab humeris curvum arcum,
HOMERUS.
manibus jaculans sagittis cunctorum per gentes Gigantum.
HESIODUS.
Hic vir a-patreque bono, et imbelli est
HOMERUS.
matre; quoniam bellum grave *est* omnibus feminis.
HESIODUS.
Sane igitur in-te pater mixtus-est et veneranda mater,
HOMERUS.
corpus tunc seminantes per auream Venerem.
HESIODUS.
Sed postquam subjecta-est nuptiis Diana sagittis-gaudens,
HOMERUS.
Callisto interfecit argenteo arcu.
HESIODUS.
Sic illi quidem epulabantur per-totum-diem, nihil habentes
HOMERUS.
domo-petitum; sed præbuit rex virorum Agamemnon.
HESIODUS.
Cœnam postquam-ceperunt, in cinere ardente
HOMERUS.
collegerunt ossa alba bovis mortui.
HESIODUS.
. . . .
HOMERUS.
filii magnanimi Sarpedonis divini.
HESIODUS.
Nos vero per-campum Simoisium sedentes hoc-mod
HOMERUS.
. . . .

ΗΣΙΟΔΟΣ.
Ἴομεν ἐκ νηῶν ὁδὸν ἀμφ' ὤμοισιν ἔχοντες
ΟΜΗΡΟΣ.
φάσγανα κωπήεντα καὶ αἰγανέας δολιχαύλους.
ΗΣΙΟΔΟΣ.
Δὴ τότ' ἀριστῆες κοῦροι χείρεσσι θαλάσσης
ΟΜΗΡΟΣ.
ἄσμενοι ἐσσυμένως τε ἀπείρυσαν ὠκύαλον νηῦν.
ΗΣΙΟΔΟΣ.
Κολχίδ' ἔπειτ' ἵκοντο, καὶ Αἰήτην βασιλῆα
ΟΜΗΡΟΣ.
φεῦγον, ἐπεὶ γίγνωσκον ἀνέστιον ἠδ' ἀθέμιστον.
ΗΣΙΟΔΟΣ.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τε καὶ ἔκπιον, οἶδμα θαλάσσης
ΟΜΗΡΟΣ.
ποντοπορεῖν ἤμελλον ἐϋσσέλμων ἐπὶ νηῶν.
ΗΣΙΟΔΟΣ.
Τοῖσιν δ' Ἀτρείδης μεγάλ' εὔχετο πᾶσιν ὀλέσθαι
μηδέποτ' ἐν πόντῳ· καὶ φωνήσας ἔπος ηὔδα·
ΟΜΗΡΟΣ.
Ἐσθίετ', ὦ ξεῖνοι, καὶ πίνετε. Μηδέ τις ὑμέων
οἴκαδε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν
πημανθείς· ἀλλ' αὖτις ἀπήμονες οἴκαδ' ἵκοισθε.

8. Πρὸς ταῦτα δὲ πάντα τοῦ Ὁμήρου καλῶς ἀπαντήσαντος, πάλιν φησὶν ὁ Ἡσίοδος·

Τοῦτό τι δή μοι μοῦνον ἐειρομένῳ κατάλεξον,
πόσσοι ἅμ' Ἀτρείδῃσιν ἐς Ἴλιον ἦλθον Ἀχαιοί;

9. Ὁ δὲ Ὅμηρος διὰ λογιστικοῦ προβλήματος ἀποκρίνεται οὕτως·

Πεντήκοντ' ἦσαν πυρὸς ἐσχάραι· ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

10. Τοῦτο δὲ εὑρίσκεται πλῆθος ἄπιστον· τῶν γὰρ ἐσχαρῶν οὐσῶν ν', ὀβελίσκοι γίνονται πεντακόσιοι καὶ χιλιάδες β', κρεῶν δὲ δεκαδύο μυριάδες, πεντακισχίλιοι [τετρακόσιοι καὶ πεντήκοντα.] Κατὰ πάντα δὴ τοῦ Ὁμήρου ὑπερτεροῦντος, φθονῶν ὁ Ἡσίοδος ἄρχεται πάλιν·

Υἱὲ Μέλητος Ὅμηρ', εἴπερ τιμῶσί σε Μοῦσαι,
ὡς λόγος, ὑψίστοιο Διὸς μεγάλοιο θύγατρες,
λέξον, μέτρον ἐναρμόζων, ὅ τι δὴ θνητοῖσι
κάλλιστόν τε καὶ ἔχθιστον· ποθέω γὰρ ἀκοῦσαι.

11. Ὁ δέ φησι·

Ἡσίοδ', ἔκγονε Δίου, ἑκόντα με ταῦτα κελεύεις
εἰπεῖν· αὐτὰρ ἐγὼ μάλα σοι πρόφρων ἀγορεύσω.
Κάλλιστον μὲν τῶν ἀγαθῶν ἔσται μέτρον εἶναι
αὐτὸν ἑαυτῷ· τῶν δὲ κακῶν ἔχθιστον ἁπάντων
εὔνουν εἶναι ἑαυτῷ ἀεὶ χρόνον ἐς τὸν ἅπαντα.
Ἄλλο δὲ πᾶν, ὅ τι τῷ θυμῷ φίλον ἐστὶν, ἐρώτα.
ΗΣΙΟΔΟΣ.
Πῶς ἂν ἄριστ' οἰκοῖντο πόλεις, καὶ ἐν ἤθεσι ποίοις;
ΟΜΗΡΟΣ.
Εἰ μὴ κερδαίνειν ἀπὸ τῶν αἰσχρῶν ἐθέλοιεν·
οἱ δ' ἀγαθοὶ τιμῷντο, δίκη δ' ἀδίκοισιν ἐπείη·

HESIODUS.
Profecti-sumus ex navibus viam, circa humeros habentes
HOMERUS.
enses capulis-aptatos et spicula longa.
HESIODUS.
Iam tunc primarii juvenes manibus de-mari
HOMERUS.
libentes et propere detraxerunt velocem navem.
HESIODUS.
Colchida deinde profecti-sunt, et Æeten regem
HOMERUS. [stum.
fugerunt, quoniam noverunt *eum* inhospitalem atque inju-
HESIODUS.
Sed postquam libarunt et biberunt, fluctus maris
HOMERUS.
transituri erant bene-transtris-aptatis in navibus.
HESIODUS. [rirent
Illis autem Atrides magnopere precatus-est omnibus, ut pe-
numquam in ponto; et dicens verbum locutus-est:
HOMERUS.
Edite, o hospites, et bibite; neque quis vestrum
domum redeat caram in patriam terram,
læsus; sed rursus illæsi domum revertamini.

8. Ad hæc autem omnia pulchre Homero respondente, rursus dixit Hesiodus:

Hoc igitur mihi solum percontanti narres:
quot cum Atridis Trojam venerunt Achivi?

9. Homerus vero per arithmeticum problema ita respondit;

Quinquaginta erant ignis foci; in singulis vero
quinquaginta obeli; circum *eos* vero carnes quinquaginta:
ter autem trecenti circa singulas carnes erant Achivi.

10. Hic autem incredibilis invenitur numerus; cum enim quinquaginta sint foci, obeli sunt quingenti et bis mille; carnes centies vicies quinquies mille, [quadringentæ et quinquaginta.] In his autem omnibus cum Homerus superior evaderet, Hesiodus invidia stimulatus rursus incipit:

Fili Meletis, Homere, siquidem honorant te Musæ,
ut fertur, summi Jovis magni filiæ,
dicas, metricis-numeris adaptans, quid jam mortalibus
pulcherrimumque et maxime invisum; cupio enim audire.

11. Homerus autem dicit:

Hesiode, fili Dii, haud-invitum me hæc jubes
dicere; sed ego valde tibi promptus narrabo.
Pulcherrimum quidem bonorum erit mensuram esse
se sibi, malorum autem maxime-odiosum omnium,
benevolum esse sibi semper tempus in perpetuum: [tare.
aliud autem omne, quodcumque animo gratum-est, percon-
HESIODUS. [bus?
Quomodo optime habitentur civitates, et quibusnam mori-
HOMERUS.
Si lucrum-facere ex turpibus *rebus* nolint;
boni autem honorentur pœnaque injustis adsit,

. . . .

εὔχεσθαι δὲ θεοῖσι· τὸ πάντων ἐστὶν ἄμεινον.

ΗΣΙΟΔΟΣ.

Ἐν δ' ἐλαχίστῳ ἄριστον ἔχειν σ' ὅ τι φύεται εἰπεῖν;

ΟΜΗΡΟΣ.

Ὡς μὲν ἐμῇ γνώμῃ, φρένες ἐσθλαὶ σώμασιν ἀνδρῶν.

ΗΣΙΟΔΟΣ.

Ἡ δὲ δικαιοσύνη τε καὶ ἀνδρείη δύναται τί;

ΟΜΗΡΟΣ.

Κοινὰς ὠφελίας ἰδίοις μόχθοισι πορίζειν.

ΗΣΙΟΔΟΣ.

Τῆς σοφίης δὲ τί τέκμαρ ἐπ' ἀνθρώποισι πέφυκεν;

ΟΜΗΡΟΣ.

Γιγνώσκειν τὰ παρόντ' ὀρθῶς, καιρῷ δ' ἅμ' ἕπεσθαι.

ΗΣΙΟΔΟΣ.

Πιστεῦσαι δὲ βροτοῖς ποῖον χρέος ἄξιόν ἐστιν;

ΟΜΗΡΟΣ.

Οἷς αὐτὸς κίνδυνος ἐπὶ πραχθεῖσιν ἕπηται.

ΗΣΙΟΔΟΣ.

Ἡ δ' εὐδαιμονίη τί ποτ' ἀνθρώποισι καλεῖται;

ΟΜΗΡΟΣ.

Λυπηθέντ' ἐλάχιστα θανεῖν, ἡσθέντα τε πλεῖστα.

12. Ῥηθέντων δὲ καὶ τούτων, οἱ μὲν Ἕλληνες πάντες τὸν Ὅμηρον ἐκέλευον στεφανοῦν· ὁ δὲ βασιλεὺς Πανίδης ἐκέλευσεν ἕκαστον τὸ κάλλιστον ἐκ τῶν ἰδίων ποιημάτων εἰπεῖν. Ἡσίοδος οὖν ἔφη πρῶτος·

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμητοῦ, ἀρότοιό τε δυσομενάων·
αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δέ, περιπλομένου ἐνιαυτοῦ,
φαίνονται, τάπρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος· οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον
ναίουσιν. Γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν·
γυμνόν τ' ἀμάαν, ὅταν ὥρια πάντα πέλωνται.

3. Μεθ' ὃν Ὅμηρος·

Ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθών,
οὔτε κ' Ἀθηναίη λαοσσόος. Οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ·
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
μακραῖς, ἃς εἶχον ταμεσίχροας. Ὄσσε δ' ἄμερδεν
αὐγὴ χαλκείη, κορύθων ἄπο λαμπομενάων,
θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. Μάλα κεν θρασυκάρδιος εἴη
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.

14. Θαυμάσαντες δὲ καὶ ἐν τούτῳ τὸν Ὅμηρον οἱ Ἕλληνες ἐπῄνουν, ὡς παρὰ τὸ προσῆκον γεγονότων τῶν ἐπῶν, καὶ ἐκέλευον διδόναι τὴν νίκην. Ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνω-

. . . .

precari autem diis : id omnium est optimum.

HESIODUS.

In re-minima optimum, habesne, quid generetur, dicere?

HOMERUS.

Mea quidem sententia, animi boni *in* corporibus hominum.

HESIODUS.

At justitiaque et fortitudo quid potest?

HOMERUS.

Publicam utilitatem privatis laboribus promovere.

HESIODUS.

Sapientiæ vero quid indicium inter homines est?

HOMERUS.

Intelligere præsentia recte, opportunitatem vero sequi.

HESIODUS.

Credere vero hominibus quale negotium par est?

HOMERUS.

Ea, quæ ipsum periculum transacta sequatur.

HESIODUS.

Felicitas autem quid in hominibus vocatur?

HOMERUS.

Dolentem minime, mori, gaudentem vero maxime.

12. Cum autem et hæcce dicta essent, Græci omnes Homerum coronari jusserunt : jussit autem rex Panides utrumque poematum suorum pulcherrimam aliquam partem recitare. Hesiodus igitur primus dixit :

Pleiadibus Atlante-natis exorientibus
Incipe messem, arationem vero occidentibus
hæ quidem noctesque et dies quadraginta
latent : rursum vero revoluto anno
apparent, primum ut-acuitur ferrum.
Hæc utique arvorum est lex, et *iis*, qui mari
prope habitant, et *iis*, qui valles flexuosas,
mari fluctuante procul, pinguem regionem
incolunt : nudus serito, nudusque arato;
nudusque metito, cum tempestiva omnia fiant.

13. Post quem Homerus :

Circum autem Ajaces duos stabant phalanges
firmæ, quas neque Mars vituperasset interveniens,
neque Minerva populorum-concitatrix : illi enim præstantissimi] delecti Trojanosque et Hectorem divum manebant,
addensantes hastam hastæ, scutum scuto valido :
clypeus igitur clypeum fulciebat, galea galeam, virumque vir :] neque *invicem* attingebant comantes galeæ splendidis conis] nutantium, adeo densi steterunt inter-se.
Horruit autem pugna mortalibus-exitiosa hastis
longis, quas tenebant incidentes-corpora : oculosque perstringebat] splendor æreus galeis a lucentibus,
thoracibusque recens-extersis, scutisque fulgentibus,
congredientium in-unum : valde audax-animo esset,
qui tunc gavisus-esset videns laborem neque tristatus-esset.

14. Græci autem et in hoc Homerum admirati laudarunt, quod pulchriora, quam expectare fas erat, carmina composuisset, ideoque eum victorem prædicari jusserunt : rex autem Hesiodum coronavit, dicens, æquum esse, ut ille, qui ad agri-

σεν εἰπὼν δίκαιον εἶναι τὸν ἐπὶ γεωργίαν καὶ εἰρήνην προκαλούμενον νικᾷν, οὐ τὸν πολέμους καὶ σφαγὰς διεξιόντα. Τῆς μὲν οὖν νίκης οὕτω φασὶ τυχεῖν τὸν Ἡσίοδον· καὶ λαβόντα τρίποδα χαλκοῦν ἀναθεῖναι ταῖς Μούσαις, ἐπιγράψαντα·

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν,
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

15. Τοῦ δὲ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος εἰς Δελφοὺς χρησόμενος, καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. Προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ, ἔνθεον γενομένην τὴν προφῆτιν φασιν εἰπεῖν·

Ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος, Μούσῃσι τετιμένος ἀθανάτῃσι·
τοῦ δ' ἤτοι κλέος ἔσται ὅσην ἐπικίδναται ἠώς.
Ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

16. Ὁ δὲ Ἡσίοδος ἀκούσας τοῦ χρησμοῦ, τῆς Πελοποννήσου μὲν ἀνεχώρει, νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν· εἰς δὲ Οἰνόην τῆς Λοκρίδος ἐλθὼν καταλύει παρὰ Ἀμφιφάνει καὶ Γανύκτορι τοῖς Φηγέως παισίν, ἀγνοήσας τὸ μαντεῖον. Ὁ γὰρ τόπος οὗτος ἐκαλεῖτο Διὸς Νεμείου ἱερόν. Διατριβῆς δ' αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰνῶσιν, ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. Τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος, ἑορτῆς τινος ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας, πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον· καὶ τὸ σῶμα γνωρίσαντες, ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν. Οἱ δὲ φοβηθέντες τὴν τῶν πολιτῶν ὀργήν, κατασπάσαντες ἁλιευτικὸν σκάφος διέπλευσαν εἰς Κρήτην· οὓς κατὰ μέσον τὸν πλοῦν ὁ Ζεὺς κεραυνώσας κατεπόντωσεν, ὥς φησιν Ἀλκιδάμας ἐν Μουσείῳ. Ἐρατοσθένης δέ φησιν ἐν Ἐνηπόδῳ Κτίμενον καὶ Ἄντιφον τοὺς Γανύκτορος ἐπὶ τῇ προειρημένῃ αἰτίᾳ ἀνελθόντας σφαγιασθῆναι θεσμοῖς ξενίοις ὑπὸ Εὐρυκλέους τοῦ μάντεως. Τὴν μέντοι παρθένον, τὴν ἀδελφὴν τῶν προειρημένων, μετὰ τὴν φθορὰν ἑαυτὴν ἀναρτῆσαι· φθαρῆναι δὲ ὑπό τινος ξένου, συνόδου τοῦ Ἡσιόδου, Δημώδους ὄνομα· ὃν καὶ αὐτὸν ἀναιρεθῆναι ὑπὸ τῶν αὐτῶν φησιν. Ὕστερον δὲ Ὀρχομένιοι κατὰ χρησμὸν μετενέγκαντες αὐτὸν παρ' αὐτοῖς ἔθαψαν, καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ·

Ἄσκρη μὲν πατρὶς πολυλήϊος· ἀλλὰ θανόντος
  ὀστέα πληξίππων γῆ Μινυὰς κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν
  ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

17. Καὶ περὶ μὲν Ἡσιόδου τοσαῦτα· ὁ δὲ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ζ, ἧς ἡ ἀρχή·

Ἄργος ἄειδε, θεά, πολυδίψιον, ἔνθεν ἄνακτες·

εἶτα Ἐπιγόνους, ἔπη ζ, ὧν ἡ ἀρχή·

Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα, Μοῦσαι.

18. Φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. Ἀκούσαντες δὲ τῶν ἐπῶν οἱ Μίδα τοῦ βασιλέως παῖδες, Ξάνθος καὶ Γόργος, παρακαλοῦσιν αὐτὸν ἐπίγραμμα ποιῆσαι ἐπὶ τοῦ τάφου τοῦ πατρὸς αὐτῶν, ἐφ' οὗ ἦν παρθένος χαλκῆ τὸν Μίδου θάνατον οἰκτιζομένη. Καὶ ποιεῖ οὕτως·

Χαλκέη παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματος ἧμαι.
Ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
καὶ ποταμοὶ πλήθωσι, περικλύζῃ δὲ θάλασσα,
ἠέλιος ἀνιὼν φαίνῃ λαμπρά τε σελήνη,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ
σημανέω παριοῦσι, Μίδης ὅτι τῇδε τέθαπται.

culturam et pacem adhortaretur, victoriam reportaret, non ille, qui bella et cædes narraret. Victoriam igitur hoc modo assecutum fuisse Hesiodum dicunt; tripodemque æreum, quem præmio acceperat, Musis consecrasse, hac prius inscriptione notatum :

Hesiodus Musis Heliconiadibus hunc consecravit,
cantu quum vicisset Chalcide divinum Homerum.

15. Certamine igitur dimisso, Hesiodus Delphos navigavit, oraculum ibidem consulturus, et victoriæ suæ primitias Deo consecraturus. Cum vero templum ingrederetur, deo repletam prophetissam hoc modo cecinisse dicunt :

Felix ille vir, qui circa meam domum versatur,
Hesiodus, Musis honoratus immortalibus :
ejus certe gloria erit, quocumque dispergitur aurora.
Sed Jovis cave Nemei pulchrum lucum;
ibi enim tibi mortis exitus destinatus est.

16. Hesiodus autem, audito oraculo, a Peloponneso discessit, putans illam, quæ in illa erat regione, Nemeam deum significare. Œnoen vero in Locride adveniens, apud Amphiphanem et Ganyctorem, Phegei filios, diversatur, vaticinii sane ignarus; omnis enim illa regio Jovi Nemeo consecrata erat. Cum autem diutius apud Œnoenses commoratus esset, suspicati adolescentes Hesiodum sorori suæ stuprum intulisse, eum interfecerunt, marique, quod Eubœam et Locridem interjacet, submerserunt. Cum vero tertio post die cadaver ad terram delphines detulissent, quo tempore festum solenne in honorem Ariadnæ celebrabatur, omnes ad littus decurrerunt, agnitoque corpore, illud quidem lugentes sepelierunt, interfectores autem exquisiverunt; qui sane civium suorum iram pertimescentes, cymba piscatoria raptim comparata, ad Cretam navigarunt. Eos autem in ipso itinere fulmine percussos Jupiter submersit, ut narrat Alcidamas in Museo. Eratosthenes autem dicit in Enepodo Ctimenum et Antiphum, Ganyctoris filios, ob illud, quod diximus, crimen, cum rediissent, ab Eurycle haruspice, ut leges hospitales exigunt, morte mulctatos fuisse. Virginem quidem, horum hominum sororem, post violatæ pudicitiæ injuriam, semet suspendisse; corruptam vero fuisse ab hospite quodam, qui Hesiodo comes itineris fuerat, nomine Demode, quem et ipsum ab illis interfectum narrat. Postremo vero Orchomenii, oraculo moniti, corpus ad se translatum sepelierunt, et hanc inscriptionem tumulo imposuerunt :

Ascre quidem patria dives-segetum; sed mortui
  ossa equos-concitantium terra Minyarum detinet
Hesiodi, cujus plurima inter homines gloria est,
  hominibus judicantibus in tentamine sapientiæ.

17. Hæc vero de Hesiodo. Homerus autem post amissam victoriam circumerrans recitabat poemata; primum quidem Thebaida, septies mille versus, quæ sic incipit :

Argos cane, dea, siticulosum, ubi reges;

deinde Epigonos, totidem versus, quorum initium :

Nunc autem a recentioribus initium-faciamus, Musæ.

18. Dicunt enim nonnulli et hos Homeri esse. Auditis autem carminibus Xanthus et Gorgus, Midæ filii, rogant eum, ut epigramma, patris sui sepulchro inscribendum, componeret. Sepulchro autem imposita erat imago virginis ænea, Midæ mortem deflentis. Epitaphium igitur, quod sequitur, componit :

Ænea virgo sum, Midæque in monimento sedeo :
dum undaque fluit, et arbores altæ florent,
et fluvii tument, inundatque mare,
sol exoriens lucet splendidaque luna;
hic manens deplorato super tumulo
narro prætereuntibus, Midas quod hic sepultus est.

19. Λαβὼν δὲ παρ' αὐτῶν φιάλην ἀργυρᾶν ἀνατίθησιν ἐν Δελφοῖς τῷ Ἀπόλλωνι, ἐπιγράψας·

Φοῖβε ἄναξ, δῶρον τόδ' Ὅμηρος καλὸν ἔδωκα
σῇσιν ἐπιφροσύναις· σὺ δέ μοι κλέος αἰὲν ὀπάζοις·

20. Μετὰ δὲ ταῦτα ποιεῖ τὴν Ὀδύσσειαν ἔπη μβφ', πεποιηκὼς ἤδη τὴν Ἰλιάδα ἐπῶν με'. Παραγενόμενος δὲ ἐκεῖθεν εἰς Ἀθήνας, αὐτὸν ξενισθῆναί φασι παρὰ Μέδοντι τῷ βασιλεῖ τῶν Ἀθηναίων. Ἐν δὲ τῷ βουλευτηρίῳ ψύχους ὄντος, καὶ πυρὸς καιομένου, σχεδιάσαι λέγεται τούσδε τοὺς στίχους·

Ἀνδρὸς μὲν στέφανος παῖδες, πύργοι δὲ πόληος·
ἵπποι δ' αὖ πεδίου κόσμος, νῆες δὲ θαλάσσης·
λαὸς δ' εἰν ἀγορῇσι καθήμενος εἰσοράασθαι.
Αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι
ἤματι χειμερίῳ, ὁπόταν νίφῃσι Κρονίων.

21. Ἐκεῖθεν δὲ παραγενόμενος εἰς Κόρινθον, ἐῤῥαψῴδει τὰ ποιήματα. Τιμηθεὶς δὲ μεγάλως παραγίγνεται εἰς Ἄργος· καὶ λέγει ἐκ τῆς Ἰλιάδος τὰ ἔπη τάδε·

Οἳ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν,
Ἑρμιόνην τ' Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας,
Τροιζῆν', Ἠϊόνας τε, καὶ ἀμπελόεντ' Ἐπίδαυρον,
νῆσόν τ' Αἴγιναν Μάσητά τε, κοῦροι Ἀχαιῶν,
τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
Τυδείδης, οὗ πατρὸς ἔχων μένος Οἰνείδαο,
καὶ Σθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός.
Τοῖσι δ' ἅμ' Εὐρύπυλος τρίτατος κίεν, ἰσόθεος φώς,
Μηκιστέως υἱὸς Ταλαϊονίδαο ἄνακτος.
Ἐκ πάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης.
Τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο·
ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.

22. Τῶν δὲ Ἀργείων οἱ προεστηκότες, ὑπερβολῇ χαρέντες ἐπὶ τῷ ἐγκωμιάζεσθαι τὸ γένος αὐτῶν ὑπὸ τοῦ ἐνδοξοτάτου τῶν ποιητῶν, αὐτὸν μὲν πολυτελέσι δωρεαῖς ἐτίμησαν, εἰκόνα δὲ χαλκῆν ἀναστήσαντες, ἐψηφίσαντο θυσίαν ἐπιτελεῖν Ὁμήρῳ καθ' ἡμέραν καὶ κατὰ μῆνα καὶ κατ' ἐνιαυτὸν, ἄλλην δὲ θυσίαν πενταετηρίδα ἐς Χίον ἀποστέλλειν. Ἐπιγράφουσι δὲ ἐπὶ τῆς εἰκόνος αὐτοῦ·

Θεῖος Ὅμηρος ὅδ' ἐστὶν, ὃς Ἑλλάδα τὴν μεγάλαυχον
πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ,
ἔξοχα δ' Ἀργείους, οἳ τὴν θεοτειχέα Τροίην
ἤρειψαν ποινὴν ἠϋκόμου Ἑλένης.
Οὗ χάριν ἔστησεν δῆμος μεγαλόπτολις αὐτὸν
ἐνθάδε καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.

23. Ἐνδιατρίψας δὲ τῇ πόλει χρόνον τινὰ διέπλευσεν εἰς Δῆλον εἰς τὴν πανήγυριν. Καὶ σταθεὶς ἐπὶ τὸν κερατινὸν βωμὸν λέγει ὕμνον εἰς Ἀπόλλωνα, οὗ ἡ ἀρχή·

Μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.

24. Ῥηθέντος δὲ τοῦ ὕμνου, οἱ μὲν Ἴωνες πολίτην αὐτὸν κοινὸν ἐποιήσαντο, Δήλιοι δὲ γράψαντες τὰ ἔπη εἰς λεύκωμα ἀνέθηκαν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ. Τῆς δὲ πανηγύρεως λυθείσης, ὁ ποιητὴς εἰς Ἴον ἔπλευσε πρὸς Κρεώφυλον, κἀκεῖ χρόνον διέτριβεν, πρεσβύτης ὢν ἤδη. Ἐπὶ δὲ τῆς θαλάσσης καθήμενος, παίδων τινῶν ἀφ' ἁλιείας ἐρχομένων, ὥς φασι, πυθόμενος·

Ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἦ ῥ' ἔχομέν τι;

εἰπόντων δὲ ἐκείνων·

19. Donatus autem ab iis phiala argentea, eam Apollini Delphico consecrat, hac prius inscriptione imposita :

Phœbe rex, donum hoc Homerus pulchrum dedi
tuæ sapientiæ; tu autem mihi gloriam semper præbeas.

20. Post hæc autem componit Odysseam, 12500 versus, composita prius Iliade 10005 versuum. Inde vero Athenas profectum a Medonte, Atheniensium rege, hospitio acceptum dicunt. In curia vero, cum frigida esset tempestas, et ignis accensus esset, hos versus ex tempore recitasse dicitur :

Viri quidem corona liberi, turres vero urbis;
equi autem rursus campi decus, naves vero maris;
populus autem in concionibus sedens conspicuus.
Ardente autem igne augustior domus videtur
die hiberno, cum nivem-demittat Saturnius.

21. Inde Corinthum profectus, rhapsodias canebat, magnisque honoribus affectus, Argos migrat, ibique ex Iliade hos versus recitat :

Qui vero Argosque tenebant Tirynthaque bene-munitam,
Hermionenque Asinenque, profundum sinum habentes;
Trœzena Eionasque et vitibus-consitam Epidaurum,
insulamque Æginam, Masetaque, juvenes Achivorum :
his porro præerat voce insignis Diomedes,
Tydides, sui patris habens vim Œnidæ,
et Sthenelus, Capanei inclyti dilectus filius.
Cum-his vero una Eurypylus tertius ibat, similis-deo vir,
Mecistei filius Talaionidæ regis.
Universis autem præerat voce-excellens Diomedes.
Hos vero simul octoginta nigræ naves sequebantur :
in iis autem viri belli periti ordine-incedebant,
Argivi lineis-thoracibus, stimuli belli.

22. Argivorum vero proceres, supra modum gaudentes encomio, quod genti suæ poeta celeberrimus tribuerit, pretiosis eum donis honorarunt erectaque statua ænea decreverunt, ut diurnum, menstruum et annuum sacrificium Homero fieret, aliudque insuper sacrificium quinto quoque anno Chium mitteretur; statuæ autem ejus hanc imponunt inscriptionem :

Divinus Homerus hic est, qui Hellada magnanimam
totam honestavit suaviloqua sapientia;
præcipue vero Argivos, qui a-diis-ædificatam Trojam
diruerunt in-pœnam pulchricomæ Helenæ.
Cujus gratia statuit populus magnæ urbis eum
hic, et honoribus colit immortalium.

23. In hac autem urbe aliquantisper commoratus ad Delum navigavit, ut conventui publico interesset, et altari e cornibus exstructo insistens, recitat hymnum in Apollinem, qui sic incipit :

Memor-ero, neque obliviscar Apollinis longe-jaculantis.

24. Recitato autem hymno eum quidem Iones civitate sua donarunt, Delii vero carmina, tabulæ albæ inscripta, in Dianæ templum retulerunt. Dimisso vero conventu, poeta ad Iou navigavit, ad Creophylum; ibique aliquantisper commoratus est, cum jam senex esset. Cum vero juxta mare consedisset, adolescentes quosdam a piscatu redeuntes fertur interrogasse :

Viri ex Arcadia piscatores, num habemus aliquid?

Illis autem dicentibus :

Ὅσσ' ἕλομεν λιπόμεσθα, ὅσ' οὐχ ἕλομεν φερόμεσθα,

οὐ νοήσας τὸ λεχθὲν, ἤρετο αὐτοὺς ὅ τι λέγοιεν. Οἱ δέ φασιν ἐν ἁλιείᾳ μὲν ἀγρεῦσαι μηδὲν, ἐφθειρίσθαι δὲ, καὶ τῶν φθειρῶν οὓς ἔλαβον καταλιπεῖν· οὓς δὲ οὐκ ἔλαβον ἐν τοῖς ἱματίοις φέρειν. Ἀναμνησθεὶς δὲ τοῦ μαντείου, ὅτι τὸ τέλος αὐτοῦ ἥκει τοῦ βίου, ποιεῖ τὸ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα. Ἀναχωρῶν δὲ ἐκεῖθεν, ὄντος πηλοῦ ὀλισθὼν καὶ πεσὼν ἐπὶ τὴν πλευρὰν, τριταῖος, ὥς φασι, τελευτᾷ. Καὶ ἐτάφη ἐν Ἴῳ. Ἔστι δὲ τὸ ἐπίγραμμα τόδε·

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

Quæ cepimus, reliquimus; quæ non cepimus, auferimus;

responsum non intelligens, percontatus est eos, quid dicerent. Illi autem responderunt, in piscatione quidem se nihil cepisse; sed pediculos venatos fuisse, eorumque quos ceperant, reliquisse, quos vero non ceperant, jam in vestibus ferre. Recordatus igitur vaticinii, vitæque finem sibi jam instare intelligens, sepulchri inscriptionem componit; inde vero recedentem, lutulento solo, lapsum, et in latus concidentem, tertio post die mortuum esse dicunt, et in Io sepultum. Epigramma autem hoc est :

Hic sacrum caput terra obtegit,
virorum heroum præconem, divinum Homerum.

INDEX

NOMINUM ET RERUM.

Nulla præposita litera numeri in *Theogonia* quærendi sunt; *O. opera et dies*, *S. scutum Herculis* significat; numeri romani ad *fragmenta* remittunt.

A.

B.

Γ.

Δ.

E.

Θ.

I.

K.

N.

Ξ.

O.

Π.

P.

Σ.

T.

Υ.

Φ.

Χ.

Ψ.

Ω.

ΑΠΟΛΛΩΝΙΟΥ

ΤΟΥ ΡΟΔΙΟΥ

ΑΡΓΟΝΑΥΤΙΚΑ.

APOLLONII

RHODII

ARGONAUTICA.

ΑΠΟΛΛΩΝΙΟΥ
ΤΟΥ ΡΟΔΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ
ΒΙΒΛΙΟΝ Α.

Ἀρχόμενος σέο, Φοῖβε, παλαιγενέων κλέα φωτῶν
μνήσομαι, οἳ Πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας
Κυανέας βασιλῆος ἐφημοσύνῃ Πελίαο
χρύσειον μετὰ κῶας ἐΰζυγον ἤλασαν Ἀργώ.
Τοίην γὰρ Πελίης φάτιν ἔκλυεν, ὥς μιν ὀπίσσω
μοῖρα μένει στυγερὴ τοῦδ' ἀνέρος, ὅντιν' ἴδοιτο
δημόθεν οἰοπέδιλον, ὑπ' ἐννεσίῃσι δαμῆναι.
Δηρὸν δ' οὐ μετέπειτ' αὐτὴν κατὰ βάξιν Ἰήσων
χειμερίοιο ῥέεθρα κιὼν διὰ ποσσὶν Ἀναύρου
ἄλλο μὲν ἐξεσάωσεν ὑπ' ἰλύος, ἄλλο δ' ἔνερθεν
κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν.
Ἵκετο δ' ἐς Πελίην αὐτοσχεδὸν ἀντιβολήσων
εἰλαπίνης, ἣν πατρὶ Ποσειδάωνι καὶ ἄλλοις
ῥέζε θεοῖς, Ἥρης δὲ Πελασγίδος οὐκ ἀλέγιζεν.
Αἶψα δὲ τόν γ' ἐσιδὼν ἐφράσσατο καί οἱ ἄεθλον
ἔντυε ναυτιλίης πολυκηδέος, ὄφρ' ἐνὶ πόντῳ
ἠὲ καὶ ἀλλοδαποῖσι μετ' ἀνδράσι νόστον ὀλέσσῃ.
Νῆα μὲν οὖν οἱ πρόσθεν ἐπικλείουσιν ἀοιδοὶ
Ἄργον Ἀθηναίης καμέειν ὑποθημοσύνῃσιν.
Νῦν δ' ἂν ἐγὼ γενεήν τε καὶ οὔνομα μυθησαίμην
ἡρώων δολιχῆς τε πόρους ἁλὸς ὅσσα τ' ἔρεξαν
πλαζόμενοι· Μοῦσαι δ' ὑποφήτορες εἶεν ἀοιδῆς.
Πρῶτά νυν Ὀρφῆος μνησώμεθα, τόν ῥά ποτ' αὐτὴ
Καλλιόπη Θρήϊκι φατίζεται εὐνηθεῖσα
Οἰάγρῳ σκοπιῆς Πιμπληΐδος ἄγχι τεκέσθαι.
Αὐτὰρ τόν γ' ἐνέπουσιν ἀτειρέας οὔρεσι πέτρας
θέλξαι ἀοιδάων ἐνοπῇ ποταμῶν τε ῥέεθρα.
Φηγοὶ δ' ἀγριάδες, κείνης ἔτι σήματα μολπῆς,
ἀκτῆς Θρηϊκίης Ζώνης ἔπι τηλεθόωσαι
ἑξείης στιχόωσιν ἐπήτριμοι, ἃς ὅ γ' ἐπιπρὸ
θελγομένας φόρμιγγι κατήγαγε Πιερίηθεν.
Ὀρφέα μὲν δὴ τοῖον ἑῶν ἐπαρωγὸν ἀέθλων
Αἰσονίδης Χείρωνος ἐφημοσύνῃσι πιθήσας
δέξατο, Πιερίῃ Βιστωνίδι κοιρανέοντα.
Ἤλυθε δ' Ἀστερίων αὐτοσχεδὸν, ὅν ῥα Κομήτης
γείνατο δινήεντος ἐφ' ὕδασιν Ἀπιδανοῖο,
Πειρεσιὰς ὄρεος Φυλληΐου ἀγχόθι ναίων,
ἔνθα μὲν Ἀπιδανός τε μέγας καὶ δῖος Ἐνιπεὺς
ἄμφω συμφορέονται ἀπόπροθεν εἰς ἓν ἰόντες.
Λάρισσαν δ' ἐπὶ τοῖσι λιπὼν Πολύφημος ἵκανεν
Εἰλατίδης, ὃς πρὶν μὲν ἐρισθενέων Λαπιθάων,

APOLLONII
RHODII
ARGONAUTICORUM
LIBER PRIMUS.

Auspicatus a-te, Phœbe, olim-genitorum laudes virorum
Memorabo, qui Ponti in ostium et per rupes
Cyaneas, regis mandato Peliæ,
aureum ad vellus *tollendum* bene-transtris-instructam egerunt Argo.] Tale enim Pelias oraculum acceperat, se olim
fatum manere invisum, ejus viri, quem viderit
e-populo uno- calceo- indutum, per consilia ut-interficiatur.
Nec vero diu post, idem secundum oraculum, Jason
hiberni fluenta transiens pedibus Anauri
alterum quidem servavit ex-limo, sed alterum in-imo
reliquit ibi calceum, retentum proluvie.
Venit vero ad Peliam illico interfuturus
epulis- sacris, quas patri Neptuno et aliis
fecit diis, Junonis autem Pelasgicæ non habuit-rationem.
Statim vero *Pelias* eo (*Jasone*) conspecto animadvertit, atque ei laborem] injunxit navigationis curarum-plenissimæ,
ut in mari] aut etiam alienigenas inter homines reditu privaretur.] Navem quidem jam priores canunt poetæ
Argum Minervæ construxisse consiliis.
Nunc vero ego genusque et nomen eloquar
heroum longique itinera maris, et quæ gesserunt
errantes; Musæ autem antistites sint carminis!
Primum igitur Orphei meminerimus, quem quidem olim ipsa] Calliope Thracio traditur connubio-juncta
Œagro, prope speculam Pimpleïdem peperisse.
Sed illum narrant rigida in-montibus saxa
demulsisse carminum cantu amniumque fluenta.
Fagi vero agrestes, illius etiamnum monumenta cantus,
littoris Thracii in Zona frondentes
ordine incedunt densæ, quas ille longo- tractu
delinitas cithara deduxit a-Pieria.
Orphea igitur jam talem suorum adjutorem laborum
Æsonides, Chironis consiliis obsecutus,
adscivit sibi in-Pieria Bistonum regnantem.
Venit vero Asterion sua-sponte, quem quidem Cometes
genuit vorticosi ad aquas Apidani,
Piresias, juxta montem Phylleium, incolens,
ubi quidem Apidanusque magnus et divinus Enipeus
ambo confluunt in unum e-longinquo venientes.
Larissa autem, post hos, relicta Polyphemus venit
Elati-filius, qui olim quidem inter robustos Lapithas,

ὁππότε Κενταύροις Λαπίθαι ἐπεθωρήσσοντο,
ὁπλότερος πολέμιζε· τότ' αὖ βαρύθεσκέ οἱ ἤδη
γυῖα, μένεν δ' ἔτι θυμὸς ἀρήϊος, ὡς τὸ πάρος περ.
Οὐδὲ μὲν Ἴφικλος Φυλάκῃ ἔνι δηρὸν ἔλειπτο
μήτρως Αἰσονίδαο· κασιγνήτην γὰρ ὄπυιεν
Αἴσων Ἀλκιμέδην Φυλακηΐδα· τῆς μιν ἀνώγει
πηοσύνη καὶ κῆδος ἐνικρινθῆναι ὁμίλῳ.
Οὐδὲ Φεραῖς Ἄδμητος ἐϋῤῥήνεσσιν ἀνάσσων
μίμνεν ὑπὸ σκοπιὴν ὄρεος Χαλκωδονίοιο.
Οὐδ' Ἀλόπῃ μίμνον πολυλήϊοι Ἑρμείαο
υἱέες, εὖ δεδαῶτε δόλους, Ἔρυτος καὶ Ἐχίων·
Τοῖσι δ' ἔπι τρίτατος γνωτὸς κίε νισσομένοισιν
Αἰθαλίδης· καὶ τὸν μὲν ἐπ' Ἀμφρυσοῖο ῥοῇσιν
Μυρμιδόνος κούρη Φθιὰς τέκεν Εὐπολόμεια·
τὼ δ' αὖτ' ἐκγεγάτην Μενετηΐδος Ἀντιανείρης.
Ἤλυθε δ' ἀφνειὴν προλιπὼν Γυρτῶνα Κόρωνος
Καινεΐδης, ἐσθλὸς μέν, ἑοῦ δ' οὐ πατρὸς ἀμείνων.
Καινέα γὰρ ζωόν περ ἔτι κλείουσιν ἀοιδοὶ
Κενταύροισιν ὀλέσθαι, ὅτε σφέας οἶος ἀπ' ἄλλων
ἤλασ' ἀριστήων· οἱ δ' ἔμπαλιν ὁρμηθέντες
οὔτε μιν ἐγκλῖναι προτέρω σθένον, οὔτε δαΐξαι·
ἀλλ' ἄῤῥηκτος, ἄκαμπτος ἐδύσατο νειόθι γαίης,
θεινόμενος στιβαρῇσι καταΐγδην ἐλάτῃσιν.
Ἤλυθε δ' αὖ Μόψος Τιταρήσιος, ὃν περὶ πάντων
Λητοΐδης ἐδίδαξε θεοπροπίας οἰωνῶν·
ἠδὲ καὶ Εὐρυδάμας Κτιμένου παῖς· ἄγχι δὲ λίμνης
Ξυνιάδος Κτιμένην Δολοπηΐδα ναιετάασκεν.
Καὶ μὴν Ἄκτωρ υἷα Μενοίτιον ἐξ Ὀπόεντος
ὦρσεν, ἀριστήεσσι σὺν ἀνδράσιν ὄφρα νέοιτο.
Εἵπετο δ' Εὐρυτίων τε καὶ ἀλκήεις Ἐριβώτης,
υἷες ὁ μὲν Τελέοντος, ὁ δ' Ἴρου Ἀκτορίδαο·
ἤτοι ὁ μὲν Τελέοντος ἐϋκλειὴς Ἐριβώτης,
Ἴρου δ' Εὐρυτίων. Σὺν καὶ τρίτος ἦεν Ὀϊλεὺς
ἔξοχος ἠνορέην καὶ ἐπαΐξαι μετόπισθεν
εὖ δεδαὼς δηΐοισιν, ὅτε κλίνωσι φάλαγγας.
Αὐτὰρ ἀπ' Εὐβοίης Κάνθος κίε, τόν ῥα Κάνηθος
πέμπεν Ἀβαντιάδης λελιημένον· οὐ μὲν ἔμελλεν
νοστήσειν Κήρινθον ὑπότροπος. Αἶσα γὰρ ἦεν
αὐτὸν ὁμῶς Μόψον τε δαήμονα μαντοσυνάων
πλαγχθέντας Λιβύης ἐνὶ πείρασι δηωθῆναι·
ὡς οὐκ ἀνθρώποισι κακὸν μήκιστον ἐπαυρεῖν,
ὁππότε κἀκείνους Λιβύῃ ἔνι ταρχύσαντο,
τόσσον ἑκὰς Κόλχων, ὅσσον τέ περ ἠελίοιο
μεσσηγὺς δύσιές τε καὶ ἀντολαὶ εἰσορόωνται.
Τῷ δ' ἄρ' ἔπι Κλυτίος τε καὶ Ἴφιτος ἠγερέθοντο,
Οἰχαλίης ἐπίουροι, ἀπηνέος Εὐρύτου υἷες,
Εὐρύτου, ᾧ πόρε τόξον Ἑκηβόλος· οὐδ' ἀπόνητο
δωτίνης· αὐτῷ γὰρ ἑκὼν ἐρίδηνε δοτῆρι. [ἄμφω,
Τοῖσι δ' ἔπ' Αἰακίδαι μετεκίαθον· οὐ μὲν ἅμ'
οὐδ' ὁμόθεν. Νόσφιν γὰρ ἀλευάμενοι κατένασθεν
Αἰγίνης, ὅτε Φῶκον ἀδελφεὸν ἐξενάριξαν
ἀφραδίῃ. Τελαμὼν μὲν ἐν Ἀτθίδι νάσσατο νήσῳ·
Πηλεὺς δὲ Φθίῃ ἐνὶ δώματα ναῖε λιασθείς.

quando cum-Centauris Lapithæ bellum-gesserunt,
junior militavit; tum vero ingravescebant ei jam
membra, manebat tamen etiamnum animus bellicosus, sicut
antea.] Neque Iphiclus Phylacæ diu remansit,
avunculus Jasonis; sororem enim conjugem-duxerat
Æson, Alcimedam Phylacensem, cujus ipsum jussit
affinitas et cura interesse cœtui.

Neque Pherarum Admetus ovibus-abundantium rex
mansit sub specula montis Chalcodonii.

Neque Alopæ manserunt divites-arvis Mercurii
filii, bene docti dolos, Erytus et Echion.
Hos vero tertius frater sequutus-est proficiscentes
Æthalides : et hunc quidem ad Amphrysi flumen
Myrmidonis filia, Phthias pepererat Eupolemia;
illi autem prognati-erant Meneti-filia, Antianira.

Venit porro, opulenta relicta Gyrtone, Coronus
Cænei-filius, fortis quidem, sed suo non patre fortior.
Cæneum enim, vivum quippe adhuc, perhibent poetæ
per-Centauros periisse, quum eos sejunctus ab aliis
pepulisset heroibus; illi autem ex-adverso facto-impetu
nec eum protrudere ulterius potuerunt, neque sauciare;
sed non-fractus, non-flexus subiit sub terram
percussus duris impetuose abietibus.

Venit porro Mopsus Titarensis, quem præ omnibus
Latoides docuerat vaticinia avium;
atque etiam Eurydamas, Ctimeni filius; qui prope lacum
Xyniadem Ctimenen Dolopum-urbem incolebat.

Atqui Actor filium Menœtium ex Opunte
propulit, strenuis cum viris ut iret.

Secuti-sunt autem Eurytion et fortis Eribotes,
filii, alter Teleontis, alter Iri Actoridæ;
nempe Teleontis quidem celeber Eribotes,
Iri vero Eurytion : una etiam tertius venit Oileus,
eximius fortitudine, et invadere a-tergo
bene peritus hostes, quando in-fugam-verterint turmas.

Sed ex Euboea Canthus venit, quem quidem Canethus
misit Abantiades lubentem : neque tamen erat
reversurus Corinthum redux : in-fatis enim erat
ipsum simul Mopsumque peritum vaticiniorum
errantes Libyæ in finibus perire :
nam non hominibus malum longe-remotum *est*, quin incidant,] quum illos-etiam in Libya sepeliverint
tam longe a-Colchis, quantum quidem solis
disjuncti occasus et ortus conspiciuntur.

Post hunc vero Clytius et Iphitus convenerunt,
Œchaliæ præsides, immanis Euryti filii,
Euryti, cui dedit arcum Longe-jaculans (*Apollo*); neque
fruitus-est] dono; cum ipso enim sponte-sua certavit datore.

Post hos Æaci-filii profecti-sunt; non tamen una ambo,
neque ex-eodem-loco : seorsim enim fugientes abierant
ex-Ægina, cum Phocum fratrem interfecissent
imprudenter : Telamon quidem in Attica habitavit insula
(*Salamine*) ;] Peleus vero in Phthia domicilium incoluit se-

Τοῖς δ' ἔπι Κεκροπίηθεν ἀρήϊος ἤλυθε Βούτης,
παῖς ἀγαθοῦ Τελέοντος ἐϋμμελίης τε Φάληρος.
Ἄλκων μιν προέηκε πατὴρ ἑός· οὐ μὲν ἔτ' ἄλλους
γήραος υἷας ἔχεν βιότοιό τε κηδεμονῆας.
Ἀλλά ἑ τηλύγετόν περ ὁμῶς καὶ μοῦνον ἐόντα
πέμπεν, ἵνα θρασέεσσι μεταπρέπῃ ἡρώεσσιν.
Θησέα δ', ὃς πέρι πάντας Ἐρεχθεΐδας ἐκέκαστο,
Ταιναρίην ἀΐδηλος ὑπὸ χθόνα δεσμὸς ἔρυκεν,
Πειρίθῳ ἑσπόμενον κοινὴν ὁδόν. Ἦ τέ κεν ἄμφω
ῥηΐτερον καμάτοιο τέλος πάντεσσιν ἔθεντο.
Τῖφυς δ' Ἀγνιάδης Σιφαέα κάλλιπε δῆμον
Θεσπιέων, ἐσθλὸς μὲν ὀρινόμενον προδαῆναι
κῦμ' ἁλὸς εὐρείης, ἐσθλὸς δ' ἀνέμοιο θυέλλας
καὶ πλόον ἠελίῳ τε καὶ ἀστέρι τεκμήρασθαι.
Αὐτή μιν Τριτωνὶς ἀριστήων ἐς ὅμιλον
ὦρσεν Ἀθηναίη, μετὰ δ' ἤλυθεν ἐλδομένοισιν.
[αὐτὴ γὰρ καὶ νῆα θοὴν κάμε· σὺν δέ οἱ Ἄργος
τεῦξεν Ἀρεστορίδης κείνης ὑποθημοσύνῃσιν.
τῷ καὶ πασάων προφερεστάτη ἔπλετο νηῶν,
ὅσσαι ὑπ' εἰρεσίῃσιν ἐπειρήσαντο θαλάσσης.]
Φλίας δ' αὖτ' ἐπὶ τοῖσιν Ἀραιθυρέηθεν ἵκανεν,
ἔνθ' ἀφνειὸς ἔναιε Διωνύσοιο ἕκητι,
πατρὸς ἑοῦ, πηγῇσιν ἐφέστιος Ἀσωποῖο.
Ἀργόθεν αὖ Ταλαὸς καὶ Ἀρήϊος, υἷε Βίαντος,
ἤλυθον ἴφθιμός τε Λεώδοκος, οὓς τέκε Πηρὼ
Νηληΐς· τῆς δ' ἀμφὶ δύην ἐμόγησε βαρεῖαν
Αἰολίδης σταθμοῖσιν ἐν Ἰφίκλοιο Μελάμπους.
Οὐδὲ μὲν οὐδὲ βίην κρατερόφρονος Ἡρακλῆος
πευθόμεθ' Αἰσονίδαο λιλαιομένου ἀθερίξαι.
Ἀλλ' ἐπεὶ ἄϊε βάξιν ἀγειρομένων ἡρώων,
νεῖον ἀπ' Ἀρκαδίης Λυρκήϊον Ἄργος ἀμείψας
τὴν ὁδόν, ᾗ ζωὸν φέρε κάπριον, ὅς ῥ' ἐνὶ βήσσῃς
φέρβετο Λαμπείης, Ἐρυμάνθιον ἂμ μέγα τῖφος·
τὸν μὲν ἐνὶ πρώτῃσι Μυκηναίων ἀγορῇσιν
δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεθήκατο νώτων·
αὐτὸς δ' ᾗ ἰότητι, παρὲκ νόον Εὐρυσθῆος,
ὡρμήθη· σὺν καί οἱ Ὕλας κίεν, ἐσθλὸς ὀπάων,
πρωθήβης, ἰῶν τε φορεὺς φύλακός τε βιοῖο.
Τῷ δ' ἔπι δὴ θείοιο κίεν Δαναοῖο γενέθλη,
Ναύπλιος· ὃς γὰρ ἔην Κλυτονήου Ναυβολίδαο·
Ναύβολος αὖ Λέρνου· Λέρνον γε μὲν ἴδμεν ἐόντα
Προίτου Ναυπλιάδαο· Ποσειδάωνι δὲ κούρη
πρίν ποτ' Ἀμυμώνη Δαναῒς τέκεν εὐνηθεῖσα
Ναύπλιον, ὃς πέρι πάντας ἐκαίνυτο ναυτιλίῃσιν.
Ἴδμων δ' ὑστάτιος μετεκίαθεν, ὅσσοι ἔναιον
Ἄργος, ἐπεὶ δεδαὼς τὸν ἑὸν μόρον οἰωνοῖσιν
ἤϊε, μή οἱ δῆμος ἐϋκλείης ἀγάσαιτο.
Οὐ μὲν ὅγ' ἦεν Ἄβαντος ἐτήτυμον, ἀλλά μιν αὐτὸς
γείνατο κυδαλίμοις ἐναρίθμιον Αἰολίδῃσιν
Λητοΐδης· αὐτὸς δὲ θεοπροπίας ἐδίδαξεν,
οἰωνούς τ' ἀλέγειν ἠδ' ἔμπυρα σήματ' ἰδέσθαι.
Καὶ μὴν Αἰτωλὶς κρατερὸν Πολυδεύκεα Λήδη
Κάστορά τ' ὠκυπόδων ὦρσεν δεδαημένον ἵππων

junctus.] Post hos Cecropia bellicosus venit Butes,
filius fortis Teleontis, et hastam-bene-tractans Phalerus.
Alcon eum misit, pater ipsius : non quidem amplius alios
senectutis filios habuit vitæque curatores :
sed illum, sero-genitum licet atque unicum (existentem),
misit, ut inter-audaces emineret heroas.
Theseum vero, qui præ omnibus Erechthidis excelluit,
Tænaria atrum sub terra vinculum detinuit,
cum-Pirithoo profectum communi via : profecto uterque
faciliorem laboris exitum omnibus reddidisset.
Tiphys autem Agniades, Siphaensem reliquit populum
Thespiensium, cum peritus excitatum prævidere
fluctum maris ampli, tum peritus venti procellas
et navigationem *ex* soleque et sidere divinare.
Ipsa eum Tritonis heroum ad cœtum
compulit Minerva, venit autem desiderantibus *eum*.
[Ipsa enim navem quoque velocem fabricata-est; cum ea autem Argus] construxit Arestoris-filius, illius præceptis :
quare etiam omnium præstantissima exstitit navium,
quotquot remigatione tentarunt mare.]
Phlias porro post illos Aræthyrea venit,
ubi opibus-florens habitavit, Baccho volente,
patre suo, fontium accola Asopi.
Argis autem Talaus et Areïus, filii Biantis,
venerunt, fortisque Leodocus, quos peperit Pero
Nelei-filia; cujus causa ærumnam sustinuit gravem
Æolides in-stabulis Iphicli Melampus.
Neque sane vim magnanimi Herculis
accepimus Jasoni desideranti defuisse.
Immo postquam audivit rumorem de-convenientibus heroibus,] nuper ex Arcadia Lyrceium Argos profectus,
eo itinere, quo vivum portavit aprum, qui quidem in saltibus
pabulabatur Lampiæ, ad Erymanthiam vastam paludem;
eum quidem in primo Mycenæorum foro
vinculis ligatum de-magno deposuit tergo;
ipse vero suo arbitrio, inscio Eurystheo,
abiit; cumque eo Hylas ivit, fidus comes,
pubescens, sagittarumque lator custosque arcus.
Post eum jam divini venit Danai progenies,
Nauplius : ipse enim *filius* fuit Clytonei Naubolidæ;
Naubolus vero Lerni; Lernum quidem certe novimus fuisse
Prœti Naupliadæ *filium;* sed Neptuno puella
olim aliquando Amymone Danai-filia pepererat mista
Nauplium, qui omnes vicit navigandi-peritia.
Idmon vero postremus advenit *eorum*, qui incolebant
Argos, quoniam edoctus de-suo fato auguriis
ivit, ne ipsi populus propter-gloriam *amissam* indignaretur;
non quidem ille erat Abantis vere *filius*, sed eum ipse
genuit nobilibus adnumeratum Æolidis
Apollo; ipse vero vaticinia *eum* docuit,
avesque observare, et in-victimis-incensis signa spectare.
Atqui Ætolis fortem Pollucem Leda
Castoremque celeripedum excitavit peritum equorum

Σπάρτηθεν· τοὺς δ' ἥ γε δόμοις ἔνι Τυνδαρέοιο
τηλυγέτους ὠδῖνι μιῇ τέκεν· οὐδ' ἀπίθησεν
νισσομένοις· Ζηνὸς γὰρ ἐπάξια μήδετο λέκτρων.

Οἵ τ' Ἀφαρητιάδαι Λυγκεὺς καὶ ὑπέρβιος Ἴδας
Ἀρήνηθεν ἔβαν, μεγάλῃ περιθαρσέες ἀλκῇ
ἀμφότεροι· Λυγκεὺς δὲ καὶ ὀξυτάτοις ἐκέκαστο
ὄμμασιν, εἰ ἐτεόν γε πέλει κλέος, ἀνέρα κεῖνον
ῥηϊδίως καὶ νέρθε κατὰ χθονὸς αὐγάζεσθαι.

Σὺν δὲ Περικλύμενος Νηλήϊος ὦρτο νέεσθαι,
πρεσβύτατος παίδων, ὅσσοι Πύλῳ ἐξεγένοντο
Νηλῆος θείοιο· Ποσειδάων δέ οἱ ἀλκὴν
δῶκεν ἀπειρεσίην, ἠδ' ὅ ττι κεν ἀρήσαιτο
μαρνάμενος, τὸ πέλεσθαι ἐνὶ ξυνοχῇ πολέμοιο.

Καὶ μὴν Ἀμφιδάμας Κηφεύς τ' ἴσαν Ἀρκαδίηθεν,
οἳ Τεγέην καὶ κλῆρον Ἀφειδάντειον ἔναιον,
υἷε δύω Ἀλεοῦ· τρίτατός γε μὲν ἕσπετ' ἰοῦσιν
Ἀγκαῖος, τὸν μέν ῥα πατὴρ Λυκόοργος ἔπεμπεν,
τῶν ἄμφω γνωτὸς προγενέστερος. Ἀλλ' ὁ μὲν ἤδη
γηράσκοντ' Ἀλεὸν λίπετ' ἂμ πόλιν ὄφρα κομίζοι,
παῖδα δ' ἑὸν σφετέροισι κασιγνήτοισιν ὄπασσεν.
Βῆ δ' ὅ γε Μαιναλίης ἄρκτου δέρος ἀμφίτομόν τε
δεξιτερῇ πάλλων πέλεκυν μέγαν. Ἔντεα γάρ οἱ
πατροπάτωρ Ἀλεὸς μυχάτῃ ἔγκρυψε καλιῇ,
αἴ κέν πως ἔτι καὶ τὸν ἐρητύσειε νέεσθαι.

Βῆ δὲ καὶ Αὐγείης, ὃν δὴ φάτις Ἠελίοιο
ἔμμεναι· Ἠλείοισι δ' ὅ γ' ἀνδράσιν ἐμβασίλευεν,
ὄλβῳ κυδιόων· μέγα δ' ἵετο Κολχίδα γαῖαν
αὐτόν τ' Αἰήτην ἰδέειν σημάντορα Κόλχων.

Ἀστέριος δὲ καὶ Ἀμφίων Ὑπερησίου υἷες
Πελλήνης ἀφίκανον Ἀχαιΐδος, ἥν ποτε Πέλλης
πατροπάτωρ ἐπόλισσεν ἐπ' ὀφρύσιν αἰγιαλοῖο.

Ταίναρον αὖτ' ἐπὶ τοῖσι λιπὼν Εὔφημος ἵκανεν,
τόν ῥα Ποσειδάωνι ποδωκηέστατον ἄλλων
Εὐρώπη Τιτυοῖο μεγασθενέος τέκε κούρη.
Κεῖνος ἀνὴρ καὶ πόντου ἐπὶ γλαυκοῖο θέεσκεν
οἴδματος, οὐδὲ θοοὺς βάπτεν πόδας, ἀλλ' ὅσον ἄκροις
ἴχνεσι τεγγόμενος διερῇ πεφόρητο κελεύθῳ.

Καὶ δ' ἄλλω δύο παῖδε Ποσειδάωνος ἵκοντο·
ἤτοι ὁ μὲν πτολίεθρον ἀγαυοῦ Μιλήτοιο
νοσφισθεὶς Ἐργῖνος, ὁ δ' Ἰμβρασίης ἕδος Ἥρης,
Παρθενίην, Ἀγκαῖος ὑπέρβιος· ἴστορε δ' ἄμφω
ἠμὲν ναυτιλίης, ἠδ' ἄρεος εὐχετόωντο.

Οἰνείδης δ' ἐπὶ τοῖσιν ἀφορμηθεὶς Καλυδῶνος
ἀλκήεις Μελέαγρος ἀνήλυθε Λαοκόων τε,
Λαοκόων Οἰνῆος ἀδελφεός, οὐ μὲν ἰῆς γε
μητέρος· ἀλλά ἑ θῆσσα γυνὴ τέκε· τὸν μὲν ἄρ' Οἰνεὺς
ἤδη γηραλέον κοσμήτορα παιδὸς ἴαλλεν·
ὧδ' ἔτι κουρίζων περιθαρσέα δῦνεν ὅμιλον
ἡρώων. Τοῦ δ' οὔ τιν' ὑπέρτερον ἄλλον ὀΐω
νόσφιν γ' Ἡρακλῆος ἐπελθέμεν, εἴ κ' ἔτι μοῦνον
αὖθι μένων λυκάβαντα μετετράφη Αἰτωλοῖσιν.

Καὶ μὴν οἱ μήτρως αὐτὴν ὁδόν, εὖ μὲν ἄκοντι,
εὖ δὲ καὶ ἐν σταδίῃ δεδαημένος ἀντιφέρεσθαι,

Sparta; quos quidem ipsa in domibus Tyndarei
carissimos partu uno edidit; neque non-confisa-est
abeuntibus; Jovis enim digna cogitavit concubitu.

Aphareliadæ Lynceus et violentus Idas
Arena profecti-sunt, magno confisus robori
uterque; Lynceus vero etiam acutissimis ornatus-erat
oculis, si vera quidem est fama, virum illum
facile etiam subter terra vidisse.

Una vero Periclymenus Neleïus adcinctus-est ad-profici-
scendum,] maximus-natu filiorum, quotquot Pyli geniti-sunt
Neleo divino; Neptunus vero ei robur
dederat immensum, et, quodcunque optasset
pugnans, *ut* id fieret in discrimine prœlii.

Jam vero Amphidamas et Cepheus profecti- sunt ex-Arca-
dia,] qui Tegeam et partem-assignatam Aphidanti tenebant,
filii duo Alei; tertius quidem secutus-est abeuntes
Ancæus, quem quidem pater Lycurgus misit
utriusque illorum frater natu-major: sed ipse jam
senescentem Aleum remansit in urbe ut-curaret,
filium vero suum suis fratribus adjunxit:
incessit vero ille Maenaliæ ursæ pellem *gestans* ancipi-
temque] dextra vibrans securim magnam: arma enim ipsi
avus Aleus in intimo absconderat horreo,
si forte aliquo-modo adhuc etiam hunc prohiberet proficisci.

Venit vero etiam Augeas, quem quidem fama-est Solis
fuisse *filium;* Eleis vero ille viris imperavit,
opibus glorians; valde vero cupiit Colchicam terram
ipsumque Æeten videre, regem Colchorum.

Asterius vero et Amphion, Hyperasii filii,
ex-Pellana venerunt Achaica, quam olim Pelles
avus- paternus condiderat in crepidinibus littoris.

Tænaro autem post hos profectus Euphemus venit,
quem quidem Neptuno celerrimum omnium
Europa Tityi validi peperit filia:
ille vir et maris super cærulei currebat
fluctum, nec celeres intingebat pedes, sed tantum summis
plantis madefactus, aquosa ferebatur via.

Et alii duo filii Neptuni venerunt:
scilicet alter urbe illustris Mileti
relicta, Erginus, alter Imbrasiæ sede Junonis,
Parthenia, Ancæus violentus: scientes ambo
et navigationis et belli *se esse* gloriabantur.

Œnei-filius autem post hos profectus Calydone
fortis Meleager advenit, Laocoonque,
Laocoon Œnei frater, non quidem una
matre *satus;* sed eum serva (mulier) peperit; quem quidem
Œneus,] jam seniorem, moderatorem filii misit;
sic (*Meleager*) adhuc puer animosum subiit cœtum
heroum: hoc vero non quemquam superiorem alium puto,
præter Herculem, accessurum-fuisse, si vel unum amplius
ibi manens annum versatus-esset inter-Ætolos:

atqui eum avunculus eadem via, bene quidem hasta,
bene vero etiam in stataria *pugna* sciens pugnare,

Θεστιάδης Ἴφικλος ἐφωμάρτησε κιόντι.
Σὺν δὲ Παλαιμόνιος Λέρνου παῖς Ὠλενίοιο,
Λέρνου ἐπίκλησιν, γενεήν γε μὲν Ἡφαίστοιο·
τοὔνεκ' ἔην πόδε σιφλός· ἀτὰρ δέμας οὔ κέ τις ἔτλη
ἠνορέην τ' ὀνόσασθαι, ὃ καὶ μεταρίθμιος ἦεν
πᾶσιν ἀριστήεσσιν Ἰήσονι κῦδος ἀέξων.
Ἐκ δ' ἄρα Φωκήων κίεν Ἴφιτος Ὀρνυτίδαο
Ναυβόλου ἐκγεγαώς· ξεῖνος δέ οἱ ἔσκε πάροιθεν,
ἦμος ἔβη Πυθῶδε θεοπροπίας ἐρεείνων
ναυτιλίης· τόθι γάρ μιν ἑοῖς ὑπέδεκτο δόμοισιν.
Ζήτης αὖ Κάλαΐς τε Βορήϊοι υἷες ἵκοντο,
οὕς ποτ' Ἐρεχθηῒς Βορέῃ τέκεν Ὠρείθυια
ἐσχατιῇ Θρήκης δυσχειμέρου· ἔνθ' ἄρα τήν γε
Θρηΐκιος Βορέης ἀνερείψατο Κεκροπίηθεν,
Ἰλισσοῦ προπάροιθε χορῷ ἔνι δινεύουσαν.
Καί μιν ἄγων ἕκαθεν, Σαρπηδονίην ὅθι πέτρην
κλείουσιν, ποταμοῖο παρὰ ῥόον Ἐργίνοιο,
λυγαίοις ἐδάμασσε περὶ νεφέεσσι καλύψας.
Τὼ μὲν ἐπ' ἀκροτάτοισι ποδῶν ἑκάτερθεν ἐρεμνὰς
σεῖον ἀειρομένω πτέρυγας, μέγα θάμβος ἰδέσθαι,
χρυσείαις φολίδεσσι διαυγέας· ἀμφὶ δὲ νώτοις
κράατος ἐξ ὑπάτοιο καὶ αὐχένος ἔνθα καὶ ἔνθα
κυάνεαι δονέοντο μετὰ πνοιῇσιν ἔθειραι.
Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάϊς μενέαινεν Ἄκαστος
ἰφθίμου Πελίαο δόμοις ἔνι πατρὸς ἑῆος
μιμνάζειν, Ἄργος τε θεᾶς ὑποεργὸς Ἀθήνης·
ἀλλ' ἄρα καὶ τὼ μέλλον ἐνικρινθῆναι ὁμίλῳ.
Τόσσοι ἄρ' Αἰσονίδῃ συμμήστορες ἠγερέθοντο.
Τοὺς μὲν ἀριστῆας Μινύας περιναιετάοντες
κίκλησκον μάλα πάντας, ἐπεὶ Μινύαο θυγατρῶν
οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο
ἔμμεναι· ὣς δὲ καὶ αὐτὸν Ἰήσονα γείνατο μήτηρ
Ἀλκιμέδη, Κλυμένης Μινυηΐδος ἐκγεγαυῖα.
Αὐτὰρ ἐπεὶ δμώεσσιν ἐπαρτέα πάντα τέτυκτο,
ὅσσαπερ ἐντύνονται ἐπαρτέες ἔνδοθι νῆες,
εὖτ' ἂν ἄγῃ χρέος ἄνδρας ὑπεὶρ ἅλα ναυτίλλεσθαι,
δὴ τότ' ἴσαν μετὰ νῆα δι' ἄστεος, ἔνθα περ ἀκταὶ
κλείονται Παγασαὶ Μαγνήτιδες· ἀμφὶ δὲ λαῶν
πληθὺς ἐπερχομένων ἄμυδις θέεν· οἱ δὲ φαεινοὶ
ἀστέρες ὣς νεφέεσσι μετέπρεπον· ὧδε δ' ἕκαστος
ἔννεπεν εἰσορόων σὺν τεύχεσιν ἀΐσσοντας.
Ζεῦ ἄνα, τίς Πελίαο νόος; πόθι τόσσον ὅμιλον
ἡρώων γαίης Παναχαιΐδος ἔκτοθι βάλλει;
αὐτῆμάρ κε δόμους ὀλοῷ πυρὶ δηώσειαν
Αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρος ἐγγυαλίξῃ.
Ἀλλ' οὐ φυκτὰ κέλευθα, πόνος δ' ἄπρηκτος ἰοῦσιν.
Ὣς φάσαν ἔνθα καὶ ἔνθα κατὰ πτόλιν· αἱ δὲ γυναῖ-
πολλὰ μάλ' ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον [κες
εὐχόμεναι νόστοιο τέλος θυμηδὲς ὀπάσσαι.
Ἄλλη δ' εἰς ἑτέρην ὀλοφύρετο δακρυχέουσα.
Δειλὴ Ἀλκιμέδη, καὶ σοὶ κακὸν ὀψέ περ ἔμπης
ἤλυθεν, οὐδ' ἐτέλεσσας ἐπ' ἀγλαΐῃ βιότοιο.
Αἴσων αὖ μέγα δή τι δυσάμμορος. Ἦ τέ οἱ ἦεν
βέλτερον, εἰ τοπάροιθεν ἐνὶ κτερέεσσιν ἐλυσθεὶς

Thestiades Iphiclus comitatus-est abeuntem.
Una vero Palæmonius Lerni filius Olenii (*profectus est*),
Lerni nomine, generatione tamen Vulcani :
quapropter fuit pedibus debilis; sed corpus non quisquam
ausus-fuerit] fortitudinemque reprehendere, quare etiam ad-
numeratus erat] omnibus principibus, Jasoni gloriam allatu-
rus.] Ex Phocensibus vero venit Iphitus Ornytidæ
Nauboli filius; hospes vero ei fuerat antea,
quum iret Delphos oraculum consulturus
de-navigatione, tum enim ipsum suis exceperat ædibus.
Zetes porro Calaïsque Boreæ filii venerunt,
quos quondam Erechtheis Boreæ pepererat Orithyia
in extrema *parte* Thraciæ asperæ : quo quidem eam
Thracius Boreas abreptam-duxerat e-Cecropia,
juxta Ilissum in choro se-circumagentem :
atque eam abductam procul, Sarpedonium ubi saxum
celebrant, fluvii ad fluenta Ergini,
tenebricosis subegit nubibus coopertam.
Illi quidem in extremis pedibus utrimque atras
quatiebant sublati alas, admodum mirabile visu!
aureis squamis distinctas : circum vero humeros
vertice ex summo et cervice huc et illuc
cæruleæ jactabantur cum vento comæ.
Neque vero omnino ipsius filius cupiebat Acastus
fortis Peliæ in ædibus patris sui
manere, nec Argus deæ minister Minervæ;
immo etiam hi voluerunt adnumerari cœtui.
Tot igitur Æsonidæ adjutores congregati-sunt;
quos quidem heroas Minyas accolæ
appellarunt omnino omnes, quia Minyæ filiarum
plurimi et fortissimi ex sanguine gloriabantur
esse; sic vero etiam ipsum Jasona pepererat mater
Alcimede, ex-Clymena, Minyæ-filia, prognata.
At postquam a-servis apparata omnia sunt,
quibus-quidem armantur paratæ intus naves,
ubi impulerit necessitas viros, super mare ut-navigarent,
tum tandem iverunt ad navem per urbem, ubi quidem littora
celebrantur Pagasæ Magnesiæ; undique vero civium
multitudo confluentium simul cucurrit; illi vero, lucidæ
sicut stellæ inter-nubes, eminuerunt; ita vero quisque
dixit, adspiciens cum armis ruentes :
Jupiter rex, quæ Peliæ mens *est?* ubinam tantam cohor-
tem] heroum terra ex Panachaica (*Græcia*) compellit?
ipso-eo-die domos exitiosa flamma devastent
Æëtæ, quo non ipsis ultro vellus tradiderit!
at non evitabile *est* iter, labor vero difficilis euntibus.
Sic dixerunt hic et illic per urbem : sed mulieres
multum deos, ad cœlum manus sustulerunt,
precantes, reditus finem gratum ut-impertirent.
Alia vero ad aliam lamentata-est lacrymans :
Infelix Alcimede, etiam tibi malum, quamvis sero, ta-
men] venit, neque ad-finem-pervenisti in voluptate vitæ :
Æson vero admodum sane miser *est :* profecto ei fuisset
satius, si antea feralibus-fasciis involutus

νειόθι γαίης κεῖτο, κακῶν ἔτι νῆϊς ἀέθλων.
Ὡς ὄφελεν καὶ Φρίξον, ὅτ' ὤλετο παρθένος Ἕλλη,
κῦμα μέλαν κριῷ ἅμ' ἐπικλύσαι· ἀλλὰ καὶ αὐδὴν
ἀνδρομέην προέηκε κακὸν τέρας, ὥς κεν ἀνίας
Ἀλκιμέδῃ μετόπισθε καὶ ἄλγεα μυρία θείη.
Αἱ μὲν ἄρ' ὧς ἀγόρευον ἐπὶ προμολῇσι κιόντων.
Ἤδη δὲ δμῶές τε πολεῖς δμωαί τ' ἀγέροντο·
μήτηρ δ' ἀμφ' αὐτὸν βεβολημένη. Ὀξὺ δ' ἑκάστην
δῦνεν ἄχος· σὺν δέ σφι πατὴρ ὀλοῷ ὑπὸ γήρᾳ
ἐντυπὰς ἐν λεχέεσσι καλυψάμενος γοάασκεν.
Αὐτὰρ ὁ τῶν μὲν ἔπειτα κατεπρήϋνεν ἀνίας
θαρσύνων, δμώεσσι δ' ἀρήϊα τεύχε' ἀείρειν
πέφραδεν· οἱ δὲ σῖγα κατηφέες ἠείροντο.
Μήτηρ δ' ὡς τὰ πρῶτ' ἐπεχεύατο πήχεε παιδὶ,
ὣς ἔχετο κλαίουσ' ἀδινώτερον, ἠΰτε κούρη
οἰόθεν ἀσπασίως πολιὴν τροφὸν ἀμφιπεσοῦσα
μύρεται, ᾗ οὐκ εἰσὶν ἔτ' ἄλλοι κηδεμονῆες,
ἀλλ' ὑπὸ μητρυιῇ βίοτον βαρὺν ἠγηλάζει,
καί ἑ νέον πολέεσσιν ὀνείδεσιν ἐστυφέλιξεν·
τῇ δέ τ' ὀδυρομένῃ δέδεται κέαρ ἔνδοθεν ἄτῃ,
οὐδ' ἔχει ἐκφλῦξαι τόσσον γόον, ὅσσον ὀρέχθεῖ·
ὣς ἀδινὸν κλαίεσκεν ἑὸν παῖδ' ἀγκὰς ἔχουσα
Ἀλκιμέδη, καὶ τοῖον ἔπος φάτο κηδοσύνῃσιν.
Αἴθ' ὄφελον κεῖν' ἦμαρ, ὅτ' ἐξειπόντος ἄκουσα
δειλὴ ἐγὼ Πελίαο κακὴν βασιλῆος ἐφετμὴν,
αὐτίκ' ἀπὸ ψυχὴν μεθέμεν κηδέων τε λαθέσθαι,
ὄφρ' αὐτός με τεῇσι φίλαις ταρχύσαο χερσὶν,
τέκνον ἐμόν· τὸ γὰρ οἶον ἔην ἔτι λοιπὸν ἐέλδωρ
ἐκ σέθεν, ἄλλα δὲ πάντα πάλαι θρεπτήρια πέσσω.
Νῦν γε μὲν ἡ τοπάροιθεν Ἀχαιϊάδεσσιν ἀγητὴ,
δμωῒς ὅπως, κενεοῖσι λελείψομαι ἐν μεγάροισιν,
σεῖο πόθῳ μινύθουσα δυσάμμορος, ᾧ ἔπι πολλὴν
ἀγλαΐην καὶ κῦδος ἔχον πάρος, ᾧ ἔπι μούνῳ
μίτρην πρῶτον ἔλυσα καὶ ὕστατον· ἔξοχα γάρ μοι
Εἰλείθυια θεὰ πολέος ἐμέγηρε τόκοιο.
Ὤ μοι ἐμῆς ἄτης· τὸ μὲν οὐδ' ὅσον, οὐδ' ἐν ὀνείρῳ
ὠϊσάμην, εἰ Φρίξος ἐμοὶ κακὸν ἔσσετ' ἀλύξας.
Ὧς ἥγε στενάχουσα κινύρετο· ταὶ δὲ γυναῖκες
ἀμφίπολοι γοάασκον ἐπισταδόν· αὐτὰρ ὁ τήνγε
μειλιχίοις ἐπέεσσι παρηγορέων προσέειπεν.
Μή μοι λευγαλέας ἐνιβάλλεο, μῆτερ, ἀνίας
ὧδε λίην, ἐπεὶ οὐ μὲν ἐρητύσεις κακότητος
δάκρυσιν, ἀλλ' ἔτι κεν καὶ ἐπ' ἄλγεσιν ἄλγος ἄροιο.
Πήματα γάρ τ' ἀΐδηλα θεοὶ θνητοῖσι νέμουσιν·
τῶν μοῖραν κατὰ θυμὸν ἀνιάζουσά περ ἔμπης
τλῆθι φέρειν· θάρσει δὲ συνημοσύνῃσιν Ἀθήνης
ἠδὲ θεοπροπίῃσιν, ἐπεὶ μάλα δεξιὰ Φοῖβος
ἔχρη, ἀτὰρ μετέπειτα ἀριστήων ἐπαρωγῇ.
Ἀλλὰ σὺ μὲν νῦν αὖθι μετ' ἀμφιπόλοισιν ἔκηλος
μίμνε δόμοις, μηδ' ὄρνις ἀεικελίη πέλε νηΐ·
κεῖσε δ' ὁμαρτήσουσιν ἔται δμῶές τε κιόντι.
Ἦ καὶ ὁ μὲν προτέρωσε δόμων ἐξῶρτο νέεσθαι.
Οἷος δ' ἐκ νηοῖο θυώδεος εἶσιν Ἀπόλλων
Δῆλον ἀν' ἠγαθέην ἠὲ Κλάρον ἢ ὅ γε Πυθὼ

sub terra jacuisset, malorum adhuc inscius certaminum.
O utinam etiam Phrixum, cum periret virgo Helle,
fluctus ater una cum-ariete obruisset; at etiam vocem
humanam emisit perniciosum monstrum (*aries*,) ut curas
Alcimedæ postea et dolores innumeros crearet.
Illæ igitur ita locutæ-sunt in decessu proficiscentium.
Jam vero servique multi ancillæque conveniebant;
mater vero ipsum amplexa-est: sed acer quamque
subiit mœror: cum ipsis vero pater luctuosa præ senectute
totus lectis involutus gemuit.
At ille (*Jason*) eorum tum leniit sollicitudines
cohortans, servos vero bellica arma tollere
jussit; illi tacite demisso-vultu sustulerunt.
Mater vero, ut primum circumfuderat brachia filio,
sic adhæsit *ei* flens vehementius, ut puella
seorsum amanter canam nutricem amplexa
luget, cui non sunt amplius alii, qui-curam-gerant,
sed sub noverca vitam gravem trahit,
quæ ipsam nuper crebris conviciis insectata-est;
huic vero lamentanti constringitur animus intus ærumna,
neque potest effundere tantum luctum, quantum cupit;
sic vehementer flevit, suum filium ulnis amplexa,
Alcimede, et talem sermonem effata-est præ-mœrore:
O utinam illo die, quo eloqui audivi
misera ego Peliam regem perniciosum mandatum,
statim animam efflassem curarumque oblita-essem,
ut ipse me tuis caris composuisses manibus,
mi fili; hoc enim solum erat adhuc reliquum, quod-optarem
a te; aliis enim omnibus dudum educationis-præmiis fruor.
Nunc certe quidem *ego* illa, antehac Achivis-mulieribus veneranda,] servæ instar, vacuis relinquar in ædibus,
tui desiderio tabescens infelix, a quo multum
decus et gloriam habui antea, cujus solius causa
zonam primum solvi et ultimum: inprimis enim mihi
Lucina dea frequentem invidit partum.
Heu mihi, meæ miseriæ! hoc quidem nunquam, ne in somnio quidem] suspicata-sum, quod Phrixus mihi exitio foret
effugiendo.] Sic illa ingemiscens questa-est: mulieres vero
ancillæ lugebant assidue: at ipse (*Jason*) illam
blandis verbis consolans allocutus-est:
Noli mihi perniciosam injicere, mater, tristitiam
ita vehementer, quoniam non quidem defendes a-calamitate
lacrimis, sed potius etiam doloribus dolorem adjeceris.
Mala enim improvisa dii mortalibus tribuunt;
ideo sortem animo, quamquam mœsta, tamen
aude tolerare: confide vero consiliis Minervæ
et oraculis (nam faustissima Phœbus
respondit), at deinde procerum auxilio.
Sed tu quidem nunc ibi cum ancillis quieta
mane domi, neque avis infausta sis navi:
illuc vero comitabuntur sodales et ancillæ abeuntem.
Dixit, et ipse quidem ulterius ex ædibus proproperavit ire,
qualis vero ex templo suffitu-pleno incedit Apollo
Delum per divinam, aut Clarum, aut idem *per* Pythonem,

ἢ Λυκίην εὐρεῖαν ἐπὶ Ξάνθοιο ῥοῇσιν,
τοῖος ἀνὰ πληθὺν δήμου κίεν· ὦρτο δ' ἀϋτὴ
κεκλομένων ἄμυδις. Τῷ δὲ ξύμβλητο γεραιὴ
Ἰφιὰς, Ἀρτέμιδος πολιηόχου ἀρήτειρα,
καί μιν δεξιτερῆς χειρὸς κύσεν, οὐδέ τι φάσθαι
ἔμπης ἱεμένη δύνατο προθέοντος ὁμίλου·
ἀλλ' ἡ μὲν λίπετ' αὖθι παρακλιδὸν, οἷα γεραιὴ
ὁπλοτέρων, ὁ δὲ πολλὸν ἀποπλαγχθεὶς ἐλιάσθη.
Αὐτὰρ ἐπεί ῥα πόληος ἐϋδμήτους λίπ' ἀγυιὰς,
ἀκτὴν δ' ἵκανεν Παγασηΐδα, τῇ μιν ἑταῖροι
δειδέχατ' Ἀργῴῃ ἄμυδις παρὰ νηΐ μένοντες.
Στῆ δ' ἄρ' ἐπὶ προμολῆς· οἱ δ' ἀντίοι ἠγερέθοντο.
Ἐς δ' ἐνόησαν Ἄκαστον ὁμῶς Ἄργον τε πόληος
νόσφι καταβλώσκοντας, ἐθάμβησαν δ' ἐσιδόντες
πασσυδίῃ Πελίαο παρὲκ νόον ἰθὺς ἰόντας.
Δέρμα δ' ὁ μὲν ταύροιο ποδηνεκὲς ἀμφέχετ' ὤμους
Ἄργος Ἀρεστορίδης λάχνῃ μέλαν· αὐτὰρ ὁ καλὴν
δίπλακα, τήν οἱ ὄπασσε κασιγνήτη Πελόπεια.
Ἀλλ' ἔμπης τὼ μέν τε διεξερέεσθαι ἕκαστα
ἔσχετο· τοὺς δ' ἀγορήνδε συνεδριάασθαι ἄνωγεν.
Αὐτοῦ δ' ἰλλομένοις ἐπὶ λαίφεσιν ἠδὲ καὶ ἱστῷ
κεκλιμένῳ μάλα πάντες ἐπισχερὼ ἑδριόωντο.
Τοῖσιν δ' Αἴσονος υἱὸς ἐϋφρονέων μετέειπεν.
Ἄλλα μὲν ὅσσα τε νηΐ ἐφοπλίσσασθαι ἔοικεν,
πάντα γὰρ εὖ κατὰ κόσμον, ἐπαρτέα κεῖται ἰοῦσιν.
Τῷ οὐκ ἂν δηναιὸν ἐχοίμεθα τοῖο ἕκητι
ναυτιλίης, ὅτε μοῦνον ἐπιπνεύσουσιν ἀῆται.
Ἀλλὰ, φίλοι, ξυνὸς γὰρ ἐς Ἑλλάδα νόστος ὀπίσσω,
ξυναὶ δ' ἄμμι πέλονται ἐς Αἰήταο κέλευθοι·
τούνεκα νῦν τὸν ἄριστον ἀφειδήσαντες ἕλεσθε
ὄρχαμον ἡμείων, ᾧ κεν τὰ ἕκαστα μέλοιτο,
νείκεα συνθεσίας τε μετὰ ξείνοισι βαλέσθαι.
Ὣς φάτο· πάπτηναν δὲ νέοι θρασὺν Ἡρακλῆα
ἥμενον ἐν μέσσοισι· μιῇ δέ ἑ πάντες ἀϋτῇ
σημαίνειν ἐπέτελλον· ὁ δ' αὐτόθεν, ἔνθα περ ἧστο,
δεξιτερὴν ἀνὰ χεῖρα τανύσσατο φώνησέν τε.
Μή τις ἐμοὶ τόδε κῦδος ὀπαζέτω. Οὐ γὰρ ἔγωγε
πείσομαι, ὥστε καὶ ἄλλον ἀναστήσεσθαι ἐρύξω.
Αὐτὸς, ὅτις ξυνάγειρε, καὶ ἀρχεύοι ὁμάδοιο.
Ἦ ῥα μέγα φρονέων, ἐπὶ δ' ἤνεον, ὡς ἐκέλευεν
Ἡρακλέης· ἀνὰ δ' αὐτὸς ἀρήϊος ὤρνυτ' Ἰήσων
γηθόσυνος, καὶ τοῖα λιλαιομένοις ἀγόρευεν.
Εἰ μὲν δή μοι κῦδος ἐπιτρωπᾶτε μέλεσθαι,
μηκέτ' ἔπειθ', ὡς καὶ πρὶν, ἐρητύοιτο κέλευθα.
Νῦν γε μὲν ἤδη Φοῖβον ἀρεσσάμενοι θυέεσσιν
δαῖτ' ἐντυνώμεσθα παρασχεδόν. Ὄφρα δ' ἴωσιν
δμῶες ἐμοὶ σταθμῶν σημάντορες, οἷσι μέμηλεν
δεῦρο βόας ἀγέληθεν ἐῢ κρίναντας ἐλάσσαι,
τόφρα κε νῆ' ἐρύσαιμεν ἔσω ἁλὸς, ὅπλα τε πάντα
ἐνθέμενοι πεπάλαχθε κατὰ κληῗδας ἐρετμά.
Τείως δ' αὖ καὶ βωμὸν ἐπάκτιον Ἐμβασίοιο
θείομεν Ἀπόλλωνος, ὅ μοι χρείων ὑπέδεκτο
σημανέειν δείξειν τε πόρους ἁλὸς, εἴ κε θυηλαῖς
οὗ ἕθεν ἐξάρχωμαι ἀεθλεύων βασιλῆϊ.

aut Lyciam amplam, ad Xanthi fluenta:
talis *Jason* per multitudinem populi incessit: excitabatur
vero clamor] hortantium simul. Illi vero occurrit vetula
Iphias, Dianæ urbium-præsidis sacerdos,
et ejus dextram manum osculata-est, neque aliquid fari,
quamvis cupiens, potuit, *propter* ruentem multitudinem:
sed illa quidem relinquebatur ibi deflectendo, utpote anus
a-junioribus, ipse vero longe vagatus discessit.
Verum postquam urbis bene-structos reliquit vicos
et ad-littus venit Pagasæum, ibi eum socii
exceperunt, Argoam confertim ad navem manentes.
Stetit igitur in aditu; illi ex-adverso conveniebant.
Animadverterunt vero Acastum simul Argumque ex-urbe
procul decurrere, et obstupuerunt, cum-viderent
omni-impetu *eos* Peliæ contra mentem recta ferri.
Pelle vero alter quidem ad-pedes-usque-demissa amictus-erat
humeris,] Argus Arestorides, *eaque* pilis atra; at alter pulcra
] læna-duplici, quam ei dederat soror Pelopia.
Sed tamen eos ne-interrogaret singula
cohibuit-se Jason; illos vero in-concionem sessum-ire jussit.
Ibi convolutis in velis atque etiam malo
inclinato ad-unum omnes deinceps consederunt:
inter quos Æsonis filius prudens locutus-est:
Alia quidem, quibuscunque navem armari convenit,
(omnia enim justo ordine *sunt*), parata jacent abituris:
quare non diu prohibeamur hujus *rei* causa,
a-navigatione, quando modo adspiraverint venti.
At, amici, communis enim in Græciam reditus postea,
commune nobis est ad Æetae *palatia* iter;
quare nunc optimum, sine-respectu, eligite
ducem vobis, cui singula curæ-sint,
ad bellum et pacem cum exteris ineundam.
Sic fatus-est: adspexerunt vero juvenes animosum Herculem,]
sedentem in mediis; una vero eum omnes voce
imperare jusserunt; sed ille inde, ubi sedit,
dextram manum protendit, locutusque-est:
Ne quis mihi hunc honorem tribuat; neque enim ego
obsequar, sicut etiam alium surgere prohibebo.
Ipse, qui congregavit, etiam præsit cœtui!
Dixit igitur magna cogitans, assenserunt vero, ut jussit
Hercules: at ipse bellicosus surrexit Jason
lætabundus, et talia lubentibus concionatus-est:
Si igitur mihi quidem munus committitis *hoc* administrandum,]
non-amplius deinde, ut antea, impediantur itinera.
Nunc certe quidem jam, Phœbo placato victimis,
epulas apparemus statim: dum vero veniant
servi mei, stabulorum præsides, quibus curæ-est
huc boves ex-armento bene selectos agere,
interea navem trahamus in mare, armisque omnibus
impositis, sortimini per transtra remos:
interim vero etiam aram littoralem Embasii
ponamus Apollinis, qui mihi vaticinans promisit
se-significaturum et ostensurum meatus maris, si quidem sacris]
a-se ipso auspicatus-fuissem, certaturus cum-rege.

Ἦ ῥα καὶ εἰς ἔργον πρῶτος τράπεθ'· οἱ δ' ἐπανέ-
πειθόμενοι· ἀπὸ δ' εἵματ' ἐπήτριμα νηήσαντο[σταν
λείῳ ἐπὶ πλαταμῶνι, τὸν οὐχ ἐπέβαλλε θάλασσα
κύμασι, χειμερίη δὲ πάλαι ἀποέκλυσεν ἅλμη.
Νῆα δ' ἐπικρατέως Ἄργου ὑποθημοσύνῃσιν
ἔζωσαν πάμπρωτον ἐϋστρεφεῖ ἔνδοθεν ὅπλῳ
τεινάμενοι ἑκάτερθεν, ἵν' εὖ ἀραροίατο γόμφοις
δούρατα καὶ ῥοθίοιο βίην ἔχοι ἀντιόωσαν.
Σκάπτον δ' αἶψα κατ' εὖρος, ὅσον περιβάλλετο χῶρος,
ἠδὲ κατὰ πρώρην εἴσω ἁλὸς, ὁσσάτιόν περ
ἑλκομένη χείρεσσιν ἐπιδραμέεσθαι ἔμελλεν.
Αἰεὶ δὲ προτέρω χθαμαλώτερον ἐξελάχαινον
στείρης, ἐν δ' ὁλκῷ ξεστὰς στορέσαντο φάλαγγας·
τὴν δὲ κατάντη κλῖναν ἐπὶ πρώτῃσι φάλαγξιν,
ὥς κεν ὀλισθαίνουσα δι' αὐτάων φορέοιτο.
Ὕψι δ' ἄρ' ἔνθα καὶ ἔνθα μεταστρέψαντες ἐρετμὰ
πηχύϊον προὔχοντα περὶ σκαλμοῖσιν ἔδησαν.
Τῶν δ' ἐναμοιβαδὶς αὐτοὶ ἐνέσταθεν ἀμφοτέρωθεν,
στέρνα θ' ὁμοῦ καὶ χεῖρας ἐπήλασαν. Ἐν δ' ἄρα Τῖ-
βήσαθ', ἵν' ὀτρύνειε νέους κατὰ καιρὸν ἐρύσσαι· [φυς
κεκλόμενος δ' ἤϋσε μάλα μέγα· τοὶ δὲ παρᾶσσον
ᾧ κράτεϊ βρίσαντες ἰῇ στυφέλιξαν ἐρωῇ
νειόθεν ἐξ ἕδρης, ἐπὶ δ' ἐῤῥώσαντο πόδεσσιν
προπροβιαζόμενοι· ἡ δ' ἕσπετο Πηλιὰς Ἀργὼ
ῥίμφα μάλ'· οἱ δ' ἑκάτερθεν ἐπίαχον ἀΐσσοντες.
Αἱ δ' ἄρ' ὑπὸ τρόπιδι στιβαρῇ στενάχοντο φάλαγγες
τριβόμεναι· περὶ δέ σφιν ἀϊδνὴ κήκιε λιγνὺς
βριθοσύνῃ, κατόλισθε δ' ἔσω ἁλός· οἱ δέ μιν αὖθι
ἂψ ἀνασειράζοντες ἔχον προτέρωσε κιοῦσαν.
Σκαλμοῖς δ' ἀμφὶς ἐρετμὰ κατήρτυον· ἐν δέ οἱ ἱστὸν
λαίφεά τ' εὐποίητα καὶ ἁρμαλίην ἐβάλοντο.
Αὐτὰρ ἐπεὶ τὰ ἕκαστα περιφραδέως ἀλέγυναν,
κληῖδας μὲν πρῶτα πάλῳ διεμοιρήσαντο,
ἀνδρ' ἐντυναμένω δοιὼ μίαν· ἐκ δ' ἄρα μέσσην
ᾕρεον Ἡρακλῆϊ καὶ ἡρώων ἄτερ ἄλλων
Ἀγκαίῳ, Τεγέης ὅς ῥα πτολίεθρον ἔναιεν.
Τοῖς μέσσην οἴοισιν ἀπὸ κληῖδα λίποντο
αὔτως, οὔ τι πάλῳ· ἐπὶ δ' ἔτρεπον αἰνήσαντες
Τῖφυν ἐϋστείρης οἰήϊα νηὸς ἔρυσθαι.
Ἔνθεν δ' αὖ λάϊγγας ἁλὸς σχεδὸν ὀχλίζοντες
νήεον αὐτόθι βωμὸν ἐπάκτιον Ἀπόλλωνος,
Ἀκτίου Ἐμβασίοιό τ' ἐπώνυμον· ὦκα δὲ τοί γε
φιτροὺς ἀζαλέης στόρεσαν καθύπερθεν ἐλαίης.
Τείως δ' αὖτ' ἀγέληθεν ἐπιπροέηκαν ἄγοντες
βουκόλοι Αἰσονίδαο δύω βόε. Τοὺς δ' ἐρύσαντο
κουρότεροι ἑτάρων βωμοῦ σχεδόν. Οἱ δ' ἄρ' ἔπειτα
χέρνιβά τ' οὐλοχύτας τε παρέσχεθον. Αὐτὰρ Ἰήσων,
εὔχετο κεκλόμενος πατρώϊον Ἀπόλλωνα.
Κλῦθι ἄναξ, Παγασάς τε πόλιν τ' Αἰσωνίδα ναίων
ἡμετέροιο τοκῆος ἐπώνυμον, ὅς μοι ὑπέστης
Πυθοῖ χρειομένῳ ἄνυσιν καὶ πεῖραθ' ὁδοῖο
σημανέειν, αὐτὸς γὰρ ἐπαίτιος ἔπλευ ἀέθλων·
αὐτὸς νῦν ἄγε νῆα σὺν ἀρτεμέεσσιν ἑταίροις [σω
κεῖσέ τε καὶ παλίνορσον ἐς Ἑλλάδα. Σοὶ δ' ἂν ὀπίσ-

Dixit et ad opus primus se-convertit: illi vero surrexerunt
obsequentes: vestimenta autem conferta accumularunt
lævi in saxo, ad-quod non alludebat mare
fluctibus, hiberna vero olim abluerat aqua-marina.
Navem vero valide, Argi suasu,
constrinxerunt primum-omnium bene-torto intus fune,
extenso utrinque, ut bene compingerentur clavis
trabes, et undarum vim sustinerent resistentem.
Foderunt autem statim in latitudinem, quantum occupavit
locum,] et secundum proram intra mare, quantum quidem
tracta manibus procursura erat.
Semper vero *quo* longius, *eo* depressius effoderunt
carina, in sulco vero dolatas straverunt palangas:
illam vero (*navem*) declivem inclinarunt in primas palangas,
ut sensim-labens per eas ferretur.
Sursum igitur ab utroque latere cum-vertissent remos,
lorum prominens scalmis alligarunt:
inter quos alternatim ipsi steterunt ex-utraque-parte
pectoraque simul et manus adegerunt. Verum Tiphys
ingressus-erat, ut incitaret juvenes, opportune ut-traherent;
cohortans vero clamavit admodum valde; illi autem celeriter
suo robore urgentes uno protruserunt impetu
ex ima sede; nitebanturque pedibus
cum-vi-protrahentes: sequebatur vero Peliaca Argo
celerrime; illi autem utrimque acclamabant propellentes.
At sub carina gravi gemebant palangæ
attritæ; circa eas vero ater excitabatur fumus
pondere *navis;* delapsa autem (*navis*) est in mare: sed illi
eam rursus] retro trahentes prohibuerunt, longius ne-abiret.
Scalmis tum utrimque remos adaptarunt, *navi* autem malum
velaque bene-facta et annonam imposuerunt.
Sed postquam singula perite curaverunt,
transtra quidem primum sorte diviserunt,
viri ut-adornarent bini unum; sed medium
elegerunt Herculi, et heroibus præ aliis
Ancæo, Tegeæ qui urbem incoluit.
His medium solis transtrum reliquerunt
sic, sine sortitione: permiserunt vero consentientes
Tiphyi bene-carinatæ gubernacula navis tractanda.
Deinde lapidibus prope mare devolutis
exstruxerunt ibi aram littoralem Apollinis
Actii Embasiique dictam: celeriter vero illi
ramos aridæ straverunt super *eam* olivæ.
Interea vero ex-grege propulerunt actos
bubulci Æsonidæ duo boves; quos traxerunt
juniores sociorum ad aram. Illi deinde
malluviaque molasque præbuerunt. At Jason
precatus-est invocans paternum Apollinem:
Audi, rex, Pagasasque urbemque Æsonidem incolens,
nostri patris cognominem, qui mihi pollicitus-es
Delphis sciscitanti, *te* perfectionem et finem itineris
edocturum-esse, ipse enim auctor eras laborum:
ipse jam duc navem cum salvis sociis
et illuc et retro in Græciam! Tibi vero postea

νόστιμον, ὅσσοι κεν νοστήσομεν, ἀγλαὰ ταύρων
ἱρὰ πάλιν βωμῷ ἐπιθήσομεν· ἄλλα δὲ Πυθοῖ,
ἄλλα δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσω.
Νῦν δ' ἴθι καὶ τήνδ' ἧμιν, Ἑκηβόλε, δέξο θυηλὴν,
ἥν τοι τῆσδ' ἐπίβαθρα χάριν προτεθείμεθα νηὸς
πρωτίστην· λύσαιμι δ', ἄναξ, ἐπ' ἀπήμονι μοίρῃ
πείσματα σὴν διὰ μῆτιν· ἐπιπνεύσειε δ' ἀήτης
μειλίχος, ᾧ κ' ἐπὶ πόντον ἐλευσόμεθ' εὐδιόωντες.
Ἦ καὶ ἅμ' εὐχωλῇ προχύτας βάλε. Τὼ δ' ἐπὶ βου-
ζευσάσθην, Ἀγκαῖος ὑπέρβιος Ἡρακλέης τε. [σὶν
Ἤτοι ὁ μὲν ῥοπάλῳ μέσσον κάρη ἀμφὶ μετώπῳ
πλῆξεν, ὁ δ' ἀθρόος αὖθι πεσὼν ἐνερείσατο γαίῃ·
Ἀγκαῖος δ' ἑτέροιο κατὰ πλατὺν αὐχένα κόψας
χαλκείῳ πελέκει κρατεροὺς διέκερσε τένοντας·
ἤριπε δ' ἀμφοτέροισι περιῤῥηδὴς κεράεσσιν.
Τοὺς δ' ἕταροι σφάξαν τε θοῶς δεῖράν τε βοείας,
κόπτον δαίτρευόν τε καὶ ἱερὰ μῆρ' ἐτάμοντο,
κὰδ δ' ἄμυδις τά γε πάντα καλύψαντες πύκα δημῷ
καῖον ἐπὶ σχίζῃσιν· ὁ δ' ἀκρήτους χέε λοιβὰς
Αἰσονίδης, γήθει δὲ σέλας θηεύμενος Ἴδμων
πάντοσε λαμπόμενον θυέων ἄπο, τοῖό τε λιγνὺν
πορφυρέαις ἑλίκεσσιν ἐναίσιμον ἀΐσσουσαν·
αἶψα δ' ἀπηλεγέως νόον ἔκφατο Λητοΐδαο.
Ὑμῖν μὲν δὴ μοῖρα θεῶν χρειώ τε περῆσαι
ἐνθάδε κῶας ἄγοντας· ἀπειρέσιοι δ' ἐνὶ μέσσῳ
κεῖσέ τε δεῦρό τ' ἔασιν ἀνερχομένοισιν ἄεθλοι.
Αὐτὰρ ἐμοὶ θανέειν στυγερῇ ὑπὸ δαίμονος αἴσῃ
τηλόθι που πέπρωται ἐπ' Ἀσίδος ἠπείροιο.
Ὧδε κακοῖς δεδαὼς ἔτι καὶ πάρος οἰωνοῖσιν
πότμον ἐμὸν πάτρης ἐξήϊον, ὄφρ' ἐπιβαίην
νηὸς, ἐϋκλείη δὲ δόμοις ἐπιβάντι λίπηται.
Ὣς ἄρ' ἔφη· κοῦροι δὲ θεοπροπίης ἀΐοντες
νόστῳ μὲν γήθησαν, ἄχος δ' ἕλεν Ἴδμονος αἴσῃ.
Ἦμος δ' ἠέλιος σταθερὸν παραμείβεται ἦμαρ,
αἱ δὲ νέον σκοπέλοισιν ὑποσκιόωνται ἄρουραι
δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο,
τῆμος ἄρ' ἤδη πάντες ἐπὶ ψαμάθοισι βαθεῖαν
φυλλάδα χευάμενοι πολιοῦ πρόπαρ αἰγιαλοῖο
κέκλινθ' ἑξείης· παρὰ δέ σφισι μυρί' ἔκειτο
εἴδατα καὶ μέθυ λαρὸν, ἀφυσσαμένων προχόῃσιν
οἰνοχόων· μετέπειτα δ' ἀμοιβαδὶς ἀλλήλοισιν
μυθεῦνθ', οἷά τε πολλὰ νέοι παρὰ δαιτὶ καὶ οἴνῳ
τερπνῶς ἑψιόωνται, ὅτ' ἄατος ὕβρις ἀπείη.
Ἔνθ' αὖτ' Αἰσονίδης μὲν ἀμήχανος εἰν ἑοῖ αὐτῷ
πορφύρεσκεν ἕκαστα κατηφιόωντι ἐοικώς·
τὸν δ' ἄρ' ὑποφρασθεὶς μεγάλῃ ὀπὶ νείκεσεν Ἴδας·
Αἰσονίδη, τίνα τήνδε μετὰ φρεσὶ μῆτιν ἑλίσσεις;
αὔδα ἐνὶ μέσσοισι τεὸν νόον. Ἦέ σε δαμνᾷ
τάρβος ἐπιπλόμενον, τό τ' ἀνάλκιδας ἄνδρας ἀτύζει;
Ἴστω νῦν δόρυ θοῦρον, ὅτῳ περιώσιον ἄλλων
κῦδος ἐνὶ πτολέμοισιν ἀείρομαι, οὐδέ μ' ὀφέλλει
Ζεὺς τόσον, ὁσσάτιόν περ ἐμὸν δόρυ, μή νύ τι πῆμα
λοίγιον ἔσσεσθαι, μηδ' ἀκράαντον ἄεθλον
Ἴδεω ἑσπομένοιο, καὶ εἰ θεὸς ἀντιόῳτο.

tam-multorum, quam-multi reversi-erimus, eximias taurorum victimas iterum arae imponemus; alia vero Delphos,
alia ad Ortygiam infinita dona feram.
Nunc age, et hoc a nobis, Longe-jaculans, accipe sacrum,
hujus quod quidem navium gratia obtulimus navis
primum: solverim vero, rex, felici fato
retinacula, tuo consilio: afflet aura
benigna, qua per mare navigemus, serena-tempestate usi.
Dixit, et una-cum precibus molas effudit. [sed ad boves *mactandos*] accinxerunt-se Ancaeus praevalidus et Hercules:
et hic quidem clava medium caput unius *bovis* circa frontem
percussit, qui totus statim lapsus prostratus est in terram;
Ancaeus vero alterius (*bovis*) lata cervice percussa
aenea securi firmos discidit tendines;
procubuit vero utroque impactus cornu.
Eos vero socii mactarunt celeriter, et detraxerunt pelles;
dissecuerunt diviseruntque frustatim et sacra femora resecuerunt,] et una omnia cum-cooperuissent densa adipe,
combusserunt lignis-fissis: ipse vero pura fudit libamina
Aesonides, laetatus-est vero flammam cernens Idmon
undique splendere e sacrificio ejusque fumum
purpureis orbibus faustum surgere;
statim igitur intrepide mentem exposuit Apollinis.
Vobis quidem jam fatum deorum et necessitas *est* redire
huc cum vellere: infiniti tamen interea
et illic et huc revertentibus sunt labores.
Sed mihi mori tristi dei fato
procul alicubi destinatum est, in Asiae continente.
Sic malis edoctus etiam antea auguriis
de mea sorte, *tamen* e-patria exii, ut ingrederer
navem, gloria vero domi *mihi* ingresso relinqueretur.
Sic igitur dixit; juvenes vero, oraculo audito,
de-reditu quidem laetati-sunt; *sed dolor eos occupavit* Idmonis ob-fatum.] Quo tempore vero sol stabilem praeterit
diem (*meridiem*), sed ipsa jam rupibus obumbrantur
arva,] vespertinas declinante ad tenebras sole,
tum jam omnes in arena profundo
foliorum-toro strato canum ad littus
discubuerunt ex-ordine; ipsis vero plurimi appositi erant
cibi et vinum suave, *quod hauriebant urceis* pocillatores: deinde mutuo inter se
confabulabantur, qualia multa juvenes inter epulas et vinum
suaviter jocantur, cum perniciosa petulantia abfuerit.
Tum vero Aesonides quidem, anxius quid-ageret, secum ipso
volvebat-cogitabat omnia, moesto homini similis:
eum igitur, sentiens hoc, magna voce objurgavit Idas.
Jason, quale hoc tuo animo consilium volvis?
Dic inter medios tuam mentem. Num subigit
te timor irruens, qui imbelles viros perterret?
Testetur jam hasta penetrans, qua magnam prae aliis
gloriam in praeliis reporto, neque vero me juvat
Jupiter tantum, quantum mea hasta, nullum fore damnum
exitiale fore, neque inexpertum certamen,
Ida sequente, ne si deus quidem adversetur.

Τοῖόν μ' Ἀρήνηθεν ἀοσσητῆρα κομίζεις.
Ἦ καὶ ἐπισχόμενος πλεῖον δέπας ἀμφοτέρῃσιν
πῖνε χαλίκρητον λαρὸν μέθυ· δεύετο δ' οἴνῳ
χείλεα κυάνεαί τε γενειάδες· οἱ δ' ὁμάδησαν
πάντες ὁμῶς, Ἴδμων δὲ καὶ ἀμφαδίην ἀγόρευσεν.
Δαιμόνιε, φρονέεις ὀλοφώϊα καὶ πάρος αὐτῷ.
Ἠέ τοι εἰς ἄτην ζωρὸν μέθυ θαρσαλέον κῆρ
οἰδάνει ἐν στήθεσσι, θεοὺς δ' ἀνέηκεν ἀτίζειν;
Ἄλλοι μῦθοι ἔασι παρήγοροι, οἷσί περ ἀνὴρ
θαρσύνοι ἕταρον· σὺ δ' ἀτάσθαλα πάμπαν ἔειπας.
Τοῖα φάτις καὶ τοὺς πρὶν ἐπιφλύειν μακάρεσσιν
υἷας Ἀλωϊάδας, οἷς οὐδ' ὅσον ἰσοφαρίζεις
ἠνορέην· ἔμπης δὲ θοοῖς ἐδάμησαν ὀϊστοῖς
ἄμφω Λητοΐδαο καὶ ἴφθιμοί περ ἐόντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσεν ἅδην Ἀφαρήϊος Ἴδας,
καί μιν ἐπιλλίζων ἠμείβετο κερτομίοισιν.
Ἄγρει νῦν τόδε σῇσι θεοπροπίῃσιν ἔνισπε,
εἰ καὶ ἐμοὶ τοιόνδε θεοὶ τελέουσιν ὄλεθρον,
οἷον Ἀλωϊάδῃσι πατὴρ τεὸς ἐγγυάλιξεν·
φράζεο δ' ὅππως χεῖρας ἐμὰς σόος ἐξαλέοιο,
χρειὼ θεσπίζων μεταμώνιον εἴ κεν ἁλώῃς.
Χώετ' ἐνιπτάζων· προτέρω δέ κε νεῖκος ἐτύχθη,
εἰ μὴ δηριόωντας ὁμοκλήσαντες ἑταῖροι
αὐτός τ' Αἰσονίδης κατερήτυεν· ἂν δὲ καὶ Ὀρφεὺς
λαιῇ ἀνασχόμενος κίθαριν πείραζεν ἀοιδῆς.
Ἤειδεν δ' ὡς γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα,
τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῇ συναρηρότα μορφῇ,
νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα·
ἠδ' ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
ἄστρα σεληναίη τε καὶ ἠελίοιο κέλευθοι·
οὐρεά θ' ὡς ἀνέτειλε, καὶ ὡς ποταμοὶ κελάδοντες
αὐτῇσιν Νύμφῃσι καὶ ἑρπετὰ πάντα γένοντο.
Ἤειδεν δὲ ὡς πρῶτον Ὀφίων Εὐρυνόμη τε
Ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο,
ὥς τε βίῃ καὶ χερσὶν ὁ μὲν Κρόνῳ εἴκαθε τιμῆς,
ἡ δ' Ῥέῃ, ἔπεσον δ' ἐνὶ κύμασιν Ὠκεανοῖο·
οἱ δὲ τέως μακάρεσσι θεοῖς Τιτῆσιν ἄνασσον,
ὄφρα Ζεὺς ἔτι κοῦρος, ἔτι φρεσὶ νήπια εἰδὼς,
Δικταῖον ναίεσκεν ὑπὸ σπέος· οἱ δέ μιν οὔπω
Γηγενέες Κύκλωπες ἐκαρτύναντο κεραυνῷ
βροντῇ τε στεροπῇ τε· τὰ γὰρ Διῒ κῦδος ὀπάζει.
Ἦ καὶ ὁ μὲν φόρμιγγα σὺν ἀμβροσίῃ σχέθεν
Τοὶ δ' ἄμοτον λήξαντος ἔτι προὔχοντο κάρηνα [αὐδῇ.
πάντες ὁμῶς ὀρθοῖσιν ἐπ' οὔασιν ἠρεμέοντες
κηληθμῷ· τοίην σφιν ἐνέλλιπε θελκτὺν ἀοιδῆς.
Οὐδ' ἐπὶ δὴν μετέπειτα κεράσσάμενοι δὴ λοιβὰς,
ᾗ θέμις ἐστὶ, τέως ἐπί τε γλώσσῃσι χέοντο
αἰθομέναις, ὕπνου δὲ διὰ κνέφας ἐμνώοντο.
Αὐτὰρ ὅτ' αἰγλήεσσα φαεινοῖς ὄμμασιν Ἠὼς
Πηλίου αἰπεινὰς ἴδεν ἄκριας, ἐκ δ' ἀνέμοιο
εὔδιοι ἐκλύζοντο τινασσομένης ἁλὸς ἄκραι,
δὴ τότ' ἀνέγρετο Τῖφυς· ἄφαρ δ' ὀρόθυνεν ἑταίρους
βαινέμεναί τ' ἐπὶ νῆα καὶ ἀρτύνεσθαι ἐρετμά.
Σμερδαλέον δὲ λιμὴν Παγασήϊος ἠδὲ καὶ αὐτὴ

Talem me ex-Arena adjutorem tecum-ducis.
Dixit, et tenens plenum poculum utraque manu
bibit merum dulce vinum : rigabantur vero vino
labra nigraque barba : illi (*socii*) obstrepebant
omnes una, Idmon vero etiam aperte locutus-est :
Miser, cogitasti perniciosa et antea *tibi* ipsi :
an tibi in exitium vinum meracum audacem animum
turgere-facit intus, et ad deos compulit spernendos?
Alia sunt alloquia, quibus quidem aliquis
confirmet alterum : tu vero improba omnino locutus-es.
Talia, fama *fert*, et olim deblaterasse adversus deos
filios Aloei, quos ne tantillum quidem æquas
fortudine : tamen velocibus domiti-sunt sagittis
ambo Apollinis, quamvis fortes essent.
Sic fatus-est : sed risit valde Aphareïus Idas
et ipsi oculis-innuens respondit acerba-oratione :
Age, nunc hoc tuis oraculis indica,
num mihi etiam tale dii paraturi-sint exitium,
quale Aloeadis pater tuus creavit :
vide vero, quomodo manus meas salvus effugias,
oraculum edens vanum si deprehensus-fueris.
Exarsit increpans; longius vero rixa processisset
nisi concertantes graviter-monuissent socii,
et ipse Æsonides cohibuisset; at etiam Orpheus
sinistra tollens citharam tentavit cantum.
Cecinit vero, quomodo terra et cœlum atque mare
olim inter se in-unam commixta formam,
contentione perniciosa discreta-fuerint seorsim singula;
et ut firmum semper in æthere signum (*locum*) obtineant
astra lunaque et solis viæ;
montesque quomodo exorti-sint, et ut fluvii strepentes
cum-ipsis Nymphis, et reptilia omnia nata-sint :
Cecinit porro, quomodo primum Ophion et Eurynome,
Oceani-filia, nivosi habuerint imperium Olympi,
utque vi manuum (*pugna coacti*) ille Saturno cesserit hono-
rem,] hæc Rheæ, inciderintque in fluctus Oceani :
illi vero interea beatis diis Titanibus imperabant,
dum Jupiter adhuc infans, adhuc mente puerilia sciens
Dictæo habitabat sub antro; at eum nondum
terrigenæ Cyclopes armaverant fulmine,
tonitruque et fulgure; hæc enim Jovi gloriam præstant.
Dixit, et citharam cum divina cohibuit voce :
illi vero insatiabiliter, postquam cessavit, adhuc exseruerunt
capita] omnes simul, arrectis auribus conquiescentes
in-delinimento : talem iis reliquerat Orpheus oblectationem
cantus.] Nec diu post, ubi-miscuerant jam libamina,
ut fas est, tum *ea* linguis affuderunt (*victimarum*)
ardentibus, somnum vero per noctem ceperunt.
Sed ubi splendida fulgentibus oculis Aurora
Pelii celsa conspexit juga, per ventum autem
tranquilla alluebantur agitato mari promontoria,
tum jam experrectus-est Tiphys; statimque jussit socios
et intrare navem et aptare remos.
Terribiliter vero portus Pagaseïus atque ipsa

Πηλιὰς Ἀργὼ ἐπιστείουσα νέεσθαι.
Ἐν γάρ οἱ δόρυ θεῖον ἐλήλατο, τό ῥ' ἀνὰ μέσσην
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
Οἱ δ' ἀνὰ σέλματα βάντες ἐπισχερὼ ἀλλήλοισιν,
ὡς ἐδάσαντο πάροιθεν ἐρεσσέμεν ᾧ ἐνὶ χώρῳ,
εὐκόσμως σφετέροισι παρ' ἔντεσιν ἑδριόωντο.
Μέσσῳ δ' Ἀγκαῖος μέγα τε σθένος Ἡρακλῆος
ἵζανον· ἄγχι δέ οἱ ῥόπαλον θέτο καί οἱ ἔνερθεν
ποσσὶν ὑπεθλάσθη νηὸς τρόπις. Εἵλκετο δ' ἤδη
πείσματα καὶ μέθυ λεῖβον ὕπερθ' ἁλός. Αὐτὰρ Ἰήσων
δακρυόεις γαίης ἀπὸ πατρίδος ὄμματ' ἔνεικεν.
Οἱ δ', ὥστ' ἠίθεοι Φοίβῳ χορὸν ἢ ἐνὶ Πυθοῖ
ἤ που ἐν Ὀρτυγίῃ ἢ ἐφ' ὕδασιν Ἰσμηνοῖο
στησάμενοι, φόρμιγγος ὑπαὶ περὶ βωμὸν ὁμαρτῇ
ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν·
ὡς οἱ ὑπ' Ὀρφῆος κιθάρῃ πέπληγον ἐρετμοῖς
πόντου λάβρον ὕδωρ, ἐπὶ δὲ ῥόθια κλύζοντο·
ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη
δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.
Στράπτε δ' ὑπ' ἠελίῳ φλογὶ εἴκελα νηὸς ἰούσης
τεύχεα· μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι,
ἀτραπὸς ὣς χλοεροῖο διειδομένη πεδίοιο.
Πάντες δ' οὐρανόθεν λεῦσσον θεοὶ ἤματι κείνῳ
νῆα καὶ ἡμιθέων ἀνδρῶν μένος, οἳ τότ' ἄριστοι
πόντον ἐπιπλώεσκον· ἐπ' ἀκροτάτῃσι δὲ Νύμφαι
Πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
ἔργον Ἀθηναίης Ἰτωνίδος ἠδὲ καὶ αὐτοὺς
ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.
Αὐτὰρ ὁ ἐξ ὑπάτου ὄρεος κίεν ἄγχι θαλάσσης
Χείρων Φιλλυρίδης, πολιῇ δ' ἐπὶ κύματος ἀγῇ
τέγγε πόδας, καὶ πολλὰ βαρείῃ χειρὶ κελεύων
νόστον ἐπευφήμησεν ἀκηδέα νισσομένοισιν·
σὺν καί οἱ παράκοιτις ἐπωλένιον φορέουσα
Πηλείδην Ἀχιλῆα φίλῳ δειδίσκετο πατρί.
Οἱ δ' ὅτε δὴ λιμένος περιηγέα κάλλιπον ἀκτὴν
φραδμοσύνῃ μήτι τε δαΐφρονος Ἁγνιάδαο
Τίφυος, ὅς ῥ' ἐνὶ χερσὶν εὔξοα τεχνηέντως
πηδάλι' ἀμφιέπεσκ', ὄφρ' ἔμπεδον ἐξιθύνοι,
δή ῥα τότε μέγαν ἱστὸν ἐνεστήσαντο μεσόδμῃ,
δῆσαν δὲ προτόνοισι τανυσσάμενοι ἑκάτερθεν,
κὰδ δ' αὐτοῦ λίνα χεῦαν ἐπ' ἠλακάτην ἐρύσαντες.
Ἐν δὲ λιγὺς πέσεν οὖρος· ἐπ' ἰκριόφιν δὲ κάλωας
ξεστῇσιν περόνῃσι διακριδὸν ἀμφιβαλόντες
Τισαίην εὔκηλοι ὑπὲρ δολιχὴν θέον ἄκρην.
Τοῖσι δὲ φορμίζων εὐθήμονι μέλπεν ἀοιδῇ
Οἰάγροιο πάϊς νηοσσόον εὐπατέρειαν
Ἄρτεμιν, ἣ κείνας σκοπιὰς ἁλὸς ἀμφιέπεσκεν
ῥυομένη καὶ γαῖαν Ἰωλκίδα· τοὶ δὲ βαθείης
ἰχθύες ἀίσσοντες ὕπερθ' ἁλός, ἄμμιγα παύροις
ἄπλετοι, ὑγρὰ κέλευθα διασκαίροντες ἕποντο.
Ὡς δ' ὁπότ' ἀγραύλοιο κατ' ἴχνια σημαντῆρος
μυρία μῆλ' ἐφέπονται ἄδην κεκορημένα ποίης
εἰς αὖλιν, ὁ δέ τ' εἶσι πάρος σύριγγι λιγείῃ
καλὰ μελιζόμενος νόμιον μέλος· ὡς ἄρα τοί γε

Peliaca movebat Argo, excitans abire.
In ea enim lignum divinum impactum erat, quod per medium in
carina Minerva e Dodonæa aptaverat fago.
Illi vero transtra conscendentes ordine alius post alium,
quemadmodum diviserant antea, ut quisque remigaret suo loco,
honeste ad sua apud arma consederunt:
In medio autem Ancæus, magnumque robur Herculis, con-
sederunt: prope eum clavam posuit, et ei sub
pedes [illegible] navis carina. Trahebantur vero jam
funes, et vinum libabant super mare. Sed Jason
lacrymabundus a patria terra oculos deflexit.
Illi vero, quemadmodum juvenes Phœbo chorum sive Del-
phis seu forte in Ortygia, sive ad aquas Ismeni
instituentes, ad citharam circa aram simul
apte velocibus solum feriunt pedibus;
sic illi ad Orphei citharam pulsarunt remis
maris vehementem aquam, fluctusque crescebant,
spuma hic et illic atrum surgebat mare
horrendum murmurans validorum robore virorum.
Coruscabant vero ad solem, flammæ instar, navis incedentis
armamenta; longæ continuo albescebant viæ, [illegible]
ut semita per viridem conspicua campum.
Omnes vero cœlitus adspexerunt dii illo die
navem et semideorum virorum robur, qui tum fortissimi
per mare vehebantur; in summis vero Nymphæ
Peliades jugis stupuerunt intuentes
opus Minervæ Itonidis, atque etiam ipsos
heroas manibus impellentes remos.
At ipse ex summo monte degressus est prope mare
Chiron Phillyrides, et in cana fluctus fractione (fluctibus)
intinxit pedes, et multa gravi manu hortatus
reditum apprecatus est curarum expertem abeuntibus.
cum eo etiam conjux ulnis gestans
Pelei-filium Achillem caro protendit patri.
Illi vero cum portus circumfluum reliquissent littus
prudentia et consilio intelligentis Agniadæ
Tiphyis, qui quidem manibus bene politum scite
clavum tenebat, ut firmiter regeret,
tum tandem ingentem malum constituerunt in trabe tran-
versa (mali receptaculo),] et alligarunt funibus exten[s]is
utrinque,] tum vela expanderunt in summam mali partem
tracta.] Irruit vero stridulus ventus: in tabulatis vero [in
dentes] politis fibulis diversis funibus cum alligassent,
Tisæum quieti longum prætervecti sunt promontorium.
His vero cithara canens bene composito celebravit carmine
Œagri filius naves-servantem, claro genitam patre,
Dianam, quæ illas speculas maris tuebatur,
servans etiam terram Iolciam; ipsi vero profundum
pisces exsultantes super mare, permixti parvis
magni, per humidas vias saltantes sequebantur.
Quemadmodum vero, quando ruricolæ vestigia domini
innumeræ pecudes sequuntur, abunde saturatæ herbis,
[illegible], ille quidem præit, fistula arguta
suaviter modulans pastorale carmen, sic [illegible]

ὡμάρτευν· τὴν δ' αἰὲν ἐπασσύτερος φέρεν οὖρος.
Αὐτίκα δ' ἠερίη πολυλήϊος αἶα Πελασγῶν
δύετο, Πηλιάδας δὲ παρεξήμειβον ἐρίπνας
αἰὲν ἐπιπροθέοντες· ἔδυνε δὲ Σηπιὰς ἄκρη,
φαίνετο δ' εἰναλίη Σκίαθος, φαίνοντο δ' ἄπωθεν
Πειρεσιαὶ Μάγνησά θ', ὑπεύδιος ἠπείροιο
ἀκτὴ, καὶ τύμβος Δολοπήϊος· ἔνθ' ἄρα τοίγε
ἑσπέριοι ἀνέμοιο παλιμπνοίῃσιν ἔκελσαν,
καί μιν κυδαίνοντες ὑπὸ κνέφας ἔντομα μήλων
κεῖαν ὀρινομένης ἁλὸς οἴδματι· διπλόα δ' ἀκταῖς
ἤματ' ἐλινύεσκον· ἀτὰρ τριτάτῳ προέηκαν
νῆα τανυσσάμενοι περιώσιον ὑψόθι λαῖφος.
Τὴν δ' ἀκτὴν Ἀφέτας Ἀργοῦς ἔτι κικλήσκουσιν.
Ἔνθεν δὲ προτέρωσε παρεξέθεον Μελίβοιαν,
[ἀκτήν τ' αἰγιαλόν τε δυσήνεμον εἰσορόωντες.]
ἠῶθεν δ' Ὁμόλην αὐτοσχεδὸν εἰσορόωντες
πόντῳ κεκλιμένην παρεμέτρεον· οὐδ' ἔτι δηρὸν
μέλλον ὑπὲκ ποταμοῖο βαλεῖν Ἀμύροιο ῥέεθρα.
Κεῖθεν δ' Εὐρυμενάς τε πολυκλύστους τε φάραγγας
Ὄσσης Οὐλύμποιό τ' ἐσέδρακον· αὐτὰρ ἔπειτα
κλίτεα Παλλήναια Καναστραίην ὑπὲρ ἄκρην
ἤνυσαν ἐννύχιοι πνοιῇς ἀνέμοιο θέοντες.
Ἦρι δὲ νισσομένοισιν Ἄθω ἀνέτελλε κολώνη
Θρηϊκίη, ἣ τόσσον ἀπόπροθι Λῆμνον ἐοῦσαν,
ὅσσον ἐς ἐνδιόν κεν ἐΰστολος ὁλκὰς ἀνύσσαι,
ἀκροτάτῃ κορυφῇ σκιάει, καὶ ἐσάχρι Μυρίνης.
Τοῖσιν δ' αὐτῆμαρ μὲν ἄεν καὶ ἐπὶ κνέφας οὖρος
πάγχυ μάλ' ἀκραὴς, τετάνυστο δὲ λαίφεα νηός.
Αὐτὰρ ἅμ' ἠελίοιο βολαῖς ἀνέμοιο λιπόντος
εἰρεσίῃ κραναὴν Σιντηΐδα Λῆμνον ἵκοντο.
Ἔνθ' ἄμυδις πᾶς δῆμος ὑπερβασίῃσι γυναικῶν
νηλειῶς δέδμητο παροιχομένῳ λυκάβαντι.
Δὴ γὰρ κουριδίας μὲν ἀπηνήναντο γυναῖκας
ἀνέρες ἐχθήραντες, ἔχον δ' ἐπὶ ληϊάδεσσιν
τρηχὺν ἔρον, ἃς αὐτοὶ ἀγίνεον ἀντιπέρηθεν
Θρηϊκίην δηοῦντες· ἐπεὶ χόλος αἰνὸς ὄπαζεν
Κύπριδος, οὕνεκά μιν γεράων ἐπὶ δηρὸν ἄτισσαν.
Ὦ μέλεαι ζήλοιό τ' ἐπισμυγερῶς ἀκόρητοι.
Οὐχ οἶον σὺν τῇσιν ἑοὺς ἔρραισαν ἀκοίτας
ἀμφ' εὐνῇ, πᾶν δ' ἄρσεν ὁμοῦ γένος, ὥς κεν ὀπίσσω
μή τινα λευγαλέοιο φόνου τίσειαν ἀμοιβήν.
Οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς
Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ δῆμον ἄνασσεν·
λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι,
αἴ κε φύγῃ· καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
πρόσθεν ἀτὰρ Σίκινόν γε μεθύστερον αὐδηθεῖσαν
νῆσον ἐπακτῆρες, Σικίνου ἄπο, τόν ῥα Θόαντι
Νηϊὰς Οἰνοίη Νύμφη τέκεν εὐνηθεῖσα.
Ταῖσι δὲ βουκόλιαί τε βοῶν χάλκειά τε δύνειν
τεύχεα πυροφόρους τε διατμήξασθαι ἀρούρας
ῥηΐτερον πάσῃσιν Ἀθηναίης πέλεν ἔργων,
οἷς αἰεὶ τοπάροιθεν ὁμίλεον. Ἀλλὰ γὰρ ἔμπης
ἦ θαμὰ δὴ πάπταινον ἐπὶ πλατὺν ὄμμασι πόντον
δείματι λευγαλέῳ, ὁππότε Θρήϊκες ἴασιν.

sequebantur, navem vero semper vehementior agitabat ventus.] Statim igitur nigrum segetibus-abundans solum Pelasgorum (*Thessalia*)] absconditum-est; Peliacas transierunt *Argonautæ* rupes] continuo procurrentes; subsidebat autem Sepias promontorium,] exstabat maritima Sciathus, apparebant procul] Piresiæ et Magnesa, tranquillum continentis littus, et bustum Dolopis; quo illi quidem
vespertini venti contrario-flatu appulerunt,
eumque (*Dolopem*) honorantes, sub crepusculum inferias pecudum] cremarunt, concitato maris fluctu; binosque in-littore] dies commorati-sunt, sed tertio emiserunt
navem, expanso decumano superne velo.
Littus autem hoc Aphetas (*emittentes*) Argus etiamnum appellant.] Inde vero longius prætervecti-sunt Melibœam,
[oram littusque ventis-vexatum intuentes :]
mane vero Homolam cominus conspicientes
mari incumbentem præternavigarunt; neque diu amplius
cunctati-sunt fluvii trajicere Amyri fluenta :
inde autem Eurymenas et multum-inundatas valles
Ossæ Olympique conspexerunt; at deinde
devexa Pallenæa Canastræum super promontorium
transierunt nocturni, flatibus venti currentes :
mane vero provectis Atho emicuit mons
Thracius, qui Lemnum tantum procul distantem,
quantum ad-meridiem usque bene-exstructa navis conficiat
spatium,] summo jugo obumbrat, et usque-ad Myrinen :
illis vero eo-die quidem afflavit etiam ad noctem ventus
admodum vehemens, expandebantur vero vela navis :
sed cum solis *primis* radiis vento cessante,
remigando in-asperam Sinteïdem Lemnum venerunt.

Ibi omnino omnis populus scelere mulierum
crudeliter trucidatus-erat præterito anno :
iam enim ligitimas repudiaverant uxores
viri exosi, fovebant vero in captivas
flagrantem amorem, quas ipsi abduxerant oppositam
Thraciam vastantes; etenim ira gravis persequebatur
Veneris, quoniam eam muneribus diu non-honoraverant.
O miseræ, et odio tristem-in-modum non-satiatæ!
Non solum cum illis (*captivis puellis*) suos occiderunt maritos
in lectis, sed omnem masculum simul sexum, ut in-posterum
nullam immitis cædis luerent pœnam.
Sola vero ex omnibus seni pepercit patri
Hypsipylea Thoanti, qui quidem populo imperabat :
arca in cava eum in mari posuit avehendum,
si forte evaderet: atque illum in Œnoam salvum-transtulerunt
antea, sed Sicinum postea appellatam
insulam, piscatores, a Sicino, quem quidem Thoanti
Naias Œnoe nympha peperit concubitu-juncta.
Illis vero (*mulieribus Lemniis*) armenta boum *pascere* æreaque induere] arma, et fertilia findere arva
facilius omnibus Minervæ erat operibus,
quæ semper antea tractaverant. At tamen
sane sæpissime prospexerunt in latum oculis æquor
præ-metu tristi, quando Thraces venturi-essent :

Τῷ καὶ ὅτ' ἐγγύθι νήσου ἐρεσσομένην ἴδον Ἀργὼ,
αὐτίκα πασσυδίῃ πυλέων ἔκτοσθε Μυρίνης
δήϊα τεύχεα δῦσαι ἐς αἰγιαλὸν προχέοντο,
Θυιάσιν ὠμοβόροις ἴκελαι· φὰν γάρ που ἱκάνειν
Θρήϊκας· ἡ δ' ἅμα τῇσι Θοαντιὰς Ὑψιπύλεια
δῦν' ἐνὶ τεύχεσι πατρός. Ἀμηχανίῃ δ' ἐχέοντο
ἄφθογγοι· τοῖόν σφιν ἐπὶ δέος ᾐωρεῖτο.
Τείως δ' αὖτ' ἐκ νηὸς ἀριστῆες προέηκαν
Αἰθαλίδην, κήρυκα θοὸν, τῷπέρ τε μέλεσθαι
ἀγγελίας καὶ σκῆπτρον ἐπέτρεπον Ἑρμείαο,
σφωϊτέροιο τοκῆος, ὅ οἱ μνῆστιν πόρε πάντων
ἄφθιτον· οὐδ' ἔτι νῦν περ ἐποιχομένου Ἀχέροντος
δίνας ἀπροφάτους ψυχὴν ἐπιδέδρομε λήθη.
Ἀλλ' ἥ γ' ἔμπεδον αἰὲν ἀμειβομένη μεμόρηται,
ἄλλοθ' ὑποχθονίοις ἐναρίθμιος, ἄλλοτ' ἐς αὐγὰς
ἠελίου ζωοῖσι μετ' ἀνδράσιν. Ἀλλὰ τί μύθους
Αἰθαλίδεω χρειώ με διηνεκέως ἀγορεύειν;
ὅς ῥα τόθ' Ὑψιπύλην μειλίξατο δέχθαι ἰόντας
ἤματος ἀνομένοιο διὰ κνέφας· οὐδὲ μὲν ἠοῖ
πείσματα νηὸς ἔλυσαν ἐπὶ πνοιῇ Βορέαο.
Λημνιάδες δὲ γυναῖκες ἀνὰ πτόλιν ἶζον ἰοῦσαι
εἰς ἀγορήν· αὐτὴ γὰρ ἐπέφραδεν Ὑψιπύλεια·
καί ῥ' ὅτε δὴ μάλα πᾶσαι ὁμιλαδὸν ἠγερέθοντο,
αὐτίκ' ἄρ' ἥγ' ἐνὶ τῇσιν ἐποτρύνουσ' ἀγόρευεν.
Ὦ φίλαι, εἰ δ' ἄγε δὴ μενοεικέα δῶρα πόρωμεν
ἀνδράσιν, οἶά τ' ἔοικεν ἄγειν ἐπὶ νηὸς ἔχοντας,
ἤϊα καὶ μέθυ λαρὸν, ἵν' ἔμπεδον ἔκτοθι πύργων
μίμνοιεν, μηδ' ἄμμε κατὰ χρειὼ μεθέποντες
ἀτρεκέως γνώωσι, κακὴ δ' ἐπὶ πολλὸν ἵκηται
βάξις· ἐπεὶ μέγα ἔργον ἐρέξαμεν, οὐδέ τι πάμπαν
θυμηδές κεν τοῖσι τόγ' ἔσσεται, εἴ κε δαεῖεν.
Ἡμετέρη μέν νυν τοίη παρενήνοθε μῆτις·
ὑμέων δ' εἴ τις ἄρειον ἔπος μητίσεται ἄλλη,
ἐγρέσθω· τοῦ γάρ τε καὶ εἵνεκα δεῦρο κάλεσσα.
Ὣς ἄρ' ἔφη καὶ θῶκον ἐφίζανε πατρὸς ἑοῖο
λάϊνον· αὐτὰρ ἔπειτα φίλη τροφὸς ὦρτο Πολυξὼ,
γήραϊ δὴ ῥικνοῖσιν ἐπισκάζουσα πόδεσσιν,
βάκτρῳ ἐρειδομένη, πέρι δὲ μενέαιν' ἀγορεῦσαι.
Τῇ καὶ παρθενικαὶ πίσυρες σχεδὸν ἑδριόωντο
ἀδμῆτες λευκῇσιν ἐπιχνοάουσαι ἐθείραις.
Στῆ δ' ἄρ' ἐνὶ μέσσῃ ἀγορῇ, ἀνὰ δ' ἔσχεθε δειρὴν
ἦκα μόλις κυφοῖο μεταφρένου ὧδέ τ' ἔειπεν.
Δῶρα μὲν, ὡς αὐτῇ περ ἐφανδάνει Ὑψιπυλείῃ,
πέμπωμεν ξείνοισιν, ἐπεὶ καὶ ἄρειον ὀπάσσαι.
Υ̓́μμι γε μὴν τίς μῆτις ἐπαυρέσθαι βιότοιο,
αἴ κεν ἐπιβρίσῃ Θρήϊξ στρατὸς ἠέ τις ἄλλος
δυσμενέων; ἅτε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
ὡς καὶ νῦν ὅδ' ὅμιλος ἀνωΐστως ἀφικάνει.
Εἰ δὲ τὸ μὲν μακάρων τις ἀποτρέποι, ἄλλα δ' ὀπίσσω
μυρία δηϊοτῆτος ὑπέρτερα πήματα μίμνει.
Εὖτ' ἂν δὴ γεραραὶ μὲν ἀποφθινύθωσι γυναῖκες,
κουρότεραι δ' ἄγονοι στυγερὸν ποτὶ γῆρας ἵκησθε,
πῶς τῆμος βώσεσθε δυσάμμοροι; ἠὲ βαθείαις
αὐτόματοι βόες ὔμμιν ἐνιζευχθέντες ἀρούραις

quare etiam, cum prope insulam remis-agitatam viderent
Argo,] statim omnes-uno-impetu e portis Myrinæ
bellicis armis indutæ ad littus effundebantur,
Thyadum carnes-crudas-vorantium instar; putabant enim
forte venire] Thracas; at cum illis Thoantias Hypsipylea
induerat arma patris. Sed consilii-inopia effusæ-sunt
mutæ, tantus iis metus impendebat.
Interea vero ex navi heroes miserant
Æthalidem, præconem celerem, cui quidem administrandas
legationes, et baculum commiserant Mercurii,
ipsius patris, qui ipsi memoriam dederat omnium
inextinctam, necdum nunc, postquam-adiit Acherontis
vorticem implacabilem, animam *ejus* occupavit oblivio.
Sed firmiter semper, ut-alternatim-versetur, fato-decretum
-est,] nunc inferis adnumerata, nunc ad jubar
solis viventes inter homines. Sed quid fabulas
de-Æthalide oportet me perpetua-serie enarrare?
qui quidem tum Hypsipylæ blandis-verbis-persuasit, ut-ex-
ciperet appulsos] die confecto, per noctem; at ne mane qui-
dem] retinacula navis solverunt flante Aquilone.
Lemniæ vero mulieres per urbem consessuræ iverunt
in concionem; ipsa enim jusserat Hypsipylea:
et cum jam omnino omnes catervatim congregatæ-essent,
statim illa inter eas exhortans dixit:
Amicæ, agite, grata dona præbeamus
viris, qualia convenit auferre in navem secum,
viatica et vinum dulce, ut semper extra mœnia
maneant, neque apud-nos ex necessitate deversati
vere *res nostras* cognoscant, malaque longe divulgetur
fama: quandoquidem magnum facinus commisimus, neque
omnino] gratum his illud erit, si cognoverint.
Nostrum quidem jam tale exstitit consilium:
vestrum vero si qua melius quid suadere-possit alia,
surgat: hanc enim ob causam huc vocavi.
Sic igitur fata-est, atque in solio consedit patris sui
lapideo; at postea cara *ejus* nutrix surrexit Polyxo,
præ-senectute jam imbecillis titubans pedibus,
baculo innixa, admodum vero cupiit concionari.
Huic etiam virgines quatuor prope assidebant
intactæ, albis obtectæ capillis.
Stetit igitur in media concione, sustinuit autem cervicem
vix aliquantum in-gibboso interscapilio, sicque locuta-est:
Dona quidem, ut ipsi placet Hypsipylæ,
mittamus hospitibus, quoniam conducit mittere.
Vobis tamen quænam *est* ratio fruendæ vitæ,
si forte ingruerit Thracius exercitus, aut alius quis
hostium? qualia multa inter homines eveniunt,
ut etiam nunc hæc cohors improviso advenit.
Si vero hoc quidem deorum quis averterit, alia postea
innumera, hostili-impetu graviora, mala manent.
Quando jam vetulæ perierint mulieres,
juniores vero, sine-prole, invisam senectutem attigeritis;
quomodo tum vivetis, miserrimæ? num in-profundis
ipsæ-sponte-sua boves vobis conjugatæ arvis

γειοτόμον νειοῖο διειρύσσουσιν ἄροτρον,
καὶ πρόκα τελλομένου ἔτεος στάχυν ἀμήσονται;
Ἦ μὲν ἐγὼν, εἰ καί με τανῦν ἔτι πεφρίκασι
Κῆρες, ἐπερχόμενόν που ὀίομαι εἰς ἔτος ἤδη
γαῖαν ἐφέσσεσθαι, κτερέων ἀπὸ μοῖραν ἑλοῦσαν,
αὔτως ᾗ θέμις ἐστὶ, πάρος κακότητα πελάσσαι.
Ὁπλοτέρῃσι δὲ πάγχυ τάδε φράζεσθαι ἄνωγα.
Νῦν γὰρ δὴ παρὰ ποσσὶν ἐπήβολος ἔστ' ἀλεωρὴ,
εἴ κεν ἐπιτρέψητε δόμους καὶ ληίδα πᾶσαν
ὑμετέρην ξείνοισι καὶ ἀγλαὸν ἄστυ μέλεσθαι.
Ὣς ἔφατ'· ἐν δ' ἀγορὴ πλῆτο θρόου. Εὔαδε γάρ σφιν
μῦθος. Ἀτὰρ μετὰ τήν γε παρασχεδὸν αὖτις ἀνῶρτο
Ὑψιπύλη, καὶ τοῖον ὑποβλήδην ἔπος ηὔδα.
Εἰ μὲν δὴ πάσῃσιν ἐφανδάνει ἥδε μενοινὴ,
ἤδη κεν μετὰ νῆα καὶ ἄγγελον ὀτρύναιμι.
Ἦ ῥα καὶ Ἰφινόην μετεφώνεεν ἆσσον ἐοῦσαν.
Ὄρσο μοι, Ἰφινόη, τοῦδ' ἀνέρος ἀντιόωσα,
ἡμέτερόνδε μολεῖν, ὅστις στόλου ἡγεμονεύει,
ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπω·
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλωσι,
κέκλεο θαρσαλέως ἐπιβαινέμεν εὐμενέοντας.
Ἦ καὶ ἔλυσ' ἀγορήν· μετὰ δ' εἰς ἑὸν ὦρτο νέεσθαι·
ὣς δὲ καὶ Ἰφινόη Μινύας ἵκεθ'· οἱ δ' ἐρέεινον
χρεῖος ὅ τι φρονέουσα μετήλυθεν. Ὦκα δὲ τούς γε
πασσυδίῃ μύθοισι προσέννεπεν ἐξερέοντας.
Κούρη τοί μ' ἐφέηκε Θοαντιὰς ἐνθάδ' ἰοῦσαν
Ὑψιπύλη καλέειν νηὸς πρόμον, ὅστις ὄρωρεν,
ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπῃ·
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλητε,
κέκλεται αὐτίκα νῦν ἐπιβαινέμεν εὐμενέοντας.
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἐναίσιμος ἥνδανε μῦθος.
Ὑψιπύλην δ' εἴσαντο καταφθιμένοιο Θόαντος
τηλυγέτην γεγαυῖαν ἀνασσέμεν· ὦκα δὲ τόν γε
πέμπον ἴμεν, καὶ δ' αὐτοὶ ἐπεντύνοντο νέεσθαι.
Αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι θεᾶς Τριτωνίδος ἔργον,
δίπλακα πορφυρέην, περονήσατο, τήν οἱ ὄπασσεν
Παλλὰς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
Ἀργοῦς, καὶ κανόνεσσι δάε ζυγὰ μετρήσασθαι.
Τῆς μὲν ῥηΐτερόν κεν ἐς ἠέλιον ἀνιόντα
ὄσσε βάλοις, ἢ κεῖνο μεταβλέψειας ἔρευθος.
Δὴ γάρ τοι μέσσῃ μὲν ἐρευθήεσσα τέτυκτο,
ἄκρα δὲ πορφυρέη πάντῃ πέλεν· ἐν δ' ἄρ' ἑκάστῳ
τέρματι δαίδαλα πολλὰ διακριδὸν εὖ ἐπέπαστο.
Ἐν μὲν ἔσαν Κύκλωπες ἐπ' ἀφθίτῳ ἥμενοι ἔργῳ,
Ζηνὶ κεραυνὸν ἄνακτι πονεύμενοι, ὃς τόσον ἤδη
παμφαίνων ἐτέτυκτο, μιῆς δ' ἔτι δεύετο μοῦνον
ἀκτῖνος, τὴν οἵγε σιδηρείῃς ἐλάασκον
σφύρῃσιν, μαλεροῖο πυρὸς ζείουσαν ἀϋτμήν.
Ἐν δ' ἔσαν Ἀντιόπης Ἀσωπίδος υἷεε δοιὼ,
Ἀμφίων καὶ Ζῆθος· ἀπύργωτος δ' ἔτι Θήβη
κεῖτο πέλας, τῆς οἵγε νέον βάλλοντο δομαίους
ἱέμενοι. Ζῆθος μὲν ἐπωμαδὸν ἠέρταζεν
οὔρεος ἠλιβάτοιο κάρη μογέοντι ἐοικώς·
Ἀμφίων δ' ἐπί οἱ χρυσέῃ φόρμιγγι λιγαίνων

terram-scindens per-novale trahent aratrum?
atque statim, circumacto anno, aristas demetent?
Ego certe, si vel me nunc adhuc horruerint
Parcæ, insequente quidem opinor anno tandem
terram *me* subituram-esse, funebria justa consecutam
sic ut par est, antequam calamitas appropinquaverit:
juniores vero omnino hæc cogitare jubeo:
nunc enim ante jam pedes obvium est præsidium,
si modo commiseritis domos et bona omnia
vestra hospitibus, atque splendidam urbem administrandam.] Sic dixit: concio vero implebatur fremitu: placuit
enim ipsis] consilium. At post illam statim rursus surrexit
Hypsipyle, atque hæc interpellans verba locuta-est:
Si igitur omnibus quidem placet hoc consilium,
jam ad navem etiam nunciam demittam.
Dixit, et Iphinoam allocuta-est prope sedentem:
Exi mihi, Iphinoa, illum virum rogatura
in nostram *domum* ut-veniat, qui exercitui præest,
quo quandam ei populi sententiam gratam indicem:
et ipsos (*milites*) in terram et urbem, si velint,
jube sine-metu ingredi benevolos.
His dictis solvit concionem; tum in suam *domum* surrexit
itura;] sic vero etiam Iphinoe ad-Minyas venit: illi interrogarunt,] quamnam rem mente-agitans venisset? Statim igitur
eos] omnes-simul verbis allocuta-est interrogantes:
Filia me misit Thoantis huc profectam,
Hypsipyle, ut-arcesserem navis ducem, quisquis sit,
quo quandam ei concionis sententiam gratam exponeret;
et ipsos in terram et urbem, si velitis,
jubet statim nunc ingredi benevolos.
Sic igitur dixit; omnibus vero commoda placuit oratio.
Hypsipylam vero intellexerunt mortui Thoantis
unicam filiam-esse-et imperare: statim vero illum (*Jasonem*)
miserunt qui-iret, et ipsi se-accinxerunt ad-abitum.
At ille (*Jason*) circa humeros deæ Tritonidis opus,
lænam-duplicatam purpuream, fibula-subnexuit, quam ei
dederat] Pallas, cum primum ligna-carinæ construeret navis
Argûs, atque norma doceret juga metiri:
hujus (*lænæ*), facilius quidem in solem exorientem
oculos conjeceris, quam illum intuearis splendorem:
etenim media rubicunda quidem erat,
sed extrema purpurea omnino erat; in quavis vero
ora, artificiosa multa separatim bene erant-depicta.
Inerant Cyclopes immortali adsidentes operi,
Jovi fulmen regi conficientes, quod tantum jam
coruscans fabricatum-erat, ut unus adhuc deesset solus
radius, quem illi ferreis cudebant
malleis, absumentis ignis ferventem flammam.
Inerant porro Antiopæ Asopidis filii duo,
Amphion et Zethus: at nondum mœniis-munitæ Thebæ
sitæ-erant prope, quarum illi nuper jecerant fundamenta
lubentes: Zethus quidem humeris gestabat
montis celsi caput, laboranti similis;
Amphion vero post eum aurea cithara canens

ἤϊε, δὶς τόσση δὲ μετ' ἴχνια νίσσετο πέτρη.
Ἑξείης δ' ἤσκητο βαθυπλόκαμος Κυθέρεια
Ἄρεος ὀχμάζουσα θοὸν σάκος· ἐκ δέ οἱ ὤμου
πῆχυν ἐπὶ σκαιὸν ξυνοχὴ κεχάλαστο χιτῶνος
νέρθεν ὑπὲρ μαζοῖο· τὸ δ' ἀντίον ἀτρεκὲς αὔτως
χαλκείῃ δείκηλον ἐν ἀσπίδι φαίνετ' ἰδέσθαι.
Ἐν δὲ βοῶν ἔσκεν λάσιος νομός· ἀμφὶ δὲ βουσὶν
Τηλεβόαι μάρναντο καὶ υἱέες Ἠλεκτρύωνος·
οἱ μὲν ἀμυνόμενοι, ἀτὰρ οἵγ' ἐθέλοντες ἀμέρσαι
ληϊσταὶ Τάφιοι· τῶν δ' αἵματι δεύετο λειμὼν
ἑρσήεις, πολέες δ' ὀλίγους βιόωντο νομῆας.
Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντες.
Καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε τινάσσων
ἡνία, σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια·
τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους.
Σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς
ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
πῖπτεν, ἐπεσσύμενος Πελοπήϊα νῶτα δαΐξαι.
Ἐν καὶ Ἀπόλλων Φοῖβος ὀϊστεύων ἐτέτυκτο,
βούπαις οὔπω πολλός, ἑὴν ἐρύοντα καλύπτρης
μητέρα θαρσαλέως Τιτυὸν μέγαν, ὅν ῥ' ἔτεκέν γε
δῖ' Ἐλάρη, θρέψεν δὲ καὶ ἂψ ἐλοχεύσατο Γαῖα.
Ἐν καὶ Φρίξος ἔην Μινυήϊος, ὡς ἐτεόν περ
εἰσαΐων κριοῦ, ὁ δ' ἄρ' ἐξενέποντι ἐοικώς.
Κείνους κ' εἰσορόων ἀκέοις ψεύδοιό τε θυμὸν,
ἐλπόμενος πυκινήν τιν' ἀπὸ σφείων ἐσακοῦσαι
βάξιν, ὃ καὶ δηρόν περ ἐπ' ἐλπίδι θηήσαιο.
Τοῖ' ἄρα δῶρα θεᾶς Τριτωνίδος ἦεν Ἀθήνης.
Δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' Ἀταλάντη
Μαινάλῳ ἐν ποτέ οἱ ξεινήϊον ἐγγυάλιξεν
πρόφρων ἀντομένη· περὶ γὰρ μενέαινεν ἕπεσθαι
τὴν ὁδόν· ἀλλὰ γὰρ αὐτὸς ἑκὼν ἀπερήτυε κούρην·
δεῖσεν δ' ἀργαλέας ἔριδας φιλότητος ἕκητι.
Βῆ δ' ἴμεναι προτὶ ἄστυ φαεινῷ ἀστέρι ἶσος,
ὅν ῥά τε νηγατέῃσιν ἐεργόμεναι καλύβῃσιν
νύμφαι θηήσαντο δόμων ὕπερ ἀντέλλοντα,
καί σφισι κυανέοιο δι' ἠέρος ὄμματα θέλγει
καλὸν ἐρευθόμενος, γάνυται δέ τε ἠϊθέοιο
παρθένος ἱμείρουσα μετ' ἀλλοδαποῖσιν ἐόντος
ἀνδράσιν, ᾧ καί μιν μνηστὴν κομέουσι τοκῆες·
τῷ ἴκελος πρὸ πόληος ἀνὰ στίβον ἤϊεν ἥρως.
Καί ῥ' ὅτε δὴ πυλέων τε καὶ ἄστεος ἐντὸς ἔβησαν,
δημότεραι μὲν ὄπισθεν ἐπεκλονέοντο γυναῖκες,
γηθόσυναι ξείνῳ· ὁ δ' ἐπὶ χθονὸς ὄμματ' ἐρείσας
νίσσετ' ἀπηλεγέως, ὄφρ' ἀγλαὰ δώμαθ' ἵκανεν
Ὑψιπύλης· ἄνεσαν δὲ πύλας προφανέντι θεράπναι
δικλίδας, εὐτύκτοισιν ἀρηρεμένας σανίδεσσιν.
Ἔνθα μιν Ἰφινόη κλισμῷ ἐνὶ παμφανόωντι
ἐσσυμένως καλῆς διὰ παστάδος εἷσεν ἄγουσα
ἀντία δεσποίνης· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
παρθενικὰς ἐρύθηνε παρηΐδας· ἔμπα δὲ τόνγε
αἰδομένη μύθοισι προσέννεπεν αἱμυλίοισιν.
Ξεῖνε, τίη μίμνοντες ἐπὶ χρόνον ἔκτοθι πύργων
ἧσθ' αὔτως; ἐπεὶ οὐ μὲν ὑπ' ἀνδράσι ναίεται ἄστυ·

incessit, bis tanta autem *ejus* vestigia insecuta-est rupes.
Deinceps elaborata-erat promissis-crinibus Cytherea
Martis gestans agile scutum; ex ejus humero
cubitum ad sinistrum junctura soluta-erat tunicæ
infra sub mamma; adversa autem vere sic
æreo effigies in clypeo apparuit visenda.
Inerant porro boum herbosa pascua: de bobus vero
Teleboæ certabant et filii Electryonis;
hi quidem se-defendentes, at illi cupientes spoliare,
prædones Taphii; illorum quidem sanguine rigabatur pratum] roscidum, multi vero paucos vi-superarunt pastores.
In *ea* duæ bigæ elabaratæ-erant concertantes;
et priores quidem Pelops regebat quatiens
habenas, cumque eo erat in-curru-socia Hippodamia;
sed eum sequens-in-cursu Myrtilus agitabat equos:
quocum Œnomaus protensam hastam manu tenens
axe in modiolis sensim fracto
cecidit, quum-conaretur Pelopis terga transfodere.
In *ea* etiam Apollo Phœbus sagittans erat-effictus,
puer nondum grandis, suam trahentem calyptra
matrem audacter Tityum ingentem, quem quidem pepererat
divina Elara, aluerat vero et iterum enixa-erat Terra.
Inerat etiam Phrixus Minyeius, tamquam vere
audiens arietem, et hic loquenti similis (*aries*).
Illos intuens stupeas et fallas animum
sperans callidum quemdam ab iis *te* auditurum-esse
sermonem; quare diu *hac* spe *fretus* contempleris.
Tale igitur donum deæ Tritonidis erat Minervæ.
Dextra vero prehendit hastam longe-jaculantem, quam quidem Atalanta] in Mænalo quondam ei hospitii-munus donaverat,] benevole excipiens; admodum enim cupiebat interesse expeditioni; at enim ipse lubens prohibebat puellam, veritus difficiles contentiones amoris causa *suscitandas*.
Profectus vero est in urbem, splendenti stellæ similis,
quam quidem nuper-factis inclusæ thalamis
puellæ vident super ædibus emicantem,
*quæ*que ipsis cæruleum per aerem *conspecta* oculos oblectat
pulchre coruscans, lætatur vero et juvenem
virgo desiderans inter alienigenas versantem
viros, cui ipsam desponsatam diligenter-servant parentes.
Tali *stellæ* similis ante urbem per tramitem incessit heros.
Sed quum jam portas et urbem intrassent,
e-populo quidem a-tergo fremebant mulieres
lætatæ hospite; sed ipse in terram oculis defixis
perrexit intrepide, donec in splendidum palatium pervenisset
Hypsipylæ; aperuerant vero januas *ei* conspecto ancillæ
bifores, bene-constructis aptatas tabulis.
Tum eum Iphinoe in sella undique-splendente
celeriter pulchrum per cubiculum ductum collocavit
ex-adverso dominæ; hæc autem deorsum oculis demissis
virgineas rubefacta-est genas: attamen eum
pudibunda verbis allocuta-est blandis:
Hospes, cur commorantes diu extra mœnia
sedetis sic-temere? etenim non a viris habitatur urbs;

ἀλλὰ Θρηϊκίης ἐπινάστιοι ἠπείροιο
πυροφόρους ἀρόωσι γύας. Κακότητα δὲ πᾶσαν
ἐξερέω νημερτὲς, ἵν' εὖ γνοίητε καὶ αὐτοί.
Εὖτε Θόας ἀστοῖσι πατὴρ ἐμὸς ἐμβασίλευεν,
τηνίκα Θρηϊκίης, οἵ τ' ἀντία ναιετάουσιν,
δήμου ἀπορνύμενοι λαοὶ πέρθεσκον ἐπαύλους
ἐκ νηῶν, αὐτῇσι δ' ἀπείρονα ληΐδα κούραις
δεῦρ' ἄγον· οὐλομένης δὲ θεᾶς πορσύνετο μῆτις
Κύπριδος, ἥτε σφιν θυμοφθόρον ἔμβαλεν ἄτην.
Δὴ γὰρ κουριδίας μὲν ἀπέστυγον, ἐκ δὲ μελάθρων
ᾗ ματίῃ εἴξαντες ἀπεσσεύοντο γυναῖκας·
αὐτὰρ ληϊάδεσσι δορικτήταις παρίαυον,
σχέτλιοι. Ἦ μὲν δηρὸν ἐτέτλαμεν, εἴ κέ ποτ' αὖτις
ὀψὲ μεταστρέψωσι νόον· τὸ δὲ διπλόον αἰεὶ
πῆμα κακὸν προὔβαινεν. Ἀτιμάζοντο δὲ τέκνα
γνήσι' ἐνὶ μεγάροις, σκοτίη δ' ἀνέτελλε γενέθλη.
Αὔτως δ' ἀδμῆτές τε κόραι χῆραί τ' ἐπὶ τῇσιν
μητέρες ἂμ πτολίεθρον ἀτημελέως ἀλάληντο.
Οὐδὲ πατὴρ ὀλίγον περ ἑῆς ἀλέγιζε θυγατρὸς,
εἰ καὶ ἐν ὀφθαλμοῖσι δαϊζομένην ὁρόῳτο
μητρυιῆς ὑπὸ χερσὶν ἀτασθάλου· οὐδ' ἀπὸ μητρὸς
λώβην, ὡς τοπάροιθεν, ἀεικέα παῖδες ἄμυνον·
οὐδὲ κασιγνήτοισι κασιγνήτη μέλε θυμῷ.
Ἀλλ' οἶαι κοῦραι ληΐτιδες ἔν τε δόμοισιν
ἔν τε χοροῖς ἀγορῇ τε καὶ εἰλαπίνῃσι μέλοντο·
εἰσόκε τις θεὸς ἄμμιν ὑπέρβιον ἔμβαλε θάρσος,
ἂψ ἀνερχομένους Θρῃκῶν ἄπο μηκέτι πύργοις
δέχθαι, ἵν' ἢ φρονέοιεν ἅπερ θέμις, ἠέ πη ἄλλῃ
αὐταῖς ληϊάδεσσιν ἀφορμηθέντες ἵκοιντο.
Οἱ δ' ἄρα θεσσάμενοι παίδων γένος, ὅσσον ἔλειπτο
ἄρσεν ἀνὰ πτολίεθρον, ἔβαν πάλιν, ἔνθ' ἔτι νῦν περ
Θρηϊκίης ἄροσιν χιονώδεα ναιετάουσιν.
Τῷ ὑμεῖς στρωφᾶσθ' ἐπιδήμιοι· εἰ δέ κεν αὖθι
ναιετάειν ἐθέλοις καί τοι ἅδοι, ἦ τ' ἂν ἔπειτα
πατρὸς ἐμοῖο Θόαντος ἔχοις γέρας· οὐδέ τί σ' οἴω
γαῖαν ὀνόσσεσθαι· πέρι γὰρ βαθυλήϊος ἄλλων
νήσων, Αἰγαίῃ ὅσαι εἰν ἁλὶ ναιετάουσιν.
Ἀλλ' ἄγε νῦν ἐπὶ νῆα κιὼν ἑτάροισιν ἔνισπε
μύθους ἡμετέρους, μηδ' ἔκτοθι μίμνε πόληος·
Ἴσκεν ἀμαλδύνουσα φόνου τέλος, οἷον ἐτύχθη
ἀνδράσιν· αὐτὰρ ὁ τήνγε παραβλήδην προσέειπεν.
Ὑψιπύλη, μάλα κεν θυμηδέος ἀντιάσαιμεν
χρησμοσύνης, ἣν ἄμμι σέθεν χατέουσιν ὀπάζεις.
Εἶμι δ' ὑπότροπος αὖθις ἀνὰ πτόλιν, εὖτ' ἂν ἕκαστα
ἐξείπω κατὰ κόσμον. Ἀνακτορίη δὲ μελέσθω
σοί τ' αὐτῇ καὶ νῆσος· ἔγωγε μὲν οὐκ ἀθερίζων
χάζομαι, ἀλλά με λυγροὶ ἐπισπέρχουσιν ἄεθλοι.
Ἦ καὶ δεξιτερῆς χειρὸς θίγεν· αἶψα δ' ὀπίσσω
βῆ ῥ' ἴμεν, ἀμφὶ δὲ τόνγε νεήνιδες ἄλλοθεν ἄλλαι
μυρίαι εἱλίσσοντο κεχαρμέναι, ὄφρα πυλάων
ἐξέμολεν· μετέπειτα δ' ἐϋτροχάλοισιν ἁμάξαις
ἀκτὴν εἰσανέβαν ξεινήϊα πολλὰ φέρουσαι,
μῦθον ὅτ' ἤδη πάντα διηνεκέως ἀγόρευσεν,
τόν ῥα καλεσσαμένη διεπέφραδεν Ὑψιπύλεια·

verum Thraciæ, suis-sedibus relictis, continentis
frugifera arant arva. Calamitatem vero omnem
enarrabo vere, ut bene cognoscatis et ipsi.
Cum civibus Thoas, pater meus, imperaret,
tum Thraciæ, qui ex-adverso habitant,
e-patria prorumpentes populi vastarunt caulas (*villas*)
ex navibus, cum-ipsis vero immensam prædam puellis
huc duxerunt; perniciosæ vero deæ perficiebatur sententia
Cypridis, quæ iis pestiferum inspirabat scelus.
Nam uxores quidem aversati-sunt, ex ædibus autem
suæ dementiæ obsecuti exegerunt mulieres;
sed mulieribus captis-bello concubuerunt
miseri. Sane diu pertulimus, si forte rursus
sero convertant mentem; sed duplum continuo
malum pestiferum progressum-est: contemnebantur liberi
genuini in ædibus, spuriaque progerminavit soboles.
Sic vero et innuptæ puellæ et viduæ cum his
matres per urbem negligenter vagabantur:
nec pater tantillum quidem suam curabat filiam,
si vel *suis* oculis laniatam videret
novercæ manibus impiæ: neque a matre
injuriam, ut olim, indignam filii arcebant;
nec fratribus soror curæ-erat cordique.
Sed solæ puellæ captivæ et in ædibus,
et in choris, et *in* concione, et *in* conviviis curabantur;
donec deus quis nobis magnos immisit animos,
ut reversos a Thracibus *maritos* non-amplius mœniis
exciperemus, quo aut sentirent, quæ fas *est*, aut alio
cum-ipsis captivis-puellis profecti abirent.
Illi vero, postulatis liberis, quotquot reliqui-erant
masculi in urbe, abierunt rursus *eo*, ubi etiam nunc
Thraciæ arva nivosa incolunt.
Quare vos versemini *hic* populo-nostro-adscripti; si vero hic
habitare volueris, et tibi placuerit, sane deinde
patris mei Thoantis habebis honorem; neque te puto
terram reprehensurum-esse: multo enim fertilior est aliis
insulis, Ægæo quotquot in mari habitantur.
Itaque age nunc ad navem profectus sociis expone
sermones nostros, neve extra urbem mane.
Dixit, celans cædis exitum, quæ commissa-erat
in-maritos: at ille ipsam vicissim allocutus-est:
Hypsipyle, admodum grata accipiemus
subsidia, quæ nobis, tua-ope egentibus, suppeditas.
Reversurus vero sum iterum in urbem, cum singula
exposuero rite. Imperium vero curæ-sit
tibi ipsi atque insula; ego quidem non spernens
recuso, sed me dura urgent certamina.
Dixit, et dextram *ejus* manum prehendit: statim vero retro
abiit, circaque ipsum puellæ aliunde aliæ
innumeræ volvebantur lætatæ, dum portis
exiisset; tum vero velocibus rhedis
ad-littus descenderunt, hospitalia-dona multa afferentes,
sermonem ubi *ille* jam omnem accurate enarraverat,
quem quidem invitans *eos* habuerat Hypsipylea;

καὶ δ' αὐτοὺς ξεινοῦσθαι ἐπὶ σφέα δώματ' ἄγεσκον
ῥηϊδίως. Κύπρις γὰρ ἐπὶ γλυκὺν ἵμερον ὦρσεν
Ἡφαίστοιο χάριν πολυμήτιος, ὄφρα κεν αὖτις
ναίηται μετόπισθεν ἀκήρατος ἀνδράσι Λῆμνος.
Ἔνθ' ὁ μὲν Ὑψιπύλης βασιλήϊον ἐς δόμον ὦρτο
Αἰσονίδης· οἱ δ' ἄλλοι ὅπῃ καὶ ἔκυρσαν ἕκαστος,
Ἡρακλῆος ἄνευθεν, ὁ γὰρ παρὰ νηῒ λέλειπτο
αὐτὸς ἑκὼν, παῦροί τε διακρινθέντες ἑταῖροι.
Αὐτίκα δ' ἄστυ χοροῖσι καὶ εἰλαπίνῃσι γεγήθει,
καπνῷ κνισσήεντι περίπλεον· ἔξοχα δ' ἄλλων
ἀθανάτων Ἥρης υἷα κλυτὸν ἠδὲ καὶ αὐτὴν
Κύπριν ἀοιδῇσιν θυέεσσί τε μειλίσσοντο.
Ἀμβολίη δ' εἰς ἦμαρ ἀεὶ ἐξ ἤματος ἦεν
ναυτιλίης· δηρὸν δ' ἂν ἐλίνυον αὖθι μένοντες,
εἰ μὴ ἀολλίσσας ἑτάρους ἀπάνευθε γυναικῶν
Ἡρακλέης τοίοισιν ἐνιπτάζων μετέειπεν.
Δαιμόνιοι, πάτρης ἐμφύλιον αἷμ' ἀποέργει
ἡμέας; ἠὲ γάμων ἐπιδευέες ἐνθάδ' ἔβημεν
κεῖθεν ὀνοσσάμενοι πολιήτιδας; Αὖθι δ' ἕαδεν
ναίοντας λιπαρὴν ἄροσιν Λήμνοιο ταμέσθαι;
Οὐ μὰν εὐκλειεῖς γε σὺν ὀθνείῃσι γυναιξὶν
ἐσσόμεθ' ὧδ' δηρὸν ἐελμένοι· οὐδέ τι κῶας
αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.
Ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα· τὸν δ' ἐνὶ λέκτροις
Ὑψιπύλης εἰᾶτε πανήμερον, εἰσόκε Λῆμνον
παισὶν ἐσανδρώσῃ μεγάλη τέ ἑ βάξις ἵκηται.
Ὣς νείκεσσεν ὅμιλον· ἐναντία δ' οὔ νύ τις ἔτλη
ὄμματ' ἀνασχεθέειν, οὐδὲ προτιμυθήσασθαι·
ἀλλ' αὔτως ἀγορῆθεν ἐπαρτίζοντο νέεσθαι
σπερχόμενοι. Ταὶ δέ σφιν ἐπέδραμον, εὖτ' ἐδάησαν.
Ὡς δ' ὅτε λείρια καλὰ περιβρομέουσι μέλισσαι
πέτρης ἐκχύμεναι σιμβληΐδος, ἀμφὶ δὲ λειμὼν
ἑρσήεις γάνυται, ταὶ δὲ γλυκὺν ἄλλοτε ἄλλον
καρπὸν ἀμέργουσιν πεποτημέναι· ὣς ἄρα ταί γε
ἐνδυκὲς ἀνέρας ἀμφὶ κινυρόμεναι προχέοντο·
χερσί τε καὶ μύθοισιν ἐδεικανόωντο ἕκαστον,
εὐχόμεναι μακάρεσσιν ἀπήμονα νόστον ὀπάσσαι.
Ὣς δὲ καὶ Ὑψιπύλη ἠρήσατο χεῖρας ἑλοῦσα
Αἰσονίδεω, τὰ δέ οἱ ῥέε δάκρυα χήτει ἰόντος.
Νίσσεο, καὶ σὲ θεοὶ σὺν ἀπήμοσιν αὖτις ἑταίροις
χρύσειον βασιλῆϊ δέρος κομίσειαν ἄγοντα
αὔτως, ὡς ἐθέλεις καί τοι φίλον· ἥδε δὲ νῆσος
σκῆπτρά τε πατρὸς ἐμοῖο παρέσσεται, ἢν καὶ ὀπίσσω
δή ποτε νοστήσας ἐθέλῃς ἄψορρον ἱκέσθαι.
Ῥηϊδίως δ' ἂν τοι καὶ ἀπείρονα λαὸν ἀγείραις
ἄλλων ἐκ πολίων· ἀλλ' οὐ σύ γε τήνδε μενοινὴν
σχήσεις, οὔτ' αὐτὴ προτιόσσομαι ὧδε τελεῖσθαι.
Μνώεο μὴν ἀπεὼν περ ὁμῶς καὶ νόστιμος ἤδη
Ὑψιπύλης· λίπε δ' ἧμιν ἔπος, τό κεν ἐξανύσαιμι
πρόφρων, ἢν ἄρα δή με θεοὶ δώωσι τεκέσθαι.
Τὴν δ' αὖτ' Αἴσονος υἱὸς ἀγαιόμενος προσέειπεν.
Ὑψιπύλη, τὰ μὲν οὕτω ἐναίσιμα πάντα γένοιτο
ἐκ μακάρων· τύνη δ' ἐμέθεν πέρι θυμὸν ἀρείω
ἴσχαν', ἐπεὶ πάτρην μοι ἅλις Πελίαο ἕκητι

atque ipsos ut-deverterent in suas domos, impulerunt
facile. Cypris enim dulcem amorem instillaverat,
Vulcani gratia solertis, ut denuo
inhabitaretur in-posterum integra viris Lemnus.
Tum ipse quidem Hypsipylæ regiam in domum profectus-
est] Æsonides; at reliqui, quo forte-pervenit quisque,
præter Herculem; is enim apud navem relinquebatur
ipse lubens, et pauci selecti commilitones.
Statim vero urbs choris et epulis exhilarata-est,
fumo odorato plena; præ aliis vero
immortalibus Junonis filium inclytum (*Vulcanum*) atque
ipsam] Venerem cantu et sacris placarunt.
Dilatio autem in diem semper ex die erat
navigationis; diuque cessassent ibi commorantes,
nisi convocatos socios seorsum a-mulieribus
Hercules talibus *verbis* increpans esset-allocutus :
Miseri, patriane domesticus sanguis (*cædes*) arcet
nos? an nuptiis indigentes huc venimus
inde, spretis civitatis-nostræ-feminis? Hic igitur placet
habitantes pinguia arva Lemni scindere?
Non profecto celebres cum peregrinis mulieribus
erimus tam diu conjuncti; nec vellus
ultro dabit quis arreptum deus precantibus.
Revertamur quisque domum : illum vero in lecto
Hypsipylæ sinite *manere* totos-dies, donec Lemnum
filiis frequentaverit, magnaque ad-eum fama pervenerit.
Sic objurgavit cœtum; neque contra quisquam ausus-est
oculos attollere, neque alloqui;
verum sic-ut-erant e-concione pararunt abitum
festinantes. Sed illæ (*Lemniæ*) iis accurrerunt, ubi intellexe-
rant.] Ut vero quando lilia pulchra circumstrepunt apes
e rupe effusæ, quæ-alvearis-loco-est, undique vero pratum
roscidum ridet, illæque dulcem aliunde alium
fructum delibant volantes : sic igitur hæ
diligenter viros queribundæ circumfuderunt,
manibusque et verbis salutarunt singulos,
precantes deos, securum reditum ut-largirentur.
Sic vero etiam Hypsipyle precata-est, manus prehendens
Æsonidæ, atque ei effusæ-sunt lacrimæ desiderio abeuntis.
Abi, *inquit*, et te dii cum salvis retro sociis
aureum regi vellus reducant afferentem
sic ut lubet tibique gratum *est* : hæc vero insula
et sceptra patris mei *ad te* pertinebunt, si etiam posthac
aliquando reversus volueris retro venire.
Facile vero tibi vel infinitum populum colliges
aliis ex urbibus; at tu quidem non eum animum
habebis, neque ipsa prævideo ita eventurum-esse.
Memento tamen absens æque ac reversus jam
Hypsipylæ; relinque vero nobis mandatum, quod perficiam
lubens, si quidem dii concesserint ut-pariam.
Eam contra Æsonis filius admirans allocutus est :
Hypsipyle, hæc quidem sic feliciter omnia eveniant
diis volentibus : tu vero de me sententiam meliorem
tene, quoniam patriam mihi satis *est*, Pelia concedente,

Ἦ ῥα καὶ εἰς ἔργον πρῶτος τράπεθ'· οἱ δ' ἐπανέ-
πειθόμενοι· ἀπὸ δ' εἵματ' ἐπήτριμα νηήσαντο [σταν
λείῳ ἐπὶ πλαταμῶνι, τὸν οὐχ ἐπέβαλλε θάλασσα
κύμασι, χειμερίη δὲ πάλαι ἀποέκλυσεν ἅλμη.
Νῆα δ' ἐπικρατέως Ἄργου ὑποθημοσύνῃσιν
ἔζωσαν πάμπρωτον ἐϋστρεφεῖ ἔνδοθεν ὅπλῳ
τεινάμενοι ἑκάτερθεν, ἵν' εὖ ἀραροίατο γόμφοις
δούρατα καὶ ῥοθίοιο βίην ἔχοι ἀντιόωσαν.
Σκάπτον δ' αἶψα κατ' εὖρος, ὅσον περιβάλλετο χῶρος,
ἠδὲ κατὰ πρώρην εἴσω ἁλὸς, ὁσσάτιόν περ
ἑλκομένη χείρεσσιν ἐπιδραμέεσθαι ἔμελλεν.
Αἰεὶ δὲ προτέρω χθαμαλώτερον ἐξελάχαινον
στείρης, ἐν δ' ὁλκῷ ξεστὰς στορέσαντο φάλαγγας·
τὴν δὲ κατάντη κλῖναν ἐπὶ πρώτῃσι φάλαγξιν,
ὥς κεν ὀλισθαίνουσα δι' αὐτάων φορέοιτο.
Ὕψι δ' ἄρ' ἔνθα καὶ ἔνθα μεταστρέψαντες ἐρετμὰ
πηχύϊον προὔχοντα περὶ σκαλμοῖσιν ἔδησαν.
Τῶν δ' ἐναμοιβαδὶς αὐτοὶ ἐνέσταθεν ἀμφοτέρωθεν,
στέρνα θ' ὁμοῦ καὶ χεῖρας ἐπήλασαν. Ἐν δ' ἄρα Τί-
βήσαθ', ἵν' ὀτρύνειε νέους κατὰ καιρὸν ἐρύσσαι· [φυς
κεκλόμενος δ' ἤϋσε μάλα μέγα· τοὶ δὲ παρᾶσσον
ᾧ κράτεϊ βρίσαντες ἰῇ στυφέλιξαν ἐρωῇ
νειόθεν ἐξ ἕδρης, ἐπὶ δ' ἐῤῥώσαντο πόδεσσιν
προπροβιαζόμενοι· ἡ δ' ἕσπετο Πηλιὰς Ἀργὼ
ῥίμφα μάλ'· οἱ δ' ἑκάτερθεν ἐπίαχον ἀΐσσοντες.
Αἱ δ' ἄρ' ὑπὸ τρόπιδι στιβαρῇ στενάχοντο φάλαγγες
τριβόμεναι· περὶ δέ σφιν ἀϊδνὴ κήκιε λιγνὺς
βριθοσύνῃ, κατόλισθε δ' ἔσω ἁλός· οἱ δέ μιν αὖθι
ἂψ ἀνασειράζοντες ἔχον προτέρωσε κιοῦσαν.
Σκαλμοῖς δ' ἀμφὶς ἐρετμὰ κατήρτυον· ἐν δέ οἱ ἱστὸν
λαίφεά τ' εὐποίητα καὶ ἁρμαλίην ἐβάλοντο.

Αὐτὰρ ἐπεὶ τὰ ἕκαστα περιφραδέως ἀλέγυναν,
κληΐδας μὲν πρῶτα πάλῳ διεμοιρήσαντο,
ἄνδρ' ἐντυναμένω δοιὼ μίαν· ἐκ δ' ἄρα μέσσην
ᾕρεον Ἡρακλῆϊ καὶ ἡρώων ἄτερ ἄλλων
Ἀγκαίῳ, Τεγέης ὅς ῥα πτολίεθρον ἔναιεν.
Τοῖς μέσσην οἴοισιν ἀπὸ κληῖδα λίποντο
αὔτως, οὔ τι πάλῳ· ἐπὶ δ' ἔτρεπον αἰνήσαντες
Τῖφυν ἐϋστείρης οἰήϊα νηὸς ἔρυσθαι.

Ἔνθεν δ' αὖ λάϊγγας ἁλὸς σχεδὸν ὀχλίζοντες
νήεον αὐτόθι βωμὸν ἐπάκτιον Ἀπόλλωνος,
Ἀκτίου Ἐμβασίοιό τ' ἐπώνυμον· ὦκα δὲ τοί γε
φιτροὺς ἀζαλέης στόρεσαν καθύπερθεν ἐλαίης.
Τείως δ' αὖτ' ἀγέληθεν ἐπιπροέηκαν ἄγοντες
βουκόλοι Αἰσονίδαο δύω βόε. Τοὺς δ' ἐρύσαντο
κουρότεροι ἑτάρων βωμοῦ σχεδόν. Οἱ δ' ἄρ' ἔπειτα
χέρνιβά τ' οὐλοχύτας τε παρέσχεθον. Αὐτὰρ Ἰήσων
εὔχετο κεκλόμενος πατρώϊον Ἀπόλλωνα.

Κλῦθι ἄναξ, Παγασάς τε πόλιν τ' Αἰσωνίδα ναίων
ἡμετέροιο τοκῆος ἐπώνυμον, ὅς μοι ὑπέστης
Πυθοῖ χρειομένῳ ἄνυσιν καὶ πείραθ' ὁδοῖο
σημανέειν, αὐτὸς γὰρ ἐπαίτιος ἔπλευ ἀέθλων·
αὐτὸς νῦν ἄγε νῆα σὺν ἀρτεμέεσσιν ἑταίροις [σω
κεῖσέ τε καὶ παλίνορσον ἐς Ἑλλάδα. Σοὶ δ' ἂν ὀπίσ-

Dixit et ad opus primus se-convertit: illi vero surrexerunt
obsequentes: vestimenta autem conferta accumularunt
lævi in saxo, ad-quod non alludebat mare
fluctibus, hiberna vero olim abluerat aqua-marina.
Navem vero valide, Argi suasu,
constrinxerunt primum-omnium bene-torto intus fune,
extenso utrinque, ut bene compingerentur clavis
trabes, et undarum vim sustinerent resistentem.
Foderunt autem statim in latitudinem, quantum occupavit
locum,] et secundum proram intra mare, quantum quidem
tracta manibus procursura erat.
Semper vero *quo* longius, *eo* depressius effoderunt
carina, in sulco vero dolatas straverunt palangas:
illam vero (*navem*) declivem inclinarunt in primas palangas,
ut sensim-labens per eas ferretur.
Sursum igitur ab utroque latere cum-vertissent remos,
lorum prominens scalmis alligarunt:
inter quos alternatim ipsi steterunt ex-utraque-parte
pectoraque simul et manus adegerunt. Verum Tiphys
ingressus-erat, ut incitaret juvenes, opportune ut-traherent;
cohortans vero clamavit admodum valde; illi autem celeriter
suo robore urgentes uno protruserunt impetu
ex ima sede; nitebanturque pedibus
cum-vi-protrahentes: sequebatur vero Peliaca Argo
celerrime; illi autem utrimque acclamabant propellentes.
At sub carina gravi gemebant palangæ
attritæ; circa eas vero ater excitabatur fumus
pondere *navis;* delapsa autem (*navis*) est in mare: sed illi
eam rursus] retro trahentes prohibuerunt, longius ne-abiret.
Scalmis tum utrimque remos adaptarunt, *navi* autem malum
velaque bene-facta et annonam imposuerunt.

Sed postquam singula perite curaverunt,
transtra quidem primum sorte diviserunt,
viri ut-adornarent bini unum; sed medium
elegerunt Herculi, et heroibus præ aliis
Ancæo, Tegeæ qui urbem incoluit.
His medium solis transtrum reliquerunt
sic, sine sortitione: permiserunt vero consentientes
Tiphyi bene-carinatæ gubernacula navis tractanda.

Deinde lapidibus prope mare devolutis
exstruxerunt ibi aram littoralem Apollinis
Actii Embasiique dictam: celeriter vero illi
ramos aridæ straverunt super *eam* olivæ.
Interea vero ex-grege propulerunt actos
bubulci Æsonidæ duo boves; quos traxerunt
juniores sociorum ad aram. Illi deinde
malluviaque molasque præbuerunt. At Jason
precatus-est invocans paternum Apollinem:

Audi, rex, Pagasasque urbemque Æsonidem incolens,
nostri patris cognominem, qui mihi pollicitus-es
Delphis sciscitanti, *te* perfectionem et finem itineris
edocturum-esse, ipse enim auctor eras laborum:
ipse jam duc navem cum salvis sociis
et illuc et retro in Græciam! Tibi vero postea

τόσσων, ὅσσοι κεν νοστήσομεν, ἀγλαὰ ταύρων
ἱρὰ πάλιν βωμῷ ἐπιθήσομεν· ἄλλα δὲ Πυθοῖ,
ἄλλα δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσω.
Νῦν δ' ἴθι καὶ τήνδ' ἡμὶν, Ἑκηβόλε, δέξο θυηλὴν,
ἥν τοι τῆσδ' ἐπίβαθρα χάριν προτεθείμεθα νηὸς
πρωτίστην· λύσαιμι δ', ἄναξ, ἐπ' ἀπήμονι μοίρῃ
πείσματα σὴν διὰ μῆτιν· ἐπιπνεύσειε δ' ἀήτης
μείλιχος, ᾧ κ' ἐπὶ πόντον ἐλευσόμεθ' εὐδιόωντες.
Ἦ καὶ ἅμ' εὐχωλῇ προχύτας βάλε. Τὼ δ' ἐπὶ βου-
ζωσάσθην, Ἀγκαῖος ὑπέρβιος Ἡρακλέης τε. [σὶν
Ἤτοι ὁ μὲν ῥοπάλῳ μέσσον κάρη ἀμφὶ μετώπῳ
πλῆξεν, ὁ δ' ἀθρόος αὖθι πεσὼν ἐνερείσατο γαίῃ·
Ἀγκαῖος δ' ἑτέροιο κατὰ πλατὺν αὐχένα κόψας
χαλκείῳ πελέκει κρατεροὺς διέκερσε τένοντας·
ἤριπε δ' ἀμφοτέροισι περιῤῥηδὴς κεράεσσιν.
Τοὺς δ' ἕταροι σφάξάν τε θοῶς δεῖράν τε βοείας,
κόπτον δαίτρευόν τε καὶ ἱερὰ μῆρ' ἐτάμοντο,
κὰδ δ' ἄμυδις τά γε πάντα καλύψαντες πύκα δημῷ
καῖον ἐπὶ σχίζῃσιν· ὁ δ' ἀκρήτους χέε λοιβὰς
Αἰσονίδης, γήθει δὲ σέλας θηεύμενος Ἴδμων
πάντοσε λαμπόμενον θυέων ἄπο, τοῖό τε λιγνὺν
πορφυρέαις ἑλίκεσσιν ἐναίσιμον ἀΐσσουσαν·
αἶψα δ' ἀπηλεγέως νόον ἔκφατο Λητοΐδαο.
Ὑμῖν μὲν δὴ μοῖρα θεῶν χρειώ τε περῆσαι
ἐνθάδε κῶας ἄγοντας· ἀπειρέσιοι δ' ἐνὶ μέσσῳ
κεῖσέ τε δεῦρό τ' ἔασιν ἀνερχομένοισιν ἄεθλοι.
Αὐτὰρ ἐμοὶ θανέειν στυγερῇ ὑπὸ δαίμονος αἴσῃ
τηλόθι που πέπρωται ἐπ' Ἀσίδος ἠπείροιο.
Ὧδε κακοῖς δεδαὼς ἔτι καὶ πάρος οἰωνοῖσιν
πότμον ἐμὸν πάτρης ἐξήϊον, ὄφρ' ἐπιβαίην
νηὸς, ἐϋκλείη δὲ δόμοις ἐπιβάντι λίπηται.
Ὣς ἄρ' ἔφη· κοῦροι δὲ θεοπροπίης ἀΐοντες
νόστῳ μὲν γήθησαν, ἄχος δ' ἕλεν Ἴδμονος αἴσῃ.
Ἦμος δ' ἠέλιος σταθερὸν παραμείβεται ἦμαρ,
αἱ δὲ νέον σκοπέλοισιν ὑποσκιόωνται ἄρουραι
δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο,
τῆμος ἄρ' ἤδη πάντες ἐπὶ ψαμάθοισι βαθεῖαν
φυλλάδα χευάμενοι πολιοῦ πρόπαρ αἰγιαλοῖο
κέκλινθ' ἑξείης· παρὰ δέ σφισι μυρί' ἔκειτο
εἴδατα καὶ μέθυ λαρὸν, ἀφυσσαμένων προχόῃσιν
οἰνοχόων· μετέπειτα δ' ἀμοιβαδὶς ἀλλήλοισιν
μυθεῦνθ', οἷά τε πολλὰ νέοι παρὰ δαιτὶ καὶ οἴνῳ
τερπνῶς ἑψιόωνται, ὅτ' ἄατος ὕβρις ἀπείη.
Ἔνθ' αὖτ' Αἰσονίδης μὲν ἀμήχανος εἰν ἑοῖ αὐτῷ
πορφύρεσκεν ἕκαστα κατηφιόωντι ἐοικώς·
τὸν δ' ἄρ' ὑποφρασθεὶς μεγάλῃ ὀπὶ νείκεσεν Ἴδας.
Αἰσονίδη, τίνα τήνδε μετὰ φρεσὶ μῆτιν ἑλίσσεις;
αὔδα ἐνὶ μέσσοισι τεὸν νόον. Ἦέ σε δαμνᾷ
τάρβος ἐπιπλόμενον, τό τ' ἀνάλκιδας ἄνδρας ἀτύζει;
Ἴστω νῦν δόρυ θοῦρον, ὅτῳ περιώσιον ἄλλων
κῦδος ἐνὶ πτολέμοισιν ἀείρομαι, οὐδέ μ' ὀφέλλει
Ζεὺς τόσον, ὁσσάτιόν περ ἐμὸν δόρυ, μή νύ τι πῆμα
λοίγιον ἔσσεσθαι μηδ' ἀκράαντον ἄεθλον
Ἴδεω ἑσπομένοιο, καὶ εἰ θεὸς ἀντιόῳτο.

tam-multorum, quam-multi reversi-erimus, eximias taurorum] victimas iterum aræ imponemus; alia vero Delphis, alia ad Ortygiam infinita dona feram.
Nunc age, et hoc *a* nobis, Longe-jaculans, accipe sacrum, hujus quod quidem naulum gratia obtulimus navis primum : solverim vero, rex, felici fato retinacula, tuo consilio : afflet aura benigna, qua per mare navigemus, serena-tempestate-usi.

Dixit, et una-cum precibus molas effudit : sed ad boves *mactandos*] accinxerunt-se Ancæus prævalidus et Hercules : et hic quidem clava medium caput *unius bovis* circa frontem percussit, qui totus statim lapsus prostratus-est in terram; Ancæus vero alterius (*bovis*) lata cervice percussa ænea securi firmos discidit tendines; procubuit vero utroque impactus cornu. Eos vero socii mactarunt celeriter, et detraxerunt pelles; dissecuerunt diviseruntque-frustatim et sacra femora resecuerunt,] et una omnia cum-cooperuissent densa adipe, combusserunt lignis-fissis : ipse vero pura fudit libamina Æsonides, lætatus-est vero flammam cernens Idmon undique splendere e sacrificio ejusque fumum purpureis orbibus faustum surgere; statim igitur intrepide mentem exposuit Apollinis :

Vobis quidem jam fatum deorum et necessitas *est* redire huc cum vellere : infiniti tamen interea et illic et huc revertentibus sunt labores. Sed mihi mori tristi dei fato procul alicubi destinatum-est, in Asiæ continente : Sic malis edoctus etiam antea auguriis de mea sorte, *tamen* e-patria exii, ut ingrederer navem, gloria vero domi *mihi* ingresso relinqueretur.

Sic igitur dixit; juvenes vero, oraculo audito, de-reditu quidem lætati-sunt; sed dolor *eos* occupavit Idmonis ob-fatum.] Quo tempore vero sol calidum præterit diem (*meridiem*), sed ipsa jam rupibus obumbrantur arva,] vespertinas declinante ad tenebras sole, tum jam omnes in arena profundo foliorum-toro strato canum ad littus discubuerunt ex-ordine; ipsis vero plurimi appositi-erant cibi et vinum suave, *quod* hauriebant œnophoris pocillatores : deinde mutuo inter-se confabulabantur, qualia multa juvenes inter epulas et vinum suaviter jocantur, cum perniciosa petulantia abfuerit. Tum vero Æsonides quidem, nescius-quid-ageret, secum ipso sollicitus-cogitabat omnia, mœsto *homini* similis : eum igitur, sentiens *hoc*, magna voce objurgavit Idas :

Jason, quale hoc *tuo* animo consilium volvis? Dic inter medios *nos* tuam mentem. Tene subigit metus irruens, qui imbelles viros perterret? Testetur jam hasta penetrans, qua majorem quam alii gloriam in præliis reporto (neque enim me juvat Jupiter tantum, quantum mea hasta), nullam plane cladem exitialem fore, neque imperfectum certamen, Ida comitante, si vel deus adversatus-fuerit.

Τοῖόν μ' Ἀρήνηθεν ἀοσσητῆρα κομίζεις.
Ἦ καὶ ἐπισχόμενος πλεῖον δέπας ἀμφοτέρῃσιν
πῖνε χαλίκρητον λαρὸν μέθυ· δεύετο δ' οἴνῳ
χείλεα κυάνεαί τε γενειάδες· οἱ δ' ὁμάδησαν
πάντες ὁμῶς, Ἴδμων δὲ καὶ ἀμφαδίην ἀγόρευσεν.
Δαιμόνιε, φρονέεις ὀλοφώϊα καὶ πάρος αὐτῷ.
Ἠέ τοι εἰς ἄτην ζωρὸν μέθυ θαρσαλέον κῆρ
οἰδάνει ἐν στήθεσσι, θεοὺς δ' ἀνέηκεν ἀτίζειν;
Ἄλλοι μῦθοι ἔασι παρήγοροι, οἷσί περ ἀνὴρ
θαρσύνοι ἕταρον· σὺ δ' ἀτάσθαλα πάμπαν ἔειπας.
Τοῖα φάτις καὶ τοὺς πρὶν ἐπιφλύειν μακάρεσσιν
υἷας Ἀλωϊάδας, οἷς οὐδ' ὅσον ἰσοφαρίζεις
ἠνορέην· ἔμπης δὲ θοοῖς ἐδάμησαν ὀϊστοῖς
ἄμφω Λητοΐδαο καὶ ἴφθιμοί περ ἐόντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσεν ἄδην Ἀφαρήϊος Ἴδας,
καί μιν ἐπιλλίζων ἠμείβετο κερτομίοισιν.
Ἄγρει νῦν τόδε σῇσι θεοπροπίῃσιν ἔνισπε,
εἰ καὶ ἐμοὶ τοιόνδε θεοὶ τελέουσιν ὄλεθρον,
οἷον Ἀλωϊάδῃσι πατὴρ τεὸς ἐγγυάλιξεν·
φράζεο δ' ὅππως χεῖρας ἐμὰς σόος ἐξαλέοιο,
χρειὼ θεσπίζων μεταμώνιον εἴ κεν ἁλώῃς.
Χώετ' ἐνιπτάζων· προτέρω δέ κε νεῖκος ἐτύχθη,
εἰ μὴ δηριόωντας ὁμοκλήσαντες ἑταῖροι
αὐτός τ' Αἰσονίδης κατερήτυεν· ἂν δὲ καὶ Ὀρφεὺς
λαιῇ ἀνασχόμενος κίθαριν πείραζεν ἀοιδῆς.
Ἤειδεν δ' ὡς γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα,
τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῇ συναρηρότα μορφῇ,
νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα·
ἠδ' ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
ἄστρα σεληναίη τε καὶ ἠελίοιο κέλευθοι·
οὔρεά θ' ὡς ἀνέτειλε, καὶ ὡς ποταμοὶ κελάδοντες
αὐτῇσιν Νύμφῃσι καὶ ἑρπετὰ πάντα γένοντο.
Ἤειδεν δὲ ὡς πρῶτον Ὀφίων Εὐρυνόμη τε
Ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο,
ὥς τε βίῃ καὶ χερσὶν ὁ μὲν Κρόνῳ εἴκαθε τιμῆς,
ἡ δὲ Ῥέῃ, ἔπεσον δ' ἐνὶ κύμασιν Ὠκεανοῖο·
οἱ δὲ τέως μακάρεσσι θεοῖς Τιτῆσιν ἄνασσον,
ὄφρα Ζεὺς ἔτι κοῦρος, ἔτι φρεσὶ νήπια εἰδώς,
Δικταῖον ναίεσκεν ὑπὸ σπέος· οἱ δέ μιν οὔπω
Γηγενέες Κύκλωπες ἐκαρτύναντο κεραυνῷ
βροντῇ τε στεροπῇ τε· τὰ γὰρ Διὶ κῦδος ὀπάζει.
Ἦ καὶ ὁ μὲν φόρμιγγα σὺν ἀμβροσίῃ σχέθεν
Τοὶ δ' ἄμοτον λήξαντος ἔτι προὔχοντο κάρηνα [αὐδῇ.
πάντες ὁμῶς ὀρθοῖσιν ἐπ' οὔασιν ἠρεμέοντες
κηληθμῷ· τοίην σφιν ἐνέλλιπε θελκτὺν ἀοιδῆς.
Οὐδ' ἐπὶ δὴν μετέπειτα κερασσάμενοι δὴ λοιβὰς,
ᾗ θέμις ἐστὶ, τέως ἐπί τε γλώσσῃσι χέοντο
αἰθομέναις, ὕπνου δὲ διὰ κνέφας ἐμνώοντο.
Αὐτὰρ ὅτ' αἰγλήεσσα φαεινοῖς ὄμμασιν Ἠὼς
Πηλίου αἰπεινὰς ἴδεν ἄκριας, ἐκ δ' ἀνέμοιο
εὔδιοι ἐκλύζοντο τινασσομένης ἁλὸς ἄκραι,
δὴ τότ' ἀνέγρετο Τῖφυς· ἄφαρ δ' ὀρόθυνεν ἑταίρους
βαινέμεναί τ' ἐπὶ νῆα καὶ ἀρτύνεσθαι ἐρετμά.
Σμερδαλέον δὲ λιμὴν Παγασήϊος ἠδὲ καὶ αὐτὴ

Talem me ex-Arena adjutorem tecum-ducis.
Dixit, et tenens plenum poculum utraque manu
bibit merum dulce vinum : rigabantur vero vino
labra nigraque barba : illi (*socii*) obstrepebant
omnes una, Idmon vero etiam aperte locutus-est :
Miser, cogitasti perniciosa et antea *tibi* ipsi :
an tibi in exitium vinum meracum audacem animum
turgere-facit intus, et ad deos compulit spernendos?
Alia sunt alloquia, quibus quidem aliquis
confirmet alterum : tu vero improba omnino locutus-es.
Talia, fama *fert*, et olim deblaterasse adversus deos
filios Aloei, quos ne tantillum quidem æquas
fortudine : tamen velocibus domiti-sunt sagittis
ambo Apollinis, quamvis fortes essent.
Sic fatus-est : sed risit valde Aphareïus Idas
et ipsi oculis-innuens respondit acerba-oratione :
Age, nunc hoc tuis oraculis indica,
num mihi etiam tale dii paraturi-sint exitium,
quale Aloeadis pater tuus creavit :
vide vero, quomodo manus meas salvus effugias,
oraculum edens vanum si deprehensus-fueris.
Exarsit increpans; longius vero rixa processisset
nisi concertantes graviter-monuissent socii,
et ipse Æsonides cohibuisset; at etiam Orpheus
sinistra tollens citharam tentavit cantum.
Cecinit vero, quomodo terra et cœlum atque mare
olim inter se in-unam commixta formam,
contentione perniciosa discreta-fuerint seorsim singula;
et ut firmum semper in æthere signum (*locum*) obtineant
astra lunaque et solis viæ;
montesque quomodo exorti-sint, et ut fluvii strepentes
cum-ipsis Nymphis, et reptilia omnia nata-sint :
Cecinit porro, quomodo primum Ophion et Eurynome,
Oceani-filia, nivosi habuerint imperium Olympi,
utque vi manuum (*pugna coacti*) ille Saturno cesserit hono-
rem,] hæc Rheæ, inciderintque in fluctus Oceani :
illi vero interea beatis diis Titanibus imperabant,
dum Jupiter adhuc infans, adhuc mente puerilia sciens
Dictæo habitabat sub antro; at eum nondum
terrigenæ Cyclopes armaverant fulmine,
tonitruque et fulgure; hæc enim Jovi gloriam præstant.
Dixit, et citharam cum divina cohibuit voce :
illi vero insatiabiliter, postquam cessavit, adhuc exseruerunt
capita] omnes simul, arrectis auribus conquiescentes
in-delinimento : talem iis reliquerat Orpheus oblectationem
cantus.] Nec diu post, ubi-miscuerant jam libamina,
ut fas est, tum *ea* linguis affuderunt (*victimarum*)
ardentibus, somnum vero per noctem ceperunt.
Sed ubi splendida fulgentibus oculis Aurora
Pelii celsa conspexit juga, per ventum autem
tranquilla alluebantur agitato mari promontoria,
tum jam experrectus-est Tiphys; statimque jussit socios
et intrare navem et aptare remos.
Terribiliter vero portus Pagaseïus atque ipsa

Πηλιὰς ἴαχεν Ἀργὼ ἐπισπέρχουσα νέεσθαι.
Ἐν γάρ οἱ δόρυ θεῖον ἐλήλατο, τό ῥ' ἀνὰ μέσσην
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
Οἱ δ' ἀνὰ σέλματα βάντες ἐπισχερὼ ἀλλήλοισιν,
ὡς ἐδάσαντο πάροιθεν ἐλεσσέμεν ᾧ ἐνὶ χώρῳ,
εὐκόσμως σφετέροισι παρ' ἔντεσιν ἑδριόωντο.
Μέσσῳ δ' Ἀγκαῖος μέγα τε σθένος Ἡρακλῆος
ἵζανον· ἄγχι δέ οἱ ῥόπαλον θέτο καί οἱ ἔνερθεν
ποσσὶν ὑπεκλάσθη νηὸς τρόπις. Εἵλκετο δ' ἤδη
πείσματα καὶ μέθυ λεῖβον ὕπερθ' ἁλός. Αὐτὰρ Ἰή-[σων
δακρυόεις γαίης ἀπὸ πατρίδος ὄμματ' ἔνεικεν.
Οἱ δ', ὥστ' ἠίθεοι Φοίβῳ χορὸν ἢ ἐνὶ Πυθοῖ
ἤ που ἐν Ὀρτυγίῃ ἢ ἐφ' ὕδασιν Ἰσμηνοῖο
στησάμενοι, φόρμιγγος ὕπαι περὶ βωμὸν ὁμαρτῇ
ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν·
ὣς οἱ ὑπ' Ὀρφῆος κιθάρῃ πέπληγον ἐρετμοῖς
πόντου λάβρον ὕδωρ, ἐπὶ δὲ ῥόθια κλύζοντο·
ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη
δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.
Στράπτε δ' ὑπ' ἠελίῳ φλογὶ εἴκελα νηὸς ἰούσης
τεύχεα· μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι,
ἀτραπὸς ὣς χλοεροῖο διειδομένη πεδίοιο.
Πάντες δ' οὐρανόθεν λεῦσσον θεοὶ ἤματι κείνῳ
νῆα καὶ ἡμιθέων ἀνδρῶν μένος, οἳ τότ' ἄριστοι
πόντον ἐπιπλώεσκον· ἐπ' ἀκροτάτῃσι δὲ Νύμφαι
Πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
ἔργον Ἀθηναίης Ἰτωνίδος ἠδὲ καὶ αὐτοὺς
ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.
Αὐτὰρ ὁ ἐξ ὑπάτου ὄρεος κίεν ἄγχι θαλάσσης
Χείρων Φιλλυρίδης, πολιῇ δ' ἐπὶ κύματος ἀγῇ
τέγγε πόδας, καὶ πολλὰ βαρείῃ χειρὶ κελεύων
νόστον ἐπευφήμησεν ἀκηδέα νισσομένοισιν·
σὺν καί οἱ παράκοιτις ἐπωλένιον φορέουσα
Πηλείδην Ἀχιλῆα φίλῳ δειδίσκετο πατρί.
Οἱ δ' ὅτε δὴ λιμένος περιηγέα κάλλιπον ἀκτὴν
φραδμοσύνῃ μήτι τε δαΐφρονος Ἀγνιάδαο
Τίφυος, ὅς ῥ' ἐνὶ χερσὶν ἐΰξοα τεχνηέντως
πηδάλι' ἀμφιέπεσκ', ὄφρ' ἔμπεδον ἐξιθύνοι,
δή ῥα τότε μέγαν ἱστὸν ἐνεστήσαντο μεσόδμῃ,
δῆσαν δὲ προτόνοισι τανυσσάμενοι ἑκάτερθεν,
κὰδ δ' αὐτοῦ λίνα χεῦαν ἐπ' ἠλακάτην ἐρύσαντες.
Ἐν δὲ λιγὺς πέσεν οὖρος· ἐπ' ἰκριόφιν δὲ κάλωας
ξεστῇσιν περόνῃσι διακριδὸν ἀμφιβαλόντες
Τισαίην εὔκηλοι ὑπὲρ δολιχὴν θέον ἄκρην.
Τοῖσι δὲ φορμίζων εὐθήμονι μέλπεν ἀοιδῇ
Οἰάγροιο πάϊς νηοσσόον εὐπατέρειαν
Ἄρτεμιν, ἣ κείνας σκοπιὰς ἁλὸς ἀμφιέπεσκεν
ῥυομένη καὶ γαῖαν Ἰωλκίδα· τοὶ δὲ βαθείης
ἰχθύες ἀΐσσοντες ὕπερθ' ἁλὸς, ἄμμιγα παύροις
ἄπλετοι, ὑγρὰ κέλευθα διασκαίροντες ἕποντο.
Ὡς δ' ὁπότ' ἀγραύλοιο κατ' ἴχνια σημαντῆρος
μυρία μῆλ' ἐφέπονται ἄδην κεκορημένα ποίης
εἰς αὖλιν, ὁ δέ τ' εἶσι πάρος σύριγγι λιγείῃ
καλὰ μελιζόμενος νόμιον μέλος· ὣς ἄρα τοί γε

Peliaca insonuit Argo, festinans abire.
In ea enim trabs divina impacta-erat, quam quidem in media
carina Minerva e-Dodonæa exstruxerat fago.
Illi vero transtris conscensis ex-ordine alius-post-alium,
quomodo diviserant antea, ut-*quisque*-remigaret suo loco,
bono-ordine sua apud arma consederunt.
In-medio autem Ancæus, magnique roboris Hercules
sederunt: prope eum clava jacuit, et ejus infra
pedes inclinabatur navis carina. Trahebantur vero jam
funes, et vinum libabant super mare. Sed Jason
lacrimabundus a patria terra oculos deflexit.
Illi vero, quemadmodum juvenes Phœbo chorum sive Del-
phis] seu forte in Ortygia, sive ad aquas Ismeni
instituentes, ad citharam circa aram simul
apte velocibus solum feriunt pedibus;
sic illi ad Orphei citharam pulsarunt remis
maris vehementem aquam, fluctusque crescebant;
spuma hic et illic atrum surgebat mare
horrendum murmurans validorum robore virorum.
Coruscabant vero ad solem, flammæ instar, navis incedentis
armamenta; longæ continuo albescebant viæ (*navis*)
ut semita per viridem conspicua campum.
Omnes vero cœlitus adspexerunt dii illo die
navem et semideorum virorum robur, qui tum fortissimi
per mare vehebantur; in summis vero Nymphæ
Peliades jugis stupuerunt intuentes
opus Minervæ Itonidis, atque etiam ipsos
heroas manibus impellentes remos.
At ipse ex summo monte degressus-est prope mare
Chiron Phillyrides, et in cana fluctus fractione (*fluctibus*)
intinxit pedes, et multa gravi manu hortatus
reditum apprecatus-est curarum-expertem abeuntibus:
cum eo etiam conjux ulnis gestans
Pelei-filium Achillem caro protendit patri.

Illi vero cum portus circumfluum reliquissent littus
prudentia et consilio intelligentis Agniadæ
Tiphyis, qui quidem manibus bene-politum scite
clavum tenebat, ut firmiter regeret,
tum tandem ingentem malum constituerunt in-trabe-trans-
versa (*mali receptaculo*),] et alligarunt funibus extensis
utrimque,] tum vela expanderunt in summam-mali-partem
tracta.] Irruit vero stridulus ventus: in tabulatis vero ru-
dentes] politis fibulis diversis-locis cum-affixissent,
Tisæum quieti longum prætervecti-sunt promontorium.
His vero cithara-canens bene-composito celebravit carmine
Œagri filius naves-servantem, claro-genitam-patre,
Dianam, quæ illas speculas maris tuebatur,
servans etiam terram Iolcam; ipsi vero profundum
pisces exsultantes super mare, permixti parvis
magni, per humidas vias salientes sequebantur.
Quemadmodum vero, quando rustici vestigia ducis
innumeræ pecudes sequuntur, admodum satiatæ herba,
in ovile, ille quidem præit, fistula arguta
suaviter modulans pastorale carmen; sic igitur isti

ὡμάρτευν· τὴν δ' αἰὲν ἐπασσύτερος φέρεν οὖρος.
Αὐτίκα δ' ἠερίη πολυλήϊος αἶα Πελασγῶν
δύετο, Πηλιάδας δὲ παρεξήμειβον ἐρίπνας
αἰὲν ἐπιπροθέοντες· ἔδυνε δὲ Σηπιὰς ἄκρη,
φαίνετο δ' εἰναλίη Σκίαθος, φαίνοντο δ' ἄπωθεν
Πειρεσιαὶ Μάγνησά θ', ὑπεύδιος ἠπείροιο
ἀκτή, καὶ τύμβος Δολοπήϊος· ἔνθ' ἄρα τοίγε
ἑσπέριοι ἀνέμοιο παλιμπνοίῃσιν ἔκελσαν,
καί μιν κυδαίνοντες ὑπὸ κνέφας ἔντομα μήλων
κεῖαν ὀρινομένης ἁλὸς οἴδματι· διπλόα δ' ἀκταῖς
ἤματ' ἐλινύεσκον· ἀτὰρ τριτάτῳ προέηκαν
νῆα τανυσσάμενοι περιώσιον ὑψόθι λαῖφος.
Τὴν δ' ἀκτὴν Ἀφέτας Ἀργοῦς ἔτι κικλήσκουσιν.
Ἔνθεν δὲ προτέρωσε παρεξέθεον Μελίβοιαν,
[ἀκτήν τ' αἰγιαλόν τε δυσήνεμον εἰσορόωντες.]
ἠῶθεν δ' Ὁμόλην αὐτοσχεδὸν εἰσορόωντες
πόντῳ κεκλιμένην παρεμέτρεον· οὐδ' ἔτι δηρὸν
μέλλον ὑπὲκ ποταμοῖο βαλεῖν Ἀμύροιο ῥέεθρα.
Κεῖθεν δ' Εὐρυμενάς τε πολυκλύστους τε φάραγγας
Ὄσσης Οὐλύμποιό τ' ἐσέδρακον· αὐτὰρ ἔπειτα
κλίτεα Παλλήναια Καναστραίην ὑπὲρ ἄκρην
ἤνυσαν ἐννύχιοι πνοιῇς ἀνέμοιο θέοντες.
Ἦρι δὲ νισσομένοισιν Ἄθω ἀνέτελλε κολώνη
Θρηϊκίη, ἣ τόσσον ἀπόπροθι Λῆμνον ἐοῦσαν,
ὅσσον ἐς ἔνδιόν κεν ἐΰστολος ὁλκὰς ἀνύσσαι,
ἀκροτάτῃ κορυφῇ σκιάει, καὶ ἐσάχρι Μυρίνης.
Τοῖσιν δ' αὐτῆμαρ μὲν ἄεν καὶ ἐπὶ κνέφας οὖρος
πάγχυ μάλ' ἀκραής, τετάνυστο δὲ λαίφεα νηός.
Αὐτὰρ ἅμ' ἠελίοιο βολαῖς ἀνέμοιο λιπόντος
εἰρεσίῃ κραναὴν Σιντηΐδα Λῆμνον ἵκοντο.
Ἔνθ' ἄμυδις πᾶς δῆμος ὑπερβασίῃσι γυναικῶν
νηλειῶς δέδμητο παροιχομένῳ λυκάβαντι.
Δὴ γὰρ κουριδίας μὲν ἀπηνήναντο γυναῖκας
ἀνέρες ἐχθήραντες, ἔχον δ' ἐπὶ ληϊάδεσσιν
τρηχὺν ἔρον, ἃς αὐτοὶ ἀγίνεον ἀντιπέρηθεν
Θρηϊκίην δηοῦντες· ἐπεὶ χόλος αἰνὸς ὄπαζεν
Κύπριδος, οὕνεκά μιν γεράων ἐπὶ δηρὸν ἄτισσαν.
Ὦ μέλεαι ζήλοιό τ' ἐπισμυγερῶς ἀκόρητοι.
Οὐκ οἶον σὺν τῇσιν ἑοὺς ἔρραισαν ἀκοίτας
ἀμφ' εὐνῇ, πᾶν δ' ἄρσεν ὁμοῦ γένος, ὥς κεν ὀπίσσω
μή τινα λευγαλέοιο φόνου τίσειαν ἀμοιβήν.
Οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς
Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ δῆμον ἄνασσεν·
λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι,
αἴ κε φύγῃ· καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
πρόσθεν ἀτὰρ Σίκινόν γε μεθύστερον αὐδηθεῖσαν
νῆσον ἐπακτῆρες, Σικίνου ἄπο, τόν ῥα Θόαντι
Νηϊὰς Οἰνοίη Νύμφη τέκεν εὐνηθεῖσα.
Ταῖσι δὲ βουκόλιαί τε βοῶν χάλκειά τε δύνειν
τεύχεα πυροφόρους τε διατμήξασθαι ἀρούρας
ῥηΐτερον πάσῃσιν Ἀθηναίης πέλεν ἔργων,
οἷς αἰεὶ τοπάροιθεν ὁμίλεον. Ἀλλὰ γὰρ ἔμπης
ἦ θαμὰ δὴ πάπταινον ἐπὶ πλατὺν ὄμμασι πόντον
δείματι λευγαλέῳ, ὁπότε Θρήϊκες ἴασιν.

sequebantur, navem vero semper vehementior agitabat ventus.] Statim igitur nigrum segetibus-abundans solum Pelasgorum (*Thessalia*)] absconditum-est; Peliacas transierunt *Argonautæ* rupes] continuo procurrentes; subsidebat autem Sepias promontorium,] exstabat maritima Sciathus, apparebant procul] Piresiæ et Magnesa, tranquillum continentis littus, et bustum Dolopis; quo illi quidem
vespertini venti contrario-flatu appulerunt,
eumque (*Dolopem*) honorantes, sub crepusculum inferias pecudum] cremarunt, concitato maris fluctu; binosque in-littore] dies commorati-sunt, sed tertio emiserunt
navem, expanso decumano superne velo.
Littus autem hoc Aphetas (*emittentes*) Argus etiamnum appellant.] Inde vero longius prætervecti-sunt Melibœam,
[oram littusque ventis-vexatum intuentes :]
mane vero Homolam cominus conspicientes
mari incumbentem præternavigarunt; neque diu amplius
cunctati-sunt fluvii trajicere Amyri fluenta :
inde autem Eurymenas et multum-inundatas valles
Ossæ Olympique conspexerunt; at deinde
devexa Pallenæa Canastræum super promontorium
transierunt nocturni, flatibus venti currentes :
mane vero provectis Atho emicuit mons
Thracius, qui Lemnum tantum procul distantem,
quantum ad-meridiem usque bene-exstructa navis conficiat
spatium,] summo jugo obumbrat, et usque-ad Myrinen :
illis vero eo-die quidem afflavit etiam ad noctem ventus
admodum vehemens, expandebantur vero vela navis :
sed cum solis *primis* radiis vento cessante,
remigando in-asperam Sinteïdem Lemnum venerunt.

Ibi omnino omnis populus scelere mulierum
crudeliter trucidatus-erat præterito anno :
jam enim ligitimas repudiaverant uxores
viri exosi, fovebant vero in captivas
flagrantem amorem, quas ipsi abduxerant oppositam
Thraciam vastantes; etenim ira gravis persequebatur
Veneris, quoniam eam muneribus diu non-honoraverant.
O miseræ, et odio tristem-in-modum non-satiatæ!
Non solum cum illis (*captivis puellis*) suos occiderunt maritos
in lectis, sed omnem masculum simul sexum, ut in-posterum
nullam immitis cædis luerent pœnam.
Sola vero ex omnibus seni pepercit patri
Hypsipylea Thoanti, qui quidem populo imperabat :
arca in cava eum in mari posuit avehendum,
si forte evaderet : atque illum in Œnoam salvum-transtulerunt
antea, sed Sicinum postea appellatam
insulam, piscatores, a Sicino, quem quidem Thoanti
Naias Œnoe nympha peperit concubitu-juncta.
Illis vero (*mulieribus Lemniis*) armenta boum *pascere* æreaque induere] arma, et fertilia findere arva
facilius omnibus Minervæ erat operibus,
quæ semper antea tractaverant. At tamen
sane sæpissime prospexerunt in latum oculis æquor
præ-metu tristi, quando Thraces venturi-essent :

Τῷ καὶ ὅτ' ἐγγύθι νήσου ἐρεσσομένην ἴδον Ἀργὼ,
αὐτίκα πασσυδίῃ πυλέων ἔκτοσθε Μυρίνης
δήϊα τεύχεα δῦσαι ἐς αἰγιαλὸν προχέοντο,
Θυιάσιν ὠμοβόροις ἴκελαι· φὰν γάρ που ἱκάνειν
Θρήϊκας· ἡ δ' ἅμα τῇσι Θοαντιὰς Ὑψιπύλεια
δῦν' ἐνὶ τεύχεσι πατρός. Ἀμηχανίῃ δ' ἐχέοντο
ἄφθογγοι· τοῖόν σφιν ἐπὶ δέος ἠωρεῖτο.
Τείως δ' αὖτ' ἐκ νηὸς ἀριστῆες προέηκαν
Αἰθαλίδην, κήρυκα θοὸν, τῷπέρ τε μέλεσθαι
ἀγγελίας καὶ σκῆπτρον ἐπέτρεπον Ἑρμείαο,
σφωϊτέροιο τοκῆος, ὅ οἱ μνῆστιν πόρε πάντων
ἄφθιτον· οὐδ' ἔτι νῦν περ ἐποιχομένου Ἀχέροντος
δίνας ἀπροφάτους ψυχὴν ἐπιδέδρομε λήθη.
Ἀλλ' ἥ γ' ἔμπεδον αἰὲν ἀμειβομένη μεμόρηται,
ἄλλοθ' ὑποχθονίοις ἐναρίθμιος, ἄλλοτ' ἐς αὐγὰς
ἠελίου ζωοῖσι μετ' ἀνδράσιν. Ἀλλὰ τί μύθους
Αἰθαλίδεω χρειώ με διηνεκέως ἀγορεύειν;
ὅς ῥα τόθ' Ὑψιπύλην μειλίξατο δέχθαι ἰόντας
ἤματος ἀνομένοιο διὰ κνέφας· οὐδὲ μὲν ἠοῖ
πείσματα νηὸς ἔλυσαν ἐπὶ πνοιῇ Βορέαο.
Λημνιάδες δὲ γυναῖκες ἀνὰ πτόλιν ἷζον ἰοῦσαι
εἰς ἀγορήν· αὐτὴ γὰρ ἐπέφραδεν Ὑψιπύλεια·
καὶ ῥ' ὅτε δὴ μάλα πᾶσαι ὁμιλαδὸν ἠγερέθοντο,
αὐτίκ' ἄρ' ἥγ' ἐνὶ τῇσιν ἐποτρύνουσ' ἀγόρευεν.
Ὦ φίλαι, εἰ δ' ἄγε δὴ μενοεικέα δῶρα πόρωμεν
ἀνδράσιν, οἷά τ' ἔοικεν ἄγειν ἐπὶ νηὸς ἔχοντας,
ἤϊα καὶ μέθυ λαρὸν, ἵν' ἔμπεδον ἔκτοθι πύργων
μίμνοιεν, μηδ' ἄμμε κατὰ χρειὼ μεθέποντες
ἀτρεκέως γνώωσι, κακὴ δ' ἐπὶ πολλὸν ἵκηται
βάξις· ἐπεὶ μέγα ἔργον ἐρέξαμεν, οὐδέ τι πάμπαν
θυμηδὲς κεν τοῖσι τόγ' ἔσσεται, εἴ κε δαεῖεν.
Ἡμετέρη μέν νυν τοίη παρενήνοθε μῆτις·
ὑμέων δ' εἴ τις ἄρειον ἔπος μητίσεται ἄλλη,
ἐγρέσθω· τοῦ γάρ τε καὶ εἵνεκα δεῦρο κάλεσσα.
Ὣς ἄρ' ἔφη καὶ θῶκον ἐφίζανε πατρὸς ἑοῖο
λάϊνον· αὐτὰρ ἔπειτα φίλη τροφὸς ὦρτο Πολυξὼ,
γήραϊ δὴ ῥικνοῖσιν ἐπισκάζουσα πόδεσσιν,
βάκτρῳ ἐρειδομένη, πέρι δὲ μενέαιν' ἀγορεῦσαι.
Τῇ καὶ παρθενικαὶ πίσυρες σχεδὸν ἑδριόωντο
ἀδμῆτες λευκῇσιν ἐπιχνοάουσαι ἐθείραις.
Στῆ δ' ἄρ' ἐνὶ μέσσῃ ἀγορῇ, ἀνὰ δ' ἔσχεθε δειρὴν
ἦκα μόλις κυφοῖο μεταφρένου ὧδέ τ' ἔειπεν.
Δῶρα μὲν, ὡς αὐτῇ περ ἐφανδάνει Ὑψιπυλείῃ,
πέμπωμεν ξείνοισιν, ἐπεὶ καὶ ἄρειον ὀπάσσαι.
Υ̓́μμι γε μὴν τίς μῆτις ἐπαυρέσθαι βιότοιο,
αἴ κεν ἐπιβρίσῃ Θρήϊξ στρατὸς ἠέ τις ἄλλος
δυσμενέων; ἅτε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
ὡς καὶ νῦν ὅδ' ὅμιλος ἀνωΐστως ἀφικάνει.
Εἰ δὲ τὸ μὲν μακάρων τις ἀποτρέποι, ἄλλα δ' ὀπίσσω
μυρία δηϊοτῆτος ὑπέρτερα πήματα μίμνει.
Εὖτ' ἂν δὴ γεραραὶ μὲν ἀποφθινύθωσι γυναῖκες,
κουρότεραι δ' ἄγονοι στυγερὸν ποτὶ γῆρας ἵκησθε,
πῶς τῆμος βώσεσθε δυσάμμοροι; ἠὲ βαθείαις
αὐτόματοι βόες ὔμμιν ἐνιζευχθέντες ἀρούραις

quare etiam, cum prope insulam remis-agitatam viderent
Argo,] statim omnes-uno-impetu e portis Myrinæ
bellicis armis indutæ ad littus effundebantur,
Thyadum carnes-crudas-vorantium instar; putabant enim
forte venire] Thracas; at cum illis Thoantias Hypsipylea
induerat arma patris. Sed consilii-inopia effusæ-sunt
mutæ, tantus iis metus impendebat.
Interea vero ex navi heroes miserant
Æthalidem, præconem celerem, cui quidem administrandas
legationes, et baculum commiserant Mercurii,
ipsius patris, qui ipsi memoriam dederat omnium
inextinctam, necdum nunc, postquam-adiit Acherontis
vorticem implacabilem, animam *ejus* occupavit oblivio.
Sed firmiter semper, ut-alternatim-versetur, fato-decretum
-est,] nunc inferis adnumerata, nunc ad jubar
solis viventes inter homines. Sed quid fabulas
de-Æthalide oportet me perpetua-serie enarrare?
qui quidem tum Hypsipylæ blandis-verbis-persuasit, ut-ex-
ciperet appulsos] die confecto, per noctem; at ne mane qui-
dem] retinacula navis solverunt flante Aquilone.
Lemniæ vero mulieres per urbem consessuræ iverunt
in concionem; ipsa enim jusserat Hypsipylea:
et cum jam omnino omnes catervatim congregatæ-essent,
statim illa inter eas exhortans dixit:
Amicæ, agite, grata dona præbeamus
viris, qualia convenit auferre in navem secum,
viatica et vinum dulce, ut semper extra mœnia
maneant, neque apud-nos ex necessitate deversati
vere *res nostras* cognoscant, malaque longe divulgetur
fama: quandoquidem magnum facinus commisimus, neque
omnino] gratum his illud erit, si cognoverint.
Nostrum quidem jam tale exstitit consilium:
vestrum vero si qua melius quid suadere-possit alia,
surgat: hanc enim ob causam huc vocavi.
Sic igitur fata-est, atque in solio consedit patris sui
lapideo; at postea cara *ejus* nutrix surrexit Polyxo,
præ-senectute jam imbecillis titubans pedibus,
baculo innixa, admodum vero cupiit concionari.
Huic etiam virgines quatuor prope assidebant
intactæ, albis obtectæ capillis.
Stetit igitur in media concione, sustinuit autem cervicem
vix aliquantum in-gibboso interscapilio, sicque locuta-est:
Dona quidem, ut ipsi placet Hypsipylæ,
mittamus hospitibus, quoniam conducit mittere.
Vobis tamen quænam *est* ratio fruendæ vitæ,
si forte ingruerit Thracius exercitus, aut alius quis
hostium? qualia multa inter homines eveniunt,
ut etiam nunc hæc cohors improviso advenit.
Si vero hoc quidem deorum quis averterit, alia postea
innumera, hostili-impetu graviora, mala manent.
Quando jam vetulæ perierint mulieres,
juniores vero, sine-prole, invisam senectutem attigeritis;
quomodo tum vivetis, miserrimæ? num in-profundis
ipsæ-sponte-sua boves vobis conjugatæ arvis

γειοτόμον νειοῖο διειρύσσουσιν ἄροτρον,
καὶ πρόκα τελλομένου ἔτεος στάχυν ἀμήσονται;
Ἦ μὲν ἐγὼν, εἰ καί με τανῦν ἔτι πεφρίκασι
Κῆρες, ἐπερχόμενόν που δίομαι εἰς ἔτος ἤδη
γαῖαν ἐφέσσεσθαι, κτερέων ἀπὸ μοῖραν ἑλοῦσαν,
αὔτως ᾗ θέμις ἐστὶ, πάρος κακότητα πελάσσαι.
Ὁπλοτέρῃσι δὲ πάγχυ τάδε φράζεσθαι ἄνωγα.
Νῦν γὰρ δὴ παρὰ ποσσὶν ἐπήβολος ἔστ' ἀλεωρὴ,
εἴ κεν ἐπιτρέψητε δόμους καὶ ληΐδα πᾶσαν
ὑμετέρην ξείνοισι καὶ ἀγλαὸν ἄστυ μέλεσθαι.
Ὣς ἔφατ'· ἐν δ' ἀγορὴ πλῆτο θρόου. Εὔαδε γάρ σφιν
μῦθος. Ἀτὰρ μετὰ τήνγε παρασχεδὸν αὖτις ἀνῶρτο
Ὑψιπύλη, καὶ τοῖον ὑποβλήδην ἔπος ηὔδα.
Εἰ μὲν δὴ πάσῃσιν ἐφανδάνει ἥδε μενοινὴ,
ἤδη κεν μετὰ νῆα καὶ ἄγγελον ὀτρύναιμι.
Ἦ ῥα καὶ Ἰφινόην μετεφώνεεν ἆσσον ἐοῦσαν.
Ὄρσο μοι, Ἰφινόη, τοῦδ' ἀνέρος ἀντιόωσα,
ἡμέτερόνδε μολεῖν, ὅστις στόλου ἡγεμονεύει,
ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπω·
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλωσι,
κέκλεο θαρσαλέως ἐπιβαινέμεν εὐμενέοντας.
Ἦ καὶ ἔλυσ' ἀγορήν· μετὰ δ' εἰς ἑὸν ὦρτο νέεσθαι·
ὣς δὲ καὶ Ἰφινόη Μινύας ἵκεθ'· οἱ δ' ἐρέεινον
χρεῖος ὅ τι φρονέουσα μετήλυθεν. Ὦκα δὲ τούς γε
πασσυδίῃ μύθοισι προσέννεπεν ἐξερέοντας.
Κούρη τοί μ' ἐφέηκε Θοαντιὰς ἐνθάδ' ἰοῦσαν
Ὑψιπύλη καλέειν νηὸς πρόμον, ὅστις ὄρωρεν,
ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπῃ·
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλητε,
κέκλεται αὐτίκα νῦν ἐπιβαινέμεν εὐμενέοντας.
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἐναίσιμος ἥνδανε μῦθος.
Ὑψιπύλην δ' εἴσαντο καταφθιμένοιο Θόαντος
τηλυγέτην γεγαυῖαν ἀνασσέμεν· ὦκα δὲ τόν γε
πέμπον ἴμεν, καὶ δ' αὐτοὶ ἐπεντύνοντο νέεσθαι.
Αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι θεᾶς Τριτωνίδος ἔργον,
δίπλακα πορφυρέην, περονήσατο, τήν οἱ ὄπασσεν
Παλλὰς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
Ἀργοῦς, καὶ κανόνεσσι δάε ζυγὰ μετρήσασθαι.
Τῆς μὲν ῥηΐτερόν κεν ἐς ἠέλιον ἀνιόντα
ὄσσε βάλοις, ἢ κεῖνο μεταβλέψειας ἔρευθος.
Δὴ γάρ τοι μέσση μὲν ἐρευθήεσσα τέτυκτο,
ἄκρα δὲ πορφυρέη πάντῃ πέλεν· ἐν δ' ἄρ' ἑκάστῳ
τέρματι δαίδαλα πολλὰ διακριδὸν εὖ ἐπέπαστο.
Ἐν μὲν ἔσαν Κύκλωπες ἐπ' ἀφθίτῳ ἥμενοι ἔργῳ,
Ζηνὶ κεραυνὸν ἄνακτι πονεύμενοι, ὃς τόσον ἤδη
παμφαίνων ἐτέτυκτο, μιῆς δ' ἔτι δεύετο μοῦνον
ἀκτῖνος, τὴν οἵγε σιδηρείῃς ἐλάασκον
σφύρῃσιν, μαλεροῖο πυρὸς ζείουσαν ἀϋτμήν.
Ἐν δ' ἔσαν Ἀντιόπης Ἀσωπίδος υἱέε δοιὼ,
Ἀμφίων καὶ Ζῆθος· ἀπύργωτος δ' ἔτι Θήβη
κεῖτο πέλας, τῆς οἵγε νέον βάλλοντο δομαίους
ἱέμενοι. Ζῆθος μὲν ἐπωμαδὸν ἠέρταζεν
οὔρεος ἠλιβάτοιο κάρη μογέοντι ἐοικώς·
Ἀμφίων δ' ἐπί οἱ χρυσέῃ φόρμιγγι λιγαίνων

terram-scindens per-novale trahent aratrum?
atque statim, circumacto anno, aristas demetent?
Ego certe, si vel me nunc adhuc horruerint
Parcæ, insequente quidem opinor anno tandem
terram *me* subituram-esse, funebria justa consecutam
sic ut par est, antequam calamitas appropinquaverit:
juniores vero omnino hæc cogitare jubeo:
nunc enim ante jam pedes obvium est præsidium,
si modo commiseritis domos et bona omnia
vestra hospitibus, atque splendidam urbem administrandam.] Sic dixit: concio vero implebatur fremitu: placuit
enim ipsis] consilium. At post illam statim rursus surrexit
Hypsipyle, atque hæc interpellans verba locuta-est:
Si igitur omnibus quidem placet hoc consilium,
jam ad navem etiam nunciam demittam.
Dixit, et Iphinoam allocuta-est prope sedentem:
Exi mihi, Iphinoa, illum virum rogatura
in nostram *domum* ut-veniat, qui exercitui præest,
quo quandam ei populi sententiam gratam indicem:
et ipsos (*milites*) in terram et urbem, si velint,
jube sine-metu ingredi benevolos.
His dictis solvit concionem; tum in suam *domum* surrexit
itura;] sic vero etiam Iphinoe ad-Minyas venit: illi interrogarunt,] quamnam rem mente-agitans venisset? Statim igitur
eos] omnes-simul verbis allocuta-est interrogantes:
Filia me misit Thoantis huc profectam,
Hypsipyle, ut-arcesserem navis ducem, quisquis sit,
quo quandam ei concionis sententiam gratam exponeret;
et ipsos in terram et urbem, si velitis,
jubet statim nunc ingredi benevolos.
Sic igitur dixit; omnibus vero commoda placuit oratio.
Hypsipylam vero intellexerunt mortui Thoantis
unicam filiam-esse-et imperare: statim vero illum (*Jasonem*)
miserunt qui-iret, et ipsi se-accinxerunt ad-abitum.
At ille (*Jason*) circa humeros deæ Tritonidis opus,
lænam-duplicatam purpuream, fibula-subnexuit, quam ei
dederat] Pallas, cum primum ligna-carinæ construeret navis
Argûs, atque norma doceret juga metiri:
hujus (*lænæ*), facilius quidem in solem exorientem
oculos conjeceris, quam illum intuearis splendorem:
etenim media rubicunda quidem erat,
sed extrema purpurea omnino erat; in quavis vero
ora, artificiosa multa separatim bene erant-depicta.
Inerant Cyclopes immortali adsidentes operi,
Jovi fulmen regi conficientes, quod tantum jam
coruscans fabricatum-erat, ut unus adhuc deesset solus
radius, quem illi ferreis cudebant
malleis, absumentis ignis ferventem flammam.
Inerant porro Antiopæ Asopidis filii duo,
Amphion et Zethus: at nondum mœniis-munitæ Thebæ
sitæ-erant prope, quarum illi nuper jecerant fundamenta
lubentes: Zethus quidem humeris gestabat
montis celsi caput, laboranti similis;
Amphion vero post eum aurea cithara canens

ἤιε, δὶς τόσση δὲ μετ' ἴχνια νίσσετο πέτρη.
Ἑξείης δ' ἤσκητο βαθυπλόκαμος Κυθέρεια
Ἄρεος ὀχμάζουσα θοὸν σάκος· ἐκ δέ οἱ ὤμου
πῆχυν ἐπὶ σκαιὸν ξυνοχὴ κεχάλαστο χιτῶνος
νέρθεν ὑπὲρ μαζοῖο· τὸ δ' ἀντίον ἀτρεκὲς αὔτως
χαλκείῃ δείκηλον ἐν ἀσπίδι φαίνετ' ἰδέσθαι.
Ἐν δὲ βοῶν ἔσκεν λάσιος νομός· ἀμφὶ δὲ βουσὶν
Τηλεβόαι μάρναντο καὶ υἱέες Ἠλεκτρύωνος·
οἱ μὲν ἀμυνόμενοι, ἀτὰρ οἵγ' ἐθέλοντες ἀμέρσαι
ληϊσταὶ Τάφιοι· τῶν δ' αἵματι δεύετο λειμὼν
ἐρσήεις, πολέες δ' ὀλίγους βιόωντο νομῆας.
Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντες.
Καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε τινάσσων
ἡνία, σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια·
τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους.
Σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς
ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
πῖπτεν, ἐπεσσύμενος Πελοπήϊα νῶτα δαΐξαι.
Ἐν καὶ Ἀπόλλων Φοῖβος ὀϊστεύων ἐτέτυκτο,
βούπαις οὔπω πολλός, ἑὴν ἐρύοντα καλύπτρης
μητέρα θαρσαλέως Τιτυὸν μέγαν, ὅν ῥ' ἔτεκέν γε
δῖ' Ἐλάρη, θρέψεν δὲ καὶ ἂψ ἐλοχεύσατο Γαῖα.
Ἐν καὶ Φρίξος ἔην Μινυήϊος, ὡς ἐτεόν περ
εἰσαΐων κριοῦ, ὁ δ' ἄρ' ἐξενέποντι ἐοικώς.
Κείνους κ' εἰσορόων ἀκέοις ψεύδοιό τε θυμὸν,
ἐλπόμενος πυκινήν τιν' ἀπὸ σφείων ἐσακοῦσαι
βάξιν, ὃ καὶ δηρόν περ ἐπ' ἐλπίδι θηήσαιο.
Τοῖ' ἄρα δῶρα θεᾶς Τριτωνίδος ἦεν Ἀθήνης.
Δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' Ἀταλάντη
Μαινάλῳ ἔν ποτέ οἱ ξεινήϊον ἐγγυάλιξεν
πρόφρων ἀντομένη· περὶ γὰρ μενέαινεν ἕπεσθαι
τὴν ὁδόν· ἀλλὰ γὰρ αὐτὸς ἑκὼν ἀπερήτυε κούρην·
δεῖσεν δ' ἀργαλέας ἔριδας φιλότητος ἕκητι.
Βῆ δ' ἴμεναι προτὶ ἄστυ φαεινῷ ἀστέρι ἶσος,
ὅν ῥά τε νηγατέῃσιν ἐεργόμεναι καλύβῃσιν
νύμφαι θηήσαντο δόμων ὕπερ ἀντέλλοντα,
καί σφισι κυανέοιο δι' ἠέρος ὄμματα θέλγει
καλὸν ἐρευθόμενος, γάνυται δέ τε ἠϊθέοιο
παρθένος ἱμείρουσα μετ' ἀλλοδαποῖσιν ἐόντος
ἀνδράσιν, ᾧ καί μιν μνηστὴν κομέουσι τοκῆες·
τῷ ἴκελος πρὸ πόληος ἀνὰ στίβον ἤιεν ἥρως.
Καί ῥ' ὅτε δὴ πυλέων τε καὶ ἄστεος ἐντὸς ἔβησαν,
δημότεραι μὲν ὄπισθεν ἐπεχλονέοντο γυναῖκες,
γηθόσυναι ξείνῳ· ὁ δ' ἐπὶ χθονὸς ὄμματ' ἐρείσας
νίσσετ' ἀπηλεγέως, ὄφρ' ἀγλαὰ δώμαθ' ἵκανεν
Ὑψιπύλης· ἄνεσαν δὲ πύλας προφανέντι θεράπναι
δικλίδας, εὐτύκτοισιν ἀρηρεμένας σανίδεσσιν.
Ἔνθα μιν Ἰφινόη κλισμῷ ἔνι παμφανόωντι
ἐσσυμένως καλῆς διὰ παστάδος εἷσεν ἄγουσα
ἀντία δεσποίνης· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
παρθενικὰς ἐρύθηνε παρηΐδας· ἔμπα δὲ τόνγε
αἰδομένη μύθοισι προσέννεπεν αἱμυλίοισιν.
Ξεῖνε, τίη μίμνοντες ἐπὶ χρόνον ἔκτοθι πύργων
ἧσθ' αὔτως; ἐπεὶ οὐ μὲν ὑπ' ἀνδράσι ναίεται ἄστυ·

incessit, bis tanta autem *ejus* vestigia insecuta-est rupes.
Deinceps elaborata-erat promissis-crinibus Cytherea
Martis gestans agile scutum; ex ejus humero
cubitum ad sinistrum junctura soluta-erat tunicæ
infra sub mamma; adversa autem vere sic
æreo effigies in clypeo apparuit visenda.
Inerant porro boum herbosa pascua : de bobus vero
Teleboæ certabant et filii Electryonis;
hi quidem se-defendentes, at illi cupientes spoliare,
prædones Taphii; illorum quidem sanguine rigabatur pra-
tum] roscidum, multi vero paucos vi-superarunt pastores.
In *ea* duæ bigæ elabaratæ-erant concertantes;
et priores quidem Pelops regebat quatiens
habenas, cumque eo erat in-curru-socia Hippodamia;
sed eum sequens-in-cursu Myrtilus agitabat equos :
quocum Œnomaus protensam hastam manu tenens
axe in modiolis sensim fracto
cecidit, quum-conaretur Pelopis terga transfodere.
In *ea* etiam Apollo Phœbus sagittans erat-effictus,
puer nondum grandis, suam trahentem calyptra
matrem audacter Tityum ingentem, quem quidem pepererat
divina Elara, aluerat vero et iterum enixa-erat Terra.
Inerat etiam Phrixus Minyeius, tamquam vere
audiens arietem, et hic loquenti similis (*aries*).
Illos intuens stupeas et fallas animum
sperans callidum quemdam ab iis *te* auditurum-esse
sermonem; quare diu *hac* spe *fretus* contempleris.
Tale igitur donum deæ Tritonidis erat Minervæ.
Dextra vero prehendit hastam longe-jaculantem, quam qui-
dem Atalanta] in Mænalo quondam ei hospitii-munus donave-
rat,] benevole excipiens; admodum enim cupiebat interesse
expeditioni; at enim ipse lubens prohibebat puellam,
veritus difficiles contentiones amoris causa *suscitandas*.
Profectus vero est in urbem, splendenti stellæ similis,
quam quidem nuper-factis inclusæ thalamis
puellæ vident super ædibus emicantem,
*qua*que ipsis cæruleum per aerem *conspecta* oculos oblectat
pulchre coruscans, lætatur vero et juvenem
virgo desiderans inter alienigenas versantem
viros, cui ipsam desponsatam diligenter-servant parentes.
Tali *stellæ* similis ante urbem per tramitem incessit heros.
Sed quum jam portas et urbem intrassent,
e-populo quidem a-tergo fremebant mulieres
lætatæ hospite; sed ipse in terram oculis defixis
perrexit intrepide, donec in splendidum palatium pervenisset
Hypsipylæ; aperuerant vero januas *ei* conspecto ancillæ
bifores, bene-constructis aptatas tabulis.
Tum eum Iphinoe in sella undique-splendente
celeriter pulchrum per cubiculum ductum collocavit
ex-adverso dominæ; hæc autem deorsum oculis demissis
virgineas rubefacta-est genas : attamen eum
pudibunda verbis allocuta-est blandis :
Hospes, cur commorantes diu extra mœnia
sedetis sic-temere? etenim non a viris habitatur urbs;

ἀλλὰ Θρηϊκίης ἐπινάστιοι ἠπείροιο
πυροφόρους ἀρόωσι γύας. Κακότητα δὲ πᾶσαν
ἐξερέω νημερτὲς, ἵν' εὖ γνοίητε καὶ αὐτοί.
Εὖτε Θόας ἀστοῖσι πατὴρ ἐμὸς ἐμβασίλευεν,
τηνίκα Θρηϊκίης, οἵ τ' ἀντία ναιετάουσιν,
δήμου ἀπορνύμενοι λαοὶ πέρθεσκον ἐπαύλους
ἐκ νηῶν, αὐτῇσι δ' ἀπείρονα ληΐδα κούραις
δεῦρ' ἄγον· οὐλομένης δὲ θεᾶς πορσύνετο μῆτις
Κύπριδος, ἥτε σφιν θυμοφόρον ἔμβαλεν ἄτην.
Δὴ γὰρ κουριδίας μὲν ἀπέστυγον, ἐκ δὲ μελάθρων
ᾗ ματίῃ εἴξαντες ἀπεσσεύοντο γυναῖκας·
αὐτὰρ ληϊάδεσσι δορικτήταις παρίαυον,
σχέτλιοι. Ἦ μὲν δηρὸν ἐτέτλαμεν, εἴ κέ ποτ' αὖτις
ὀψὲ μεταστρέψωσι νόον· τὸ δὲ διπλόον αἰεὶ
πῆμα κακὸν προὔβαινεν. Ἀτιμάζοντο δὲ τέκνα
γνήσι' ἐνὶ μεγάροις, σκοτίη δ' ἀνέτελλε γενέθλη.
Αὕτως δ' ἀδμῆτές τε κόραι χῆραί τ' ἐπὶ τῇσιν
μητέρες ἂμ πτολίεθρον ἀτημελέως ἀλάληντο.
Οὐδὲ πατὴρ ὀλίγον περ ἑῆς ἀλέγιζε θυγατρὸς,
εἰ καὶ ἐν ὀφθαλμοῖσι δαϊζομένην ὁρόῳτο
μητρυιῆς ὑπὸ χερσὶν ἀτασθάλου· οὐδ' ἀπὸ μητρὸς
λώβην, ὡς τοπάροιθεν, ἀεικέα παῖδες ἄμυνον·
οὐδὲ κασιγνήτοισι κασιγνήτη μέλε θυμῷ.
Ἀλλ' οἶαι κοῦραι ληΐτιδες ἔν τε δόμοισιν
ἔν τε χοροῖς ἀγορῇ τε καὶ εἰλαπίνῃσι μέλοντο·
εἰσόκε τις θεὸς ἄμμιν ὑπέρβιον ἔμβαλε θάρσος,
ἂψ ἀνερχομένους Θρηκῶν ἄπο μηκέτι πύργοις
δέχθαι, ἵν' ἢ φρονέοιεν ἅπερ θέμις, ἠέ πη ἄλλῃ
αὐταῖς ληϊάδεσσιν ἀφορμηθέντες ἵκοιντο.
Οἳ δ' ἄρα θεσσάμενοι παίδων γένος, ὅσσον ἔλειπτο
ἄρσεν ἀνὰ πτολίεθρον, ἔβαν πάλιν, ἔνθ' ἔτι νῦν περ
Θρηϊκίης ἄροσιν χιονώδεα ναιετάουσιν.
Τῷ ὑμεῖς στρωφᾶσθ' ἐπιδήμιοι· εἰ δέ κεν αὖθι
ναιετάειν ἐθέλοις καί τοι ἅδοι, ἦ τ' ἂν ἔπειτα
πατρὸς ἐμοῖο Θόαντος ἔχοις γέρας· οὐδέ τί σ' οἴω
γαῖαν ὀνόσσεσθαι· πέρι γὰρ βαθυλήϊος ἄλλων
νήσων, Αἰγαίῃ ὅσαι εἰν ἁλὶ ναιετάουσιν.
Ἀλλ' ἄγε νῦν ἐπὶ νῆα κιὼν ἑτάροισιν ἔνισπε
μύθους ἡμετέρους, μηδ' ἔκτοθι μίμνε πόληος·
Ἴσκεν ἀμαλδύνουσα φόνου τέλος, οἷον ἐτύχθη
ἀνδράσιν· αὐτὰρ ὁ τήνγε παραβλήδην προσέειπεν.
Ὑψιπύλη, μάλα κεν θυμηδέος ἀντιάσαιμεν
χρησμοσύνης, ἣν ἄμμι σέθεν χατέουσιν ὀπάζεις.
Εἶμι δ' ὑπότροπος αὖθις ἀνὰ πτόλιν, εὖτ' ἂν ἕκαστα
ἐξείπω κατὰ κόσμον. Ἀνακτορίη δὲ μελέσθω
σοί τ' αὐτῇ καὶ νῆσος· ἔγωγε μὲν οὐκ ἀθερίζων
χάζομαι, ἀλλά με λυγροὶ ἐπισπέρχουσιν ἄεθλοι.
Ἦ καὶ δεξιτερῆς χειρὸς θίγεν· αἶψα δ' ὀπίσσω
βῆ ῥ' ἴμεν, ἀμφὶ δὲ τόνγε νεήνιδες ἄλλοθεν ἄλλαι
μυρίαι εἱλίσσοντο κεχαρμέναι, ὄφρα πυλάων
ἐξέμολεν· μετέπειτα δ' ἐϋτροχάλοισιν ἀμάξαις
ἀκτὴν εἰσανέβαν ξεινήϊα πολλὰ φέρουσαι,
μῦθον ὅτ' ἤδη πάντα διηνεκέως ἀγόρευσεν,
τόν ῥα καλεσσαμένη διεπέφραδεν Ὑψιπύλεια·

verum Thraciæ, suis-sedibus relictis, continentis
frugifera arant arva. Calamitatem vero omnem
enarrabo vere, ut bene cognoscatis et ipsi.
Cum civibus Thoas, pater meus, imperaret,
tum Thraciæ, qui ex-adverso habitant,
e-patria prorumpentes populi vastarunt caulas (*villas*)
ex navibus, cum-ipsis vero immensam prædam puellis
huc duxerunt; perniciosæ vero deæ perficiebatur sententia
Cypridis, quæ iis pestiferum inspirabat scelus.
Nam uxores quidem aversati-sunt, ex ædibus autem
suæ dementiæ obsecuti exegerunt mulieres;
sed mulieribus captis-bello concubuerunt
miseri. Sane diu pertulimus, si forte rursus
sero convertant mentem; sed duplum continuo
malum pestiferum progressum-est: contemnebantur liberi
genuini in ædibus, spuriaque progerminavit soboles.
Sic vero et innuptæ puellæ et viduæ cum his
matres per urbem negligenter vagabantur:
nec pater tantillum quidem suam curabat filiam,
si vel *suis* oculis laniatam videret
novercæ manibus impiæ: neque a matre
injuriam, ut olim, indignam filii arcebant;
nec fratribus soror curæ-erat cordique.
Sed solæ puellæ captivæ et in ædibus,
et in choris, et *in* concione, et *in* conviviis curabantur;
donec deus quis nobis magnos immisit animos,
ut reversos a Thracibus *maritos* non-amplius mœniis
exciperemus, quo aut sentirent, quæ fas *est*, aut alio
cum-ipsis captivis-puellis profecti abirent.
Illi vero, postulatis liberis, quotquot reliqui-erant
masculi in urbe, abierunt rursus *eo*, ubi etiam nunc
Thraciæ arva nivosa incolunt.
Quare vos versemini *hic* populo-nostro-adscripti; si vero hic
habitare volueris, et tibi placuerit, sane deinde
patris mei Thoantis habebis honorem; neque te puto
terram reprehensurum-esse: multo enim fertilior est aliis
insulis, Ægæo quotquot in mari habitantur.
Itaque age nunc ad navem profectus sociis expone
sermones nostros, neve extra urbem mane.
Dixit, celans cædis exitum, quæ commissa-erat
in-maritos: at ille ipsam vicissim allocutus-est:
Hypsipyle, admodum grata accipiemus
subsidia, quæ nobis, tua-ope egentibus, suppeditas.
Reversurus vero sum iterum in urbem, cum singula
exposuero rite. Imperium vero curæ-sit
tibi ipsi atque insula; ego quidem non spernens
recuso, sed me dura urgent certamina.
Dixit, et dextram *ejus* manum prehendit: statim vero retro
abiit, circaque ipsum puellæ aliunde aliæ
innumeræ volvebantur lætatæ, dum portis
exiisset; tum vero velocibus rhedis
ad-littus descenderunt, hospitalia-dona multa afferentes,
sermonem ubi *ille* jam omnem accurate enarraverat,
quem quidem invitans *eos* habuerat Hypsipylea;

καὶ δ' αὐτοὺς ξεινοῦσθαι ἐπὶ σφέα δώματ' ἄγεσκον
ῥηϊδίως. Κύπρις γὰρ ἐπὶ γλυκὺν ἵμερον ὦρσεν
Ἡφαίστοιο χάριν πολυμήτιος, ὄφρα κεν αὖτις
ναίηται μετόπισθεν ἀκήρατος ἀνδράσι Λῆμνος.
Ἔνθ' ὁ μὲν Ὑψιπύλης βασιλήϊον ἐς δόμον ὦρτο
Αἰσονίδης· οἱ δ' ἄλλοι ὅπῃ καὶ ἔκυρσαν ἕκαστος,
Ἡρακλῆος ἄνευθεν, ὁ γὰρ παρὰ νηῒ λέλειπτο
αὐτὸς ἑκὼν, παῦροί τε διακρινθέντες ἑταῖροι.
Αὐτίκα δ' ἄστυ χοροῖσι καὶ εἰλαπίνῃσι γεγήθει,
καπνῷ κνισσήεντι περίπλεον· ἔξοχα δ' ἄλλων
ἀθανάτων Ἥρης υἷα κλυτὸν ἠδὲ καὶ αὐτὴν
Κύπριν ἀοιδῇσιν θυέεσσί τε μειλίσσοντο.
Ἀμβολίη δ' εἰς ἦμαρ ἀεὶ ἐξ ἤματος ἦεν
ναυτιλίης· δηρὸν δ' ἂν ἐλίνυον αὖθι μένοντες,
εἰ μὴ ἀολλίσσας ἑτάρους ἀπάνευθε γυναικῶν
Ἡρακλέης τοίοισιν ἐνιπτάζων μετέειπεν.
Δαιμόνιοι, πάτρης ἐμφύλιον αἷμ' ἀποέργει
ἡμέας; ἦε γάμων ἐπιδευέες ἐνθάδ' ἔβημεν
κεῖθεν ὀνοσσάμενοι πολιήτιδας; Αὖθι δ' ἕαδεν
ναίοντας λιπαρὴν ἄροσιν Λήμνοιο ταμέσθαι;
Οὐ μὰν εὐκλειεῖς γε σὺν ὀθνείῃσι γυναιξὶν
ἐσσόμεθ' ὧδ' δηρὸν ἐελμένοι· οὐδέ τι κῶας
αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.
Ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα· τὸν δ' ἐνὶ λέκτροις
Ὑψιπύλης εἰᾶτε πανήμερον, εἰσόκε Λῆμνον
παισὶν ἐσανδρώσῃ μεγάλη τέ ἑ βάξις ἔχηται.
Ὣς νείκεσσεν ὅμιλον· ἐναντία δ' οὔ νύ τις ἔτλη
ὄμματ' ἀνασχεθέειν, οὐδὲ προτιμυθήσασθαι·
ἀλλ' αὔτως ἀγορῆθεν ἐπαρτίζοντο νέεσθαι
σπερχόμενοι. Ταὶ δέ σφιν ἐπέδραμον, εὖτ' ἐδάησαν.
Ὡς δ' ὅτε λείρια καλὰ περιβρομέουσι μέλισσαι
πέτρης ἐκχύμεναι σιμβληΐδος, ἀμφὶ δὲ λειμὼν
ἑρσήεις γάνυται, ταὶ δὲ γλυκὺν ἄλλοτε ἄλλον
καρπὸν ἀμέργουσιν πεποτημέναι· ὣς ἄρα ταί γε
ἐνδυκὲς ἀνέρας ἀμφὶ κινυρόμεναι προχέοντο·
χερσί τε καὶ μύθοισιν ἐδεικανόωντο ἕκαστον,
εὐχόμεναι μακάρεσσιν ἀπήμονα νόστον ὀπάσσαι.
Ὣς δὲ καὶ Ὑψιπύλη ἠρήσατο χεῖρας ἑλοῦσα
Αἰσονίδεω, τὰ δέ οἱ ῥέε δάκρυα χήτει ἰόντος.
Νίσσεο, καὶ σὲ θεοὶ σὺν ἀπήμοσιν αὖτις ἑταίροις
χρύσειον βασιλῆϊ δέρος κομίσειαν ἄγοντα
αὔτως, ὡς ἐθέλεις καί τοι φίλον· ἥδε δὲ νῆσος
σκῆπτρά τε πατρὸς ἐμοῖο παρέσσεται, ἢν καὶ ὀπίσσω
δή ποτε νοστήσας ἐθέλῃς ἄψορρον ἱκέσθαι.
Ῥηϊδίως δ' ἂν τοι καὶ ἀπείρονα λαὸν ἀγείραις
ἄλλων ἐκ πολίων· ἀλλ' οὐ σύ γε τήνδε μενοινὴν
σχήσεις, οὔτ' αὐτὴ προτιόσσομαι ὧδε τελεῖσθαι.
Μνώεο μὴν ἀπεὼν περ ὁμῶς καὶ νόστιμος ἤδη
Ὑψιπύλης· λίπε δ' ἧμιν ἔπος, τό κεν ἐξανύσαιμι
πρόφρων, ἤν ἄρα δή με θεοὶ δώωσι τεκέσθαι.
Τὴν δ' αὖτ' Αἴσονος υἱὸς ἀγαιόμενος προσέειπεν.
Ὑψιπύλη, τὰ μὲν οὕτω ἐναίσιμα πάντα γένοιτο
ἐκ μακάρων· τύνη δ' ἐμέθεν πέρι θυμὸν ἀρείω
ἴσχαν', ἐπεὶ πάτρην μοι ἅλις Πελίαο ἕκητι

atque ipsos ut-deverterent in suas domos, impulerunt
facile. Cypris enim dulcem amorem instillaverat,
Vulcani gratia solertis, ut denuo
inhabitaretur in-posterum integra viris Lemnus.
Tum ipse quidem Hypsipylæ regiam in domum profectus-est] Æsonides; at reliqui, quo forte-pervenit quisque,
præter Herculem; is enim apud navem relinquebatur
ipse lubens, et pauci selecti commilitones.
Statim vero urbs choris et epulis exhilarata-est,
fumo odorato plena; præ aliis vero
immortalibus Junonis filium inclytum (*Vulcanum*) atque
ipsam] Venerem cantu et sacris placarunt.
Dilatio autem in diem semper ex die erat
navigationis; diuque cessassent ibi commorantes,
nisi convocatos socios seorsum a-mulieribus
Hercules talibus *verbis* increpans esset-allocutus :
Miseri, patriane domesticus sanguis (*cædes*)arcet
nos? an nuptiis indigentes huc venimus
inde, spretis civitatis-nostræ-feminis? Hic igitur placet
habitantes pinguia arva Lemni scindere?
Non profecto celebres cum peregrinis mulieribus
erimus tam diu conjuncti; nec vellus
ultro dabit quis arreptum deus precantibus.
Revertamur quisque domum : illum vero in lecto
Hypsipylæ sinite *manere* totos-dies, donec Lemnum
filiis frequentaverit, magnaque ad-eum fama pervenerit.
Sic objurgavit cœtum; neque contra quisquam ausus-est
oculos attollere, neque alloqui;
verum sic-ut-erant e-concione pararunt abitum
festinantes. Sed illæ (*Lemniæ*) iis accurrerunt, ubi intellexerant.] Ut vero quando lilia pulchra circumstrepunt apes
e rupe effusæ, quæ-alvearis-loco-est, undique vero pratum
roscidum ridet, illæque dulcem aliunde alium
fructum delibant volantes : sic igitur hæ
diligenter viros queribundæ circumfuderunt,
manibusque et verbis salutarunt singulos,
precantes deos, securum reditum ut-largirentur.
Sic vero etiam Hypsipyle precata-est, manus prehendens
Æsonidæ, atque ei effusæ-sunt lacrimæ desiderio abeuntis.
Abi, *inquit*, et te dii cum salvis retro sociis
aureum regi vellus reducant afferentem
sic ut lubet tibique gratum *est* : hæc vero insula
et sceptra patris mei *ad te* pertinebunt, si etiam posthac
aliquando reversus volueris retro venire.
Facile vero tibi vel infinitum populum colliges
aliis ex urbibus; at tu quidem non eum animum
habebis, neque ipsa prævideo ita eventurum-esse.
Memento tamen absens æque ac reversus jam
Hypsipylæ; relinque vero nobis mandatum, quod perficiam
lubens, si quidem dii concesserint ut-pariam.
Eam contra Æsonis filius admirans allocutus est :
Hypsipyle, hæc quidem sic feliciter omnia eveniant
diis volentibus : tu vero de me sententiam meliorem
tene, quoniam patriam mihi satis *est*, Pelia concedente,

ναιετάειν· μοῦνόν γε θεοὶ λύσειαν ἀέθλων
Εἰ δ' οὔ μοι πέπρωται ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
τηλοῦ ἀναπλώοντι, σὺ δ' ἄρσενα παῖδα τέκηαι,
πέμπε μιν ἡβήσαντα Πελασγίδος ἔνδον Ἰωλκοῦ,
πατρί τ' ἐμῷ καὶ μητρὶ δύης ἄκος, ἢν ἄρα τούς γε
τέτμῃ ἔτι ζώοντας, ἵν' ἄνδιχα τοῖο ἄνακτος
σφοῖσιν πορσύνωνται ἐφέστιοι ἐν μεγάροισιν.

Ἦ καὶ ἔβαιν' ἐπὶ νῆα παροίτατος· ὣς δὲ καὶ
βαῖνον ἀριστῆες· λάζοντο δὲ χερσὶν ἐρετμὰ [ἄλλοι
ἐνσχερὼ ἑζόμενοι· πρυμνήσια δὲ σφίσιν Ἄργος
λῦσεν ὑπὲκ πέτρης ἁλιμυρέος. Ἔνθ' ἄρα τοίγε
κόπτον ὕδωρ δολιχῇσιν ἐπικρατέως ἐλάτῃσιν.
Ἑσπέριοι δ' Ὀρφῆος ἐφημοσύνῃσιν ἔκελσαν
νῆσον ἐς Ἠλέκτρης Ἀτλαντίδος, ὄφρα δαέντες
ἀῤῥήτους ἀγανῇσι τελεσφορίῃσι θέμιστας
σωότεροι κρυόεσσαν ὑπεὶρ ἅλα ναυτίλλοιντο.
Τῶν μὲν ἔτ' οὐ προτέρω μυθήσομαι· ἀλλὰ καὶ αὐτὴ
νῆσος ὁμῶς κεχάροιτο καὶ οἳ λάχον ὄργια κεῖνα
δαίμονες ἐνναέται, τὰ μὲν οὐ θέμις ἄμμιν ἀείδειν.

Κεῖθεν δ' εἰρεσίῃ Μέλανος διὰ βένθεα πόντου
ἱέμενοι τῇ μὲν Θρῃκῶν χθόνα, τῇ δὲ περαίην
Ἴμβρον ἔχον καθύπερθε· νέον γε μὲν ἠελίοιο
δυομένου Χερόνησον ἐπὶ προὔχουσαν ἵκοντο.
Ἔνθα σφιν λαιψηρὸς ἄη νότος, ἱστία δ' οὔρῳ
στησάμενοι κούρης Ἀθαμαντίδος αἰπὰ ῥέεθρα
εἰσέβαλον· πέλαγος δὲ τὸ μὲν καθύπερθε λέλειπτο
ἦρι, τὸ δ' ἐννύχιοι Ῥοιτειάδος ἔνδοθεν ἀκτῆς
μέτρεον, Ἰδαίην ἐπὶ δεξιὰ γαῖαν ἔχοντες.
Δαρδανίην δὲ λιπόντες ἐπιπροσέβαλλον Ἀβύδῳ,
Περκώτην δ' ἐπὶ τῇ καὶ Ἀβαρνίδος ἠμαθόεσσαν
ἠϊόνα ζαθέην τε παρήμειβον Πιτύειαν.
Καὶ δὴ τῇ γ' ἐπὶ νυκτὶ διάνδιχα νηὸς ἰούσης
δίνῃ πορφύροντα διήνυσαν Ἑλλήσποντον.

Ἔστι δέ τις αἰπεῖα Προποντίδος ἔνδοθι νῆσος
τυτθὸν ἀπὸ Φρυγίης πολυληΐου ἠπείροιο
εἰς ἅλα κεκλιμένη, ὅσσον τ' ἐπιμύρεται ἰσθμὸς
χέρσῳ ἐπιπρηνὴς καταειμένος· ἐν δέ οἱ ἀκταὶ
ἀμφίδυμοι, κεῖνται δ' ὑπὲρ ὕδατος Αἰσήποιο.
Ἄρκτων μιν καλέουσιν ὄρος περιναιετάοντες·
καὶ τὸ μὲν ὑβρισταί τε καὶ ἄγριοι ναιετάουσι
Γηγενέες, μέγα θαῦμα περικτιόνεσσιν ἰδέσθαι.
Ἓξ γὰρ ἑκάστῳ χεῖρες ὑπέρβιοι ἠερέθονται,
αἱ μὲν ἀπὸ στιβαρῶν ὤμων δύο, ταὶ δ' ὑπένερθεν
τέσσαρες αἰνοτάτῃσιν ἐπὶ πλευρῇς ἀραρυῖαι.
Ἰσθμὸν δ' αὖ πεδίον τε Δολίονες ἀμφενέμοντο
ἀνέρες· ἐν δ' ἥρως Αἰνήϊος υἱὸς ἄνασσεν
Κύζικος, ὃν κούρη δίου τέκεν Εὐσώροιο
Αἰνήτη. Τοὺς δ' οὔ τι καὶ ἔκπαγλοί περ ἐόντες
Γηγενέες σίνοντο Ποσειδάωνος ἀρωγῇ·
τοῦ γὰρ ἔσαν ταπρῶτα Δολίονες ἐκγεγαῶτες.
Ἔνθ' Ἀργὼ προὔτυψεν ἐπειγομένη ἀνέμοισιν
Θρηϊκίοις, καλὸς δὲ λιμὴν ὑπέδεκτο θέουσαν.
Κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ἐκλύσαντες
Τίφυος ἐννεσίῃσιν ὑπὸ κρήνῃ ἐλίποντο,

inhabitare : modo *me* dii liberaverint ex-certaminibus.
Quodsi non mihi fato-destinatum-est, in Græciam reverti,
longe naviganti, tu vero masculam prolem pepereris,
mitte eum adultum Pelasgicam in Iolcum
patri meo matrique orbitatis solatium, si quidem eos
offenderit adhuc viventes, ut sine *me* rege
suis defendantur incolæ in ædibus.

Dixit, et conscendit navem primus: ita vero etiam reliqui
conscenderunt heroes; prehenderunt vero manibus remos
ex-ordine sedentes : retinacula autem ipsis Argus
solvit a rupe marina. Tum igitur illi
pulsabant aquam longis valide abietibus.
Vespere vero Orphei suasu appulerunt
ad insulam Electræ Atlantidis, ut edocti
reticendas sanctis initiationibus leges
tutiores horridum per mare navigarent.
Hæc igitur non ulterius eloquar : sed ipsa
insula pariter valeat, et qui nacti-sunt mysteria illa
dii indigenæ, quæ nefas *est* nobis canere.

Inde remigando Melanis per profunda maris
profecti, ex-altera-parte Thracum terram, ex-altera opposi-
tam] Imbrum habuerunt superius : atqui modo sole
occaso Chersonesum ad prominentem venerunt.
Ibi ipsis citus afflavit notus, velisque vento
datis filiæ Athamantis alta fluenta (*Hellespontum*)
ingressi-sunt; mare vero alterum superius relinquebatur
mane, alterum noctu Rhœteïum intra littus
emetiebantur, Idæam ad dextram terram habentes.
Dardania vero relicta appulerunt Abydum,
Percoten vero post illam, et Abarnidis arenosum
littus, divinamque prætererierunt Pityeam :
atque hac ipsa nocte, utrimque navi procurrente,
vorticibus æstuantem permearunt Hellespontum.

Est vero quædam excelsa in Propontide insula (*Cyzicus*)
non-longe a Phrygiæ fertili continente
in mare porrecta, quantumque resonat isthmus
in-continentem pronus devergens; in ea littora
utrimque-adeunda sita-sunt super fluvium Æsepum :
Ursorum illum appellant montem accolæ;
et eum quidem insolentes et feri incolunt
Terrigenæ, ingens miraculum vicinis visendum :
sex enim cuique manus violentæ dependent,
hæ quidem a validis humeris duæ, illæ autem subtus
quatuor horrendis in lateribus adaptatæ.
Isthmum vero contra campumque Doliones circum habita-
bant] viri; interque *eos* heros Ænei filius imperabat
Cyzicus, quem filia divini pepererat Eusori
Ænete. Hos vero neutiquam, quamvis terribiles essent,
Terrigenæ infestabant, Neptuni auxilio;
ex-eo enim erant primum Doliones prognati.
Huc Argo appulit acta ventis
Thraciis, commodus vero portus excepit currentem.
Ibi etiam ab-ancora exiguum lapidem solutum
Tiphyis consilio sub fonte reliquerunt,

κρήνῃ ὑπ' Ἀρτακίῃ· ἕτερον δ' ἕλον, ὅστις ἀρήρει,
βριθύν· ἀτὰρ κεῖνόν γε θεοπροπίαις Ἑκάτοιο
Νηλεΐδαι μετόπισθεν Ἰάονες ἱδρύσαντο
ἱερὸν, ᾗ θέμις ἦεν, Ἰησονίης ἐν Ἀθήνης.
Τοὺς δ' ἄμυδις φιλότητι Δολίονες ἠδὲ καὶ αὐτὸς
Κύζικος ἀντήσαντες, ὅτε στόλον ἠδὲ γενέθλην
ἔκλυον οἵτινες εἶεν, ἐϋξείνως ἀρέσαντο,
καί σφεας εἰρεσίῃ πέπιθον προτέρωσε κιόντας
ἄστεος ἐν λιμένι πρυμνήσια νηὸς ἀνάψαι.
Ἔνθ' οἵ γ' Ἐκβασίῳ βωμὸν θέσαν Ἀπόλλωνι
στησάμενοι παρὰ θῖνα, θυηπολίης τ' ἐμέλοντο.
Δῶκεν δ' αὐτὸς ἄναξ λαρὸν μέθυ δευομένοισιν,
μῆλά θ' ὁμοῦ· δὴ γάρ οἱ ἔην φάτις, εὖτ' ἂν ἵκωνται
ἀνδρῶν ἡρώων θεῖος στόλος, αὐτίκα τόνγε
μείλιχον ἀντιάαν, μηδὲ πτολέμοιο μέλεσθαι.
Ἶσόν που κἀκείνῳ ἐπισταχύεσκον ἴουλοι,
οὐδέ νύ πω παίδεσσιν ἀγαλλόμενος μεμόρητο·
ἀλλ' ἔτι οἱ κατὰ δώματ' ἀκήρατος ἦεν ἄκοιτις
ὠδίνων, Μέροπος Περκωσίου ἐκγεγαυῖα,
Κλείτη ἐϋπλόκαμος. Τὴν μὲν νέον ἐξέτι πατρὸς
θεσπεσίοις ἕδνοισιν ἀνήγαγεν ἀντιπέρηθεν.
Ἀλλὰ καὶ ὣς θάλαμόν τε λιπὼν καὶ δέμνια νύμφης
τοῖς μέτα δαῖτ' ἀλέγυνε, βάλεν δ' ἀπὸ δείματα θυμοῦ.
Ἀλλήλους δ' ἐρέεινον ἀμοιβαδίς. Ἤτοι ὁ μὲν σφέων
πεύθετο ναυτιλίης ἄνυσιν Πελίαό τ' ἐφετμάς·
οἱ δὲ περικτιόνων πόλιας καὶ κόλπον ἅπαντα
εὐρείης πεύθοντο Προποντίδος· οὐ μὲν ἐπιπρὸ
ἠείδει καταλέξαι ἐελδομένοισι δαῆναι.
Ἠοῖ δ' εἰσανέβαν μέγα Δίνδυμον, ὄφρα καὶ αὐτοὶ
θηήσαιντο πόρους κείνης ἁλός· ἐκ δ' ἄρα τοίγε
νῆα χυτοῦ λιμένος προτέρου ἐξήλασαν ὅρμου·
ἥδε δ' Ἰησονίη πέφαται ὁδὸς, ἥνπερ ἔβησαν.
Γηγενέες δ' ἑτέρωθεν ἀπ' οὔρεος ἀΐξαντες
φράξαν ἀπειρεσίοιο Χυτοῦ στόμα νειόθι πέτρης
πόντιον, οἷά τε θῆρα λοχώμενοι ἔνδον ἐόντα.
Ἀλλὰ γὰρ αὖθι λέλειπτο σὺν ἀνδράσιν ὁπλοτέροισιν
Ἡρακλέης, ὅς δή σφι παλίντονον αἶψα τανύσσας
τόξον, ἐπασσυτέρους πέλασε χθονί· τοὶ δὲ καὶ αὐτοὶ
πέτρας ἀμφιρρῶγας ἀερτάζοντες ἔβαλλον.
Δὴ γάρ που κἀκεῖνα θεὰ τρέφεν αἰνὰ πέλωρα
Ἥρη, Ζηνὸς ἄκοιτις, ἀέθλιον Ἡρακλῆϊ.
Σὺν δὲ καὶ ὧλλοι δῆθεν ὑπότροποι ἀντιόωντες,
πρίν περ ἀνελθέμεναι σκοπιήν, ἥπτοντο φόνοιο
Γηγενέων ἥρωες ἀρήϊοι, ἠμὲν ὀϊστοῖς,
ἠδὲ καὶ ἐγχείῃσι δεδεγμένοι, εἰσόκε πάντας
ἀντιβίην ἀσπερχὲς ὀρινομένους ἐδάϊξαν.
Ὡς δ' ὅτε δούρατα μακρὰ νέον πελέκεσσι τυπέντα
ὑλοτόμοι στοιχηδὸν ἐπὶ ῥηγμῖνι βάλωσιν,
ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους·
ὣς οἱ ἐνὶ ξυνοχῇ λιμένος πολιοῖο τέταντο
ἑξείης, ἄλλοι μὲν ἐς ἁλμυρὸν ἀθρόοι ὕδωρ
δύπτοντες κεφαλὰς καὶ στήθεα, γυῖα δ' ὕπερθεν
χέρσῳ τεινάμενοι· τοὶ δ' ἔμπαλιν αἰγιαλοῖο
κράατα μὲν ψαμάθοισι, πόδας δ' εἰς βένθος ἔρειδον,

fonte sub Artacio : alium vero sumserunt, qui aptus-erat,
gravem; at illum monitu Apollinis
Nelidæ postea Iones collocarunt
sacrum, ut fas erat, Jasoniæ in Minervæ *templo*.
His vero (*Argonautis*) omnes amice Doliones atque ipse
etiam] Cyzicus obviam-facti, cum expeditionem et genus
audivissent, quinam essent, hospitaliter exceperunt,
iisque persuaserunt, remis ulterius provecti
urbis in portu retinacula navis ut-alligarent.
Ibi illi Ecbasio (*escensus præsidi*) aram posuerunt Apollini
exstruentes ad littus, reique-sacræ dederunt-operam.
Dedit vero ipse rex dulce vinum indigentibus
pecudesque simul; nam ipsi erat oraculum, quando venerit
heroum divina cohors, tum statim eam
comiter excipiendam, neque bello petendam-esse.
Pariter (*ac Jasoni*) etiam illi efflorescebat lanugo,
neque jam liberis ornari *ipsi* contigerat;
sed adhuc ei in palatio intacta erat conjux
partus-doloribus, Meropis Percosii nata,
Clite pulchricoma, quam nuper e patris *domo*
splendida dote duxerat ex-opposita-regione.
Sed vel sic thalamo relicto et toro nuper ductæ-uxoris
cum illis epulas adornavit, abjecto timore ex animo.
Invicem autem se interrogarunt alternatim : et ille quidem
ab ipsis] sciscitabatur navigationis consilium et Peliæ mandata :] hi vero accolarum urbes, et sinum omnem
amplæ percontabantur Propontidis; neque ulterius
scivit enarrare cupidis cognoscendi :
mane vero ascendebant magnum in-Dindymum, ut et ipsi
contemplarentur meatus illius maris, at alii
navem fossi portus priore propulerunt e statione;
hæc vero Jasonia appellatur via, qua iverunt.
Gigantes vero altera-ex-parte a monte irruentes
obstruxerunt immensi Chyti (*structi portus*) os infra saxis
marinum, veluti feræ insidiantes intus commoranti.
Enimvero ibi relictus-erat cum viris junioribus
Hercules, qui quidem in-ipsos recurvum statim tendens
arcum multos prostravit humi; illi vero et ipsi
saxa abrupta tollentes conjecerunt :
etenim hæc quoque dea aluerat horrenda monstra
Juno, Jovis conjux, *in* certamen *destinata* Herculi.
Una vero et reliqui illinc reversi *illis* occurrentes,
priusquam conscenderent speculam, aggressi-sunt cædem
Gigantum heroes bellicosi, quum sagittis,
tum etiam hastis *eos* excipientes, donec omnes
ex-adverso sine-cessatione irruentes interfecissent.
Sicut vero quando arbores longas nuper securibus cæsas
cæsores deinceps in littus conjiciunt,
ut humectatæ validos admittant cuneos :
sic illi in angustiis portus cani extensi-jacebant
deinceps, alii quidem in salsam confertim aquam
mergentes capita et pectora, pedibus superne
in-terra porrectis; alii contra littoris
capita quidem arenæ, pedes vero mari immergebant,

ἄμφω ἅμ' οἰωνοῖσι καὶ ἰχθύσι κύρμα γενέσθαι.
Ἥρωες δ', ὅτε δή σφιν ἀταρβὴς ἔπλετ' ἄεθλος,
δὴ τότε πείσματα νηὸς ἐπὶ πνοιῆς ἀνέμοιο
λυσάμενοι προτέρωσε διὲξ ἁλὸς οἶδμα νέοντο.
Ἡ δ' ἔθεεν λαίφεσσι πανήμερος· οὐ μὲν ἰούσης
νυκτὸς ἔτι ῥιπὴ μένεν ἔμπεδον, ἀλλὰ θύελλαι
ἀντίαι ἁρπάγδην ὀπίσω φέρον, ὄφρ' ἐπέλασσαν
αὖτις ἐϋξείνοισι Δολίοσιν. Ἐκ δ' ἄρ' ἔβησαν
αὐτονυχί· Ἱερὴ δὲ φατίζεται ἥδ' ἔτι πέτρη,
ᾗ πέρι πείσματα νηὸς ἐπεσσύμενοι ἐβάλοντο.
Οὐ δέ τις αὐτὴν νῆσον ἐπιφραδέως ἐνόησεν
ἔμμεναι· οὐδ' ὑπὸ νυκτὶ Δολίονες ἂψ ἀνιόντας
ἥρωας νημερτὲς ἐπήϊσαν· ἀλλά που ἀνδρῶν
Μακριέων εἴσαντο Πελασγικὸν ἄρεα κέλσαι.
Τῷ καὶ τεύχεα δύντες ἐπὶ σφίσι χεῖρας ἄειραν.
Σὺν δ' ἔλασαν μελίας τε καὶ ἀσπίδας ἀλλήλοισιν
ὀξείῃ ἴκελοι ῥιπῇ πυρὸς, ἥτ' ἐνὶ θάμνοις
αὐαλέοισι πεσοῦσα κορύσσεται· ἐν δὲ κυδοιμὸς
δεινός τε ζαμενής τε Δολιονίῳ πέσε δήμῳ.
Οὐδ' ὅγε δηϊοτῆτος ὑπὲρ μόρον αὖτις ἔμελλεν
οἴκαδε νυμφιδίους θαλάμους καὶ λέκτρον ἱκέσθαι.
Ἀλλά μιν Αἰσονίδης τετραμμένον ἰθὺς ἑοῖο
πλῆξεν ἐπαΐξας στῆθος μέσον, ἀμφὶ δὲ δουρὶ
ὀστέον ἐῤῥαίσθη· ὁ δ' ἐνὶ ψαμάθοισιν ἐλυσθεὶς
μοῖραν ἀνέπλησεν. Τὴν γὰρ θέμις οὔ ποτ' ἀλύξαι
θνητοῖσιν· πάντῃ περὶ γὰρ μέγα πέπταται ἕρκος.
Ὣς τὸν ὀϊόμενόν που ἀδευκέος ἔκτοθεν ἄτης
εἶναι ἀριστήων, αὐτῇ ὑπὸ νυκτὶ πέδησεν
μαρνάμενον κείνοισι· πολεῖς δ' ἐπαρηγόνες ἄλλοι
ἔκταθεν· Ἡρακλέης μὲν ἐνήρατο Τηλεκλῆα
ἠδὲ Μεγαβρόντην· Σφόδριν δ' ἐνάριξεν Ἄκαστος·
Πηλεὺς δὲ Ζέλυν εἷλεν, ἀρηΐθοόν τε Γέφυρον.
Αὐτὰρ ἐϋμμελίης Τελαμὼν Βασιλῆα κατέκτα.
Ἴδας δ' αὖ Προμέα, Κλύτιος δ' Ὑάκινθον ἔπεφνεν.
Τυνδαρίδαι δ' ἄμφω Μεγαλοσσάκεα, Φλόγιόν τε.
Οἰνείδης δ' ἐπὶ τοῖσιν ἕλεν θρασὺν Ἰτυμονῆα,
ἠδὲ καὶ Ἀρτακέα, πρόμον ἀνδρῶν· οὓς ἔτι πάντας
ἐνναέται τιμαῖς ἡρωΐσι κυδαίνουσιν.
Οἱ δ' ἄλλοι εἴξαντες ὑπέτρεσαν, ἠΰτε κίρκους
ὠκυπέτας ἀγεληδὸν ὑποτρέσσωσι πέλειαι.
Ἐς δὲ πύλας ὁμάδῳ πέσον ἀθρόοι· αἶψα δ' ἀϋτῆς
πλῆτο πόλις στονόεντος ὑποτροπίῃ πολέμοιο.
Ἠῶθεν δ' ὀλοὴν καὶ ἀμήχανον εἰσενόησαν
ἀμπλακίην ἄμφω· στυγερὸν δ' ἄχος εἷλεν ἰδόντας
ἥρωας Μινύας Αἰνήϊον υἷα πάροιθεν
Κύζικον ἐν κονίῃσι καὶ αἵματι πεπτηῶτα.
Ἤματα δὲ τρία πάντα γόων τίλλοντό τε χαίτας
αὐτοὶ ὁμῶς λαοί τε Δολίονες. Αὐτὰρ ἔπειτα
τρὶς περὶ χαλκείοις σὺν τεύχεσι δινηθέντες
τύμβῳ ἐνεκτερέϊξαν ἐπειρήσαντό τ' ἀέθλων,
ἣ θέμις, ἂμ πεδίον λειμώνιον, ἔνθ' ἔτι νῦν περ
ἐγκέχυται τόδε σῆμα καὶ ὀψιγόνοισιν ἰδέσθαι.
Οὐδὲ μὲν οὐδ' ἄλοχος Κλείτη φθιμένοιο λέλειπτο
οὗ πόσιος μετόπισθε· κακῷ δ' ἔπι κύντερον ἄλλο

utrique simul avibus et piscibus escæ futuri.
Heroes vero, postquam jam ipsis intrepidum peractum-est
certamen,] tum funes navis adspirante vento
solverunt-et ulterius per maris æquor navigarunt.
Ea (*navis*) autem procurrit velis *expansis* toto-die, neque
tamen incidente] nocte etiam *venti* flatus mansit stabilis,
immo procellæ] adversæ cum-impetu *eam* retro egerunt, ut
accederent] iterum ad-hospitales Doliones. Egressi-sunt igitur] illa-ipsa-nocte. Sacra vero appellatur illa etiamnum petra,
circa quam retinacula navis delati-eo alligarunt.
Neque quis eandem insulam *illam* prudenter animadvertit
esse : nec noctu Doliones reversos
heroas vere agnoverunt; sed forte virorum
Macriensium opinati-sunt Pelasgicas copias appulisse.
Itaque armis sumtis cum illis manus conseruerunt :
agitarunt vero et hastas et clypeos in-se-invicem
vehementi similes vi ignis, quæ fruticetis
aridis illapsa furit : sed tumultus
gravis et terribilis Dolionio incidit populo.
Nec ipse (*rex*) e prælio contra fatum rursus erat
domum conjugales in-thalamos et torum rediturus :
sed eum Æsonides conversum recta in-se
percussit irruens in-medium pectus : circum vero hasta
os fractum-est; ille igitur in arenas provolutus
fatum explevit. Hoc enim licet numquam evitare
mortalibus : undique enim circum ingens expanditur sepimentum.] Sic illum ratum forte *se* acerbam extra cladem
esse heroum, ipsa noctu irretiit
pugnantem cum-illis; multi vero auxiliantes alii
interfecti-sunt. Hercules quidem occidit Teleclem
et Megabronten; Sphodrin vero interemit Acastus;
Peleus vero Zelyn prostravit, fortemque Gephyrum.
At hastæ-peritus Telamon Basileum interfecit :
Idas porro Promeum, Clytius vero Hyacinthum interemit,
et Tyndaridæ gemini Megalosacem Phlogiumque :
Œnei-filius vero post illos interfecit audacem Itymoneum,
atque etiam Artacem, antesignanum virorum : quos etiamnum omnes] incolæ honoribus, quales-heroibus-debentur, ornant.] Reliqui vero cedentes trepidarunt, ut accipitres
celeres turmatim cum-trepidatione-fugiunt columbæ :
in portas vero cum-tumultu irruerunt frequentes; statimque
clamore] impleta-est urbs, luctuosi ob-fugam belli.
Mane vero perniciosum et irreparabilem animadverterunt
errorem utrique; acerbus autem dolor occupavit intuitos
heroas Minyas Ænei-filium ante *ipsos*
Cyzicum in pulvere et sanguine jacentem.
Dies igitur tres totos plangebant, evellebantque crines
ipsi simul populusque Dolionum. At deinde
ter æreis cum armis circumacti
circa sepulcrum justa-funebria-fecerunt, instituerun tque certamina,] ut decet, per campum pratensem, ubi etiamnum
exstructus-est ille tumulus, posteris quoque visendus.
Neque vero conjux Clite occiso supervixit
suo marito postea : malo vero gravius aliud

ἤνυσεν ἁψαμένη βρόχον αὐχένι. Τὴν δὲ καὶ αὐταὶ
Νύμφαι ἀποφθιμένην ἀλσηΐδες ὠδύραντο·
καί οἱ ἀπὸ βλεφάρων ὅσα δάκρυα χεῦαν ἔραζε,
πάντα τάγε κρήνην τεῦξαν θεαί, ἣν καλέουσιν
Κλείτην, δυστήνοιο περικλεὲς οὔνομα νύμφης.
Αἰνότατον δὴ κεῖνο Δολιονίῃσι γυναιξὶν
ἀνδράσι τ' ἐκ Διὸς ἦμαρ ἐπήλυθεν· οὐδὲ γὰρ αὐτῶν
ἔτλη τις πάσσασθαι ἐδητύος, οὐδ' ἐπὶ δηρὸν
ἐξ ἀχέων ἔργοιο μυληφάτου ἐμνώοντο·
ἀλλ' αὔτως ἄφλεκτα διαζώεσκον ἔδοντες.
Ἔνθ' ἔτι νῦν, εὖτ' ἄν σφιν ἐτήσια χύτλα χέωνται
Κύζικον ἐνναίοντες Ἰάονες, ἔμπεδον αἰεὶ
πανδήμοιο μύλης πελάνους ἐπαλετρεύουσιν.
Ἐκ δὲ τόθεν τρηχεῖαι ἀνηέρθησαν ἄελλαι
ἦμαθ' ὁμοῦ νύκτας τε δυώδεκα, τοὺς δὲ κατ' αὖθι
ναυτίλλεσθαι ἔρυκον. Ἐπιπλομένῃ δ' ἐνὶ νυκτὶ
ὧλλοι μέν ῥα πάρος δεδμημένοι εὐνάζοντο
ὕπνῳ ἀριστῆες πύματον λάχος· αὐτὰρ Ἄκαστος
Μόψος τ' Ἀμπυκίδης ἀδινὰ κνώσσοντας ἔρυντο.
Ἡ δ' ἄρ' ὑπὲρ ξανθοῖο καρήατος Αἰσονίδαο
πωτᾶτ' ἀλκυονὶς λιγυρῇ ὀπὶ θεσπίζουσα
λῆξιν ὀρινομένων ἀνέμων· συνέηκε δὲ Μόψος,
ἀκταίης ὄρνιθος ἐναίσιμον ὄσσαν ἀκούσας.
Καὶ τὴν μὲν θεὸς αὖτις ἀπέτραπεν, ἷζε δ' ὕπερθεν
νηίου ἀφλάστοιο μετήορος ἀίξασα.
Τὸν δ' ὅ γε κεκλιμένον μαλακοῖς ἐνὶ κώεσιν οἰῶν
κινήσας ἀνέγειρε παρασχεδὸν ὧδέ τ' ἔειπεν·
Αἰσονίδη, χρειώ σε τόδ' ἱερὸν εἰσανιόντα
Δινδύμου ὀκριόεντος ἐΰθρονον ἱλάξασθαι
μητέρα συμπάντων μακάρων· λήξουσι δ' ἄελλαι
ζαχρηεῖς. Τοίην γὰρ ἐγὼ νέον ὄσσαν ἄκουσα
ἀλκυόνος ἁλίης, ἣ τε κνώσσοντος ὕπερθεν
σεῖο πέριξ τὰ ἕκαστα πιφαυσκομένη πεπότηται.
Ἐκ γὰρ τῆς ἄνεμοί τε θάλασσά τε νειόθι τε χθὼν
πᾶσα πεπείρανται νιφόεν θ' ἕδος Οὐλύμποιο·
καί οἱ, ὅτ' ἐξ ὀρέων μέγαν οὐρανὸν εἰσαναβαίνει,
Ζεὺς αὐτὸς Κρονίδης ὑποχάζεται. Ὣς δὲ καὶ ἄλλοι
ἀθάνατοι μάκαρες δεινὴν θεὸν ἀμφιέπουσιν.
Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι·
ὤρνυτο δ' ἐξ εὐνῆς κεχαρημένος· ὦρσε δ' ἑταίρους
πάντας ἐπισπέρχων, καί τέ σφισιν ἐγρομένοισιν
Ἀμπυκίδεω Μόψοιο θεοπροπίας ἀγόρευεν.
Αἶψα δὲ κουρότεροι μὲν ἀπὸ σταθμῶν ἐλάσαντες
ἔνθεν ἐς αἰπεινὴν ἄναγον βόας οὔρεος ἄκρην.
Οἱ δ' ἄρα λυσάμενοι Ἱερῆς ἐκ πείσματα πέτρης
ἤρεσαν ἐς λιμένα Θρηίκιον· ἂν δὲ καὶ αὐτοὶ
βαῖνον, παυροτέρους ἑτάρους ἐν νηῒ λιπόντες.
Τοῖσι δὲ Μακριάδες σκοπιαὶ καὶ πᾶσα περαίη
Θρηικίης ἐνὶ χερσὶν ἑαῖς προυφαίνετ' ἰδέσθαι·
φαίνετο δ' ἠερόεν στόμα Βοσπόρου ἠδὲ κολῶναι
Μυσίαι· ἐκ δ' ἑτέρης ποταμοῦ ῥόος Αἰσήποιο
ἄστυ τε καὶ πεδίον Νηπήιον Ἀδρηστείης.
Ἔσκε δέ τι στιβαρὸν στύπος ἀμπέλου ἔντροφον ὕλῃ,
πρόχνυ γεράνδρυον· τὸ μὲν ἔκταμον, ὄφρα πέλοιτο

addidit, inserens laqueo gulam. Eam vero et ipsæ
Nymphæ mortuam nemorenses deplorarunt;
atque ex oculis quotquot lacrimas effuderunt in-terram,
eas omnes in fontem commutarunt deæ, quem appellant
Cliten, infelicis celebri nomine sponsæ.
Tristissimus sane ille Dolionis mulieribus
virisque, Jove auctore, dies illuxit; neque enim eorum
sustinuit quisquam degustare cibum, nec diu,
præ dolore, de opere molendæ frugis cogitarunt;
verum sic non-tosta *frumenta* vixerunt edentes.
Ubi etiamnum, quando ipsis anniversaria libamina effundunt
Cyzicum incolentes Iones, constanter semper
in-publica mola farinam-libariam molunt.
Exinde asperæ excitatæ sunt procellæ
per-dies æque ac noctes duodecim, illos vero ibi
navigare prohibuerunt. Sed insequente nocte
reliqui quidem antea oppressi dormiebant
somno heroes ultima *noctis parte*; at Acastus
Mopsusque Ampycides diu dormientes tuebantur.
Tum igitur super flavum caput Jasonis
volavit alcedo, stridula voce vaticinans
finem excitatorum ventorum; intellexit autem Mopsus
littoralis avis faustam vocem audiens.
Et illam quidem dea rursus avertit, consedit vero supra
navis aplustri, in sublime elata.
Illum (*Jasonem*) vero hic (*Mopsus*), jacentem mollibus in
pellibus ovium, commovendo excitavit statim, atque sic
locutus est: Æsonide, oportet te hoc templum ingressum
Dindymi prominentis, pulcro-solio-insidentem placare
matrem omnium deorum; et cessabunt procellæ
vehementes. Talem enim ego modo vocem audivi
alcedinis marinæ, quæ dormientem supra
te circumcirca singula nuncians volitavit.
Ille (*Rhea*) enim et venti et mare et ima terra
omnis continetur, et nivosa sedes Olympi,
atque ei, quando e montibus magnum cœlum intrat,
Jupiter ipse Saturnius cedit. Sic vero etiam reliqui
immortales beati terribilem deam colunt.
Sic fatus est; illi autem gratus sermo fuit audienti;
surrexit vero e cubili lætus, excitavitque socios
omnes festinare jubens, atque ipsis consurgentibus
Ampycidæ Mopsi vaticinia exposuit.
Statim vero juniores e stabulis actos
inde in celsum duxerunt boves montis jugum.
Alii vero solutis ex Hiera retinaculis petra
remigarunt in portum Thracium; ascenderunt et ipsi,
paucis sociis in nave relictis.
His vero Macriades speculæ omnisque opposita regio
Thraciæ in manibus ipsorum apparebat videri;
conspiciebatur nebulosum os Bospori, atque juga
Mysiæ; e altera vero *parte* fluvii fluentum Æsepi,
urbsque atque campus Nepeius Adrasteæ.
Erat vero quidam solidus truncus vitis altus in sylva,
admodum vetus: eum excidebant, ut esset

δαίμονος οὐρείης ἱερὸν βρέτας· ἔξεσε δ' Ἄργος
εὐκόσμως, καὶ δή μιν ἐπ' ὀκριόεντι κολωνῷ
ἵδρυσαν, φηγοῖσιν ἐπηρεφὲς ἀκροτάτῃσιν,
αἵ ῥά τε πασάων πανυπέρταται ἐῤῥίζωνται.
Βωμὸν δ' αὖ χεράδος παρενήνεον· ἀμφὶ δὲ φύλλοις
στεψάμενοι δρυΐνοισι θυηπολίης ἐμέλοντο,
Μητέρα Δινδυμίην πολυπότνιαν ἀγκαλέοντες,
ἐνναέτιν Φρυγίης, Τιτίην θ' ἅμα, Κύλληνόν τε,
οἳ μοῦνοι πολέων μοιρηγέται ἠδὲ πάρεδροι
Μητέρος Ἰδαίης κεκλήαται, ὅσσοι ἔασιν
Δάκτυλοι Ἰδαῖοι Κρηταιέες, οὕς ποτε Νύμφη
Ἀγχιάλη Δικταῖον ἀνὰ σπέος, ἀμφοτέρῃσιν
δραξαμένη γαίης Οἰαξίδος, ἐβλάστησεν.
Πολλὰ δὲ τήνγε λιτῇσιν ἀποστρέψαι ἐριώλας
Αἰσονίδης γουνάζετ' ἐπιλλείβων ἱεροῖσιν
αἰθομένοις· ἄμυδις δὲ νέοι Ὀρφῆος ἀνωγῇ
σκαίροντες βηταρμὸν ἐνόπλιον ὠρχήσαντο,
καὶ σάκεα ξιφέεσσιν ἐπέκτυπον, ὥς κεν ἰωὴ
δύσφημος πλάζοιτο δι' ἠέρος, ἣν ἔτι λαοὶ
κηδείῃ βασιλῆος ἀνέστενον. Ἔνθεν ἐς αἰεὶ
ῥόμβῳ καὶ τυπάνῳ Ῥείην Φρύγες ἱλάσκονται.
Ἡ δέ που εὐαγέεσσιν ἐπὶ φρένα θῆκε θυηλαῖς
ἀνταίη δαίμων· τὰ δ' ἐοικότα σήματ' ἔγεντο.
Δένδρεα μὲν καρπὸν χέον ἄσπετον, ἀμφὶ δὲ ποσσὶν
αὐτομάτη φύε γαῖα τερείνης ἄνθεα ποίης.
Θῆρες δ' εἰλυούς τε κατὰ ξυλόχους τε λιπόντες,
οὐρῇσιν σαίνοντες ἐπήλυθον. Ἡ δὲ καὶ ἄλλο
θῆκε τέρας· ἐπεὶ οὔ τι παροίτερον ὕδατι νᾶεν
Δίνδυμον· ἀλλά σφιν τότ' ἀνέβραχε διψάδος αὔτως
ἐκ κορυφῆς ἄλληκτον· Ἰησονίην δ' ἐνέπουσιν
κεῖνο ποτὸν κρήνην περιναιέται ἄνδρες ὀπίσσω.
Καὶ τότε μὲν δαῖτ' ἀμφὶ θεᾶς θέσαν οὔρεσιν Ἄρκτων,
μέλποντες Ῥείην πολυπότνιαν· αὐτὰρ ἐς ἠῶ
ληξάντων ἀνέμων νῆσον λίπον εἰρεσίῃσιν.
Ἔνθ' ἔρις ἄνδρα ἕκαστον ἀριστήων ὀρόθυνεν,
ὅστις ἀπολλήξειε πανύστατος. Ἀμφὶ γὰρ αἰθὴρ
νήνεμος ἐστόρεσεν δίνας, κατὰ δ' εὔνασε πόντον.
Οἱ δὲ γαληναίῃ πίσυνοι ἐλάασκον ἐπιπρὸ
νῆα βίῃ· τὴν δ' οὔ κε διὲξ ἁλὸς ἀΐσσουσαν
οὐδὲ Ποσειδάωνος ἀελλόποδες κίχον ἵπποι.
Ἔμπης δ' ἐγρομένοιο σάλου ζαχρηέσιν αὔραις,
αἳ νέον ἐκ ποταμῶν ὑπὸ δείελον ἠερέθονται,
τειρόμενοι καμάτῳ μετελώφεον· αὐτὰρ ὁ τούσγε
πασσυδίῃ μογέοντας ἐφέλκετο κάρτεϊ χειρῶν
Ἡρακλέης, ἐτίνασσε δ' ἀρηρότα δούρατα νηός.
Ἀλλ' ὅτε δή, Μυσῶν λελιημένοι ἠπείροιο,
Ῥυνδακίδας προχοάς, μέγα τ' ἠρίον Αἰγαίωνος
τυτθὸν ὑπὲκ Φρυγίης παρεμέτρεον εἰσορόωντες,
δὴ τότ' ἀνοχλίζων τετρηχότος οἴδματος ὁλκούς,
μεσσόθεν ἆξεν ἐρετμόν. Ἀτὰρ τρύφος ἄλλο μὲν αὐτὸς
ἄμφω χερσὶν ἔχων πέσε δόχμιος, ἄλλο δὲ πόντος
κλύζε παλιῤῥοθίοισι φέρων. Ἀνὰ δ' ἕζετο σιγῇ
παπταίνων· χεῖρες γὰρ ἀήθεσον ἠρεμέουσαι. [τρεὺς
Ἦμος δ' ἀγρόθεν εἶσι φυτοσκάφος, ἤ τις ἀρο-

deæ montanæ sacrum simulacrum; elaboravit vero Argus
affabre, atque illud in aspero cacumine
collocarunt, fagis obumbratum summis,
quæ quidem omnium celsissimæ radices-egerant.
Aram vero e-parvis-lapidibus-congestis struxerunt, circum-
que foliis] redimiti quernis sacris operati-sunt,
Matrem Dindymiam valde-venerabilem invocantes,
indigetem Phrygiæ, Titianque simul, Cyllenumque,
qui soli ex-multis duces atque adsessores
Matris Idaeæ vocantur, quotquot sunt
Dactyli Idæi Cretenses, quos olim Nympha
Anchiale Dictæo sub antro, ambabus *manibus*
prehendens terram Œaxidem, peperit.
Multum vero illam precibus, ut-averteret tempestates,
Jason supplex-rogavit libans super-sacris
ardentibus: simul vero juvenes Orphei jussu
tripudiantes saltationem armatam saltarunt,
et scuta ensibus pulsarunt, ut clamor
infaustus evanesceret per aërem, quem etiamnum populus
in funere regis emittebat. Hinc semper
rhombo et tympano Rheam Phryges placant.
Ipsa vero puris mentem advertit sacris
precibus-placata dea: fausta autem omnia edita-sunt.
Arbores fructum fundebant uberrimum, circa pedes vero
sponte-sua edidit terra teneræ flores herbæ:
feræ autem latibulis lustrisque relictis
caudis blandientes advenerunt. Illa vero etiam aliud
dedit portentum: nam nulla antea aqua redundabat
Dindymum; sed ipsis tum scatebat arido ultro
e vertice non-desinens; Jasonium vero appellarunt
illam aquam fontem accolæ viri postea.
Et tum quidem convivium in-honorem deæ instituerunt in
montibus Ursorum] celebrantes Rheam valde-venerandam ·
at sub auroram,] cessantibus ventis, insulam reliquerunt
remigando.] Tum æmulatio unumquemque eroum stimu-
lavit,] quis cessaret ultimus. Undique enim æther
serenus sedaverat vortices, atque composuerat mare.
Illi vero tranquillitate-maris freti egerunt ulterius
navem vi; quam non per mare ruentem
ne Neptuni quidem celeripedes assecuti-essent equi.
At tamen concitato alto (*mari*) vehementibus auris,
quæ nuper ex fluviis sub vesperam exstiterant,
vexati labore cessabant; at illos
omnibus-viribus laborantes traxit robore manuum
Hercules commovitque aptata ligna navis (*navem*).
Sed quum tandem, Mysorum appetentes terram,
Rhyndaci ostia, et magnum monumentum Ægæonis
paullulum super Phrygiam prætervecti-essent conspectum,
tum removens turgidi maris sulcos
medium fregit remum (*Hercules*). At fragmentum aliud qui-
dem ipse] ambabus manibus tenens cecidit obliquus, aliud
vero mare] abstulit refluentibus-undis vehens: sedit autem ta-
citus circumspiciens: manus enim non-consueverant quie-
scere.] Quo-tempore vero ex-agro redit fossor aut arator quis

ἀσπασίως εἰς αὖλιν ἑὴν, δόρποιο χατίζων,
αὐτοῦ δ' ἐν προμολῇ τετρυμένα γούνατ' ἔκαμψεν
αὐσταλέος κονίῃσι, περιτριβέας δέ τε χεῖρας
εἰσορόων, κακὰ πολλὰ ἑῇ ἠρήσατο γαστρί·
τῆμος ἄρ' οἵ γ' ἀφίκοντο Κιανίδος ἤθεα γαίης,
ἀμφ' Ἀργανθώνειον ὄρος, προχοάς τε Κίοιο.
Τοὺς μὲν ἐΰξείνως Μυσοὶ φιλότητι κιόντας
δειδέχατ', ἐνναέται κείνης χθονὸς, ἤϊά τέ σφι
μῆλά τε δευομένοις, μέθυ τ' ἄσπετον ἐγγυάλιξαν.
Ἔνθα δ' ἔπειθ' οἱ μὲν ξύλα κάγκανα, τοὶ δὲ λεχαίην
φυλλάδα λειμώνων φέρον ἄσπετον ἀμήσαντες,
στόρνυσθαι· τοὶ δ' ἀμφὶ πυρήϊα δινεύεσκον·
οἱ δ' οἶνον κρητῆρσι κέρων, πονέοντό τε δαῖτα,
Ἐκβασίῳ ῥέξαντες ὑπὸ κνέφας Ἀπόλλωνι.
Αὐτὰρ ὁ δαῖτα πένεσθαι ἑταίροις εὖ ἐπιτείλας
βῆ ῥ' ἴμεν εἰς ὕλην υἱὸς Διὸς, ὥς κεν ἐρετμὸν
οἷ αὐτῷ φθαίη καταχείριον ἐντύνασθαι.
Εὗρεν ἔπειτ' ἐλάτην ἀλαλήμενος, οὔτε τι πολλοῖς
ἀχθομένην ὄζοις, οὐδὲ μέγα τηλεθόωσαν,
ἀλλ' οἷον τανααῆς ἔρνος πέλει αἰγείροιο·
τόσση ὁμῶς μῆκός τε καὶ ἐς πάχος ἦεν ἰδέσθαι.
Ῥίμφα δ' ὀϊστοδόκην μὲν ἐπὶ χθονὶ θῆκε φαρέτρην
αὐτοῖσιν τόξοισιν, ἔδυ δ' ἄπο δέρμα λέοντος.
Τὴν δ' ὅγε χαλκοβαρεῖ ῥοπάλῳ δαπέδοιο τινάξας
νειόθεν ἀμφοτέρῃσι περὶ στύπος ἔλλαβε χερσὶν,
ἠνορέῃ πίσυνος· ἐν δὲ πλατὺν ὦμον ἔρεισεν
εὖ διαβάς· πεδόθεν δὲ, βαθύῤῥιζόν περ ἐοῦσαν,
προσφὺς ἐξήειρε σὺν αὐτοῖς ἔχμασι γαίης.
Ὡς δ' ὅταν ἀπροφάτως ἱστὸν νεὸς, εὖτε μάλιστα
χειμερίη ὀλοοῖο δύσις πέλει Ὠρίωνος,
ὑψόθεν ἐμπλήξασα θοὴ ἀνέμοιο κατάϊξ
αὐτοῖσι σφήνεσσιν ὑπὲκ προτόνων ἐρύσηται·
ὣς ὅγε τὴν ἤειρεν. Ὁμοῦ δ' ἀνὰ τόξα καὶ ἰοὺς,
δέρμα θ' ἑλὼν, ῥόπαλόν τε, παλίσσυτος ὦρτο νέεσθαι.
Τόφρα δ' Ὕλας χαλκέῃ σὺν κάλπιδι νόσφιν ὁμίλου
δίζητο κρήνης ἱερὸν ῥόον, ὥς κέ οἱ ὕδωρ
φθαίη ἀφυσσάμενος ποτιδόρπιον, ἄλλα τε πάντα
ὀτραλέως κατὰ κόσμον ἐπαρτίσσειεν ἰόντι.
Δὴ γάρ μιν τοίοισιν ἐν ἤθεσιν αὐτὸς ἔφερβεν
νηπίαχον τὰ πρῶτα, δόμων ἐκ πατρὸς ἀπούρας,
δίου Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνεν
νηλειῶς, βοὸς ἀμφὶ γεωμόρου ἀντιόωντα.
Ἤτοι ὁ μὲν νειοῖο γύας τέμνεσκεν ἀρότρῳ
Θειοδάμας ἀνίῃ βεβολημένος· αὐτὰρ ὁ τόνγε
βοῦν ἀρότην ἤνωγε παρασχέμεν οὐκ ἐθέλοντα.
Ἵετο γὰρ πρόφασιν πολέμου Δρυόπεσσι βαλέσθαι
λευγαλέην, ἐπεὶ οὔ τι δίκης ἀλέγοντες ἔναιον.
Ἀλλὰ τὰ μὲν τηλοῦ κεν ἀποπλάγξειεν ἀοιδῆς.
Αἶψα δ' ὅ γε κρήνην μετεκίαθεν, ἣν καλέουσιν
Πηγὰς ἀγχίγυοι περιναιέται. Οἱ δέ που ἄρτι
Νυμφάων ἵσταντο χοροί· μέλε γάρ σφίσι πάσαις,
ὅσσαι κεῖσ' ἐρατὸν Νύμφαι ῥίον ἀμφενέμοντο,
Ἄρτεμιν ἐννυχίῃσιν ἀεὶ μέλπεσθαι ἀοιδαῖς.
Αἱ μὲν ὅσαι σκοπιὰς ὀρέων λάχον, ἢ καὶ ἐναύλους,

lubenter in caulam suam, cœnæ cupidus,
ibique in vestibulo lassata genua reclinat,
sordidus pulvere, attritasque manus
inspiciens mala multa suo imprecatur ventri:
eo-tempore igitur illi venerunt Cianeæ in-sedes terræ
circa Arganthonium montem ostiaque Cii.
Eos hospitaliter Mysi, amice cum-advenissent,
exceperunt, incolæ illius terræ, et viatica ipsis
pecudesque egentibus et vinum largum præbuerunt.
Ibi postea alii ligna arida, alii mollem
foliorum-struem e-pratis attulerunt copiose abscissam
ad struendum *torum*; alii igniaria agitarunt;
alii vinum in-crateribus miscuerunt, et appararunt epulas
Ecbasio sacris-factis sub crepusculum Apollini.
At epulas parare sociis bene jussis
abiit in silvam filius Jovis, ut remum
ipse sibi celeriter commodum pararet.
Invenit deinde abietem circumvagatus, nec nimium multis
oneratam ramis, nec valde frondentem,
sed qualis proceræ ramus est populi;
tanta simul et longitudine et crassitie erat visenda.
Confestim autem sagittiferam humi deposuit pharetram,
cum-ipso arcu, exuitque pellem leonis.
Illa (*abiete*) ipse ærata clava radicitus percussa
infra utraque truncum comprehendit manu,
robore fretus: latum vero humerum opposuit *ei*
late cruribus-divaricatis: e-solo autem quanquam radices
altas habentem] inhærens evulsit, cum ipsis glebis-adhærentibus terræ.] Sicut autem improviso malum navis, quando
maxime] hibernus sævi occasus est Orionis,
desuper irruens subita venti procella
cum-ipsis cuneis a rudentibus avellit:
sic ille hanc sustulit. Simul vero iterum arcu et sagittis
et pelle sumtis, et clava, retro cœpit reverti.
Interea Hylas ænea cum urna seorsum a-cœtu
quæsivit fontis sacrum fluxum, ut ipsi aquam
prior hauriret ad-cœnam, aliaque omnia
diligenter ex ordine pararet revertenti.
Etenim eum his in moribus ipse educaverat
infantem primum, ex ædibus patris ablatum
divini Theodamantis, quem inter Dryopes trucidaverat
crudeliter, bovis causa aratoris adversantem.
Nam novalis jugera secabat aratro
Theodamas tristitia agitatus; at ille hunc
bovem aratorem jussit tradere *sibi* nolentem.
Quærebat enim causam belli Dryopibus inferendi
luctuosam, quia nullam justitiæ rationem-habentes vivebant.] Verum ista longius me aberrare-facerent a-carmine.
Statim igitur ille (*Hylas*) fontem adiit, quem appellant
Pegas propinqui accolæ. At forte tunc
Nympharum instituebantur chori: nam curæ-erat ipsis
omnibus,] quotquot ibi amœnum Nymphæ promontorium
incolebant,] Dianam nocturnis semper celebrare cantibus.
Aliæ quæ vertices montium sortitæ-erant, aut etiam antra,

αἵ γε μὲν ὑλήωροι ἀπόπροθεν ἐστιχόωντο,
ἡ δὲ νέον κρήνης ἀνεδύετο καλλινάοιο
Νύμφη ἐφυδατίη· τὸν δὲ σχεδὸν εἰσενόησεν
κάλλεϊ καὶ γλυκερῇσιν ἐρευθόμενον χαρίτεσσιν·
πρὸς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα
βάλλε Σεληναίη. Τῆς δὲ φρένας ἐπτοίησεν
Κύπρις, ἀμηχανίῃ δὲ μόλις συναγείρατο θυμόν.
Αὐτὰρ ὅγ' ὡς τὰ πρῶτα ῥόῳ ἔνι κάλπιν ἔρεισεν
λέχρις ἐπιχριμφθείς, περὶ δ' ἄσπετον ἔβραχεν ὕδωρ
χαλκὸν ἐς ἠχήεντα φορεύμενον, αὐτίκα δ' ἥγε
λαιὸν μὲν καθύπερθεν ἐπ' αὐχένος ἄνθετο πῆχυν,
κύσσαι ἐπιθύουσα τέρεν στόμα· δεξιτερῇ δὲ
ἀγκῶν' ἔσπασε χειρί, μέσῃ δ' ἐνικάββαλε δίνῃ.
Τοῦ δ' ἥρως ἰάχοντος ἐπέκλυεν οἶος ἑταίρων
Εἰλατίδης Πολύφημος, ἰὼν προτέρωσε κελεύθου,
δέκτο γὰρ Ἡρακλῆα πελώριον, ὁππόθ' ἵκοιτο.
Βῆ δὲ μεταΐξας Πηγέων σχεδόν, ἠύτε τις θὴρ
ἄγριος, ὅν ῥά τε γῆρυς ἀπόπροθεν ἵκετο μήλων,
λιμῷ δ' αἰθόμενος μετανίσσεται, οὐδ' ἐπέκυρσεν
ποίμνῃσιν· πρὸ γὰρ αὐτοὶ ἐνὶ σταθμοῖσι νομῆες
ἔλσαν· ὁ δὲ στενάχων βρέμει ἄσπετον, ὄφρα κάμῃσιν·
ὡς τότ' ἄρ' Εἰλατίδης μεγάλ' ἔστενεν, ἀμφὶ δὲ χῶρον
φοίτα κεκληγώς· μελέη δέ οἱ ἔπλετο φωνή.
Αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο νέεσθαι,
μή πως ἢ θήρεσσιν ἕλωρ πέλεν, ἠέ μιν ἄνδρες
μοῦνον ἐόντ' ἐλόχησαν, ἄγουσι δὲ ληΐδ' ἑτοίμην.
Ἔνθ' αὐτῷ ξύμβλητο κατὰ στίβον Ἡρακλῆϊ,
γυμνὸν ἐπαΐσσων παλάμῃ ξίφος· εὖ δέ μιν ἔγνω
σπερχόμενον μετὰ νῆα διὰ κνέφας· αὐτίκα δ' ἄτην
ἔκφατο λευγαλέην, βεβαρημένος ἄσθματι θυμόν.
Δαιμόνιε, στυγερόν τοι ἄχος πάμπρωτος ἐνίψω.
Οὐ γὰρ Ὕλας κρήνηνδε κιὼν, σόος αὖτις ἱκάνει.
Ἀλλά ἑ ληϊστῆρες ἐνιχρίμψαντες ἄγουσιν,
ἢ θῆρες σίνονται· ἐγὼ δ' ἰάχοντος ἄκουσα.
Ὣς φάτο· τῷ δ' ἀΐοντι κατὰ κροτάφων ἅλις ἱδρὼς
κήκιεν, ἐν δὲ κελαινὸν ὑπὸ σπλάγχνοις ζέεν αἷμα.
Χωόμενος δ' ἐλάτην χαμάδις βάλεν, ἐς δὲ κέλευθον
τὴν θέεν, ᾗ πόδες αὐτὸν ὑπέκφερον ἀΐσσοντα.
Ὡς δ' ὅτε τίς τε μύωπι τετυμμένος ἔσσυτο ταῦρος,
πίσεά τε προλιπὼν καὶ ἑλεσπίδας, οὐδὲ νομήων
οὐδ' ἀγέλης ὄθεται, πρήσσει δ' ὁδὸν, ἄλλοτ' ἄπαυστος,
ἄλλοτε δ' ἱστάμενος, καὶ ἀνὰ πλατὺν αὐχέν' ἀείρων
ἵησιν μύκημα, κακῷ βεβολημένος οἴστρῳ·
ὡς ὅγε μαιμώων, ὁτὲ μὲν θοὰ γούνατ' ἔπαλλεν
συνεχέως, ὁτὲ δ' αὖτε μεταλλήγων καμάτοιο
τῆλε διαπρύσιον μεγάλῃ βοάασκεν ἀϋτῇ.
Αὐτίκα δ' ἀκροτάτας ὑπερέσχεθεν ἄκριας ἀστὴρ
ἠῷος, πνοιαὶ δὲ κατήλυθον· ὦκα δὲ Τῖφυς
ἐσβαίνειν ὀρόθυνεν, ἐπαύρεσθαί τ' ἀνέμοιο.
Οἱ δ' εἴσβαινον ἄφαρ λελιημένοι· ὕψι δὲ νηὸς
εὐναίας ἐρύσαντες ἀνεκρούσαντο κάλωας.
Κυρτώθη δ' ἀνέμῳ λίνα μεσσόθι, τῆλε δ' ἀπ' ἀκτῆς
γηθόσυνοι φορέοντο παραὶ Ποσιδήϊον ἄκρην.
Ἦμος δ' οὐρανόθεν χαροπὴ ὑπολάμπεται ἠὼς

aliæ sylvestres longe deinceps-procedebant:
modo vero e-fonte emerserat pulcrifluo
Nympha fontana. Illum vero prope conspexit
pulcritudine et dulcibus rubentem gratiis:
nam ei plena ex æthere splendens
affulgebat Luna. Illius autem mentem attonitam-reddidit
Cypris, et præ-inopia-consilii vix collegit animum.
At iste ut primum undæ situlam immersit
obliquo-corpore inclinatus, circumque plurima resonuit aqua
æs in sonorum infusa, statim hæc
sinistram quidem superne collo circumjecit ulnam
osculari cupiens tenerum os; dextra vero
cubitum attraxit manu, mediumque demersit in vorticem.
Hunc heros clamantem audivit solus sociorum
Elatides Polyphemus progressus longius via;
exspectabat enim Herculem ingentem reversurum.
Ivit igitur properans ad Pegas, tanquam quædam fera
sylvestris, ad-quam balatus eminus pervenit ovium;
fame autem ardens accurrit, nec tamen potitur
gregibus; antea enim ipsi in stabula pastores
egerant; illa vero gemens fremit immane, donec defecerit:
sic tum igitur Elati-filius valde ingemuit, circa locum autem
oberravit clamans; at irrita ipsius fuit vox.
Statim igitur stricto magno ense cœpit persequi,
ne forte aut feris prædæ esset, aut ipsi incolæ,
solus cum-esset, insidiarentur, abducerentque prædam paratam.] Tum in-ipsum incidit in via Herculem,
nudum rotans manu ensem; bene vero eum agnovit
festinantem ad navem per tenebras; statim vero jacturam
exposuit tristem, gravatus anhelitu pectus:
Miser, acerbum tibi dolorem primus eloquar.
Neque enim Hylas, ad-fontem qui-abiit, salvus redit.
Verum eum latrones captum abducunt,
aut feræ lædunt; ego vero clamantem audivi.
Sic dixit; illi vero audienti de capite multus sudor
defluxit, intusque ater in pectore æstuavit sanguis.
Iratus vero abietem in-humum projecit, atque via
illa cucurrit, qua pedes ipsum ferebant ruentem.
Ut vero quando quis asilo ictus fertur taurus
pratis relictis et paludibus, nec pastores
nec gregem curat, conficit vero viam, nunc irrequietus,
nunc consistens, atque latam cervicem tollens
edit mugitum, infesto ictus œstro:
sic ille impetu-abreptus modo velocia genua agitavit
continuo, modo rursus cessans a labore
longe penetrantem magna clamorem-edidit voce.
Statim vero *ubi* summos superaverat vertices stella
matutina, venti increbruerunt: celeriterque Tiphys
conscendere *navem* jussit, fruique vento.
Illi inscenderunt statim lubentes; et in-altum navis
ancoris tractis solverunt rudentes.
Curvabantur autem vento lintea (*vela*) media, longeque a
littore] lætabundi prætervehebantur Posideium promontorium.] Quando vero cœlitus serena splendet aurora

ἐκ περάτης ἀνιοῦσα, διαγλαύσσουσι δ' ἀταρποὶ,
καὶ πεδία δροσόεντα φαεινῇ λάμπεται αἴγλῃ,
τῆμος τούσγ' ἐνόησαν ἀϊδρείῃσι λιπόντες.
Ἐν δέ σφιν κρατερὸν νεῖκος πέσεν, ἐν δὲ κολωὸς
ἄσπετος, εἰ τὸν ἄριστον ἀποπρολιπόντες ἔβησαν
σφωϊτέρων ἑτάρων. Ὁ δ' ἀμηχανίῃσιν ἀτυχθεὶς
οὐδέ τι τοῖον ἔπος μετεφώνεεν, οὐδέ τι τοῖον
Αἰσονίδης· ἀλλ' ἧστο βαρείῃ νειόθεν ἄτῃ
θυμὸν ἔδων· Τελαμῶνα δ' ἕλεν χόλος, ὧδέ τ' ἔειπεν.
Ἧσ' αὔτως εὔκηλος, ἐπεί νύ τοι ἄρμενον ἦεν
Ἡρακλῆα λιπεῖν· σέο δ' ἔκτοθι μῆτις ὄρωρεν,
ὄφρα τὸ κείνου κῦδος ἀν' Ἑλλάδα μή σε καλύψῃ,
αἴ κε θεοὶ δώωσιν ὑπότροπον οἴκαδε νόστον.
Ἀλλὰ τί μύθων ἦδος, ἐπεὶ καὶ νόσφιν ἑταίρων
εἶμι τεῶν, οἳ τόνγε δόλον συνετεκτήναντο.
Ἦ, καὶ ἐς Ἁγνιάδην Τῖφυν θόρε· τὼ δέ οἱ ὄσσε
ὄστλιγγες μαλεροῖο πυρὸς ὣς ἰνδάλλοντο.
Καί νύ κεν ἂψ ὀπίσω Μυσῶν ἐπὶ γαῖαν ἵκοντο,
λαῖτμα βιησάμενοι, ἀνέμου τ' ἄλληκτον ἰωὴν,
εἰ μὴ Θρηϊκίοιο δύω υἷες Βορέαο
Αἰακίδην χαλεποῖσιν ἐρητύεσκον ἔπεσσιν,
σχέτλιοι· ἦ τέ σφιν στυγερὴ τίσις ἔπλετ' ὀπίσσω
χερσὶν ὑφ' Ἡρακλῆος, ὅ μιν δίζεσθαι ἔρυκον.
Ἄθλων γὰρ Πελίαο δεδουπότος ἂψ ἀνιόντας
Τήνῳ ἐν ἀμφιρύτῃ πέφνεν, καὶ ἀμήσατο γαῖαν
ἀμφ' αὐτοῖς, στήλας τε δύω καθύπερθεν ἔτευξεν,
ὧν ἑτέρη, θάμβος περιώσιον ἀνδράσι λεύσσειν,
κίνυται ἠχήεντος ὑπὸ πνοιῇ Βορέαο.
Καὶ τὰ μὲν ὣς ἤμελλε μετὰ χρόνον ἐκτελέεσθαι.
Τοῖσιν δὲ Γλαῦκος βρυχίης ἁλὸς ἐξεφαάνθη,
Νηρῆος θείοιο πολυφράδμων ὑποφήτης·
ὕψι δὲ λαχνῆέν τε κάρη καὶ στήθε' ἀείρας
νειόθεν ἐκ λαγόνων, στιβαρῇ ἐπορέξατο χειρὶ
νηΐου ὁλκαίοιο, καὶ ἴαχεν ἐσσυμένοισιν.
Τίπτε παρὲκ μεγάλοιο Διὸς μενεαίνετε βουλὴν
Αἰήτεω πτολίεθρον ἄγειν θρασὺν Ἡρακλῆα;
Ἄργει οἱ μοῖρ' ἐστὶν ἀτασθάλῳ Εὐρυσθῆϊ
ἐκπλῆσαι μογέοντα δυώδεκα πάντας ἀέθλους,
ναίειν δ' ἀθανάτοισι συνέστιον, εἴ κ' ἔτι παύρους
ἐξανύσῃ· τῷ μή τι ποθὴ κείνοιο πελέσθω.
Αὔτως δ' αὖ Πολύφημον ἐπὶ προχοῇσι Κίοιο
πέπρωται Μυσοῖσι περικλεὲς ἄστυ καμόντα,
μοῖραν ἀναπλήσειν Χαλύβων ἐν ἀπείρονι γαίῃ.
Αὐτὰρ Ὕλαν φιλότητι θεὰ ποιήσατο Νύμφη
ὃν πόσιν, οἷό περ οὕνεκ' ἀποπλαγχθέντες ἔλειφθεν.
Ἦ, καὶ κῦμ' ἀλίαστον ἐφέσσατο νειόθι δύψας·
ἀμφὶ δέ οἱ δίνῃσι κυκώμενον ἄφρεεν ὕδωρ
πορφύρεον, κοίλην δὲ διὲξ ἁλὸς ἔκλυσε νῆα.
Γήθησαν δ' ἥρωες· ὁ δ' ἐσσυμένως ἐβεβήκει
Αἰακίδης Τελαμὼν ἐς Ἰήσονα, χεῖρα δὲ χειρὶ
ἄκρην ἀμφιβαλὼν προσπτύξατο, φώνησέν τε.
Αἰσονίδη, μή μοί τι χολώσεαι, ἀφραδίῃσιν
εἴ τί περ ἀασάμην· πέρι γάρ μ' ἄχος εἷλεν ἐνισπεῖν
μῦθον ὑπερφίαλόν τε καὶ ἄσχετον, ἀλλ' ἀνέμοισιν

a termino reversa, collustrantur vero viæ,
et campi roscidi lucido splendent fulgore;
tum illos (*Herculem et Polyphemum*) senserunt imprudenter se reliquisse.] Inter ipsos autem magna contentio exstitit,
tumultusque] ingens, quod fortissimo relicto profecti-essent
suorum sociorum. Sed consilii-inopia perculsus
neque hoc verbum locutus-est neque illud
Jason; immo sedit ob gravem penitus calamitatem
animum macerans: Telamonem vero corripuit ira, et sic locutus est:] Sedes ita quietus, quoniam scilicet tibi commodum erat] Herculem relinquere; a te consilium *hoc* profectum-est,] ut illius gloria per Græciam ne tibi officeret,
si forte dii concesserint, rursus domum ut-reverteremur.
Sed quid verba prosunt? nam et *ipse* seorsum a-sociis
abibo tuis, qui huncce dolum una-machinati-sunt.
Dixit, et in Agniaden Tiphyn irruit; sed ejus oculi
scintillis flagrantis ignis similes apparebant.
Atque profecto rursus retro Mysorum in terram profecti-essent] æquori reluctantes ventique continuo flatui,
nisi Thracii duo filii Boreæ
Æaci-filium (*Telamonem*) gravibus increpuissent verbis
miseri; profecto enim iis tristis pœna fuit postea
sub manibus Herculis, quod ipsum requiri vetuerant.
A-certaminibus enim Pelia defuncto reversos
Teno in circumflua occidit, atque congessit terram
circa eos, columnasque duas superstruxit,
quarum altera, miraculum ingens hominibus visu,
movetur sonoro a flatu Boreæ.
Atque hæc quidem sic erant aliquamdiu post eventura.
Illis(*Argonautis*) vero Glaucus fremibundo ex mari apparuit,
Nerei divini prudentissimus vates;
in-altum vero hirsuto capite et pectore elato
ex-imo usque-ad ilia, valida prehendit manu
navis alveum, atque allocutus-est properantes:
Cur contra magni Jovis cupitis voluntatem
Æetæ in-urbem abducere animosum Herculem?
Argis ei fatale est injusto Eurystheo
perficere laborantem duodecim omnes labores,
habitare autem cum-immortalibus familiarem, si insuper
paucos] confecerit; quare nullum desiderium ejus esto.
Ita vero etiam Polyphemum ad ostia Cii,
decretum-est, Mysis celebri urbe condita,
mortem obire Chalybum in immensa terra.
At Hylam ob-amorem dea sibi-adscivit Nympha
conjugem, cujus quidem causa *illi* errantes relicti-sunt.
Dixit, et fluctum subiit in-imum mersus;
circa eum vero vorticibus turbata spumabat aqua
purpurea, cavamque per mare proluebat navem.
Lætati-vero sunt heroes: sed propere adiit
Æacides Telamon Jasonem manumque manui
summam injiciens complexus-est et *hæc* locutus:
Jason, ne mihi irascaris, imprudentia
si quid offenderim: nam dolor me compulit, ut-dicerem
verba insolentia neque ferenda; at ventis

δώομεν ἀμπλακίην, ὡς καὶ πάρος εὐμενέοντες.
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως προσέειπεν·
Ὦ πέπον, ἦ μάλα δή με κακῷ ἐκυδάσσαο μύθῳ,
φὰς ἐνὶ τοῖσιν ἅπασιν ἐνηέος ἀνδρὸς ἀλείτην
ἔμμεναι. Ἀλλ' οὐ θήν τοι ἀδευκέα μῆνιν ἀέξω,
πρίν περ ἀνιηθείς· ἐπεὶ οὐ περὶ πώεσι μήλων,
οὐδὲ περὶ κτεάτεσσι χαλεψάμενος μενέηνας,
ἀλλ' ἑτάρου περὶ φωτός. Ἔολπα δέ τοι σὲ καὶ ἄλλῳ
ἀμφ' ἐμεῦ, εἰ τοιόνδε πέλοι ποτὲ, δηρίσασθαι.
Ἦ ῥα, καὶ ἀρθμηθέντες, ὅπῃ πάρος, ἑδριόωντο.
Τὼ δὲ Διὸς βουλῇσιν, ὁ μὲν Μυσοῖσι βαλέσθαι
μέλλεν ἐπώνυμον ἄστυ πολισσάμενος ποταμοῖο
Εἰλατίδης Πολύφημος· ὁ δ' Εὐρυσθῆος ἀέθλους
αὖτις ἰὼν πονέεσθαι. Ἐπηπείλησε δὲ γαῖαν
Μυσίδ' ἀναστήσειν αὐτοσχεδὸν, ὁππότε μή οἱ
ἢ ζωοῦ εὕροιεν Ὕλα μόρον, ἠὲ θανόντος.
Τοῖο δὲ ῥύσι' ὄπασσαν, ἀποκρίναντες ἀρίστους
υἱέας ἐκ δήμοιο, καὶ ὅρκια ποιήσαντο,
μή ποτε μαστεύοντες ἀπολλήξειν καμάτοιο.
Τοὔνεκεν εἰσέτι νῦν περ Ὕλαν ἐρέουσι Κιανοὶ,
κοῦρον Θειοδάμαντος, ἐϋκτιμένης τε μέλονται
Τρηχῖνος. Δὴ γάρ ῥα κατ' αὐτόθι νάσσατο παῖδας,
οὕς οἱ ῥύσια κεῖθεν ἐπιπροέηκαν ἄγεσθαι.
Νηῦν δὲ πανημερίην ἄνεμος φέρε νυκτί τε πάσῃ
λάβρος ἐπιπνείων· ἀτὰρ οὐδ' ἐπὶ τυτθὸν ἄητο
ἠοῦν τελλομένης. Οἱ δὲ χθονὸς εἰσανέχουσαν
ἀκτὴν ἐκ κόλποιο μάλ' εὐρεῖαν εἰσιδέσθαι
φρασσάμενοι, κώπῃσιν ἅμ' ἠελίῳ ἐπέκελσαν.

demus peccatum *avehendum*, ut antea benevoli.
Eum vicissim Æsonis filius prudenter allocutus-est :
Amice, sane valde quidem me acerbis petiisti dictis,
quum-contenderes inter hos omnes, me contra-benevolum
virum peccatorem] esse. At non diu amaram iram foveo,
antea quamvis dolore-affectus; quoniam non ob greges ovium,
neque ob possessiones iratus succensuisti,
sed amicum propter virum. Spero vero te etiam cum-alio
mei causa, si tale-quid acciderit unquam, certaturum-esse.
Dixit igitur, atque reconciliati *ibi*, ubi antea, sedebant.
Illi vero Jovis ex-voluntate, alter Mysis conditurus
erat cognominem urbem exstruens fluvii
Elatides Polyphemus; sed alter Eurysthei labores
reversus perfecturus. Minatus-vero est *se* terram
Mysiam vastaturum-esse protinus, nisi *incolæ* sibi
aut vivi invenirent Hylæ sortem, aut mortui.
Pro-eo igitur obsides dederunt selectos nobilissimos
filios e populo, atque jurejurando confirmarunt,
se nunquam quærendi destituros-esse a-labore.
Quare etiamnum Hylam investigant Ciani,
filium Theodamantis, atque bene-structam curant
Trachinem. Etenim ibi deposuerat *Hercules* filios,
quos ei obsides commiserant inde abducendos.
Navem vero per-totum-diem ventus ferebat nocteque omni
vehementer flans; at ne tantillum quidem spirabat
aurora exorta. Illi igitur terræ prominens
littus e sinu admodum amplum visu
observantes, remis exoriente sole eo-appulerunt.

ΒΙΒΛΙΟΝ Β.

Ἐνθάδ' ἔσαν σταθμοί τε βοῶν αὖλίς τ' Ἀμύκοιο,
Βεβρύκων βασιλῆος ἀγήνορος, ὅν ποτε Νύμφη
τίκτε, Ποσειδάωνι Γενεθλίῳ εὐνηθεῖσα,
Βιθυνὶς Μελίη, ὑπεροπληέστατον ἀνδρῶν·
ὅστ' ἐπὶ καὶ ξείνοισιν ἀεικέα θεσμὸν ἔθηκεν,
μή τιν' ἀποστείχειν, πρὶν πειρήσασθαι ἑοῖο
πυγμαχίης· πολέας δὲ περικτιόνων ἐδάϊξεν.
Καὶ δὲ τότε προτὶ νῆα κιὼν, χρειώ μιν ἐρέσθαι
ναυτιλίης, οἵ τ' εἶεν, ὑπερβασίῃσιν ἄτισσε·
τοῖον δ' ἐν πάντεσσι παρασχεδὸν ἔκφατο μῦθον.
Κέκλυθ' ἁλίπλαγκτοι, τάπερ ἴδμεναι ὔμμιν ἔοικεν.
Οὔ τινα θέσμιόν ἐστιν ἀφορμηθέντα νέεσθαι
ἀνδρῶν ὀθνείων, ὅς κεν Βέβρυξι πελάσσῃ,
πρὶν χείρεσσιν ἐμῇσιν ἑὰς ἀνὰ χεῖρας ἀεῖραι.
Τῷ καί μοι τὸν ἄριστον ἀποκριδὸν οἶον ὁμίλου
πυγμαχίῃ στήσασθε κätαυτόθι δηρινθῆναι.
Εἰ δ' ἂν ἀπηλεγέοντες ἐμὰς πατέοιτε θέμιστας,
ἦ κέν τις στυγερῶς κρατερὴ ἐπιέψετ' ἀνάγκη.
Ἦ ῥα μέγα φρονέων· τοὺς δ' ἄγριος εἰσαΐοντας
εἷλε χόλος· πέρι δ' αὖ Πολυδεύκεα τύψεν ὁμοκλή·
αἶψα δ' ἑῶν ἑτάρων πρόμος ἵστατο φώνησέν τε·
Ἴσχεο νῦν, μηδ' ἄμμι κακὴν, ὅτις εὔχεαι εἶναι,

LIBER II.

Ibi erant et stabula boum et aula Amyci
Bebrycum regis ferocis, quem quondam Nympha
peperit, cum-Neptuno Genitali quæ-concubuerat,
Bithyna Melia, superbissimum virorum;
qui etiam hospitibus iniquam legem imponebat,
ne quis *inde* discederet, priusquam periculum-fecisset cum-
ipso] pugilatus; multos autem accolarum interfecerat.
Atque tum quoque ad navem veniens caussam ex-ipsis sci-
scitatum] navigationis, quique essent, superbe *eos* contemsit;
hæc vero inter omnes prope-accedens elocutus-est verba :
Audite, in-mari-vagantes, quæ scire vos convenit.
Non quemquam fas est *hinc* discedentem abire
virorum peregrinorum, qui ad-Bebrycas devenerit,
priusquam contra-manus meas suas manus sustulerit.
Quare etiam mihi optimum selectum solum e-cœtu,
pugilatu sistite illico ut-certet *mecum*.
Si vero negligentes meas transgressi-fueritis leges,
certe quædam inviso-modo dura premet necessitas.
Dixit igitur superbiens; hos vero acris audientes
cepit ira : inprimis vero Pollucem stimulavit provocatio :
statim igitur suorum sociorum propugnator exstitit et dixit :
Cohibe-te nunc, nec nobis malam, quicumque gloriaris

φαῖνε βίην· θεσμοῖς γὰρ ὑπείξομεν, ὡς ἀγορεύεις.
Αὐτὸς ἑκὼν ἤδη τοι ὑπίσχομαι ἀντιάασθαι. [ξας,
Ὣς φάτ' ἀπηλεγέως· ὁ δ' ἐσέδρακεν, ὄμμαθ' ἑλί-
ὥστε λέων ὑπ' ἄκοντι τετυμμένος, ὅντ' ἐν ὄρεσσιν
ἀνέρες ἀμφιπένονται· ὁ δ' ἰλλόμενός περ ὁμίλῳ
τῶν μὲν ἔτ' οὐκ ἀλέγει, ἐπὶ δ' ὄσσεται οἰόθεν οἶον
ἄνδρα τόν, ὅς μιν ἔτυψε παροίτατος, οὐδὲ δάμασσεν.
Ἔνθ' αὖ Τυνδαρίδης μὲν ἐΰστιπτον θέτο φᾶρος
λεπταλέον, τό ῥά οἱ τις ἑὸν ξεινήϊον εἶναι
ὤπασε Λημνιάδων· ὁ δ' ἐρεμνὴν δίπτυχα λώπην
αὐτῇσιν περόνῃσι, καλαύροπά τε τρηχεῖαν
κάββαλε, τὴν φορέεσκεν, ὀριτρεφέος κοτίνοιο.
Αὐτίκα δ' ἐγγύθι χῶρον ἑαδότα παπτήναντες
ἷζον ἑοὺς δίχα πάντας ἐνὶ ψαμάθοισιν ἑταίρους,
οὐ δέμας, οὐδὲ φυὴν ἐναλίγκιοι εἰσοράασθαι.
Ἀλλ' ὁ μὲν ἢ ὀλοοῖο Τυφωέος, ἠὲ καὶ αὐτῆς
Γαίης εἶναι ἔϊκτο πέλωρ τέκος, οἷα πάροιθεν
χωομένη Διῒ τίκτεν· ὁ δ' οὐρανίῳ ἀτάλαντος
ἀστέρι Τυνδαρίδης, οὗπερ κάλλισται ἔασιν
ἑσπερίην διὰ νύκτα φαεινομένου ἀμαρυγαί.
Τοῖος ἔην Διὸς υἱός, ἔτι χνοάοντας ἰούλους
ἀντέλλων, ἔτι φαιδρὸς ἐν ὄμμασιν. Ἀλλά οἱ ἀλκὴ
καὶ μένος ἠΰτε θηρὸς ἀέξετο. πῆλε δὲ χεῖρας
πειράζων εἴθ' ὡς πρὶν ἐϋτρόχαλοι φορέονται,
μηδ' ἄμυδις καμάτῳ τε καὶ εἰρεσίῃ βαρύθοιεν.
Οὐ μὰν αὖτ' Ἄμυκος πειρήσατο· σῖγα δ' ἄπωθεν
ἑστηὼς εἰς αὐτὸν ἔχ' ὄμματα, καί οἱ ὀρέχθει
θυμὸς ἐελδομένῳ στηθέων ἐξ αἷμα κεδάσσαι.
Τοῖσι δὲ μεσσηγὺς θεράπων Ἀμύκοιο Λυκωρεὺς
θῆκε πάροιθε ποδῶν δοιοὺς ἑκάτερθεν ἱμάντας
ὠμούς, ἀζαλέους, πέρι δ' οἵ γ' ἔσαν ἐσκληῶτες.
Αὐτὰρ ὁ τόν γ' ἐπέεσσιν ὑπερφιάλοισι μετηύδα.
Τῶνδέ τοι, ὅν κ' ἐθέλῃσθα, πάλου ἄτερ, ἐγγυα-
αὐτὸς ἑκών, ἵνα μή μοι ἀτέμβῃαι μετόπισθεν. [λίξω
Ἀλλὰ βάλευ περὶ χειρί· δαεὶς δέ κεν ἄλλῳ ἐνίσποις,
ὅσσον ἐγὼ ῥινούς τε βοῶν πέρι τ' εἰμὶ ταμέσθαι
ἀζαλέας, ἀνδρῶν τε παρηΐδας αἵματι φύρσαι.
Ὣς ἔφατ'· αὐτὰρ ὅγ' οὔτι παραβλήδην ἐρίδηνεν·
ἦκα δὲ μειδήσας, οἵ οἱ παρὰ ποσσὶν ἔκειντο,
τοὺς ἕλεν ἀπροφάτως· τοῦ δ' ἀντίος ἤλυθε Κάστωρ
ἠδὲ Βιαντιάδης Ταλαὸς μέγας· ὦκα δ' ἱμάντας
ἀμφέδεον, μάλα πολλὰ παρηγορέοντες ἐς ἀλκήν.
Τῷ δ' αὖτ' Ἄρητός τε καὶ Ὄρνυτος, οὐδέ τι ᾔδειν
νήπιοι ὕστατα κεῖνα κακῇ δήσαντες ἐν αἴσῃ.
Οἱ δ' ἐπεὶ οὖν ἱμᾶσι διασταδὸν ἠρτύναντο,
αὐτίκ' ἀνασχόμενοι ῥεθέων προπάροιθε βαρείας
χεῖρας, ἐπ' ἀλλήλοισι μένος φέρον ἀντιόωντες.
Ἔνθα δὲ Βεβρύκων μὲν ἄναξ, ἅτε κῦμα θαλάσσης
τρηχὺ θοὴν ἐπὶ νῆα κορύσσεται, ἡ δ' ὑπὸ τυτθὸν
ἰδρείῃ πυκινοῖο κυβερνητῆρος ἀλύσκει,
ἱεμένου φορέεσθαι ἔσω τοίχοιο κλύδωνος,
ὣς ὅγε Τυνδαρίδην φοβέων ἕπετ', οὐδέ μιν εἴα
δηθύνειν. Ὁ δ' ἄρ' αἰὲν ἀνούτατος ἣν διὰ μῆτιν
ἀΐσσοντ' ἀλέεινεν· ἀπηνέα δ' αἶψα νοήσας

esse,] minare vim; legibus enim obsequemur, ut jubes.
Ipse sponte jam tibi promitto *me* conflicturum-esse.
Sic dixit intrepide; ille vero intuitus-est, oculos volvens,
ut leo jaculo vulneratus, quo in montibus
viri occupantur; at ille circumdatus multitudine
alios quidem non amplius curat, adspicit vero ex-omnibus solum [virum eum, qui ipsum vulneravit primus, neque *tamen* interfecit.] Tum igitur Tyndarides bene-textum deposuit pallium] subtile, quod quidem ei quædam, suum hospitale-donum ut-esset,] dederat Lemniadum; iste vero atram duplicem pænulam] cum-ipsis fibulis, pedumque asperum abjecit, quod gestabat, ex-montano oleastro *factum*.
Statim vero prope locum qui-placuit postquam-circumspexerunt,] sedere-jusserunt suos seorsum omnes in littore socios,
nec corpore, nec ingenio similes *illi* visu.
Verum iste (*Amycus*) aut pestiferi Typhoei aut etiam ipsius
Terræ esse videbatur monstrosus partus, qualem olim
irata Jovi, peperit; ille autem cœlesti similis
stellæ, Tyndarides, cujus pulcherrimi sunt
hesperiam per noctem splendentis radii.
Talis erat Jovis filius, adhuc nascentem lanuginem
emittens, adhuc alacer oculis: at ei robur
et vis, veluti feræ, crescebat; jactabat autem manus
tentans, num sicut antea agiles moverentur,
neque assiduo labore et remigatione rigerent.
Nec tamen Amycus periculum-fecit; sed tacite procul
stans in ipsum intendit oculos, atque ei exsultavit
animus, cupienti e pectoribus (*adversarii*) sanguinem effundere.] His interea servus Amyci Lycoreus
posuit ante pedes geminos utrinque cæstus
crudos, siccos, admodum enim induruerant.
At iste hunc verbis arrogantibus allocutus-est:
Horum tibi utrum volueris, sine sorte concedam
ipse sponte, ne me reprehendas postea.
Itaque appone manui; expertus autem aliis dicas,
quantum ego et in-coriis boum præstem secandis
duris, et virorum genis sanguine contaminandis.
Sic locutus-est; at hic nihil contra rixans-dixit,
sed leniter subridens, qui ei ad pedes jacebant,
hos (*cæstus*) sumsit sine-hæsitatione: ad eum vero accesserunt Castor] et Biantiades Talaus magnus; celeriter autem lora] alligarunt, permultum *eum* cohortantes ad fortitudinem.
Isti (*Amyco*) vero *cæstus alligarunt* Aretus atque Ornytus,
neque sciverunt] imprudentes, ultimum illos malo se-alligare fato.] Sed hi quum jam cæstibus, distantes, essent-instructi,
statim sublatis ante ora gravibus
manibus, sibi-invicem vim intentarunt congredientes.
Ibi vero Bebrycum rex, ut fluctus maris
asper celeri navi involvitur, hæc aliquantum
peritia prudentis gubernatoris declinat,
cupiente irrumpere in parietes fluctu;
sic iste Tyndaridem terrens insecutus-est, neque eum sivit
cessare. Hic vero semper illæsus sua prudentia
insilientem devitavit; sævum vero statim animadvertens

πυγμαχίην, ᾗ κάρτος ἀάατος, ᾗ τε χερείων,
τῇ ῥ' ἄμοτον καὶ χερσὶν ἐναντία χεῖρας ἔμιξεν.
Ὡς δ' ὅτε νήϊα δοῦρα θοοῖς ἀντίξοα γόμφοις
ἀνέρες ὑλουργοὶ, ἐπιβλήδην ἐλάοντες,
θείνωσι σφύρῃσιν, ἐπ' ἄλλῳ δ' ἄλλος ἄηται
δοῦπος ἄδην· ὡς τοῖσι παρήϊά τ' ἀμφοτέρωθεν
καὶ γένυες κτύπεον· βρυχὴ δ' ὑπετέλλετ' ὀδόντων
ἄσπετος, οὐδ' ἔλληξαν ἐπισταδὸν οὐτάζοντες,
ἔς τε περ οὐλοὸν ἆσθμα καὶ ἀμφοτέρους ἐδάμασσεν.
Στάντε δὲ βαιὸν ἄπωθεν ἀπωμόρξαντο μετώπων
ἱδρῶ ἅλις, καματηρὸν ἀϋτμένα φυσιόωντες.
Ἂψ δ' αὖτις συνόρουσαν ἐναντίοι, ἠΰτε ταύρω
φορβάδος ἀμφὶ βοὸς κεκοτηότε δηριάασθον.
Ἔνθα δ' ἔπειτ' Ἄμυκος μὲν ἐπ' ἀκροτάτοισιν ἀερθεὶς
βουτύπος οἷα πόδεσσι, τανύσσατο, κὰδ δὲ βαρεῖαν
χεῖρ' ἐπί οἱ πελέμιξεν· ὁ δ' ἀΐξαντος ὑπέστη·
κρᾶτα παρακλίνας, ὤμῳ δ' ἀνεδέξατο πῆχυν
τυτθὸν δ' ἄγχ' αὐτοῖο παρὲκ γόνυ γουνὸς ἀμείβων
κόψε μεταΐγδην ὑπὲρ οὔατος, ὀστέα δ' εἴσω
ῥῆξεν· ὁ δ' ἀμφ' ὀδύνῃ γνὺξ ἤριπεν· οἱ δ' ἰάχησαν
ἥρωες Μινύαι· τοῦ δ' ἀθρόος ἔχυτο θυμός.
Οὐδ' ἄρα Βέβρυκες ἄνδρες ἀφείδησαν βασιλῆος·
ἀλλ' ἄμυδις κορύνας ἀζηχέας ἠδὲ σιγύνους
ἰθὺς ἀνασχόμενοι Πολυδεύκεος ἀντιάασχον.
Τοῦ δὲ πάρος κολεῶν εὐήκεα φάσγαν' ἑταῖροι
ἔσταν ἐρυσσάμενοι. Πρῶτός γε μὲν ἀνέρα Κάστωρ
ἤλασ' ἐπεσσύμενον κεφαλῆς ὕπερ· ἡ δ' ἑκάτερθεν
ἔνθα καὶ ἔνθ' ὤμοισιν ἐπ' ἀμφοτέροισι κεάσθη.
Αὐτὸς δ' Ἰτυμονῆα πελώριον, ἠδὲ Μίμαντα,
τὸν μὲν ὑπὸ στέρνοιο θοῷ ποδὶ λὰξ ἐπορούσας
πλῆξε, καὶ ἐν κονίῃσι βάλεν· τοῦ δ' ἆσσον ἰόντος
δεξιτερῇ σκαιῆς ὑπὲρ ὀφρύος ἤλασε χειρὶ,
δρύψε δέ οἱ βλέφαρον, γυμνὴ δ' ὑπελείπετ' ὀπωπή.
Ὠρείδης δ' Ἀμύκοιο βίην ὑπέροπλος ὀπάων
οὖτα Βιαντιάδαο κατὰ λαπάρην Ταλαοῖο,
ἀλλά μιν οὐ κατέπεφνεν, ὅσον δ' ἐπὶ δέρματι μοῦνον
νηδυίων ἄψαυστος ὑπὸ ζώνην θόρε χαλκός.
Αὔτως δ' Ἄρητος μενεδήϊον Εὐρύτου υἷα
Ἴφιτον ἀζαλέῃ κορύνῃ στυφέλιξεν ἐλάσσας,
οὔπω κηρὶ κακῇ πεπρωμένον· ἦ τάχ' ἔμελλεν
αὐτὸς δῃώσεσθαι ὑπὸ ξίφεϊ Κλυτίοιο.
Καὶ τότ' ἄρ' Ἀγκαῖος Λυκοόργοιο θρασὺς υἱὸς
αἶψα μάλ' ἀντεταγὼν πέλεκυν μέγαν, ἠδὲ κελαινὸν
ἄρκτου προσχόμενος σκαιῇ δέρος, ἔνθορε μέσσῳ
ἐμμεμαὼς Βέβρυξιν· ὁμοῦ δέ οἱ ἐσσεύοντο
Αἰακίδαι, σὺν δέ σφιν ἀρήϊος ὤρνυτ' Ἰήσων.
Ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσιν ἀπείρονα μῆλ' ἐφόβησαν
ἤματι χειμερίῳ πολιοὶ λύκοι, ὁρμηθέντες
λάθρη ἐϋῤῥίνων τε κυνῶν αὐτῶν τε νομήων,
μαίονται δ' ὅ τι πρῶτον ἐπαΐξαντες ἕλωσι,
πόλλ' ἐπιπαμφαλόωντες ὁμοῦ· τὰ δὲ πάντοθεν αὔτως
στείνονται πίπτοντα περὶ σφίσιν· ὣς ἄρα τοίγε
λευγαλέως Βέβρυκας ὑπερφιάλους ἐφόβησαν.
Ὡς δὲ μελισσάων σμῆνος μέγα μηλοβοτῆρες

pugilatum, qua robore superior, quaque inferior *esset* (*Amycus*),] hac semper etiam cum manibus manus conseruit.
Ut vero, quando navalia ligna acutis resistentia clavis
fabri lignarii, aliud-super-alio aptantes,
tundunt malleis, super alium alius excitatur
sonitus identidem : sic his genæ utrimque
et maxillæ crepitarunt; stridorque ortus-est dentium
immensus, neque cessarunt usque ferire,
donec gravis anhelitus utrumque etiam perdomuit.
Stantes vero paullulum seorsum absterserunt ab-ore
sudorem largum, ægre halitum trahentes.
Mox vero iterum congressi-sunt adversantes, ut tauri
pascentem ob vaccam furentes decertant.
Tum deinde Amycus quidem summis sublatus,
boum-cæsoris instar, pedibus se-extendit, gravemque
manum in illum commovit; sed hic irruentem sustinuit
capite declinato, humeroque excepit cubitum;
paullulum vero prope istum genibus alternatis aggressus
percussit cum-impetu supra aurem, ossaque intus
fregit : iste præ dolore in-genua procidit; acclamarunt vero
heroes Minyæ; istius autem omnis effundebatur animus.
Neque vero Bebryces viri neglexerunt regem;
sed simul clavas siccas et venabula
recta tollentes in-Pollucem impetum-fecerunt.
Ante hunc vero e-vaginis acutis ensibus socii
steterunt extractis. Primus quidem virum Castor
feriit irruentem super capite, quod utrinque
huc et illuc humerum in utrumque diffindebatur.
Ipse vero Itymonea immanem et Mimantem,
illum quidem sub pectore, celeri pede calcitrando irruens,
percussit, atque in pulverem prostravit; alterum vero propius accedentem] dextra sinistro super supercilio feriit manu,
abscidit vero ei palpebram, nudusque relictus-est oculus.
Orides vero Amyci robore insignis minister
vulnus-inflixit Biantiadæ ad ilia Talao,
neque tamen eum interfecit, verum tantillum cutem modo
intestinis non-tactis sub zona strinxit æs.
Sic etiam Aretus fortem Euryti filium
Iphitum rigida clava percussit petitum,
nondum fato malo debitum; profecto mox erat
ipse periturus ense Clytii.
Atque tum Ancæus, Lycurgi animosus filius,
statim valde vibrans securim magnam, atque atram
ursi prætendens sinistra pellem, prosiliit in-medium
concitatus in-Bebrycas; simul vero cum-eo irruebant
Æacidæ, et cum iis bellicosus ferebatur Jason.
Ut vero, cum in stabulis innumeras oves terrent
die hiberno cani lupi, ingressi
clam sagacibus canibus et ipsis pastoribus,
quærunt, quam primum, impetu-facto, rapiant,
multas intuiti simul; hæ vero undique sic
coarctantur corruentes invicem : sic igitur illi
vehementer Bebrycas insolenter perterruerunt.
Ut vero apum examen magnum opiliones

ἠὲ μελισσοκόμοι πέτρῃ ἔνι καπνιόωσιν,
αἱ δ' ἤτοι τείως μὲν ἀολλέες ᾧ ἐνὶ σίμβλῳ
βομβηδὸν κλονέονται, ἐπιπρὸ δὲ λιγνυόεντι
καπνῷ τυφόμεναι πέτρης ἑκὰς ἀίσσουσιν·
ὣς οἵγ' οὐκέτι δὴν μένον ἔμπεδον, ἀλλὰ κέδασθεν
εἴσω Βεβρυκίης Ἀμύκου μόρον ἀγγελέοντες·
νήπιοι, οὐδ' ἐνόησαν ὃ δή σφίσιν ἐγγύθεν ἄλλο
πῆμ' ἀΐδηλον ἔην. Πέρθοντο γὰρ ἡμὲν ἀλωαί,
ἠδ' οἶαι τῆμος δηΐῳ ὑπὸ δουρὶ Λύκοιο
καὶ Μαριανδυνῶν ἀνδρῶν, ἀπεόντος ἄνακτος.
Αἰεὶ γὰρ μάρναντο σιδηροφόρου περὶ γαίης.
Οἱ δ' ἤδη σταθμούς τε καὶ αὔλια δηϊάασκον·
ἤδη δ' ἄσπετα μῆλα περιτροπάδην ἐτάμοντο
ἥρωες, καὶ δή τις ἔπος μετὰ τοῖσιν ἔειπεν·
Φράζεσθ' ὅττι κεν ᾗσιν ἀναλκείῃσιν ἔρεξαν,
εἴ πως Ἡρακλῆα θεὸς καὶ δεῦρο κόμισσεν.
Ἤτοι μὲν γὰρ ἐγὼ, κείνου παρεόντος, ἔολπα
οὐδ' ἂν πυγμαχίῃ κρινθήμεναι· ἀλλ' ὅτε θεσμοὺς
ἤλυθεν ἐξερέων, αὐτοῖς ἄφαρ οἷς ἀγόρευεν
θεσμοῖσιν ῥοπάλῳ μιν ἀγηνορίης λελαθέσθαι.
Ναὶ μὲν ἀκήδεστον γαίῃ ἔνι τόνγε λιπόντες
πόντον ἐπέπλωμεν· μάλα δ' ἡμέων αὐτὸς ἕκαστος
εἴσεται οὐλομένην ἄτην, ἀπάνευθεν ἐόντος.
Ὣς ἄρ' ἔφη· τὰ δὲ πάντα Διὸς βουλῇσι τέτυκτο.
Καὶ τότε μὲν μένον αὖθι διὰ κνέφας, ἕλκεά τ' ἀνδρῶν
οὐταμένων ἀκέοντο, καὶ ἀθανάτοισι θυηλὰς
ῥέξαντες, μέγα δόρπον ἐφώπλισαν· οὐδέ τιν' ὕπνος
εἷλε παρὰ κρητῆρι καὶ αἰθομένοις ἱεροῖσιν.
Ξανθὰ δ' ἐρεψάμενοι δάφνῃ καθύπερθε μέτωπα
ἀγχιάλῳ, τῇ τῇ καὶ τῇ πρυμνήσι' ἀνῆπτο,
Ὀρφείῃ φόρμιγγι συνοίμιον ὕμνον ἄειδον
ἐμμελέως· περὶ δέ σφιν ἰαίνετο νήνεμος ἀκτὴ
μελπομένοις· κλεῖον δὲ Θεραπναῖον Διὸς υἷα.
Ἦμος δ' ἠέλιος δροσερὰς ἐπέλαμψε κολώνας
ἐκ περάτων ἀνιὼν, ἤγειρε δὲ μηλοβοτῆρας,
δὴ τότε λυσάμενοι νεάτης ἐκ πείσματα δάφνης,
ληΐδα τ' εἰσβήσαντες, ὅσην χρεὼ ἦεν ἄγεσθαι,
πνοιῇ δινήεντ' ἀνὰ Βόσπορον ἰθύνοντο.
Ἔνθα μὲν ἠλιβάτῳ ἐναλίγκιον οὔρεϊ κῦμα
ἀμφέρεται προπάροιθεν ἐπαΐσσοντι ἐοικὸς,
αἰὲν ὑπὲρ νεφέων ἠερμένον· οὐδέ κε φαίης
φεύξασθαι κακὸν οἶτον, ἐπεὶ μάλα μεσσόθι νηὸς
λάβρον ἐπικρέμαται, καθάπερ νέφος. Ἀλλὰ τό γ' ἔμ-
στόρνυται, εἴ κ' ἐσθλοῖο κυβερνητῆρος ἐπαύρῃ. [πης
Τῷ καὶ Τίφυος οἵδε δαημοσύνῃσι νέοντο,
ἀσκηθεῖς μὲν, ἀτὰρ πεφοβημένοι. Ἤματι δ' ἄλλῳ
ἀντιπέρην γαίῃ Βιθυνίδι πείσματ' ἀνῆψαν.
Ἔνθα δ' ἐπάκτιον οἶκον Ἀγηνορίδης ἔχε Φινεὺς,
ὃς περὶ δὴ πάντων ὀλοώτατα πήματ' ἀνέτλη,
εἵνεκα μαντοσύνης, τήν οἱ πάρος ἐγγυάλιξεν
Λητοΐδης· οὐδ' ὅσσον ὀπίζετο, καὶ Διὸς αὐτοῦ
χρείων ἀτρεκέως ἱερὸν νόον ἀνθρώποισιν.
Τῷ καί οἱ γῆρας μὲν ἐπὶ δηναιὸν ἴαλλεν,
ἐκ δ' ἕλετ' ὀφθαλμῶν γλυκερὸν φάος· οὐδὲ γάνυσθαι

vel mellarii in rupe vexant-fumo,
hæ profecto aliquamdiu quidem confertæ suo in alveari
susurrando agitantur, sed diutius fuliginoso
fumo infestatæ a-rupe procul avolant:
sic illi non-amplius diu manebant firmiter, verum dissipati-
sunt] in-interiorem Bebryciam, Amyci fatum nuntiaturi;
stulti, neque-enim senserunt, quæ ipsis prope alia
calamitas improvisa immineret. Vastabantur enim et vineæ
et villæ tum infestis armis Lyci
et Mariandynorum virorum, absente rege.
Semper enim dimicabant ferrum-proferente de terra.
Illi vero jam stabula et caulas spoliabant;
jam innumeras pecudes undique-coactas mactabant
heroes, et aliquis ita inter-eos locutus-est:
Cogitate quid sua ignavia *isti* effecturi-fuissent,
si forte Herculem deus etiam huc deduxisset.
Certe enim ego, illo præsente, spero
ne pugilatu quidem certatum-fuisse; sed quando leges
venisset edicturus *(Amycus)*, cum-iis statim, quas edixit,
legibus clava *percussum* eum ferociæ obliturum-fuisse.
Profecto temere in terra illo relicto
per mare navigamus; valde autem nostrum unusquisque
sentiet perniciosum damnum, illo absente.
Sic igitur dixit; hæc vero omnia Jovis consilio evenerant.
Et tum quidem manserunt ibi per noctem, vulneraque viro-
rum] sauciorum curarunt, et immortalibus sacra
cum-fecissent, lautam cœnam instruxerunt; nec quemquam
somnus] occupavit prope crateram et ardentia sacra.
Sed flavas cum-coronassent lauro superne frontes
littorali, ad-quam hic et illic retinacula alligata-erant,
Orphei citharæ consonum hymnum cecinerunt
numerose; circum ipsos vero lætabatur tranquillum littus
canentes; celebrarunt autem Therapnæum Jovis filium (*Pol-
lucem*).] Ubi vero sol roscidos collustravit colles
e-terminis rediens, excitavitque ovium-pastores:
tum jam solutis ab extrema funibus lauro
prædaque navi imposita, quantam necesse-fuit asportare,
vento *secundo* vorticosum in Bosporum ferebantur.
Ibi quidem celso comparandus monti fluctus
sursum-fertur ante *te*, irruenti similis,
semper *usque* super nubes elatus; nec putes *te*
effugiturum-esse tristem mortem, quoniam admodum me-
diæ navi] vehemens impendet *fluctus*, ut nubes. At ille ta-
men] sternitur, si modo peritum gubernatorem offenderit.
Quare etiam hi Tiphyis solertia transierunt,
illæsi quidem, at perterriti. Die vero altero (*postridie*)
ex-adverso terræ Bithynicæ funes religarunt.
Ibi littoralem domum Agenorides habuit Phineus,
qui præ omnibus sane gravissima mala sustinuit,
propter vaticinandi-artem, quam ei olim dederat
Apollo; neque tantillum reveritus-erat, vel Jovis ipsius
edisserens vere sacram mentem hominibus.
Ideo etiam ipsi senectutem quidem diuturnam immisit,
eripuit vero oculorum dulce lumen; neque lætari

εἶα ἀπειρεσίοισιν ὀνείασιν, ὅσσα οἱ αἰεὶ
θέσφατα πευθόμενοι περιναιέται οἴκαδ' ἄγειρον.
Ἀλλὰ διὰ νεφέων ἄφνω πέλας ἀΐσσουσαι
Ἅρπυιαι στόματος χειρῶν τ' ἄπο γαμφηλῇσι
συνεχέως ἥρπαζον. Ἐλείπετο δ' ἄλλοτε φορβῆς
οὐδ' ὅσον, ἄλλοτε τυτθὸν, ἵνα ζώων ἀκάχοιτο.
Καὶ δ' ἐπὶ μυδαλέην ὀδμὴν χέον· οὐδέ τις ἔτλη
μὴ καὶ λευκανίηνδε φορεύμενος, ἀλλ' ἀπὸ τηλοῦ
ἑστηώς· τοῖόν οἱ ἀπέπνεε λείψανα δαιτός.
Αὐτίκα δ' εἰσαΐων ἐνοπὴν καὶ δοῦπον ὁμίλου,
τούσδ' αὐτοὺς παριόντας ἐπήϊσεν, ὧν οἱ ἰόντων
θέσφατον ἐκ Διὸς ἦεν ἑῆς ἀπόνασθαι ἐδωδῆς.
Ὀρθωθεὶς δ' εὐνῆθεν, ἀκήριον ἠΰτ' ὄνειρον,
βάκτρῳ σκηπτόμενος ῥικνοῖς ποσὶν ἦε θύραζε,
τοίχους ἀμφαφόων· τρέμε δ' ἅψεα νισσομένοιο
ἀδρανίῃ γήρᾳ τε· πίνῳ δέ οἱ αὐσταλέος χρὼς
ἐσκλήκει, ῥινοὶ δὲ σὺν ὀστέα μοῦνον ἔεργον.
Ἐκ δ' ἐλθὼν μεγάροιο καθέζετο, γοῦνα βαρυνθεὶς,
οὐδοῦ ἐπ' αὐλείοιο· κάρος δέ μιν ἀμφεκάλυψεν
πορφύρεος, γαῖαν δὲ πέριξ ἐδόκησε φέρεσθαι
νειόθεν, ἀβληχρῷ δ' ἐπὶ κώματι κέκλιτ' ἄναυδος.
Οἱ δέ μιν ὡς εἴδοντο, περισταδὸν ἠγερέθοντο
καὶ τάφον. Αὐτὰρ ὁ τοῖσι μάλα μόλις ἐξ ὑπάτοιο
στήθεος ἀμπνεύσας μετεφώνεε μαντοσύνῃσιν.
Κλῦτε, Πανελλήνων προφερέστατοι, εἰ ἐτεὸν δὴ
οἵδ' ὑμεῖς, οὓς δὴ κρυερῇ βασιλῆος ἐφετμῇ
Ἀργῴης ἐπὶ νηὸς ἄγει μετὰ κῶας Ἰήσων.
Ὑμεῖς ἀτρεκέως· ἔτι μοι νόος οἶδεν ἕκαστα
ᾗσι θεοπροπίῃσι. Χάριν νύ τοι, ὦ ἄνα, Λητοῦς
υἱὲ, καὶ ἀργαλέοισιν ἀνάπτομαι ἐν καμάτοισιν.
Ἱκεσίου πρὸς Ζηνὸς, ὅτις ῥίγιστος ἀλιτροῖς
ἀνδράσι, Φοίβου τ' ἀμφὶ, καὶ αὐτῆς εἵνεκεν Ἥρης,
λίσσομαι, οἷς περίαλλα θεῶν μέμβλεσθε κιόντες,
χραίσμετέ μοι, ῥύσασθε δυσάμμορον ἀνέρα λύμης,
μηδέ μ' ἀκηδείῃσιν ἀφορμηθῆτε λιπόντες
αὔτως. Οὐ γὰρ μοῦνον ἐπ' ὀφθαλμοῖσιν Ἐρινὺς
λὰξ ἐπέβη, καὶ γῆρας ἀμήρυτον ἐς τέλος ἕλκω·
πρὸς δ' ἔτι πικρότατον κρέμαται κακὸν ἄλλο κακοῖσιν.
Ἅρπυιαι στόματός μοι ἀφαρπάζουσιν ἐδωδὴν,
ἔκ ποθεν ἀφράστοιο καταΐσσουσαι ὀλέθρου.
Ἴσχω δ' οὔ τινα μῆτιν ἐπίρροθον. Ἀλλά κε ῥεῖα
αὐτὸς ἐὸν λελάθοιμι νόον, δόρποιο μεμηλὼς,
ἢ κείνας· ὧδ' αἶψα διηέριαι ποτέονται.
Τυτθὸν δ' ἢν ἄρα δή ποτ' ἐδητύος ἄμμι λίπωσι,
πνεῖ τόδε μυδαλέον τε καὶ οὐ τλητὸν μένος ὀδμῆς·
οὔ κέ τις οὐδὲ μίνυνθα βροτῶν ἄνσχοιτο πελάσσας,
οὐδ' εἴ οἱ ἀδάμαντος ἐληλαμένον κέαρ εἴη.
Ἀλλά με πικρὴ δῆτα κατίσχει δαιτὸς ἀνάγκη
μίμνειν, καὶ μίμνοντα κακῇ ἐν γαστέρι θέσθαι.
Τὰς μὲν θέσφατόν ἐστιν ἐρητῦσαι Βορέαο
υἱέας. Οὐδ' ὀθνεῖοι ἀλαλκήσουσιν ἐόντες,
εἰ δὴ ἐγὼν ὁ πρίν ποτ' ἐπικλυτὸς ἀνδράσι Φινεὺς
ὄλβῳ μαντοσύνῃ τε, πατὴρ δέ μ' ἐγείνατ' Ἀγήνωρ·
τῶν δὲ κασιγνήτη, ὅτ' ἐνὶ Θρήκεσσιν ἄνασσον,

passus-est copiosis cibis, quos ei semper
oracula sciscitantes accolæ domum deportabant.
Immo per nubes subito prope advolantes
Harpyiæ ex ore manibusque unguibus
continuo raptabant. Relinquebatur vero interdum cibi
ne tantillum quidem, interdum paullulum, ut vivens crucia-
retur.] Etenim tetrum odorem affuderunt; nec quis sustinuit,
nedum ad guttur admovere, adeo procul
stare; tantum ei fœtebant reliquiæ ciborum.
Statim vero audiens vocem et strepitum cœtus,
hos ipsos advenire sensit, quibus ipsi venientibus
oraculum ex Jove erat, suo se-fruiturum-esse cibo.
Excitatus igitur e-cubili, inanime velut somnium,
scipioni innixus marcidis pedibus progressus-est foras
parietes contrectans; tremebant vero artus incedentis
præ-languore et senio: sordibusque ei squallida cutis
exaruerat, pellisque ossa solum continebat.
Egressus autem domo consedit, genua gravatus,
in limine atrii; vertigo vero ipsum circumdedit
atra, terramque opinatus-est circumagi
ab-imo, languidum vero in soporem delapsus-est elinguis.
Illi autem (*Argonautæ*) ut viderunt, circumfusi congregati
sunt] atque obstupuerunt. At ille hos admodum ægre ex imo
pectore suspirans allocutus-est vaticinando:
Audite, Græcorum præstantissimi, si vere nempe
illi vos *estis*, quos quidem sævo regis jusso
Argoa in navi ducit ad vellus *auferendum* Jason.
Vos vere *estis*: adhuc mihi mens novit omnia
sua divinatione. Gratias tibi, rex, Latonæ
fili, vel duris refero in ærumnis.
Per supplicum-vindicem Jovem, qui severissimus in-scelestos
est homines, Phœbique gratia atque ipsam propter Junonem
precor, quibus præ-omnibus diis curæ-estis in-itinere-faci-
endo,] opem-ferte mihi, eripite miserum hominem calami-
tati,] neve me neglectum abite relinquentes
sic-temere. Neque enim tantum oculos Erinnys
calcibus invasit, atque senectutem infinitum ad terminum
traho,] sed etiam acerbissimum adhæret malum aliud malis.
Harpyiæ ex ore mihi eripiunt cibum
ex ignota alicunde irruentes pernicie.
Neque habeo ullum consilium, quod-juvet. Immo facilius
ipse *meum* ipsius fallerem animum, cibum capturus,
quam illas; ita celeriter per-aërem volant.
Paullulum vero si aliquando cibi nobis reliquerint,
exhalat illud putrem et non tolerandam vim odoris;
nec quis ne paullulum quidem mortalium sustineret accedere,
neque *is* quidem, si ei ex-ferro cusum cor fuerit.
At me dura sane cogit cibi necessitas
manere, et manentem importuno ventri ingerere *illos cibos*.
Has quidem oraculum jubet depellere Boreæ
filios: neque, alienigenæ tanquam-sint, opem-ferent,
siquidem ego ille *sum* olim celebratus inter-homines Phineus
opibus et divinatione, paterque me genuit Agenor,
horum vero soror, quando in Thracibus regnabam,

Κλειοπάτρη ἔδνοισιν ἐμὸν δόμον ἦγεν ἄκοιτις.
Ἴσχεν Ἀγηνορίδης· ἀδινὸν δ' ἕλε κῆδος ἕκαστον
ἡρώων, πέρι δ' αὖτε δύω υἷας Βορέαο.
Δάκρυ δ' ὀμορξαμένω σχεδὸν ἤλυθον, ὧδέ τ' ἔειπεν
Ζήτης, ἀσχαλόωντος ἑλὼν χερὶ χεῖρα γέροντος.
Ἆ δειλ', οὔ τινά φημι σέθεν σμυγερώτερον ἄλλον
ἔμμεναι ἀνθρώπων. Τί νύ τοι τόσα κήδε' ἀνῆπται;
ἦ ῥα θεοὺς ὀλοῇσι παρήλιτες ἀφραδίῃσιν,
μαντοσύνας δεδαώς· τῷ τοι μέγα μηνιόωσιν.
Ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισιν
χραισμεῖν, εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων
νῶϊν. Ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἐνιπαὶ
ἀθανάτων. Οὐδ' ἂν πρὶν ἐρητύσαιμεν ἰούσας
Ἁρπυίας, μάλα περ λελιημένοι, ἔς τ' ἂν ὀμόσσῃς,
μὴ μὲν τοῖο ἕκητι θεοῖς ἀπὸ θυμοῦ ἔσεσθαι.
Ὣς φάτο· τοῦ δ' ἰθὺς κενεὰς ὁ γεραιὸς ἀνέσχε
γλήνας ἀμπετάσας, καὶ ἀμείψατο τοῖσδ' ἐπέεσσιν.
Σίγα· μή μοι ταῦτα νόῳ ἔνι βάλλεο, τέκνον.
Ἴστω Λητοῦς υἱὸς, ὅ με πρόφρων ἐδίδαξεν
μαντοσύνας· ἴστω δὲ δυσώνυμος, ἥ μ' ἔλαχεν κὴρ,
καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαὸν νέφος, οἵ θ' ὑπένερθεν
δαίμονες, οἱ μηδ' ὧδε θανόντι περ εὐμενέοιεν,
ὡς οὔ τις θεόθεν χόλος ἔσσεται εἵνεκ' ἀρωγῆς.
Τὼ μὲν ἔπειθ' ὅρκοισιν ἀλαλκέμεναι μενέαινον.
Αἶψα δὲ κουρότεροι πεπονήατο δαῖτα γέροντι,
λοίσθιον Ἁρπυίῃσιν ἑλώριον· ἐγγύθι δ' ἄμφω
στῆσαν, ἵνα ξιφέεσσιν ἐπεσσυμένας ἐλάσειαν.
Καὶ δὴ τὰ πρώτισθ' ὁ γέρων ἔψαυεν ἐδωδῆς·
αἱ δ' ἄφαρ, ἠΰτ' ἄελλαι ἀδευκέες, ἢ στεροπαὶ ὥς,
ἀπρόφατοι νεφέων ἐξάλμεναι ἐσσεύοντο
κλαγγῇ, μαιμώωσαι ἐδητύος· οἱ δ' ἐσιδόντες
ἥρωες μεσσηγὺς ἀνίαχον· αἱ δ' ἅμ' ἀϋτῇ
πάντα καταβρώξασαι ὑπὲρ πόντοιο φέροντο
τῆλε παρέξ· ὀδμὴ δὲ δυσάσχετος αὖθι λέλειπτο.
Τάων δ' αὖ κατόπισθε δύω υἷες Βορέαο
φάσγαν' ἐπισχόμενοι ὀπίσω θέον. Ἐν γὰρ ἔηκεν
Ζεὺς μένος ἀκάματόν σφιν· ἀτὰρ Διὸς οὔ κεν ἐπέ-
σπέσθην, ἐπεὶ Ζεφύροιο παραΐσσεσκον ἀέλλας [σθην
αἰὲν, ὅτ' ἐς Φινῆα, καὶ ἐκ Φινῆος ἴοιεν.
Ὡς δ' ὅτ' ἐνὶ κνημοῖσι κύνες δεδαημένοι ἄγρης,
ἢ αἶγας κεραοὺς, ἠὲ πρόκας ἰχνεύοντες,
θείωσιν, τυτθὸν δὲ τιταινόμενοι μετόπισθεν
ἄκρης ἐν γενύεσσι μάτην ἀράβησαν ὀδόντας·
ὣς Ζήτης Κάλαΐς τε μάλα σχεδὸν ἀΐσσοντες,
τάων ἀκροτάτῃσιν ἐπέχραον ἤλιθα χερσίν.
Καί νύ κε δή σφ' ἀέκητι θεῶν διεδηλήσαντο,
πολλὸν ἑκὰς νήσοισιν ἐπὶ Πλωτῇσι κιχόντες,
εἰ μὴ ἄρ' ὠκέα Ἶρις ἴδεν, κατὰ δ' αἰθέρος ἆλτο
οὐρανόθεν, καὶ τοῖα παραιφαμένη κατέρυκεν.
Οὐ θέμις, ὦ υἱεῖς Βορέω, ξιφέεσσιν ἐλάσσαι
Ἁρπυίας, μεγάλοιο Διὸς κύνας· ὅρκια δ' αὐτὴ
δώσω ἐγὼν, ὡς οὔ οἱ ἔτι χρίμψουσιν ἰοῦσαι.
Ὣς φαμένη λοιβὴν Στυγὸς ὤμοσεν, ἥτε θεοῖσιν

Cleopatra cum-dote in-meam domum venit conjux.

Dixit Agenorides: vehemens autem occupavit dolor quemvis] heroum, inprimis vero duo filios Boreæ. Lacrimis vero abstersis propius accesserunt, sicque locutus est] Zetes, mœrentis prehendens manu manum senis:

Ah miser! non quemquam aio te infeliciorem alium esse virorum. Cur tandem tibi tanta mala immissa sunt? profecto deos perniciosa offendisti imprudentia, vaticiniorum peritus; quare tibi graviter succensent. Nobis quidem certe animus intus horret cupientibus opitulari, si jam omnino munus hoc imposuit deus nobis: (insignes enim terricolis iræ *sunt* immortalium): neque prius depellemus advenientes Harpyias, quamquam valde cupientes, quam juraveris, non propterea diis *nos* invisos fore.

Sic dixit: in-eum vero recta inanes senex sustulit oculos apertos, atque respondit his verbis:

Tace; non mihi hæc animo injice, fili. Testor Latonæ filium, qui me benevolus edocuit vaticinia; testor infandam, quæ me tenet sors, atque hanc oculorum cæcam nubem (*cæcitatem*) atque inferos] deos, qui ne sic mortuo quidem propitii sint, nullam divinitus iram exstituram-esse propter auxilium *mihi latum.*] Illi tum jurejurando *accepto* opem-ferre gestiebant.] Statim autem juvenes apparaverunt cænam seni, ultimam Harpyiis prædam; prope vero ambo stabant, ut ensibus advolantes fugarent. Quam primum igitur senex attigerat cibum, illæ statim, velut procellæ inopinatæ, aut fulminum instar, improvisæ e nubibus delatæ irruerunt cum-clangore, inhiantes cibo: at conspicati *eas* heroes in-medio exclamarunt: illæ vero cum clamore omnibus devoratis super mare ferebantur procul illinc; fœtor autem non-tolerandus ibi relinquebatur. Istas vero a-tergo duo filii Boreæ enses intentantes secuti sunt. Immiserat enim Jupiter vim indefessam illis; neque enim Jovis insecuti-fuissent] sine-ope, quoniam Zephyri prævertebant *Harpyiæ* flatus] semper, quando ad Phineum et a Phineo volitabant. Ut vero, quando in saltibus canes periti venationis vel capreas cornigeras, vel cervos investigantes currunt, paullulum vero remoti a-tergo extremis in rictibus frustra collidunt dentes: sic Zetes et Calais admodum prope imminentes, istas extremis prensabant frustra manibus. Atqui eas, invitis diis, peremissent admodum procul insulis in Plotis assecuti, nisi velox Iris vidisset, et ex æthere delapsa-esset cœlitus, atque sic allocuta cohibuisset:

Haud fas *est*, filii Boreæ, ensibus cædere Harpyias, magni Jovis canes; jusjurandum vero ipsa præstabo ego, *istas* non amplius ad-eum (*Phineum*) accessuras-esse redeuntes.] Sic locuta, per-aquam Stygis jura-

ῥιγίστη πάντεσσιν, ὀπιδνοτάτη τε τέτυκται,
μὴ μὲν Ἀγηνορίδαο δόμοις ἔτι τάσδε πελάσσαι
εἰσαῦτις Φινῆος, ἐπεὶ καὶ μόρσιμον ἦεν.
Οἱ δ' ὅρκῳ εἴξαντες ὑπέστρεφον ἂψ ἐπὶ νῆα
σεύεσθαι. Στροφάδας δὲ μεταχλείουσ' ἄνθρωποι
νήσους τοῖο ἕκητι, πάρος Πλωτὰς καλέοντες.
Ἅρπυιαί τ' Ἶρίς τε διέτμαγεν. Αἱ μὲν ἔδυσαν
κευθμῶνα Κρήτης Μινωΐδος· ἡ δ' ἀνόρουσεν
Οὔλυμπόνδε, θοῇσι μεταχρονίη πτερύγεσσιν.
Τόφρα δ' ἀριστῆες πινόεν περὶ δέρμα γέροντος
πάντη φοιβήσαντες, ἐπικριδὸν ἱρεύσαντο
μῆλα, τά τ' ἐξ Ἀμύκοιο λεηλασίης ἐκόμισσαν.
Αὐτὰρ ἐπεὶ μέγα δόρπον ἐνὶ μεγάροισιν ἔθεντο,
δαίνυνθ' ἑζόμενοι· σὺν δὲ σφίσι δαίνυτο Φινεὺς
ἁρπαλέως, οἷόν τ' ἐν ὀνείρασι θυμὸν ἰαίνων.
Ἐνθάδ', ἐπεὶ δόρποιο κορέσσαντ' ἠδὲ ποτῆτος,
παννύχιοι Βορέω μένον υἱέας ἐγρήσσοντες.
Αὐτὸς δ' ἐν μέσσοισι παρ' ἐσχάρῃ ἧστο γεραιὸς,
πείρατα ναυτιλίης ἐνέπων, ἄνυσίν τε κελεύθου.
Κλῦτέ νυν. Οὐ μὲν πάντα πέλει θέμις ὔμμι δαῆναι
ἀτρεκές· ὅσσα δ' ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσω.
Ἀασάμην καὶ πρόσθε, Διὸς νόον ἀφραδίῃσιν
χρείων ἑξείης τε καὶ ἐς τέλος. Ὧδε γὰρ αὐτὸς
βούλεται ἀνθρώποις ἐπιδευέα θέσφατα φαίνειν
μαντοσύνης, ἵνα καί τι θεῶν χατέωσι νόοιο.
Πέτρας μὲν πάμπρωτον ἀφορμηθέντες ἐμεῖο
Κυανέας ὄψεσθε δύω ἁλὸς ἐν ξυνοχῇσιν.
Τάων οὔ τινα φημὶ διαμπερὲς ἐξελάασθαι.
Οὐ γάρ τε ῥίζῃσιν ἐρήρεινται νεάτῃσιν·
ἀλλὰ θαμὰ ξυνίασιν ἐναντίαι ἀλλήλῃσιν
εἰς ἕν, ὕπερθε δὲ πολλὸν ἁλὸς κορθύνεται ὕδωρ
βρασσόμενον· στρηνὲς δὲ περὶ στυφελὴ βρέμει ἀκτή.
Τῷ νῦν ἡμετέρῃσι παραιφασίῃσι πίθεσθε,
εἰ ἐτεὸν πυκινῷ τε νόῳ, μακάρων τ' ἀλέγοντες
πείρετε· μηδ' αὔτως αὐτάγρετον οἶτον ὄλησθε
ἀφραδέως, ἢ θύνετ' ἐπισπόμενοι νεότητι.
Οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσασθε,
νηὸς ἄπο προμεθέντες ἐφιέμεν. Ἢν δὲ δι' αὐτῶν
πετράων πόντονδε σόη πτερύγεσσι δίηται,
μηκέτι δὴν μηδ' αὐτοὶ ἐρητύεσθε κελεύθου.
Ἀλλ' εὖ καρτύναντες ἑαῖς ἐνὶ χερσὶν ἐρετμὰ,
τέμνεθ' ἁλὸς στεινωπόν· ἐπεὶ φάος οὔ νύ τι τόσσον
ἔσσετ' ἐν εὐχωλῇσιν, ὅσον τ' ἐνὶ κάρτεϊ χειρῶν.
Τῷ καὶ τἄλλα μεθέντες, ὀνήϊστον πενέεσθε
θαρσαλέως· πρὶν δ' οὔ τι θεοὺς λίσσεσθαι ἐρύκω.
Εἰ δέ κεν ἀντικρὺ πταμένη μεσσηγὺς ὄληται,
ἀψοῤῥοι στέλλεσθε· ἐπεὶ πολὺ βέλτερον εἶξαι
ἀθανάτοις. Οὐ γάρ κε κακὸν μόρον ἐξαλέασθε
πετράων, οὐδ' εἴ κε σιδηρείη πέλει Ἀργώ.
Ὦ μέλεοι, μὴ τλῆτε παρὲξ ἐμὰ θέσφατα βῆναι,
εἰ καί με τρὶς τόσσον ὀίεσθ' Οὐρανίδῃσιν,
ὅσσον ἀνάρσιός εἰμι, καὶ εἰ πλεῖον στυγέεσθαι,
μὴ τλῆτ' οἰωνοῖο πάρεξ ἔτι νηῒ περῆσαι.
Καὶ τὰ μὲν ὥς κε πέλῃ, τὼς ἔσσεται. Ἢν δὲ φύγητε

vit, quæ diis] horrenda omnibus atque reverenda est,
non Agenoridæ ad-domos amplius illas appropinquaturas
in-posterum Phinei, quoniam *ita* etiam in-fatis erat.
Illi jurijurando cedentes reversi-sunt rursus ad navem
abituri. Strophadas vero vocant homines
insulas *illas* propterea, antea Plotas appellatas.
Harpyiæ autem et Iris discesserunt: illæ quidem subierunt
specum Cretæ Minoïdis; hæc autem evolavit
in-Olympum celeribus sublata alis.
Interea heroes, sordida cute senis
undique lustrata, selectas mactarunt
pecudes, quas ex Amyci præda abduxerant.
At postquam lautam cœnam in-ædibus instruxerunt,
epulati-sunt sedentes; cum ipsis vero vescebatur Phineus
avide, velut in somniis animum oblectans.
Exin, ubi cibo satiati-erant et potu,
per-totam-noctem Boreæ exspectabant filios vigilantes.
Ipse vero in mediis ad focum consedit senex
fines navigationis prædicens et confectionem itineris:
Audite igitur: non quidem omnia fas est vos cognoscere
clare; sed quantum diis est gratum, non celabo.
Afflictus-sum etiam antea, Jovis consilia imprudenter
eloquens deinceps et ad-usque finem. Sic enim ipse
vult hominibus manca responsa edere
vaticinationis, ut etiam aliquantum deorum indigeant consilio.] Petras quidem primum-omnium, profecti a-me,
Cyaneas conspicietis duas maris in angustiis (*Symplegadas*).] Per has neminem aio omnino salvum-évasisse:
neque enim radicibus nituntur ultimis
sed frequenter coeunt adversæ sibi
in unum, superne autem multa maris extollitur aqua
æstuans; horribiliter vero circa sonorum fremit littus.
Quare jam nostris monitis obsequimini,
si vere prudenti mente, et deos curantes
navigatis; neu temere sponte-petita morte interite
imprudenter, aut cum-impetu-ruite obsecuti juventæ.
Volucri igitur primum columba periculum-facite
e navi *illam* præmittentes emissam. *Quæ* si per ipsas
petras in-pontum salva volando pervenerit,
non-amplius diu neque ipsi desistite a-navigatione
Immo valide tenentes vestris (in) manibus remos,
secate maris angustias: quoniam salus non sane tanta
inerit in precibus, quanta in robore manuum.
Quare etiam aliis rebus missis, quod-utilissimum-est conficite] audacter; antea autem deos invocare non veto.
Si vero contra volans in-medio perierit *columba,*
retro navigate; quoniam multo melius *est* cedere
immortalibus. Neque enim triste fatum effugeritis
saxorum, ne si ferrea quidem fuerit Argo.
O miseri, ne audete contra mea oracula procedere,
si vel me ter tantum putetis cœlitibus,
quantum exosus sum, atque etiam plus, invisum-fore,
ne audeatis absque columba posthac navi trajicere.
Atque hæc quidem utcunque *in fatis* sunt, ita evenient.

σύνδρομα πετράων ἀσκηθέες ἔνδοθι Πόντου,
αὐτίκα Βιθυνῶν ἐπὶ δεξιὰ γαῖαν ἔχοντες
πλώετε, ῥηγμῖνας πεφυλαγμένοι, εἰσόκεν αὖτε
Ῥήβαν ὠκυρόην ποταμὸν, ἄκρην τε Μέλαιναν
γνάμψαντες, νήσου Θυνηΐδος ὅρμον ἵκησθε.
Κεῖθεν δ' οὐ μάλα πουλὺ διὲξ ἁλὸς ἀντιπέραιαν
γῆν Μαριανδυνῶν ἐπικέλσετε νοστήσαντες.
Ἔνθα μὲν εἰς Ἀΐδαο καταιβάτις ἐστὶ κέλευθος,
ἄκρη τε προβλὴς Ἀχερουσιὰς ὑψόθι τείνει,
δινήεις τ' Ἀχέρων αὐτὴν διὰ νειόθι τέμνων
ἄκρην, ἐκ μεγάλης προχοὰς ἵησι φάραγγος.
Ἀγχίμολον δ' ἐπὶ τῇ πολέας παρανεῖσθε κολωνοὺς
Παφλαγόνων, τοῖσιν Ἐνετήϊος ἐμβασίλευσεν
πρῶτα Πέλοψ, τοῦ καίπερ ἀφ' αἵματος εὐχετόωνται.
Ἔστι δέ τις ἄκρη Ἑλίκης κατεναντίον ἄρκτου,
πάντοθεν ἠλίβατος, καί μιν καλέουσι Κάραμβιν,
τῆς καὶ ὕπερ Βορέαο περισχίζονται ἄελλαι·
ὧδε μάλ' ἂμ' πέλαγος τετραμμένη αἰθέρι κύρει.
Τήνδε περιγνάψαντι πολὺς παρακέκλιται ἤδη
αἰγιαλός· πολέος δ' ἐπὶ πείρασιν αἰγιαλοῖο
ἄκρῃ ἐπὶ προβλῆτι ῥοαὶ Ἅλυος ποταμοῖο
δεινὸν ἐρεύγονται· μετὰ τὸν δ' ἀγχίῤῥοος Ἶρις
μειότερος λευκῇσιν ἑλίσσεται εἰς ἅλα δίναις.
Κεῖθεν δὲ προτέρωσε μέγας καὶ ὑπείροχος ἀγκὼν
ἐξανέχει γαίης· ἐπὶ δὲ στόμα Θερμώδοντος
κόλπῳ ἐν εὐδιόωντι Θεμισκύρειον ὑπ' ἄκρην
μύρεται, εὐρείης διαειμένος ἠπείροιο.
Ἔνθα δὲ Δοίαντος πεδίον, σχεδόθεν δὲ πόληες
τρισσαὶ Ἀμαζονίδων. Μετὰ δὲ σμυγερώτατοι ἀν-
τρηχεῖαν Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν [δρῶν
ἐργατίναι· τοὶ δ' ἀμφὶ σιδήρεα ἔργα μέλονται.
Ἄγχι δὲ ναιετάουσι πολύῤῥηνες Τιβαρηνοὶ
Ζηνὸς Εὐξείνοιο Γενηταίην ὑπὲρ ἄκρην.
Τῇ δ' ἔπι Μοσσύνοικοι ὁμούριοι ὑλήεσσαν
ἑξείης ἤπειρον, ὑπωρείας τε νέμονται,
δουρατέοις πύργοισιν ἐν οἰκία τεκτήναντες.
Τοὺς παραμειβόμενοι λισσῇ ἐπικέλσετε νήσῳ,
μήτι παντοίῃ μέγ' ἀναιδέας ἐξελάσαντες
οἰωνοὺς, οἳ δῆθεν ἀπειρέσιοι ἐφέπουσιν
νῆσον ἐρημαίην. Τῇ μέν τ' ἔνι νηὸν Ἄρηος
λαΐνεον ποίησαν Ἀμαζονίδων βασίλειαι
Ὀτρηρή τε καὶ Ἀντιόπη, ὁπότε στρατόωντο.
Ἔνθα γὰρ ὔμμιν ὄνειαρ ἀδευκέος ἐξ ἁλὸς εἶσιν
ἄῤῥητον· τῷ καί τε φίλα φρονέων ἀγορεύω
ἰσχέμεν. Ἀλλὰ τίη με πάλιν χρειὼ ἀλιτέσθαι,
μαντοσύνῃ τὰ ἕκαστα διηνεκὲς ἐξενέποντα;
Νήσου δὲ προτέρωσε καὶ ἠπείροιο περαίης
φέρβονται Φίλυρες· Φιλύρων δ' ἐφύπερθεν ἔασιν
Μάκρωνες· μετὰ δ' αὖ περιώσια φῦλα Βεχείρων.
Ἑξείης δὲ Σάπειρες ἐπὶ σφίσι ναιετάουσιν·
Βύζηρες δ' ἐπὶ τοῖσιν ὁμώλακες, ὧν ὕπερ ἤδη
αὐτοὶ Κόλχοι ἔχονται ἀρήϊοι. Ἀλλ' ἐνὶ νηῒ
πείρεθ', ἕως μυχάτῃ κεν ἐνιχρίμψητε θαλάσσῃ.
Ἔνθα δ' ἐπ' ἠπείροιο Κυταιΐδος, ἠδ' Ἀμαραντῶν

Si vero effugeritis] concursum saxorum incolumes in Pontum,] statim Bithynorum terram ad dextram habentes
navigate, littoribus evitatis, usque-dum porro
Rhebantem rapidum fluvium, et promontorium Nigrum
circumvecti, *ad* insulæ Thyneæ stationem perveneritis.
Inde non ita multum per mare, oppositam
terram Mariandynorum appelletis, profecti.
Ibi quidem ad Orcum deferens est via,
et promontorium prominens Acherusium in-altum porrigitur,] et vorticosus Acheron illud in-imo secans
promontorium, ex magna fluenta emittit voragine.
Proxime post illud multos prænavigabitis colles
Paphlagonum, quibus Heneteïus imperavit
primum Pelops, e cujus quidem sanguine *se exortos esse*
gloriantur.] Est autem quoddam promontorium Helicæ
oppositum ursæ (*septentrioni*),] undique excelsum, quod
appellant Carambin;] super eo etiam Boreæ scinduntur
flatus:] adeo longe in mare conversum ætherem attingit.
Hoc circumvecto longum adjacet jam
littus; sed longi in finibus littoris
promontorio in prominente fluenta Halyis fluvii
horrendum eructantur: post illum proxime-fluens Iris
minor albis provolvitur in mare vorticibus.
Inde vero ulterius magnus et eminens angulus
protenditur terræ; juxtaque ostium Thermodontis
sinu in tranquillo Themiscyrium sub promontorium
effluit, per latam devectus terram.
Ibi Dœantis campus, prope vero urbes
tres Amazonum. Tum post *eas* miserrimi hominum
asperam Chalybes et difficilem terram tenent
operarii, qui ferrea opera tractant.
Prope autem habitant pecudibus-abundantes Tibareni
Jovis hospitalis Genetæum ultra promontorium.
Post hoc Mossynœci confines silvosam
deinceps terram et montium-radices incolunt,
ligneis in arcibus habitationibus ædificatis.
Hos prætervecti ad asperam appelletis insulam,
quavis arte valde importunas postquam-exegeritis
aves, quæ scilicet innumeræ frequentant
insulam desertam. In ea quidem templum Martis
lapideum exstruxerunt Amazonum reginæ
Otrere atque Antiope, cum expeditionem-suscepissent.
Ibi vobis emolumentum amaro ex mari prodibit
ineffabile: quare etiam bene cupiens jubeo *vos*
eo appellere. At quid me iterum oportet peccare
vaticinio singula continuo enarrantem?
Ultra insulam vero et continentem oppositam
degunt Philyres, et supra Philyras sunt
Macrones, post *hos* autem porro numerosæ gentes Bechirum.] Deinceps vero Sapires his vicini habitant,
et Byzeres post hos finitimi, ultra quos jam
ipsi Colchi proximi-sunt bellicosi. At navi
vehimini, usque-dum in-intimum deveneritis mare.
Ibi in continente Cytaica (*Colchica*) atque Amarantis

τηλόθεν ἐξ ὀρέων, πεδίοιό τε Κιρκαίοιο
Φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.
Κείνου νῆ' ἐλάοντες ἐπὶ προχοὰς ποταμοῖο
πύργους εἰσόψεσθε Κυταιέος Αἰήταο,
ἄλσος τε σκιόειν Ἄρεος· τόθι κῶας ἐπ' ἄκρης
πεπτάμενον φηγοῖο δράκων, τέρας αἰνὸν ἰδέσθαι,
ἀμφὶς ὀπιπτεύει δεδοκημένος· οὐδέ οἱ ἦμαρ,
οὐ κνέφας, ἥδυμος ὕπνος ἀναιδέα δάμναται ὄσσε.
Ὣς ἄρ' ἔφη· τοὺς δ' εἶθαρ ἕλεν δέος εἰσαΐοντας.
Δὴν δ' ἔσαν ἀμφασίῃ βεβολημένοι· ὀψὲ δ' ἔειπεν
ἥρως Αἴσονος υἱὸς ἀμηχανέων κακότητι.
Ὦ γέρον, ἤδη μέν τε διίκεο πείρατ' ἀέθλων
ναυτιλίης, καὶ τέκμαρ, ὅτῳ στυγερὰς διὰ πέτρας
πειθόμενοι Πόντονδε περήσομεν· εἰ δὲ καὶ αὖτις
τάσδ' ἡμῖν προφυγοῦσιν ἐς Ἑλλάδα νόστος ὀπίσσω
ἔσσεται, ἀσπαστῶς κε παρὰ σέο καὶ τὸ δαείην.
Πῶς ἔρδω, πῶς αὖτε τόσην ἁλὸς εἶμι κέλευθον,
νῆϊς ἐὼν ἑτάροις ἅμα νήϊσιν; Αἶα δὲ Κολχὶς
Πόντου καὶ γαίης ἐπικέκλιται ἐσχατιῇσιν.
Ὣς φάτο· τὸν δ' ὁ γεραιὸς ἀμειβόμενος προσέειπεν
Ὦ τέκος, εὖτ' ἂν πρῶτα φύγῃς ὀλοὰς διὰ πέτρας,
θάρσει· ἐπεὶ δαίμων ἕτερον πλόον ἡγεμονεύσει
ἐξ Αἴης· μετὰ δ' Αἶαν ἅλις πομπῆες ἔσονται.
Ἀλλά, φίλοι, φράζεσθε θεᾶς δολόεσσαν ἀρωγὴν
Κύπριδος. Ἐκ γὰρ τῆς κλυτὰ πείρατα κεῖται ἀέθλων.
Καὶ δέ με μηκέτι τῶνδε περαιτέρω ἐξερέεσθε.
Ὣς φάτ' Ἀγηνορίδης· ἐπὶ δὲ σχεδὸν υἱέε δοιὼ
Θρηϊκίου Βορέαο κατ' αἰθέρος ἀΐξαντες
οὐδῷ ἐπὶ κραιπνοὺς ἔβαλον πόδας· οἱ δ' ἀνόρουσαν
ἐξ ἑδέων ἥρωες, ὅπως παρεόντας ἴδοντο.
Ζήτης δ' ἱεμένοισιν, ἔτ' ἄσπετον ἐκ καμάτοιο
ἆσθμ' ἀναφυσιόων, μετεφώνεεν, ὅσσον ἄπωθεν
ἤλασαν, ἠδ' ὡς Ἶρις ἐρύκακε τάσδε δαΐξαι,
ὅρκιά τ' εὐμενέουσα θεὰ πόρεν, αἱ δ' ὑπέδυσαν
δείματι Δικταίης περιώσιον ἄντρον ἐρίπνης.
Γηθόσυνοι δ' ἤπειτα δόμοις ἔνι πάντες ἑταῖροι
αὐτός τ' ἀγγελίῃ Φινεὺς πέλεν. Ὦκα δὲ τόν γε
Αἰσονίδης περιπολλὸν ἐΰφρονέων προσέειπεν.
Ἦ ἄρα δή τις ἔην, Φινεῦ, θεός, ὃς σέθεν ἄτης
κήδετο λευγαλέης, καὶ δ' ἡμέας αὖθι πέλασσεν
τηλόθεν, ὄφρα τοι υἷες ἀμύνειαν Βορέαο·
εἰ δὲ καὶ ὀφθαλμοῖσι φόως πόροι, ἦ τ' ἂν ὀΐω
γηθήσειν, ὅσον εἴπερ ὑπότροπος οἴκαδ' ἱκοίμην.
Ὣς ἔφατ'· αὐτὰρ ὁ τόνγε κατηφήσας προσέειπεν.
Αἰσονίδη, τὸ μὲν οὐ παλινάγρετον, οὐδέ τι μῆχος
ἔστ' ὀπίσω· κενεαὶ γὰρ ὑποσμύχονται ὀπωπαί.
Ἀντὶ δὲ τοῦ θάνατόν μοι ἄφαρ θεὸς ἐγγυαλίξαι,
καί τε θανὼν πάσῃσι μετέσσομαι ἀγλαΐῃσιν.
Ὣς τώ γ' ἀλλήλοισι παραβλήδην ἀγόρευον.
Αὐτίκα δ' οὐ μετὰ δηρὸν ἀμειβομένων ἐφαάνθη
Ἠριγενής· τὸν δ' ἀμφὶ περικτίται ἠγερέθοντο
ἀνέρες, οἳ καὶ πρόσθεν ἐπ' ἤματι κεῖσε θάμιζον
αἰέν, ὁμῶς φορέοντες ἑῆς ἀπὸ μοῖραν ἐδωδῆς.
Τοῖς ὁ γέρων πάντεσσιν, ὅτις καὶ ἀφαυρὸς ἵκοιτο,

procul ex montibus, campoque Circæo
Phasis vorticosus latum flumen in mare mittit.
Illius navem impellentes ad ostia fluvii
arces conspicietis Cytæei Æetæ,
lucumque opacum Martis: ibi vellus in summa
expansum querco draco, monstrum horribile visu,
undique tuetur observans: neque ei interdiu
neque noctu, dulcis somnus truces domat oculos.
Sic igitur dixit: illos vero statim occupavit metus audientes.] Diu vero erant stupore perculsi, et sero locutus-est] heros Æsonis filius, inopia-consilii-laborans ob-illa-pericula:] Senex, jam quidem persecutus-es fines laborum
navigationis, atque signum, quo ipvisa per saxa
freti in-Pontum trajiciemus: an vero rursus
illis evitatis nobis in Græciam reditus postea
futurus-sit, lubenter a te etiam hoc cognoverim
Quomodo agam, quomodo iterum tantam maris conficiam viam,] imperitus quum-sim una-cum sociis imperitis? Æa enim Colchica] in maris atque terræ sita-est extremis-finibus.] Sic dixit: ei vero senex respondens locutus-est:
Fili, quando primum evaseris exitiosas per petras,
bono-esto-animo: etenim numen alterius navigationis duxerit] ex Æa: ad Æam vero sat-multi duces erunt.
Sed, amici, providete deæ callidum auxilium
Cypridis. In illa enim gloriosi exitus siti-sunt certaminum.
Atque me non-amplius de-his ulterius interrogate.
Sic fatus-est Agenorides: prope autem filii duo
Thracii Boreæ de aëre delapsi
in limine veloces posuerunt pedes: prosiluerunt vero
e sedibus heroes, quum adesse *illos* viderent.
Zetes cupientibus *cognoscere*, adhuc frequentem præ labore] anhelitum spirans, dixit, quam procul
abegissent *Harpyias*, et ut Iris prohibuisset illas interimere,] jusjurandumque benevola dea præstitisset, illæ autem subiissent] præ-metu Dictæi (*Cretensis*) vastum antrum montis.] Læti vero deinde in ædibus omnes socii
et ipse de-*hoc*-nuncio Phineus fuit: protinusque eum
Æsonides admodum benevolens allocutus-est:
Profecto jam aliquis erat, Phineu, deus, qui tuæ calamitatis] curam-habuit miseræ, atque nos huc adegit
e-longinquo, ut tibi filii opem-ferrent Boreæ.
Quodsi etiam oculis lumen præbuerit, certe credo
me lætatum-esse, quantum si redux domum pervenerim.
Sic dixit: at ille hunc tristi-vultu allocutus-est:
Jason, hoc quidem non revocabile *est*, neque aliquod remedium] erit posthac: inanes enim absumuntur oculorum-orbes.] Pro hoc vero mortem mihi cito deus concedat,] et mortuus omnibus fruar ornamentis.
Sic illi inter-se mutuo loquebantur.
Statim vero non diu post colloquentibus apparuit
Aurora: circa illum autem vicini congregabantur
viri, qui etiam antea per diem illuc confluebant
semper, una afferentes de suo partem cibo
His senex omnibus, quicunque etiam egenus accessit,

ἔχρασεν ἐνδυκέως, πολέων δ' ἀπὸ πήματ' ἔλυσεν
μαντοσύνῃ· τῷ καί μιν ἐποιχόμενοι κομέεσκον.
Σὺν τοῖσιν δ' ἵκανε Παραίβιος, ὅς ῥά οἱ ἦεν
φίλτατος· ἀσπάσιος δὲ δόμοις ἔνι τούς γ' ἐνόησεν.
Πρὶν γὰρ δή νύ ποτ' αὐτὸς ἀριστήων στόλον ἀνδρῶν
Ἑλλάδος ἐξανιόντα μετὰ πτόλιν Αἰήταο
πείσματ' ἀνάψασθαι μυθήσατο Θυνίδι γαίῃ,
οἵτε οἱ Ἁρπυίας Διόθεν σχήσουσιν ἰούσας.
Τοὺς μὲν ἔπειτ' ἐπέεσσιν ἀρεσσάμενος πυκινοῖσιν
πέμφ' ὁ γέρων· οἶον δὲ Παραίβιον αὐτόθι μίμνειν
κέκλετ' ἀριστήεσσι σὺν ἀνδράσιν· αἶψα δὲ τόν γε
σφωϊτέρων οἴων ὅτις ἔξοχος εἰς ἓ κομίσσαι
ἧκεν ἐποτρύνας. Τοῦ δ' ἐκ μεγάροιο κιόντος,
μειλιχίως ἐρέτῃσιν ὁμηγερέεσσι μετηύδα.
Ὦ φίλοι, οὐκ ἄρα πάντες ὑπέρβιοι ἄνδρες ἔασιν,
οὐδ' εὐεργεσίης ἀμνήμονες. Ὡς καὶ ὅδ' ἀνὴρ
τοῖος ἐὼν δεῦρ' ἦλθεν, ἑὸν μόρον ὄφρα δαείη. [σοι,
Εὖτε γὰρ οὖν ὡς πλεῖστα κάμοι καὶ πλεῖστα μογή-
δὴ τότε μιν περιπολλὸν ἐπασσυτέρη βιότοιο
χρησμοσύνη τρύχεσκεν· ἐπ' ἤματι δ' ἦμαρ ὀρώρει
κύντερον, οὐδέ τις ἦεν ἀνάπνευσις μογέοντι.
Ἀλλ' ὅ γε πατρὸς ἑοῖο κακὴν τίνεσκεν ἀμοιβὴν
ἀμπλακίης. Ὁ γὰρ οἶος ἐν οὔρεσι δένδρεα τέμνων
δή ποθ' Ἁμαδρυάδος Νύμφης ἀθέριξε λιτάων,
ἥ μιν ὀδυρομένη ἀδινῷ μειλίσσετο μύθῳ,
μὴ τάμέειν πρέμνον δρυὸς ἥλικος, ᾗ ἔπι πουλὺν
αἰῶνα τρίβεσκε διηνεκές· αὐτὰρ ὁ τήνγε
ἀφραδέως ἔτμηξεν, ἀγηνορίῃ νεότητος.
Τῷ δ' ἄρα νηκερδῆ Νύμφη πόρεν οἶτον ὀπίσσω
αὐτῷ καὶ τεκέεσσιν. Ἔγωγε μὲν, εὖτ' ἀφίκανεν,
ἀμπλακίην ἔγνων· βωμὸν δ' ἐκέλευσα καμόντα
Θυνιάδος Νύμφης, λωφήϊα ῥέξαι ἐπ' αὐτῷ
ἱερὰ, πατρῴην αἰτεύμενον αἶσαν ἀλύξαι.
Ἔνθ' ἐπεὶ ἔκφυγε κῆρα θεήλατον, οὔποτ' ἐμεῖο
ἐκλάθετ', οὐδ' ἀθέρισσε· μόλις δ' ἀέκοντα θύραζε
πέμπω, ἐπεὶ μέμονέν γε παρέμμεναι ἀσχαλόωντι.
Ὣς φάτ' Ἀγηνορίδης· ὁ δ' ἐπισχεδὸν αὐτίκα δοιὼ
ἤλυθ' ἄγων ποίμνηθεν ὄϊς. Ἀνὰ δ' ἵστατ' Ἰήσων,
ἂν δὲ Βορήϊοι υἷες, ἐφημοσύνῃσι γέροντος.
Ὦκα δὲ κεκλόμενοι μαντήϊον Ἀπόλλωνα
ῥέζον ἐπ' ἐσχαρόφιν, νέον ἤματος ἀνομένοιο.
Κουρότεροι δ' ἑτάρων μενοεικέα δαῖτ' ἀλέγυνον.
Ἔνθ' εὖ δαισάμενοι, τοὶ μὲν παρὰ πείσμασι νηὸς,
τοὶ δ' αὐτοῦ κατὰ δώματ' ἀολλέες εὐνάζοντο.
Ἦρι δ' ἐτήσιαι αὖραι ἐπέχραον, αἵτ' ἀνὰ πᾶσαν
γαῖαν ὁμῶς τοιῇδε Διὸς πνείουσιν ἀρωγῇ.
Κυρήνη πέφαταί τις ἕλος πάρα Πηνειοῖο
μῆλα νέμειν προτέροισι παρ' ἀνδράσιν· εὔαδε γάρ οἱ
παρθενίη καὶ λέκτρον ἀκήρατον· αὐτὰρ Ἀπόλλων
τήν γ' ἀνερειψάμενος ποταμῷ ἔπι ποιμαίνουσαν,
τηλόθεν Αἱμονίης, Χθονίῃς παρακάτθετο Νύμφαις,
αἳ Λιβύην ἐνέμοντο παραὶ Μυρτώσιον αἶπος.
Ἔνθα δ' Ἀρισταῖον Φοίβῳ τέκεν, ὃν καλέουσιν
Ἀγρέα καὶ Νόμιον πολυλήϊοι Αἱμονιῆες,

vaticinatus-est diligenter, multisque mala demsit
vaticinando: quare etiam ipsum adeuntes alebant.
Cum his vero venit Paræbius, qui quidem ei erat
carissimus: lubens vero in ædibus illos (*Argonautas*)
animadvertit.] Antea enim *ei* ipse (*Phineus*) jam, heroum classem virorum] e-Græcia profectam in urbem Æetæ
retinacula alligaturam-esse, prædixerat, in-Thynæa terra,
qui quidem (*heroes*) ipsi Harpyias prohibituri-sint a-Jove
immissas.] Illos quidem deinde responsis exceptos prudentibus] dimisit senex: solum vero Paræbium ibi manere
jussit fortissimis cum viris: mox etiam hunc,
e-suis ovibus, quæ eximia *esset*, ad se ut-ferret
misit cohortans. Eo autem ex ædibus egresso
leniter nautas cunctos allocutus-est:

Amici, non sane omnes violenti homines sunt,
nec beneficii immemores. Quemadmodum hic quoque vir
talis (*tam gratus*) existens huc venit, suum fatum ut
cognosceret.] Quando enim *ille* plurimum laborabat et plurimum ærumnæ-perferebat,] tum eum valde frequentior
victus] inopia affligebat: diei autem dies successit
funestior, neque ulla erat requies laboranti.
At ille patris sui malam luit pœnam
sceleris. Is enim solus in montibus arbores cædens
aliquando Hamadryadis Nymphæ spreverat preces,
quæ eum flens lugubri demulsit sermone,
ne cæderet truncum quercus æqualis, in qua longum
ævum consumserat perpetuo: at ille hanc (*arborem*)
imprudenter abscidit, insolentia juventutis *abreptus*.
Huic igitur noxiam Nympha immisit calamitatem postea
ipsi et filiis. Ego quidem, quando venerat,
delictum cognovi: ara autem jussi exstructa
Thynææ Nymphæ piacularia facere in ea
sacra, supplicantem, ut paternam sortem effugeret.
Tum ubi effugerat calamitatem divinitus-immissam, nunquam mei] oblitus-est, neque *me* neglexit: ægre vero invitum foras] mitto, quoniam perseverat *mihi* adesse dolenti.] Sic locutus-est Agenoris-filius: ille vero prope
statim duas] venit adducens de-grege oves. Surrexit igitur
Jason,] surrexerunt Boreæ filii, jussu senis.
Statim autem invocato fatidico Apolline
sacra-fecerunt in ara, die jam inclinato.
Juniores autem sociorum jucundam appararunt cœnam.
Tum bene epulati, alii ad retinacula navis,
alii ipsius in ædibus conferti dormiverunt.
Mane vero etesiæ auræ ingruebant, quæ quidem per
omnem] terram simul hocce Jovis spirant jussu.

Cyrene fertur quædam ad paludem Penei
pecudes pavisse priscos apud homines. Placuerat enim ei
virginitas et lectus intactus: at Apollo
eam surreptam ad fluvium pascentem
procul ab-Hæmonia indigenis commisit Nymphis
quæ Libyam incolebant ad Myrtosium verticem.
Ubi Aristæum Phœbo peperit, quem appellant
Agrestem et Pastoralem frugibus abundantes Hæmonii

τὴν μὲν γὰρ φιλότητι θεὸς ποιήσατο Νύμφην
αὐτοῦ μακραίωνα καὶ ἀγρότιν· υἷα δ' ἔνεικεν
νηπίαχον Χείρωνος ὑπ' ἄντροισιν κομέεσθαι.
Τῷ καὶ ἀεξηθέντι θεαὶ γάμον ἐμνήστευσαν
Μοῦσαι, ἀκεστορίην τε θεοπροπίας τ' ἐδίδαξαν·
καί μιν ἑῶν μήλων θέσαν ἤρανον, ὅσσ' ἐνέμοντο
ἂμ πεδίον Φθίης Ἀθαμάντιον, ἀμφί τ' ἐρυμνὴν
Ὄθρυν, καὶ ποταμοῦ ἱερὸν ῥόον Ἀπιδανοῖο.
Ἦμος δ' οὐρανόθεν Μινωΐδας ἔφλεγε νήσους
Σείριος, οὐδ' ἐπὶ δηρὸν ἔην ἄκος ἐνναέτῃσιν,
τῆμος τόν γ' ἐκάλεσσαν, ἐφημοσύνῃς Ἑκάτοιο,
λοιμοῦ ἀλεξητῆρα. Λίπεν δ' ὅ γε πατρὸς ἐφετμῇ
Φθίην, ἐν δὲ Κέῳ κατενάσσατο, λαὸν ἀγείρας
Παῤῥάσιον, τοίπερ τε Λυκάονός εἰσι γενέθλης·
καὶ βωμὸν ποίησε μέγαν Διὸς Ἰκμαίοιο,
ἱερά τ' εὖ ἔῤῥεξεν ἐν οὔρεσιν ἀστέρι κείνῳ
Σειρίῳ, αὐτῷ τε Κρονίδῃ Διΐ, τοῖο δ' ἕκητι
γαῖαν ἐπιψύχουσιν ἐτήσιαι ἐκ Διὸς αὖραι
ἤματα τεσσαράκοντα· Κέῳ δ' ἔτι νῦν ἱερῆες
ἀντολέων προπάροιθε Κυνὸς ῥέζουσι θυηλάς.
Καὶ τὰ μὲν ὣς ὑδέονται· ἀριστῆες δὲ κατ' αὖθι
μίμνον ἐρυκόμενοι· ξεινήϊα δ' ἄσπετα Θυνοὶ
πᾶν ἦμαρ Φινῆϊ χαριζόμενοι προΐαλλον.
Ἐκ δὲ τόθεν μακάρεσσι δυώδεκα δωμήσαντες
βωμὸν ἁλὸς ῥηγμῖνι πέρην, καὶ ἐφ' ἱερὰ θέντες,
νῆα θοὴν εἴσβαινον ἐρεσσέμεν, οὐδὲ πελείης
τρήρωνος λήθοντο μετὰ σφίσιν· ἀλλ' ἄρα τήνγε
δείματι πεπτηυῖαν ἑῇ φέρε χειρὶ μεμαρπὼς
Εὔφημος, γαίης δ' ἄπο διπλόα πείσματ' ἔλυσαν.
Οὐδ' ἄρ' Ἀθηναίην προτέρω λάθον ὁρμηθέντες.
Αὐτίκα δ' ἐσσυμένως νεφέλης ἐπιβᾶσα πόδεσσι
κούφης, ἥ κε φέροι μιν ἄφαρ, βριαρήν περ ἐοῦσαν,
σεύατ' ἴμεν πόντονδε, φίλα φρονέουσ' ἐρέτῃσιν.
Ὡς δ' ὅτε τις πάτρηθεν ἀλώμενος, οἷά τε πολλὰ
πλαζόμεθ' ἄνθρωποι τετληότες, οὐδέ τις αἶα
τηλουρὸς, πᾶσαι δὲ κατόψιοι εἰσὶ κέλευθοι,
σφωϊτέρους δ' ἐνόησε δόμους, ἄμυδις δὲ κέλευθος
ὑγρή τε, τραφερή τ' ἰνδάλλεται, ἄλλοτε δ' ἄλλῃ
ὀξέα πορφύρων ἐπιμαίεται ὀφθαλμοῖσιν·
ὣς ἄρα καρπαλίμως κούρη Διὸς ἀΐξασα
θῆκεν ἐπ' ἀξείνοιο πόδας Θυνηΐδος ἀκτῆς.
Οἱ δ' ὅτε δὴ σκολιοῖο πόρου στεινωπὸν ἵκοντο
τρηχείῃς σπιλάδεσσιν ἐεργμένον ἀμφοτέρωθεν,
δινήεις δ' ὑπένερθεν ἀνακλύζεσκεν ἰοῦσαν
νῆα ῥόος, πολλὸν δὲ φόβῳ προτέρωσε νέοντο,
ἤδη δὲ σφίσι δοῦπος ἀρασσομένων πετράων
νωλεμὲς οὔατ' ἔβαλλε, βόων δ' ἁλιμυρέες ἀκταὶ,
δὴ τότ' ἔπειθ' ὁ μὲν ὦρτο πελειάδα χειρὶ μεμαρπὼς
Εὔφημος πρώρης ἐπιβήμεναι· οἱ δ' ὑπ' ἀνωγῇ
Τίφυος Ἁγνιάδαο θελήμονα ποιήσαντο
εἰρεσίην, ἵν' ἔπειτα διὲκ πέτρας ἐλάσειαν,
κάρτεϊ ᾧ πίσυνοι. Τὰς δ' αὐτίκα λοίσθιον ἄλλων
οἰγομένας ἀγκῶνα περιγνάμψαντες ἴδοντο.
Σὺν δέ σφιν χύτο θυμός· ὁ δ' ἀΐξαι πτερύγεσσιν

(*Thessali*),] illam igitur ob-amorem deus reddidit Nympham] ibi longævam et venatricem : filium vero abstulit infantem, Chironis in antris educandum.
Quare etiam adulto deæ nuptias conciliarunt
Musæ, medicinamque et vaticinia docuerunt :
atque eum suorum pecorum constituerunt custodem,
quotquot pascebantur] in campo Phthiæ Athamantio et
circa celsum] Othryn atque fluminis sacram undam Apidani.] Quando vero cœlitus Minoidas urebat insulas (*Cycladas*)] Sirius, neque diu erat remedium incolis,
tum hunc invocarunt, jussu Apollinis,
famis defensorem. Reliquerat vero ille patris jussu
Phthiam, et in Ceo habitavit, populo congregato
Parrhasio, qui quidem ex Lycaonis sunt genere :
atque aram exstruxit magnam Jovis Icmæi (*humidi*),
sacraque rite fecit in montibus stellæ illi
Sirio, ipsique Saturnio Jovi, cujus-rei causa
terram refrigerant etesiæ a Jove *missæ* auræ
per-dies quadraginta : Ceoque etiamnum sacerdotes
ante ortum Canis operantur sacris.
Atque hæc quidem sic canuntur. Heroes vero ibi
manserunt detenti : hospitalia vero *dona* larga Thyni
quotidie Phineo gratificantes attulerunt.
Exinde beatis (*diis*) duodecim exstructa
ara maris ad-littus ulterius, atque sacris impositis
navem celerem ingressi-sunt ad-remigandum, nec columbæ
pavidæ obliti-sunt secum *ducendæ* : sed sane eam
præ-timore lapsam sua gestavit manu prehensam
Euphemus; a terra vero duplicata retinacula solverunt
Neque sane Minervam latuerunt ulterius profecti.
Statim enim *ea* celerrime nubem ingressa pedibus
levem, quæ ferret ipsam propere, quanquam gravem,
cœpit ire ad-mare, bene cupiens nautis.
Sicut autem, quando quis e-patria evagans, ut sæpe
errare homines sustinemus, nec quædam terra
remota *apparet*, omnes vero in-conspectû sunt viæ,
suas *ille* cogitat ædes, simulque via
et humida (*marina*) et sicca (*terrestris*) observatur, *ipse*
nunc-huc nunc-illuc] acriter meditans intendit oculos :
sic igitur celeriter filia Jovis delapsa,
posuit in inhospitali pedes Thyneo littore.
At illi cum jam ad tortuosi vadi angustias venissent,
asperis scopulis conclusas utrimque,
vorticosus autem subtus allueret euntem
navem fluxus, multum vero metuentes ulterius navigarent,
jamque ipsis fragor confligentium scopulorum
continuo aures feriret, et reboarent mari-percussa littora,
jam deinceps surrexit columbam manu tenens
Euphemus, proram ut-conscenderet : illi vero jussu
Tiphyis Agniadæ promtam exercuerunt
remigationem, ut deinde per rupes agerent
robore suo freti. Illas autem (*petras*) statim novissime
omnium] apertas, sinum circumvecti, conspexerunt.
Ipsis vero conturbatus-est animus; at, quæ-ferretur alis,

Εὔφημος προέηκε πελειάδα· τοὶ δ' ἅμα πάντες
ἤειραν κεφαλὰς ἐσορώμενοι· ἡ δὲ δι' αὐτῶν
ἔπτατο· ταὶ δ' ἄμυδις πάλιν ἀντίαι ἀλλήλῃσιν
ἄμφω ὁμοῦ ξυνιοῦσαι ἐπέκτυπον. Ὦρτο δὲ πολλὴ
ἅλμη ἀναβρασθεῖσα, νέφος ὥς· αὖε δὲ πόντος
σμερδαλέον· πάντῃ δὲ περὶ μέγας ἔβρεμεν αἰθήρ.
Κοῖλαι δὲ σπήλυγγες ὑπὸ σπιλάδας τρηχείας
κλυζούσης ἁλὸς ἔνδον ἐβόμβεον· ὑψόθι δ' ὄχθης
λευκὴ καχλάζοντος ἀνέπτυε κύματος ἄχνη.
Νῆα δ' ἔπειτα πέριξ εἴλει ῥόος. Ἄκρα δ' ἔκοψαν
οὐραῖα πτερὰ ταί γε πελειάδος· ἡ δ' ἀπόρουσεν
ἀσκηθής. Ἐρέται δὲ μέγ' ἴαχον· ἔκραγε δ' αὐτὸς
Τῖφυς ἐρεσσέμεναι κρατερῶς. Οἴγοντο γὰρ αὖθις
ἄνδιχα. Τοὺς δ' ἐλάοντας ἔχεν τρόμος, ὄφρα μιν αὖτις
πλημμυρὶς παλίνορσος ἀνερχομένη κατένεικεν
εἴσω πετράων. Τότε δ' αἰνότατον δέος εἷλεν
πάντας· ὑπὲρ κεφαλῆς γὰρ ἀμήχανος ἦεν ὄλεθρος.
Ἤδη δ' ἔνθα καὶ ἔνθα διὰ πλατὺς εἴδετο Πόντος,
καὶ σφίσιν ἀπροφάτως ἀνέδυ μέγα κῦμα πάροιθεν
κυρτὸν, ἀποτμῆγι σκοπιῇ ἴσον· οἱ δ' ἐσιδόντες
ἤμυσαν λοξοῖσι καρήασιν. Εἴσατο γάρ ῥα
νηὸς ὑπὲρ πάσης κατεπάλμενον ἀμφικαλύψειν.
Ἀλλά μιν ἔφθη Τῖφυς ὑπ' εἰρεσίῃ βαρύθουσαν
ἀγχαλάσας· τὸ δὲ πολλὸν ὑπὸ τρόπιν ἐξεκυλίσθη.
Ἐκ δ' αὐτὴν πρύμνηθεν ἀνείρυσε τηλόθι νῆα
πετράων· ὑψοῦ δὲ μεταχρονίη πεφόρητο.
Εὔφημος δ' ἀνὰ πάντας ἰὼν βοάασκεν ἑταίρους
ἐμβαλέειν κώπῃσιν ὅσον σθένος· οἱ δ' ἀλαλητῷ
κόπτον ὕδωρ. Ὅσσον δ' ἂν ὑπείκαθε νηῦς ἐρέτῃσιν,
δὶς τόσον ἂψ ἀπόρουσεν· ἐπεγνάμπτοντο δὲ κῶπαι,
ἠΰτε καμπύλα τόξα, βιαζομένων ἡρώων.
Ἔνθεν δ' αὐτίκ' ἔπειτα κατηρεφὲς ἔσσυτο κῦμα.
Ἡ δ' ἄφαρ, ὥστε κύλινδρος, ἐπέτρεχε κύματι λάβρῳ
προπροκαταΐγδην κοίλης ἁλός. Ἐν δ' ἄρα μέσσαις
Πληγάσι δινήεις εἶχεν ῥόος· αἱ δ' ἑκάτερθεν
σειόμεναι βρόμεον· πεπέδητο δὲ νήϊα δοῦρα.
Καὶ τότ' Ἀθηναίη στιβαρῆς ἀντέσπασε πέτρης
σκαιῇ, δεξιτερῇ δὲ διαμπερὲς ὦσε φέρεσθαι.
Ἡ δ' ἰκέλη πτερόεντι μετήορος ἔσσυτ' ὀϊστῷ.
Ἔμπης δ' ἀφλάστοιο παρέθρισαν ἄκρα κόρυμβα
νωλεμὲς ἐμπλήξασαι ἐναντίαι. Αὐτὰρ Ἀθήνη
Οὔλυμπόνδ' ἀνόρουσεν, ὅτ' ἀσκηθεῖς ὑπάλυξαν.
Πέτραι δ' εἰς ἕνα χῶρον ἐπισχεδὸν ἀλλήλῃσιν
νωλεμὲς ἐῤῥίζωθεν, ὃ δὴ καὶ μόρσιμον ἦεν
ἐκ μακάρων, εὖτ' ἄν τις ἰδὼν διὰ νηῒ περήσῃ.
Οἱ δέ που ὀκρυόεντος ἀνέπνεον ἄρτι φόβοιο,
ἠέρα παπταίνοντες ὁμοῦ, πέλαγός τε θαλάσσης
τῆλ' ἀναπεπταμένον. Δὴ γὰρ φάσαν ἐξ Ἀΐδαο
σώεσθαι· Τῖφυς δὲ παροίτατος ἤρχετο μύθων.
Ἔλπομαι αὐτῇ νηῒ τόγ' ἔμπεδον ἐξαλέασθαι
ἡμέας· οὐδέ τις ἄλλος ἐπαίτιος, ὅσσον Ἀθήνη,
ἥ οἱ ἐνέπνευσεν θεῖον μένος, εὖτέ μιν Ἄργος
γόμφοισιν συνάρασσε· θέμις δ' οὐχ ἔστιν ἁλῶναι.
Αἰσονίδη, τύνη δὲ τεοῦ βασιλῆος ἐφετμὴν,

Euphemus dimisit columbam : isti una omnes
erexerunt capita intuentes : hæc per ipsas (*petras*)
volavit, quæ simul rursus adversæ sibi-invicem
ambæ una coëuntes insonuerunt. Exstitit vero multa
unda ebulliens nubis instar, resonuitque pontus
horrendum; undique vero magnus circumfremuit æther.
Cavæ autem speluncæ sub saxis asperis
alluente mari intus murmurarunt : summumque in-littus
alba æstuantis emissa-est fluctus spuma.
Navemque deinde circumegit fluxus. Summas autem ab-
sciderunt] caudæ pennas illæ (*petræ*) columbæ : ipsa ta-
men evasit] incolumis. Nautæ vero valde acclamabant :
altaque-voce-jussit ipse] Tiphys *eos* remigare valide. Ape
riebantur enim rursus] divisæ. Hos vero remigantes tenuit
terror, donec eam iterum] æstus reciproco-fluxu revertens
deduxit] intra petras. Tum vero gravissimus metus cepit
omnes : capiti enim inevitabile impendebat exitium.
Jam vero hinc et illinc latus perspiciebatur Pontus,
atque ipsis improviso ortus-est ingens fluctus coram
inflexus, prærupto scopulo similis : illi *eo* conspecto
declinarunt obliquis capitibus. Videbatur enim profecto
navem super omnem illapsurus-et *eam* obruturus-esse.
At eum prævertit Tiphys remigatione gravatam *navem*
relaxans : ille (*fluctus*) multus sub carinam devolutus-est,
ipsamque a-puppi extulit longe navem
supra-petras. In-summo vero diu ferebatur.
Sed Euphemus omnes ambiens acclamavit socios,
ut-incumberent remis totis viribus : illi cum-clamore
pulsabant aquam. Quantum vero cedebat navis remigibus,
bis tantum *aqua* resiluit : incurvabanturque remi,
velut inflexi arcus, summa-vi-nitentibus heroibus.
Tum statim deinde altus irruit fluctus,
illa vero repente, uti cylindrus, incurrit fluctu vehementi
acta] cum-impetu in-tumidum mare : inque mediis sane
Symplegadibus vorticosus tenuit fluxus : istæ utrimque
commotæ fremuerunt : impediebantur vero navalia ligna
(*navis*).] Atque tum Minerva a-solida *eam* revulsit rupe
sinistra, dextra vero per *saxa* protrusit ut-ferretur.
Illa similis alatæ sublimis ferrebatur sagittæ.
Attamen aplustris absciderunt summas extremitates
extemplo confligentes adversæ. At Minerva
in-Olympum rediit, quando salvi evaserant.
Petræ autem in unum locum prope inter-se *conjunctæ*
continuo radicabantur, quod quidem fatale erat
a diis, quando quis conspectas eas navi pervectus-fuerit.
Illi vero a diro respirarunt jam metu,
aërem conspicientes simul, altumque maris
longe patens. Profecto enim cogitarunt *se* ex orco
servatos-esse. Tiphys vero primus cœpit dicere :
Spero, ipsa navi illud tuto effugisse
nos : neque alius quis in causa *est* quam Minerva,
quæ ei (*navi*) inspiravit divinam vim, quando eam Argus
clavis compingebat : fas igitur non est *eam* vinci.
Jason, tu igitur tui regis mandatum,

εὖτε διὲκ πέτρας φυγέειν θεὸς ἧμιν ὄπασσεν,
μηκέτι δείδιθι τοῖον· ἐπεὶ μετόπισθεν ἀέθλους
εὐπαλέας τελέεσθαι Ἀγηνορίδης φάτο Φινεύς.
Ἦ ῥ' ἅμα καὶ προτέρωσε παραὶ Βιθυνίδα γαῖαν
νῆα διὲκ πέλαγος σεῦεν μέσον. Αὐτὰρ ὁ τόνγε
μειλιχίοις ἐπέεσσι παραβλήδην προσέειπεν.
Τῖφυ, τί δή μοι ταῦτα παρηγορέεις ἀχέοντι;
Ἤμβροτον, ἀασάμην τε κακὴν καὶ ἀμήχανον ἄτην.
Χρῆν γὰρ ἐφιεμένοιο καταντικρὺ Πελίαο
αὐτίκ' ἀνήνασθαι τόνδε στόλον, εἰ καὶ ἔμελλον
νηλειῶς μελεϊστὶ κεδαιόμενος θανέεσθαι·
νῦν δὲ περισσὸν δεῖμα καὶ ἀτλήτους μελεδῶνας
ἔσκειμαι, στυγέων μὲν ἁλὸς κρυόεντα κέλευθα
νηῒ διαπλώειν, στυγέων δ', ὅτ' ἐπ' ἠπείροιο
βαίνωμεν. Πάντη γὰρ ἀνάρσιοι ἄνδρες ἔασιν.
Αἰεὶ δὲ στονόεσσαν ἐπ' ἤματι νύκτα φυλάσσω,
ἐξότε τὸ πρώτιστον ἐμὴν χάριν ἠγερέθεσθε,
φραζόμενος τὰ ἕκαστα· σὺ δ' εὐμαρέως ἀγορεύεις,
οἶον ἑῆς ψυχῆς ἀλέγων ὕπερ· αὐτὰρ ἔγωγε
εἷο μὲν οὐδ' ἠβαιὸν ἀτύζομαι· ἀμφὶ δὲ τοῖο
καὶ τοῦ ὁμῶς, καὶ σεῖο, καὶ ἄλλων δείδι' ἑταίρων,
εἰ μὴ ἐς Ἑλλάδα γαῖαν ἀπήμονας ἄμμε κομίσσω.
Ὣς φάτ' ἀριστήων πειρώμενος· οἱ δ' ὁμάδησαν
θαρσαλέοις ἐπέεσσιν. Ὁ δὲ φρένας ἔνδον ἰάνθη
κεκλομένων, καί ῥ' αὖτις ἐπιῤῥήδην μετέειπεν.
Ὦ φίλοι, ὑμετέρῃ ἀρετῇ ἔνι θάρσος ἀέξω.
Τοὔνεκα νῦν, οὐδ' εἴ κε διὲξ Ἀΐδαο βερέθρων
στελλοίμην, ἔτι τάρβος ἀνάψομαι, εὖτε πέλεσθε
ἔμπεδοι ἀργαλέοις ἐνὶ δείμασιν. Ἀλλ' ὅτε πέτρας
Πληγάδας ἐξέπλωμεν, ὀΐομαι οὐκ ἔτ' ὀπίσσω
ἔσσεσθαι τοιόνδ' ἕτερον φόβον, εἰ ἐτεόν γε
φραδμοσύνῃ Φινῆος ἐπισπόμενοι νεόμεσθα.
Ὣς φάτο, καὶ τοίων μὲν ἐλώφεον αὐτίκα μύθων,
εἰρεσίῃ δ' ἀλίαστον ἔχον πόνον· αἶψα δὲ τοίγε
Ῥήβαν ὠκυρόην ποταμὸν, σκόπελόν τε Κολώνης,
ἄκρην δ' οὐ μετὰ δηθὰ παρεξενέοντο Μέλαιναν,
τῇ δ' ἄρ' ἔπι προχοὰς Φυλληΐδας, ἔνθα πάροιθεν
Διψακὸς υἷ' Ἀθάμαντος ἑοῖς ὑπέδεκτο δόμοισιν,
ὁππόθ' ἅμα κριῷ φεῦγεν πόλιν Ὀρχομενοῖο·
τίκτε δέ μιν Νύμφη λειμωνιάς· οὐδέ οἱ ὕβρις
ἥνδανεν, ἀλλ' ἐθελημὸς ἐφ' ὕδασι πατρὸς ἑοῖο
μητέρι συνναίεσκεν, ἐπάκτια πώεα φέρβων.
Τοῦ μέν θ' ἱερὸν αἶψα, καὶ εὐρείας ποταμοῖο
ἠϊόνας, πεδίον τε, βαθυῤῥείοντά τε Κάλπην
δερκόμενοι παράμειβον, ὁμῶς δ' ἐπὶ ἤματι νύκτα
νήνεμον ἀκαμάτῃσιν ἐπεῤῥώοντ' ἐλάτῃσιν.
Οἷον δὲ πλαδόωσαν ἐπισχίζοντες ἄρουραν
'ργατίναι μογέουσι βόες, πέρι δ' ἄσπετος ἱδρὼς
εἴβεται ἐκ λαγόνων τε καὶ αὐχένος· ὄμματα δέ σφιν
λοξὰ παραστρωφῶνται ὑπὸ ζυγοῦ· αὐτὰρ ἀϋτμὴ
αὐαλέη στομάτων ἄμοτον βρέμει· οἱ δ' ἐνὶ γαίῃ
χηλὰς σκηρίπτοντε πανημέριοι πονέονται·
τοῖς ἴκελοι ἥρωες ὑπὲξ ἁλὸς εἷλκον ἐρετμά. [λίην
Ἦμος δ' οὔτ' ἄρ πω φάος ἄμβροτον, οὔτ' ἔτι

quando per saxa fugere dea nobis concessit,
ne-amplius reformida tantopere : quoniam in posterum
labores] faciles perfectum-iri Agenorides dixit Phineus.
Dixit igitur et simul ulterius, ad Bithynicam terram,
navem per mare compulit medium. At ille (Jason) hunc
blandis verbis vicissim allocutus-est :
Tiphy, cur tandem mihi hæc dicis dolenti ?
Peccavi, et contraxi malam atque irreparabilem calamitatem.] Oportebat enim me, jubenti resistentem Peliæ,
statim recusare hanc expeditionem, si vel fuissem
misere membratim dissectus periturus :
nunc vero ingentem metum et intolerabiles curas
sustineo, et veritus maris horrendas vias
navi permeare, et metuens quando in terram
escendamus : ubique enim improbi homines sunt.
Semper vero gemitu-plenam post diem noctem pervigilo,
ex-quo primum mea gratia convenistis,
cogitans singula : tu vero facile dicis,
tantum tua de anima curam-gerens. At ego
de-me ne tantillum quidem sum-sollicitus : sed propter
hunc] et illum simul et te et alios metuo socios,
ne non in Græcam terram salvos nos reducam.
Sic dixit heroas exploraturus : illi vero una exclamarunt] animosis vocibus. Ipse autem animo intus lætabatur
cohortantibus *illis*, atque rursus aperte dixit :
Amici, in vestra virtute fiduciam colloco.
Quare nunc, ne si per orci quidem voragines
proficiscerer, amplius pavorem induam, cum sitis
constantes gravibus in periculis. At cum ex-petris
Symplegadibus enavigaverimus, opinor non amplius postea
fore talem alium timorem, si recte quidem
consilio Phinei obsecuti iter-facimus.
Sic fatus-est, et a-talibus quidem destiterunt statim colloquiis,] remigando vero irrequietum exercuerunt laborem:
ocyus vero illi] Rhebam rapidum fluvium, scopulumque
Colonæ] et promontorium non ita-diu post præternavigarunt Nigrum,] post hoc vero ostia Phyllidis, ubi olim
Dipsacus filium Athamantis suis exceperat ædibus,
quando una-cum ariete fugerat urbem Orchomeni :
peperat vero eum Nympha pratensis, neque illi injuria
placuit, sed lubens ad aquas patris sui
cum matre habitavit, littorales greges pascens.
Ejus quidem fanum statim, et lati fluvii
littora campumque et profunde-fluentem Calpen
conspectum prætervecti-sunt, simulque cum die noctem
tranquillam indefessis exercuerunt remigiis.
Quemadmodum vero udum scindentes arvum
operarii laborant boves, undique vero largus sudor
destillat de lateribus et cervice : oculi vero ipsis
obliqui distorquentur sub jugo : at anhelitus
siccus ab-oribus nunquam-non fremit : ipsi in terra
ungulas infigentes toto-die exercentur :
his similes heroes per mare traxerunt remos.
Quando autem nondum lux alma, neque amplius nimis

ὀρφναίη πέλεται, λεπτὸν δ' ἐπιδέδρομε νυκτὶ
φέγγος, ὅτ' ἀμφιλύκην μιν ἀνεγρόμενοι καλέουσιν,
τῆμος ἐρημαίης νήσου λιμέν' εἰσελάσαντες
Θυνιάδος, καμάτῳ πολυπήμονι βαῖνον ἔραζε.
Τοῖσι δὲ Λητοῦς υἱὸς, ἀνερχόμενος Λυκίηθεν
τῆλ' ἐπ' ἀπείρονα δῆμον Ὑπερβορέων ἀνθρώπων,
ἐξεφάνη· χρύσεοι δὲ παρειάων ἑκάτερθεν
πλοχμοὶ βοτρυόεντες ἐπεῤῥώοντο κιόντι·
λαιῇ δ' ἀργύρεον νώμα βιὸν, ἀμφὶ δὲ νώτοις
ἰοδόκη τετάνυστο κατωμαδόν· ἡ δ' ὑπὸ ποσσὶν
σείετο νῆσος ὅλη, κλύζεν δ' ἐπὶ κύματα χέρσῳ.
Τοὺς δ' ἕλε θάμβος ἰδόντας ἀμήχανον· οὐδέ τις
ἀντίον αὐγάσσασθαι ἐς ὄμματα καλὰ θεοῖο. [ἔτλη
Στὰν δὲ κάτω νεύσαντες ἐπὶ χθονός· αὐτὰρ ὁ τηλοῦ
βῆ ῥ' ἴμεναι πόντονδε δι' ἠέρος· ὀψὲ δὲ τοῖον
Ὀρφεὺς ἔκφατο μῦθον, ἀριστήεσσι πιφαύσκων.
Εἰ δ', ἄγε δὴ, νῆσον μὲν Ἑωΐου Ἀπόλλωνος
τήνδ' ἱερὴν κλείωμεν, ἐπεὶ πάντεσσι φαάνθη
ἠῷος μετιών· τὰ δὲ ῥέξομεν οἷα πάρεστι,
βωμὸν ἀναστήσαντες ἐπάκτιον· εἰ δ' ἂν ὀπίσσω
γαῖαν ἐς Αἱμονίην ἀσκηθέα νόστον ὀπάσσῃ,
δὴ τότε οἱ κεραῶν ἐπὶ μηρία θήσομεν αἰγῶν.
Νῦν δ' αὔτως κνίσσῃ λοιβῇσί τε μειλίξασθαι
κέκλομαι. Ἀλλ' ἵληθι ἄναξ, ἵληθι φαανθείς.
Ὣς ἄρ' ἔφη· καὶ τοὶ μὲν ἄφαρ βωμὸν τετύκοντο
χερμάσιν· οἱ δ' ἀνὰ νῆσον ἐδίνεον, ἐξερέοντες
εἴ κέ τιν' ἢ κεμάδων, ἢ ἀγροτέρων ἐσίδοιεν
αἰγῶν, οἷά τε πολλὰ βαθείῃ βόσκεται ὕλῃ.
Τοῖσι δὲ Λητοΐδης ἄγρην πόρεν· ἐκ δέ νυ πάντων
εὐαγέως ἱερῷ ἀνὰ διπλόα μηρία βωμῷ
καῖον, ἐπικλείοντες Ἑωΐον Ἀπόλλωνα.
Ἀμφὶ δὲ δαιομένοις εὐρὺν χορὸν ἐστήσαντο,
καλὸν Ἰηπαιήον', Ἰηπαιήονα Φοῖβον
μελπόμενοι· σὺν δέ σφιν ἐῢς πάϊς Οἰάγροιο
Βιστονίῃ φόρμιγγι λιγείης ἦρχεν ἀοιδῆς·
ὥς ποτε πετραίῃ ὑπὸ δειράδι Παρνησσοῖο
Δελφίνην τόξοισι πελώριον ἐξενάριξεν,
κοῦρος ἐὼν ἔτι γυμνὸς, ἔτι πλοκάμοισι γεγηθώς.
Ἱλήκοις· αἰεί τοι, ἄναξ, ἄτμητοι ἔθειραι,
αἰὲν ἀδήλητοι· τὼς γὰρ θέμις· οἰόθι δ' αὐτὴ
Λητὼ Κοιογένεια φίλαις ἐν χερσὶν ἀφάσσει.
Πολλὰ δὲ Κωρύκιαι Νύμφαι, Πλείστοιο θύγατρες,
θαρσύνεσκον ἔπεσσιν, Ἰήϊε κεκληγυῖαι·
ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο Φοίβῳ.
Αὐτὰρ ἐπειδὴ τόνγε χορείῃ μέλψαν ἀοιδῇ,
λοιβαῖς εὐαγέεσσιν ἐπώμοσαν, ἦ μὲν ἀρήξειν
ἀλλήλοις εἰς αἰὲν ὁμοφροσύνῃσι νόοιο,
ἁπτόμενοι θυέων· καί τ' εἰσέτι νῦν γε τέτυκται
κεῖσ' Ὁμονοίης ἱρὸν ἐΰφρονος, ὅ ῥ' ἐκάμοντο
αὐτοὶ, κυδίστην τότε δαίμονα πορσαίνοντες.
Ἦμος δὲ τρίτατον φάος ἤλυθε, δὴ τότ' ἔπειτα
ἀκραεῖ Ζεφύρῳ νῆσον λίπον αἰπήεσσαν.
Ἔνθεν δ' ἀντιπέρην ποταμοῦ στόμα Σαγγαρίοιο,
καὶ Μαριανδυνῶν ἀνδρῶν ἐριθηλέα γαῖαν,

caligo est, tenue vero succedit nocti
lumen, quod quidem crepusculum expergefacti appellant,
tum desertæ insulæ portum ingressi
Thyniadis, labore ærumnoso escenderunt in-terram
Illis vero Latonæ filius, revertens ex-Lycia
procul ad immensum populum Hyperboreorum hominum,
apparuit; aurei de genis utrimque
cincinni racemorum-instar agitabantur eunti
Sinistra argenteum versabat arcum, in tergo
pharetra pendebat ab-humeris : sub pedibus autem
concutiebatur insula tota, volvebanturque undæ in terram.
Illos vero occupavit pavor intuentes ingens : nec quisquam
ausus-est] contra intueri oculos pulcros dei.
Stabant vultu-demisso in terram : at ille longe
perrexit ad-pontum per aërem : sero autem talem
Orpheus habuit sermonem, ad-principes loquens :
Agite igitur, insulam Eoi (*Matutini*) Apollinis
hanc sacram appellemus, quia omnibus apparuit
mane præteriens : ea autem sacrificabimus, quæ adsunt,
ara exstructa littorali : quodsi postea
terram in Hæmoniam salvum reditum præstiterit,
tum ei cornutarum femora imponemus caprarum.
Nunc autem sic (*ut possumus*) adipe et libationibus *eum*
placari] jubeo. At *tu* propitius-esto, rex, propitius-esto
præsens.] Sic igitur dixit : alii autem statim aram confe-
cerunt] e-lapillis : alii insulam obierunt investigaturi,
an vel hinnulorum quendam vel sylvestrium conspicerent
caprearum, qualia *animalia* multa in-profunda aluntur
silva.] Iis vero Apollo prædam objecit : ex omnibus igitur
rite in-sacro duplicata (*duplici omento involuta*) femora
altari] combusserunt, celebrantes Matutinum Apollinem.
Sed circa incensa (*exta*) amplum chorum instituerunt,
pulcrum Iepæeonem, Iepæeonem Phœbum
cantantes : cum iis vero egregius Œagri filius
Bistonia (*Thracia*) cithara argutum incepit cantum :
quemadmodum olim saxosis sub jugis Parnassi
Delphinen (*draconem*) sagittis immanem confecerit,
puer quum-esset adhuc nudus, adhuc cincinnis gaudens.
(Da veniam! semper tibi, rex, intonsi crines,
semper illæsi : ita enim fas *est* : sola autem ipsa
Latona Cœo-genita caris manibus *tuos crines* attrectat.)
Quomodo vero multum Coryciæ nymphæ, Plisti filiæ,
hortatæ-sint *eum* verbis, Ieïe (*emittens sagittas*) clamantes
unde jam illud pulchrum canticum (*Iepæon*) exstitit
Phœbo.] At postquam eum chorico celebraverunt cantu,
inter-libationes puras conjurarunt, *se* opitulaturos-esse
sibi-invicem semper concordibus animis,
attingentes sacra : atque adhuc nunc perstat
ibi Concordiæ templum benevolæ, quod fabricati-sunt
ipsi, celeberrimam tum deam colentes.
Ubi vero tertia lux exorta-est, tum deinde
vehemente Zephyro *spirante* insulam reliquerunt celsam.
Inde ex-adverso fluvii os Sangarii
et Mariandynorum virorum admodum-virentem terram

ἠδὲ Λύκοιο ῥέεθρα, καὶ Ἀνθεμοεισίδα λίμνην
δερκόμενοι παράμειβον· ὑπὸ πνοιῇ δὲ κάλωες
ὅπλα τε νήϊα πάντα τινάσσετο νισσομένοισιν.
Ἠῶθεν δ' ἀνέμοιο διὰ κνέφας εὐνηθέντος,
ἀσπασίως ἄκρης Ἀχερουσίδος ὅρμον ἵκοντο.
Ἡ μέν τε κρημνοῖσιν ἀνίσχεται ἠλιβάτοισιν,
εἰς ἅλα δερκομένη Βιθυνίδα· τῇ δ' ὕπο πέτραι
λισσάδες ἐρρίζωνται ἁλίβροχοι· ἀμφὶ δὲ τῇσιν
κῦμα κυλινδόμενον μεγάλα βρέμει· αὐτὰρ ὕπερθεν
ἀμφιλαφεῖς πλατάνιστοι ἐπ' ἀκροτάτῃ πεφύασιν.
Ἐκ δ' αὐτῆς εἴσω κατακέκλιται ἤπειρόνδε
κοίλη ὕπαιθα νάπη, ἵνα τε σπέος ἔστ' Ἀΐδαο
ὕλῃ καὶ πέτρῃσιν ἐπηρεφὲς, ἔνθεν ἀϋτμὴ
πηγυλὶς, ὀκρυόεντος ἀναπνείουσα μυχοῖο
συνεχὲς, ἀργινόεσσαν ἀεὶ περιτέτροφε πάχνην,
ἥτε μεσημβριόωντος ἰαίνεται ἠελίοιο.
Σιγὴ δ' οὔ ποτε τήν γε κατὰ βλοσυρὴν ἔχει ἄκρην,
ἀλλ' ἅμυδις πόντοιό θ' ὑποστένει ἠχήεντος,
φύλλων τε πνοιῇσι τινασσομένων μυχίῃσιν.
Ἔνθα δὲ καὶ προχοαὶ ποταμοῦ Ἀχέροντος ἔασιν,
ὅστε διὲξ ἄκρης ἀνερεύγεται εἰς ἅλα βάλλων
ἠώην· κοίλη δὲ φάραγξ κατάγει μιν ἄνωθεν.
Τὸν μὲν ἐν ὀψιγόνοισι Σοωναύτην ὀνόμηναν,
Νισαῖοι Μεγαρῆες, ὅτε νάσσεσθαι ἔμελλον
γῆν Μαριανδυνῶν. Δὴ γάρ σφέας ἐξεσάωσεν
αὐτῇσιν νήεσσι, κακῇ χρίμψαντας ἀέλλῃ.
Τῇ ῥ' οἵγ' αὐτίκα νηὶ διὲξ Ἀχερουσίδος ἄκρης
εἰσωποὶ, ἀνέμοιο νέον λήγοντος, ἔκελσαν.
Οὐδ' ἄρα δηθὰ Λύκον, κείνης πρόμον ἠπείροιο,
καὶ Μαριανδυνοὺς λάθον ἀνέρας ὁρμηθέντες
αὐθένται Ἀμύκοιο κατὰ κλέος, ὃ πρὶν ἄκουον·
ἀλλὰ καὶ ἀρθμὸν ἔθεντο μετὰ σφίσι τοῖο ἕκητι
Αὐτὸν δ' ὥστε θεὸν Πολυδεύκεα δεξιόωντο
πάντοθεν ἀγρόμενοι· ἐπειὴ μάλα τοί γ' ἐπὶ δηρὸν
ἀντιβίην Βέβρυξιν ὑπερφιάλοις πολέμιζον.
Καὶ δὴ πασσυδίῃ μεγάρων ἔντοσθε Λύκοιο
κεῖν' ἦμαρ φιλότητι, μετὰ πτολίεθρον ἰόντες,
δαίτην ἀμφίεπον τέρποντό τε θυμὸν ἔπεσσιν.
Αἰσονίδης μέν οἱ γενεὴν καὶ οὔνομ' ἑκάστου
σφωϊτέρων μυθεῖθ' ἑτάρων, Πελίαό τ' ἐφετμὰς,
ἠδ' ὡς Λημνιάδεσσιν ἐπεξεινοῦντο γυναιξὶν,
ὅσσα τε Κύζικον ἀμφὶ Δολιονίην ἐτέλεσσαν·
Μυσίδα δ' ὡς ἀφίκοντο Κίον θ', ὅθι κάλλιπον ἥρω
Ἡρακλέην ἀέκοντι νόῳ, Γλαύκοιό τε βάξιν
πέφραδε, καὶ Βέβρυκας ὅπως Ἄμυκόν τ' ἐδάϊξαν·
καὶ Φινῆος ἔειπε θεοπροπίας τε δύην τε,
ἠδ' ὡς Κυανέας πέτρας φύγον, ὥς τ' ἀβόλησαν
Λητοΐδῃ κατὰ νῆσον. Ὁ δ' ἑξείης ἐνέποντος
θέλγετ' ἀκουῇ θυμόν· ἄχος δ' ἕλεν Ἡρακλῆϊ
λειπομένῳ, καὶ τοῖον ἔπος πάντεσσι μετηύδα.
Ὦ φίλοι, οἵου φωτὸς ἀποπλαγχθέντες ἀρωγῆς
πείρετ' ἐς Αἰήτην τόσσον πλόον. Εὖ γὰρ ἐγώ μιν
Δασκύλου ἐν μεγάροισι καταυτόθι πατρὸς ἐμοῖο
οἶδ' ἐσιδὼν, ὅτε δεῦρο δι' Ἀσίδος ἠπείροιο

et Lyci fluenta, et Anthemoisida paludem
conspicientes prætervecti-sunt; flatu autem rudentes
armaque navalia omnia quatiebantur currentibus.
Mane autem, vento per noctem sedato,
lubenter *in* promontorii Acherusidis portum pervenerunt.
Illud quidem præcipitiis eminet celsis
in mare spectans Bithynicum : sub eo autem petræ
læves radicantur mari-immersæ : circa quas
fluctus se-volvens vehementer fremit : at supra
amplæ platani in summo *promontorio* enatæ-sunt.
Ex eo intus declinatur versus-continentem
cava ex-obliquo convallis, ubi antrum est Orci
silva et saxis opacum, unde vapor
frigidus, ex-horribili exhalatus recessu
continenter, albicantem semper gignit pruinam,
quæ meridiano liquescit sole.
Silentium vero numquam illud terribile tenet promontorium,] immo simul et ponto ingemit resonante,
et foliis a-ventis agitatis imis.
Ibi etiam ostia fluvii Acherontis sunt,
qui e promontorio eructatur, in mare immissus
orientale : cava autem vallis defert eum desuper.
Hunc inter posteros Soonautem (*naves servantem*) appellarunt] Nisæi Megarenses, quando habitaturi erant
in-terra Mariandynorum. Sane enim ipsos servaverat
cum navibus, in-malam cum-incidissent procellam.
Huc igitur illi (*Argonautæ*) statim navi per Acherusium
promontorium] penetrantes, vento modo cessante, appulerunt.] Nec sane diu Lycum, illius principem continentis,
atque Mariandynos latuerunt viros advecti,
interfectores Amyci ex fama, quam antea audiverant;
sed et amicitiam inierunt cum ipsis propterea.
Ipsumque tanquam deum Pollucem salutarunt
undique congregati : quoniam et ipsi admodum diu
contra Bebrycas insolentes bellum-gesserant.
Atqui omnes-confertim, in ædibus Lyci,
illo die amice, in urbem profecti,
epulas celebrarunt, et oblectarunt animum sermonibus.
Jason quidem ei (*Lyco*) genus et nomen cujusvis
suorum enarravit sociorum, Peliæque mandata,
et quemadmodum a-Lemniis excepti-hospitio-fuerint mulieribus,] quæque apud Cyzicum Dolioniam perfecerint.
In-Mysiam uti venerint Ciumque, ubi reliquerint heroem
Herculem invito animo, Glaucique oraculum
exposuit, et Bebrycas quomodo Amycumque interemerint :
ac Phinei narravit et vaticinia et calamitatem,
et quomodo Cyaneas petras effugerint, utque obvii-facti
sint] Apollini in insula. Ille vero (*Lycus*) deinceps narrantem] audiens oblectabatur animo : sed dolor *eum* cepit
ob-Herculem] relictum, atque talia verba ad-omnes locutus
est :] Amici, quanti viri destituti auxilio
conficitis ad Æeten tantum iter. Bene enim ego ipsum
Dascyli in ædibus hic, patris mei,
novi conspectum, quando huc per Asiæ continentem

πεζὸς ἔβη, ζωστῆρα φιλοπτολέμοιο κομίζων
Ἱππολύτης· ἐμὲ δ' εὗρε νέον χνοάοντα ἰούλους.
Ἔνθα δ' ἐπὶ Πριόλαο κασιγνήτοιο θανόντος
ἡμετέρου Μυσοῖσιν ὑπ' ἀνδράσι, ὄντινα λαὸς
οἰκτίστοις ἐλέγοισιν ὀδύρεται ἐξέτι κείνου,
ἀθλεύων Τιτίην ἀπεκαίνυτο πυγμαχέοντα
καρτερὸν, ὃς πάντεσσι μετέπρεπεν ἠϊθέοισιν
εἶδός τ' ἠδὲ βίην· χαμάδις δέ οἱ ἤλασ' ὀδόντας.
Αὐτὰρ ὁμοῦ Μυσοῖσιν ἐμῷ ὑπὸ πατρὶ δάμασσεν
καὶ Φρύγας, οἳ ναίουσιν ὁμώλακας ἡμὶν ἀρούρας,
φῦλά τε Βιθυνῶν αὐτῇ κτεατίσσατο γαίῃ,
ἔστ' ἐπὶ Ῥηβαίου προχοὰς σκόπελόν τε Κολώνης·
Παφλαγόνες τ' ἐπὶ τοῖς Πελοπήϊοι εἴκαθον αὔτως,
ὅσσους Βιλλαίοιο μέλαν περιάγνυται ὕδωρ.
Ἀλλά με νῦν Βέβρυκες ὑπερβασίη τ' Ἀμύκοιο
τηλόθι ναιετάοντος ἐνόσφισαν Ἡρακλῆος,
δὴν ἀποτεμνόμενοι γαίης ἅλις, ὄφρ' ἐβάλοντο
οὖρα βαθυῤῥείοντος ὑφ' εἰαμεναῖς Ὑπίοιο.
Ἔμπης δ' ἐξ ὑμέων ἔδοσαν τίσιν· οὐδέ ἑ φημὶ
ἤματι τῷδ' ἀέκητι θεῶν ἐπελάσσαι ἄρηα
Τυνδαρίδην Βέβρυξιν, ὅτ' ἀνέρα κεῖνον ἔπεφνεν.
Τῶν νῦν ἥντιν' ἐγὼ τῖσαι χάριν ἄρκιος εἰμὶ,
τίσω προφρονέως. Ἡ γὰρ θέμις ἠπεδανοῖσιν
ἀνδράσιν, εὖτ' ἄρξωσιν ἀρείονες ἄλλοι ὀφέλλειν.
Ξυνῇ μὲν πάντεσσιν ὁμόστολον ὔμμιν ἕπεσθαι
Δάσκυλον ὀτρυνέω, ἐμὸν υἱέα· τοῖο δ' ἰόντος
ἦτ' ἂν εὐξείνοισι διὲξ ἁλὸς ἀντιάοιτε
ἀνδράσιν, ὄφρ' αὐτοῖο ποτὶ στόμα Θερμώδοντος.
Νόσφι δὲ Τυνδαρίδαις Ἀχερουσίδος ὑψόθεν ἄκρης
εἴσομαι ἱερὸν αἰπύ· τὸ μὲν μάλα τηλόθι πάντες
ναυτίλοι ἂμ πέλαγος θηεύμενοι ἱλάξονται·
καί κέ σφιν μετέπειτα πρὸ ἄστεος οἷα θεοῖσιν
πίονας εὐαρότοιο γύας πεδίοιο ταμοίμην.
Ὣς τότε μὲν δαῖτ' ἀμφὶ πανήμεροι ἑψιόωντο.
Ἠρί γε μὴν ἐπὶ νῆα κατήϊσαν ἐγκονέοντες·
καὶ δ' αὐτὸς σὺν τοῖσι Λύκος κίε, μυρί' ὀπάσσας
δῶρα φέρειν· ἅμα δ' υἷα δόμων ἔκπεμπε νέεσθαι.
Ἔνθα δ' Ἀβαντιάδην πεπρωμένη ἤλασε μοῖρα
Ἴδμονα, μαντοσύνῃσι κεκασμένον· ἀλλά μιν οὔ τι
μαντοσύναι ἐσάωσαν, ἐπεὶ χρεὼ ἦγε δαμῆναι.
Κεῖτο γὰρ εἰαμενῇ δονακώδεος ἐν ποταμοῖο
ψυχόμενος λαγόνας τε καὶ ἄσπετον ἰλυϊ νηδὺν
κάπριος ἀργιόδων, ὀλοὸν τέρας, ὅν ῥα καὶ αὐταὶ
Νύμφαι ἑλειονόμοι ὑπεδείδισαν· οὐδέ τις ἀνδρῶν
ἠείδει· οἶος δὲ κατὰ πλατὺ βόσκετο τῖφος.
Αὐτὰρ ὅ γ' ἰλυόεντος ἀνὰ θρωσμοὺς ποταμοῖο
νίσσετ' Ἀβαντιάδης· ὁ δ' ἄρ' ἔκ ποθεν ἀφράστοιο
ὑψι μάλ' ἐκ δονάκων ἀνεπάλμενος ἤλασε μηρὸν
αἴγδην, μέσσας δὲ σὺν ὀστέῳ ἶνας ἔκερσεν.
Ὀξὺ δ' ὅ γε κλάγξας οὔδει πέσεν· οἱ δὲ τυπέντος
ἀθρόοι ἀντιάχησαν. Ὀρέξατο δ' αἶψ' ὀλοοῖο
Πηλεὺς αἰγανέην φυγάδ' εἰς ἕλος ὁρμηθέντος
καπρίου· ἔσσυτο δ' αὖτις ἐναντίος· ἀλλά μιν Ἴδας
οὔτασε, βεβρυχὼς δὲ θοῷ περικάππεσε δουρί.

pedestri-itinere venit, balteum bellorum-cupidæ ferens
Hippolytæ; me vero invenit modo pubescentem lanugine.
Ibi in-funere Priolæ fratris interfecti
nostri Mysis a viris, quem populus
flebilibus elegis luget etiamnum ex illo *tempore*,
pugnans, Titiam devicit pugilem
robustum, qui inter omnes excelluit juvenes
et facie et robore : in-terram vero ei excussit dentes.
At una-cum Mysis meo patri subjecit
et Phrygas, qui incolunt contermina nobis arva,
et gentes Bithynorum cum-ipsa subegit terra,
usque ad Rhebæi ostia scopulumque Colonæ :
Paphlagonesque post illos Pelopii cesserunt ultro,
quoscunque Billæi nigra ambit unda.
At me nunc Bebryces, et injuria Amyci,
procul habitante privarunt Hercule
jamdiu ademta terra satis-multa, usque-dum protulerunt
fines profundi ad irrigua loca Hypii.
Attamen per vos dederunt pœnas, neque eum dico
die illo invitis diis intulisse bellum,
Tyndariden, Bebrycibus, quo istum virum (*Amycum*) interfecit.] Pro-quibus nunc, quantam ego rependere gratiam
possum,] rependam lubenter. Hæc enim lex *est* imbecillis
viris, quando primi fortiores alii *eos* juverint.
Una quidem cum-omnibus comitem vos sequi
Dascylum jubebo, meum filium : quo comitante
profecto hospitales per mare invenietis
viros, usque ipsius ad ostium Thermodontis.
Seorsum autem Tyndaridis Acherusium supra promontorium] exstruam templum altum, quod quidem admodum
e-longinquo omnes] nautæ in mari conspicientes venerabuntur :] atque ipsis deinde ante urbem, ut diis,
pinguia bene-arati jugera campi consecrabo.

Sic tum quidem inter epulas toto-die confabulabantur.
Mane vero ad navem redierunt festinantes :
atque ipse cum iis Lycus ivit, infinita qui dederat
dona auferenda, simulque filium ex-ædibus emisit comitaturum.] Ibi Abantis-filium destinatum abripuit fatum
Idmonem, vaticinandi-arte ornatum; at eum tamen nullo
modo] vaticinia servarunt, cum necessitas juberet *eum* interfici.] Jacebat enim in palustri-loco arundinosi fluvii
refrigerans ilia et ingentem luto ventrem
aper dentibus-albis, horrendum monstrum, quod quidem
et-ipsæ] Nymphæ palustres metuebant; neque quis hominum] noverat; solus enim in vasta pascebatur palude.
At ille limosi per loca-prominentia fluvii
ibat Abantiades : hic vero ex improviso alicunde
admodum alte ex arundinibus prosiliens, percussit femur
cum-impetu, mediosque cum osse nervos discidit.
Acriter vero ille vociferatus, humi corruit : illi autem (*socii*)
vulnerato] conjunctim responderunt-clamantes. Intendit
vero statim sævo] Peleus jaculum irritum in paludem redeunti] apro : proripit iterum adversus : at eum Idas
vulneravit; frendens autem in acutam incidit hastam.

Καὶ τὸν μὲν χαμάδις λίπον αὐτόθι πεπτηῶτα·
τὸν δ' ἕταροι ἐπὶ νῆα φέρον ψυχοῤῥαγέοντα,
ἀχνύμενοι, χείρεσσι δ' ἑῶν ἐνικάτθαν' ἑταίρων.
Ἔνθα δὲ ναυτιλίης μὲν ἐρητύοντο μέλεσθαι,
ἀμφὶ δὲ κηδείῃ νέκυος μένον ἀσχαλόωντες.
Ἤματα δὲ τρία πάντα γόων· ἑτέρῳ δέ μιν ἤδη
τάρχυον μεγαλωστί· συνεκτερέϊζε δὲ λαὸς
αὐτῷ ὁμοῦ βασιλῆϊ Λύκῳ· παρὰ δ' ἄσπετα μῆλα,
ἣ θέμις οἰχομένοισι, ταφήϊα λαιμοτόμησαν.
Καὶ δή τοι κέχυται τοῦδ' ἀνέρος ἐν χθονὶ κείνῃ
τύμβος· σῆμα δ' ἔπεστι καὶ ὀψιγόνοισιν ἰδέσθαι
νηίου ἐκ κοτίνοιο φάλαγξ· θαλέθει δέ τε φύλλοις
ἄκρης τυτθὸν ἔνερθ' Ἀχερουσίδος. Εἰ δέ με καὶ τὸ
χρειὼ ἀπηλεγέως Μουσέων ὕπο γηρύσασθαι,
τόνδε πολισσοῦχον διεπέφραδε Βοιωτοῖσιν
Νισαίοισί τε Φοῖβος ἐπιῤῥήδην ἱλάεσθαι,
ἀμφὶ δὲ τήν γε φάλαγγα παλαιγενέος κοτίνοιο
ἄστυ βαλεῖν· οἱ δ' ἀντὶ θεουδέος Αἰολίδαο
Ἴδμονος εἰσέτι νῦν Ἀγαμήστορα κυδαίνουσιν.
Τίς γὰρ δὴ θάνεν ἄλλος; ἐπεὶ καὶ ἔτ' αὖτις ἔχευαν
ἥρωες τότε τύμβον ἀποφθιμένου ἑτάροιο.
Δοιὰ γὰρ οὖν κείνων ἔτι σήματα φαίνεται ἀνδρῶν.
Ἁγνιάδην Τῖφυν θανέειν φάτις· οὐδέ οἱ ἦεν
μοῖρ' ἔτι ναυτίλλεσθαι ἑκαστέρω. Ἀλλά νυ καὶ τὸν
αὖθι μινυνθαδίη πάτρης ἑκὰς εὔνασε νοῦσος,
εἰσόκ' Ἀβαντιάδαο νέκυν κτερέϊζεν ὅμιλος.
Ἄτλητον δ' ὀλοῷ ἐπὶ πήματι κῆδος ἕλοντο.
Δὴ γὰρ ἐπεὶ καὶ τόνδε παρασχεδὸν ἐντερέϊξαν
αὐτοῦ, ἀμηχανίῃσιν ἁλὸς προπάροιθε πεσόντες,
ἐντυπὰς εὐκήλως εἰλυμένοι, οὔτε τι σίτου
μνώοντ' οὔτε ποτοῖο· κατήμυσαν δ' ἀχέεσσι
θυμὸν, ἐπεὶ μάλα πολλὸν ἀπ' ἐλπίδος ἔπλετο νόστος.
Καί νύ κ' ἔτι προτέρω τετιημένοι ἰσχανόωντο,
εἰ μὴ ἄρ' Ἀγκαίῳ περιώσιον ἔμβαλεν Ἥρη
θάρσος, ὃν Ἰμβρασίοισι παρ' ὕδασιν Ἀστυπάλαια
τίκτε Ποσειδάωνι· περιπρὸ γὰρ εὖ ἐκέκαστο
ἰθύνειν, Πηλῆα δ' ἐπεσσύμενος προσέειπεν.
Αἰακίδη, πῶς καλὸν ἀφειδήσαντας ἀέθλων
γαίῃ ἐν ἀλλοδαπῇ δὴν ἔμμεναι; Οὐ μὲν ἄρηος
ἴδριν ἐόντα με τόσσον ἄγει μετὰ κῶας Ἰήσων
Παρθενίης ἀπάνευθεν, ὅσον τ' ἐπιίστορα νηῶν.
Τῷ μή τοι τυτθόν γε δέος περὶ νηΐ πελέσθω.
Ὣς δὲ καὶ ἄλλοι δεῦρο δαήμονες ἄνδρες ἔασιν,
τῶν ὅτινα πρύμνης ἐπιβήσομεν, οὔτις ἰάψει
ναυτιλίην. Ἀλλ' ὦκα, παραιφάμενος τάδε πάντα,
θαρσαλέως ὀρόθυνον ἐπιμνήσασθαι ἀέθλου.
Ὣς φάτο· τοῖο δὲ θυμὸς ὀρέξατο γηθοσύνῃσιν.
Αὐτίκα δ' οὐ μετὰ δηρὸν ἐνὶ μέσσοις ἀγόρευσεν·
Δαιμόνιοι, τί νυ πένθος ἐτώσιον ἴσχομεν αὔτως;
[οἱ μὲν γάρ ποθι τοῦτον, ὃν ἔλλαχον, οἶτον ὄλοντο·]
ἡμῖν μὲν γὰρ ἔασι κυβερνητῆρες ὁμίλῳ,
καὶ πολέες. Τῷ μή τι διατριβώμεθα πείρης·
ἀλλ' ἔγρεσθ' εἰς ἔργον, ἀποῤῥίψαντες ἀνίας.
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἀμηχανέων προσέειπεν·

Atque hunc quidem humi reliquerunt ibi prostratum:
illum vero socii ad navem ferebant palpitantem
mœsti, et in-manibus suorum mortuus-est sociorum.
Tum igitur navigationi prohibebantur operam-dare,
sed in sepultura mortui versabantur tristes.
Et per-dies tres integros lugebant; quarto autem eum jam
sepeliverunt magnifice; at una exsequias-celebrabat populus
cum-ipso simul rege Lyco: juxtaque multas pecudes,
ut justum *est* mortuis, sepulcrales jugularunt.
Atqui aggestus-est hujus viri in terra illa
tumulus: monumentumque inest etiam posteris visendum,
navali ex oleastro palanga: viret enim foliis
promontorium paullulum infra Acherusium. Si vero me hoc
quoque] oportet ingenue Musis juvantibus canere,
hunc urbis-patronum jussit Bœotos
et Nisæos Phœbus diserte venerari,
et circa illam quidem palangam antiqui oleastri
urbem condere: illi autem pro pio Æolida
Idmone etiamnum Agamestora celebrant.
Quisnam tandem obiit alius? etenim præterea etiam rursus exstruxerunt] heroes tum tumulum mortui socii.
Duo enim illorum adhuc monumenta apparent virorum.
Agniaden Tiphyn interiisse fama *est*: neque ei erat
fatale posthac navigare longius. Immo etiam hunc
ibi exiguus a-patria procul sopivit morbus,
dum Abantiadæ cadaver conderet cœtus.
Immensum autem tristi ex calamitate dolorem ceperunt.
Nam, postquam etiam hunc prope sepeliverunt
ibi, præ-desperatione ante mare prolapsi,
in-terra-penitus quiete obvoluti neque omnino cibi
recordabantur, nec potus; immo macerabant doloribus
animum, quoniam plurimum a spe aberat reditus.
Atque etiam diutius cruciati detenti-fuissent,
nisi Ancæo singularem inspirasset Juno
audaciam, quem Imbrasias ad aquas Astypalæa
pepererat Neptuno: eximie enim præditus-erat
arte-gubernandi; et Peleum accurrens *ita* allocutus-est:
Æaci-fili, quomodo honestum *est*, neglectis certaminibus
terra in aliena diu manere? Non quidem belli
peritum me adeo ducit ad vellus *petendum* Jason
e Parthenia, quantum peritum navium *gubernandarum*.
Quare ne tantillum quidem metus propter navem sit.
Ita vero etiam alii hic periti viri sunt,
quorum quemcunque puppi præfecerimus, nullus oberit
navigationi. Itaque celeriter, admonens hæc omnia,
audacter incita, ut-memores-sint laboris.
Sic dixit: hujus vero animus stimulabatur gaudio.
Statim vero non diu post *ita* inter medios concionatus-est:
Optimi, cur tandem dolorem vanum fovemus frustra?
[illi enim aliquando eam, quam sortiti-erant, mortem obierunt:] nobis enim sunt gubernatores in-cœtu,
iique multi. Quare nullo modo differamus profectionem:
immo surgite ad opus, abjectis curis.
Ei vero rursus Æsonis filius consilii-inops respondit:

Αἰακίδη, πῆ δ' οἵδε κυβερνητῆρες ἔασιν;
οὓς μὲν γὰρ τοπάροιθε δαήμονας εὐχόμεθ' εἶναι,
οἱ δὲ κατηφήσαντες ἐμεῦ πλέον ἀσχαλόωσιν.
Τῷ καὶ ὁμοῦ φθιμένοισι κακὴν προτιόσσομαι ἄτην,
εἰ δὴ μήτ' ὀλοοῖο μετὰ πτόλιν Αἰήταο
ἔσσεται, ἠὲ καὶ αὖτις ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
πετράων ἔκτοσθε, κατ' αὐτόθι δ' ἄμμε καλύψει
ἀκλειῶς κακὸς οἶτος ἐτώσια γηράσκοντας.
Ὣς ἔφατ'· Ἀγκαῖος δὲ μάλ' ἐσσυμένως ὑπέδεκτο
νῆα θοὴν ἄξειν· δὴ γὰρ θεοῦ ἐτράπεθ' ὁρμῇ.
Τὸν δὲ μέτ' Ἐργῖνος, καὶ Ναύπλιος, Εὔφημός τε
ὤρνυντ', ἰθύνειν λελιημένοι. Ἀλλ' ἄρα τούς γε
ἔσχεθον· Ἀγκαίῳ δὲ πολεῖς ἤνησαν ἑταίρων.
Ἠῷοι δ' ἤπειτα δυωδεκάτῳ ἐπέβαινον
ἤματι· δὴ γάρ σφιν Ζεφύρου μέγας οὖρος ἄητο.
Καρπαλίμως δ' Ἀχέροντα διεξεπέρησαν ἐρετμοῖς,
ἐκ δ' ἔχεαν πίσυνοι ἀνέμῳ λίνα, πουλὺ δ' ἐπιπρὸ
λαιφέων πεπταμένων τέμνον πλόον εὐδιόωντες.
Ὦκα δὲ Καλλιχόροιο παρὰ προχοὰς ποταμοῖο
ἤλυθον, ἔνθ' ἐνέπουσι Διὸς Νυσήϊον υἷα,
Ἰνδῶν ἡνίκα φῦλα λιπὼν κατενάσσατο Θήβας,
ὀργιάσαι στῆσαί τε χοροὺς ἄντροιο πάροιθεν,
ᾧ ἐν ἀμειδήτους ἁγίας εὐνάζετο νύκτας,
ἐξ οὗ Καλλίχορον ποταμὸν περιναιετάοντες
ἠδὲ καὶ Αὔλιον ἄντρον ἐπωνυμίην καλέουσιν.
Ἔνθεν δὲ Σθενέλου τάφον ἔδρακον Ἀκτορίδαο,
ὅς ῥά τ' Ἀμαζονίδων πολυθαρσέος ἐκ πολέμοιο
ἂψ ἀνιών, δὴ γὰρ συνανήλυθεν Ἡρακλῆϊ,
βλήμενος ἰῷ κεῖθεν ἐπ' αἰγιάλου θάνεν ἀκτῆς.
Οὐ μέν θην προτέρω παρεμέτρεον. Ἧκε γὰρ αὐτὴ
Φερσεφόνη ψυχὴν πολυδάκρυον Ἀκτορίδαο
λισσομένην τυτθόν περ ὁμήθεας ἄνδρας ἰδέσθαι.
Τύμβου δὲ στεφάνης ἐπιβὰς σκοπιάζετο νῆα,
τοῖος ἐών, οἷος πολεμόνδ' ἴεν· ἀμφὶ δὲ καλὴ
τετράφαλος φοίνικι λόφῳ ἐπελάμπετο πήληξ.
Καί ῥ' ὁ μὲν αὖτις ἔδυνε μέλαν ζόφον· οἱ δ' ἐσιδόντες
θάμβησαν· τοὺς δ' ὦρσε θεοπροπέων ἐπικέλσαι
Ἀμπυκίδης Μόψος, λοιβῇσί τε μειλίξασθαι. [τες
Οἱ δ' ἀνὰ μὲν κραιπνῶς λαῖφος σπάσαν, ἐκ δὲ βαλόν-
πείσματ' ἐν αἰγιαλῷ Σθενέλου τάφον ἀμφεπένοντο,
χύτλα τέ οἱ χεύοντο, καὶ ἥγνισαν ἔντομα μήλων.
Ἄνδιχα δ' αὖ χύτλων νηοσσόῳ Ἀπόλλωνι
βωμὸν δειμάμενοι μῆλ' ἔφλεγον· ἂν δὲ καὶ Ὀρφεὺς
θῆκε λύρην· ἐκ τοῦ δὲ Λύρη πέλει οὔνομα χώρῳ.
Αὐτίκα δ' οἵ γ' ἀνέμοιο κατασπέρχοντος ἔβησαν
νῆ' ἔπι· κὰδ δ' ἄρα λαῖφος ἐρυσσάμενοι τανύοντο
ἐς πόδας ἀμφοτέρους· ἡ δ' ἐς πέλαγος πεφόρητο
ἐντενές, ἠΰτε τίς τε δι' ἠέρος ὑψόθι κίρκος
ταρσὸν ἐφεὶς πνοιῇ φέρεται ταχύς, οὐδὲ τινάσσει
ῥιπήν, εὐκήλοισιν ἐνευδιόων πτερύγεσσιν.
Καὶ δὴ Παρθενίοιο ῥοὰς ἁλιμυρήεντος,
πρηϋτάτου ποταμοῦ, παρεμέτρεον, ᾧ ἔνι κούρη
Λητωΐς, ἄγρηθεν ὅτ' οὐρανὸν εἰσαναβαίνει,
ὃν δέμας ἱμερτοῖσιν ἀναψύχει ὑδάτεσσιν.

Æacida, ubi illi gubernatores sunt?
quos enim antea peritos gloriabamur esse,
ii vultu-mœsto me plus *etiam* dolent.
Quare etiam una cum-mortuis (*simile mortuis*) triste prævideo exitium,] si jam neque sævi ad urbem Æetæ
licebit, nec rursus in Græcam terram venire
petris evitatis, hic autem nos opprimet
turpiter mala mors, frustra senescentes.
Sic dixit: Ancæus autem promtissime promisit
se navem celerem ducturum-esse: etenim numinis impellebatur motu.] Post eum Erginus, et Nauplius Euphemusque
surrexerunt, gubernare cupientes. At hos quidem
prohibuerunt: Ancæo vero plures suffragati-sunt sociorum.
Mane vero deinde duodecimo conscenderunt *navem*
die: jam enim illis Zephyri magnus ventus adspirabat.
Statim autem Acherontem permearunt remis,
expanderuntque fiducia-pleni vento vela, multum autem
ulterius] velis passis navigarunt serena-tempestate-usi.
Celeriter vero Callichori ad ostia fluvii
venerunt, ubi dicunt Jovis Nysеium filium (*Bacchum*),
Indorum quando gentibus relictis incoluit Thebas,
orgia-celebrasse, et instituisse choros ante antrum,
in quo severas sanctas dormiebat noctes,
ex quo Callichorum fluvium accolæ,
atque Aulium antrum cognomine appellant.
Inde vero Stheneli sepulcrum viderunt Actoridæ,
qui quidem Amazonum acerrimo ex bello
reversus, (etenim una-ierat cum-Hercule)
ictus sagitta, ibi in maritimo mortuus-est littore.
Neque multum ulterius navigarunt. Misit enim ipsa
Proserpina animam flebilem Actoridæ
precatam, paullulum saltem æquales viros ut-videret.
Tumulo vero summo insistens conspicatus-est navem
talis, qualis in-bellum ierat: undique enim pulcra
quatuor-cristis purpureo cono fulgebat galea.
Et ille quidem rursus subiit atram caliginem; hi vero conspicati] stupuerunt: eos autem jussit vaticinans appellere
Ampycides Mopsus, et libationibus placare (*manes mortui*).
Il i igitur celeriter velum contraxerunt, emissisque
retinaculis in littore circa Stheneli tumulum occupabantur,
libaminaque ei fuderunt, et cremarunt inferias pecudum.
Separatim vero rursus a-libatione navium-tutori Apollini
ara exstructa pecudes combusserunt: at etiam Orpheus
dedicavit lyram, unde Lyræ est nomen loco.
Statim autem illi, vento urgente, conscenderunt
navem: velumque detractum expanderunt
in pedem utrumque: illa (*navis*) in mare ferebatur
celerrime, sicut aliquis per aërem desuper accipiter,
alis permissis vento, fertur velox, neque concutit
volatum quietis incumbens alis.
Atqui Parthenii fluenta in-mare-exeuntis,
lenissimi fluvii, prætervecti-sunt, in quo filia
Latonæ e-venatione quando in cœlum revertitur,
suum corpus suavibus refrigerat aquis.

Νυκτί τ' ἔπειτ' ἄλληκτον ἐπιπροτέρωσε θέοντες,
Σήσαμον αἰπεινούς τε παρεξενέοντ' Ἐρυθίνους,
Κρωδίαλον, Κρῶμνάν τε, καὶ ὑλήεντα Κύτωρον.
Ἔνθεν δ' αὖτε Κάραμβιν ἅμ' ἠελίοιο βολῇσιν
γνάμψαντες, παρὰ πουλὺν ἔπειτ' ἤλαυνον ἐρετμοῖς
αἰγιαλὸν, πρόπαν ἦμαρ ὁμῶς, καὶ ἐπ' ἤματι νύκτα.
Αὐτίκα δ' Ἀσσυρίης ἐπέβαν χθονὸς, ἔνθα Σινώπην
θυγατέρ' Ἀσωποῖο, καθίσσατο, καί οἱ ὄπασσε
παρθενίην Ζεὺς αὐτὸς ὑποσχεσίῃσι δολωθείς.
Δὴ γὰρ ὁ μὲν φιλότητος ἐέλδετο· νεῦσε δ' ὅγ' αὐτῇ
Δωσέμεναι, ὅ κεν ᾗσι μετὰ φρεσὶν ἰθύσειεν.
Ἡ δέ ἑ παρθενίην ᾐτήσατο κερδοσύνῃσιν.
Ὣς δὲ καὶ Ἀπόλλωνα παρήπαφεν, εὐνηθῆναι
ἱέμενον, ποταμόν τ' ἐπὶ τοῖς Ἅλυν· οὐδὲ μὲν ἀνδρῶν
τήν γέ τις ἱμερτῇσιν ἐν ἀγκοίνῃσι δάμασσεν.
Ἔνθα δὲ Τρικκαίοιο ἀγαυοῦ Δηϊμάχοιο
υἷες, Δηϊλέων τε καὶ Αὐτόλυκος Φλόγιός τε,
τῆμόσδ' Ἡρακλῆος ἀποπλαγχθέντες, ἔναιον·
οἵ ῥα τόθ', ὡς ἐνόησαν ἀριστήων στόλον ἀνδρῶν,
σφᾶς αὐτοὺς νημερτὲς ἐπέφραδον ἀντιάσαντες·
οὐδ' ἔτι μιμνάζειν θέλον ἔμπεδον, ἀλλ' ἐνὶ νηῒ
Ἀργέσταο παρᾶσσον ἐπιπνείοντος ἔβησαν.
Τοῖσι δ' ὁμοῦ μετέπειτα θοῇ πεφορημένοι αὔρῃ
λεῖπον Ἅλυν ποταμὸν, λεῖπον δ' ἀγχίῤῥοον Ἶριν,
ἠδὲ καὶ Ἀσσυρίης πρόχυσιν χθονός· ἤματι δ' αὐτῷ
γνάμψαν Ἀμαζονίδων ἕκαθεν λιμενήοχον ἄκρην.
Ἔνθα ποτὲ προμολοῦσαν Ἀρητιάδα Μελανίππην
ἥρως Ἡρακλέης ἐλοχήσατο, καί οἱ ἄποινα
Ἱππολύτη ζωστῆρα παναίολον ἐγγυάλιξεν
ἀμφὶ κασιγνήτης· ὁ δ' ἀπήμονα πέμψεν ὀπίσσω.
Τῆς οἵ γ' ἐν κόλπῳ, προχοαῖς ἔπι Θερμώδοντος,
κέλσαν, ἐπεὶ καὶ πόντος ὀρίνετο νισσομένοισιν.
Τῷ δ' οὔτις ποταμῶν ἐναλίγκιος, οὐδὲ ῥέεθρα
τόσσ' ἐπὶ γαῖαν ἵησι παρὲξ ἕθεν ἄνδιχα βάλλων.
Τετράκις εἰς ἑκατὸν δεύοιτό κεν, εἴ τις ἕκαστα
πεμπάζοι· μία δ' οἴη ἐτήτυμος ἔπλετο πηγή·
ἡ μέν τ' ἐξ ὀρέων κατανίσσεται ἤπειρόνδε
ὑψηλῶν, ἅ τε φασὶν Ἀμαζόνια κλείεσθαι.
Ἔνθεν δ' αἰπυτέρην ἐπικίδναται ἔνδοθι γαῖαν
ἀντικρύ· τῷ καί οἱ ἐπίστροφοι εἰσὶ κέλευθοι·
αἰεὶ δ' ἄλλυδις ἄλλη, ὅπῃ κύρσειε μάλιστα
ἠπείρου χθαμαλῆς, εἱλίσσεται· ἡ μὲν ἄπωθεν,
ἡ δὲ πέλας· πολέες δὲ πόροι νώνυμνοι ἔασιν,
ὅππῃ ὑπεξαφύονται· ὁ δ' ἀμφαδὸν ἄμμιγα παύροις
Πόντον ἐς Ἄξεινον κυρτὴν ὑπερεύγεται ἄχνην.
Καί νύ κε δηθύνοντες Ἀμαζονίδεσσιν ἔμιξαν
ὑσμίνην, καὶ δ' οὔ κεν ἀναιμωτί γ' ἐρίδηναν,
(οὐ γὰρ Ἀμαζονίδες μάλ' ἐπητέες, οὐδὲ θέμιστας
τίουσαι πεδίον Δοιάντιον ἀμφενέμοντο·
ἀλλ' ὕβρις στονόεσσα καὶ Ἄρεος ἔργα μεμήλει·
δὴ γὰρ καὶ γενεὴν ἔσαν Ἄρεος Ἁρμονίης τε
Νύμφης, ἥ τ' Ἄρηϊ φιλοπτολέμους τέκε κούρας,
ἄλσεος Ἀλκμονίοιο κατὰ πτύχας εὐνηθεῖσα·)
εἰ μὴ ἄρ' ἐκ Διόθεν πνοιαὶ πάλιν Ἀργέσταο

Noctuque deinde indesinenter ulterius navigantes,
Sesamum celsosque prætericrunt Erythinos,
Crobialum, Cromnamque, et sylvosum Cytorum.
Inde porro Carambin, cum solis radiis (*sole exoriente*),
circumvecti, juxta longum deinde agitarunt *navem* remis
littus, per-totum diem simul et exacto die noctem.

Continuo in Assyriam escenderunt terram, quo Sinopen,
filiam Asopi, collocaverat, eique concesserat
virginitatem Jupiter ipse, promissis circumventus.
Etenim ille concubitum *ejus* cupiit annuitque is ipsi
se daturum, quodcunque suo animo appeteret.
Hæc igitur eum virginitatem rogavit astute.
Similiter vero etiam Apollinem decepit, concumbere
volentem, fluviumque post illos Halyn: neque virorum
eam quis optatis amplexibus subegit.
Ibi Triccæi (*Thessali*) præclari Deimachi
filii, Deileon et Autolycus et Phlogius,
tunc Hercule derelicto habitarunt;
qui quidem tum, ubi cognoverunt principum navigationem
virorum,] se ipsos certo indicarunt obviam-facti:
neque amplius manere voluerunt constanter, sed navem,
Zephyro protenus spirante, ingressi-sunt.
Cum-his una postea cito vecti vento
reliquerunt Halyn fluvium, reliquerunt prope-fluentem Irin,
atque Assyriæ aggestos-campos terræ: die vero eodem
circumvecti-sunt Amazonum procul portu-instructum promontorium.] Ibi olim prodeuntem Aretiadem (*Mavortiam*) Menalippen] heros Hercules insidiatus-ceperat, atque
ei pretium] Hippolyte balteum artificiosum dederat
pro sorore: ille vero salvam miserat retro.
Hujus (*promontorii*) illi in sinu, ad ostia Thermodontis,
appulerunt, quoniam et mare concitabatur navigantibus.
Illi (*Thermodonti*) vero nullus fluviorum similis *est*, neque
fluenta] tot in terram fundit, ex se separatim emittens.
Quatuor ad centum deficerent, si quis singula
numeraret: unus vero solus verus erat fons:
qui quidem ex montibus demanat in-terram
altis, quos dicunt Amazonios vocari.
Inde autem in magis-editam dividitur intus terram
ex-adverso; unde etiam ei flexuosi sunt meatus:
semper vero alio alius, ubi inciderit maxime
in-terram humilem, devolvitur: alius e-longinquo,
alius prope: multi autem meatus ignoti sunt,
quorsum effundantur: ipse autem *fluvius* aperte una-cum
paucis (*meatibus*)] Pontum in inhospitalem undantem eructat spumam.] Atqui morantes (*Argonautæ*) cum-Amazonibus conseruissent] pugnam, neque sine sanguine certassent,] (non enim Amazones valde lenes, neque jura
colentes in campo Dœantio habitabant;
immo injuria luctuosâ et Martis opera *iis* placebant:
etenim genere erant Martis et Harmoniæ
Nymphæ, quae Marti belli-studiosas peperit filias,
saltus Alcmonii in recessibus *cum eo* postquam-concubuit),
nisi a Jove flatus iterum Zephyri

ἤλυθον· οἱ δ' ἀνέμῳ περιηγέα κάλλιπον ἄκρην
ἔνθα Θεμισκύρειαι Ἀμαζόνες ὡπλίζοντο.
Οὐ γὰρ ὁμηγερέες μίαν ἂμ πόλιν, ἀλλ' ἀνὰ γαῖαν
κεκριμέναι κατὰ φῦλα διάτριχα ναιετάασκον·
νόσφι μὲν αἵδ' αὐταὶ, τῇσιν τότε κοιρανέεσκεν
Ἱππολύτη, νόσφιν δὲ Λυκάστιαι ἀμφενέμοντο,
νόσφι δ' ἀκοντοβόλοι Χαδήσιαι. Ἤματι δ' ἄλλῳ
νυκτί τ' ἐπιπλομένῃ Χαλύβων παρὰ γαῖαν ἵκοντο.
Τοῖσι μὲν οὔτε βοῶν ἄροτος μέλει, οὔτε τις
φυταλιὴ καρποῖο μελίφρονος· οὐδὲ μὲν οἵ γε [ἄλλη
ποίμνας ἐρσήεντι νομῷ ἔνι ποιμαίνουσιν.
Ἀλλὰ σιδηροφόρον στυφελὴν χθόνα γατομέοντες,
ὦνον ἀμείβονται βιοτήσιον, οὐδέ ποτέ σφιν
ἠὼς ἀντέλλει καμάτων ἄτερ, ἀλλὰ κελαινῇ
λιγνύϊ καὶ καπνῷ κάματον βαρὺν ὀτλεύουσιν.
Τοὺς δὲ μετ' αὐτίκ' ἔπειτα Γενηταίου Διὸς ἄκρην
γνάμψαντες, σώοντο παρὲξ Τιβαρηνίδα γαῖαν.
Ἔνθ' ἐπεὶ ἄρ κετέκωνται ὑπ' ἀνδράσι τέκνα γυναῖ-
αὐτοὶ μὲν στενάχουσιν ἐνὶ λεχέεσσι πεσόντες, [κες,
κράατα δησάμενοι· ταὶ δ' εὖ κομέουσιν ἐδωδῇ
ἀνέρας, ἠδὲ λοετρὰ λεχώϊα τοῖσι πένονται.
Ἱερὸν αὖτ' ἐπὶ τοῖσιν ὄρος καὶ γαῖαν ἄμειβον,
ᾗ ἔνι Μοσσύνοικοι ἀν' οὔρεα ναιετάουσιν
μόσσυνας· καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
Ἀλλοίη δὲ δίκη, καὶ θέσμια τοῖσι τέτυκται.
Ὅσσα μὲν ἀμφαδίην ῥέζειν θέμις, ἢ ἐνὶ δήμῳ,
ἢ ἀγορῇ, τάδε πάντα δόμοις ἔνι μηχανόωνται·
ὅσσα δ' ἐνὶ μεγάροις πεπονήμεθα, κεῖνα θύραζε
ἀψεγέως μέσσῃσιν ἐνὶ ῥέζουσιν ἀγυιαῖς.
Οὐδ' εὐνῆς αἰδὼς ἐπιδήμιος, ἀλλὰ, σύες ὣς
φορβάδες, οὐδ' ἠβαιὸν ἀτυζόμενοι παρεόντας,
μίσγονται χαμάδις ξυνῇ φιλότητι γυναικῶν.
Αὐτὰρ ἐν ὑψίστῳ βασιλεὺς μόσσυνι θαάσσων
ἰθείας πολέεσσι δίκας λαοῖσι δικάζει,
σχέτλιος. Ἢν γάρ πού τι θεμιστεύων ἀλίτηται,
λιμῷ μιν κεῖν' ἦμαρ ἐνικλείσαντες ἔχουσιν.
Τοὺς παρανισσόμενοι, καὶ δὴ σχεδὸν ἀντιπέ-
νησου Ἀρητιάδος, τέμνον πλόον εἰρεσίῃσιν [ρηθεν
ἠμάτιοι· λιαρὴ γὰρ ὑπὸ κνέφας ἔλλιπεν αὔρη.
Ἤδη καί τιν' ὕπερθεν Ἀρήϊον ἀΐσσοντα
ἐνναέτην νήσοιο δι' ἠέρος ὄρνιν ἴδοντο,
ὅς ῥα τιναξάμενος πτέρυγας κατὰ νῆα θέουσαν
ἧκ' ἐπί οἱ πτερὸν ὀξύ· τὸ δ' ἐν λαιῷ πέσεν ὤμῳ
δίου Ὀϊλῆος· μεθέηκε δὲ χερσὶν ἐρετμὸν [τες,
βλήμενος· οἱ δὲ τάφον πτερόεν βέλος εἰσορόων-
καὶ τὸ μὲν ἐξείρυσσε παρεδριόων Ἐριβώτης,
ἕλκος δὲ ξυνέδησεν ἀπὸ σφετέρου κολεοῖο
λυσάμενος τελαμῶνα κατήορον· ἐκ δὲ φαάνθη
ἄλλος ἐπὶ προτέρῳ πεποτημένος· ἀλλά μιν ἥρως
Εὐρυτίδης Κλύτιος, (πρὸ γὰρ ἀγκύλα τείνατο τόξα
ἧκε δ' ἐπ' οἰωνὸν ταχινὸν βέλος,) αὐτὰρ ἔπειτα
πλῆξεν· δινηθεὶς δὲ θοῆς πέσεν ἀγχόθι νηός.
Τοῖσιν δ' Ἀμφιδάμας μυθήσατο, παῖς Ἀλεοῖο.
Νῆσος μὲν πέλας ἧμιν Ἀρητιὰς, ἴστε καὶ αὐτοὶ

venissent: illi igitur vento *juvante* curvum reliquerunt littus,] ubi Themiscyriæ Amazones armabantur.
Neque enim cunctæ una in urbe, sed per regionem
discretæ in tribus divisim habitabant:
seorsum quidem illæ ipsæ, quibus tum imperabat
Hippolyte, seorsum autem Lycastiæ habitabant,
seorsum item hastas-jaculantes Chadesiæ. Die vero altero
nocteque insequente Chalybum ad terram venerunt.

His quidem nec boum aratio curæ-est, nec quædam alia
plantatio fructus dulcis: neque illi
greges in roscido pascuo pascunt.
Sed ferri-feracem asperam terram effodientes
mercem permutant esculentam neque unquam ipsis
aurora exoritur sine laboribus, sed atra
fuligine ac fumo laborem durum exantlant.

Post illos statim deinde Gentilitii Jovis promontorium
circumvecti, ferebantur juxta Tibarenorum terram.
Ibi quando pepererint maritis liberos uxores,
ipsi quidem (*mariti*) gemunt in lectos delapsi,
capita ligati: illæ autem bene reficiunt cibo
maritos, atque lavacra puerperio-destinata iis ministrant.

Sacrum porro post illos montem et terram præterierunt,
in qua Mossynœci per montes habitant
Mossynas (*ligneas turres*:) atque ipsi cognomen inde habent.] Aliud vero jus legesque illis sunt.
Quæ quidem palam facere licet, aut in populo
aut foro, hæc omnia in domibus exercent:
quæ vero in ædibus perficimus, ea foris
sine-reprehensione in mediis patrant vicis.
Ne concubitus quidem pudor *est* publicus, sed, porci tanquam] gregales, ne tantillum quidem veriti præsentes
miscentur humi communi amplexu mulierum.
At in altissima rex turre sedens
recta frequentibus jura populis dat,
miser: si enim quando jus-dicens deliraverit,
fame eum illo die inclusum tenent.

Hos prætergressi, jam etiam prope ex-opposito
insulæ Aretiadis (*Mavortiæ*), confecerunt navigationem
remigando] interdiu: lenis enim sub diluculum defecerat
ventus.] Jam etiam quendam superne Areïum (*Martium*)
volitantem] incolam insulæ per aërem alitem viderunt,
qui, quidem concussis alis in navem currentem,
emisit in eam pennam acutam, quæ lævo incidit humero
divini Oïlei: dimisit autem e-manibus remum
vulneratus: illi (*socii*) obstupuerunt, alato telo conspecto.
Atque illud quidem extraxit assidens Eribotes,
vulnusque ligavit, e sua vagina
quum-solvisset fasciam dependentem: apparuit vero
alius (*ales*) priori advolans: at eum heros
Euryti-filius Clytius, (antea enim curvum tetenderat arcum
emisitque in avem celerem sagittam,) *eum* igitur deinde
percussit; circumacta vero celerem delapsa-est prope ad
navem.] Ad hos autem Amphidamas dixit, filius Alei:

Insula quidem prope nobis *adest* Aretias, nostis etiam

τούσδ' ὄρνιθας ἰδόντες. Ἐγὼ δ' οὐχ ἔλπομαι ἰοὺς
τόσσον ἐπαρκέσσειν εἰς ἔκϐασιν. Ἀλλά τιν' ἄλλην
μῆτιν πορσύνωμεν ἐπίῤῥοθον, εἴ κ' ἐπικέλσαι
μέλλετε, Φινῆος μεμνημένοι, ὡς ἐπέτελλεν.
Οὐδὲ γὰρ Ἡρακλέης, ὁπότ' ἤλυθεν Ἀρκαδίηνδε,
πλωΐδας ὄρνιθας Στυμφαλίδας ἔσθενε λίμνης
ὤσασθαι τόξοισι, τὸ μέν τ' ἐγὼ αὐτὸς ὄπωπα.
Ἀλλ' ὅγε χαλκείην πλατάγην ἐνὶ χερσὶ τινάσσων
δούπει ἐπὶ σκοπιῆς περιμήκεος· αἱ δὲ φέϐοντο
τηλοῦ, ἀτυζηλῷ ὑπὸ δείματι κεκληγυῖαι.
Τῷ καὶ νῦν τοίην τιν' ἐπιφραζώμεθα μῆτιν·
αὐτὸς δ' ἂν τοπάροιθεν ἐπιφρασθεὶς ἐνέποιμι.
Ἀνθέμενοι κεφαλῇσιν ἀερσιλόφους τρυφαλείας,
ἡμίσεες μὲν ἐρέσσετ' ἀμοιϐαδὶς, ἡμίσεες δὲ
δούρασί τε ξυστοῖσι καὶ ἀσπίσιν ἄρσετε νῆα.
Αὐτὰρ πασσυδίῃ περιώσιον ὄρνυτ' ἀϋτὴν
ἀθρόοι, ὄφρα κολωὸν ἀηθείῃ φοϐέωνται
νεύοντάς τε λόφους καὶ ἐπήορα δούραθ' ὕπερθεν.
Εἰ δέ κεν αὐτὴν νῆσον ἱκώμεθα, δὴ τότ' ἔπειτα
σὺν κελάδῳ σακέεσσι πελώριον ὄρσετε δοῦπον.
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἐπίῤῥοθος ἥνδανε μῆτις.
Ἀμφὶ δὲ χαλκείας κόρυθας κεφαλῇσιν ἔθεντο,
δεινὸν λαμπομένας, ἐπὶ δὲ λόφοι ἐσσείοντο
φοινίκεοι. Καὶ τοὶ μὲν ἀμοιϐήδην ἐλάασκον·
τοὶ δ' αὖτ' ἐγχείῃσι καὶ ἀσπίσι νῆα κάλυψαν.
Ὡς δ' ὅτε τις κεράμῳ κατερέψεται ἑρκίον ἀνὴρ,
δώματος ἀγλαΐην τε καὶ ὑετοῦ ἔμμεναι ἄλκαρ,
ἄλλῳ δ' ἔμπεδον ἄλλος ὁμῶς ἐπαμοιϐὸς ἄρηρεν·
ὣς οἵ γ' ἀσπίσι νῆα συναρτύναντες ἔρεψαν.
Οἵη δὲ κλαγγὴ δηΐου πέλει ἐξ ὁμάδοιο
ἀνδρῶν κινυμένων, ὁπότε ξυνίωσι φάλαγγες,
τοίη ἄρ' ὑψόθι νηὸς ἐς ἠέρα κίδνατ' ἀϋτή.
Οὐδέ τιν' οἰωνῶν ἔτ' ἐσέδρακον, ἀλλ' ὅτε νήσῳ
χρίμψαντες σακέεσσιν ἐπέκτυπον, αὐτίκ' ἄρ' οἵ γε
μυρίοι ἔνθα καὶ ἔνθα πεφυζότες ἠερέθοντο.
Ὡς δ' ὁπότε Κρονίδης πυκινὴν ἐφέηκε χάλαζαν
ἐκ νεφέων ἀνά τ' ἄστυ καὶ οἰκία, τοὶ δ' ὑπὸ τοῖσιν
ἐνναέται κόναϐον τεγέων ὕπερ εἰσαΐοντες
ἧνται ἀκὴν, ἐπεὶ οὔ σφε κατέλλαϐε χείματος ὥρη
ἀπροφάτως, ἀλλὰ πρὶν ἐκαρτύναντο μέλαθρα·
ὣς πυκινὰ πτερὰ τοῖσιν ἐφίεσαν ἀΐσσοντες
ὕψι μάλ' ἂμ πέλαγος περάτης εἰς οὔρεα γαίης.
Τίς γὰρ δὴ Φινῆος ἔην νόος, ἐνθάδε κέλσαι
ἀνδρῶν ἡρώων θεῖον στόλον; ἢ καὶ ἔπειτα
ποῖον ὄνειαρ ἔμελλεν ἐελδομένοισιν ἱκέσθαι;
Υἷες Φρίξοιο μετὰ πτόλιν Ὀρχομενοῖο
ἐξ Αἴης ἐνέοντο παρ' Αἰήταο Κυταίου, [ται
Κολχίδα νῆ' ἐπιϐάντες, ἵν' ἄσπετον ὄλϐον ἄρων-
πατρός· ὁ γὰρ θνήσκων ἐπετείλατο τήνδε κέλευθον.
Καὶ δὴ ἔσαν νήσοιο μάλα σχεδὸν ἤματι κείνῳ.
Ζεὺς δ' ἀνέμου Βορέαο μένος κίνησεν ἄῆναι,
ὕδατι σημαίνων διερὴν ὁδὸν Ἀρκτούροιο·
αὐτὰρ ὅγ' ἠμάτιος μὲν ἐν οὔρεσι φύλλ' ἐτίνασσεν
τυτθὸν ἐπ' ἀκροτάτοισιν ἀήσυρος ἀκρεμόνεσσιν·

ipsi] hos alites conspicati. Equidem non puto sagittas
tantum suffecturas-esse ad escendendum. Itaque aliud quod-
dam] consilium paremus commodum, si appellere
velitis, Phinei memores, uti jussit.
Neque enim Hercules, quando venit in-Arcadiam,
natantes aves e Stymphalides potuit lacu
abigere sagittis, quod quidem ego ipse vidi.
Immo ille æreum crepitaculum manibus concutiens
strepitum-effecit in specula ampla: illæ vero aufugerunt
procul, terribili præ metu clangentes.
Quare etiam nunc tale quoddam excogitemus consilium;
ipse vero, antea quum-commentus-sim, eloquar.
Impositis in-capita cristatis galeis,
dimidii remigate vicissim, dimidii vero
et hastis politis et clypeis instruite navem.
At uno-impetu ingentem tollite clamorem
omnes-simul, ut strepitum ob-insolentiam timeant,
nutantesque cristas, et sublatas hastas in-altum.
Si vero in-ipsam insulam venerimus, tum deinde
cum clamore clypeis immanem excitabitis strepitum.
Sic igitur fatus-est: omnibus autem utile placuit consilium.
Itaque æreas galeas capitibus imposuerunt,
horrendum fulgentes, super *iis* vero cristæ agitabantur
purpureæ. Atque alii quidem alternis remigarunt,
alii autem hastis et clypeis navem obtexerunt.
Sicut vero, quando quis tegulis cooperturus-est murum vir,
et domui ornamentum et adversus-pluviam ut-sit præsidi-
um,] alii continuo alia *tegula* simul succedens adaptatur:
sic illi clypeis navem instructam cooperuerunt.
Qualis autem clangor hostili exsistit e tumultu
hominum se-moventium, quando congrediuntur cohortes,
talis supra navem in aërem diffusus-est clamor.
Neque ullam avem amplius viderunt, sed quando ad-insu-
lam] appropinquantes clypeis strepebant, statim illæ
innumeræ huc et illuc in-fugam sublatæ-sunt.
Ut vero, quando Jupiter densam immittit grandinem
e nubibus in urbem et domos, harum vero
incolæ crepitu super tectis audito
sedent quieti, quoniam non eos deprehendit tempestatis
hora] improviso, sed antea muniverant tecta:
ita densas pennas in-hos (*Argonautas*) demiserunt *aves* vo-
lantes] sublime admodum trans mare ultimæ ad montes ter-
ræ.] Quænam tandem Phinei erat sententia *jubentis*, ap-
pelleret ut-huc] virorum heroum divina cohors? atque postea
quidnam commodi erat desiderantibus venturum?
Filii Phrixi in urbem Orchomeni
ex Æa proficiscebantur ab Æeta Cytæo,
Colchicam navem ingressi, ut immensas opes tollerent
patris: ille enim moriens præceperat hoc iter.
Atqui erant ab-insula proxime die illo.
Jupiter autem venti Boreæ vim concitavit, ut-flaret,
aqua (*imbribus*) significans humidam viam Arcturi.
At ille interdiu quidem in montibus folia concussit
paullulum in summis leniter-flans ramis:

νυκτὶ δ' ἔβη πόντονδε πελώριος, ὦρσε δὲ κῦμα
κεκληγὼς πνοιῇσι· κελαινὴ δ' οὐρανὸν ἀχλὺς
ἄμπεχεν, οὐδέ πῃ ἄστρα διαυγέα φαίνετ' ἰδέσθαι
ἐκ νεφέων, σκοτόεις δὲ περὶ ζόφος ἠρήρειστο.
Οἱ δ' ἄρα μυδαλέοι, στυγερὸν τρομέοντες ὄλεθρον,
υἱῆες Φρίξοιο φέρονθ' ὑπὸ κύμασιν αὔτως.
Ἱστία δ' ἐξήρπαξ' ἀνέμου μένος, ἠδὲ καὶ αὔτως
νῆα διάνδιχ' ἔαξε τινασσομένην ῥοθίοισιν.
Ἔνθα δ' ὑπ' ἐννεσίῃσι θεῶν πίσυρές περ ἐόντες
δούρατος ὠρέξαντο πελωρίου, οἷά τε πολλὰ
ῥαισθείσης κεκέδαστο θοοῖς συναρηρότα γόμφοις.
Καὶ τοὺς μὲν νῆσόνδε παρὲξ ὀλίγον θανάτοιο
κύματα καὶ ῥιπαὶ ἀνέμου φέρον ἀσχαλόωντας.
Αὐτίκα δ' ἐῤῥάγη ὄμβρος ἀθέσφατος, ὗε δὲ πόντον
καὶ νῆσον καὶ πᾶσαν ὅσην κατεναντία νήσου
χώρην Μοσσύνοικοι ὑπέρβιοι ἀμφενέμοντο.
Τοὺς δ' ἄμυδις κρατερῷ σὺν δούρατι κύματος ὁρμὴ
υἷας Φρίξοιο μετ' ἠϊόνας βάλε νήσου
νύχθ' ὑπὸ λυγαίην· τὸ δὲ μυρίον ἐκ Διὸς ὕδωρ
λῆξεν ἅμ' ἠελίῳ· τάχα δ' ἐγγύθεν ἀντεβόλησαν
ἀλλήλοις, Ἄργος δὲ παροίτατος ἔκφατο μῦθον.
Ἀντόμεθα πρὸς Ζηνὸς Ἐποψίου, οἵτινές ἐστὲ
ἀνδρῶν, εὐμενέειν τε καὶ ἀρκέσσαι χατέουσιν.
Πόντῳ γὰρ τρηχεῖαι ἐπιβρίσασαι ἄελλαι
νηὸς ἀεικελίης διὰ δούρατα πάντα κέδασσαν,
ᾗ ἔνι τειρόμενοι ἄμ' ἐπὶ χρέος ἐμβεβαῶτες.
Τοὔνεκα νῦν ὑμέας γουναζόμεθ', αἴ κε πίθησθε,
δοῦναι ὅσον θ' εἷλυμα περὶ χροὸς ἠδὲ κομίσσαι
ἀνέρας οἰκτείραντας ὁμήλικας ἐν κακότητι.
Ἀλλ' ἱκέτας ξείνους Διὸς εἵνεκεν αἰδέσσασθε
Ξεινίου, Ἱκεσίου τε· Διὸς δ' ἄμφω ἱκέται τε
καὶ ξεῖνοι· ὁ δέ που καὶ ἐπόψιος ἄμμι τέτυκται.
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως ἐρέεινεν,
μαντοσύνας Φινῆος ὀϊσσάμενος τελέεσθαι·
Ταῦτα μὲν αὐτίκα πάντα παρέξομεν εὐμενέοντες.
Ἀλλ' ἄγε μοι κατάλεξον ἐτήτυμον, ὅς ποθι γαίης
ναίετε, καὶ χρέος οἷον ὑπεὶρ ἅλα νεῖσθαι ἀνώγει,
αὐτῶν θ' ὑμείων ὄνομα κλυτὸν ἠδὲ γενέθλην.
Τὸν δ' Ἄργος προσέειπεν ἀμηχανέων κακότητι·
Αἰολίδην Φρίξον τιν' ἀφ' Ἑλλάδος Αἶαν ἱκέσθαι
ἀτρεκέως δοκέω που ἀκούετε καὶ πάρος αὐτοί,
Φρίξον, ὅτις πτολίεθρον ἀνήλυθεν Αἰήταο
κριοῦ ἐπεμβεβαώς, τόν ῥα χρύσειον ἔθηκεν
Ἑρμείας· κῶας δὲ καὶ εἰσέτι νῦν κεν ἴδοισθε.
Τὸν μὲν ἔπειτ' ἔῤῥεξεν ἑῆς ὑποθημοσύνῃσιν
Φυξίῳ ἐκ πάντων Κρονίδῃ Διΐ. Καί μιν ἔδεκτο
Αἰήτης μεγάρῳ κούρην τέ οἱ ἐγγυάλιξεν
Χαλκιόπην ἀνάεδνον ἐϋφροσύνῃσι νόοιο.
Τῶν ἐξ ἀμφοτέρων εἰμὲν γένος. Ἀλλ' ὁ μὲν ἤδη
γηραιὸς θάνε Φρίξος ἐν Αἰήταο δόμοισιν·
ἡμεῖς δ' αὐτίκα πατρὸς ἐφετμάων ἀλέγοντες
νεύμεθ' ἐς Ὀρχομενὸν κτεάνων Ἀθάμαντος ἕκητι.
Εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις δεδαῆσθαι,
τῷδε Κυτίσσωρος πέλει οὔνομα, τῷ δέ τε Φρόντις·

noctu vero invasit pontum vehemens, excitavitque fluctum
stridens flatibus: atra vero cœlum caligo
involvit: neque ullibi sidera perlucentia apparebant, ut-viderentur,] ex nubibus, verum tenebricosa undique caligo inhæserat.] Illi igitur madidi, tristem metuentes interitum,
filii Phrixi ferebantur fluctibus passim.
Vela autem diripuit venti vis, atque etiam pari-modo
navem diffregit quassatam fluctibus.
Tum vero consilio deorum, quatuor quanquam erant,
lignum corripuerunt ingens, qualia quidem multa
diffractæ *navis* dissipabantur, acutis compacta clavis.
Atque illos quidem in-insulam, *quum* parum *abfuissent* a
morte,] fluctus et impetus venti detulerunt male-affectos
Statim vero erupit imber plurimus, compluitque mare
et insulam et omnem, quantam ex-adverso insulæ
regionem Mossynœci violenti incolebant.
Ipsos autem simul valido cum ligno fluctus impetus
filios Phrixi in littora conjecit insulæ
nocte caliginosa: at infinita ex Jove pluvia
cessavit cum (*exoriente*) sole: statim vero prope occurrerunt] sibi, et Argus primus prolocutus-est *haec* verba:
Rogamus per Jovem Epopsium (*observatorem*), quicunque estis] viri, ut et faveatis et opem-feratis indigentibus.
In-mare enim asperæ irruentes procellæ
navis exiguæ ligna omnia disjecerunt,
quam afflicti simul propter negotium conscenderamus.
Quare nunc vobis supplicamus, si modo obsequamini,
ut-detis quantulumcunque vestimentum circum corpus,
atque curetis] viros miserti æquales in miseria.
Agedum, supplices hospites Jovis causa reveremini
Hospitalis et supplicum-antistitis: Jovis vero utrique, et supplices] et hospites, *sunt*: ille vero etiam observator nobis est.
Eum autem Æsonis filius prudenter percunctatus-est,
vaticinia Phinei ratus eventura-esse:
Hæc quidem statim omnia præbebimus benevoli.
Sed age, mihi dic vere, quemadmodum alicubi terræ
habitetis, et quænam causa *vos* super mare vehi jusserit,
ipsorumque vestrum nomen celebre et genus.
Hunc Argus allocutus-est perplexus ob-res-adversas:
Æoliden Phrixum quendam e Græcia in-Æam venisse,
certo, opinor, audivistis etiam antea ipsi,
Phrixum, qui in urbem venit Æetæ
ariete vectus, quem quidem aureum reddidit
Mercurius: vellus vero etiamnum conspicere-possitis.
Eum deinde immolavit ipsius mandato
Phyxio præ omnibus *diis* Saturnio Jovi. Atque ipsum excepit] Æetes in-ædibus, filiamque ei uxorem collocavit
Chalciopen indotatam, benevolo animo.
Quo ex utroque *parente* sumus genere. At ille jam
senex mortuus-est, Phrixus, in Æetæ domibus:
nos vero statim patris mandata curantes
navigamus Orchomenum, opum Athamantis causa.
Si vero etiam nomen forte cupias cognoscere,
huic Cytissorus est nomen, atque huic Phrontis:

τῷ δὲ Μέλας· ἐμὲ δ' αὐτὸν ἐπικλείοιτέ κεν Ἄργον.
Ὡς φάτ'· ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο,
καὶ σφέας ἀμφίεπον περιθαμβέες. Αὐτὰρ Ἰήσων
ἐξαῦτις κατὰ μοῖραν ἀμείψατο τοῖσδ' ἐπέεσσιν.
Ἦ ἄρα δὴ γνωτοὶ πατρώϊοι ἄμμιν ἐόντες
λίσσεσθ' εὐμενέοντας ἐπαρκέσσαι κακότητα.
Κρηθεὺς γάρ ῥ' Ἀθάμας τε κασίγνητοι γεγάασιν.
Κρηθῆος δ' υἱωνὸς ἐγὼ σὺν τοῖσίδ' ἑταίροις
Ἑλλάδος ἐξ αὐτῆς νέομ' ἐς πόλιν Αἰήταο.
Ἀλλὰ τὰ μὲν καὶ ἐσαῦτις ἐνίψομεν ἀλλήλοισιν·
νῦν δ' ἕσσασθε πάροιθεν· ὑπ' ἐννεσίῃσι δ' ὀίω
ἀθανάτων ἐς χεῖρας ἐμὰς χατέοντας ἱκέσθαι.
Ἦ ῥα, καὶ ἐκ νηὸς δῶκε σφίσιν εἵματα δῦναι.
Πασσυδίῃ δ' ἤπειτα κίον μετὰ νηὸν Ἄρηος,
μῆλ' ἱερευσόμενοι· περὶ δ' ἐσχάρῃ ἐστήσαντο
ἐσσυμένως, ἥτ' ἐκτὸς ἀνηρεφέος πέλε νηοῦ
στιάων· εἴσω δὲ μέλας λίθος ἠρήρειστο
ἱερός, ᾧ ποτε πᾶσαι Ἀμαζόνες εὐχετόωντο.
Οὐδέ σφιν θέμις ἦεν, ὅτ' ἀντιπέρηθεν ἵκοιντο,
μήλων τ' ἠδὲ βοῶν τῇδ' ἐσχάρῃ ἱερὰ καίειν·
ἀλλ' ἵππους δαίτρευον, ἐπηετανὸν κομέουσαι.
Αὐτὰρ ἐπεὶ ῥέξαντες ἐπαρτέα δαῖτα πάσαντο,
δὴ τότ' ἄρ' Αἰσονίδης μετεφώνεεν, ἦρχέ τε μύθων·
Ζεὺς αὐτὸς τὰ ἕκαστ' ἐπιδέρκεται· οὐδέ μιν ἄνδρες
λήθομεν ἔμπεδον οἵ γε θεουδέες ἠδὲ δίκαιοι.
Ὡς μὲν γὰρ πατέρ' ὑμὸν ὑπεξείρυτο φόνοιο
μητρυιῆς καὶ νόσφιν ἀπειρέσιον πόρεν ὄλβον·
ὣς δὲ καὶ ὑμέας αὖτις ἀπήμονας ἐξεσάωσεν
χείματος οὐλομένοιο. Πάρεστι δὲ τῆσδ' ἐπὶ νηὸς
ἔνθα καὶ ἔνθα νέεσθαι, ὅπῃ φίλον, εἴτε μετ' Αἶαν,
εἴτε μετ' ἀφνειὴν θείου πόλιν Ὀρχομενοῖο.
Τὴν γὰρ Ἀθηναίη τεχνήσατο, καὶ τάμε χαλκῷ
δούρατα Πηλιάδος κορυφῆς πάρα· σὺν δέ οἱ Ἄργος
τεῦξεν. Ἀτὰρ κείνην γε κακὸν διὰ κῦμα κέδασσεν,
πρὶν καὶ πετράων σχεδὸν ἐλθεῖν, αἵτ' ἐνὶ πόντῳ
στεινωπῷ συνίασι πανήμεροι ἀλλήλῃσιν.
Ἀλλ' ἄγεθ', ὧδε καὶ αὐτοὶ ἐς Ἑλλάδα μαιομένοισιν
κῶας ἄγειν χρύσειον ἐπίρροθοι ἄμμι πέλεσθε
καὶ πλόου ἡγεμονῆες, ἐπεὶ Φρίξοιο θυηλὰς
στέλλομαι ἀμπλήσων Ζηνὸς χόλον Αἰολίδῃσιν.
Ἴσκε παρηγορέων· οἱ δ' ἔστυγον εἰσαΐοντες.
Οὐ γὰρ ἔφαν τεύξεσθαι ἐνηέος Αἰήταο
κῶας ἄγειν κριοῖο μεμαότας, ὧδε δ' ἔειπεν
Ἄργος, ἀτεμβόμενος τοῖον στόλον ἀμφιπένεσθαι·
Ὦ φίλοι, ἡμέτερον μὲν ὅσον σθένος, οὔποτ' ἀρωγῆς
σχήσεται, οὐδ' ἠβαιόν, ὅτε χρειώ τις ἵκηται.
Ἀλλ' αἰνῶς ὀλοῇσιν ἀπηνείῃσιν ἄρηρεν
Αἰήτης· τῷ καὶ περιδείδια ναυτίλλεσθαι.
Στεῦται δ' Ἠελίου γόνος ἔμμεναι· ἀμφὶ δὲ Κόλχων
ἔθνεα ναιετάουσιν ἀπείρονα· καὶ δέ κεν Ἄρει
σμερδαλέην ἐνοπὴν μέγα τε σθένος ἰσοφαρίζοι.
Οὐ μάν, οὐδ' ἀπάνευθεν ἑλεῖν δέρος Αἰήταο
ῥηΐδιον, τοῖός μιν ὄφις περί τ' ἀμφί τ' ἔρυται
ἀθάνατος καὶ ἄϋπνος, ὃν αὐτὴ Γαῖ' ἀνέφυσεν

illi Melas : me vero ipsum appellabitis Argum.
Sic locutus-est : principes autem congressu *hoc* lætati
-sunt,] atque eos amplexi valde-stupentes. At Jason
deinceps, ut decebat, respondit his verbis :
Profecto cognati paterni nobis qui-estis,
rogatis benevolos, ut-succurrant miseriæ.
Cretheus enim et Athamas fratres fuerunt.
Crethei autem nepos ego cum his sociis
Græcia ex ipsa proficiscor in urbem Æetæ.
At hæc quidem etiam postea narrabimus nobis:
nunc vero vestiamini prius : consilio autem puto
immortalium in manus meas *vos* indigentes incidisse.
Dixit, et e navi dedit iis vestimenta induenda.
Omnes-una deinde ibant ad templum Martis,
pecudes immolaturi : circa aram autem steterunt
studiose, quæ extra tecto-carens erat templum
e-lapidibus *facta* : intus vero niger lapis defixus-erat
sacer, ad-quem olim omnes Amazones vota-faciebant.
Neque ipsis fas erat, quando ex-adversa-terra venerant,
ovium atque boum in-hac ara sacra comburere :
sed equos immolabant copiose nutritos.
At postquam sacris-operati, paratas epulas degustarunt,
tum Jason allocutus-est (*hospites*) ac prior-fecit verba :
Jupiter ipse cuncta videt; neque eum viri
latemus prorsus qui quidem pii ac probi *sumus*.
Ut enim patrem vobis servavit a-cæde
novercæ, ac præterea immensas dedit opes :
sic vero etiam vos rursus salvos eripuit
tempestati perniciosæ. Licet vero hac navi
huc et illuc ire, quo lubet, sive in Æam,
sive in opulentam divini urbem Orchomeni.
Hanc enim Minerva fabricavit, et secuit ferro
ligna Peliaco ex cacumine; cum ea vero Argus
construxit. At illam *vestram* improbus fluctus disjecit,
priusquam etiam ad-rupes prope accessistis, quæ in mari
angusto concurrunt toto-die inter-se.
Agite igitur, hic etiam ipsi in Græciam cupientibus
vellus asportare aureum adjutores nobis estote
atque navigationis duces, quoniam pro-Phrixo sacra
proficiscor peracturus, Jovis ob-iram in Æolidas.
Dixit cohortans : illi autem horrebant audientes.
Neque enim putabant habituros-esse mitem Æeten
vellus auferre arietis cupientes, sic vero locutus-est
Argus, indignatus tali navigatione *eos* occupari :
Amici, nostra quidem quanta *est* vis, nunquam auxilio
se-abstinebit, ne tantillum quidem, quando necessitas quædam inciderit.] At horrendum-in-modum sæva crudelitate
præditus-est] Æetes : quare etiam valde-metuo navigare.
Fertur autem Solis filius esse : circa vero Colchorum
gentes habitant innumeræ : et vel Martem
horrenda voce magnoque robore æquet.
Neque profecto, ne sine Æeta quidem, auferre vellus
facile *est* : talis illud draco circacircum undique tuetur
immortalis ac somni-expers, quem ipsa Terra edidit

Καυκάσου ἐν κνημοῖσι, Τυφαονίη ὅθι πέτρη,
ἔνθα Τυφάονα φασὶ Διὸς Κρονίδαο κεραυνῷ
βλήμενον, ὁππότε οἱ στιβαρὰς ἐπορέξατο χεῖρας,
θερμὸν ἀπὸ κρατὸς στάξαι φόνον· ἵκετο δ' αὔτως
οὔρεα καὶ πεδίον Νυσήϊον, ἔνθ' ἔτι νῦν περ
κεῖται ὑποβρύχιος Σερβωνίδος ὕδασι λίμνης.
Ὣς ἄρ' ἔφη· πολέεσσι δ' ἐπὶ χλόος εἷλε παρειὰς
αὐτίκα, τοῖον ἄεθλον ὅτ' ἔκλυον. Αἶψα δὲ Πηλεὺς
θαρσαλέως ἐπέεσσιν ἀμείψατο, φώνησέν τε·
Μὴ δ' οὕτως, ἠθεῖε, λίην δειδίσσεο θυμῷ.
Οὔτε γὰρ ὧδ' ἀλκὴν ἐπιδευόμεθ', ὥστε χερείους
ἔμμεναι Αἰήταο σὺν ἔντεσι πειρηθῆναι.
Ἀλλὰ καὶ ἡμέας οἴω ἐπισταμένους πολέμοιο
κεῖσε μολεῖν, μακάρων σχεδὸν αἵματος ἐκγεγαῶτας.
Τῷ, εἰ μὴ φιλότητι δέρος χρύσειον ὀπάσσει,
οὔ οἱ χραισμήσειν ἐπιέλπομαι ἔθνεα Κόλχων.
Ὣς οἵγ' ἀλλήλοισιν ἀμοιβαδὸν ἠγορόωντο,
μέσφ' αὖτις δόρποιο κορεσσάμενοι κατέδαρθεν.
Ἦρι δ' ἀνεγρομένοισιν ἐΰκραὴς ἄεν οὖρος·
ἱστία δ' ἤειραν, τὰ δ' ὑπὸ ῥιπῆς ἀνέμοιο
τείνετο· ῥίμφα δὲ νῆσον ἀποπροέλειπον Ἄρηος.
Νυκτὶ δ' ἐπιπλομένῃ Φιλυρηΐδα νῆσον ἄμειβον·
ἔνθα μὲν Οὐρανίδης Φιλύρῃ Κρόνος, εὖτ' ἐν Ὀλύμ-
Τιτήνων ἤνασσεν, ὁ δὲ Κρηταῖον ὑπ' ἄντρον [πῳ
Ζεὺς ἔτι Κουρήτεσσι μετετρέφετ' Ἰδαίοισιν,
Ῥείην ἐξαπαφὼν παρελέξατο· τοὺς δ' ἐνὶ λέκτροις
τέτμε θεὰ μεσσηγύς· ὁ δ' ἐξ εὐνῆς ἀνορούσας
ἔσσυτο χαιτήεντι φυὴν ἐναλίγκιος ἵππῳ·
ἡ δ' αἰδοῖ χῶρόν τε καὶ ἤθεα κεῖνα λιποῦσα
Ὠκεανὶς Φιλύρη εἰς οὔρεα μακρὰ Πελασγῶν
ἦλθ', ἵνα δὴ Χείρωνα πελώριον ἄλλα μὲν ἵππῳ,
ἄλλα θεῷ, ἀτάλαντον ἀμοιβαίῃ τέκεν εὐνῇ.
Κεῖθεν δ' αὖ Μάκρωνας ἀπειρεσίην τε Βεχείρων
γαῖαν ὑπερφιάλους τε παρεξενέοντο Σάπειρας
Βύζηράς τ' ἐπὶ τοῖσιν· ἐπιπρὸ γὰρ αἰὲν ἔτεμνον
ἐσσυμένως λιαροῖο φορεύμενοι ἐξ ἀνέμοιο.
Καὶ δὴ νισσομένοισι μυχὸς διεφαίνετο Πόντου.
Καὶ δὴ Καυκασίων ὀρέων ἀνέτελλον ἐρίπναι
ἠλίβατοι, τόθι γυῖα περὶ στυφελοῖσι πάγοισιν
ἰλλόμενος χαλκέῃσιν ἀλυκτοπέδῃσι Προμηθεὺς
αἰετὸν ἥπατι φέρβε παλιμπετὲς ἀΐσσοντα.
Τὸν μὲν ἐπ' ἀκροτάτης ἴδον ἕσπερον ὀξέϊ ῥοίζῳ
νηὸς ὑπερπτάμενον νεφέων σχεδόν· ἀλλὰ καὶ ἔμπης
λαίφεα πάντ' ἐτίναξε παραιθύξας πτερύγεσσιν.
Οὐ γὰρ ὅγ' αἰθερίοιο φυὴν ἔχεν οἰωνοῖο,
ἶσα δ' ἐϋξέστοις ὠκύπτερα πάλλεν ἐρετμοῖς.
Δηρὸν δ' οὐ μετέπειτα πολύστονον ἄϊον αὐδὴν
ἧπαρ ἀνελκομένοιο Προμηθέος· ἔκτυπε δ' αἰθὴρ
οἰμωγῇ, μέσφ' αὖτις ἀπ' οὔρεος ἀΐσσοντα
αἰετὸν ὠμηστὴν αὐτὴν ὁδὸν εἰσενόησαν.
Ἐννύχιοι δ' Ἄργοιο δαημοσύνῃσιν ἵκοντο
Φᾶσίν τ' εὐρυρέοντα, καὶ ἔσχατα πείρατα πόντου.
Αὐτίκα δ' ἱστία μὲν καὶ ἐπίκριον ἔνδοθι κοίλης
στοδόκης στείλαντες ἐκόσμεον· ἐν δὲ καὶ αὐτὸν

Caucasi in saltibus, Typhaonea ubi *est* rupes,
ubi Typhaonem ajunt Jovis Saturnii fulmine
percussum, quando ei validas intentaverat manus,
calidum de capite destillasse cruorem : venit vero sic
in-montes et campum Nyseium, ubi etiamnum
jacet submersus Serbonidis aquis palludis.
Sic igitur dixit : multis vero pallor occupavit genas
statim, tale certamen ubi audiverant. Mox autem Peleus
audacter verbis respondit et *ita* dixit :
Ne ita, o bone, nimium pertimescas animo.
Neque enim adeo viribus egemus, ut deteriores
simus, cum-Æeta armis qui-depugnemus.
Sed etiam nos puto peritos belli
illuc venire, deorum fere ex-sanguine natos.
Quare, nisi amice vellus aureum concesserit,
non ei utiles-fore spero gentes Colchorum.
Sic illi inter-se alternatim locuti-sunt,
usque-dum rursus epulis satiati obdormiscerent.
Mane vero expergefactis lenis spirabat aura :
vela igitur sustulerunt, quæ flatu venti
extendebantur : celeriter autem insulam reliquerunt Mar-
tis.] Nocte incidente Philyræam insulam prætervecti-sunt;
ibi Urani-filius cum-Philyra Saturnus, quando in Olympo
Titanibus imperabat, et Cretensi sub antro
Jupiter adhuc inter Curetes educabatur Idæos,
Rheam fallens, concubuit : hos vero in concubitu
deprehendit dea medio : ipse e toro exsiliens
aufugit, jubato forma similis equo :
illa vero præ-pudore loco et sedibus illis relictis
Oceanitis Philyre in montes longos Pelasgorum
venit, ubi Chironem monstrosum, partim equo,
partim deo similem, ex-ambiguo peperit concubitu.
Inde porro Macronas et immensam Bechirum
terram, et violentos prætervecti-sunt Sapiras,
Byzerasque post illos : ulterius enim usque navigabant
celeriter, leni acti vento.
Et jam procedentibus sinus prospiciebatur Ponti.
Et jam Caucasiorum montium apparuerunt juga
celsa, ubi membra ad asperas rupes
alligatus æreis pedicis Prometheus
aquilam jecinore pascebat retro volantem.
Eam in summa viderunt vespere acuto stridore
navi supervolantem prope nubes : at tamen
vela omnia concussit lacessens alis.
Neque enim illa aeriæ naturam habebat avis,
sed æquales politis alas jactabat remis.
Non diu post gemibundam audiverunt vocem
Promethei, jecur cui-extrahebatur : insonuit vero aer
ejulatu, donec iterum ex monte volantem
aquilam crudivoram eadem via conspicerent.
Noctu autem Argi peritia venerunt
ad-Phasin late-fluentem, et extremos terminos Ponti.
Statim igitur vela et antennam in cavum
receptaculum detracta reposuerunt, atque ipsum

ἱστὸν ἄφαρ χαλάσαντο παρακλιδόν· ὦκα δ' ἐρετμοῖς
εἰσέλασαν ποταμοῖο μέγαν ῥόον· αὐτὰρ ὁ πάντη
καχλάζων ὑπόειχεν. Ἔχον δ' ἐπ' ἀριστερὰ χειρῶν
Καύκασον αἰπήεντα Κυταιΐδα τε πτόλιν Αἴης,
ἔνθεν δ' αὖ πεδίον τὸ Ἀρήϊον ἱερά τ' ἄλση
τοῖο θεοῦ, τόθι κῶας ὄφις εἴρυτο δοκεύων,
πεπτάμενον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσιν.
Αὐτὸς δ' Αἰσονίδης χρυσέῳ ποταμόνδε κυπέλλῳ
οἴνου ἀκηρασίοιο μελισταγέας χέε λοιβὰς
Γαίῃ τ' ἐνναέταις τε θεοῖς ψυχαῖς τε καμόντων
ἡρώων· γουνοῦτο δ' ἀπήμονας εἶναι ἀρωγοὺς
εὐμενέως καὶ νηὸς ἐναίσιμα πείσματα δέχθαι.
Αὐτίκα δ' Ἀγκαῖος τοῖον μετὰ μῦθον ἔειπεν.
Κολχίδα μὲν δὴ γαῖαν ἱκάνομεν ἠδὲ ῥέεθρα
Φάσιδος· ὥρη δ' ἡμὶν ἐνὶ σφίσι μητιάασθαι,
εἴτ' οὖν μειλιχίῃ πειρησόμεθ' Αἰήταο,
εἴτε καὶ ἀλλοίη τις ἐπήβολος ἔσσεται ὁρμή.
Ὣς ἔφατ'· Ἄργου δ' αὖτε παρηγορίῃσιν Ἰήσων
ὑψόθι νῆ' ἐκέλευσεν ἐπ' εὐναίῃσιν ἐρύσσαι,
δάσκιον εἰσελάσαντας ἕλος· τὸ δ' ἐπισχεδὸν ἦεν
νισσομένων, ἔνθ' οἵγε διὰ κνέφας ηὐλίζοντο.
Ἠὼς δ' οὐ μετὰ δηρὸν ἐελδομένοισι φαάνθη.

malum statim demiserunt inclinatum : celeriter autem remis] agitarunt fluvii in-magnum alveum : at ille undique
æstuans cessit. Habebant vero ad sinistram manum
Caucasum altum et Cytaicam urbem Ææ,
deinceps porro campum Martium, et sacros lucos
huius dei, ubi vellus serpens custodiebat observans
suspensum in frondosis quercus ramis.
Ipse vero Jason aureo in-flumen poculo
vini meraci dulcia fudit libamina
Terræ inquilinisque diis et animabus defunctorum
heroum, supplexque-oravit, innoxii ut-essent adjutores
benevole, atque navis bono-omine retinacula exciperent.
Statim autem Ancæus talia verba locutus-est :
In-Colchicam quidem terram pervenimus et fluenta
Phasidis : tempus igitur *est* nos inter ipsos consultandi,
utrum comiter sollicitare-velimus Æeten,
an etiam alius quidam tutus sit rei-conatus.
Sic fatus-est : Argi autem hortatu Jason
in-alto navem jussit ancoris stabilire
in-umbrosam actam paludem, quæ propinqua erat
navigantibus : ubi illi per noctem dormiverunt.
Aurora autem non multo post desiderantibus apparuit.

ΒΙΒΛΙΟΝ Γ.

Εἰ δ' ἄγε νῦν, Ἐρατώ, παρά θ' ἵστασο, καί μοι ἐνι-
ἔνθεν ὅπως ἐς Ἰωλκὸν ἀνήγαγε κῶας Ἰήσων [σπε
Μηδείης ὑπ' ἔρωτι. Σὺ γὰρ καὶ Κύπριδος αἶσαν
ἔμμορες, ἀδμῆτας δὲ τεοῖς μελεδήμασι θέλγεις
παρθενικάς· τῷ καί τοι ἐπήρατον οὔνομ' ἀνῆπται.
Ὣς οἱ μὲν πυκινοῖσιν ἀνωΐστως δονάκεσσιν
μίμνον ἀριστῆες λελοχημένοι· αἱ δ' ἐνόησαν
Ἥρη Ἀθηναίη τε, Διὸς δ' αὐτοῖο καὶ ἄλλων
ἀθανάτων ἀπονόσφι θεῶν θάλαμόνδε κιοῦσαι
βούλευον· πείραζε δ' Ἀθηναίην πάρος Ἥρη.
Αὐτὴ νῦν προτέρη, θύγατερ Διός, ἄρχεο βουλῆς.
Τί χρέος; ἠὲ δόλον τινὰ μήσεαι, ᾧ κεν ἑλόντες
χρύσεον Αἰήταο μεθ' Ἑλλάδα κῶας ἄγοιντο;
ἦ καὶ τόν γ' ἐπέεσσι παραιφάμενοι πεπίθοιεν
μειλιχίοις; Ἦ μὲν γὰρ ὑπερφίαλος πέλει αἰνῶς.
Ἔμπης δ' οὔ τινα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν.
Ὣς φάτο· τὴν δὲ παρᾶσσον Ἀθηναίη προσέειπεν·
Καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετὰ φρεσὶν ὁρμαίνουσαν,
Ἥρη, ἀπηλεγέως ἐξείρεαι. Ἀλλά τοι οὔπω
φράσσασθαι νοέω τοῦτον δόλον, ὅστις ὀνήσει
θυμὸν ἀριστήων· πολέας δ' ἐπεδοίασα βουλάς. [ξαν
Ἦ καὶ ἐπ' οὔδεος αἵγε ποδῶν πάρος ὄμματ' ἔπη-
ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν· αὐτίκα δ' Ἥρη
τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον. [φω
Δεῦρ' ἴομεν μετὰ Κύπριν· ἐπιπλόμεναι δέ μιν ἄμ-
παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν, αἴ κε πίθηται
κούρην Αἰήτεω πολυφάρμακον οἷσι βέλεσσι
θέλξαι ὀϊστεύσας ἐπ' Ἰήσονι. Τὸν δ' ἂν ὀΐω

LIBER III.

Age nunc, Erato, ades, atque mihi dic,
inde quemadmodum Iolcum deportaverit vellus Jason
Medeæ amore *adjutus*. Tu enim etiam Veneris sortem
nacta-es, innuptasque tuis curis delinis
virgines : unde etiam tibi amabile nomen impositum-est.
Sic inter densas, nemine-observante, arundines
manserunt heroes absconditi ; senserunt vero
Juno atque Minerva, et ab-Jove ipso aliisque
immortalibus sejunctæ diis, thalamum ingressæ
consultarunt : tentabat autem Minervam prius Juno :
Ipsa nunc prior, filia Jovis, incipe consulere,
quid faciendum-sit ? num dolum quemnam excogitabis,
quo captum] aureum Æetæ in Græciam vellus reportent ?
an etiam illum verbis decipientes persuasuri-sint
blandis ? Profecto enim violentus est nimium.
Tamen nullum periculum prætermittere decet.
Sic fata-est : illam vero celeriter Minerva allocuta-est :
Atqui ipsam me talia animo agitantem,
Juno, diligenter interrogas. At vero nondum
excogitasse *me* sentio eum dolum, qui adjuturus-sit
animum heroum : multa vero volutavi consilia.
His dictis in solo ante pedes oculos defixerunt,
diversimode cogitantes secum : mox vero Juno
talem deliberans prior elocuta-est sermonem :
Age, eamus ad Venerem : aggredientes vero eam ambæ,] ut suo filio præcipiat, hortabimur, si modo voluerit
filiam Æetæ veneficiorum-peritam suis telis
ictam allicere ad Jasonem : hunc vero puto

κείνης ἐννεσίῃσιν ἐς Ἑλλάδα κῶας ἀνάξειν.
Ὣς ἄρ' ἔφη· πυκινὴ δὲ συνεύαδε μῆτις Ἀθήνῃ,
καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν·
Ἥρη, νήϊδα μέν με πατὴρ τέκε τοῖο βολάων,
οὐδέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
Εἰ δέ σοι αὐτῇ μῦθος ἐφανδάνει, ἦ τ' ἂν ἔγωγε
ἑσποίμην· σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα.
Ἦ καὶ ἀναΐξασαι ἐπὶ μέγα δῶμα νέοντο
Κύπριδος, ὅ ῥά τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις,
ὁππότε μιν τὰ πρῶτα παραὶ Διὸς ἦγεν ἄκοιτιν.
Ἕρκεα δ' εἰσελθοῦσαι ὑπ' αἰθούσῃ θαλάμοιο
ἔσταν, ἵν' ἐντύνεσκε θεὰ λέχος Ἡφαίστοιο.
Ἀλλ' ὁ μὲν ἐς χαλκεῶνα καὶ ἄκμονας ἦρι βεβήκει
νήσοιο πλαγκτῆς εὐρὺν μυχόν, ᾧ ἔνι πάντα
δαίδαλα χάλκευεν ῥιπῇ πυρός· ἡ δ' ἄρα μούνη
ἧστο δόμῳ δινωτὸν ἀνὰ θρόνον ἄντα θυράων.
Λευκοῖσιν δ' ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις
κόσμει χρυσείῃ διὰ κερκίδι, μέλλε δὲ μακροὺς
πλέξασθαι πλοκάμους· τὰς δὲ προπάροιθεν ἰδοῦσα
ἔσχεθεν, εἴσω τέ σφ' ἐκάλει, καὶ ἀπὸ θρόνου ὦρτο,
εἷσέ τ' ἐνὶ κλισμοῖσιν· ἀτὰρ μετέπειτα καὶ αὐτὴ
ἵζανεν, ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
Τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν·
Ἠθεῖαι, τίς δεῦρο νόος χρειώ τε κομίζει
δηναιὰς αὔτως; τί δ' ἱκάνετον, οὔ τι πάρος γε
λίην φοιτίζουσαι, ἐπεὶ περίεστε θεάων;
Τὴν δ' Ἥρη τοίοισιν ἀμειβομένη προσέειπεν·
Κερτομέεις· νῶϊν δὲ κέαρ συνορίνεται ἄτῃ.
Ἤδη γὰρ ποταμῷ ἐνὶ Φάσιδι νῆα κατίσχει
Αἰσονίδης ἠδ' ἄλλοι ὅσοι μετὰ κῶας ἕπονται.
Τῶν ἤτοι πάντων μέν, ἐπεὶ πέλας ἔργον ὄρωρεν,
δείδιμεν ἐκπάγλως, περὶ δ' Αἰσονίδαο μάλιστα.
Τὸν μὲν ἐγών, εἰ καί περ ἐς Ἄϊδα ναυτίλληται
λυσόμενος χαλκέων Ἰξίονα νειόθι δεσμῶν,
ῥύσομαι, ὅσσον ἐμοῖσιν ἐνὶ σθένος ἔπλετο γυίοις,
ὄφρα μὴ ἐγγελάσῃ Πελίης κακὸν οἶτον ἀλύξας,
ὅς μ' ὑπερηνορέῃ θυέων ἀγέραστον ἔθηκεν.
Καὶ δ' ἄλλως ἔτι καὶ πρὶν ἐμοὶ μέγα φίλατ' Ἰήσων,
ἐξότ' ἐπὶ προχοῇσιν ἅλις πλήθοντος Ἀναύρου
ἀνδρῶν εὐνομίης πειρωμένῃ ἀντεβόλησεν
θήρης ἐξανιών· νιφετῷ δ' ἐπαλύνετο πάντα
οὔρεα καὶ σκοπιαὶ περιμήκεες, οἱ δὲ κατ' αὐτῶν
χείμαρροι καναχηδὰ κυλινδόμενοι φορέοντο.
Γρηῒ δέ μ' εἰσαμένην ὀλοφύρατο, καί μ' ἀναείρας
αὐτὸς ἑοῖς ὤμοισι διὲκ προαλὲς φέρεν ὕδωρ.
Τῷ νύ μοι ἄλληκτον περιτίεται· οὐδέ κε λώβην
τίσειεν Πελίης, εἰ μή σύ γε νόστον ὀπάσσεις.
Ὣς ηὔδα· Κύπριν δ' ἐνεοστασίη λάβε μύθων.
Ἅζετο δ' ἀντομένην Ἥρην ἔθεν εἰσορόωσα,
καί μιν ἔπειτ' ἀγανοῖσι προσέννεπεν ἥ γ' ἐπέεσσιν·
Πότνα θεά, μή τοί τι κακώτερον ἄλλο πέλοιτο
Κύπριδος, εἰ δὴ σεῖο λιλαιομένης ἀθερίζω
ἢ ἔπος, ἠέ τι ἔργον, ὅ κεν χέρες αἵγε κάμοιεν
ἠπεδαναί· καὶ μή τις ἀμοιβαίη χάρις ἔστω.

illius consiliis in Græciam vellus reportarum-esse.
Sic dixit : prudens vero placuit consilium Minervæ,
atque ei deinde rursus respondit suavibus *verbis :*
Juno, insciam me quidem pater genuit hujus (*Cupidi-dis*) ictuum,] neque aliquam rem novi conciliatricem amoris.] Si vero tibi ipsi sententia placet, certe ego
sequar : tu vero verba facies, ubi-conveneris.
His dictis prosilientes ad magnam domum contenderunt
Veneris, quam ei exstruxerat maritus claudus,
quum eam primum a Jove duceret conjugem.
Septa ingressæ sub atrio thalami
constiterunt, ubi adornare-solebat dea lectum Vulcani.
At ille ad officinam-ærariam et incudes mane abierat
insulæ errantis (*Liparæ*) ad-latum recessum, in quo
omnia] artificiosa ex-ære-fabricabat vi ignis : illa igitur sola
sedebat domi tornato in solio, ex-adverso forium.
Candidis vero utrimque comas immissas humeris
ornabat aureo pectine, eratque longos
plicatura cincinnos : illas vero coram conspicata
destitit, introque eas vocavit, et de solio exsiluit,
collocavitque *eas* in sellis : at deinde etiam ipsa
consedit, impexosque manibus religavit crines.
Ita autem subridens allocuta-est blandis *verbis :*
Venerandæ, quæ huc sententia et res ducit *vos*
post-longum-tempus tandem ? cur vero venistis, non antea
quidem] valde frequenter-*me*-convenientes, cum superiores sitis inter-deas ?] Eam Juno talibus *verbis* respondens
allocuta-est :] Cavillaris : nobis vero animus commovetur
calamitate.] Jam enim in fluvio Phaside navem detinent
Jason et cæteri, quotquot ad vellus *auferendum* sequuntur.] His quidem omnibus, cum prope labor instet,
metuimus vehementer, Æsonidæ autem maxime :
quem ego quidem, si vel in Orcum navigarit,
soluturus a-ferreis Ixionem infra (*apud inferos*) vinculis,
liberabo, quantum in meis robur inest membris,
ne derideat Pelias, malo fato evitato,
qui me arroganter sacrorum honoris-expertem fecit.
Sed præterea etiam jam antea mihi valde carus-fuit Jason,
ex-quo ad ostia admodum redundantis Anauri
mihi hominum probitatem exploraturæ occurrit
a-venatione revertens : nive albescebant omnes
montes et speculæ altissimæ, ex-ipsis autem
torrentes cum-strepitu devoluti ferebantur.
Anui vero me similem-factam miseratus-est, meque sublatam] ipse suis humeris per præcipitem portavit aquam.
Quare mihi nunquam-non colitur : neque vero pœnam
dabit Pelias, nisi tu quidem reditum *Jasonis* effeceris.
Sic locuta-est : Venerem autem hæsitatio cepit verborum :] venerata-vero est Junonem supplicare sibi videns
atque eam postea blandis allocuta-est verbis :
Veneranda dea, nihil profecto pejus aliud fuerit
Venere, si quidem te cupientem repudiaverim
aut dictum, aut factum, quod manus hæ perficere-possent
imbelles : neve aliqua mutua gratia sit.

Ὥς ἔφαθ'· Ἥρη δ' αὖτις ἐπιφραδέως ἀγόρευσεν·
Οὔ τι βίης χατέουσαι ἱκάνομεν, οὐδέ τι χειρῶν.
Ἀλλ' αὔτως ἀκέουσα τεῷ ἐπικέκλεο παιδὶ,
παρθένον Αἰήτεω θέλξαι πόθῳ Αἰσονίδαο.
Εἰ γάρ οἱ κείνη συμφράσσεται εὐμενέουσα,
ῥηϊδίως μιν ἑλόντα δέρος χρύσειον ὀΐω
νοστήσειν ἐς Ἰωλκὸν, ἐπεὶ δολόεσσα τέτυκται.
Ὥς ἄρ' ἔφη· Κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν·
Ἥρη, Ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα,
ἢ ἐμοί. Ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι
τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν· αὐτὰρ ἐμεῖο
οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.
Καὶ δή οἱ μενέηνα περισχομένη κακότητι
αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀϊστοὺς
ἀμφαδίην. Τοῖον γὰρ ἐπηπείλησε χαλεφθεὶς,
εἰ μὴ τηλόθι χεῖρας, ἕως ἔτι θυμὸν ἐρύκει,
ἕξω ἐμὰς, μετέπειτά γ' ἀτεμβοίμην ἑοῖ αὐτῇ.
Ὥς φάτο· μείδησαν δὲ θεαὶ, καὶ ἐσέδρακον ἄντην
ἀλλήλαις. Ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν·
Ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει· οὐδέ τί με χρὴ
μυθεῖσθαι πάντεσσιν· ἅλις εἰδυῖα καὶ αὐτή.
Νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσιν,
πειρήσω, καί μιν μειλίξομαι, οὐδ' ἀπιθήσει.
Ὥς φάτο· τὴν δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρὸς,
ἦκα δὲ μειδιόωσα παραβλήδην προσέειπεν·
Οὕτω νῦν, Κυθέρεια, τόδε χρέος, ὡς ἀγορεύεις,
ἔρξον ἄφαρ· καὶ μή τι χαλέπτεο, μηδ' ἐρίδαινε
χωομένη σῷ παιδί· μεταλλήξει γὰρ ὀπίσσω.
Ἦ ῥα καὶ ἔλλιπε θῶκον· ἐφωμάρτησε δ' Ἀθήνη.
Ἐκ δ' ἴσαν ἄμφω ταί γε παλίσσυτοι. Ἡ δὲ καὶ αὐτὴ
βῆ ῥ' ἴμεν Οὐλύμποιο κατὰ πτύχας, εἴ μιν ἐφεύροι.
Εὗρε δὲ τόν γ' ἀπάνευθε Διὸς θαλερῇ ἐν ἀλωῇ,
οὐκ οἶον, μετὰ καὶ Γανυμήδεα, τόν ῥα ποτὲ Ζεὺς
οὐρανῷ ἐγκατένασσεν ἐφέστιον ἀθανάτοισιν,
κάλλεος ἱμερθείς. Ἀμφ' ἀστραγάλοισι δὲ τώ γε
χρυσείοις, ἅτε κοῦροι ὁμήθεες, ἑψιόωντο.
Καὶ ῥ' ὁ μὲν ἤδη πάμπαν ἐνίπλεον ᾧ ὑπὸ μαζῷ
μάργος Ἔρως λαιῆς ὑποΐσχανε χειρὸς ἀγοστὸν,
ὀρθὸς ἐφεστηώς· γλυκερὸν δέ οἱ ἀμφὶ παρειὰς
χροιῇ θάλλεν ἔρευθος. Ὁ δ' ἐγγύθεν ὀκλαδὸν ἧστο
σῖγα κατηφιόων· δοιὼ δ' ἔχεν, ἄλλον ἔθ' αὔτως
ἄλλῳ ἐπιπροϊεὶς, κεχόλωτο δὲ καγχαλόωντι.
Καὶ μὴν τούς γε παρᾶσσον ἐπὶ προτέροισιν ὀλέσσας
βῆ κενεαῖς σὺν χερσὶν ἀμήχανος, οὐδ' ἐνόησεν
Κύπριν ἐπιπλομένην. Ἡ δ' ἀντίη ἵστατο παιδὸς
καί μιν ἄφαρ γναθμοῖο κατασχομένη προσέειπεν.
Τίπτ' ἐπιμειδιάᾳς, ἄφατον κακόν; ἠέ μιν αὔτως
ἤπαφες οὐδὲ δίκῃ περιέπλεο νῆϊν ἐόντα;
Εἰ δ' ἄγε μοι πρόφρων τέλεσον χρέος, ὅττι κεν εἴπω·
καί κέν τοι ὀπάσαιμι Διὸς περικαλλὲς ἄθυρμα,
κεῖνο, τό οἱ ποίησε φίλη τροφὸς Ἀδρήστεια
ἄντρῳ ἐν Ἰδαίῳ ἔτι νήπια κουρίζοντι,
σφαῖραν ἐΰτροχαλον, τῆς οὐ σύ γε μείλιον ἄλλο
χειρῶν Ἡφαίστοιο κατακτεατίσσῃ ἄρειον.

Sic locuta-est: Juno autem porro prudenter dixit:
Non vim desiderantes venimus, neque manus.
Immo sic quieta tuum jube filium
filiam Æetæ delinire amore Jasonis.
Si enim cum-eo hæc consenserit benevola,
facile ipsum capto vellere aureo spero
reversurum-esse Iolcum, quoniam callida est.
Sic igitur dixit. Venus autem utrique respondit:
Juno et Minerva, parebit vobis quidem magis,
quam mihi. Vestris enim ei, quamvis impudenti,
parvula certe erit reverentia in oculis: at me
non observat, sed valde semper rixans spernit.
Atqui ei maxime-volui, accensa indignatione,
cum-ipso arcu male-sonantes frangere sagittas
palam. Ita enim comminatus-est succensens,
nisi procul manus, dum adhuc iram contineret,
habuerim meas, postea *me* accusaturam-esse memet-ipsam.] Sic dixit: subriserunt vero deæ, et intuitæ-sunt
contra] se-invicem. Illa autem rursus tristis locuta-est:
Aliis dolores mei risui sunt: neque me decet
narrare omnibus: satis-est quod-sciam ipsa.
Nunc quoniam vobis gratum hoc est ambabus,
periculum-faciam, atque eum demulcebo, neque abnuet.
Sic dixit: ejus vero Juno mollem apprehendit manum,
leniter vero ridens vicissim respondit:
Ita nunc, Cythereia, hoc negotium, ut dicis,
perfice celeriter: ac neve indignare, neve rixare
irata tuo filio: cedet enim postea.
His igitur dictis reliquit sellam, comitataque-est Minerva.
Exierunt vero ambæ illæ reversuræ. Atque etiam ipsa
(*Venus*)] abiit per Olympi recessus, si forte illum (*Cupidinem*) deprehendat.] Invenit vero eum seorsum Jovis florido in campo,] non solum, verum una Ganymedem, quem
aliquando Jupiter] in cœlum transtulerat contubernalem
deorum,] pulchritudinis desiderio-impulsus. Talis autem
illi] aureis, ut pueri familiares, ludebant.
Atque jam omnino plenam sub mamilla
protervus Amor sinistræ tenuit manus volam
rectus stans: suavis autem ei circa genas
in-cute florebat rubor. Ille autem prope genibus-flexis insedit] tacite mœrens: duos enim habuit *talos*, alio temere
post alium jacto; irascebatur vero cachinnanti.
Atque illis etiam mox post priores perditis
abiit vacuis manibus inops, neque sensit
Venerem accedere. Ea coram stetit filio,
eumque statim maxillam *ejus* tenens allocuta-est:
Quid rides, infandum malum? num eum sic
decepisti, neque juste superasti imperitum?
Age vero mihi promptus perfice negotium, quod jussero:
atque tibi donabo Jovis pulcherrimum ludicrum
illud, quod ei fecerat cara nutrix, Adrastea,
antro in Idæo adhuc pueriliter ludenti,
sphæram rotundam, qua nullum tu oblectamentum aliud
a-manibus Vulcani accipias præstantius.

Χρύσεα μέν οἱ κύκλα τετεύχαται· ἀμφὶ δ' ἑκάστῳ
διπλόαι ἁψῖδες περιηγέες εἱλίσσονται·
κρυπταὶ δὲ ῥαφαί εἰσιν· ἕλιξ δ' ἐπιδέδρομε πάσαις
κυανέη. Ἀτὰρ εἴ μιν ἑαῖς ἐνὶ χερσὶ βάλοιο,
ἀστὴρ ὣς φλεγέθοντα δι' ἠέρος ὁλκὸν ἵησιν.
Τήν τοι ἐγὼν ὀπάσω· σὺ δὲ παρθένον Αἰήταο
θέλξον ὀϊστεύσας ἐπ' Ἰήσονι· μηδέ τις ἔστω
ἀμβολίη. Δὴ γάρ κεν ἀφαυροτέρη χάρις εἴη.
Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι.
Μείλια δ' ἔκβαλε πάντα, καὶ ἀμφοτέρῃσι χιτῶνος
νωλεμὲς ἔνθα καὶ ἔνθα θεᾶς ἔχεν ἀμφιμεμαρπώς.
Λίσσετο δ' αἶψα πορεῖν αὐτοσχεδόν· ἡ δ' ἀγανοῖσιν
ἀντομένη μύθοισιν ἐπειρύσσασα παρειὰς
κύσσε ποτισχομένη, καὶ ἀμείβετο μειδιόωσα·
Ἴστω νῦν τόδε σεῖο φίλον κάρη ἠδ' ἐμὸν αὐτῆς,
ἦ μέν τοι δῶρόν γε παρέξομαι οὐδ' ἀπατήσω,
εἴ κεν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο. [εινῷ
Φῆ· ὁ δ' ἄρ' ἀστραγάλους συναμήσατο, κὰδ δὲ φα-
μητρὸς ἑῆς εὖ πάντας ἀριθμήσας βάλε κόλπῳ.
Αὐτίκα δ' ἰοδόκην χρυσέῃ περικάτθετο μίτρῃ
πρέμνῳ κεκλιμένην· ἀνὰ δ' ἀγκύλον εἵλετο τόξον.
Βῆ δὲ διὲκ μεγάροιο Διὸς πάγκαρπον ἀλωήν.
Αὐτὰρ ἔπειτα πύλας ἐξήλυθεν Οὐλύμποιο
αἰθερίας· ἔνθεν δὲ καταιβάτις ἐστὶ κέλευθος
οὐρανίη· δοιὼ δὲ πόλοι ἀνέχουσι κάρηνα
οὐρέων ἠλιβάτων, κορυφαὶ χθονός, ἧχί τ' ἀερθεὶς
ἠέλιος πρώτῃσιν ἐρεύθεται ἀκτίνεσσιν.
Νειόθι δ' ἄλλοτε γαῖα φερέσβιος, ἄστεά τ' ἀνδρῶν
φαίνετο καὶ ποταμῶν ἱεροὶ ῥόοι, ἄλλοτε δ' αὖτε
ἄκριες, ἀμφὶ δὲ πόντος ἀν' αἰθέρα πολλὸν ἰόντι.
Ἥρωες δ' ἀπάνευθεν ἑῆς ἐπὶ σέλμασι νηὸς
ἐν ποταμῷ καθ' ἕλος λελοχημένοι ἠγορόωντο.
Αὐτὸς δ' Αἰσονίδης μετεφώνεεν· οἱ δ' ὑπάκουον
ἠρέμας ᾗ ἐνὶ χώρῃ ἐπισχερὼ ἑδριόωντες.
Ὦ φίλοι, ἤτοι ἐγὼ μὲν ὅ μοι ἐπιανδάνει αὐτῷ
ἐξερέω· τοῦ δ' ὔμμι τέλος κρηῆναι ἔοικεν.
Ξυνὴ γὰρ χρειώ, ξυνοὶ δέ τε μῦθοι ἔασιν
πᾶσιν ὁμῶς· ὁ δὲ σῖγα νόον βουλήν τ' ἀπερύκων
ἴστω καὶ νόστου τόνδε στόλον οἶος ἀπούρας.
Ὧλλοι μὲν κατὰ νῆα σὺν ἔντεσι μίμνεθ' ἕκηλοι·
αὐτὰρ ἐγὼν ἐς δώματ' ἐλεύσομαι Αἰήταο,
υἷας ἑλὼν Φρίξοιο, δύω δ' ἐπὶ τοῖσιν ἑταίρους.
Πειρήσω δ' ἐπέεσσι παροίτερον ἀντιβολήσας,
εἴ κ' ἐθέλοι φιλότητι δέρος χρύσειον ὀπάσσαι,
ἦε καὶ οὔ, πίσυνος δὲ βίῃ μετιόντας ἀτίσσει.
Ὧδε γὰρ ἐξ αὐτοῖο πάρος κακότητα δαέντες
φρασσόμεθ', εἴτ' Ἄρηϊ συνοισόμεθ', εἴτε τις ἄλλη
μῆτις ἐπίρροθος ἔσται ἐεργομένοισιν ἀϋτῆς.
Μηδ' αὔτως ἀλκῇ, πρὶν ἔπεσσί γε πειρηθῆναι,
τόνδ' ἀπαμείρωμεν σφέτερον κτέρας. Ἀλλὰ πάροιθεν
λωΐτερον μύθῳ μιν ἀρέσσασθαι μετιόντας.
Πολλάκι τοι ῥέα μῦθος, ὅ κεν μόλις ἐξανύσειεν
ἠνορέη, τόδ' ἔρεξε κατὰ χρέος, ᾗπερ ἐῴκει
πρηΰνας. Ὁ δὲ καί ποτ' ἀμύμονα Φρίξον ἔδεκτο

Aurei quidem ei circuli facti-sunt : sed circa quemque
duplices annuli orbiculares volvuntur :
occultæ vero juncturæ sunt : zona enim currit - super o-
mnes] cærulea. At si eam tuis manibus conjeceris,
stellæ instar, fulgentem per aerem sulcum ducit.
Hanc tibi ego donabo : tu vero filiam Æetæ
amore-reple, sagitta-percussam, in Jasonem : neque ali-
qua sit] dilatio. Etenim *alias* minor gratia fuerit.
Sic locuta-est : illi gratus sermo erat audienti.
Crepundia igitur abjecit omnia, et utraque tunicam
firmiter hic et illic deæ tenuit arreptam.
Precabatur autem, statim ut-daret illico : illa blandis
exceptum verbis, attrahens genas,
osculata-est complexa, atque respondit ridens :
Testor nunc hoc tuum carum caput, atque meum i-
psius :] certissime tibi donum præbebo, nec decipiam,
si modo infixeris telum filiæ Æetæ.
Dixit : ille igitur talos collegit, et in splendidum
matris suæ bene omnes numeratos conjecit sinum.
Statim vero pharetram aureo alligavit cingulo
ad-arboris-truncum reclinatam : curvumque prehendit ar-
cum.] Abiit vero ex ædibus per Jovis fertilem campum.
At deinde portis exiit Olympi
ætheriis : inde autem declivis est via
cœlestis : duo poli sustinent vertices
montium celsorum, cacumina terræ, ubi ortus
sol primis coruscat radiis.
Infra autem nunc terra frugifera et urbes hominum
conspiciebantur, aut fluviorum sacri fluxus, nunc vero
rursus] cacumina *montium*, et undique pontus, per ae-
rem multum incedenti (*Cupidini*).] Heroes vero seorsum
suæ in transtris navis] in fluvio per paludem subsidentes
consultabant.] Ipse autem Jason allocutus-est *eos* : hi au-
diverunt] quiete suo loco ex-ordine sedentes :
Amici, ego quidem, quod mihi placet ipsi,
eloquar : hoc vos ratum facere convenit.
Commune enim negotium, communes vero etiam sermo-
nes sunt] omnibus una : qui vero tacite mentem et consi-
lium denegaverit,] sciat etiam *se* reditu hanc cohortem
solum privare.] Ceteri igitur in navi cum armis manete
quieti :] ego vero ad ædes proficiscar Æetæ,
filiis assumtis Phrixi, et duobus præter illos sociis.
Periculumque-faciam verbis prius orans,
utrum velit amice vellus aureum concedere,
necne, sed fretus robore adeuntes adspernetur.
Sic enim ab ipso antea malum edocti
consultabimus, num armis confligamus, an quod aliud
consilium commodum fuerit abstinentibus a-prœlio.
Neque temere vi, priusquam verbis tentaverimus,
hunc privemus sua possessione. Immo antea
præstat oratione ipsum demulcere adeuntes.
Sæpe quidem facile oratio, quod vix effecerit
robur, hoc perfecit, pro necessitate, quemadmodum con-
veniebat] deliniens. Is etiam olim insontem Phrixum ex-

μητρυιῆς φεύγοντα δόλον πατρός τε θυηλάς·
πάντες ἐπεὶ πάντη καὶ ὅτις μάλα κύντατος ἀνδρῶν
Ξεινίου αἰδεῖται Ζηνὸς θέμιν ἠδ' ἀλεγίζει.
Ὣς φάτ'· ἐπήνησαν δὲ νέοι ἔπος Αἰσονίδαο
πασσυδίῃ, οὐδ' ἔσκε παρὲξ ὅτις ἄλλο κελεύοι.
Καὶ τότ' ἄρ' υἱῆας Φρίξου, Τελαμῶνά θ' ἕπεσθαι
ὦρσε καὶ Αὐγείην· αὐτὸς δ' ἕλεν Ἑρμείαο
σκῆπτρον· ἄφαρ δ' ἀνὰ νηὸς ὑπὲρ δόνακάς τε καὶ ὕδωρ
χέρσονδ' ἐξαπέβησαν ἐπὶ θρωσμοῦ πεδίοιο.
Κιρκαῖον τόδε που κικλήσκεται· ἔνθα δὲ πολλαὶ
ἑξείης πρόμαλοί τε καὶ ἰτέαι ἐκπεφύασιν,
τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται
δέσμιοι. Εἰσέτι νῦν γὰρ ἄγος Κόλχοισιν ὄρωρεν
ἀνέρας οἰχομένους πυρὶ καιέμεν· οὐδ' ἐνὶ γαίῃ
ἔστι θέμις στείλαντας ὕπερθ' ἐπὶ σῆμα χέεσθαι,
ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις
δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος. Ἠέρι δ' ἴσην
καὶ χθὼν ἔμμορεν αἶσαν, ἐπεὶ χθονὶ ταρχύουσιν
θηλυτέρας· ἡ γάρ τε δίκη θεσμοῖο τέτυκται.
Τοῖσι δὲ νισσομένοις Ἥρη φίλα μητιόωσα
ἠέρα πουλὺν ἐφῆκε δι' αἰθέρος, ὄφρα λάθοιεν
Κόλχων μυρίον ἔθνος ἐς Αἰήταο κιόντες·
ὦκα δ' ὅτ' ἐκ πεδίοιο πόλιν καὶ δώμαθ' ἵκοντο
Αἰήτεω, τότε δ' αὖτις ἀπεσκέδασεν νέφος Ἥρη.
Ἔσταν δ' ἐν προμολῇσι τεθηπότες ἕρκε' ἄνακτος
εὐρείας τε πύλας καὶ κίονας, οἳ περὶ τοίχους
ἑξείης ἄνεχον· θριγκὸς δ' ἐφύπερθε δόμοιο
λαΐνεος χαλκέῃσιν ἐπὶ γλυφίδεσσιν ἀρήρει.
Εὔκηλοι δ' ὑπὲρ οὐδὸν ἔπειτ' ἔβαν. Ἄγχι δὲ τοῖο
ἡμερίδες χλοεροῖσι καταστεφέες πετάλοισιν
ὑψοῦ ἀειρόμεναι μέγ' ἐθήλεον. Αἱ δ' ὑπὸ τῇσιν
ἀέναοι κρῆναι πίσυρες ῥέον, ἃς ἐλάχηνεν
Ἥφαιστος. Καί ῥ' ἡ μὲν ἀναβλύεσκε γάλακτι,
ἡ δ' οἴνῳ, τριτάτη δὲ θυώδεϊ νᾶεν ἀλοιφῇ·
ἡ δ' ἄρ' ὕδωρ προρέεσκε, τὸ μέν ποθι δυομένῃσιν
θέρμετο Πληϊάδεσσιν, ἀμοιβηδὶς δ' ἀνιούσαις
κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης.
Τοῖ' ἄρ' ἐνὶ μεγάροισι Κυταιέος Αἰήταο
τεχνήεις Ἥφαιστος ἐμήσατο θέσκελα ἔργα.
Καί οἱ χαλκόποδας ταύρους κάμε, χάλκεα δὲ σφέων
ἦν στόματ', ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκον·
πρὸς δὲ καὶ αὐτόγυον στιβαροῦ ἀδάμαντος ἄροτρον
ἤλασεν, Ἠελίῳ τίνων χάριν, ὅς ῥά μιν ἵπποις
δέξατο, Φλεγραίῃ κεκμηότα δηϊοτῆτι.
Ἔνθα δὲ καὶ μέσσαυλος ἐλήλατο· τῇ δ' ἔπι πολλαὶ
δικλίδες εὐπηγεῖς θάλαμοί τ' ἔσαν ἔνθα καὶ ἔνθα·
δαιδαλέη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο.
Λέχρις δ' αἰπύτεροι δόμοι ἕστασαν ἀμφοτέρωθεν.
Τῶν ἤτοι ἄλλον μέν, ὅτις καὶ ὑπείροχος ἦεν,
κρείων Αἰήτης σὺν ἑῇ ναίεσκε δάμαρτι·
ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάϊς Αἰήταο,
τὸν μὲν Καυκασίη Νύμφη τέκεν Ἀστερόδεια,
πρίν περ κουριδίην θέσθαι Εἰδυῖαν ἄκοιτιν,
Τηθύος Ὠκεανοῦ τε πανοπλοτάτην γεγαυῖαν.

cepit,] novercæ fugientem insidias et patris sacrificia:
quoniam omnes ubique, vel qui impudentissimus est hominum] Hospitalis veretur Jovis jus atque observat.
Sic locutus-est: comprobarunt vero juvenes orationem
Jasonis] omnes-omnino, neque erat seorsum, qui aliud
suaderet.] Atque tum filios Phrixi, et Telamonem sequi se
jussit atque Augeam: ipse vero sumsit Mercurii
baculum: statimque per navem super arundines et aquam
in-terram escenderunt in tumulo campi.
Circæus ille (*campus*) appellatur: ubi multæ
deinceps et vitices et salices enatæ-erant,
in quibus etiam summis cadavera catenis suspenduntur
alligata. Etiamnum enim piaculo Colchis est
viros mortuos igni comburere: neque in terra
est fas humare-et superne tumulum aggerere,
sed crudis involutos taurinis-pellibus
ex arboribus suspendere procul ab-urbe. Sed cum-aere æqualem] etiam terra nacta-est sortem; nam in-terra sepeliunt] feminas: hæc enim ratio legis est.
His progredientibus Juno bene consulens
nebulam multam immisit per ætherem, ut laterent
Colchorum numerosam gentem in Æetæ *palatium* euntes:] celeriter vero quando e campo in-urbem et domos
venerant] Æetæ, tum rursus dissipavit nubem Juno.
Steterunt autem in vestibulo admirantes muros regis
amplasque portas, et columnas, quæ circa parietes
deinceps eminebant: lorica vero super domum
lapidea æreis triglyphis erat-adaptata.
Taciti igitur super limen deinde iverunt. Juxta illud
vites virentibus amictæ foliis
in-altum sublatæ valde florebant. Sub iis
perennes fontes quatuor manabant, quos effoderat
Vulcanus: et alius quidem scatebat lacte,
alius vino, tertius odorato fluebat unguento:
alius (*quartus*) aquam emittebat, quæ ad occidentes
calebat Plejades, vicissim orientibus *illis*
glaciei similis e-cava prosiliebat *petra*.
Talia igitur in palatio Cytæei (*Colchici*) Æetæ
artificiosus Vulcanus elaboraverat divina opera.
Atque ei æripedes tauros fecerat; ærea autem ipsorum
erant ora, e *quibus* ignis horrendam flammam exspirabant:] præterea etiam cum-ipso-dentali e-solido ferro aratrum] fabricaverat, Soli referens gratiam, qui quidem
ipsum curru] exceperat, Phlegræo fatigatum prœlio.
Ibi etiam media-aula exstructa-erat, inque ea multæ
valvæ bene-compactæ, et thalami erant hinc et illinc.
artificiosa autem porticus seorsum ex-utraque-parte erat
-constructa.] Ex-obliquo autem celsiora conclavia stabant
utrimque.] Quorum in-altero, quod et eminentius erat,
rex Æetes cum sua habitabat conjuge:
in altero Absyrtus habitabat filius Æetæ,
quem quidem Caucasia nympha pepererat Asterodea,
priusquam legitimam duxerat Idyiam conjugem,
Tethyis atque Oceani minimam-natu filiam.

Καί μιν Κόλχων υἷες ἐπωνυμίην Φαέθοντα
ἔκλεον, οὕνεκα πᾶσι μετέπρεπεν ἠϊθέοισιν.
Τοὺς δ' ἔχον ἀμφίπολοί τε καὶ Αἰήταο θύγατρες
ἄμφω, Χαλκιόπη Μήδειά τε. Τὴν μὲν ἄρ' οἵ γε
ἐκ θαλάμου θαλαμόνδε κασιγνήτην μετιοῦσαν
(Ἥρη γάρ μιν ἔρυκε δόμῳ· πρὶν δ' οὔ τι θάμιζεν
ἐν μεγάροις, Ἑκάτης δὲ πανήμερος ἀμφεπονεῖτο
νηόν, ἐπεί ῥα θεῆς αὐτὴ πέλεν ἀρήτειρα·)
καὶ σφέας ὡς ἴδεν ἆσσον, ἀνίαχεν· ὀξὺ δ' ἄκουσεν
Χαλκιόπη· δμωαὶ δὲ ποδῶν προπάροιθε βαλοῦσαι
νήματα καὶ κλωστῆρας ἀολλέες ἔκτοθι πᾶσαι
ἔδραμον. Ἡ δ' ἅμα τοῖσιν ἑοὺς υἱῆας ἰδοῦσα
ὑψοῦ χάρματι χεῖρας ἀνέσχεθεν· ὣς δὲ καὶ αὐτοὶ
μητέρα δεξιόωντο καὶ ἀμφαγάπαζον ἰδόντες
γηθόσυνοι· τοῖον δὲ κινυρομένη φάτο μῦθον.
Ἔμπης οὐκ ἄρ' ἐμέλλετ' ἀκηδείῃ με λιπόντες
τηλόθι πλάγξασθαι· μετὰ δ' ὑμέας ἔτραπεν αἶσα.
Δειλὴ ἐγὼ, οἷον πόθον Ἑλλάδος ἔκποθεν ἄτης
λευγαλέης Φρίξοιο ἐφημοσύνῃσιν ἕλεσθε
πατρός; ὁ μὲν θνήσκων στυγερὰς ἐπετείλατ' ἀνίας
ἡμετέρῃ κραδίῃ. Τί δέ κεν πόλιν Ὀρχομενοῖο,
ὅστις ὅδ' Ὀρχομενὸς, κτεάνων Ἀθάμαντος ἕκητι
μητέρ' ἐὴν ἀχέουσαν ἀποπρολιπόντες ἵκοισθε;
Ὣς ἔφατ'· Αἰήτης δὲ πανύστατος ὦρτο θύραζε,
ἐκ δ' αὐτὴ Εἰδυῖα δάμαρ κίεν Αἰήταο
Χαλκιόπης ἀΐουσα· τὸ δ' αὐτίκα πᾶν ὁμάδοιο
ἕρκος ἐπεπλήθει. Τοὶ μὲν μέγαν ἀμφεπένοντο
ταῦρον ἅλις δμῶες· τοὶ δὲ ξύλα κάγκανα χαλκῷ
κόπτον· τοὶ δὲ λοετρὰ πυρὶ ζέον· οὐδέ τις ἦεν,
ὃς καμάτου μεθίεσκεν ὑποδρήσσων βασιλῆϊ.
Τόφρα δ' Ἔρως πολιοῖο δι' ἠέρος ἷξεν ἄφαντος,
τετρηχὼς οἷόν τε νέαις ἐπὶ φορβάσιν οἶστρος
τέλλεται, ὅντε μύωπα βοῶν κλείουσι νομῆες.
Ὦκα δ' ὑπὸ φλιὴν προδόμῳ ἔνι τόξα τανύσσας
ἰοδόκης ἀβλῆτα πολύστονον ἐξέλετ' ἰόν.
Ἐκ δ' ὅγε καρπαλίμοισι λαθὼν ποσὶν οὐδὸν ἄμειψεν
ὀξέα δενδίλλων· αὐτῷ δ' ὑπὸ βαιὸς ἐλυσθεὶς
Αἰσονίδῃ, γλυφίδας μέσσῃ ἐνικάτθετο νευρῇ,
ἰθὺς δ' ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν
ἧκ' ἐπὶ Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν.
Αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
καγχαλόων ἤϊξε· βέλος δ' ἐνεδαίετο κούρῃ
νέρθεν ὑπὸ κραδίῃ φλογὶ εἴκελον· ἀντία δ' αἰεὶ
βάλλεν ἐπ' Αἰσονίδην ἀμαρύγματα, καί οἱ ἄηντο
στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες, οὐδέ τιν' ἄλλην
μνῆστιν ἔχεν, γλυκερῇ δὲ κατείβετο θυμὸν ἀνίῃ.
Ὡς δὲ γυνὴ μαλερῷ περὶ κάρφεα χεύατο δαλῷ
χερνῆτις, τῇπερ ταλασήϊα ἔργα μέμηλεν,
ὥς κεν ὑπωρόφιον νύκτωρ σέλας ἐντύναιτο
ἄγχι μάλ' ἐγρομένη· τὸ δ' ἀθέσφατον ἐξ ὀλίγοιο
δαλοῦ ἀνεγρόμενον σὺν κάρφεα πάντ' ἀμαθύνει·
τοῖος ὑπὸ κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ
οὖλος Ἔρως· ἁπαλὰς δὲ μετετρωπᾶτο παρειὰς
ἐς χλόον, ἄλλοτ' ἔρευθος, ἀκηδείῃσι νόοιο.

Atque illum Colchorum filii cognomine Phaethontem appellarunt, quoniam inter omnes splendebat adolescentes.] Reliqua (*conclavia*) tenuerunt ancillæ, et Æetæ filiæ ambæ, Chalciope et Medea. Hanc igitur illi (*Jason ejusque comites*)] ex thalamo in thalamum ad-sororem euntem (Juno enim eam detinuerat domi : antea enim non frequens-erat]in ædibus, Hecatæ vero per-totum-diem occupabatur] templo, quoniam deæ ipsa erat sacerdos,) *viderunt:*] atque ipsos ut vidit propius, exclamavit : acute audivit] Chalciope : ancillæ autem ante pedes projectis staminibus et fusis confertim foras omnes procurrerunt. Illa autem (*Chalciope*) una cum his suos filios conspiciens] in-altum præ-lætitia manus sustulit : ita vero etiam ipsi] matrem salutarunt et amplexi-sunt conspectam læti : tale vero queribunda dixit verbum :

Nequaquam igitur eratis, neglecta me relicta, longius navigaturi : retro vero vos egit fatum. Me miseram ! quale desiderium Græciæ, ex-ulla-quadam noxa] mala, Phrixi jussu cepistis patris? ille quidem moriens acerbos mandato *suo* inflixit dolores] nostro animo. Cur vero ad-urbem Orchomeni, quicunque ille Orchomenus *fuerit*, bonorum Athamantis causa,] matre vestra lugente relicta, abire-voluistis ?

Sic dixit : Æetes vero postremus exiit foras, atque ipsa Idyia conjux prodiit Æetæ, Chalciopen audiens : statim autem omne tumultu atrium repletum-erat. Alii vasto occupabantur tauro confertim servi : alii ligna arida ferro scindebant : alii lavacra igni calefaciebant : nec quisquam erat,] qui a-labore destiterit, serviens regi.

Interea Amor liquidum per aerem venit non-conspectus, asper quemadmodum juniora armenta œstrus invadit, quem tabanum boum appellant pastores. Statim vero sub postem in vestibulo arcum intendens e-pharetra nondum-emissam luctuosam depromsit sagittam.] Levibusque ille clam pedibus limen transgressus -est,] acute oculis-signans : atque sub ipso parvus convolutus] Jasone, crenas medio imposuit nervo, recta vero utraque distento *arcu* manu immisit Medeæ : cujus stupor occupavit animum. Ipse vero sublimi retro ex palatio ridens abiit : telum autem ardebat in-puella infra sub pectore, flammæ instar : adversa vero semper conjecit in Jasonem oculorum-lumina, atque ei anhelabant e pectoribus crebro præ-dolore præcordia : nec aliam quandam] cogitationem habebat, dulcique tabescebat in-pectore sollicitudine.] Ut vero mulier ardenti stipulas adjicit torri] manu-victum-quærens, cui lanificium curæ-est, ut sub-tecto noctu ignem parare-sibi-possit cito surgens : ille vero (*ignis*) plurimus ex parvo torre exortus stipulas omnes in-cinerem-redigit : talis sub pectore occultatus ardebat clam sævus Amor : teneras vero Medea mutabatur genas in pallorem, nunc ruborem, præ-mœrore animi.

Δμῶες δ' ὁππότε δή σφιν ἐπαρτέα θῆκαν ἐδωδὴν,
αὐτοί τε λιαροῖσιν ἐφαιδρύναντο λοετροῖς,
ἀσπασίως δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσσαν.
Ἐκ δὲ τοῦ Αἰήτης σφετέρης ἐρέεινε θυγατρὸς
υἱῆας, τοίοισι παρηγορέων ἐπέεσσιν·

Παιδὸς ἐμῆς κοῦροι Φρίξοιό τε, τὸν περὶ πάντων
ξείνων ἡμετέροισιν ἐνὶ μεγάροισιν ἔτισα,
πῶς Αἶάνδε νέεσθε παλίσσυτοι, ἠέ τις ἄτη
σωομένοις μεσσηγὺς ἐνέκλασεν; Οὐ μὲν ἐμεῖο
πείθεσθε προφέροντος ἀπείρονα μέτρα κελεύθου.
Ἤδειν γάρ ποτε πατρὸς ἐν ἅρμασιν Ἠελίοιο
δινεύσας, ὅτ' ἐμεῖο κασιγνήτην ἐκόμιζεν
Κίρκην Ἑσπερίης εἴσω χθονὸς, ἐκ δ' ἱκόμεσθα
ἀκτὴν ἠπείρου Τυρσηνίδος, ἔνθ' ἔτι νῦν περ
ναιετάει, μάλα πολλὸν ἀπόπροθι Κολχίδος αἴης.
Ἀλλὰ τί μύθων ἦδος; ἃ δ' ἐν ποσὶν ὔμμιν ὄρωρεν
εἴπατ' ἀριφραδέως, ἠδ' οἵτινες οἵδ' ἐφέπονται
ἀνέρες, ὅππη τε γλαφυρῆς ἐκ νηὸς ἔϐητε.

Τοῖά μιν ἐξερέοντα κασιγνήτων προπάροιθεν
Ἄργος ὑποδδείσας ἀμφὶ στόλῳ Αἰσονίδαο
μειλιχίως προσέειπεν, ἐπεὶ προγενέστερος ἦεν.

Αἰήτη, κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι
ζαχρηεῖς· αὐτοὺς δ' ὑπὸ δούρασι πεπτηῶτας
νήσου Ἐνυαλίοιο ποτὶ ξερὸν ἔκϐαλε κῦμα
λυγαίῃ ὑπὸ νυκτί· θεὸς δέ τις ἄμμε σάωσεν.
Οὐδὲ γὰρ αἳ τοπάροιθεν ἐρημαίην κατὰ νῆσον
ηὐλίζοντ' ὄρνιθες Ἀρήϊαι, οὐδ' ἔτι κείνας
εὕρομεν. Ἀλλ' οἵγ' ἄνδρες ἀπήλασαν ἐξαποϐάντες
νηὸς ἑῆς προτέρῳ ἐνὶ ἤματι· καί σφ' ἀπέρυκεν
ἡμέας οἰκτείρων Ζηνὸς νόος ἠέ τις αἶσα,
αὐτίκ' ἐπεὶ καὶ βρῶσιν ἅλις καὶ εἵματ' ἔδωκαν,
οὔνομά τε Φρίξοιο περικλεὲς εἰσαΐοντες
ἠδ' αὐτοῖο σέθεν· μετὰ γὰρ τεὸν ἄστυ νέονται.
Χρειὼ δ' ἣν ἐθέλῃς ἐξίδμεναι οὔ σ' ἐπικεύσω.
Τόνδε τις ἱέμενος πάτρης ἀπάνευθεν ἐλάσσαι
καὶ κτεάνων βασιλεὺς περιώσιον, οὕνεκεν ἀλκῇ
σφωϊτέρῃ πάντεσσι μετέπρεπεν Αἰολίδῃσιν,
πέμπει δεῦρο νέεσθαι ἀμήχανον· οὐδ' ὑπαλύξειν
στεῦται ἀμειλίκτοιο Διὸς θυμαλγέα μῆνιν
καὶ χόλον, οὐδ' ἄτλητον ἄγος Φρίξοιό τε ποινὰς
Αἰολιδέων γενεὴν, πρὶν ἐς Ἑλλάδα κῶας ἱκέσθαι.
Νῆα δ' Ἀθηναίη Παλλὰς κάμεν, οὐ μάλα τοίην,
οἷαί περ Κόλχοισι μετ' ἀνδράσι νῆες ἔασιν,
τάων αἰνοτάτης ἐπεκύρσαμεν. Ἤλιθα γάρ μιν
λάϐρον ὕδωρ πνοιή τε διέτμαγεν· ἡ δ' ἐνὶ γόμφοις
ἴσχεται, ἢν καὶ πᾶσαι ἐπιϐρίσωσιν ἄελλαι.
Ἶσον δ' ἐξ ἀνέμοιο θέει, καὶ ὅτ' ἀνέρες αὐτοὶ
νωλεμέως χείρεσσιν ἐπισπέρχωσιν ἐρετμοῖς.
Τῇ δ' ἐναγειράμενος Παναχαιΐδος εἴ τι φέριστον
ἡρώων τεὸν ἄστυ μετήλυθε, πόλλ' ἐπαληθεὶς
ἄστεα καὶ πελάγη στυγερῆς ἁλὸς, εἴ οἱ ὀπάσσαις.
Αὐτῷ δ' ὥς κεν ἅδῃ, τὼς ἔσσεται· οὐ γὰρ ἱκάνει
χερσὶ βιησόμενος· μέμονεν δέ τοι ἄξια τίσειν
δωτίνης, αἴων ἐμέθεν μέγα δυσμενέοντας

Servi vero postquam ipsis paratos apposuerunt cibos,
et illi (*Argonautæ*) tepidis nitidi-erant-redditi lavacris,
lubenter et cibo et potu animum recrearunt.
Dehinc vero Æetes suæ interrogavit filiæ
filios, his alloquens verbis:

Natæ meæ filii et Phrixi, quem maxime omnium
hospitum nostris in ædibus colui,
quomodo Æam venitis reduces, aut aliquod malum
redeuntibus in-medio infr·git *iter?* Non mihi quidem
obsecuti-estis, docenti immensa spatia itineris.
Cognoveram enim aliquando patris curru, Solis,
circumvectus, quando meam sororem deportavit
Circen in Hesperiam terram, prevenimusque
ad-littus continentis Tyrrhenæ, ubi etiamnum
habitat, admodum procul a Colchica terra.
Sed quid verbis opus? quæ vero in pedibus (*impedimento*) vobis fuerint], dicite accurate, et quinam hi sequantur
viri, atque quo-loco pulcra e navi egressi-sitis.

Hæc eum interrogantem ante fratres (*fratrum nomine*)
Argus, aliquantum-timens classi Jasonis,
blande allocutus-est, quia natu-maximus erat:

Æeta, illam quidem (*navem*) celeriter diffregerunt pro
cellæ] vehementes, ipsos vero (*nautas*) tabulis illapsos
insulæ Martis ad littus ejecit fluctus
atra sub nocte: deus vero quis nos servavit.
Neque enim, quæ antea deserta in insula
versabantur aves Martiæ, amplius illas,
invenimus. Verum isti viri abegerant egressi
navi sua pridie: atque eos detinuerat
nostri miserta Jovis mens, aut quædam fors:
quandoquidem statim et ciborum satis et vestium dede-
runt,] nomine et Phrixi inclyto audito
et tuo ipsius: tuam enim urbem petunt.
Causam autem si velis scire, non te celabo.
Hunc quidam cupiens a patria abigere
et possessionibus rex mirum-in-modum, quoniam robore
suo inter omnes eminet Æolidas,
mittit huc qui-proficiscatur coactus: neque effugituram
affirmat immitis Jovis luctuosam iram
atque indignationem, nec grave piaculum et Phrixi (*Phrixo
dandas*) pœnas,] Æolidarum gentem, priusquam in Græ-
ciam vellus redierit]. Navem autem Pallas Minerva fabri-
cavit, non omnino talem,] quales inter Colchos viros naves
sunt], quarum pessimam nacti-sumus. Facile enim illam
vehemens unda et ventus diffregerunt: hæc autem clavis
continetur, si vel omnes irruerint procellæ.
Æque autem vento *impellente* currit, et quando viri ipsi
indesinenter manibus urgent remos.
In hanc congregatis ex-omni-Græcia si qui præstantissimi
erant] heroum, in-tuam urbem venit, multas pervagatus
urbes atque æquora horrendi maris, si-forte ei *vellus*
concedere-volueris.] Ipsi (*tibi*) vero, ut placuerit, ita eve-
niet: neque enim venit] manibus expugnaturus: consti-
tuit autem tibi dignas referre-gratias] dono, cum-audiverit

Σαυρομάτας, τοὺς σοῖσιν ὑπὸ σκήπτροισι δαμάσσει.
Εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις γενεήν τε
ἴδμεναι, οἵτινες εἰσὶν, ἕκαστά γε μυθησαίμην.
Τόνδε μὲν, οἷό περ οὕνεκ' ἀφ' Ἑλλάδος ὦλλοι ἄγερθεν
κλείουσ' Αἴσονος υἱὸν Ἰήσονα Κρηθείδαο.
Εἰ δ' αὐτοῦ Κρηθῆος ἐτήτυμόν ἐστι γενέθλης,
οὕτω κεν γνωτὸς πατρώϊος ἄμμι πέλοιτο.
Ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἷες·
Φρίξος δ' αὖτ' Ἀθάμαντος ἔην παῖς Αἰολίδαο.
Τόνδε δ' ἄρ', Ἠελίου γόνον ἔμμεναι εἴ τιν' ἀκούεις,
δέρκεαι Αὐγείην· Τελαμὼν δ' ὅγε, κυδίστοιο
Αἰακοῦ ἐκγεγαώς· Ζεὺς δ' Αἰακὸν αὐτὸς ἔτικτεν.
Ὣς δὲ καὶ ὦλλοι πάντες, ὅσοι συνέπονται ἑταῖροι,
ἀθανάτων υἷές τε καὶ υἱωνοὶ γεγάασιν.
Τοῖα παρέννεπεν Ἄργος· ἄναξ δ' ἐπεχώσατο μύθοις
εἰσαΐων· ὑψοῦ δὲ χόλῳ φρένες ἠερέθοντο.
Φῆ δ' ἐπαλαστήσας· μενέηνε δὲ παισὶ μάλιστα
Χαλκιόπης· τῶν γάρ σφε μετελθέμεν οὕνεκ' ἐώλπει·
ἐκ δέ οἱ ὄμματ' ἔλαμψεν ὑπ' ὀφρύσιν ἱεμένοιο.
Οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀπόπροθι, λωβητῆρες,
νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης,
πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι;
Αὐτίχ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος οὐκ ἐπὶ κῶας,
σκῆπτρα δὲ καὶ τιμὴν βασιληΐδα δεῦρο νέεσθε.
Εἰ δέ κε μὴ προπάροιθεν ἐμῆς ἥψασθε τραπέζης,
ἦτ' ἂν ἀπὸ γλώσσας τε ταμὼν καὶ χεῖρε κεάσσας
ἀμφοτέρας, οἴοισιν ἐπιπροέηκα πόδεσσιν,
ὥς κεν ἐρητύοισθε καὶ ὕστερον ὁρμηθῆναι·
οἷα δὲ καὶ μακάρεσσιν ἐπεψεύσασθε θεοῖσιν.
Φῆ ῥα χαλεψάμενος· μέγα δὲ φρένες Αἰακίδαο
νειόθεν οἰδαίνεσκον· ἐέλδετο δ' ἔνδοθι θυμὸς
ἀντιβίην ὀλοὸν φάσθαι ἔπος· ἀλλ' ἀπέρυκεν
Αἰσονίδης· πρὸ γὰρ αὐτὸς ἀμείψατο μειλιχίοισιν.
Αἰήτη, σχέο μοι τῷδε στόλῳ. Οὔ τι γὰρ αὔτως
ἄστυ τεὸν καὶ δώμαθ' ἱκάνομεν, ὥς που ἔολπας,
οὐδὲ μὲν ἱέμενοι. Τίς δ' ἂν τόσον οἶδμα περῆσαι
τλαίη ἑκὼν ὀθνεῖον ἐπὶ κτέρας; Ἀλλά με δαίμων
καὶ κρυερὴ βασιλῆος ἀτασθάλου ὦρσεν ἐφετμή.
Δὸς χάριν ἀντομένοισι· σέθεν δ' ἐγὼ Ἑλλάδι πάσῃ
θεσπεσίην οἴσω κληηδόνα· καὶ δέ τοι ἤδη
πρόφρονές εἰμεν Ἄρηϊ θοὴν ἀποτῖσαι ἀμοιβὴν,
Εἴτ' οὖν Σαυρομάτας γε λιλαίεαι, εἴτε τιν' ἄλλον
δῆμον σφωϊτέροισιν ὑπὸ σκήπτροισι δαμάσσαι.
Ἴσκεν ὑποσσαίνων ἀγανῇ ὀπί· τοῖο δὲ θυμὸς
διχθαδίην πόρφυρεν ἐνὶ στήθεσσι μενοινὴν,
ἤ σφέας ὁρμηθεὶς αὐτοσχεδὸν ἐξεναρίξοι,
ἦ ὅγε πειρήσαιτο βίης. Τό οἱ εἴσατ' ἄρειον
φραζομένῳ· καὶ δή μιν ὑποβλήδην προσέειπεν.
Ξεῖνε, τί καὶ τὰ ἕκαστα διηνεκέως ἀγορεύεις;
Εἰ γὰρ ἐτήτυμόν ἐστε θεῶν γένος, ἠὲ καὶ ἄλλως
οὐδὲν ἐμεῖο χέρηες ἐπ' ὀθνείοισιν ἔβητε,
δώσω τοι χρύσειον ἄγειν δέρος, αἴ κ' ἐθέλησθα,
πειρηθείς. Ἐσθλοῖς γὰρ ἐπ' ἀνδράσιν οὔτι μεγαίρω,
ὡς αὐτοὶ μυθεῖσθε τὸν Ἑλλάδι κοιρανέοντα.

a-me admodum infestos-esse] Sauromatas, quos tua sub
sceptra rediget.] Si vero et nomen scilicet cupis et genus
cognoscere, quinam sint, singula commemorabo.
Illum quidem, cujus causa e Græcia cæteri congregati-sunt,
appellant Æsonis filium Jasonem Cretheidæ.
Quodsi ipsius Crethei vere est de-genere,
sic cognatus paternus nobis fuerit.
Uterque enim et Cretheus et Athamas erant Æoli filii:
Phrixus autem Athamantis erat filius Æolidæ.
Hunc autem, Solis filium si quem esse audis,
vides Augeam: Telamon vero iste, nobilissimo
Æaco natus: Jupiter vero Æacum ipse genuit.
Ita vero etiam reliqui omnes, quotquot *illum* comitantur
socii,] deorum et filii et nepotes sunt.
Talia locutus-est Argus: rex vero indignatus-est sermone] audito: alteque ira mens *ejus* intumuit.
Dixit autem graviter affectus; (irascebatur vero filiis inprimis] Chalciopæ; horum enim causa ipsos advenisse existimabat;] ejusque oculi ardebant sub superciliis imminentis).
Non statim ab oculis mihi longe, scelesti,
discedetis cum-ipsis dolis iterum ex *hac* terra,
priusquam quis et tristem pellem et Phrixum viderit?
Statim profecti ex Græcia, non ad vellus,
sed ad sceptrum atque honorem regium *auferendum* huc
venistis.] Quodsi non antea meam attigissetis mensam,
profecto linguis exsectis manibusque amputatis
ambabus, solis remisissem pedibus,
ut prohiberemini etiam postea impetum facere:
tantopere vero etiam adversus-immortales mentiti-estis
deos.] Dixit succensens: valde autem animus Æacidæ
(*Telamonis*)] ex-imo intumuit: cupiitque intus animus
contra sæva dicere verba: sed prohibuit
Jason: prius enim ipse respondit comiter:
Æeta, cohibe-te in-hac cohorte. Neque enim temere
in-urbem tuam et domos venimus, ut forsan putas,
neque cupiditate-ducti. Quis tantum mare trajicere
sustineat lubens ad *auferenda* aliena bona? Immo me deus
et horrendum regis improbi compulit mandatum.
Da beneficium petentibus: tuam vero ego per Græciam
omnem] immortalem feram laudem: atque etiam tibi jam
parati sumus bello citam rependere gratiam,
sive Sauromatas cupias, sive alium quem
populum tuis imperiis subjicere.
Dixit, demulcens miti voce: hujus vero animus
duplicem versabat in pectoribus sententiam,
utrum eos adortus illico interficeret,
an periculum-faceret virium. Quod ei videbatur melius
cogitanti: atqui illum vicissim allocutus-est.
Hospes, cur singula diligenter eloqueris?
Si enim vere estis deorum ex-genere, aut etiam alio modo
non me deteriores propter aliena venistis,
dabo tibi aureum absportandum vellus, si volueris,
periculo-facto. Fortibus enim viris non invideo,
qualem ipsi dicitis Græciæ regem.

Πεῖρα δέ τοι μένεός τε καὶ ἀλκῆς ἔσσετ' ἄεθλος,
τόν ῥ' αὐτὸς περίειμι χεροῖν, ὀλοόν περ ἐόντα.
Δοιώ μοι πεδίον τὸ Ἀρήϊον ἀμφινέμονται
ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντες·
τοὺς ἐλάω ζεύξας στυφελὴν κατὰ νειὸν Ἄρηος
τετράγυον, τὴν αἶψα ταμὼν ἐπὶ τέλσον ἀρότρῳ,
οὐ σπόρον ὁλκοῖσιν Δηοῦς ἐνιβάλλομαι ἀκτήν,
ἀλλ' ὄφιος δεινοῖο μεταλδήσκοντας ὀδόντας
ἀνδράσι τευχηστῇσι δέμας· τοὺς δ' αὖθι δαΐζων
κείρω ἐμῷ ὑπὸ δουρὶ περισταδὸν ἀντιόωντας.
Ἠέριος ζεύγνυμι βόας, καὶ δείελον ὥρην
παύομαι ἀμήτοιο. Σὺ δ', εἰ τάδε τοῖα τελέσσεις,
αὐτῆμαρ τόδε κῶας ἀποίσεαι εἰς βασιλῆος·
πρὶν δέ κεν οὐ δοίην, μηδ' ἔλπεο. Δὴ γὰρ ἀεικὲς
ἄνδρ' ἀγαθὸν γεγαῶτα κακωτέρῳ ἀνέρι εἶξαι.
Ὣς ἄρ' ἔφη· ὁ δὲ σῖγα ποδῶν πάρος ὄμματα πήξας
ἧσθ' αὔτως ἄφθογγος, ἀμηχανέων κακότητι.
Βουλὴν δ' ἀμφὶ πολὺν στρώφα χρόνον, οὐδέ πη εἶχεν
θαρσαλέως ὑποδέχθαι, ἐπεὶ μέγα φαίνετο ἔργον·
ὀψὲ δ' ἀμειβόμενος προσελέξατο κερδαλέοισιν.
Αἰήτη, μάλα τοί με δίκη περιπολλὸν ἐέργεις.
Τῷ καὶ ἐγὼ τὸν ἄεθλον ὑπερφίαλόν περ ἐόντα
τλήσομαι, εἰ καί μοι θανέειν μόρος. Οὐ γὰρ ἔτ' ἄλλο
ῥίγιον ἀνθρώποισι κακῆς ἐπικείσετ' ἀνάγκης,
ἥ με καὶ ἐνθάδε νεῖσθαι ἐπέχραεν ἐκ βασιλῆος.
Ὣς φάτ' ἀμηχανίῃ βεβολημένος· αὐτὰρ ὁ τόν γε
σμερδαλέοις ἐπέεσσι προσέννεπεν ἀσχαλόωντα.
Ἔρχεο νῦν μεθ' ὅμιλον, ἐπεὶ μέμονάς γε πόνοιο·
εἰ δὲ σύ γε ζυγὰ βουσὶν ὑποδδείσαις ἐπαεῖραι,
ἠὲ καὶ οὐλομένου μεταχάσσεαι ἀμήτοιο,
αὐτῷ κεν τὰ ἕκαστα μέλοιτό μοι, ὄφρα καὶ ἄλλος
ἀνὴρ ἐρρίγῃσιν ἀρείονα φῶτα μετελθεῖν.
Ἴσκεν ἀπηλεγέως· ὁ δ' ἀπὸ θρόνου ὤρνυτ' Ἰήσων,
Αὐγείης Τελαμών τε παρασχεδόν· εἵπετο δ' Ἄργος
οἶος, ἐπεὶ μεσσηγὺς ἔτ' αὐτόθι νεῦσε λιπέσθαι
αὐτοκασιγνήτοις· οἱ δ' ἤεσαν ἐκ μεγάροιο.
Θεσπέσιον δ' ἐν πᾶσι μετέπρεπεν Αἴσονος υἱὸς
κάλλεϊ καὶ χαρίτεσσιν· ἐπ' αὐτῷ δ' ὄμματα κούρη
λοξὰ παρὰ λιπαρὴν σχομένη θηεῖτο καλύπτρην,
κῆρ ἄχεϊ σμύχουσα· νόος δέ οἱ, ἠΰτ' ὄνειρος,
ἑρπύζων πεπότητο μετ' ἴχνια νισσομένοιο.
Καί ῥ' οἱ μέν ῥα δόμων ἐξήλυθον ἀσχαλόωντες.
Χαλκιόπη δὲ χόλον πεφυλαγμένη Αἰήταο
καρπαλίμως θαλαμόνδε σὺν υἱάσιν οἷσι βεβήκει.
Αὔτως δ' αὖ Μήδεια μετέστιχε· πολλὰ δὲ θυμῷ
ὥρμαιν', ὅσσα τ' Ἔρωτες ἐποτρύνουσι μέλεσθαι.
Προπρὸ δ' ἄρ' ὀφθαλμῶν ἔτι οἱ ἰνδάλλετο πάντα,
αὐτός θ' οἷος ἔην, οἵοισί τε φάρεσιν ἕστο,
οἷά τ' ἔειφ', ὥς θ' ἕζετ' ἐπὶ θρόνου, ὥς τε θύραζε
ἤϊεν· οὐδέ τιν' ἄλλον ὀΐσσατο πορφύρουσα
ἔμμεναι ἀνέρα τοῖον· ἐν οὔασι δ' αἰὲν ὀρώρει
αὐδή τε μῦθοί τε μελίφρονες, οὓς ἀγόρευσεν.
Τάρβει δ' ἀμφ' αὐτῷ, μή μιν βόες ἠὲ καὶ αὐτὸς
Αἰήτης φθίσειεν· ὀδύρετο δ' ἠΰτε πάμπαν

Experimentum vero virtutis et roboris erit labor,
quem ipse supero manibus, quamquam sævus est.
Duo mihi in campo Martio pascuntur
tauri æripedes, ore flammam spirantes:
hos ago junctos asperum per novale Martis
quatuor-jugera-continens, quo brevi scisso usque-ad finem
aratro,] non semen sulcis injicio Cereris frugem,
sed serpentis horribilis crescendo-se-convertentes dentes
in-viros armatos specie: quos ibi dilanians
interficio mea hasta undique circumstando adversantes.
Matutinus jungo boves, et snb vesperam
cesso a-messe. Tu vero, si hæc talia perfeceris,
eo-ipso-die hoc vellus asportabis in regis *domos:*
prius autem non dabo, neque spera. Etenim indignum
fuerit,] virum fortem natum deteriori viro cedere.
Sic dixit: ille tacite ad pedes oculis defixis
sedit sic mutus, hæsitans propter-miseram-conditionem.
Consilium autem huc-et-illuc diu versabat, neque potuit
audacter polliceri, quoniam magnum videbatur opus:
sero tamen respondens allocutus-est callide:
Æeta, sane me jure admodum circumcludis.
Quare etiam ego hunc laborem, quamvis ingens sit,
sustinebo, si vel mihi mori fatale-sit. Neque enim aliud
gravius hominibus mala imponetur necessitate,
quæ me etiam huc proficisci coëgit, rege (*Pelia*) auctore.
Sic dixit difficultate *rei* perculsus: at ille hunc
sævis verbis allocutus-est dolentem:
Abi nunc ad cœtum *tuum,* quoniam sustinere-vis laborem:] si vero tu quidem juga tauris metueris imponere,
aut etiam perniciosam reformidaris messem,
ipsi hæc omnia curæ-erunt mihi, ut et alius
vir vereatur fortiorem virum adoriri.
Dixit severe: de solio *autem* surrexit Jason,
juxtaque Augeas atque Telamon: sequebatur autem Argus
solus, nam, interea adhuc ibi ut-manerent, innuerat
fratribus: illi vero exierunt e palatio.
Eximie autem inter omnes splendebat Æsonis filius
pulchritudine et gratiis: in eum autem oculos puella
obliquos juxta pulchram intendens spectabat calyptram,
cor dolore consumens: mens vero, velut somnium,
insequens volabat vestigia euntis.
Atque illi quidem ex-ædibus egressi sunt tristes.
Chalciope vero iram observans Æetæ
celeriter in-thalamum cum filiis suis abiit.
Similiterque etiam Medea discessit: multa vero animo
versabat, quæ quidem Amores jubent curare.
Ante oculos igitur adhuc ei apparebant omnia,
et ipse (*Jason*) qualis fuerat, quibusque vestibus indutus,
quæque dixerat, et quomodo sederat in solio, utque foras
exierat: neque alium quem putabat conturbata
esse virum talem: in auribus vero semper erant
vox sermonesque dulces, quos ediderat.
Metuebat vero ejus causa, ne eum boves, aut etiam ipse
Æetes perderent: deplorabat autem velut omnino

ἤδη τεθνειῶτα, τέρεν δέ οἱ ἀμφὶ παρειὰς
δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέε κηδοσύνῃσιν·
ἦκα δὲ μυρομένη λιγέως ἀνενείκατο μῦθον.
Τίπτε με δειλαίην τόδ' ἔχει ἄχος; εἴθ' ὅγε πάντων
φθίσεται ἡρώων προφερέστατος, εἴτε χερείων,
ἐῤῥέτω. Ἦ μὲν ὄφελλεν ἀκήριος ἐξαλέασθαι.
Ναὶ δὴ τοῦτό γε, πότνα θεὰ Περσηΐ, πέλοιτο.
Οἴκαδε νοστήσειε φυγὼν μόρον· εἰ δέ μιν αἶσα
δμηθῆναι ὑπὸ βουσὶ, τόδε προπάροιθε δαείη,
οὕνεκεν οὔ οἱ ἔγωγε κακῇ ἐπαγαίομαι ἄτῃ.
Ἡ μὲν ἄρ' ὡς ἐόλητο νόον μελεδήμασι κούρη.
Οἱ δ' ἐπεὶ οὖν δήμου τε καὶ ἄστεος ἐκτὸς ἔβησαν
τὴν ὁδὸν, ἣν τοπάροιθεν ἀνήλυθον ἐκ πεδίοιο,
δὴ τότ' Ἰήσονα τοῖσδε προσέννεπεν Ἄργος ἔπεσσιν.
Αἰσονίδη, μῆτιν μὲν ὀνόσσεαι, ἥν τιν' ἐνίψω·
πείρης δ' οὐ μάλ' ἔοικε μεθιέμεν ἐν κακότητι.
Κούρην δή τινα πρόσθεν ὑπέκλυες αὐτὸς ἐμεῖο
φαρμάσσειν, Ἑκάτης Περσηΐδος ἐννεσίῃσιν·
τὴν εἴ κεν πεπίθοιμεν, ὀΐομαι, οὐκέτι τάρβος
ἔσσετ' ἀεθλεύοντι δαμήμεναι· ἀλλὰ μάλ' αἰνῶς
δείδω, μή πως οὔ μοι ὑποσταίη τόγε μήτηρ.
Ἔμπης δ' ἐξαῦτις μετελεύσομαι ἀντιβολήσων,
ξυνὸς ἐπεὶ πάντεσσιν ἐπικρέμαθ' ἧμιν ὄλεθρος.
Ἴσκεν ἐΰφρονέων· ὁ δ' ἀμείβετο τοῖσδ' ἐπέεσσιν.
Ὦ πέπον, εἴ νύ τοι αὐτῷ ἐφανδάνει, οὔ τι μεγαίρω.
Βάσκ' ἴθι, καὶ πυκινοῖσι τεὴν παρὰ μητέρα μύθοις
ὄρνυθι λισσόμενος· μελέη γε μὲν ἧμιν ὄρωρεν
ἐλπωρὴ, ὅτε νόστον ἐπετραπόμεσθα γυναιξίν.
Ὣς ἔφατ'· ὦκα δ' ἕλος μετεκίαθον. Αὐτὰρ ἑταῖροι
γηθόσυνοι ἐρέεινον, ὅπως παρεόντας ἴδοντο·
τοῖσιν δ' Αἰσονίδης τετιημένος ἔκφατο μῦθον.
Ὦ φίλοι, Αἰήταο ἀπηνέος ἄμμι φίλον κῆρ
ἀντικρὺ κεχόλωται, ἕκαστα γὰρ οὔ νύ τι τέκμωρ
οὔτ' ἐμοὶ, οὔτε κεν ὔμμι διειρομένοισι πέλοιτο.
Φῆ δὲ δύω πεδίον τὸ Ἀρήϊον ἀμφινέμεσθαι
ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντες,
τετράγυον δ' ἐπὶ τοῖσιν ἐφίετο νειὸν ἀρόσσαι·
δώσειν δ' ἐξ ὄφιος γενύων σπόρον, ὅς ῥ' ἀνίησιν
Γηγενέας χαλκέοις σὺν τεύχεσιν· ἤματι δ' αὐτῷ
χρειὼ τούσγε δαΐξαι. Ὃ δή νύ οἱ (οὔτι γὰρ ἄλλο
βέλτερον ἦν φράσσασθαι) ἀπηλεγέως ὑποέστην.
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἀνήνυτος εἴσατ' ἄεθλος,
δὴν δ' ἄνεῳ καὶ ἄναυδοι ἐς ἀλλήλους ὁρόωντο
ἄτῃ ἀμηχανίῃ τε κατηφέες· ὀψὲ δὲ Πηλεὺς
θαρσαλέως μετὰ πᾶσιν ἀριστήεσσιν ἔειπεν·
Ὥρη μητιάασθαι ὅ κ' ἔρξομεν. Οὐ μὲν ἔολπα
βουλῆς εἶναι ὄνειαρ, ὅσον τ' ἐπὶ κάρτεϊ χειρῶν.
Εἰ μέν νυν τύνη ζεῦξαι βόας Αἰήταο,
ἥρως Αἰσονίδη, φρονέεις μέμονάς τε πόνοιο,
ἦ τ' ἂν ὑποσχεσίην πεφυλαγμένος ἐντύναιο·
εἰ δ' οὔ τοι μάλα θυμὸς ἑῇ ἐπὶ πάγχυ πέποιθεν
ἠνορέῃ, μήτ' αὐτὸς ἐπείγεο, μήτε τιν' ἄλλον
τῶνδ' ἀνδρῶν πάπταινε παρήμενος. Οὐ γὰρ ἔγωγε
σχήσομ', ἐπεὶ θάνατός γε τὸ κύντατον ἔσσεται ἄλγος.

jam mortuum, teneraque ei circa genas
lacrima præ-summa miseratione defluebat sollicitæ :
leniter vero lugens arguta-voce protulit *hæc* verba :
Cur me miseram hic tenet dolor? sive ille omnium
periturus-sit heroum præstantissimus, sive deterrimus,
pereat. Utinam vero salvus evadat!
Profecto hoc, veneranda dea Persei-filia (*Hecate*), eveniat!
Domum revertatur evitata morte : si vero ipsum fatale *sit*
interfici a tauris, hoc antea sciat,
me quidem non ipsius tristi lætari sorte.
Sic igitur agitabatur in-animo curis puella.
Illi autem ubi e populo et urbe exierant
eadem via, qua antea advenerant ex campo,
tum Jasonem his allocutus-est Argus verbis :
Jason, consilium quidem reprehendes, quod dicam :
at experimentum non sane decet negligere in rebus-adversis.] Virginem scilicet quandam antea audivisti ipse a-me
veneficia-exercere, Hecatæ Persei-filiæ monitis :
hanc si nobis-conciliarimus, opinor, non-amplius metus
erit, certans ne-pereas : at vehementer
timeo, ne forte non mihi polliceatur hoc mater.
Tamen iterum conveniam, rogaturus *ipsam*,
communis quia omnibus impendet nobis interitus.
Dixit benevolus : ille vero respondit ita :
O bone, si tibi ipsi placet, neutiquam adversor.
Abi, et prudentibus tuam matrem sermonibus
compelle precans : misera quidem nobis est
spes, quando reditum *nostrum* committimus mulieribus.
Sic dixit : celeriter autem ad-paludem pervenerunt. At
socii] læti interrogarunt, ubi adesse *eos* viderunt :
his Æsonides afflictus protulit *hæc* verba :
Amici, Æetæ immitis in-nos animus
aperte iratus-est; singula enim nullus finis
nec mihi (*narrandi*), nec vobis interrogantibus
fuerit.] Dixit vero, duo in campo Martio pasci
tauros æripedes ore flammam evomentes,
quatuor-vero jugerum his jussit novale perarare;
daturum autem *se* e serpentis maxillis semen, quod quidem producat] terrigenas æreis cum armis : die vero *illo*
ipso] oportet hos interficere. Quod quidem ei (neque enim
aliud quid] melius erat cogitatu) intrepide pollicitus-sum.
Sic igitur dixit : omnibus vero non-perficiendus videbatur labor], diuque taciti et muti se-invicem intuebantur,
ob-calamitatem et consilii-inopiam mœsti : tandem Peleus
audacter inter omnes principes dixit :
Tempus *est* deliberandi, quid acturi-simus. Non equidem spero] consilii *tantam* esse utilitatem, quantam in
robore manuum.] Si jam jungere boves Æetæ,
heros Jason, cupis, et sustines laborem,
profecto, promissum servans, accingere :
si vero non tibi mens suæ omnino confisa-fuerit
fortitudini, neve ipse propera, neve alium quem
horum virorum circumspice adsidens. Non enim ego
patiar, quoniam mors quidem ultimus erit dolor.

Ὣς ἔφατ' Αἰακίδης· Τελαμῶνι δὲ θυμὸς ὀρίνθη·
σπερχόμενος δ' ἀνόρουσε θοῶς· ἐπὶ δὲ τρίτος Ἴδας
ὦρτο μέγα φρονέων, ἐπὶ δ' υἷες Τυνδαρέοιο·
σὺν δὲ καὶ Οἰνείδης ἐναρίθμιος αἰζηοῖσιν
ἀνδράσιν, οὐδέ περ ὅσσον ἐπιχνοάοντας ἰούλας
ἀντέλλων· τοίῳ οἱ ἀείρετο κάρτεϊ θυμός.
Οἱ δ' ἄλλοι εἴξαντες ἀκὴν ἔχον. Αὐτίκα δ' Ἄργος
τοῖον ἔπος μετέειπεν ἐελδομένοισιν ἀέθλου·
Ὦ φίλοι, ἤτοι μὲν τόδε λοίσθιον. Ἀλλά τιν' οἴω
μητρὸς ἐμῆς ἔσσεσθαι ἐναίσιμον ὔμμιν ἀρωγήν.
Τῷ καί περ μεμαῶτες ἐρητύοισθ' ἐνὶ νηῒ
τυτθὸν ἔθ', ὡς τοπάροιθεν, ἐπεὶ καὶ ἐπισχέμεν ἔμπης
λώϊον, ἢ κακὸν οἶτον ἀφειδήσαντας ἑλέσθαι.
Κούρη τις μεγάροισιν ἐνετρέφετ' Αἰήταο,
τὴν Ἑκάτη περίαλλα θεὰ δάε τεχνήσασθαι
φάρμαχ', ὅσ' ἤπειρός τε φύει καὶ νήχυτον ὕδωρ,
τοῖσι καὶ ἀκαμάτοιο πυρὸς μειλίσσετ' ἀϋτμήν,
καὶ ποταμοὺς ἵστησιν ἄφαρ κελαδεινὰ ῥέοντας,
ἄστρα τε καὶ Μήνης ἱερῆς ἐπέδησε κελεύθους.
Τῆς μὲν ἀπὸ μεγάροιο κατὰ στίβον ἐνθάδ' ἰόντες
μνησάμεθ' εἴ κε δύναιτο, κασιγνήτη γεγαυῖα,
μήτηρ ἡμετέρη πεπιθεῖν ἐπαρῆξαι ἀέθλῳ.
Εἰ δὲ καὶ αὐτοῖσιν τόδ' ἐφανδάνει, ἦ τ' ἂν ἱκοίμην
ἤματι τῷδ' αὐτῷ πάλιν εἰς δόμον Αἰήταο
πειρήσων· τάχα δ' ἂν σὺν δαίμονι πειρηθείην.
Ὣς φάτο· τοῖσι δὲ σῆμα θεοὶ δόσαν εὐμενέοντες.
Τρηρὼν μὲν φεύγουσα βίην κίρκοιο πελειὰς
ὑψόθεν Αἰσονίδεω πεφοβημένη ἔμπεσε κόλποις·
κίρκος δ' ἀφλάστῳ περικάππεσεν· ὦκα δὲ Μόψος
τοῖον ἔπος μετὰ πᾶσι θεοπροπέων ἀγόρευεν·
Υ̓́μμι, φίλοι, τόδε σῆμα θεῶν ἰότητι τέτυκται,
οὐδέ πῃ ἄλλως ἐστὶν ὑποκρίνασθαι ἄρειον,
παρθενικὴν δ' ἐπέεσσι μετελθέμεν ἀμφιέποντας
μήτι παντοίῃ. Δοκέω δέ μιν οὐκ ἀθερίζειν,
εἰ ἐτεὸν Φινεύς γε θεῇ ἐνὶ Κύπριδι νόστον
πέφραδεν ἔσσεσθαι. Κείνης δ' ὅγε μείλιχος ὄρνις
πότμον ὑπεξήλυξε· κέαρ δέ μοι ὡς ἐνὶ θυμῷ
τόνδε κατ' οἰωνὸν προτιόσσεται, ὧς δὲ πέλοιτο.
Ἀλλά, φίλοι, Κυθέρειαν ἐπικλείοντες ἀμύνειν
ἤδη νῦν Ἄργοιο παραιφασίῃσι πίθεσθε.
Ἴσχεν· ἐπήνησαν δὲ νέοι Φινῆος ἐφετμὰς
μνησάμενοι· μοῦνος δ' Ἀφαρήϊος ἄνθορεν Ἴδας
δείν' ἐπαλαστήσας μεγάλῃ ὀπὶ φώνησέν τε.
Ὢ πόποι, ἦ ῥα γυναιξὶν ὁμόστολοι ἐνθάδ' ἔβημεν,
οἳ Κύπριν καλέουσιν ἐπίρροθον ἄμμι πέλεσθαι,
οὐκ ἔτ' Ἐνυαλίοιο μέγα σθένος· ἐς δὲ πελείας
καὶ κίρκους λεύσσοντες ἐρητύεσθε ἀέθλων.
Ἔρρετε, μηδ' ὔμμιν πολεμήϊα ἔργα μέλοιτο,
παρθενικὰς δὲ λιτῇσιν ἀνάλκιδας ἠπεροπεύειν.
Ὣς ηὔδα μεμαώς· πολέες δ' ὁμάδησιν ἑταῖροι
ἦκα μάλ', οὐδ' ἄρα τις οἱ ἐναντίον ἔκφατο μῦθον.
Χωόμενος δ' ὅγ' ἔπειτα καθέζετο· τοῖσι δ' Ἰήσων
αὐτίκ' ἐποτρύνων τὸν ἑὸν νόον ὧδ' ἀγόρευεν·
Ἄργος μὲν παρὰ νηός, ἐπεὶ τόδε πᾶσιν ἕαδεν,

Sic dixit Æaci-filius:] Telamoni autem animus commotus-est :] concitatus prosiluit celeriter : tertius autem Idas surrexit magna sentiens, tum filii Tyndarei : una vero etiam Œnei-filius adnumeratus juvenibus viris, quamquam ne tantillum quidem efflorescentem lanuginem] emittens : tali ei efferebatur fortitudine animus. Reliqui cedentes *his* silentium tenebant. Statim vero Argus tale verbum dixit ad appetentes certamen :

Amici, profecto hoc quidem postremum *erit*. Verum aliquod puto] matris meæ fore commodum vobis auxilium. Quare quamquam cupientes, continete-vos in navi paullulum adhuc, ut antea, quandoquidem etiam cohibere -nos tamen] satius *est*, quam malum interitum spernentes subire.] Puella quædam in ædibus alitur Æetæ, quam Hecate dea eximie docuit parare medicamina, quæcunque et terra profert et diffusa aqua, quibus et indomiti ignis sedat flammam, et fluvios sistit statim cum-impetu fluentes, et astra Lunæque sacræ impedit iter. Hujus quidem e palatio in via huc redeuntes recordati-sumus, an-forte possit, *quæ* soror *ejus* nata *est*, mater nostra *ei* persuadere, ut-adjuvet certamen. Si vero etiam ipsis *vobis* hoc placet, profecto revertar hoc ipso die rursus in domum Æetæ periculum-facturus : forsan juvante deo perculum-faciam.

Sic locutus-est : his vero signum dii dederunt benevoli. Pavida fugiens vim accipitris columba desuper in Jasonis timens delapsa-est sinum : accipiter autem in-aplustre decidit : statimque Mopsus talem sermonem inter omnes vaticinans dixit :

Vobis, amici, hoc signum deorum voluntate oblatum-est ; neque alia qua ratione licet interpretari melius, sed virginem verbis ut-oretis aggredientes arte omnimoda. Opinor autem eam non recusaturam, si quidem vere Phineus deam per Venerem reditum dixit fore. Illius vero hæc placida avis mortem effugit : mens vero mihi ut intus hoc ex augurio prospicit, ita eveniat. Verum, amici, Venere invocata ut-adsit, jam nunc Argi consiliis parete.

Dixit : assenserunt vero juvenes, Phinei mandatorum memores : solus autem Aphareïus exsiluit Idas graviter indignatus magna voce, dixitque :

Proh Dii ! profecto mulierum comites huc venimus, qui Venerem invocant, auxilio nobis ut-sit, neque amplius Martis magnum robur : columbas vero et accipitres intuentes abhorretis a-certaminibus. Abite, neque vobis belli negotia curæ-sint, immo virgines precibus imbelles decipere (*curæ sit*).

Ita dixit iratus : multi autem fremebant socii leniter : neque quis ei contrariam protulit orationem. Indignatus vero ille deinde consedit : his autem Jason statim concitans suum animum ita elocutus-est :

Argus quidem a navi, quoniam hoc omnibus placuit,

στελλέσθω· ἀτὰρ αὐτοὶ ἐπὶ χθονὸς ἐκ ποταμοῖο
ἀμφαδὸν ἤδη πείσματ' ἀνάψομεν. Ἦ γὰρ ἔοικεν
μηκέτι δὴν κρύπτεσθαι ὑποπτήσσοντας ἀϋτήν.
Ὣς ἄρ' ἔφη· καὶ τὸν μὲν ἄφαρ προΐαλλε νέεσθαι
καρπαλίμως ἐξαῦτις ἀνὰ πτόλιν· οἱ δ' ἐπὶ νηὸς
εὐναίας ἐρύσαντες ἐφετμαῖς Αἰσονίδαο
τυτθὸν ὑπὲξ ἕλεος χέρσῳ ἐπέκελσαν ἐρετμοῖς.
Αὐτίκα δ' Αἰήτης ἀγορὴν ποιήσατο Κόλχων
νόσφιν ἑοῖο δόμου, τόθι περ καὶ πρόσθε κάθιζον,
ἀτλήτους Μινύαισι δόλους καὶ κήδεα τεύχων.
Στεῦτο δ', ἐπεί κεν πρῶτα βόες διαδηλήσωνται
ἄνδρα τὸν, ὅς ῥ' ὑπέδεκτο βαρὺν καμέεσθαι ἄεθλον,
δρυμὸν ἀναῤῥήξας λασίης καθύπερθε κολώνης
αὔτανδρον φλέξειν δόρυ νήϊον, ὄφρ' ἀλεγεινὴν
ὕβριν ἀποφλύξωσιν ὑπέρβια μηχανόωντες.
Οὐδὲ γὰρ Αἰολίδην Φρίξον, μάλα περ χατέοντα,
δέχθαι ἐνὶ μεγάροισιν ἐφέστιον, ὃς περὶ πάντων
ξείνων μειλιχίῃ τε θεουδείῃ τ' ἐκέκαστο,
εἰ μή οἱ Ζεὺς αὐτὸς ἀπ' οὐρανοῦ ἄγγελον ἧκεν
Ἑρμείαν, ὥς κεν προσκηδέος ἀντιάσειεν.
Μὴ καὶ ληϊστῆρας ἑὴν ἐς γαῖαν ἰόντας
ἔσσεσθαι δηναιὸν ἀπήμονας, οἷσι μέμηλεν
ὀθνείοις ἐπὶ χεῖρα ἑὴν κτεάτεσσιν ἀείρειν
κρυπταδίους τε δόλους τεκταινέμεν ἠδὲ βοτήρων
αὔλια δυσκελάδοισιν ἐπιδρομίῃσι δαΐξαι.
Νόσφι δέ οἱ αὐτῷ φάτ' ἐοικότα μείλια τίσειν
υἱῆας Φρίξοιο, κακοῤῥέκτῃσιν ὀπηδοὺς
ἀνδράσι νοστήσαντας ὁμιλαδὸν, ὄφρα ἑ τιμῆς
καὶ σκήπτρων ἐλάσειαν ἀκηδέες· ὥς ποτε βάξιν
λευγαλέην οὗ πατρὸς ἐπέκλυεν Ἠελίοιο,
χρειώ μιν πυκινόν τε δόλον βουλάς τε γενέθλης
σφωϊτέρης ἄτην τε πολύτροπον ἐξαλέασθαι·
τῷ καὶ ἐελδομένους πέμπειν ἐς Ἀχαιΐδα γαῖαν
πατρὸς ἐφημοσύνῃ δολιχὴν ὁδόν. Οὐδὲ θυγατρῶν
εἶναί οἱ τυτθόν γε δέος, μή πού τινα μῆτιν
φράσσωνται στυγερὴν, οὐδ' υἱέος Ἀψύρτοιο·
ἀλλ' ἐνὶ Χαλκιόπης γενεῇ τάδε λυγρὰ τετύχθαι.
Καί ῥ' ὁ μὲν ἄσχετα ἔργα πιφαύσκετο δημοτέροισιν
χωόμενος· μέγα δέ σφιν ἀπείλει νῆά τ' ἐρύσθαι
ἠδ' αὐτοὺς, ἵνα μή τις ὑπὲκ κακότητος ἀλύξῃ.
Τόφρα δὲ μητέρ' ἑὴν, μετιὼν δόμον Αἰήταο,
Ἄργος παντοίοισι παρηγορέεσκεν ἔπεσσιν
Μήδειαν λίσσεσθαι ἀμυνέμεν· ἡ δὲ καὶ αὐτὴ
πρόσθεν μητιάασκε· δέος δέ μιν ἴσχανε θυμὸν,
μή πως ἠὲ παρ' αἶσαν ἐτώσια μειλίξαιτο
πατρὸς ἀτυζομένην ὀλοὸν χόλον, ἠὲ λιτῇσιν
ἑσπομένης ἀρίδηλα καὶ ἀμφαδὰ ἔργα πέλοιτο.
Κούρην δ' ἐξ ἀχέων ἀδινὸς κατελώφεεν ὕπνος
λέκτρῳ ἀνακλινθεῖσαν. Ἄφαρ δέ μιν ἠπεροπῆες,
οἷά τ' ἀκηχεμένην, ὀλοοὶ ἐρέθεσκον ὄνειροι.
Τὸν ξεῖνον δ' ἐδόκησεν ὑφεστάμεναι τὸν ἄεθλον,
οὔ τι μάλ' ὁρμαίνοντα δέρος κριοῖο κομίσσαι,
οὐδέ τι τοῖο ἕκητι μετὰ πτόλιν Αἰήταο
ἐλθέμεν, ὄφρα δέ μιν σφέτερον δόμον εἰσαγάγοιτο

mittatur: verum ipsi ad terram ex fluvio
palam jam retinacula alligabimus. Profecto enim convenit
non-amplius diu occultari subterfugientes pugnam.
Sic igitur dixit, et illum statim emisit reversurum
celeriter rursus in urbem: hi vero navis
ancoris attractis jussu Jasonis
paullulum ex palude ad terram compulerunt *navem* remis.
Statim vero Æetes concilium habuit Colchorum,
extra suam domum, ubi etiam antea considebant,
infandos Minyis dolos atque molestias struens.
Confirmavit vero, *se*, quam primum boves interemerint
virum illum, qui suscepisset gravem perficiendum laborem,] silva evulsa frondoso super colle
cum-ipsis-viris combusturum-esse navem, ut molestam
insolentiam deponant magna molientes.
Neque enim Æoliden Phrixum, valde quamquam desiderantem,] *se* recepturum-fuisse ædibus inquilinum, qui eximie omnium] hospitum et comitate et pietate ornatus-fuisset,] nisi sibi Jupiter ipse cœlitus nuncium misisset
Mercurium, ut benevolum offenderet.
Neque vero latrones, qui-suam terram invaserint,
fore diu salvos, quibus curæ-sit
alienis manum suam possessionibus admovere,
occultosque dolos struere, et pastorum
stabula horrisonis incursibus infestare.
Singulatim vero sibi ipsi dixit meritas placandæ-iræ-pœnas
daturos] filios Phrixi, qui-maleficorum comites
virorum redierint una, ut se ab-imperio
et sceptris abigerent non-reveriti: quemadmodum olim oraculum] triste a-suo patre acceperit Sole,
oportere ipsum et callidum dolum et consilia sobolis
suæ et noxam multiplicem devitare:
quare etiam lubentes *illos se* misisse in Achaicam terram
patris (*Phrixi*) monitu, longum iter. Neque filiarum
esse sibi vel levissimum metum, ne quoddam consilium
excogitent acerbum, neque filii, Absyrti:
sed per Chalciopæ sobolem hæc luctuosa strui.
Atque ille non-sustinenda facinora indixit civibus,
iratus: valde enim iis minatus-jussit et navem observare,
et ipsos (*nautas*), ne quis malum effugeret.
Interea matrem suam, reversus in-domum Æetæ,
Argus variis cohortatus-est verbis,
Medeam ut-rogaret, quo-opem-ferret: hæc vero et ipsa
antea cogitaverat: metus vero ejus cohibuit animum,
ne forte aut inepte frustra mulceret *ipsam*
patris metuentem sævam iram, aut precibus
obsequentis manifesta et aperta facinora fierent.
Puellam vero (*Medeam*) a doloribus multus quiescere-fecerat somnus] in lecto cubantem. Statim vero eam vana,
utpote tristitia-affectam, terribilia sollicitarunt somnia.
Hospitem enim somniavit suscepisse certamen,
non tamen valde cupientem vellus arietis auferre,
neque propterea in urbem Æetæ
venisse, sed ut ipsam in suam domum deduceret

κουριδίην παράκοιτιν· ὀίετο δ' ἀμφὶ βόεσσιν
αὐτὴ ἀεθλεύουσα μάλ' εὐμαρέως πονέεσθαι·
σφωϊτέρους δὲ τοκῆας ὑποσχεσίης ἀθερίζειν,
οὕνεκεν οὐ κούρῃ ζεῦξαι βόας, ἀλλά οἱ αὐτῷ
προὔθεσαν· ἐκ δ' ἄρα τοῦ νεῖκος πέλεν ἀμφήριστον
πατρί τε καὶ ξείνοις· αὐτῇ δ' ἐπιέτρεπον ἄμφω
τὼς ἔμεν, ὥς κεν ἑῇσι μετὰ φρεσὶν ἰθύσειεν.
Ἡ δ' ἄφνω τὸν ξεῖνον, ἀφειδήσασα τοκήων,
εἵλετο· τοὺς δ' ἀμέγαρτον ἄχος λάβεν, ἐκ δ' ἐβόησαν
χωόμενοι· τὴν δ' ὕπνος ἅμα κλαγγῇ μεθέηκεν.
Παλλομένη δ' ἀνόρουσε φόβῳ, περί τ' ἀμφί τε τοίχους
πάπτηνεν θαλάμοιο· μόλις δ' ἐσαγείρατο θυμὸν
ὡς πάρος ἐν στέρνοις, ἀδινὴν δ' ἀνενείκατο φωνήν.
Δειλὴ ἐγών, οἷόν με βαρεῖς ἐφόβησαν ὄνειροι.
Δείδια, μὴ μέγα δή τι φέρῃ κακὸν ἧδε κέλευθος
ἡρώων. Περί μοι ξείνῳ φρένες ἠερέθονται.
Μνάσθω ἑὸν κατὰ δῆμον Ἀχαιΐδα τηλόθι κούρην·
ἄμμι δὲ παρθενίη τε μέλοι καὶ δῶμα τοκήων.
Ἔμπα γε μὴν θεμένη κύνεον κέαρ οὐκ ἔτ' ἄνευθεν
αὐτοκασιγνήτης πειρήσομαι, εἴ κέ μ' ἀέθλῳ
χραισμεῖν ἀντιάσῃσιν, ἐπὶ σφετέροις ἀχέουσα
παισί· τό κέν μοι λυγρὸν ἐνὶ κραδίῃ σβέσοι ἄλγος.
Ἦ ῥα, καὶ ὀρθωθεῖσα θύρας ὤϊξε δόμοιο,
νήλιπος, οἰέανος· καὶ δὴ λελίητο νέεσθαι
αὐτοκασιγνήτηνδε καὶ ἕρκεος οὐδὸν ἄμειψεν.
Δὴν δὲ κατ' αὐτόθι μίμνεν ἐπὶ προδόμῳ θαλάμοιο
αἰδοῖ ἐεργομένη· μετὰ δ' ἐτράπετ' αὖτις ὀπίσσω
στρεφθεῖσ'· ἐκ δὲ πάλιν κίεν ἔνδοθεν ἄψ τ' ἀλέεινεν
εἴσω· τηΰσιοι δὲ πόδες φέρον ἔνθα καὶ ἔνθα.
Ἤτοι ὅτ' ἰθύσειεν, ἔρυκέ μιν ἔνδοθεν αἰδώς·
αἰδοῖ δ' ἐργομένην θρασὺς ἵμερος ὀτρύνεσκεν.
Τρὶς μὲν ἐπειρήθη, τρὶς δ' ἔσχετο, τέτρατον αὖθις
λέκτροισιν πρηνὴς ἐνικάππεσεν εἱλιχθεῖσα.
Ὡς δ' ὅτε τις νύμφη θαλερὸν πόσιν ἐν θαλάμοισιν
μύρεται, ᾧ μιν ὄπασσαν ἀδελφεοὶ ἠδὲ τοκῆες,
οὐδέ τί πω πάσαις ἐπιμίσγεται ἀμφιπόλοισιν
αἰδοῖ ἐπιφροσύνῃ τε· μυχῷ δ' ἀχέουσα θαάσσει·
τὸν δέ τις ὤλεσε μοῖρα, πάρος ταρπήμεναι ἄμφω
δήνεσιν ἀλλήλων· ἡ δ' ἔνδοθι δαιομένη περ
σῖγα μάλα κλαίει χῆρον λέχος εἰσορόωσα,
μή μιν κερτομέουσαι ἐπιστοβέωσι γυναῖκες·
τῇ ἰκέλη Μήδεια κινύρετο. Τὴν δέ τις ἄφνω
μυρομένην μεσσηγὺς ἐπιπρομολοῦσ' ἐνόησεν
δμωάων, ἥ οἱ ἐπέτις πέλε κουρίζουσα·
Χαλκιόπῃ δ' ἤγγειλε παρασχεδόν· ἡ δ' ἐνὶ παισὶν
ἧστ' ἐπιμητιόωσα κασιγνήτην ἀρέσασθαι.
Ἀλλ' οὐδ' ὧς ἀπίθησεν, ὅτ' ἔκλυεν ἀμφιπόλοιο
μῦθον ἀνώϊστον· διὰ δ' ἔσσυτο θαρβήσασα
ἐκ θαλάμου θάλαμόνδε διαμπερές, ᾧ ἔνι κούρη
κέκλιτ' ἀκηχεμένη, δρύψεν δ' ἑκάτερθε παρειάς·
ὡς δ' ἴδε δάκρυσιν ὄσσε πεφυρμένα, φώνησέν μιν.
Ὤμοι ἐγώ, Μήδεια, τί δὴ τάδε δάκρυα λείβεις;
τίπτ' ἔπαθες; τί τοι αἰνὸν ὑπὸ φρένας ἵκετο πένθος;
ἤ νύ σε θευμορίη περιδέδρομεν ἅψεα νοῦσος,

juvenilem uxorem : videbatur autem cum tauris
ipsa depugnans admodum facilem laborem-subire :
suos vero parentes *somniabat* promisso non-stare,
quoniam non puellam jungere boves, sed illum ipsum
jusserant : inde igitur contentio exstiterat anceps
et patri et hospitibus : ei autem permittebant ambo
ita se-gerere, ut suo animo cuperet.
Ipsa igitur repente hospitem, neglectis parentibus,
sibi-elegit ; hos ingens dolor cepit, exclamaruntque
irati : illam vero somnus una-cum clamore reliquit.
Agitata autem exsiliit metu, et undique parietes
circumspexit thalami : ægre vero collegit animum,
ut antea, in pectore, miserabilemque emisit vocem :

Me miseram, quantum me gravia terruerunt somnia !
Metuo, ne magnum quod afferat malum illud iter
heroum. Circa hospitem mihi animus suspensus-est.
Despondeat-sibi suo in populo Achaicam procul puellam;
nobis vero et virginitas placeat, et domus parentum
Attamen deposito sævo animo non amplius absque
sorore-germana periculum-faciam, an me, certamini
ut-opem-feram, rogatura-sit, de suis sollicita
filiis : quæ-quidem res mihi acerbum in pectore exstinxerit
dolorem.] Dixit, et erecta fores aperuit conclavis
nuda-pedes, una-veste-induta, atque sane cupiit ire
ad-sororem, et muri limen transiit.
Diu vero ibi commorabatur in vestibulo thalami
pudore cohibita : rediitque iterum, retro
conversa : iterumque prodiit ex-interiori, et denuo refugit
intro : frustraque-laborantes pedes ferebant *eam* huc illuc.
Etenim, quando prorumpebat, cohibuit eam intus pudor,
pudore autem cohibitam audax amor impulit.
Ter conata-est, ter retinebatur, quartum iterum
in-lectum prona delapsa-est revoluta.
Ut vero, quando sponsa quædam florentem maritum in thalamis] deplorat, cui ipsam collocarant fratres aut parentes,
neque ullo modo omnibus immiscet-se ancillis
pudore et prudentia *ducta*, sed in-recessu tacita sedet;
illum vero quoddam perdidit fatum, antequam delectarentur ambo] consiliis mutuis : ipsa intus, cruciata quamvis,
tacite admodum flet, viduum torum intuens,
ne ipsam deridentes convicientur mulieres :
ei similis Medea ejulavit. Eam vero quædam repente
lamentantem interim superveniens animadvertit
ancillarum, quæ ei pedissequa erat adolescentula :
Chalciopæ autem nunciavit statim : hæc inter filios
sedebat deliberans de-sorore conciliandа.
At ne sic quidem immorigera-erat, quando audierat ab-ancilla] sermonem inopinatum : ruit vero perculsa-stupore
e thalamo in-thalamum continuo, in quo virgo
recumbebat mœrens, et lacerabat utrimque genas :
ut vero vidit lacrimis oculos suffusos, compellavit eam :

Heu mihi, Medea, cur tandem has lacrimas fundis ?
quid tandem accidit ? quis tibi gravis mentem subiit dolor ?
num tuos divinitus-immissus occupavit artus morbus

ἠέ τιν' οὐλομένην ἐσάης ἐκ πατρὸς ἐνιπὴν
ἀμφί τ' ἐμοὶ καὶ παισίν; Ὄφελλέ με μήτε τοκήων
δῶμα τόδ' εἰσοράαν, μηδὲ πτόλιν, ἀλλ' ἐπὶ γαίης
πείρασι ναιετάειν, ἵνα μηδέ περ οὔνομα Κόλχων.
Ὣς φάτο· τῆς δ' ἐρύθηνε παρήϊα· δὴν δέ μιν αἰδὼς
παρθενίη κατέρυκεν ἀμείψασθαι μεμαυῖαν.
Μῦθος δ' ἄλλοτε μέν οἱ ἐπ' ἀκροτάτης ἀνέτελλεν
γλώσσης, ἄλλοτ' ἔνερθε κατὰ στῆθος πεπότητο.
Πολλάκι δ' ἱμερόεν μὲν ἀνὰ στόμα θῦεν ἐνισπεῖν·
φθογγὴ δ' οὐ προὔβαινε παροιτέρω· ὀψὲ δ' ἔειπεν
τοῖα δόλῳ· θρασέες γὰρ ἐπεκλονέεσκον Ἔρωτες.
Χαλκιόπη, περί μοι παίδων σέο θυμὸς ἄηται,
μή σφε πατὴρ ξείνοισι σὺν ἀνδράσιν αὐτίκ' ὀλέσσῃ.
Τοῖα κατακνώσσουσα μινυνθαδίῳ νέον ὕπνῳ
λεύσσω ὀνείρατα λυγρὰ, τά τις θεὸς ἀκράαντα
θείη, μηδ' ἀλεγεινὸν ἐφ' υἱάσι κῆδος ἕλοιο.
Φῆ ῥα, κασιγνήτης πειρωμένη, εἴ κέ μιν αὐτὴ
ἀντιάσειε πάροιθεν ἑοῖς τεκέεσσιν ἀμύνειν.
Τὴν δ' αἰνῶς ἄτλητος ἐπέκλυσε θυμὸν ἀνίη
δείματι, τοῖ' ἐσάκουσεν· ἀμείβετο δ' ὧδ' ἐπέεσσιν·
Καὶ δ' αὐτὴ τάδε πάντα μετήλυθον ὁρμαίνουσα,
εἴ τινα συμφράσσαιο καὶ ἀρτύνειας ἀρωγήν.
Ἀλλ' ὄμοσον Γαῖάν τε καὶ Οὐρανὸν, ὅττι τοι εἴπω
σχήσειν ἐν θυμῷ σύν τε δρήστειρα πέλεσθαι.
Λίσσομ' ὑπὲρ μακάρων σέο τ' αὐτῆς ἠδὲ τοκήων,
μή σφε κακῇ ὑπὸ κηρὶ διαῤῥαισθέντας ἰδέσθαι
λευγαλέως· ἢ σοί γε φίλοις σὺν παισὶ θανοῦσα
εἴην ἐξ Ἀΐδεω στυγερὴ μετόπισθεν Ἐριννύς.
Ὣς ἄρ' ἔφη, τὸ δὲ πολλὸν ὑπεξέχυτ' αὐτίκα δάκρυ·
νειόθι δ' ἀμφοτέρῃσι περίσχετο γούνατα χερσὶν,
σὺν δὲ κάρη κόλποις περικάββαλεν. Ἔνθ' ἐλεεινὸν
ἄμφω ἐπ' ἀλλήλῃσι θέσαν γόον· ὦρτο δ' ἰωὴ
λεπταλέη διὰ δώματ' ὀδυρομένων ἀχέεσσιν.
Τὴν δὲ πάρος Μήδεια προσέννεπεν ἀσχαλόωσα.
Δαιμονίη, τί νύ τοι ῥέξω ἄκος, οἷ' ἀγορεύεις
ἀράς τε στυγερὰς καὶ Ἐριννύας; Αἲ γὰρ ὄφελλεν
ἔμπεδον εἶναι ἐπ' ἄμμι τεοὺς υἷας ἔρυσθαι.
Ἴστω, Κόλχων ὅρκος ὑπέρβιος, ὅντιν' ὀμόσσαι
αὐτὴ ἐποτρύνεις, μέγας Οὐρανὸς, ἥ θ' ὑπένερθεν
Γαῖα, θεῶν μήτηρ, ὅσσον σθένος ἐστὶν ἐμεῖο,
μή σ' ἐπιδευήσεσθαι, ἄνυστά περ ἀντιόωσαν.
Φῆ ἄρα· Χαλκιόπη δ' ἠμείβετο τοῖσδ' ἐπέεσσιν·
Οὐκ ἂν δὴ ξείνῳ τλαίης χατέοντι καὶ αὐτῷ
ἢ δόλον ἤ τινα μῆτιν ἐπιφράσσασθαι ἀέθλου
παίδων εἵνεκ' ἐμεῖο; καὶ ἐκ κείνοιο δ' ἱκάνει
Ἄργος ἐποτρύνων με τεῆς πειρῆσαι ἀρωγῆς·
μεσσηγὺς μὲν τόν γε δόμων λίπον ἐνθάδ' ἰοῦσα.
Ὣς φάτο· τῇ δ' ἔντοσθεν ἀνέπτατο χάρματι θυμός·
φοινίχθη δ' ἄμυδις καλὸν χρόα, κὰδ δέ μιν ἀχλὺς
εἷλεν ἰαινομένην, τοῖον δ' ἐπὶ μῦθον ἔειπεν·
Χαλκιόπη, ὡς ὔμμι φίλον τερπνόν τε τέτυκται,
ὣς ἔρξω. Μὴ γάρ μοι ἐν ὀφθαλμοῖσι φαείνοι
ἠὼς, μηδέ με δηρὸν ἔτι ζώουσαν ἴδοιο,
εἴ κέ τι σῆς ψυχῆς προφερέστερον, ἠέ τι παίδων

an sævam quandam audivisti a patre vocem
de me et filiis? Utinam nec parentum
tectum hoc conspicerem, neque urbem, sed in terræ
finibus habitarem, ubi ne nomen quidem Colchorum *au-
ditur*.] Sic dixit: ejus vero erubuerunt genæ, diuque i-
psam pudor] virgineus prohibuit respondere cupientem.
Sermo autem nunc ei in summa existebat
lingua, nunc imo in pectore volabat.
Sæpe vero amabili ore cupiebat profari:
vox autem non processit ulterius: sero tandem dixit
hæc astute: audaces enim urgebant Amores:
Chalciope, propter filios mihi tuos animus conturbatus
-est,] ne ipsos pater peregrinis cum viris statim interficiat.
Talia, sopita brevi modo somno,
video somnia tristia, quæ deus quis irrita
reddat, neque acerbum propter filios dolorem capias!
Dixit igitur, sororem explorans, an se illa
oratura-esset prius, ipsius liberis ut-opitularetur.
Illius vero valde intolerabilis oppressit animum sollicitudo
præ-metu; talia audiverat: respondit vero his verbis:
Et ipsa hæc omnia, te-conveni, *animo* versans,
si quod una-excogitare et parare-posses auxilium.
At jura per-Terram atque Cœlum, quod dixero,
te-esse-servaturam animo adjutricemque futuram.
Precor per deos teque ipsam et parentes,
ne illos malo fato deperditos videam
misere: aut tibi caris cum liberis mortua
ero ex Orco invisa postea Erinnys.
Sic igitur dixit: largasque effudit statim lacrimas:
infraque ambabus amplexa-est genua manibus,
unaque caput sinui injecit. Tum miserabilem
utraque mutuo edidit fletum, et excitatus-est ejulatus
tenuis per domos lamentantium præ-dolore.
Hanc vero prius Medea allocuta-est mœsta:
Misera, quam tandem tibi faciam medicinam, quod lo-
queris] diras horribiles et Furias? utinam enim
certo-situm sit in nobis, tuos filios servare.
Testor (Colchorum jusjurandum magnum, quod jurare
ipsa jubes) magnum Cœlum et, quæ infra est,
Terram, deorum matrem, quantæ vires sunt meæ,
non tibi *me* defuturam-esse, quæ-effici-possint roganti.
Dixit: Chalciope autem respondit his verbis:
Nonne igitur hospiti audebis, desideranti et ipsi,
aut dolum, aut quandam rationem excogitare certaminis
propter meos liberos? et ab illo quidem *missus* venit
Argus, incitans me, tuum ut-sollicitem auxilium:
interim illum domi reliqui huc profecta.
Sic dixit: ei autem intus exsultavit præ-gaudio animus:
erubuitque simul pulchra facie: caligo vero ipsam
occupavit exhilaratam, et hæc verba locuta-est:
Chalciope, ut vobis gratum jucundumque est,
ita faciam. Non enim meis oculis luceat
aurora, neque me diu amplius vivam videas,
si quidpiam tua vita præstantius aut filiis

σῶν θείην, οἳ δή μοι ἀδελφειοὶ γεγάασιν
κηδεμόνες τε φίλοι καὶ ὁμήλικες. Ὣς δὲ καὶ αὐτὴ
φημὶ κασιγνήτη τε σέθεν κούρη τε πέλεσθαι,
ἶσον ἐπεὶ κείνοις με τεῷ ἐπαείραο μαζῷ
νηπυτίην, ὡς αἰὲν ἐγώ ποτε μητρὸς ἄκουον.
Ἀλλ' ἴθι, κεῦθε δ' ἐμὴν σιγῇ χάριν, ὄφρα τοκῆας
λήσομαι ἐντύνουσα ὑπόσχεσιν· ἦρι δὲ νηὸν
εἴσομαι εἰς Ἑκάτης, θελκτήρια φάρμακα ταύρων
οἰσομένη ξείνῳ, ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρεν.
Ὣς ἥ γ' ἐκ θαλάμοιο πάλιν κίε, παισί τ' ἀρωγὴν
αὐτοκασιγνήτης διεπέφραδε. Τὴν δέ μιν αὖθις
αἰδώς τε στυγερόν τε δέος λάβε μουνωθεῖσαν,
τοῖα παρὲξ οὗ πατρὸς ἐπ' ἀνέρι μητιάασθαι. [τω
Νὺξ μὲν ἔπειτ' ἐπὶ γαῖαν ἄγεν κνέφας· οἱ δ' ἐνὶ πόν-
ναῦται εἰς Ἑλίκην τε καὶ ἀστέρας Ὠρίωνος
ἔδρακον ἐκ νηῶν· ὕπνοιο δὲ καί τις ὁδίτης
ἤδη καὶ πυλαωρὸς ἐέλδετο· καί τινα παίδων
μητέρα τεθνεώτων ἀδινὸν περὶ κῶμ' ἐκάλυπτεν·
οὐδὲ κυνῶν ὑλακὴ ἔτ' ἀνὰ πτόλιν, οὐ θρόος ἦεν
ἠχήεις· σιγὴ δὲ μελαινομένην ἔχεν ὄρφνην.
Ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπὶ γλυκερὸς λάβεν ὕπνος.
Πολλὰ γὰρ Αἰσονίδαο πόθῳ μελεδήματ' ἔγειρεν
δειδυῖαν ταύρων κρατερὸν μένος, οἷσιν ἔμελλεν
φθίσθαι ἀεικελίῃ μοίρῃ κατὰ νειὸν Ἄρηος.
Πυκνὰ δέ οἱ κραδίη στηθέων ἔντοσθεν ἔθυεν,
ἠελίου ὥς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη
ὕδατος ἐξανιοῦσα, τὸ δὴ νέον ἠὲ λέβητι
ἠέ που ἐν γαυλῷ κέχυται· ἡ δ' ἔνθα καὶ ἔνθα
ὠκείῃ στροφάλιγγι τινάσσεται ἀίσσουσα·
ὣς δὲ καὶ ἐν στήθεσσι κέαρ ἐλελίζετο κούρης.
Δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν· ἔνδοθι δ' αἰεὶ
τεῖρ' ὀδύνη σμύχουσα διὰ χροὸς ἀμφί τ' ἀραιὰς
ἶνας καὶ κεφαλῆς ὑπὸ νείατον ἰνίον ἄχρις,
ἔνθ' ἀλεγεινότατον δύνει ἄχος, ὁππότ' ἀνίας
ἀκάματοι πραπίδεσσιν ἐνισκίμψωσιν Ἔρωτες.
Φῆ δέ οἱ ἄλλοτε μὲν θελκτήρια φάρμακα ταύρων
δωσέμεν, ἄλλοτε δ' οὔτι· καταφθίσθαι δὲ καὶ αὐτή·
αὐτίκα δ' οὔτ' αὐτὴ θανέειν, οὐ φάρμακα δώσειν,
ἀλλ' αὔτως εὔκηλος ἑὴν ὀτλησέμεν ἄτην.
Ἑζομένη δ' ἤπειτα δοάσσατο φώνησέν τε.

Δειλὴ ἐγὼ νῦν ἔνθα κακῶν, ἢ ἔνθα γένωμαι;
Πάντῃ μοι φρένες εἰσὶν ἀμήχανοι· οὐδέ τις ἀλκὴ
πήματος· ἀλλ' αὔτως φλέγει ἔμπεδον. Ὡς ὄφελόν γε
Ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι,
πρὶν τόν γ' εἰσιδέειν, πρὶν Ἀχαιΐδα γαῖαν ἱκέσθαι
Χαλκιόπης υἷας. Τοὺς μὲν θεὸς ἤ τις Ἐριννὺς
ἄμμι πολυκλαύτους δεῦρ' ἤγαγε κεῖθεν ἀνίας.
Φθίσθω ἀεθλεύων, εἴ οἱ κατὰ νειὸν ὀλέσθαι
μοῖρα πέλει. Πῶς γάρ κεν ἐμοὺς λελάθοιμι τοκῆας
φάρμακα μησαμένη; ποῖον δ' ἐπὶ μῦθον ἐνίψω;
τίς δὲ δόλος, τίς μῆτις ἐπίκλοπος ἔσσετ' ἀρωγῆς;
ἦ μιν ἄνευθ' ἑτάρων προσπτύξομαι οἶον ἰδοῦσα;
Δύσμορος· οὐ μὲν ἔολπα καταφθιμένοιό περ ἔμπης
λωφήσειν ἀχέων· τότε δ' ἂν κακὸν ἄμμι πέλοιτο,

tuis ducam, qui sane mihi fratres sunt
consobrinique cari et æquales. Sic vero et ipsa
dico *me* sororem tuam atque filiam esse,
quoniam æque ac-illos me tua nutrivisti mamma
infantulam, ut semper ego olim a-matre audivi.
Age igitur, cela meum silentio beneficium, ut parentes
lateam perficiens, quod-promisi : mane vero in-templum
vehar Hecatæ, sedantia medicamina taurorum
allatura hospiti, cujus causa hæc contentio exstitit.
Sic illa ex thalamo rursus abiit, filiisque auxilium
germanæ-sororis nunciavit. Hanc ipsam vero denuo
pudor invisusque metus occupavit solam-relictam
talia contra suum patrem de viro quod-deliberaverit.
Nox deinde terræ induxit caliginem : at in mari
nautæ Helicen atque sidera Orionis
spectabant e navibus : somnum vero etiam viator quis
jam et janitor appetebat : et aliquam filiorum
matrem mortuorum altus sopor opprimebat :
neque canum latratus amplius in urbe, non fremitus erat
sonorus : silentium vero nigras tenebat tenebras.
At omnino non Medeam dulcis occupavit somnus.
Multæ enim Jasonis amore curæ excitabant *eam*
metuentem taurorum validam vim, per-quos erat
periturus indigno fato in novali Martis.
Sæpe vero ei cor in pectore agitabatur,
solis velut quidam in ædibus resultat radius
ex aqua repercussus, quæ modo aut lebeti
aut forte situlæ infusa-est : ille huc et illuc
celeri gyro commovetur saliens :
sic etiam in pectore animus jactabatur puellæ.
Lacrimæ vero ab oculis præ-miseratione fluebant; intus
semper] conficiebat dolor perurens corpus et circa raras
fibras capitisque sub imum usque nervum,
quo tristissimus subit cruciatus, quando sollicitudines
indefessi animo immiserint Amores.
Cogitavit autem nunc *se* delinientia medicamina taurorum
daturam, nunc non *daturam :* perituram vero et ipsam :
mox neque ipsam *se* morituram, nec medicamina daturam,
verum sic quiete suum perlaturam-esse malum.
Sedens vero deinde fluctuabat, et dixit :

Misera ego, nuncne hic malorum, an illic versabor?
Undique mihi mens est perplexa : nec quoddam remedium
mali : verum sic ardet semper. O utinam
Dianæ velocibus prius sagittis interfecta-essem,
priusquam illum conspicerem, priusquam in Græcam terram abirent] Chalciopæ filii : quos deus aut quædam Furia] nobis flebiles huc reduxit inde cruciatus.
Pereat certans, si ei in agro *Martis* perire
fatale est. Quomodo enim meos lateam parentes
medicamina parans? qualem vero sermonem edam?
quis vero dolus, quæ ratio furtiva erit auxilii?
num ipsum sine sociis amplectar solum conspicata?
Me-miseram! non quidem puto, ipso quamquam mortuo,
tamen] *me* liberam fore a-doloribus : tum vero malum no-

κεῖνος ὅτε ζωῆς ἀπαμείρεται. Ἐῤῥέτω αἰδώς,
ἐῤῥέτω ἀγλαΐη· ὁ δ' ἐμῇ ἰότητι σαωθεὶς
ἀσκηθὴς, ἵνα οἱ θυμῷ φίλον, ἔνθα νέοιτο.
Αὐτὰρ ἐγὼν αὐτῆμαρ, ὅτ' ἐξανύσειεν ἄεθλον,
τεθναίην, ἢ λαιμὸν ἀναρτήσασα μελάθρῳ,
ἢ καὶ πασσαμένη ῥαιστήρια φάρμακα θυμοῦ.
Ἀλλὰ καὶ ὣς φθιμένῃ μοι ἐπιλλίζουσιν ὀπίσσω
κερτομίας· τηλοῦ δὲ πόλις περὶ πᾶσα βοήσει
πότμον ἐμόν· καί κέν με διὰ στόματος φορέουσαι
Κολχίδες ἄλλυδις ἄλλαι ἀεικέα μωμήσονται·
ἥτις κηδομένη τόσον ἀνέρος ἀλλοδαποῖο
κάτθανεν, ἥτις δῶμα καὶ οὓς ᾔσχυνε τοκῆας,
μαργοσύνῃ εἴξασα. Τί δ' οὐκ ἐμὸν ἔσσεται αἶσχος;
Ὤ μοι ἐμῆς ἄτης. Ἦ τ' ἂν πολὺ κέρδιον εἴη
τῇδ' αὐτῇ ἐν νυκτὶ λιπεῖν βίον ἐν θαλάμοισιν
πότμῳ ἀνωΐστῳ, κάκ' ἐλέγχεα πάντα φυγοῦσαν,
πρὶν τάδε λωβήεντα καὶ οὐκ ὀνομαστὰ τελέσσαι.
Ἦ καὶ φωριαμὸν μετεκίαθεν, ᾗ ἔνι πολλὰ
φάρμακά οἱ τὰ μὲν ἐσθλὰ, τὰ δὲ ῥαιστήρι' ἔκειτο.
Ἐνθεμένη δ' ἐπὶ γούνατ' ὀδύρετο. Δεῦε δὲ κόλπους
ἄλληκτον δακρύοισι, τὰ δ' ἔῤῥεεν ἀσταγὲς αὔτως,
αἴν' ὀλοφυρομένης τὸν ἑὸν μόρον. Ἵετο δ' ἥ γε
φάρμακα λέξασθαι θυμοφθόρα, τόφρα πάσαιτο.
Ἤδη καὶ δεσμοὺς ἀνελύετο φωριαμοῖο,
ἐξελέειν μεμαυῖα δυσάμμορος. Ἀλλά οἱ ἄφνω
δεῖμ' ὀλοὸν στυγεροῖο κατὰ φρένας ἦλθ' Ἀΐδαο.
Ἔσχετο δ' ἀμφασίῃ δηρὸν χρόνον, ἀμφὶ δὲ πᾶσαι
θυμηδεῖς βιότοιο μεληδόνες ἰνδάλλοντο.
Μνήσατο μὲν τερπνῶν, ὅσ' ἐνὶ ζωοῖσι πέλονται,
μνήσαθ' ὁμηλικίης περιγηθέος οἷά τε κούρη·
καί τέ οἱ ἠέλιος γλυκίων γένετ' εἰσοράασθαι
ἢ πάρος, εἰ ἐτεόν γε νόῳ ἐπεμαίεθ' ἕκαστα.
Καὶ τὴν μέν ῥα πάλιν σφετέρων ἀποκάτθετο γούνων,
Ἥρης ἐννεσίῃσι μετάτροπος, οὐδ' ἔτι βουλὰς
ἄλλῃ δοιάζεσκεν· ἐέλδετο δ' αἶψα φανῆναι
ἠῶ τελλομένην, ἵνα οἱ θελκτήρια δοίη
φάρμακα συνθεσίῃσι καὶ ἀντήσειεν ἐς ὠπήν.
Πυκνὰ δ' ἀνὰ κληῖδας ἑῶν λύεσκε θυράων,
αἴγλην σκεπτομένη· τῇ δ' ἀσπάσιον βάλε φέγγος
Ἠριγενὴς, κίνυντο δ' ἀνὰ πτολίεθρον ἕκαστοι.
Ἔνθα κασιγνήτους μὲν ἔτ' αὐτόθι μεῖναι ἀνώγει
Ἄργος, ἵνα φράζοιντο νόον καὶ μήδεα κούρης·
αὐτὸς δ' αὖτ' ἐπὶ νῆα κίεν προπάροιθε λιασθείς.
Ἡ δ' ἐπεὶ οὖν ταπρῶτα φαεινομένην ἴδεν ἠῶ
παρθενικὴ, ξανθὰς μὲν ἀνήψατο χερσὶν ἐθείρας,
αἵ οἱ ἀτημελίῃ καταειμέναι ἠερέθοντο,
αὐσταλέας δ' ἔψησε παρηΐδας· αὐτὰρ ἀλοιφῇ
νεκταρέῃ φαιδρύνετ' ἐπὶ χρόα· δῦνε δὲ πέπλον
καλὸν, ἐϋγνάμπτοισιν ἀρηρεμένον περόνῃσιν·
ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην
ἀργυφέην. Αὐτοῦ δὲ δόμοις ἔνι δινεύουσα
στεῖβε πέδον, λήθῃ ἀχέων τά οἱ ἐν ποσὶν ἦεν
θεσπέσι', ἄλλα τ' ἔμελλεν ἀεξήσεσθαι ὀπίσσω.
Κέκλετο δ' ἀμφιπόλοισιν, αἵ οἱ δυοκαίδεκα πᾶσαι

bis evenerit,] ille quando vita privatur. Valeat pudor,
valeat decus : ille meo consilio servatus
incolumis, quo ei in-animo placet, illuc abeat.
At ego illo-ipso-die, quo confecerit certamen,
moriar, aut collo suspenso de-trabe,
aut etiam degustatis perdentibus vitam venenis.
At vel sic mortuæ mihi illudent postea
conviciis : longe autem omnis urbs personabit
meo fato : atque me sermonibus traducentes
Colchides alio aliæ indigne vituperabunt :
quæ-quidem curans tantopere virum alienigenam
perierit, quæ domum suosque dedecoraverit parentes,
libidini cedens. Quæ vero non mea erit infamia?
Hei mihi, propter-meum malum. Profecto multo satius esset,]
hac ipsa nocte relinquere vitam in thalamis
morte inopinata, mala probra omnia effugientem,
priusquam hæc perniciosa et infanda perficiam.

Dixit, atque arcam allatum-abiit, in qua multa
medicamina ei, alia salutaria, alia pestifera, recondita-erant.
Qua-imposita genibus lamentata-est. Rigabat vero sinum
indesinenter lacrimis, quæ defluebant effuse ita,
valde dum-deplorabat suum fatum. Cupiebat vero illa
venena seligere letifera, ut degustaret.
Jamque vincula solverat arcæ
eximere *illa* cupiens infelix. At ei repente
timor sævus invisi mentem subiit Orci.
Tenebaturque stupore diu, et circum omnes
suaves vitæ curæ *ei* obversabantur.
Recordata-est voluptatum, quæ inter vivos sunt,
recordata æqualis-juventutis admodum-hilaris, utpote
puella :] atque ei sol jucundior erat adspectu,
quam antea, si vere quidem mente disquirebat singula.
Atque illam (*arcam*) rursus de-suis deposuit genibus,
Junonis consiliis mutata, neque amplius sententias
alio-atque-alio divisit : cupiit vero statim apparere
auroram exorientem, ut illi delinientia daret
medicamina ex-promisso, atque abiret in conspectum.
Sæpe autem claustra suarum solvit forium,
lucem prospectura : ei vero gratissimum misit jubar
Aurora, et agitabantur per urbem omnes.

Tum fratres quidem adhuc ibi manere jussit
Argus, ut observarent mentem et consilia puellæ :
ipse autem rursus ad navem abiit, antea *ab illis* separatus.

Illa ubi primum lucentem vidit auroram
virgo, flavas religavit manibus comas,
quæ ei negligenter demissæ jactabantur,
sordidasque detersit genas : at unguento
nectareo nitidum-reddidit corpus : induitque peplum
pulcrum, bene-flexis instructum fibulis :
divino autem capiti superinjecit calyptram
candidam. Ibi vero in ædibus se circumagens
calcavit solum, oblivione dolorum, qui ante pedes erant
infiniti, et aliorum, qui erant exstituri postea.
Jussit vero ancillas, quæ ipsi duodecim omnino

ἐν προδόμῳ θαλάμοιο θυώδεος ἠυλίζοντο,
ἥλικες, οὔπω λέκτρα σὺν ἀνδράσι πορσύνουσαι,
ἐσσυμένως οὐρῆας ὑποζεύξασθαι ἀπήνῃ,
οἵ κέ μιν εἰς Ἑκάτης περικαλλέα νηὸν ἄγοιεν.
Ἔνθ' αὖτ' ἀμφίπολοι μὲν ἐφοπλίζεσκον ἀπήνην·
ἡ δὲ τέως γλαφυρῆς ἐξείλετο φωριαμοῖο
φάρμακον, ὅ ῥά τε φασὶ Προμήθειον καλέεσθαι.
Τῷ εἴ κ' ἐννυχίοισιν ἀρεσσάμενος θυέεσσιν
Κούρην μουνογένειαν ἑὸν δέμας ἰκμαίνοιτο,
ἦτ' ἂν ὅγ' οὔτε ῥηκτὸς ἔοι χαλκοῖο τυπῇσιν,
οὔτε κεν αἰθομένῳ πυρὶ εἰκάθοι· ἀλλὰ καὶ ἀλκῇ
λωΐτερος κεῖν' ἦμαρ ὁμῶς κάρτει τε πέλοιτο.
Πρωτοφυὲς τό γ' ἀνέσχε, καταστάξαντος ἔραζε
αἰετοῦ ὠμηστέω κνημοῖς ἐνὶ Καυκασίοισιν
αἱματόεντ' ἰχῶρα Προμηθῆος μογεροῖο.
Τοῦ δ' ἤτοι ἄνθος μὲν ὅσον πήχυιον ὕπερθεν
χροιῇ Κωρυκίῳ ἴκελον κρόκῳ ἐξεφαάνθη,
καυλοῖσιν διδύμοισιν ἐπήορον· ἡ δ' ἐνὶ γαίῃ
σαρκὶ νεοτμήτῳ ἐναλιγκίη ἔπλετο ῥίζα.
Τῆς οἵην τ' ἐν ὄρεσσι κελαινὴν ἰκμάδα φηγοῦ
Κασπίῃ ἐν κόχλῳ ἀμήσατο φαρμάσσεσθαι,
ἑπτὰ μὲν ἀενάοισι λοεσσαμένη ὑδάτεσσιν,
ἑπτάκι δὲ Βριμὼ κουροτρόφον ἀγκαλέσασα,
Βριμὼ νυκτιπόλον, χθονίην, ἐνέροισιν ἄνασσαν,
λυγαίῃ ἐνὶ νυκτὶ σὺν ὀρφναίοις φαρέεσσιν.
Μυκηθμῷ δ' ὑπένερθεν ἐρεμνὴ σείετο γαῖα
ῥίζης τεμνομένης Τιτηνίδος· ἔστενε δ' αὐτὸς
Ἰαπετοῖο πάϊς ὀδύνῃ πέρι θυμὸν ἀλύων.
Τό ῥ' ἥγ' ἐξανελοῦσα θυώδεϊ κάτθετο μίτρῃ,
ἥτε οἱ ἀμβροσίοισι περὶ στήθεσσιν ἔερτο.
Ἐκ δὲ θύραζε κιοῦσα θοῆς ἐπεβήσατ' ἀπήνης·
σὺν δὲ οἱ ἀμφίπολοι δοιαὶ ἑκάτερθεν ἔβησαν.
Αὐτὴ δ' ἡνί' ἔδεκτο, καὶ εὐποίητον ἱμάσθλην
δεξιτερῇ, ἔλαεν δὲ δι' ἄστεος· αἱ δὲ δὴ ἄλλαι
ἀμφίπολοι πείρινθος ἐφαπτόμεναι μετόπισθεν
τρώχων εὐρεῖαν κατ' ἀμαξιτόν· ἂν δὲ χιτῶνας
λεπταλέους λευκῆς ἐπιγουνίδος ἄχρις ἄειρον.
Οἵη δὲ λιαροῖσιν ἐφ' ὕδασι Παρθενίοιο,
ἠὲ καὶ Ἀμνισοῖο λοεσσαμένη ποταμοῖο
χρυσείοις Λητωῒς ἐφ' ἅρμασιν ἑστηυῖα
ὠκείαις κεμάδεσσι διεξελάσῃσι κολώνας,
τηλόθεν ἀντιόωσα πολυκνίσσου ἑκατόμβης· [τῇς
τῇ δ' ἅμα Νύμφαι ἕπονται ἀμορβάδες, αἱ μὲν ἐπ' αὐ-
ἀγρόμεναι πηγῆς Ἀμνισίδος, αἱ δὲ δὴ ἄλλαι
ἄλσεα καὶ σκοπιὰς πολυπίδακας· ἀμφὶ δὲ θῆρες
κνυζηθμῷ σαίνουσιν ὑποτρομέοντες ἰοῦσαν·
ὣς αἵ γ' ἐσσεύοντο δι' ἄστεος· ἀμφὶ δὲ λαοὶ
εἶκον ἀλευάμενοι βασιληΐδος ὄμματα κούρης.
Αὐτὰρ ἐπεὶ πόλιος μὲν ἐϋδμήτους λίπ' ἀγυιάς,
νηὸν δ' εἰσαφίκανε διὲκ πεδίων ἐλάουσα,
δὴ τότ' ἐϋτροχάλοιο κατ' αὐτόθι βήσατ' ἀπήνης
ἱεμένη, καὶ τοῖα μετὰ δμωῇσιν ἔειπεν.
Ὦ φίλαι, ἦ μέγα δή τι παρήλιτον, οὐδ' ἐνόησα
μὴ ἴμεν ἀλλοδαποῖσι μετ' ἀνδράσιν, οἵτ' ἐπὶ γαῖαν

in vestibulo thalami odorati versabantur,
æquales, quæ-nondum torum cum viris instruxerant,
celeriter mulos jungere currui,
qui ipsam in Hecatæ splendidum templum veherent.
Tum igitur ancillæ instruebant rhedam :
illa vero interea ex-cava depromsit arca
medicamentum, quod dicunt Prometheum appellari.
Quo si *quis*, nocturnis placata sacris
Proserpina unigenita, suum corpus madefecerit,
certo ille nec disrumpi posset ferri ictu,
neque urenti igni cederet : verum etiam robore
præstantior illo die una et viribus fuerit.
Primum-enatum id prodiit, destillante in-terram
aquila crudivora in saltibus Caucasiis
sanguinolentam saniem Promethei ærumnosi.
Ejus quidem flos fere cubitalis superne,
colore Corycio similis croco, apparuit
caulibus geminis insistens : sed in terra
carni recens-sectæ similis erat radix.
Ejus *succum*, qualem in montibus nigrum succum fagi,
Caspia concha collegerat *Medea* ad-medicandum,
septies perennibus lota aquis,
septiesque Brimone juvenum-nutrice invocata,
Brimone noctivaga, subterranea, inferorum regina,
tenebricosa nocte cum (*amicta*) atris vestibus.
Mugitu autem infra atra commovebatur terra,
radice secta Titania (*Promethea*) : gemebatque ipse
Japeti filius, præ-dolore animo deficiens.
Illud igitur (*medicamentum*) depromtum odoratæ impo-
suit mitræ,] quæ ei divinum circa pectus pendebat.
Forasque progressa celerem conscendit rhedam :
cumque ea ancillæ duæ utrimque adscenderunt.
Ipsa autem habenas sumsit et bene-factam scuticam
dextra, vectaque-est per urbem : at reliquæ
ancillæ, arca-rhedæ prehensa a tergo,
currebant latam per viam : tunicas vero
tenues ad niveum genu usque sustulerunt.
Qualis vero tepidis aquis Parthenii,
aut etiam Amnisi lota fluvii,
aureis Diana curribus insistens
velocibus hinnulis vehitur per juga,
longe ventura-ad multo-nidore-redolentem hecatombam :
eam una Nymphæ sequuntur comites, aliæ ad ipsum
congregatæ fontem Amnisium, reliquæ vero
in-saltibus et scopulis qui-redundant-fontibus ; circaque
feræ] gannitu blandiuntur verentes incedentem :
sic illæ ferebantur per urbem : undique vero populi
cesserunt, vitato regiæ conspectu puellæ.
At postquam urbis bene-structos reliquit vicos,
et ad templum venit per campos vecta :
tum de-volubili ibi descendit curru
promta, atque hæc ad ancillas dixit :
Amicæ, profecto magnum quid peccavi, neque sensi,
non accedendum-esse alienigenas ad viros, qui in terra

ἡμετέρην στρωφῶσιν. Ἀμηχανίῃ βεβόληται
πᾶσα πολις· τὸ καὶ οὔ τις ἀνήλυθε δεῦρο γυναικῶν
τάων, αἳ τοπάροιθεν ἐπημάτιαι ἀγέρονται.
Ἀλλ' ἐπεὶ οὖν ἱκόμεσθα καὶ οὔ νύ τις ἄλλος ἔπεισιν,
εἰ δ' ἄγε, μολπῇ θυμὸν ἀφειδείως κορέσωμεν
μειλιχίῃ, τάδε καλὰ τερείνης ἄνθεα ποίης
λεξάμεναι· τότ' ἔπειτ' αὐτὴν ἀπονισόμεθ' ὥρην.
Καὶ δέ κε σὺν πολέεσσιν ὀνείασιν οἴκαδ' ἵκοισθε
ἤματι τῷ, εἴ μοι συναρέσσετε τήνδε μενοινήν.
Ἄργος γάρ μ' ἐπέεσσι παρατρέπει, ὣς δὲ καὶ αὐτὴ
Χαλκιόπη· τὰ δὲ σῖγα νόῳ ἔχετ' εἰσαΐουσαι
ἐξ ἐμέθεν, μὴ πατρὸς ἐς οὔατα μῦθος ἵκηται.
Τὸν ξεῖνόν με κέλονται, ὅτις περὶ βουσὶν ὑπέστη,
δῶρ' ἀποδεξαμένην ὀλοῶν ῥύσασθαι ἀέθλων.
Αὐτὰρ ἐγὼ τὸν μῦθον ἐπῄνεον, ἠδὲ καὶ αὐτὸν
κέκλομαι εἰς ὠπὴν ἑτάρων ἄπο μοῦνον ἱκέσθαι,
ὄφρα τὰ μὲν δασόμεθα μετὰ σφίσιν, εἴ κεν ὀπάσσῃ
δῶρα φέρων, τῷ δ' αὖτε κακώτερον ἄλλο πόρωμεν
φάρμακον. Ἀλλ' ἀπονόσφι πέλεσθέ μοι, εὖτ' ἂν ἵκηται.
Ὣς ηὔδα· πάσῃσι δ' ἐπίκλοπος ἥνδανε μῆτις.
Αὐτίκα δ' Αἰσονίδην ἑτάρων ἄπο μοῦνον ἐρύσσας
Ἄργος, ὅτ' ἤδη τήνδε κασιγνήτων ἐσάκουσεν
ἠερίην Ἑκάτης ἱερὸν μετὰ νηὸν ἰοῦσαν,
ἦγε διὲκ πεδίου· ἅμα δὲ σφίσιν εἵπετο Μόψος
Ἀμπυκίδης, ἐσθλὸς μὲν ἐπιπροφανέντας ἐνισπεῖν
οἰωνούς, ἐσθλὸς δὲ συνευφράσσασθαι ἰοῦσιν.
Ἔνθ' οὔπω τις τοῖος ἐπὶ προτέρων γένετ' ἀνδρῶν,
οὔθ' ὅσοι ἐξ αὐτοῖο Διὸς γένος, οὔθ' ὅσοι ἄλλων
ἀθανάτων ἥρωες ἀφ' αἵματος ἐβλάστησαν,
οἷον Ἰήσονα θῆκε Διὸς δάμαρ ἤματι κείνῳ,
ἠμὲν ἐσάντα ἰδεῖν, ἠδὲ προτιμυθήσασθαι.
Τὸν καὶ παπταίνοντες ἐθάμβεον αὐτοὶ ἑταῖροι
λαμπόμενον χαρίτεσσιν· ἐγήθησεν δὲ κελεύθῳ
Ἀμπυκίδης, ἤδη που ὀϊσσάμενος τὰ ἕκαστα.
Ἔστι δέ τις πεδίοιο κατὰ στίβον ἐγγύθι νηοῦ
αἴγειρος φύλλοισιν ἀπειρεσίοις κομόωσα,
τῇ θαμὰ δὴ λακέρυζαι ἐπηυλίζοντο κορῶναι.
Τάων τις μεσσηγὺς ἀνὰ πτερὰ κινήσασα
ὑψοῦ ἐπ' ἀκρεμόνων Ἥρης ἠνίπαπε βουλάς.
Ἀκλειὴς ὅδε μάντις, ὃς οὐδ' ὅσα παῖδες ἴσασιν
οἶδε νόῳ φράσσασθαι, ὅθ' οὕνεκεν οὔτε τι λαρὸν
οὔτ' ἐρατὸν κούρη κεν ἔπος προτιμυθήσαιτο
ἠϊθέῳ, εὖτ' ἄν σφιν ἐπήλυδες ἄλλοι ἕπωνται.
Ἔρροις, ὦ κακόμαντι, κακοφραδές· οὐδέ σε Κύπρις
οὔτ' ἀγανοὶ φιλέοντες ἐπιπνείουσιν Ἔρωτες.
Ἴσκεν ἀτεμβομένη· μείδησε δὲ Μόψος ἀκούσας
ὀμφὴν οἰωνοῖο θεήλατον ὧδέ τ' ἔειπεν·
Τύνη μὲν νηόνδε θεᾶς ἴθι, τῷ ἔνι κούρην
δήεις, Αἰσονίδη· μάλα δ' ἠπίῃ ἀντιβολήσεις
Κύπριδος ἐννεσίῃς, ἥ τοι συνέριθος ἀέθλων
ἔσσεται, ὡς δὴ καὶ πρὶν Ἀγηνορίδης φάτο Φινεύς.
Νῶϊ δ', ἐγὼν Ἄργος τε, δεδεγμένοι εὖτ' ἂν ἵκηαι
τῷδ' αὐτῷ ἐνὶ χώρῳ ἀπεσσόμεθ'· οἰόθι δ' αὐτὸς
λίσσεό μιν πυκινοῖσι παρατροπέων ἐπέεσσιν.

nostra versantur. Consilii-inopia perculsa-est
omnis civitas : quare etiam nulla venit huc mulierum
illarum, quæ antea quotidie confluebant.
At quoniam venimus *huc*, nec alius quis accedit,
agite, cantu animum affatim saturemus
suavi, his pulchris teneræ floribus herbæ
collectis : tum deinde ipso revertemur tempore-opportuno.] Atqui cum multis lucris domum redibitis
die illo, si mihi comprobaveritis hanc sententiam.
Argus enim me verbis inducit, similiter vero etiam ipsa
Chalciope : (hæc autem tacite mente retinete, quæ-auditis
a me, ne patris ad aures sermo perveniat.)
Hospitem me jubent, qui de tauris pactus-est,
donis acceptis, e-perniciosis eripere laboribus.
At ego orationem probavi, atque etiam ipsum
jubeo in conspectum, sociis remotis, solum venire,
ut hæc quidem dividamus inter nos, si præbuerit
dona afferens, ei autem nocentius aliud demus
medicamentum. Itaque discedite a me, quando venerit.
Sic dixit : omnibus vero callidum placuit consilium.
Statim vero Æsoniden a sociis solum abstractum
Argus, quando jam illam a-fratribus audiverat
mane Hecatæ sanctum in fanum abire,
duxit per campum : una vero eos sequebatur Mopsus
Ampyci-filius, peritus conspectas interpretari
aves, peritus bene-consulere euntibus.
Tum nondum aliquis talis inter priores exstiterat viros
nec qui ex ipso Jove proles, nec qui aliorum
immortalium ex sanguine heroes prodierant,
qualem Jasonem reddidit Jovis uxor illo die,
et coram visendum et compellandum.
Quem etiam spectantes stupuerunt ipsi socii
splendentem gratiis : lætatus-autem est itinere
Ampycides, jam fere conjiciens omnia.
Est vero quædam campi in via prope templum
populus foliis innumeris comata,
cui frequenter garrulæ immorabantur cornices.
Quarum aliqua interim alis motis
superne in ramis Junonis elocuta-est consilia :
Inglorius ille vates, qui ne *ea* quidem, quæ pueri sciunt,
novit mente cogitare, *scilicet* nec dulce quoddam
neque amabile puellam verbum dicturam-esse
ad-juvenem, quando ipsum alii comites sequantur.
Abi, male-vates, mala-suadens : nec tibi Venus
nec blandi faventes adspirant Amores.
Dixit objurgans : risit vero Mopsus audita
voce avis divinitus-missa, sicque dixit :
Tu quidem in-templum deæ abi, in quo puellam
invenies : Jason : admodum facilem *eam* offendes,
Veneris consiliis, quæ tibi adjutrix laborum
erit, ut etiam olim Agenorides dixit Phineus.
Nos vero, ego et Argus, exspectantes donec redieris
hoc ipso in loco, aberimus : tantum vero ipse
precare eam prudentibus cohortans verbis.

Ἦ ῥα περιφραδέως, ἐπὶ δὲ σχεδὸν ᾔνεον ἄμφω.
Οὐδ' ἄρα Μηδείης θυμὸς τράπετ' ἄλλα νοῆσαι,
μελπομένης περ ὅμως· πᾶσαι δέ οἱ, ἥντιν' ἀθύροι
μολπήν, οὐκ ἐπὶ δηρὸν ἐφήνδανεν ἑψιάασθαι.
Ἀλλὰ μεταλλήγεσκεν ἀμήχανος, οὐδέ ποτ' ὄσσε
ἀμφιπόλων μεθ' ὅμιλον ἔχ' ἀτρέμας· ἐς δὲ κελεύθους
τηλόσε παπταίνεσκε παρακλίνουσα παρειάς.
Ἦ θαμὰ δὴ στηθέων ἐάγη κέαρ, ὁππότε δοῦπον
ἢ ποδὸς ἢ ἀνέμοιο παραθρέξαντα δοάσσαι.
Αὐτὰρ ὅγ' οὐ μετὰ δηρὸν ἐελδομένῃ ἐφαάνθη
ὑψόσ' ἀναθρώσκων, ἅτε Σείριος Ὠκεανοῖο,
ὃς δή τοι καλὸς μὲν ἀρίζηλός τ' ἐσιδέσθαι
ἀντέλλει, μήλοισι δ' ἐν ἄσπετον ἧκεν ὀϊζύν·
ὣς ἄρα τῇ καλὸς μὲν ἐπήλυθεν εἰσοράασθαι
Αἰσονίδης, κάματον δὲ δυσίμερον ὦρσε φαανθείς.
Ἐκ δ' ἄρα οἱ κραδίη στηθέων πέσεν, ὄμματα δ' αὔτως
ἤχλυσαν· θερμὸν δὲ παρηΐδας εἷλεν ἔρευθος.
Γούνατα δ' οὔτ' ὀπίσω οὔτε προπάροιθεν ἀεῖραι
ἔσθενεν, ἀλλ' ὑπένερθε πάγη πόδας. Αἱ δ' ἄρα τείως
ἀμφίπολοι μάλα πᾶσαι ἀπὸ σφείων ἐλίασθεν.
Τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοισιν,
ἢ δρυσὶν ἢ μακρῇσιν ἐειδόμενοι ἐλάτῃσιν,
αἵτε παρᾶσσον ἔκηλοι ἐν οὔρεσιν ἐῤῥίζωνται
νηνεμίῃ· μετὰ δ' αὖτις ὑπὸ ῥιπῆς ἀνέμοιο
κινύμεναι ὁμάδησαν ἀπείριτον· ὣς ἄρα τώ γε
μέλλον ἅλις φθέγξασθαι ὑπὸ πνοιῇσιν Ἔρωτος.
Γνῶ δέ μιν Αἰσονίδης ἄτῃ ἐνιπεπτηυῖαν
θευμορίῃ καὶ τοῖον ὑποσσαίνων φάτο μῦθον.
Τίπτε με, παρθενική, τόσον ἅζεαι οἶον ἐόντα;
Οὔ τοι ἐγὼν, οἷοί τε δυσαυχέες ἄλλοι ἔασιν
ἀνέρες, οὐδ', ὅτε περ πάτρῃ ἔνι ναιετάασκον,
ἦα πάρος. Τῷ μή με λίην ὑπεραίδεο, κούρη,
ἤ τι παρεξερέεσθαι, ὅ τοι φίλον , ἠέ τι φάσθαι.
Ἀλλ' ἐπεὶ ἀλλήλοισιν ἱκάνομεν εὐμενέοντες
χώρῳ ἐν ἠγαθέῳ, ἵνα τ' οὐ θέμις ἔστ' ἀλιτέσθαι,
ἀμφαδίην ἀγόρευε καὶ εἴρεο· μηδέ με τερπνοῖς
φηλώσῃς ἐπέεσσιν, ἐπεὶ τοπρῶτον ὑπέστης
αὐτοκασιγνήτῃ μενοεικέα φάρμακα δώσειν.
Πρός σ' αὐτῆς Ἑκάτης μειλίσσομαι ἠδὲ τοκήων
καὶ Διὸς, ὃς ξείνοις ἱκέτῃσί τε χεῖρ' ὑπερίσχει·
ἀμφότερον δ', ἱκέτης ξεῖνός τέ τοι ἐνθάδ' ἱκάνω,
χρειοῖ ἀναγκαίῃ γουνούμενος. Οὐ γὰρ ἄνευθεν
ὑμείων στονόεντος ὑπέρτερος ἔσσομ' ἀέθλου.
Σοὶ δ' ἂν ἐγὼ τίσαιμι χάριν μετόπισθεν ἀρωγῆς
ἣ θέμις, ὡς ἐπέοικε διάνδιχα ναιετάοντας,
οὔνομα καὶ καλὸν τεύχων κλέος· ὣς δὲ καὶ ἄλλοι
ἥρωες κλήσουσιν ἐς Ἑλλάδα νοστήσαντες,
ἡρώων τ' ἄλοχοι καὶ μητέρες, αἵ νύ ποτ' ἤδη
ἡμέας ἠϊόνεσσιν ἐφεζόμεναι γοάουσιν,
τάων ἀργαλέας κεν ἀποσκεδάσειας ἀνίας.
Δή ποτε καὶ Θησῆα κακῶν ὑπελύσατ' ἀέθλων
παρθενικὴ Μινωῒς ἐΰφρονέουσ' Ἀριάδνη,
ἥν ῥά τε Πασιφάη κούρη τέκεν Ἠελίοιο.
Ἀλλ' ἡ μὲν καὶ νηὸς, ἐπεὶ χόλον εὔνασε Μίνως,

Dixit astute, assensit autem uterque.
Neque vero Medeæ animus convertebatur ad-alia cogitanda
quamquam canentis : omnes vero ei, quemcunque ludens
-ederet] cantum, non diu placebant ad-ludendum.
Sed cessavit perplexa, neque unquam oculos
ancillarum ad cœtum *versos* tenuit quiete : in vias vero
longe circumspexit, inclinatis genis.
Profecto sæpe in-pectore frangebatur animus, quando strepitum] aut pedis aut venti prætereuntem audire-sibi-videbatur.] At ille non diu post desideranti apparuit
alte prosiliens, velut Sirius ex-Oceano,
qui sane pulcher quidem et præclarus adspectu
exoritur, pecudibus autem plurimam immittit calamitatem.
Sic igitur illi pulcher quidem advenit visu
Æsonides, ærumnam vero ingratam attulit conspectus.
E pectore autem ei cor excidit, oculique pariter
caligine-tenebantur ; calidusque genas occupavit rubor.
Genua nec retrorsum, neque antrorsum movere
valuit, sed subtus obriguerant pedes. Interea igitur
ancillæ ad-unam omnes ab illis discesserant.
Illi muti tacitique adstabant sibi,
aut quercubus, aut proceris similes abietibus,
quæ juxta quiete in montibus radices-egerunt
vento-silente : postea rursus impetu venti
motæ strepunt immensum : sic igitur illi
erant multum locuturi adflatu Amoris.
Intellexit autem ipsam Jason in malum incidisse
divinitus-immissum, atque talem blandiens dixit sermonem :] Cur me, virgo, tantopere vereris quum-sim solus?
Non sane ego *talis sum*, quales male-gloriantes alii sunt
viri, nec, quando in patria habitabam,
fui antea. Quare ne nimium me verere, puella,
aut aliquid interrogare, quod tibi placeat, aut aliquid dicere.
Sed quoniam nobis convenimus faventes
loco in sacro, ubi nefas est decipere,
aperte dic atque quære : neque me suavibus
decipe verbis, quoniam primum promisisti
germanæ-sorori, *te* idonea medicamina præbituram-esse.
Per ipsam te Hecaten precor, atque parentes
et Jovem, qui hospites et supplices manu tegit :
utrumque vero, et supplex et hospes huc venio
rei necessitate ad-supplicandum-*coactus*. Non enim sine
vobis luctuoso superior ero labore.
Tibi vero ego rependam gratiam postea auxilii,
ut fas *est*, quemadmodum convenit diversis-locis habitantibus,] nomen et præclaram efficiens *tibi* famam : ita vero
etiam ceteri] heroes celebrabunt *te* in Græciam reversi
heroumque conjuges et matres, quæ forsan jam
nos littoribus insidentes deplorant,
quarum quidem tristes dissipabis curas.
Jam aliquando Theseum e-malis eripuit certaminibus
virgo, Minois-filia, bene-cupiens Ariadne,
quam quidem Pasiphae filia pepererat Solis.
At illa etiam navi, postquam iram compescuit Minos,

σὺν τῷ ἐφεζομένη πάτρην λίπε· τὴν δὲ καὶ αὐτοὶ
ἀθάνατοι φίλαντο, μέσῳ δέ οἱ αἰθέρι τέκμωρ
ἀστερόεις στέφανος, τόν τε κλείουσ' Ἀριάδνης,
πάννυχος οὐρανίοισιν ἑλίσσεται εἰδώλοισιν.
Ὣς καὶ σοὶ θεόθεν χάρις ἔσσεται, εἴ κε σαώσῃς
τόσσον ἀριστήων ἀνδρῶν στόλον. Ἦ γὰρ ἔοικας
ἐκ μορφῆς ἀγανῇσιν ἐπητείῃσι κεκάσθαι.
Ὣς φάτο κυδαίνων· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
νεκτάρεον μείδησ'· ἐχύθη δέ οἱ ἔνδοθι θυμὸς
αἴνῳ ἀειρομένης, καὶ ἀνέδρακεν ὄμμασιν ἄντην·
οὐδ' ἔχεν ὅττι πάροιθεν ἔπος προτιμυθήσαιτο,
ἀλλ' ἄμυδις μενέαινεν ἀολλέα πάντ' ἀγορεῦσαι.
Προπὸ δ' ἀφειδήσασα θυώδεος ἔξελε μίτρης [θώς,
φάρμακον· αὐτὰρ ὅ γ' αἶψα χεροῖν ὑπέδεκτο γεγη-
καί νύ κέ οἱ καὶ πᾶσαν ἀπὸ στηθέων ἀρύσασα
ψυχὴν ἐγγυάλιξεν ἀγαλλομένη χατέοντι·
τοῖος ἀπὸ ξανθοῖο καρήατος Αἰσονίδαο
στράπτεν Ἔρως ἡδεῖαν ἀπὸ φλόγα· τῆς δ' ἀμαρυγὰς
ὀφθαλμῶν ἥρπαζεν· ἰαίνετο δὲ φρένας εἴσω
τηκομένη, οἷόν τε περὶ ῥοδέῃσιν ἐέρση
τήκεται ἠῴοισιν ἰαινομένη φαέεσσιν.
Ἄμφω δ' ἄλλοτε μέν τε κατ' οὔδεος ὄμματ' ἔρειδον
αἰδόμενοι, ὁτὲ δ' αὖτις ἐπὶ σφίσι βάλλον ὀπωπάς,
ἱμερόεν φαιδρῇσιν ὑπ' ὀφρύσι μειδιόωντες.
Ὀψὲ δὲ δὴ τοίοισι μόλις προσπτύξατο κούρη.
Φράζεο νῦν, ὥς κέν τοι ἐγὼ μητίσομ' ἀρωγήν.
Εὖτ' ἂν δὴ μετιόντι πατὴρ ἐμὸς ἐγγυαλίξῃ
ἐξ ὄφιος γενύων ὀλοοὺς σπείρασθαι ὀδόντας,
δὴ τότε μέσσην νύκτα διαμμοιρηδὰ φυλάξας,
ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος ποταμοῖο,
οἶος ἄνευθ' ἄλλων ἐνὶ φάρεσι κυανέοισιν
βόθρον ὀρύξασθαι περιηγέα· τῷ δ' ἔνι θῆλυν
ἀρνειὸν σφάζειν καὶ ἀδαίετον ὠμοθετῆσαι,
αὐτῷ πυρκαϊὴν εὖ νηήσας ἐπὶ βόθρῳ.
Μουνογενῆ δ' Ἑκάτην Περσηΐδα μειλίσσοιο,
λείβων ἐκ δέπαος σιμβλήϊα ἔργα μελισσέων.
Ἔνθα δ' ἐπεί κε θεὰν μεμνημένος ἱλάσσηαι,
ἂψ ἀπὸ πυρκαϊῆς ἀναχάζεο· μηδέ σε δοῦπος
ἠὲ ποδῶν ὄρσῃσι μεταστρεφθῆναι ὀπίσσω,
ἠὲ κυνῶν ὑλακή, μή πως τὰ ἕκαστα κολούσας
οὐδ' αὐτὸς κατὰ κόσμον ἑοῖς ἑτάροισι πελάσσῃς.
Ἦρι δὲ μυδήνας τόδε φάρμακον, ἠΰτ' ἀλοιφῇ
γυμνωθεὶς φαίδρυνε τεὸν δέμας· ἐν δέ οἱ ἀλκὴ
ἔσσετ' ἀπειρεσίη, μέγα τε σθένος, οὐδέ κε φαίης
ἀνδράσιν, ἀλλὰ θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν.
Πρὸς δὲ καὶ αὐτῷ δουρὶ σάκος πεπαλαγμένον ἔστω
καὶ ξίφος. Ἔνθ' οὐκ ἄν σε διατμήξειαν ἀκωκαὶ
γηγενέων ἀνδρῶν, οὐδ' ἄσχετον ἀΐσσουσα
φλὸξ ὀλοῶν ταύρων. Τοῖός γε μὲν οὐκ ἐπὶ δηρὸν
ἔσσεαι, ἀλλ' αὐτῆμαρ· ὅμως σύγε μή ποτ' ἀέθλου
χάζεο. Καὶ δέ τοι ἄλλο παρὲξ ὑποθήσομ' ὄνειαρ.
Αὐτίκ' ἐπὴν κρατεροὺς ζεύξῃς βόας, ὦκα δὲ πᾶσαν
χερσὶ καὶ ἠνορέῃ στυφελὴν διὰ νειὸν ἀρόσσῃς,
οἱ δ' ἤδη κατὰ ὦλκας ἀνασταχύωσι Γίγαντες,

cum illo insidens, patriam reliquit : eam vero vel ipsi
dii amarunt, medioque ei in-æthere signum
stellata corona, quam vocant Ariadnes,
per-totam-noctem cum-cœlestibus volvitur simulacris.
Sic etiam tibi divinitus gratia erit, si servaveris
tantam principum virorum cohortem. Profecto enim videris
secundum formam molli lenitate ornata-esse.
Sic dixit laudans *eam* : illa deorsum oculis declinatis
suaviter risit : effususque-est ei intus animus
laude elatæ, atque suspexit oculis ex-adverso :
neque habuit, quod prius verbum ad-*eum*-diceret,
sed una cupiit cuncta eloqui.
Antea vero omisso-sermone ex-odorata depromsit mitra
medicamentum : at ille statim manibus accepit lætus,
atque ei vel omnem e pectoribus haustam
animam dedisset delectata petenti :
talis de flavo capite Jasonis
fulgentem-emittebat Amor suavem flammam : illius autem
lumina] oculorum rapuit : calebatque *Medea* in-animo in-
tus] emollita, quemadmodum in rosis ros
liquescit matutinis calefactus radiis.
Ambo vero nunc in humum oculos defigebant,
pudore-suffusi, nunc rursus in se conjecerunt lumina,
amabiliter hilaribus superciliis ridentes.
Sero autem his *verbis* ægre allocuta-est puella :
Attende nunc, quomodo tibi ego molitura-sim auxilium.
Quando jam advenienti pater meus tradiderit
ex serpentis maxillis pestiferos seminandos dentes,
tum media nocte, æqualiter-divisa, observata
perennis aquis ablutus fluvii
solus sine aliis, in *(amictus)* vestibus atris,
scrobem effodito orbicularem : in eaque feminellam
agnam mactato, integramque crudam-imponito
in ipsa pyræ bene extructæ fovea.
Unigenitam autem Hecaten Persei-filiam placato,
libans e patera alvearii opera apum *(mel)*.
Tum, ubi deam memor placaveris,
retro a pyra recede, neque te strepitus
aut pedum jubeat converti retro,
aut canum latratus, ne forte omnibus irritis-redditis
ne ipse decenter quidem ad-tuos socios accedas.
Mane vero destillato hoc medicamento, tanquam unguento
nudatus perunge tuum corpus : ei vero robur
inerit immensum, magnaque vis, nec dices te
viris, sed diis æqualem-esse immortalibus.
Sed præter ipsam hastam etiam scutum oblinatur,
et ensis. Tum non te perruperint cuspides
terrigenarum hominum, nec sæve irruens
flamma noxiorum taurorum. Talis quidem non diu
eris, verum illo-ipso-die : attamen tu nullo modo a-certamine
recede. Atque tibi aliud præterea indicabo adminiculum.
Statim quando validos junxeris boves, celeriterque omne
manibus et virtute asperum novale peraraveris,
jamque per sulcos progerminaverint Gigantes

σπειρομένων ὄφιος δνοφερὴν ἐπὶ βῶλον ὀδόντων,
αἴ κεν ὀρινομένους πολέας νειοῖο δοκεύσῃς,
λάθρῃ λᾶαν ἄφες στιβαρώτερον· οἱ δ' ἂν ἐπ' αὐτῷ,
καρχαλέοι κύνες ὥστε περὶ βρώμης, ὀλέκοιεν
ἀλλήλους· καὶ δ' αὐτὸς ἐπείγεο δηϊοτῆτος
ἰθῦσαι. Τὸ δὲ κῶας ἐς Ἑλλάδα τοῖο ἕκητι
οἴσεαι· ἐξ Αἴης τηλοῦ ποθί· νίσσεο δ' ἔμπης,
ᾗ φίλον, ᾗ τοι ἕαδεν ἀφορμηθέντι νέεσθαι.
Ὣς ἄρ' ἔφη, καὶ σῖγα ποδῶν πάρος ὄσσε βαλοῦσα
θεσπέσιον λιαροῖσι παρηΐδα δάκρυσι δεῦεν,
μυρομένη, ὅτ' ἔμελλεν ἀπόπροθι πολλὸν ἑοῖο
πόντον ἐπιπλάγξασθαι· ἀνιηρῷ δέ μιν ἄντην
ἐξαῦτις μύθῳ προσεφώνεεν, εἷλέ τε χειρὸς
δεξιτερῆς· δὴ γάρ οἱ ἀπ' ὀφθαλμοὺς λίπεν αἰδώς.
Μνώεο δ', ἢν ἄρα δή ποθ' ὑπότροπος οἴκαδ' ἵκηαι,
οὔνομα Μηδείης· ὣς δ' αὖτ' ἐγὼ ἀμφὶς ἐόντος
μνήσομαι. Εἰπὲ δέ μοι πρόφρων τόδε, πῇ τοι ἔασιν
δώματα, πῇ νῦν ἔνθεν ὑπεὶρ ἅλα νηῒ περήσεις·
ἤ νύ που ἀφνειοῦ σχεδὸν ἵξεαι Ὀρχομενοῖο,
ἠὲ καὶ Αἰαίης νήσου πέλας; εἰπὲ δὲ κούρην,
ἥν τινα τήνδ' ὀνόμηνας ἀριγνώτην γεγαυῖαν
Πασιφάης, ἣ πατρὸς ὁμόγνιός ἐστιν ἐμοῖο.
Ὣς φάτο· τὸν δὲ καὶ αὐτὸν ὑπήϊε δάκρυσι κούρης
οὖλος Ἔρως, τοῖον δὲ παραβλήδην ἔπος ηὔδα·
Καὶ λίην οὐ νύκτας ὀΐομαι οὐδέ ποτ' ἦμαρ
σεῦ ἐπιλήσεσθαι προφυγὼν μόρον, εἰ ἐτεόν γε
φεύξομαι ἀσκηθὴς ἐς Ἀχαιΐδα, μηδέ τιν' ἄλλον
Αἰήτης προβάλῃσι κακώτερον ἄμμιν ἄεθλον.
Εἰ δέ τοι ἡμετέρην ἐξίδμεναι εὔαδε πάτρην
ἐξερέω· μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει.
Ἔστι τις αἰπεινοῖσι περίδρομος οὔρεσι γαῖα,
πάμπαν ἐΰρρηνός τε καὶ εὔβοτος, ἔνθα Προμηθεὺς
Ἰαπετιονίδης ἀγαθὸν τέκε Δευκαλίωνα,
ὃς πρῶτος ποίησε πόλεις καὶ ἐδείματο νηοὺς
ἀθανάτοις, πρῶτος δὲ καὶ ἀνθρώπων βασίλευσεν.
Αἱμονίην δὴ τήν γε περικτίονες καλέουσιν.
Ἐν δ' αὐτῇ Ἰαωλκός, ἐμὴ πόλις, ἐν δὲ καὶ ἄλλαι
πολλαὶ ναιετάουσιν, ἵν' οὐδέ περ οὔνομ' ἀκοῦσαι
Αἰαίης νήσου· Μινύην γε μὲν ὁρμηθέντα,
Αἰολίδην Μινύην, ἔνθεν φάτις Ὀρχομενοῖο
δή ποτε Καδμείοισιν ὁμούριον ἄστυ πολίσσαι.
Ἀλλὰ τίη τάδε τοι μεταμώνια πάντ' ἀγορεύω,
ἡμετέρους τε δόμους τηλεκλείτην τ' Ἀριάδνην,
κούρην Μίνωος, τόπερ ἀγλαὸν οὔνομα κείνην
παρθενικὴν καλέεσκον ἐπήρατον, ἥν μ' ἐρεείνεις;
Αἴθε γάρ, ὥς Θησῆϊ τότε ξυναρέσσατο Μίνως
ἀμφ' αὐτῆς, ὣς ἄμμι πατὴρ τεὸς ἄρθμιος εἴη.
Ὣς φάτο μειλιχίοισι καταψήχων ὀάροισιν·
τῆς δ' ἀλεγεινόταται κραδίην ἐρέθεσκον ἀνῖαι,
καί μιν ἀκηχεμένη ἀδινῷ προσπτύξατο μύθῳ.
Ἑλλάδι που τάδε καλὰ συνημοσύνας ἀλεγύνειν·
Αἰήτης δ' οὐ τοῖος ἐν ἀνδράσιν, οἷον ἔειπας
Μίνω Πασιφάης πόσιν ἔμμεναι· οὐδ' Ἀριάδνῃ
ἰσοῦμαι· τῷ μή τι φιλοξενίην ἀγόρευε.

e-satis draconis atra in gleba dentibus,
si excitatos multos ex-agro observaveris,
clam lapidem immitte validum : illi vero ejus causa,
rabidi velut canes propter cibum, conficient
se-invicem : atque ipse propera in-pugnam
ruere. Vellus autem in Græciam propterea
auferes ex Æa procul : abi tamen,
qua gratum *est*, qua tibi placet profecto ire.
Sic igitur dixit, et tacite ad pedes oculis demissis
largiter tepidis genas lacrimis rigavit,
dolens, quod esset admodum longe a-se
per mare erraturus : mœsto igitur eum contra
iterum sermone allocuta-est, prehenditque manum
dextram : jam enim ejus oculos reliquerat pudor :
Memento, si quidem aliquando redux domum veneris,
nominis Medeæ : sic vero et ego absentis
recordabor. Dic vero mihi benevole hæc, ubinam tibi sunt
ædes, quo nunc hinc super mare navi abiturus-sis :
utrum ad-opulentam prope accessurus-sis Orchomenum,
an Ææam ad insulam? Memora etiam puellam,
quam quidem illam nominasti nobilem filiam
Pasiphaes, quæ patris soror est mei.
Sic locuta-est : illum vero et ipsum subiit, lacrimis
puellæ,] sævus Amor, hoc vero vicissim verbum dixit :
Omnino nec noctu puto nec unquam interdiu
tui *me* obliturum-esse, evitata morte, si vere quidem
effugiam salvus in Græciam, nec quendam alium
Æetes objecerit pejorem nobis laborem.
Si vero tibi nostram cognoscere placet patriam,
edisseram : admodum enim me et ipsum animus jubet.
Est quædam celsis circumdata montibus terra,
omnimo ovibus-abundans atque pascuis, ubi Prometheus,
Japeti-filius, bonum genuit Deucalionem,
qui primus condidit urbes, et ædificavit templa
diis, primus vero etiam inter homines regnavit.
Hæmoniam illam quidem vicini nominant.
In ea Iolcus, mea patria, in *ea* etiam aliæ
multæ *urbes* habitantur, ubi ne nomen quidem *licet* au-
dire] Æææ insulæ : Minyam vero profectum,
Æoliden Minyam, inde fama *est* Orchomeni
aliquando Cadmeis conterminam urbem condidisse.
At quid hæc tibi frustra omnia dico,
nostras domos, et longe-celeberrimam Ariadnen,
filiam Minois, quo splendido nomine illam
virginem appellabant amabilem, de-qua me interrogas?
Utinam enim, ut cum-Theseo tum consensit Minos
de illa, sic nobis pater tuus amicus sit!
Sic dixit, blandis demulcens verbis;
illius vero acerbissimæ animum vexabant curæ,
atque eum tristis miserabili allocuta-est sermone :
In-Græcia forte hoc honestum *est*, pactorum rationem
-habere :] Æetes vero non talis inter homines, qualem dicis
Minoa Pasiphaes maritum fuisse : neque Ariadnæ
æqualis-sum : quare noli hospitalitem commemorare.

Ἀλλ' οἶον τύνη μὲν ἐμεῦ, ὅτ' Ἰωλκὸν ἵκηαι,
μνώεο· σεῖο δ' ἐγὼ καὶ ἐμῶν ἀέκητι τοκήων
μνήσομαι. Ἔλθοι δ' ἡμὶν ἀπόπροθεν ἠέ τις ὄσσα,
ἠέ τις ἄγγελος ὄρνις, ὅτ' ἐκλελάθοιο ἐμεῖο·
ἢ αὐτήν με ταχεῖαι ὑπὲρ πόντοιο φέροιεν
ἐνθένδ' εἰς Ἰαωλκὸν ἀναρπάξασαι ἄελλαι,
ὄφρα σ' ἐν ὀφθαλμοῖσιν ἐλεγχείας προφέρουσα
μνήσω ἐμῇ ἰότητι πεφυγμένον. Αἴθε γὰρ εἴην
ἀπροφάτως τότε σοῖσιν ἐφέστιος ἐν μεγάροισιν.
Ὣς ἄρ' ἔφη ἐλεεινὰ καταπροχέουσα παρειῶν
δάκρυα· τὴν δ' ὅ γε δῆθεν ὑποβλήδην προσέειπεν·
Δαιμονίη, κενεὰς μὲν ἔα πλάζεσθαι ἀέλλας,
ὡς δὲ καὶ ἄγγελον ὄρνιν, ἐπεὶ μεταμώνια βάζεις.
Εἰ δέ κεν ἤθεα κεῖνα καὶ Ἑλλάδα γαῖαν ἵκηαι,
τιμήεσσα γυναιξὶ καὶ ἀνδράσιν αἰδοίη τε
ἔσσεαι· οἱ δέ σε πάγχυ θεὸν ὣς πορσανέουσιν,
οὕνεκα τῶν μὲν παῖδες ὑπότροποι οἴκαδ' ἵκοντο
σῇ βουλῇ, τῶν δ' αὖτε κασίγνητοί τε ἔται τε
καὶ θαλεροὶ κακότητος ἄδην ἐσάωθεν ἀκοῖται.
Ἡμέτερον δὲ λέχος θαλάμοις ἔνι κουριδίοισιν
πορσυνέεις· οὐδ' ἄμμε διακρινέει φιλότητος
ἄλλο, πάρος θάνατόν γε μεμορμένον ἀμφικαλύψαι.
Ὣς φάτο· τῇ δ' ἔντοσθε κατείβετο θυμὸς ἀκουῇ.
Ἔμπης δ' ἔργ' ἀίδηλα κατερρίγησεν ἰδέσθαι
σχετλίη· οὐ μὲν δηρὸν ἀπαρνήσασθαι ἔμελλεν
Ἑλλάδα ναιετάειν. Ὣς γὰρ τόδε μήδετο Ἥρη,
ὄφρα κακὸν Πελίῃ ἱερὴν ἐς Ἰωλκὸν ἵκηται
Αἰαίη Μήδεια, λιποῦσ' ἄπο πατρίδα γαῖαν·
Ἤδη δ' ἀμφίπολοι μὲν ὀπιπτεύουσαι ἄπωθεν
σιγῇ ἀνιάζεσκον· ἐδεύετο δ' ἤματος ὥρη
ἂψ οἰκόνδε νέεσθαι ἑὴν μετὰ μητέρα κούρην.
Ἡ δ' οὔπω κομιδῆς μιμνήσκετο, τέρπετο γάρ οἱ
θυμὸς ὁμῶς μορφῇ τε καὶ αἱμυλίοισι λόγοισιν,
εἰ μὴ ἄρ' Αἰσονίδης πεφυλαγμένος ὀψέ περ ηὔδα·
Ὥρη ἀποβλώσκειν, μὴ πρὶν φάος ἠελίοιο
δύῃ ὑποφθάμενον, καί τις τὰ ἕκαστα νοήσῃ
ὀθνείων· αὖτις δ' ἀβολήσομεν ἐνθάδ' ἰόντες.
Ὣς τώ γ' ἀλλήλων ἀγανοῖς ἐπὶ τόσσον ἔπεσσιν
πειρήθεν· μετὰ δ' αὖτε διέτμαγεν. Ἤτοι Ἰήσων
εἰς ἑτάρους καὶ νῆα κεχαρμένος ὦρτο νέεσθαι·
ἡ δὲ μετ' ἀμφιπόλους· αἱ δὲ σχεδὸν ἀντεβόλησαν
πᾶσαι ὁμοῦ· τὰς δ' οὔ τι περιπλομένας ἐνόησεν.
Ψυχὴ γὰρ νεφέεσσι μεταχρονίη πεπότητο.
Αὐτομάτοις δὲ πόδεσσι θοῆς ἐπεβήσατ' ἀπήνης,
καί ῥ' ἑτέρῃ μὲν χειρὶ λάβ' ἡνία, τῇ δ' ἄρ' ἱμάσθλην
δαιδαλέην, οὐρῆας ἐλαυνέμεν· οἱ δὲ πόλινδε
θῦνον ἐπειγόμενοι ποτὶ δώματα. Τὴν δ' ἄρ' ἰοῦσαν
Χαλκιόπη περὶ παισὶν ἀκηχεμένη ἐρέεινεν·
ἡ δὲ παλιντροπίῃσιν ἀμήχανος οὔτε τι μύθων
ἔκλυεν, οὔτ' αὐδῆσαι ἀνειρομένη λελίητο.
Ἷζε δ' ἐπὶ χθαμαλῷ σφέλαϊ κλιντῆρος ἔνερθεν,
λέχρις ἐρεισαμένη λαιῇ ἐπὶ χειρὶ παρειήν·
ὑγρὰ δ' ἐνὶ βλεφάροις ἔχεν ὄμματα, πορφύρουσα
οἷον ἑῇ κακὸν ἔργον ἐπεξυνώσατο βουλῇ.

Sed tantum tu mei, quando Iolcum redieris,
memento : tui ego, vel meis invitis parentibus,
recordabor. Veniat vero nobis e-longinquo aut quædam
fama] aut nuncia quædam avis, quando oblitus-fueris mei:
aut ipsam me celeres super mare ferant
hinc Iolcum abreptam venti,
ut tibi, ante oculos (*coram*) probra ingerens,
in-memoriam-revocem, meo consilio *te* effugisse. Utinam
enim essem] ex-improviso tum tuis præsens in ædibus!
Sic igitur dixit, miserabiles profundens de-genis
lacrimas; eam autem ille vicissim allocutus-est :
O-bona, inanes sine vagari ventos,
item etiam nunciam avem, quoniam vana loqueris.
Si vero in-illas sedes et Græciam veneris,
honorata mulieribus et viris, venerandaque
eris, qui te omnino velut numen colent,
quod horum filii reduces domum venerint
tuo consilio, illarum rursus et fratres et cognati
et florentes e-malis omnino servati-sint conjuges.
Nostri vero tori thalamis in virgineis
consors eris : neque nos distrahet ab-amore
aliud quidquam, antequam mors fatalis circumdet.
Sic dixit : illi vero intus diffluebat animus *his* auditis.
Attamen facinora atra horruit videre,
misera : nec diu recusatura erat
In-Græcia habitare. Ita enim hoc molita-erat Juno,
ut in-exitium Peliæ sacram in Iolcum veniret
Colchica Medea, relicta patria terra.
Jam famulæ spectantes procul
tacite mœrebant; postulabat autem diei tempus,
retro domum ut-iret suam ad matrem puella.
Illa autem nondum reditus memor-fuisset : (delectabatur
enim ei] animus simul forma et dulcibus verbis :)
nisi Jason cautus, quanquam sero, dixisset :
Tempus *est* discedendi, ne prius lux solis
occidat præveniens, et quis omnia intelligat
alienorum : iterum vero conveniemus huc euntes.
Sic illi se-mutuo blandis tamdiu verbis
tentarunt : tum vero discesserunt. Nam Jason
ad socios et navem lætus festinavit redire;
hæc ad ancillas : quæ prope occurrerunt
omnes una : eas tamen nequaquam advenientes animadvertit.]
Anima enim in-nubibus sublimis volabat.
Spontaneis autem pedibus celerem conscendit rhedam,
atque altera manu prehendit habenas, altera scuticam
artificiosam, mulos ad-impellendos : hi vero in-urbem
ruebant festinantes ad palatia. Illam reversam
Chalciope de filiis sollicita interrogavit :
ipsa autem sollicitudine perplexa nec sermones
audivit, nec respondere interroganti voluit.
Sedit autem in humili scabello sellæ infra
oblique suffulciens læva manu genam :
humidos inter palpebras habebat oculos, cogitans
quam mali facinoris suo particeps-esset consilio.

Αἰσονίδης δ' ὅτε δὴ ἑτάροις ἐξαῦτις ἔμικτο
ἐν χώρῃ, ὅθι τούς γε καταπρολιπὼν ἐλιάσθη,
ὦρτ' ἰέναι σὺν τοῖσι, πιφαυσκόμενος τὰ ἕκαστα,
ἡρώων ἐς ὅμιλον· ὁμοῦ δ' ἐπὶ νῆα πέλασσαν.
Οἱ δέ μιν ἀμφαγάπαζον, ὅπως ἴδον, ἔκ τ' ἐρέοντο.
Αὐτὰρ ὁ τοῖς πάντεσσι μετέννεπε δήνεα κούρης,
δεῖξέ τε φάρμακον αἰνόν· ὁ δ' οἰόθεν οἶος ἑταίρων
Ἴδας ἧστ' ἀπάνευθε δακὼν χόλον· οἱ δὲ δὴ ἄλλοι
γηθόσυνοι, τῆμος μὲν, ἐπὶ κνέφας ἔργαθε νυκτὸς,
εὔκηλοι ἐμέλοντο περὶ σφίσιν. Αὐτὰρ ἅμ' ἠοῖ
πέμπον ἐς Αἰήτην ἰέναι σπόρον αἰτήσοντας
ἄνδρε δύω, πρὸ μὲν αὐτὸν ἀρηΐφιλον Τελαμῶνα,
σὺν δὲ καὶ Αἰθαλίδην υἷα κλυτὸν Ἑρμείαο.
Βὰν δ' ἴμεν οὐδ' ἁλίωσαν ὁδόν· πόρε δέ σφιν ἰοῦσιν
χρείων Αἰήτης χαλεποὺς ἐς ἄεθλον ὀδόντας
Ἀονίοιο δράκοντος, ὃν Ὠγυγίῃ ἐνὶ Θήβῃ
Κάδμος, ὅτ' Εὐρώπην διζήμενος εἰσαφίκανεν,
πέφνεν, Ἀρητιάδι κρήνῃ ἐπίουρον ἐόντα,
ἔνθα καὶ ἐννάσθη πομπῇ βοὸς, ἥν οἱ Ἀπόλλων
ὤπασε μαντοσύνῃσι προηγήτειραν ὁδοῖο.
Τοὺς δὲ θεὰ Τριτωνὶς ὑπὲκ γενύων ἐλάσασα
Αἰήτῃ πόρε δῶρον ὁμῶς αὐτῷ τε φονῆϊ.
Καί ῥ' ὁ μὲν Ἀονίοισιν ἐνισπείρας πεδίοισιν
Κάδμος Ἀγηνορίδης γαιηγενῆ εἵσατο λαὸν,
Ἄρεος ἀμώοντος ὅσοι ὑπὸ δουρὶ λίποντο·
τοὺς δὲ τότ' Αἰήτης ἔπορεν μετὰ νῆα φέρεσθαι
προφρονέως, ἐπεὶ οὔ μιν ὀΐσσατο πείρατ' ἀέθλου
ἐξανύσειν, εἰ καί περ ἐπὶ ζυγὰ βουσὶ βάλοιτο.
Ἠέλιος μὲν ἄπωθεν ἐρεμνὴν δύετο γαῖαν
ἑσπέριος νεάτας ὑπὲρ ἄκριας Αἰθιοπήων·
Νὺξ δ' ἵπποισιν ἔβαλλεν ἔπι ζυγά· τοὶ δὲ χαμεύνας
ἔντυον ἥρωες παρὰ πείσμασιν. Αὐτὰρ Ἰήσων
αὐτίκ' ἐπεὶ ῥ' Ἑλίκης εὐφεγγέος ἀστέρες ἄρκτου
ἔκλιθεν, οὐρανόθεν δὲ πανεύκηλος γένετ' αἰθὴρ,
βῆ ῥ' ἐς ἐρημαίην κλωπήϊος ἠΰτε τις φὼρ
σὺν πᾶσιν χρήεσσι· πρὸ γάρ τ' ἀλέγυνεν ἕκαστα
ἠμάτιος· θῆλυν μὲν ὄϊν γάλα τ' ἔκτοθι ποίμνης
Ἄργος ἰὼν ἤνεικε· τὰ δ' ἐξ αὐτῆς ἕλε νηός.
Ἀλλ' ὅτε δὴ ἴδε χῶρον, ὅτις πάτου ἔκτοθεν ἦεν
ἀνθρώπων, καθαρῇσιν ὑπεύδιος εἱαμενῇσιν,
ἔνθ' ἤτοι πάμπρωτα λοέσσατο μὲν ποταμοῖο
εὐαγέως θείοιο τέρεν δέμας· ἀμφὶ δὲ φᾶρος
ἕσσατο κυάνεον, τὸ μέν οἱ πάρος ἐγγυάλιξεν
Λημνιὰς Ὑψιπύλη, ἀδινῆς μνημήϊον εὐνῆς.
Πηχυΐον δ' ἄρ' ἔπειτα πέδῳ ἔνι βόθρον ὀρύξας
νήησεν σχίζας, ἐπὶ δ' ἀρνειοῦ τάμε λαιμὸν,
αὐτόν τ' εὖ καθύπερθε τανύσσατο· δαῖε δὲ φιτροὺς
πῦρ ὑπένερθεν ἱεὶς, ἐπὶ δὲ μιγάδας χέε λοιβὰς,
Βριμὼ κικλήσκων Ἑκάτην ἐπαρωγὸν ἀέθλων.
Καί ῥ' ὁ μὲν ἀγκαλέσας πάλιν ἔστιχεν· ἡ δ' ἀΐουσα
κευθμῶν ἐξ ὑπάτων δεινὴ θεὸς ἀντεβόλησεν
ἱροῖς Αἰσονίδαο· πέριξ δέ μιν ἐστεφάνωντο
σμερδαλέοι δρυΐνοισι μετὰ πτόρθοισι δράκοντες·
στράπτε δ' ἀπειρέσιον δαΐδων σέλας· ἀμφὶ δὲ τήν γε

Jason autem ubi jam cum-sociis iterum convenerat
eo loco, quo illis relictis discesserat,
perrexit cum iis, exponens singula,
heroum ad cœtum : una vero ad navem accesserunt.
Illi eum amplexabantur, ut viderant, et interrogarunt.
At ipse his omnibus narravit consilia puellæ,
ostenditque medicamentum vehemens : sed seorsim solus
sociorum] Idas sedit procul mordens iram : ceteri vero
læti tum quidem, quando tenebræ cohibebant noctis,
quieti curam-gesserunt suarum rerum : at primo mane
miserunt ad Æeten, qui-irent semen petituri,
viros duos, præcipue ipsum belli-amantem Telamonem,
una vero etiam Æthaliden, filium nobilem Mercurii.
Iverunt igitur; nec frustra-confecerunt iter : dedit enim
ipsis euntibus] rex Æetes difficiles in laborem dentes
Aonii serpentis, quem Ogygias ad Thebas
Cadmus, quando Europam quærens venerat,
interfecit, Marti-sacris fontis custodem,
ubi etiam habitavit, præeunte vacca, quam ei Apollo
præbuerat oraculo ducem viæ,
hos vero (*dentes*) dea Tritonia e maxillis evulsos
Æetæ dedit dono simul ei ipsi (*Cadmo*), qui-necaverat.
Et hic quidem Aoniis insevit campis,
Cadmus Agenorides, terrigenamque condidit populum,
quotquot Marte demetente hasta superstites-erant :
Alios vero *dentes* tum Æetes dedit ad navem avehendos
lubenter, quoniam non eum putabat metas certaminis
esse-assecuturum, si vel juga tauris injecerit.
Sol quidem procul tenebricosam subiit terram
vespertinus, ultimos supra vertices Æthiopum :
Nox vero equis imposuit juga : tum strata
pararunt heroes ad retinacula. At Jason
statim, postquam Helices splendentis stellæ ursæ
inclinabantur, cœlitusque omnino-tranquillus exstitit
æther,] abiit in desertum clandestinus, veluti quidam fur,
cum omnibus rebus-necessariis; antea enim curaverat singula]
interdiu : feminam quidem ovem et lac ex ovili
Argus attulerat : reliqua vero ex ipsa sumsit nave.
At quando jam vidit locum, qui extra viam-tritam erat
hominum, in-puris tranquillus pratis-irriguis,
ibi quidem primum lavit fluvio
rite divino tenerum corpus : circum autem pallium
induit nigrum, quod quidem ei antea dederat
Lemnia Hypsipyle, crebri monumentum concubitus
Cubitali deinde in solo fovea effossa
exstruxit ligna-scissa, et agnæ secuit jugulum,
ipsamque bene superne extendit, accenditque stipites
igne subjecto, mixtaque affudit libamina,
Brimonem invocans Hecaten adjutricem laborum.
Qua invocata ille retro cessit : illa vero audiens
specubus ex imis horrenda dea accessit
ad-sacra Jasonis : undique autem eam cingebant
horribiles quernis cum ramis dracones :
coruscabat vero infinitum facium lumen : circa illam

ὀξείῃ ὑλακῇ χθόνιοι κύνες ἐφθέγγοντο.
Πίσεα δ' ἔτρεμε πάντα κατὰ στίβον· αἱ δ' ὀλόλυξαν
Νύμφαι ἑλειονόμοι ποταμηίδες, αἳ περὶ κείνην
Φάσιδος εἱαμενὴν Ἀμαραντίου εἱλίσσονται.
Αἰσονίδην δ' ἤτοι μὲν ἕλεν δέος, ἀλλά μιν οὐδ' ὧς
ἐντροπαλιζόμενον πόδες ἔκφερον, ὄφρ' ἑτάροισι
μίκτο κιών· ἤδη δὲ φόως νιφόεντος ὕπερθεν
Καυκάσου ἠριγενὴς Ἠὼς βάλεν ἀντέλλουσα.
Καὶ τότ' ἄρ' Αἰήτης περὶ μὲν στήθεσσιν ἕεστο
θώρηκα στάδιον, τόν οἱ πόρεν ἐξεναρίξας
σφωιτέρης Φλεγραῖον Ἄρης ὑπὸ χερσὶ Μίμαντα·
χρυσείην δ' ἐπὶ κρατὶ κόρυν θέτο τετραφάληρον,
λαμπομένην, οἷόν τε περίτροχον ἔπλετο φέγγος
ἠελίου, ὅτε πρῶτον ἀνέρχεται Ὠκεανοῖο.
Ἂν δὲ πολύρρινον νώμα σάκος, ἂν δὲ καὶ ἔγχος
δεινόν, ἀμαιμάκετον· τὸ μὲν οὔ κέ τις ἄλλος ὑπέστη
ἀνδρῶν ἡρώων, ὅτε κάλλιπον Ἡρακλῆα
τῆλε παρέξ, ὅ κεν οἶος ἐναντίβιον πτολέμιζεν.
Τῷ δὲ καὶ ὠκυπόδων ἵππων εὐπηγέα δίφρον
ἔσχε πέλας Φαέθων ἐπιβήμεναι· ἂν δὲ καὶ αὐτὸς
βήσατο, ῥυτῆρας δὲ χεροῖν ἔχεν. Ἐκ δὲ πόληος
ἤλασεν εὐρεῖαν κατ' ἀμαξιτόν, ὥς κεν ἀέθλῳ
παρσταίη· σὺν δέ σφιν ἀπείριτος ἔσσυτο λαός.
Οἷος δ' Ἴσθμιον εἶσι Ποσειδάων ἐς ἀγῶνα
ἅρμασιν ἐμβεβαώς, ἢ Ταίναρον ἢ ὅγε Λέρνης
ὕδωρ ἠὲ κατ' ἄλσος Ὑαντίου Ὀγχηστοῖο,
καί τε Καλαύρειαν μετὰ δῆθ' ἅμα νίσσεται ἵπποις
Πέτρην θ' Αἱμονίην ἢ δενδρήεντα Γεραιστόν·
τοῖος ἄρ' Αἰήτης Κόλχων ἀγὸς ἦεν ἰδέσθαι.
Τόφρα δὲ Μηδείης ὑποθημοσύνῃσιν Ἰήσων
φάρμακα μυδήνας ἠμὲν σάκος ἀμφεπάλυνεν
ἠδὲ δόρυ βριαρόν, περὶ δὲ ξίφος· ἀμφὶ δ' ἑταῖροι
πείρησαν τευχέων βεβιημένοι, οὐδὲ δύναντο
κεῖνο δόρυ γνάμψαι τυτθόν γέ περ, ἀλλὰ μάλ' αὔτως
ἀαγὲς κρατερῇσιν ἐνεσκλήκει παλάμῃσιν.
Αὐτὰρ ὁ τοῖς ἄμοτον κοτέων Ἀφαρήιος Ἴδας
κόψε παρ' οὐρίαχον μεγάλῳ ξίφει· ἆλτο δ' ἀκωκὴ
ῥαιστὴρ ἄκμονος ὥστε παλιντυπές· οἱ δ' ὁμάδησαν
γηθόσυνοι ἥρωες ἐπ' ἐλπωρῇσιν ἀέθλου.
Καὶ δ' αὐτὸς μετέπειτα παλύνετο· δῦ δέ μιν ἀλκὴ
σμερδαλέη, ἄφατός τε καὶ ἄτρομος· αἱ δ' ἑκάτερθεν
χεῖρες ἐπερρώσαντο περὶ σθένεϊ σφριγόωσαι.
Ὡς δ' ὅτ' ἀρήιος ἵππος ἐελδόμενος πολέμοιο
σκαρθμῷ ἐπιχρεμέθων κρούει πέδον, αὐτὰρ ὕπερθεν
κυδιόων ὀρθοῖσιν ἐπ' οὔασιν αὐχέν' ἀείρει·
τοῖος ἄρ' Αἰσονίδης ἐπαγαίετο κάρτεϊ γυίων.
Πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα μετάρσιον ἴχνος ἔπαλλεν
ἀσπίδα χαλκείην μελίην τ' ἐν χερσὶ τινάσσων.
Φαίης κεν ζοφεροῖο κατ' αἰθέρος ἀίσσουσαν
χειμερίην στεροπὴν θαμινὸν μεταπαιφάσσεσθαι
ἐκ νεφέων, ὅτ' ἔπειτα μελάντατον ὄμβρον ἄγωνται.
Καὶ τότ' ἔπειτ' οὐ δηρὸν ἔτι σχήσεσθαι ἀέθλων
μέλλον· ἀτὰρ κλισμοῖσιν ἐπισχερὼ ἱδρυνθέντες
ῥίμφα μάλ' ἐς πεδίον τὸ Ἀρήιον ἠπείγοντο.

acuto latratu inferi canes sonum-edebant.
Prata vero tremebant omnia circa vestigium: et ululabant
Nymphæ paludem-incolentes fluviales, quæ circa illum
Phasidis palustrem-locum Amarantii versantur.
Jasonem quidem occupavit metus, sed eum ne sic quidem
respicientem pedes ferebant, ut cum-sociis
jungeretur reversus : jam vero lucem nivoso super
Caucaso matutina Aurora misit exoriens.
Et tum quidem Æetes pectoribus induit
thoracem firmum, quem ei præbuerat, qui-interfecerat
suis Phlegræum Mars manibus Mimantem :
auream vero capiti galeam imposuit quatuor-conis insignem
splendentem, quale orbiculare est lumen
solis, ubi primum prodit ex-Oceano.
Ac multis-coriis-constans versabat scutum, et hastam
terribilem, immensam, quam quidem nemo alius susti-
nuisset] virorum heroum, quum reliquissent Herculem
procul, qui vel solus contra pugnasset.
Ei etiam velocium equorum bene-compactum currum
tenebat juxta Phaëthon conscendendum : atque et ipse
conscendit habenasque manibus tenuit. Ex urbe autem
agitavit *currum* latam per viam, ut certamini
adstaret : cum illis autem infinitus ruit populus.
Qualis vero Isthmium abit Neptunus ad certamen
curru vectus, aut Tænarum, aut idem Lernæ
ad-aquam, aut per lucum Hyantii (*Bœoti*) Onchesti
atque Calauream forte adit cum equis
Petramque Hæmoniam, aut arboribus-consitum Geræ-
stum :] talis igitur Æetes Colchorum dux erat visendus.
Interea Medeæ monitis Jason
medicamentis destillatis et scutum undique-consperserat
et hastam validam atque ensem : circaque socii
tentarunt arma, vi-adhibita, neque potuerunt
illam hastam flectere vel tantillum : immo adeo
infracta robustis induruerat manibus.
At his vehementer irascens Aphareius Idas
feriit juxta ferratam-cuspidem magno ense : resiluit vero
acies,] velut malleus ab-incude, repercussa : ipsi freme-
bant] læti heroes ob spem certaminis.
Atque ipse deinde oblinebatur, subiitque eum robur
horrendum, infandumque et intrepidum, et utrinque
manus induruerunt viribus valentes.
Ut vero bellicus equus appetens prœlium
calcitrando hinniens pulsat solum, at superne
exsultans rectis auribus cervicem extollit :
talis Jason exsultabat robore membrorum.
Multum vero hinc inde sublimes pedes movit
clypeum æreum et hastam manu agitans.
Diceres atro de æthere delapsum
in-tempestate fulgur frequenter coruscare
ex nubibus, quando deinde nigerrimum imbrem adducunt.
Atque tum deinde non diu amplius cohibituri se a certa-
minibus erant : sed in-sedilibus ex-ordine considentes
celerrime in campum Martium properarunt.

Τόσσον δὲ προτέρω πέλεν ἄστεος ἀντιπέρηθεν,
ὅσσον τ' ἐκ βαλβῖδος ἐπήβολος ἅρματι νύσσα
γίγνεται, ὁππότ' ἄεθλα καταφθιμένοιο ἄνακτος
κηδεμόνες πεζοῖσι καὶ ἱππήεσσι τίθενται.
Τέτμον δ' Αἰήτην τε καὶ ἄλλων ἔθνεα Κόλχων
τοὺς μὲν Καυκασίοισιν ἐφεσταότας σκοπέλοισιν,
τὸν δ' αὐτοῦ παρὰ χεῖλος ἑλισσόμενον ποταμοῖο.
Αἰσονίδης δ', ὅτε δὴ πρυμνήσια δῆσαν ἑταῖροι,
δή ῥα τότε ξὺν δουρὶ καὶ ἀσπίδι βαῖν' ἐς ἄεθλον
νηὸς ἀποπροθορών· ἄμυδις δ' ἕλε παμφανόωσαν
χαλκείην πήληκα θοῶν ἔμπλειον ὀδόντων
καὶ ξίφος ἀμφ' ὤμοις, γυμνὸς δέμας, ἄλλα μὲν Ἄρει
εἴκελος, ἄλλα δέ που χρυσαόρῳ Ἀπόλλωνι.
Παπτήνας δ' ἀνὰ νειὸν ἴδε ζυγὰ χάλκεα ταύρων,
αὐτόγυόν τ' ἐπὶ τοῖς στιβαροῦ ἀδάμαντος ἄροτρον.
Χρίμψε δ' ἔπειτα κιών, παρὰ δ' ὄβριμον ἔγχος ἔπηξεν
ὀρθὸν ἐπ' οὐριάχῳ, κυνέην δ' ἀποκάτθετ' ἐρείσας.
Βῆ δ' αὐτῇ προτέρωσε σὺν ἀσπίδι νήριτα ταύρων
ἴχνια μαστεύων· οἱ δ' ἔκποθεν ἀφράστοιο
κευθμῶνος χθονίου, ἵνα τε σφίσιν ἔσκε βόαυλα
καρτερὰ λιγνυόεντι πέριξ εἰλυμένα καπνῷ,
ἄμφω ὁμοῦ προγένοντο πυρὸς σέλας ἀμπνείοντες.
Ἔδδεισαν δ' ἥρωες, ὅπως ἴδον. Αὐτὰρ ὁ τούς γε
εὖ διαβὰς ἐπιόντας ἅτε σπιλὰς εἰν ἁλὶ πέτρη
μίμνει ἀπειρεσίῃσι δονεύμενα κύματ' ἀέλλαις.
Πρόσθε δέ οἱ σάκος ἔσχεν ἐναντίον· οἱ δέ μιν ἄμφω
μυκηθμῷ κρατεροῖσιν ἐνέπληξαν κεράεσσιν·
οὐδ' ἄρα μιν τυτθόν περ ἀνώχλισαν ἀντιόωντες.
Ὡς δ' ὅτ' ἐνὶ τρητοῖσιν ἐΰρρινοι χοάνοισιν
φῦσαι χαλκήων ὁτὲ μέν τ' ἀναμαρμαίρουσιν,
πῦρ ὀλοὸν πιμπρᾶσαι, ὅτ' αὖ λήγουσιν ἀϋτμῆς,
δεινὸς δ' ἐξ αὐτῶν πέλεται βρόμος, ὁππότ' ἀΐξῃ
νειόθεν· ὣς ἄρα τώγε θοὴν φλόγα φυσιόωντες
ἐκ στομάτων ὁμάδουν, τὸν δ' ἄμφι τε δήϊον αἶθος
βάλλεν ἅτε στεροπή· κούρης δέ ἑ φάρμακ' ἔρυτο.
Καί ῥ' ὅγε δεξιτεροῖο βοὸς κέρας ἄκρον ἐρύσσας
εἷλκεν ἐπικρατέως παντὶ σθένει, ὄφρα πελάσσῃ
ζεύγλῃ χαλκείῃ, τὸν δ' ἐν χθονὶ κάββαλεν ὀκλάξ,
ῥίμφα ποδὶ κρούσας πόδα χάλκεον. Ὣς δὲ καὶ ἄλλον
σφῆλε γνὺξ ἐπιόντα, μιῇ βεβολημένον ὁρμῇ.
Εὐρὺ δ' ἀποπροβαλὼν χαμάδις σάκος, ἔνθα καὶ ἔνθα
τῇ καὶ τῇ βεβαὼς ἄμφω ἔχε πεπτηῶτας
γούνασιν ἐν προτέροισι, διὰ φλογὸς εἶθαρ ἐλυσθείς.
Θαύμασε δ' Αἰήτης σθένος ἀνέρος. Οἱ δ' ἄρα τείως
Τυνδαρίδαι, δὴ γάρ σφι πάλαι προπεφραδμένον ἦεν,
ἀγχίμολον ζυγά οἱ πεδόθεν δόσαν ἀμφιβαλέσθαι.
Αὐτὰρ ὁ εὖ ἐνέδησε λόφους· μεσσηγὺ δ' ἀείρας
χάλκεον ἱστοβοῆα θοῇ συνάρασσε κορώνῃ
ζεύγληθεν. Καὶ τὼ μὲν ὑπὲκ πυρὸς ἂψ ἐπὶ νῆα
χαζέσθην. Ὁ δ' ἄρ' αὖτις ἑλὼν σάκος ἔνθετο νώτῳ
ἐξόπιθεν, καὶ γέντο θοῶν ἔμπλειον ὀδόντων
πήληκα βριαρὴν δόρυ τ' ἄσχετον, ᾧ ῥ' ὑπὸ μέσσας
ἐργατίνης ὥς τίς τε Πελασγίδι νύσσεν ἀκαίνῃ
οὐτάζων λαγόνας· μάλα δ' ἔμπεδον εὖ ἀραρυῖαν

Tantum vero *hic* erat ultra urbem ex-adverso,
quantum a carceribus attingenda curru meta
est, cum certamina mortuo rege
præsides peditibus et equitibus constituunt.
Invenerunt autem et Æeten et aliorum gentes Colchorum,
hos quidem Caucasiis insistentes scopulis,
illum vero ad ipsius littus flexum fluvii.

Jason autem, quando jam retinacula alligarant socii,
tum tandem cum hasta et clypeo contendit ad certamen,
e-nave prosiliens: simul vero cepit undique-fulgentem
æream galeam acutis plenam dentibus,
atque ensem circum humeros, nudus corpore, partim Marti
similis, partim ferme aureo-ense Apollini.
Circumspiciens vero novale vidit juga ærea taurorum,
atque cum-dentali præter illa ex-solido ferro *factum* aratrum.] Accessit deinde proprius, validamque hastam adfixit
rectam cuspide-ferrea, galeamque deposuit firmatam.
Abiit autem ulterius ipso cum clypeo certa taurorum
vestigia indagans: illi autem alicunde ex-improviso
latibulo subterraneo, ubi etiam ipsis erant stabula
firma, fuliginoso undique involuta fumo,
ambo una proruperunt, ignis flammam spirantes.
Metuerunt autem heroes, ut viderunt. At ille eos,
bene divaricatis-cruribus, irruentes *mansit,* ut prominens
in mari petra] manet immensis concitatos fluctus procellis.
Ante se vero scutum tenuit adversum: illi ipsum ambo
cum-mugitu validis ferierunt cornibus:
neque tamen eum vel tantillum sollicitarunt irruentes.
Ut autem in perforatis e-coriis-bene-compacti fornacibus
folles fabrorum nunc *ignis*-splendorem-emittunt,
ignem vehementem accendentes, nunc cessant a-flatu,
horrendus autem ex iis existit fremitus, quando erupeit
ab-imo: sic igitur illi (*tauri*) celerem flammam evomentes
oribus fremebant, illumque infesta flamma
circumdedit ut fulmen: puellæ tamen eum medicamina
tuebantur.] Atque ille dextri bovis cornu summum prehensum] traxit fortiter omnibus viribus, usque-dum adduxerat] ad-jugum æreum, tum eum in terram dejecit curvatis-genibus,] celeriter pede impellens pedem æreum. Sicque
etiam alterum] evertit, ut-in-genua-procumberet, accedentem, uno ictum impetu.] Lato autem abjecto in-terram scuto
hinc et illinc,] hac et illa-parte ingressus ambo tenebat prolapsos] in genua anteriora, flamma statim obtectus.
Mirabatur vero Æetes robur viri. Interea autem
Tyndaridæ (etenim iis dudum provisum erat)
prope juga ei ex-campo præbebant imponenda.
At ille bene alligavit cervicibus: intereaque sublatum
æreum temonem acuto adaptavit annulo
ex-jugo, atque illi ex-igni retro ad navem
abierunt. At ille iterum sumtum scutum imposuit humeris
a-tergo, recepitque acutis plenam dentibus
galeam validam hastamque immensam, qua media
agricola velut quidam Pelasgico pupugit stimulo
vulnerans latera: et firmissime bene compactam

τυκτὴν ἐξ ἀδάμαντος ἐπιθύνεσκεν ἐχέτλην.
Οἱ δὲ τέως μὲν δὴ περιώσια θυμαίνεσκον,
λάβρον ἐπιπνείοντε πυρὸς σέλας· ὦρτο δ' ἀϋτμὴ,
ἠΰτε βυκτάων ἀνέμων βρόμος, οὕστε μάλιστα
δειδιότες μέγα λαῖφος ἁλίπλοοι ἐστείλαντο.
Δηρὸν δ' οὐ μετέπειτα κελευόμενοι ὑπὸ δουρὶ
ἤϊσαν· ὀκριόεσσα δ' ἐρείκετο νειὸς ὀπίσσω,
σχιζομένη ταύρων τε βίῃ κρατερῷ τ' ἀροτῆρι
Δεινὸν δ' ἐσμαράγευν ἄμυδις κατὰ ὦλκας ἀρότρου
βώλακες ἀγνύμεναι ἀνδραχθέες· εἵπετο δ' αὐτὸς
λαῖον ἐπὶ στιβαρῷ πιέσας ποδί· τῆλε δ' ἑεῖο
βάλλεν ἀρηρομένην αἰεὶ κατὰ βῶλον ὀδόντας,
ἐντροπαλιζόμενος, μή οἱ πάρος ἀντιάσειεν
Γηγενέων ἀνδρῶν ὀλοὸς στάχυς· οἱ δ' ἄρ' ἐπιπρὸ
χαλκείῃς χηλῇσιν ἐρειδόμενοι πανέοντο.
Ἦμος δὲ τρίτατον λάχος ἤματος ἀνομένοιο
λείπεται ἐξ ἠοῦς, καλέουσι δὲ κεκμηῶτες
ἐργατίναι γλυκερόν σφιν ἄφαρ βουλυτὸν ἱκέσθαι,
τῆμος ἀρήροτο νειὸς ὑπ' ἀκαμάτῳ ἀροτῆρι,
τετράγυός περ ἐοῦσα, βοῶν τ' ἀπελύετ' ἄροτρα.
Καὶ τοὺς μὲν πεδίονδε διεπτοίησε φέβεσθαι·
αὐτὰρ ὁ ἂψ ἐπὶ νῆα πάλιν κίεν, ὄφρ' ἔτι κεινὰς
Γηγενέων ἀνδρῶν ἴδεν αὔλακας. Ἀμφὶ δ' ἑταῖροι
θάρσυνον μύθοισιν. Ὁ δ' ἐκ ποταμοῖο ῥοάων
αὐτῇ ἀφυσσάμενος κυνέῃ σβέσεν ὕδατι δίψαν· [μὸν
γνάμψε δὲ γούνατ' ἐλαφρὰ, μέγαν δ' ἐμπλήσατο θυ-
ἀλκῆς, μαιμώων συῒ εἴκελος, ὅς ῥά τ' ὀδόντας
θήγει θηρευτῇσιν ἐπ' ἀνδράσιν, ἀμφὶ δὲ πολλὸς
ἀφρὸς ἀπὸ στόματος χαμάδις ῥέε χωομένοιο.
Οἱ δ' ἤδη κατὰ πᾶσαν ἀνασταχύεσκον ἄρουραν
Γηγενέες· φρίξεν δὲ περὶ στιβαροῖς σακέεσσιν
δούρασί τ' ἀμφιγύοις κορύθεσσί τε λαμπομένῃσιν
Ἄρηος τέμενος φθισιμβρότου· ἵκετο δ' αἴγλη
νειόθεν Οὔλυμπόνδε δι' ἠέρος ἀστράπτουσα.
Ὡς δ' ὁπότ' ἐς γαῖαν πολέος νιφετοῖο πεσόντος
ἂψ ἀπὸ χειμερίας νεφέλας ἐκέδασσαν ἄελλαι
λυγαίῃ ὑπὸ νυκτὶ, τὰ δ' ἀθρόα πάντα φαάνθη
τείρεα λαμπετόωντα διὰ κνέφας· ὣς ἄρα τοίγε
λάμπον ἀναλδήσκοντες ὑπὲρ χθονός. Αὐτὰρ Ἰήσων
μνήσατο Μηδείης πολυκερδέος ἐννεσιάων·
λάζετο δ' ἐκ πεδίοιο μέγαν περιηγέα πέτρον,
δεινὸν Ἐνυαλίου σόλον Ἄρεος· οὔ κέ μιν ἄνδρες
αἰζηοὶ πίσυρες γαίης ἄπο τυτθὸν ἄειραν. [σοις
Τόν ῥ' ἀνὰ χεῖρα λαβὼν μάλα τηλόθεν ἔμβαλε μέσ-
ἀΐξας· αὐτὸς δ' ὑφ' ἑὸν σάκος ἕζετο λάθρη
θαρσαλέως. Κόλχοι δὲ μέγ' ἴαχον, ὡς ὅτε πόντος
ἴαχεν ὀξείῃσιν ἐπιβρομέων σπιλάδεσσιν·
τὸν δ' ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο
Αἰήτην. Οἱ δ' ὥστε θοοὶ κύνες ἀμφιθορόντες
ἀλλήλους βρυχηδὸν ἐπήϊον· οἱ δ' ἐπὶ γαῖαν
μητέρα πῖπτον ἑοῖς ὑπὸ δούρασιν, ἠΰτε πεῦκαι
ἢ δρύες, ἅστ' ἀνέμοιο καταΐκες δονέουσιν.
Οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται ἀστὴρ,
ὁλκὸν ὑπαυγάζων, τέρας ἀνδράσιν, οἵ μιν ἴδωνται

iactam ex ferro direxit stivam.
Illi aliquamdiu quidem vehementer irascebantur,
immanem spirantes ignis flammam : excitabaturque flatus,
ut explentium-vela ventorum fremitus, quos maxime
metuentes magnum velum nautæ contrahunt.
Neque tamen diu post coacti hasta
iverunt : asperum autem lacerabatur arvum pone,
scissum et taurorum vi et valido aratore.
Horrendum vero fragorem-ediderunt simul per sulcos ara-
tri] glebæ fractæ ingentes : sequebatur vero ipse
cultrum forti calcans pede : procul vero a-se
jecit aratam continuo in glebam dentes
retrospiciens, ne sibi prius occurreret
Terrigenarum virorum sæva seges : illi igitur ulterius
ferreis ungulis innitentes laborarunt.
Quando vero tertia pars diei confecti
relicta-est inde-ab aurora, vocantque fessi
agricolæ dulcem sibi statim vesperam ut-veniat,
tum peraratum-erat novale ab indefesso aratore,
quatuor-jugera quamquam capiebat ; et boum solvebantur
aratra.] Et illos quidem perterrefecit, in-campum ut-fuge-
rent :] at ipse iterum ad navem rediit, dum adhuc vacuos
a-Terrigenis viris vidit sulcos. Undique vero socii
animarunt *eum* oratione. Ille ex fluvii fluentis
ipsa hausit galea, et restinxit aqua sitim :
flexitque genua levia, et magnum implevit animum
robore, *certaminis* cupidine apro similis, qui quidem
dentes] acuit in venatores, undique autem multa
spuma de ore in-terram defluit iracundi.
Jamque per omne progerminaverant arvum
Terrigenæ : horrebatque undique validis scutis,
et hastis utrimque-acutis, galeisque splendentibus
Martis lucus homicidæ : venitque splendor
ab-imo in-Olympum-usque per aërem coruscans.
Ut vero, in terram multa nive delapsa,
iterum hibernas nubes dissipant procellæ
atra sub nocte, atque conferta omnia apparent
astra splendentia per tenebras : sic illi
fulgebant excrescentes super terram. At Jason
memor-fuit Medeæ callidissimæ monitorum :
arripuitque e campo magnum rotundum saxum,
ingentem Enyalii discum Martis : non eum viri
juvenes quatuor e terra vel paullulum sustulissent.
Eum igitur manu correptum admodum procul injecit in
medios] saliens : ipse vero sub suo scuto sedit clam
audacter. Colchi autem valde inclamarunt, velut quando
mare] reboat acutis infremens scopulis :
sed cepit stupor, propter-jactum validi disci,
Æeten. Illi, ut veloces canes, circumsilientes
se-mutuo cum-fremitu aggressi-sunt : alii in terram
matrem ceciderunt suis sub hastis, tamquam piceæ
aut quercus, quas venti turbines evertunt.
Qualis autem cœlitus rutila fertur stella
tractum collustrans, portentum hominibus, qui eam vide-

μαρμαρυγῇ σκοτίοιο δι' ἠέρος ἀΐξαντα·
τοῖος ἄρ' Αἴσονος υἱὸς ἐπέσσυτο Γηγενέεσσιν.
Γυμνὸν δ' ἐκ κολεοῖο φέρε ξίφος· οὖτα δὲ μίγδην
ἀμώων, πολέας μὲν ἔτ' ἐς νηδὺν λαγόνας τε
ἡμίσεας ἀνέχοντας ἐς ἠέρα· τοὺς δὲ καὶ ἄχρις
γούνων τελλομένους· τοὺς δὲ νέον ἑστηῶτας·
τοὺς δ' ἤδη καὶ ποσσὶν ἐπειγομένους ἐς ἄρηα.
Ὡς δ' ὁπότ' ἀμφ' οὔροισιν ἐγειρομένου πολέμοιο
δείσας γειομόρος, μή οἱ προτάμωνται ἀρούρας,
ἅρπην εὐκαμπῆ νεοθηγέα χερσὶ μεμαρπὼς,
ὠμὸν ἐπισπεύδων κείρει στάχυν, οὐδὲ βολῇσιν
μίμνει ἐς ὡραίην τερσήμεναι ἠελίοιο·
ὡς τότε Γηγενέων κεῖρεν στάχυν· αἵματι δ' ὁλκοὶ
ἠΰτε κρηναῖαι ἀμάραι πλήθοντο ῥοῇσιν.
Πῖπτον δ' οἱ μὲν ὀδὰξ τετρηχότα βῶλον ἀρούρης
λαζόμενοι πρηνεῖς· οἱ δ' ἔμπαλιν· οἱ δ' ἐπ' ἀγοστῷ
καὶ πλευροῖς, κήτεσσι δομὴν ἀτάλαντοι ἰδέσθαι.
Πολλοὶ δ' οὐτάμενοι, πρὶν ἀπὸ χθονὸς ἴχνος ἀεῖραι,
ὅσσον ἄνω προὔτυψαν ἐς ἠέρα, τόσσον ἔραζε
βριθόμενοι πλαδαροῖσι καρήασιν ἠρήρειντο.
Ἔρνεά που τοίως Διὸς ἄσπετον ὀμβρήσαντος
φυταλιῇ νεόθρεπτα κατημύουσιν ἔραζε
κλασθέντα ῥίζηθεν, ἀλωήων πόνος ἀνδρῶν·
τὸν δὲ κατηφείη τε καὶ οὐλοὸν ἄλγος ἱκάνει
κλήρου σημαντῆρα φυτοτρόφον· ὣς τότ' ἄνακτος
Αἰήταο βαρεῖαι ὑπὸ φρένας ἦλθον ἀνίαι.
Ἤϊε δ' ἐς πτολίεθρον ὑπότροπος ἄμμιγα Κόλχοις
πορφύρων, ᾗ κέ σφι θοώτερον ἀντιόῳτο.
Ἦμαρ ἔδυ καὶ τῷ τετελεσμένος ἦεν ἄεθλος.

rint] cum-splendore obscurum per aërem ruere:
talis Æsonis filius irruit in-Gigantes.
Nudum e-vagina extraxit ensem, vulneravitque promiscue
demetens, multos quidem tantum ad-usque ventrem et latera] dimidios exstantes in aërem, alios etiam usque
ad-genua prominentes, alios modo stantes,
alios jam etiam pedibus properantes in pugnam.
Ut vero, quando super finibus excitatur bellum,
veritus agricola, ne *hostes* sibi præmeterent segetes,
falce incurva recens-acuta manibus arrepta
immaturam festinans metit spicam, neque radiis,
exspectat ad usque-æstatem, ut-siccentur solis:
sic tum Terrigenarum desecuit segetem: sanguine autem
sulci,] ut fontium alvei aquis, pleni erant.
Conciderunt autem alii dentibus asperam glebam arvi
corripientes proni, alii retro, alii in cubitum
et latera, cetis corporis-structura similes visendi.
Multi autem vulnerati, priusquam a terra pedem tollerent,
quantum sursum emerserant in auras, tantum in-terram
gravati madidis capitibus figebantur.
Plantæ tali fere modo, Iove affatim pluente,
in-loco-plantis-consito nuper-nutritæ declinantur in-terram
fractæ radicitus, olitorum labor virorum:
ipsum vero tristitia et acerbus dolor invadit
fundi possessorem, qui-plantas-aluit: sic tum regis
Æetæ graves animum subierunt dolores.
Abiit vero in urbem reversus simul-cum Colchis,
meditans, qua-ratione ipsis acrius adversaretur.
Dies occidit, atque illi peractus erat labor.

ΒΙΒΛΙΟΝ Δ.

Αὐτὴ νῦν κάματόν γε, θεά, καὶ δήνεα κούρης
Κολχίδος ἔννεπε, Μοῦσα, Διὸς τέκος. Ἦ γὰρ ἔμοιγε
ἀμφασίῃ νόος ἔνδον ἑλίσσεται ὁρμαίνοντι,
ἠέ μιν ἄτης πῆμα δυσίμερον, ἦ τό γ' ἐνίσπω
φύζαν ἀεικελίην, ᾗ κάλλιπεν ἔθνεα Κόλχων.
Ἤτοι ὁ μὲν δήμοιο μετ' ἀνδράσιν, ὅσσοι ἄριστοι,
παννύχιος δόλον αἰπὺν ἐπὶ σφίσι μητιάασκεν
οἷσιν ἐνὶ μεγάροις στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ
Αἰήτης ἄμοτον κεχολωμένος· οὐδ' ὅ γε πάμπαν
θυγατέρων τάδε νόσφιν ἑῶν τελέεσθαι ἐώλπει.
Τῇ δ' ἀλεγεινότατον κραδίῃ φόβον ἔμβαλεν Ἥρη.
Τρέσσεν δ', ἠΰτε τις κούφη κεμὰς, ἥντε βαθείης
τάρφεσιν ἐν ξυλόχοιο κυνῶν ἐφόβησεν ὁμοκλή.
Αὐτίκα γὰρ νημερτὲς ὀΐσσατο, μή μιν ἀρωγὴν
ληθέμεν, αἶψα δὲ πᾶσαν ἀναπλήσειν κακότητα.
Τάρβει δ' ἀμφιπόλους ἐπιίστορας· ἐν δέ οἱ ὄσσε
πλῆτο πυρὸς, δεινὸν δὲ περιβρομέεσκον ἀκουαί.
Πυκνὰ δὲ λαυκανίης ἐπεμάσσατο, πυκνὰ δὲ κουρὶξ
ἑλκομένη πλοκάμους γοερῇ βρυχήσατ' ἀνίῃ.
Καί νύ κεν αὐτοῦ τῆμος ὑπέρμορον ὤλετο κούρη

LIBER IV.

Ipsa nunc laborem, dea, et consilia puellæ
Colchicæ dic, Musa, Jovis filia. Profecto enim mihi
fluctuans animus intus volvitur, dubitanti,
utrum ipsum (*laborem*) malum ex-infelici-amore-natum,
an hoc dicam] fugam ob-iram-(*patris*)-susceptam, qua deseruit gentes Colchorum.] Nam ille quidem cum populi viris, quotquot præstantissimi *erant,*] per-totam-noctem dolum gravem in istos (*Argonautas*) meditabatur] suo in palatio, invisum animo propter-certamen] Æetes valde iratus:
neque ille omnino] sine filiabus hæc suis peracta-esse existimaverat.] Huic autem (*Medeæ*) gravissimum animo metum
injecit Juno;] trepidavitque, velut levis quædam dama,
quam profundi] in dumetis nemoris canum exterruit latratus.] Statim enim vere opinata-est, non illum (*patrem*) auxilium] latere, moxque omnem completurum-esse miseriam.
Metuit autem ancillas rei-conscias: eique oculi
implebantur igne, et horrendum circumsonabant aures.
Sæpe jugulum contrectavit, sæpe a-capite
detractis capillis lugubri ejulavit mœrore.
Atque sane ibi tum, quod-non-in-fatis-erat, periisset puella

φάρμακα πασσαμένη, Ἥρης δ' ἁλίωσε μενοινάς,
εἰ μή μιν Φρίξοιο θεὰ σὺν παισὶ φέβεσθαι
ὦρσεν ἀτυζομένην· πτερόεις δέ οἱ ἐν φρεσὶ θυμὸς
ἰάνθη· μετὰ δ' ἥγε παλίσσυτος ἀθρόα κόλπων
φάρμακα πάντ' ἄμυδις κατεχεύατο φωριαμοῖο.
Κύσσε δ' ἑόν τε λέχος καὶ δικλίδας ἀμφοτέρωθεν
σταθμούς, καὶ τοίχων ἐπαφήσατο χερσί τε μακρὸν
ῥηξαμένη πλόκαμον θαλάμῳ μνημήϊα μητρὶ
κάλλιπε παρθενίης, ἀδινῇ δ' ὀλοφύρατο φωνῇ.
Τόνδε τοι ἀντ' ἐμέθεν ταναὸν πλόκον εἶμι λιποῦσα,
μῆτερ ἐμή, χαίροις δὲ καὶ ἄνδιχα πολλὸν ἰούσῃ·
χαίροις Χαλκιόπη καὶ πᾶς δόμος. Αἴθε σε πόντος,
ξεῖνε, διέρραισεν, πρὶν Κολχίδα γαῖαν ἱκέσθαι.
Ὣς ἄρ' ἔφη· βλεφάρων δὲ κατ' ἀθρόα δάκρυα χεῦεν.
Οἵη δ' ἀφνειοῖο διειλυσθεῖσα δόμοιο
ληΐς, ἥντε νέον πάτρης ἀπενόσφισεν αἶσα,
οὐδέ νύ πω μογεροῖο πεπείρηται καμάτοιο,
ἀλλ' ἔτ' ἀηθέσσουσα δύης καὶ δούλια ἔργα
εἶσιν ἀτυζομένη χαλεπὰς ὑπὸ χεῖρας ἀνάσσης·
τοίη ἄρ' ἱμερόεσσα δόμων ἐξέσσυτο κούρη.
Τῇ δὲ καὶ αὐτόματοι θυρέων ὑπόειξαν ὀχῆες,
ὠκείαις ἄψορροι ἀναθρώσκοντες ἀοιδαῖς.
Γυμνοῖσιν δὲ πόδεσσιν ἀνὰ στεινὰς θέεν οἴμους,
λαιῇ μὲν χερὶ πέπλον ἐπ' ὀφρύσιν ἀμφὶ μέτωπα
στειλαμένη καὶ καλὰ παρήϊα, δεξιτερῇ δὲ
ἄκρην ὑψόθι πέζαν ἀερτάζουσα χιτῶνος.
Καρπαλίμως δ' ἀΐδηλον ἀνὰ στίβον ἔκτοθι πύργων
ἄστεος εὐρυχόροιο φόβῳ ἵκετ'· οὐδέ τις ἔγνω
τήνδε φυλακτήρων, λάθε δὲ σφέας ὁρμηθεῖσα.
Ἔνθεν ἴμεν νηόνδε μάλ' ἐφράσατ'· οὐ γὰρ ἄϊδρις
ἦεν ὁδῶν, θαμὰ καὶ πρὶν ἀλωμένη ἀμφί τε νεκροὺς
ἀμφί τε δυσπαλέας ῥίζας χθονός, οἷα γυναῖκες
φαρμακίδες· τρομερῷ δ' ὑπὸ δείματι πάλλετο θυμός·
Τὴν δὲ νέον Τιτηνὶς ἀνερχομένη περάτηθεν
φοιταλέην ἐσιδοῦσα θεὰ ἐπεχήρατο Μήνη
ἁρπαλέως, καὶ τοῖα μετὰ φρεσὶν ᾗσιν ἔειπεν.
Οὐκ ἄρ' ἐγὼ μούνη μετὰ Λάτμιον ἄντρον ἀλύσκω,
οὐδ' οἴη καλῷ περιδαίομαι Ἐνδυμίωνι·
ἦ θαμὰ δὴ καὶ σεῖο κίον δολίῃσιν ἀοιδαῖς
μνησαμένη φιλότητος, ἵνα σκοτίῃ ἐνὶ νυκτὶ
φαρμάσσῃς εὔκηλος, ἅ τοι φίλα ἔργα τέτυκται.
Νῦν δὲ καὶ αὐτὴ δῆθεν ὁμοίης ἔμμορες ἄτης·
δῶκε δ' ἀνιηρόν τοι Ἰήσονα πῆμα γενέσθαι
δαίμων ἀλγινόεις. Ἀλλ' ἔρχεο, τέτλαθι δ' ἔμπης,
καὶ πινυτή περ ἐοῦσα, πολύστονον ἄλγος ἀείρειν.
Ὣς ἄρ' ἔφη· τὴν δ' αἶψα πόδες φέρον ἐγκονέουσαν.
Ἀσπασίως δ' ὄχθῃσιν ἐπηέρθη ποταμοῖο,
ἀντιπέρην λεύσσουσα πυρὸς σέλας, ὅ ῥά τ' ἀέθλου
παννύχιοι ἥρωες ἐϋφροσύνῃσιν ἔδαιον.
Ὀξείῃ δ' ἤπειτα διὰ κνέφας ὄρθια φωνῇ
ὁπλότατον Φρίξοιο περαιόθεν ἤπυε παίδων,
Φρόντιν· ὁ δὲ ξὺν ἑοῖσι κασιγνήτοις ὄπα κούρης
αὐτῷ τ' Αἰσονίδῃ τεκμαίρετο· σῖγα δ' ἑταῖροι
θάμβεον, εὖτ' ἐνόησαν ὃ δὴ καὶ ἐτήτυμον ἦεν.

veneno degustato, Iunonisque vana-reddidisset consilia,
nisi eam dea Pbrixi cum filiis fugere
impulisset metuentem : alatus autem ei in pectore animus
reficiebatur : atque ea mutato-consilio confestim e-sinu
venena omnia una defudit in-arculam.
Osculata-autem est et suum lectum et bifores utrimque
postes, et parietes contrectavit, et manibus longum
avulsum cincinnum in-thalamo monumentum matri
reliquit virginitatis, lugubrique lamentata-est voce :
Hoc tibi pro me longo cirro abibo relicto,
mater mea, valeas *mihi* admodum procul digressæ :
vale, Chalciope, omnisque domus. Utinam te mare,
hospes, perdidisset, priusquam in Colchicam terram venires !] Sic igitur dixit : et a-palpebris plurimas lacrimas effudit.]
Qualis vero opulenta clam-egressa domo
captiva-puella, quam nuper e-patria abstulit fatum,
neque unquam ærumnosum experta-est laborem,
sed adhuc insueta miseriæ atque servilia opera
horrens subit duras manus dominæ :
talis igitur amabilis ex-ædibus exiit puella.
Ei etiam sponte-sua forium cesserunt vectes
celeribus retrorsum resilientes incantationibus.
Nudis autem pedibus per angustas cucurrit vias,
sinistra manu peplo superciliis circa frontem
imposito et pulchras genas : dextra vero
extremam in-altum oram tollens tunicæ.
Celeriter vero obscuram in semitam extra muros
urbis spatiosæ præ-metu venit : neque quis agnovit
eam custodum, latuitque illos profecta.
Inde abire ad-templum maxime constituit: neque enim inscia] erat viarum, frequenter etiam antea pervagata et circa cadavera] et circa difficiles radices terræ, uti mulieres
veneficæ *solent* : trepido vero pavore agitabatur animus.
Eam vero Titania modo rediens a-meta
errantem conspicata dea lætabatur Luna
cupide, atque sic secum dixit :
Non igitur ego sola Latmium antrum adeo,
neque sola *amore* pulchri excrucior Endymionis.
Profecto sæpe etiam tuis abil dolosis incantationibus
recordata amoris, ut caliginosa nocte
venena-parares quieta, quæ tibi grata opera sunt.
Nunc vero etiam ipsa simile sortita-es malum :
effecit autem, tristi tibi Jason cruciatui ut-esset,
deus acerbus. At vade, sustine tamen,
quanquam callida es, gravissimum dolorem subire.
Sic dixit : eam celeriter pedes auferebant properantem.
Et cupide ripas conscendit fluvii,
ex-adverso conspiciens ignis jubar, quem ob certaminis
per-totam-noctem heroes lætitiam incenderant.
Acuta deinde per tenebras vehementer voce
minimum-natu Phrixi ex-opposito vocavit filiorum,
Phrontin : ille cum suis fratribus vocem puellæ *esse*,
et cum-ipso Jasone, conjecit : tacite vero socii
stupebant, ubi senserant, quod sane etiam verum erat.

Τρὶς μὲν ἀνήϋσεν, τρὶς δ' ὀτρύνοντος ὁμίλου
Φρόντις ἀμοιϐήδην ἀντίαχεν· οἱ δ' ἄρα τείως
ἥρωες μετὰ τήν γε θοοῖς ἐλάασκον ἐρετμοῖς.
Οὔπω πείσματα νηὸς ἐπ' ἠπείροιο περαίης
βάλλον, ὁ δὲ κραιπνοὺς χέρσῳ πόδας ἧκεν Ἰήσων
ὑψοῦ ἀπ' ἰκριόφιν· μετὰ δὲ Φρόντις τε καὶ Ἄργος,
υἷε δύω Φρίξου, χαμάδις θόρον· ἡ δ' ἄρα τούς γε
γούνων ἀμφοτέρῃσι περισχομένη προσέειπεν. [τοὺς
Ἔκ με, φίλοι, ῥύσασθε δυσάμμορον, ὣς δὲ καὶ αὐ-
δμέας Αἰήταο, πρὸ γάρ τ' ἀναφανδὰ τέτυκται
πάντα μάλ', οὐδέ τι μῆχος ἱκάνεται. Ἀλλ' ἐπὶ νηὶ
φεύγωμεν, πρὶν τόνδε θοῶν ἐπιϐήμεναι ἵππων.
Δώσω δὲ χρύσειον ἐγὼ δέρος, εὐνήσασα
φρουρὸν ὄφιν· τύνη δὲ θεοὺς ἐνὶ σοῖσιν ἑταίροις,
ξεῖνε, τεῶν μύθων ἐπιίστορας, οὕς μοι ὑπέστης,
ποίησαι· μηδ' ἔνθεν ἑκαστέρω ὁρμηθεῖσαν
χήτει κηδεμόνων ὀνοτὴν καὶ ἀεικέα θείης.
Ἴσκεν ἀκηχεμένη· μέγα δὲ φρένες Αἰσονίδαο
γήθεον· αἶψα δέ μιν περὶ γούνασι πεπτηυῖαν
ἧκ' ἀναειρόμενος προσπτύξατο θάρσυνέν τε·
Δαιμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω
Ἥρη τε Ζυγίη, Διὸς εὐνέτις, ἦ μὲν ἐμοῖσιν
κουριδίην σε δόμοισιν ἐνιστήσεσθαι ἄκοιτιν,
εὖτ' ἂν ἐς Ἑλλάδα γαῖαν ἱκώμεθα νοστήσαντες.
Ὣς ηὔδα καὶ χεῖρα παρασχεδὸν ἤραρε χειρὶ
δεξιτερήν· ἡ δέ σφιν ἐς ἱερὸν ἄλσος ἀνώγει
νῆα θοὴν ἐλάαν αὐτοσχεδὸν, ὄφρ' ἔτι νύκτωρ
κῶας ἑλόντες ἄγοιντο παρὲκ νόον Αἰήταο.
Ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισιν.
Εἰς γάρ μιν βήσαντες ἀπὸ χθονὸς αὐτίκ' ἔωσαν
νῆα· πολὺς δ' ὀρυμαγδὸς ἐπειγομένων ἐλάτῃσιν
ἦεν ἀριστήων· ἡ δ' ἔμπαλιν ἀΐσσουσα
γαίῃ χεῖρας ἔτεινεν ἀμήχανος. Αὐτὰρ Ἰήσων
θάρσυνέν τ' ἐπέεσσι, καὶ ἴσχανεν ἀσχαλόωσαν.
Ἦμος δ' ἀνέρες ὕπνον ἀπ' ὀφθαλμῶν ἐϐάλοντο
ἀγρόται, οἵτε κύνεσσι πεποιθότες οὔ ποτε νύκτα
ἄγχαυρον κνώσσουσιν, ἀλευάμενοι φάος ἠοῦς,
μὴ πρὶν ἀμαλδύνῃ θηρῶν στίϐον ἠδὲ καὶ ὀδμὴν
θηρείην λευκῇσιν ἐνισκίμψασα βολῇσιν·
τῆμος ἄρ' Αἰσονίδης κούρη τ' ἀπὸ νηὸς ἔϐησαν
ποιήεντ' ἀνὰ χῶρον, ἵνα κριοῦ καλέονται
εὐναὶ, ὅθι πρῶτον κεκμηότα γούνατ' ἔκαμψεν,
νώτοισιν φορέων Μινυήϊον υἷ' Ἀθάμαντος.
Ἐγγύθι δ' αἰθαλόεντα πέλεν βωμοῖο θέμεθλα,
ὅν ῥά ποτ' Αἰολίδης Διὶ Φυξίῳ εἵσατο Φρίξος,
ῥέζων κεῖνο τέρας παγχρύσεον, ὥς οἱ ἔειπεν
Ἑρμείας πρόφρων ξυμϐλήμενος. Ἔνθ' ἄρα τούς γε
Ἄργου φραδμοσύνῃσιν ἀριστῆες μεθέηκαν.
Τὼ δὲ δι' ἀτραπιτοῖο μεθ' ἱερὸν ἄλσος ἵκοντο,
φηγὸν ἀπειρεσίην διζημένω, ᾗ ἔπι κῶας
βέϐλητο νεφέλῃ ἐναλίγκιον, ἥτ' ἀνιόντος
ἠελίου φλογερῇσιν ἐρεύθεται ἀκτίνεσσιν.
Αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνετο δειρὴν
ὀξὺς ἀΰπνοισιν προϊδὼν ὄφις ὀφθαλμοῖσιν

Ter quidem exclamavit, ter autem, hortante cœtu,
Phrontis vicissim reclamavit : interea vero
heroes ad eam celeribus remigabant remis.
Nondum retinaculis navis continenti oppositæ
injectis, celeres in-terram pedes immisit Jason
alte ex tabulatis : post *eum* Phrontis et Argus,
filii duo Phrixi, in-terram desiluerunt : illa igitur hos,
genua utraque-manu amplexa, affata-est :
Me, amici, eripite, miseram, simulque etiam ipsos
vos Æetæ : etenim prodita sunt
omnia omnino, neque ullum remedium superest. Verum
navi] fugiamus, priusquam iste celeres conscendat equos.
Dabo vero aureum ego vellus, sopito
custode dracone : tu vero deos coram tuis sociis,
hospes, tuorum promissorum testes, quæ mihi dedisti,
fac : neque hinc longius profectam
orbitate cognatorum vituperandam et infamem reddas.
Dixit tristis : valde vero mens Jasonis
lætata-est : statimque eam ad genua prolapsam
leniter sublatam amplexus-est et cohortatus :
O bona, Jupiter ipse Olympius testis esto,
Junoque Pronuba, Jovis conjux, profecto *me* in-meis
legitimam te ædibus ducturum-esse uxorem,
quando in Græcam terram venerimus reversi.
Sic dixit, et manum statim inseruit manui
dextram : illa eos in sacrum lucum jussit
navem celerem agere statim, ut adhuc noctu
vellus captum auferrent contra sententiam Æetæ.
Tunc dictum factumque simul erat properantibus.
Nam ea imposita a terra statim depulerunt
navem : multus autem strepitus incumbentium remis
erat heroum : illa retro saliens
versus-terram manus extendit consilii-inops. At Jason
et animavit verbis, et detinuit mœrentem.
Quando autem (viri) somnum ab oculis excutiunt
venatores, qui canibus confisi nunquam nocte
profunda dormiunt, vitantes lumen auroræ,
ne prius deleat ferarum vestigia aut etiam odorem
ferinum, lucidis si-incubuerit radiis :
eo-tempore Jason et puella e nave egressi-sunt
herbosum in locum, ubi arietis appellantur
cubilia, quo-loco primum fessa genua inflexit,
dorso vehens Minyeum filium Athamantis (*Phrixum*).
Prope vero fuliginosa erant aræ fundamenta,
quam quidem Æolides Jovi Phyxio erexerat Phrixus,
immolans illud portentum aureum, quemadmodum eum
jusserat] Mercurius benevole obviam-factus. Ibi igitur illos
Argi consilio heroes dimiserunt.
Illi vero per semitam ad sacrum nemus venerunt
fagum ingentem quærentes, in quâ vellus
jacebat, nubi simile, quæ orientis
solis flammeis rubet radiis.
At ex-adverso longissimum extendebat collum
acer insomnibus prospiciens draco oculis

[illegible]

Ὅσσον δὲ ῥινὸς βοὸς [illegible]
γίγνεται, [illegible] ἀγχαίνετ' [illegible] καλέουσιν,
τόσσον ἔην πάντη, χρύσεον ἐφύπερθεν ἄωτον.
Βεβρίθει λήνεσσιν ἐπηρεφές· ἤλιθα δὲ χθὼν
αἰὲν ὑπὸ πρὸ ποδῶν ἀμαρύσσετο νισσομένοιο.
Ἤιε δ' ἄλλοτε μὲν λαιῷ ἐπιειμένος ὤμῳ
αὐχένος ἐξ ὑπάτοιο ποδηνεκές, ἄλλοτε δ' αὖτε
εἴλει ἀφασσόμενος· πέρι γὰρ δίεν, ὄφρα ἑ μή τις
ἀνδρῶν ἠὲ θεῶν νοσφίσσεται ἀντιβολήσας.

[illegible]
Quanta vero pellis [illegible]
est, quam quidem [illegible] appellant, tantum erat undique [illegible]
superne vellus; [illegible] erat lanis [illegible]
semper ante pedes pulverulenta [illegible]
[illegible]

Ἠὼς μὲν ῥ' ἐπὶ γαῖαν ἐκίδνατο, τοὶ δ' ἐς ὅμιλον
ἷξον· θάμβησαν δὲ νέοι μέγα κῶας ἰδόντες
λαμπόμενον στεροπῇ ἴκελον Διός. Ὦρτο δ' ἕκαστος
ψαῦσαι ἐελδόμενος δέχθαι τ' ἐνὶ χερσὶν ἑῇσιν.
Αἰσονίδης δ' ἄλλους μὲν ἐρήτυε, τῷ δ' ἔπι φᾶρος
κάββαλε νηγάτεον· πρύμνῃ δ' ἐνεείσατο κούρην
ἀνθέμενος, καὶ τοῖον ἔπος μετὰ πᾶσιν ἔειπεν.
Μηκέτι νῦν χάζεσθε, φίλοι, πάτρηνδε νέεσθαι.
Ἤδη γὰρ χρειὼ, τῆς εἵνεκα τήνδ' ἀλεγεινὴν
ναυτιλίην ἔτλημεν ὀϊζύϊ μοχθίζοντες,
εὐπαλέως κούρης ὑπὸ δήνεσι κεκράανται.
Τὴν μὲν ἐγὼν ἐθέλουσαν ἀνάξομαι οἴκαδ' ἄκοιτιν
κουριδίην· ἀτὰρ ὔμμες Ἀχαιίδος οἷά τε πάσης
αὐτῶν θ' ὑμείων ἐσθλὴν ἐπαρωγὸν ἐοῦσαν
σώετε. Δὴ γάρ που μάλ' ὀίομαι εἶσιν ἐρύξων
Αἰήτης ὁμάδῳ πόντονδ' ἴμεν ἐκ ποταμοῖο.
Ἀλλ' οἱ μὲν διὰ νηὸς ἀμοιβαδὶς ἀνέρος ἀνὴρ
ἑζόμενος πηδοῖσιν ἐρέσσετε· τοὶ δὲ βοείας
ἀσπίδας ἡμίσεες, δηίων θοὸν ἔχμα βολάων,
προσχόμενοι νόστῳ ἐπαμύνετε. Νῦν δ' ἐνὶ χερσὶν
παῖδας ἑοὺς πάτρην τε φίλην γεραρούς τε τοκῆας
ἴσχομεν· ἡμετέρῃ δ' ἐπερείδεται Ἑλλὰς ἐφορμῇ
ἠὲ κατηφείην, ἢ καὶ μέγα κῦδος ἀρέσθαι.
Ὡς φάτο· δῦνε δὲ τεύχε' ἀρήϊα· τοὶ δ' ἰάχησαν
θεσπέσιον μεμαῶτες. Ὁ δὲ ξίφος ἐκ κολεοῖο
σπασσάμενος πρυμναῖα νεὼς ἀπὸ πείσματ' ἔκοψεν.
Ἄγχι δὲ παρθενικῆς κεκορυθμένος ἰθυντῆρι
Ἀγκαίῳ παρέβασκεν· ἐπείγετο δ' εἰρεσίῃ νηῦς
σπερχομένων ἄμοτον ποταμοῦ ἄφαρ ἐκτὸς ἐλάσσαι.
Ἤδη δ' Αἰήτῃ ὑπερήνορι πᾶσί τε Κόλχοις
Μηδείης περίπυστος ἔρως καὶ ἔργα τέτυκτο.
Ἐς δ' ἀγορὴν ἀγέροντ' ἐνὶ τεύχεσιν· ὅσσα τε πόντου
κύματα χειμερίοιο κορύσσεται ἐξ ἀνέμοιο,
ἢ ὅσα φύλλα χαμᾶζε περικλαδέος πέσεν ὕλης
φυλλοχόῳ ἐνὶ μηνί· τίς ἂν τάδε τεκμήραιτο;
ὡς οἱ ἀπειρέσιοι ποταμοῦ παρεμέτρεον ὄχθας,
κλαγγῇ μαιμώωντες· ὁ δ' εὐτύκτῳ ἐνὶ δίφρῳ
Αἰήτης ἵπποισι μετέπρεπεν, οὕς οἱ ὄπασσεν
Ἠέλιος, πνοιῇσιν ἐειδομένους ἀνέμοιο·
σκαιῇ μέν ῥ' ἐνὶ χειρὶ σάκος δινωτὸν ἀείρων,
τῇ δ' ἑτέρῃ πεύκην περιμήκεα· πὰρ δέ οἱ ἔγχος
ἀντικρὺ τετάνυστο πελώριον. Ἡνία δ' ἵππων
γέντο χεροῖν Ἄψυρτος. Ὑπεκπρὸ δὲ πόντον ἔταμνεν
νηῦς ἤδη κρατεροῖσιν ἐπειγομένη ἐρέτῃσιν
καὶ μεγάλου ποταμοῖο καταβλώσκοντι ῥεέθρῳ.
Αὐτὰρ ἄναξ ἄτῃ πολυπήμονι χεῖρας ἀείρας
Ἠέλιον καὶ Ζῆνα, κακῶν ἐπιμάρτυρας ἔργων,
κέκλετο· δεινὰ δὲ παντὶ παρασχεδὸν ἤπυε λαῷ·
Εἰ μή οἱ κούρην αὐτάγρετον ἢ ἀνὰ γαῖαν,
ἢ πλωτῆς εὑρόντες ἔτ' εἰν ἁλὸς οἴδματι νῆα
ἄξουσιν, καὶ θυμὸν ἐνιπλήσει μενεαίνων
τίσασθαι, τάδε πάντα δαήσονται κεφαλῇσιν
πάντα χόλον καὶ πᾶσαν ἑὴν ὑποδέγμενοι ἄτην.
Ὡς ἔφατ' Αἰήτης· αὐτῷ δ' ἐνὶ ἤματι Κόλχοι

Aurora jam in terram diffundebatur, quum illi ad cœtum] venirent: stupuerunt vero juvenes magno vellere conspecto] splendente, fulmini Jovis simili. Accessit autem quisque] attingere cupiens et recipere manibus suis. Jason vero reliquos prohibuit, huic (*velleri*) autem pallium injecit recens-factum; inque puppi *id* collocavit puellam apponens, atque tale verbum ad omnes locutus-est:

Non-amplius nunc dubitate, amici, in-patriam redire.
Jam enim res, cujus causa hanc molestam
navigationem suscepimus, ærumnis conflictantes,
facile puellæ ex consiliis peracta-est.
Hanc ego lubentem abducam domum conjugem
legitimam: at vos *eam,* Achaiæ utpote omnis
vestrumque ipsorum bonam adjutricem,
servate. Etenim, *id quod* valde suspicor, aderit prohibiturus] Æetes, cum-multitudine in-mare exire e fluvio.
Itaque alii navem, alternatim viro vir
assidens, remis agite: alii bubulos
clypeos, *et quidem* dimidia pars, hostilium promtum munimen ictuum,] prætendentes, reditum defendite. Nunc enim in manibus] liberos nostros, patriamque caram, et venerandos parentes] tenemus: nostro vero innititur Græcia incepto,] aut ignominiam, aut etiam magnam gloriam ut-reportet.] Sic dixit, et induit arma bellica: hi fremuerunt.
valde cupientes. Ille ense ex vagina
extracto in-puppi navis-retinacula abscidit.
Sed prope puellam armatus gubernatori
Ancæo adstitit: urgebatur autem remigio navis,
festinantibus *iis* continuo e fluvio statim *eam* propellere.

Jam vero Æetæ superbo et omnibus Colchis
Medeæ innotuerant amor et facinora.
In concionem igitur conveniebant armati: et quot maris
fluctus hiberno excitantur vento,
aut quot folia in-terram ex-ramosa decidunt silva,
quo-folia-delabuntur mense: (quæ quis conjectura-assequatur?)] sic illi (*Colchi*) innumeri fluvii præterierunt ripas,] cum-clangore delati: at bene-constructo in curru
Æetes equis splenduit, quos ei dederat
Sol, flatibus similes venti,
læva quidem manu scutum orbiculare tenens,
altera autem piceam (*facem*) prælongam: juxta eum hasta
omnino extendebatur ingens. Habenas autem equorum
tenebat manibus Absyrtus. At longius mare secabat
navis jam, validis compulsa remigibus
magnique fluvii decurrente fluxu.
At rex propter-calamitatem gravissimam manibus sublatis
Solem et Jovem, malorum testes facinorum,
invocavit, ac dira omni statim denunciavit populo:

Nisi ipsi filiam captam aut ad terram,
aut navigabilis deprehensa in maris fluctu navi,
adducturi-sint, atque animo *suo se* satisfacturum-esse cupientem] ulcisci, hæc omnia *illos* (*Colchos*) experturos-esse capitibus *suis*,] omnem iram et omnem suam subituros pœnam.] Sic dixit Æetes: illo-ipso autem die Colchi

νῆάς τ' εἰρύσσαντο καὶ ἄρμενα νηυσὶ βάλοντο,
αὐτῷ δ' ἤματι πόντον ἀνήϊον· οὐδέ κε φαίης
τόσσον νηΐτην στόλον ἔμμεναι, ἀλλ' οἰωνῶν
ἰλαδὸν ἄσπετον ἔθνος ἐπιβρομέειν πελάγεσσιν.
Οἱ δ' ἀνέμου λαιψηρὰ θεῆς βουλῇσιν ἀέντος
Ἥρης, ὄφρ' ὤκιστα κακὸν Πελίαο δόμοισιν
Αἰαίη Μήδεια Πελασγίδα γαῖαν ἵκηται,
ἠοῖ ἐνὶ τριτάτῃ πρυμνήσια νηὸς ἔδησαν
Παφλαγόνων ἀκταῖσι πάροιθ' Ἅλυος ποταμοῖο.
Ἡ γάρ σφ' ἐλαποβάντας ἀρέσσασθαι θυέεσσιν
ἠνώγει Ἑκάτην. Καὶ δὴ τὰ μέν, ὅσσα θυηλὴν
κούρη πορσανέουσα τιτύσκετο, μήτε τις ἵστωρ
εἴη, μήτ' ἐμὲ θυμὸς ἐποτρύνειεν ἀείδειν.
Ἅζομαι αὐδῆσαι· τό γε μὴν ἕδος ἐξέτι κείνου,
ὅ ῥα θεᾷ ἥρωες ἐπὶ ῥηγμῖσιν ἔδειμαν,
ἀνδράσιν ὀψιγόνοισι μένει καὶ τῆμος ἰδέσθαι.
Αὐτίκα δ' Αἰσονίδης ἐμνήσατο, σὺν δὲ καὶ ὧλλοι
ἥρωες, Φινῆος, ὃ δὴ πλόον ἄλλον ἔειπεν
ἐξ Αἴης ἔσσεσθαι· ἀνώϊστος δὲ τέτυκτο
πᾶσιν ὁμῶς. Ἄργος δὲ λιλαιομένοις ἀγόρευσεν.
Νισσόμεθ' Ὀρχομενόν, τὴν ἔχραεν ὔμμι περῆσαι
νημερτὴς ὅδε μάντις, ὅτῳ ξυνέβητε πάροιθεν.
Ἔστιν γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες
πέφραδον, οἳ Θήβης Τριτωνίδος ἐκγεγάασιν.
Οὔπω τείρεα πάντα, τάτ' οὐρανῷ εἱλίσσονται,
οὐδέ τί πω Δαναῶν ἱερὸν γένος ἦεν ἀκοῦσαι
πευθομένοις· οἶοι δ' ἔσαν Ἀρκάδες Ἀπιδανῆες,
Ἀρκάδες, οἳ καὶ πρόσθε Σεληναίης ὑδέονται
ζώειν, φηγὸν ἔδοντες ἐν οὔρεσιν· οὐδὲ Πελασγὶς
χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο Δευκαλίδῃσιν,
ἦμος ὅτ' ἠερίη πολυλήϊος ἐκλήϊστο
μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν,
καὶ ποταμὸς Τρίτωνος ἐΰῤῥοος, ᾧ ὕπο πᾶσα
ἄρδεται ἠερίη· Διόθεν δέ μιν οὔ ποτε δεύει
ὄμβρος· ἅλις προχοῇσι δ' ἀνασταχύουσιν ἄρουραι.
Ἔνθεν δή τινά φασι πέριξ διὰ πᾶσαν ὁδεῦσαι
Εὐρώπην Ἀσίην τε, βίῃ καὶ κάρτεϊ λαῶν
σφωϊτέρων θάρσει τε πεποιθότα· μυρία δ' ἄστη
νάσσατ' ἐποιχόμενος, τὰ μὲν ἤ ποθι ναιετάουσιν,
ἠὲ καὶ οὔ· πουλὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών.
Αἶά γε μὴν ἔτι νῦν μένει ἔμπεδον υἱωνοί τε
τῶνδ' ἀνδρῶν, οὓς ὅς γε καθίσσατο ναιέμεν Αἶαν.
Οἳ δή τοι γραπτοὺς πατέρων ἕθεν εἰρύονται
κύρβιας, οἷς ἔνι πᾶσαι ὁδοὶ καὶ πείρατ' ἔασιν
ὑγρῆς τε τραφερῆς τε πέριξ ἐπινισσομένοισιν.
Ἔστι δέ τις ποταμός, ὕπατον κέρας Ὠκεανοῖο,
εὐρύς τε προβαθύς τε καὶ ὁλκάδι νηῒ περῆσαι·
Ἴστρον μιν καλέοντες ἑκὰς διετεκμήραντο·
ὅς δή τοι τείως μὲν ἀπείρονα τέμνετ' ἄρουραν
εἷς οἶος· πηγαὶ γὰρ ὑπὲρ πνοιῆς Βορέαο
Ῥιπαίοις ἐν ὄρεσσιν ἀπόπροθι μορμύρουσιν.
Ἀλλ' ὁπόταν Θρηκῶν Σκυθέων τ' ἐπιβήσεται οὔρους,
ἔνθα διχῆ τὸ μὲν ἔνθα μετ' Ἰονίην ἅλα βάλλει
τῆλ' ὕδωρ, τὸ δ' ὄπισθε βαθὺν διὰ κόλπον ἵησιν

et naves deduxerunt, et vela navibus imposuerunt, eodemque die mare ingressi-sunt: nec diceres tantas navales copias esse, sed avium turmatim infinitum genus infremere maribus.

Illi (*argonautæ*) vento vehementer deæ consiliis spirante,] Junonis, ut celerrime exitium Peliæ ædibus, Colchica Medea, in-Pelasgicam terram veniret, aurora tertia retinacula navis alligarunt Paphlagonum littoribus, ante Halyn fluvium. Hæc enim ipsos egressos placare sacris jussit Hecaten. Atqui illorum, quæ sacrificium puella instructura paravit, nec quis conscius sit, nec me animus impellat ut-canam *ea*. Vereor effari. At sedes (*delubrum*) etiamnum-ex illo *tempore*,] quam quidem deæ heroes in littoribus exstruxerunt, viris posteris manet vel hodie visenda.

Statim vero Jason recordatus-est, cumque *eo* et reliqui heroes, Phinei, qui navigationem aliam dixerat ex Colchide fore: ignota vero erat omnibus omnino. Argus igitur ad eos cupientes *cognoscere* dixit:] Proficiscimur Orchomenum, quam jussit vos petere veridicus ille vates, quem convenistis olim. Est enim navigatio alia, quam immortalium sacerdotes monstrarunt, qui Theba Tritonia orti-sunt. Nondum sidera omnia, quæ in-cœlo volvuntur, neque jam Danaorum sacram gentem licebat audire quærentibus: soli erant Arcades Apidanenses, Arcades, qui etiam ante Lunam narrantur vixisse, glandibus vescentes in montibus: neque Pelasgica terra tum a-gloriosis regnabatur Deucalidis, quando nigra segetibus-abundans celebrabatur Ægyptus mater antiquissimorum juvenum, et fluvius Tritonis bene-fluens, quo tota rigatur *terra illa* nigra: a-Jove enim eam nunquam irrigat] imber: satis inundationum-ope fruges-emittunt arva. Inde igitur quendam dicunt per omnem circumiisse Europam et Asiam, robori et viribus militum suorum et fortitudini confisum: innumeras autem urbes incolis-frequentavit obiens, quæ aut alicubi incoluntur, aut etiam non: satis enim multa interest annorum-series. Æa tamen etiamnum manet constanter, nepotesque illorum hominum, quos ille considere-jussit habitaturos Æam.] Qui quidem scriptos patrum suorum servant cippos, in quibus omnes viæ et limites insunt et maris et terræ circumquaque proficiscentibus. Est vero quidam fluvius, ultimum cornu Oceani, et latus, et profundus, etiam onerariæ navi trajiciendus. Istrum eum appellantes procul indicarunt: qui quidem aliquamdiu immensam secat terram unus solus: fontes enim ultra flatum Boreæ Ripæis in montibus procul murmurant. At quando Thracum Scytarumque intrat fines, tum divisim, partim ibi in Ionium mare emittit procul aquam, partim pone profundum per sinum mittit,

σχιζόμενος πόντου Τριναχρίου εἰσανέχοντα,
γαίῃ δ' ὑμετέρῃ παρακέκλιται, εἰ ἐτεὸν δὴ
ὑμετέρης γαίης Ἀχελώϊος ἐξανίησιν.
Ὣς ἄρ' ἔφη· τοῖσιν δὲ θεὰ τέρας ἐγγυάλιξεν
αἴσιον, ᾧ καὶ πάντες ἐπευφήμησαν ἰδόντες
στέλλεσθαι τήνδ' οἶμον. Ἐπιπρὸ γὰρ ὁλκὸς ἐτύχθη
οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ ἀμεύσιμον ἦεν.
Γηθόσυνοι δὲ Λύκοιο κατ' αὐτόθι παῖδα λιπόντες
λαίφεσι πεπταμένοισιν ὑπεὶρ ἅλα ναυτίλλοντο,
οὔρεα Παφλαγόνων θηεύμενοι. Οὐδὲ Κάραμβιν
γνάμψαν, ἐπεὶ πνοιαί τε καὶ οὐρανίου πυρὸς αἴγλη
μεῖνεν, ἕως Ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο.
Κόλχοι δ' αὖτ' ἄλλοι μὲν, ἐτώσια μαστεύοντες,
Κυανέας Πόντοιο διὲκ πέτρας ἐπέρησαν·
ἄλλοι δ' αὖ ποταμὸν μετεκίαθον, οἷσιν ἄνασσεν
Ἄψυρτος, Καλὸν δὲ διὰ στόμα πεῖρε λιασθείς.
Τῷ καὶ ὑπέφθη τούς γε, βαλὼν ὑπὲρ αὐχένα γαίης,
κόλπον ἔσω πόντοιο πανέσχατον Ἰονίοιο.
Ἴστρῳ γάρ τις νῆσος ἐέργεται οὔνομα Πεύκη,
τριγλώχιν, εὖρος μὲν ἐς αἰγιαλοὺς ἀνέχουσα,
στεινὸν δ' αὖτ' ἀγκῶνα ποτὶ ῥόον· ἀμφὶ δὲ δοιαὶ
σχίζονται προχοαί. Τὴν μὲν καλέουσιν Νάρηκος·
τὴν δ' ὑπὸ τῇ νεάτῃ, Καλὸν στόμα. Τῇ δὲ διαπρὸ
Ἄψυρτος Κόλχοι τε θοώτερον ὡρμήθησαν·
οἱ δ' ὑψοῦ νήσοιο κατ' ἀκροτάτης ἐνέοντο
τηλόθεν. Εἱαμεναῖσι δ' ἐν ἄσπετα πώεα λεῖπον
ποιμένες ἄγραυλοι νηῶν φόβῳ, οἷά τε θῆρας
ὀσσόμενοι πόντου μεγακήτεος ἐξανιόντας.
Οὐ γάρ πω ἁλίας γε πάρος ποθὶ νῆας ἴδοντο
οὔτ' οὖν Θρήϊξιν μιγάδες Σκύθαι, οὔτε Σίγυνοι,
οὔτ' αὖ Γραυκένιοι, οὔθ' οἱ περὶ Λαύριον ἤδη
Σίνδοι ἐρημαῖον πεδίον μέγα ναιετάοντες.
Αὐτὰρ ἔπειτ' Ἄγγουρον ὄρος, καὶ ἄπωθεν ἐόντα
Ἀγγούρου ὄρεος σκόπελον παρὰ Καυλιακοῖο,
ᾧ πέρι δὴ σχίζων Ἴστρος ῥόον ἔνθα καὶ ἔνθα
βάλλει ἁλὸς πεδίον τε τὸ Λαύριον ἠμείψαντο.
Δή ῥα τότε Κρονίην Κόλχοι ἅλαδ' ἐκπρομολόντες
πάντῃ, μή σφε λάθοιεν, ὑπετμήξαντο κελεύθους.
Οἱ δ' ὄπιθεν ποταμοῖο κατήλυθον, ἐκ δ' ἐπέρησαν
δοιὰς Ἀρτέμιδος Βρυγηΐδας ἀγχόθι νήσους.
Τῶν δ' ἤτοι ἑτέρῃ μὲν ἐν ἱερὸν ἔσκεν ἔδεθλον·
ἐν δ' ἑτέρῃ, πληθὺν πεφυλαγμένοι Ἀψύρτοιο,
βαῖνον· ἐπεὶ κείνας πολέων λίπον ἔνδοθι νήσους
αὔτως ἁζόμενοι κούρην Διός· αἱ δὲ δὴ ἄλλαι
στεινόμεναι Κόλχοισι πόρους εἴρυντο θαλάσσης.
Ὣς δὲ καὶ εἰς ἄλλας πληθὺν λίπον ἀγχόθι νήσους
μέσφα Σαλαγγῶνος ποταμοῦ καὶ Νέστιδος αἴης.
Ἔνθα κε λευγαλέῃ Μινύαι τότε δηϊοτῆτι
παυρότεροι πλεόνεσσιν ὑπείκαθον· ἀλλὰ πάροιθεν
συνθεσίῃ μέγα νεῖκος ἀλευάμενοι ἐτάμοντο,
κῶας μὲν χρύσειον, ἐπεί σφίσιν αὐτὸς ὑπέστη
Αἰήτης, εἰ κεῖνοι ἀναπλήσειαν ἀέθλους,
ἔμπεδον εὐδικίῃ σφέας ἑξέμεν, εἴτε δόλοισιν,
εἴτε καὶ ἀμφαδίην αὔτως ἀέκοντος ἀπηύρων·

divisus, mari Trinacrio (*Siculo*) imminentem.
quod terræ vestræ adjacet, si vere quidem
ex-vestra terra Achelous erumpit.
Sic igitur dixit : his autem dea omen exhibuit
faustum, quo etiam omnes acclamarunt conspecto,
navigandum-esse hac via. Longo-tractu enim sulcus exstitit
cœlestis radii, qua-via etiam incedendum esset.
Læti vero Lyci filio ibi relicto
velis passis super mare vecti-sunt,
montes Paphlagonum contuiti. Neque Carambin
circumvecti-sunt, quoniam et venti, et cœlestis ignis flamma] manserunt, donec Istri magnum flumen attigissent.
Colchi igitur alii quidem, frustra quærentes,
per Cyaneas ex Ponto rupes exierunt :
alii contra ad fluvium contenderunt, quibus præerat
Absyrtus; *is* Calon (*Pulchrum*) per ostium (*Istri*) transiit ablatus.] Quare etiam prior-venit istis (*Argonautis*),
trajiciens cervicem terræ,] sinum in ultimum maris Ionii.
Istro enim insula quædam circumcluditur, nomine Peuce,
triangularis, latitudinem quidem ad littus protendens,
sed angustum cubitum ad fluvium : circum duo
separantur ostia: alterum appellant Narecis,
alterum sub ima-parte Calon ostium. Huc igitur
Absyrtus Colchique velocius proruperunt.
Illi vero (*Argonautæ*) altius insulam ad summam tendebant] procul. At in irriguis-pratis innumeras pecudes reliquerunt] pastores agrestes navium metu, veluti belluas
spectantes ex-mari cetis-referto prodeuntes.
Neque enim unquam marinas antea naves viderant,
nec Thracibus permixti Scythæ, nec Sigyni,
nec Graucenii, nec qui per Laurium jam
Sindi desertum campum vastum*que* habitabant.
At deinde Angurum montem, et procul situm
ab-Anguro monte scopulum Cauliaci,
circa quem Ister scindens fluxum huc atque illuc
mittit in-mare, campumque Laurium prætericrant.
Tum Saturnium Colchi in mare egressi
undiquaque, ne ipsos laterent (*Argonautæ*), præciderunt
vias.] Illi pone fluvium devenerunt, et accesserunt
ad-duas Dianæ Brygeas prope insulas.
Quarum in altera quidem sacrum erat delubrum;
in alteram vero, multitudinem vitantes Absyrti,
escenderunt : quoniam illas intra multas reliquerant *Colchi* insulas] sic (*vacuas*) reveriti filiam Jovis : sed reliquæ
refertæ Colchis, itinera præcludebant maris.
Ita etiam in aliis copias reliquerant prope insulis
usque-ad Salanconem fluvium et Nestidem terram.
Ibi tristi Minyæ tum prœlio
pauciores pluribus succubuissent : sed antea
pactum, magno certamine vitato, inierunt.
Vellus quidem aureum, quoniam iis ipse pollicitus-erat
Æetes, si illi perficerent labores,
semper jure ipsos habituros-esse, sive dolis
sive etiam palam ita invito *illo* potiti-essent :

κούρην Μηδείαν γε, τὸ γὰρ πέλεν ἀμφήριστον,
παρθέσθαι κούρῃ Λητωίδι νόσφιν ὁμίλου,
εἰσόκε τις δικάσῃσι θεμιστούχων βασιλήων,
εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν,
εἴτε μετ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕπεσθαι.
Ἔνθα δ' ἐπεὶ τὰ ἕκαστα νόῳ πεμπάσσατο κούρη,
δή ῥά μιν ὀξεῖαι κραδίην ἐλέλιξαν ἀνῖαι
νωλεμές· αἶψα δὲ νόσφιν Ἰήσονα μοῦνον ἑταίρων
ἐκπρομολοῦσ' ἄγεν ἄλλυδις, ὄφρ' ἐλίασθεν
πολλὸν ἑκάς, στονόεντα δ' ἐνωπαδὶς ἔκφατο μῦθον.
Αἰσονίδη, τίνα τήνδε συναρτύνασθε μενοινὴν
ἀμφ' ἐμοί; ἦέ σε πάγχυ λαθιφροσύναις ἐνέηκαν
ἀγλαΐαι, τῶν δ' οὔ τι μετατρέπῃ, ὅσσ' ἀγόρευες
χρειοῖ ἐνισχόμενος; ποῦ τοι Διὸς Ἱκεσίοιο
ὅρκια; ποῦ δὲ μελιχραὶ ὑποσχεσίαι βεβάασιν;
ᾗς ἐγὼ οὐ κατὰ κόσμον ἀναιδήτῳ ἰότητι
πάτρην τε κλέα τε μεγάρων αὐτούς τε τοκῆας
νοσφισάμην, τά μοι ἦεν ὑπέρτατα· τηλόθι δ' οἴη
λυγρῇσιν κατὰ πόντον ἅμ' ἀλκυόνεσσι φορεῦμαι
σῶν ἕνεκεν καμάτων, ἵνα μοι σόος ἀμφί τε βουσὶν
ἄμμι τε Γηγενέεσσιν ἀναπλήσειας ἀέθλους.
Ὕστατον αὖ καὶ κῶας, ἐπ' ᾧ πλόος ὔμμιν ἐτύχθη,
εἷλες ἐμῇ ματίῃ· κατὰ δ' οὐλοὸν αἶσχος ἔχευα
θηλυτέραις. Τῷ φημὶ τεὴ κούρη τε δάμαρ τε
αὐτοκασιγνήτη τε μεθ' Ἑλλάδα γαῖαν ἕπεσθαι.
Πάντῃ νυν πρόφρων ὑπερίστασο, μηδέ με μούνην
σεῖο λίπῃς ἀπάνευθεν, ἐποιχόμενος βασιλῆας.
Ἀλλ' αὔτως εἴρυσο· δίκη δέ τοι ἔμπεδος ἔστω
καὶ θέμις, ἣν ἄμφω συναρέσσαμεν· ἢ σύ γ' ἔπειτα
φασγάνῳ αὐτίκα τόνδε μέσον διὰ λαιμὸν ἀμῆσαι,
ὄφρ' ἐπίηρα φέρωμαι ἐοικότα μαργοσύνῃσιν.
Σχετλίη, εἴ κεν δή με κασιγνήτοιο δικάσσῃ
ἔμμεναι οὗτος ἄναξ, τῷ ἐπίσχετε τάσδ' ἀλεγεινὰς
ἄμφω συνθεσίας, πῶς ἵξομαι ὄμματα πατρός;
ἦ μάλ' ἐυκλειής; τίνα δ' οὐ τίσιν ἠὲ βαρεῖαν
ἄτην οὐ σμυγερῶς δεινῶν ὕπερ, οἷα ἔοργα,
ὀτλήσω; σὺ δέ κεν θυμηδέα νόστον ἕλοιο.
Μὴ τόν γε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις,
ᾗ ἐπικυδιάεις. Μνήσαιο δὲ καί ποτ' ἐμεῖο,
στρευγόμενος καμάτοισι· δέρος δέ τοι ἶσον ὀνείροις
οἴχοιτ' εἰς ἔρεβος μεταμώνιον. Ἐκ δέ σε πάτρης
αὐτίκ' ἐμαί σ' ἐλάσειαν Ἐρινύες· οἷα καὶ αὐτὴ
σῇ πάθον ἀτροπίῃ. Τὰ μὲν οὐ θέμις ἀκράαντα
ἐν γαίῃ πεσέειν. Μάλα γὰρ μέγαν ἤλιτες ὅρκον,
νηλεές· ἀλλ' οὔ θήν μοι ἐπιλλίζοντες ὀπίσσω
δὴν ἔσσεσθ' εὔκηλοι ἕκητί γε συνθεσιάων.
Ὣς φάτ' ἀναζείουσα βαρὺν χόλον· ἵετο δ' ἥ γε
νῆα καταφλέξαι διά τ' ἔμπεδα πάντα κεάσσαι,
ἐν δὲ πεσεῖν αὐτὴ μαλερῷ πυρί. Τοῖα δ' Ἰήσων
μειλιχίοις ἐπέεσσιν ὑποδδείσας προσέειπεν.
Ἴσχεο, δαιμονίη· τὰ μὲν ἁνδάνει οὐδ' ἐμοὶ αὐτῷ.
Ἀλλά τιν' ἀμβολίην διζήμεθα δηϊοτῆτος,
ὅσσον δυσμενέων ἀνδρῶν νέφος ἀμφιδέδηεν
εἵνεκα σεῦ. Πάντες γάρ, ὅσοι χθόνα τήνδε νέμονται,

at Medeam (hoc enim erat controversum)
deponendam-esse apud-filiam Latonæ seorsum a cœtu,
dum quis judicet justorum regum,
utrum eam in patris oporteat domum reverti,
an in Græcam terram heroas sequi.

Ibi quum cuncta mente perpendisset puella,
sane ejus acerbæ animum exercuerunt curæ
indesinenter: statim vero seorsum Jasonem solum a-sociis
sevocatum duxit in-alium-locum, donec abessent
longissime, flebilemque coram edidit sermonem:

Jason, quamnam hanc inistis sententiam
de me? num te omnino oblivioni immisit
fortuna-secunda, neque eorum quidquam curas, quæ dixisti
necessitate irretitus? ubinam Jovis supplicum-præsidis
jusjurandum? quo blanda promissa abierunt?
ob-quæ ego indecenter, impudente animo,
patriam et splendorem palatii, et ipsos parentes
deserui, quæ mihi erant summa: proculque sola
tristibus per mare cum alcyonibus feror
tuorum causa laborum, ut mihi salvus cum tauris
et cum gigantibus perficeres certamina.
Postremo etiam vellus, ob quod navigatio a-vobis suscepta-est,] cepisti mea temeritate: ingens vero dedecus affudi] feminis. Quare dico me, tuam et puellam et conjugem] et sororem, in Græciam te comitari.
Omnino igitur benevolus defende, neve me solam
sine te relinquas, accedens ad-reges.
Verum ita tuere: jus vero tibi sanctum sit
et lex, in-quam ambo consensimus: aut tu deinde
ense statim hoc medium jugulum disseca,
ut pretium auferam conveniens stultitiæ.
O me miseram, si jam me fratris judicaverit
esse ille rex, cui committitis hæc tristia
ambo pacta, quomodo in-conspectum veniam patris?
num admodum gloriosa? quam vero non pœnam vel gravem] calamitatem non misere, propter facinora, quæ patravi,] perferam? non jucundum reditum habueris.
Ne hoc regina Jovis ratum-faciat conjux,
qua gloriaris. Memineris vero etiam aliquando mei
confectus ærumnis: vellus autem tibi, velut somnia,
abeat in tartara vanum! Te vero ex patria,
statim meæ te expellant Furiæ: quod et ipsa
tua passa-sum perversitate. Hæc non fas est irrita
in terram cadere. Admodum enim magnum violasti jusjurandum] crudeliter; at non tamen mihi illudentes in posterum] diu eritis quieti, pactorum causa.

Sic dixit, effervescere-faciens gravem iram, cupiitque
illa] navem comburere, et firma omnia dissipare,
atque irruere ipsa in furentem ignem. Ita autem Jason
blandis verbis, metuens-nonnihil, allocutus est:

Cohibe-te, o bona, illa nec mihi ipsi placent.
Sed aliquam dilationem quærimus pugnæ,
quanta hostilium virorum nubes undique circumstat,
tua causa. Omnes enim, quotquot terram hanc incolunt,

Τρὶς μὲν ἀνήϋσεν, τρὶς δ' ὀτρύνοντος ὁμίλου
Φρόντις ἀμοιβήδην ἀντίαχεν· οἱ δ' ἄρα τείως
ἥρωες μετὰ τήν γε θοοῖς ἐλάασκον ἐρετμοῖς.
Οὔπω πείσματα νηὸς ἐπ' ἠπείροιο περαίης
βάλλον, ὁ δὲ κραιπνοὺς χέρσῳ πόδας ἧκεν Ἰήσων
ὑψοῦ ἀπ' ἰκριόφιν· μετὰ δὲ Φρόντις τε καὶ Ἄργος,
υἷε δύω Φρίξου, χαμάδις θόρον· ἡ δ' ἄρα τούς γε
γούνων ἀμφοτέρῃσι περισχομένη προσέειπεν. [τοὺς
Ἔκ με, φίλοι, ῥύσασθε δυσάμμορον, ὧς δὲ καὶ αὐ-
δμέας Αἰήταο, πρὸ γάρ τ' ἀναφανδὰ τέτυκται
πάντα μάλ', οὐδέ τι μῆχος ἱκάνεται. Ἀλλ' ἐπὶ νηὶ
φεύγωμεν, πρὶν τόνδε θοῶν ἐπιβήμεναι ἵππων.
Δώσω δὲ χρύσειον ἐγὼ δέρος, εὐνήσασα
φρουρὸν ὄφιν· τύνη δὲ θεοὺς ἐνὶ σοῖσιν ἑταίροις,
ξεῖνε, τεῶν μύθων ἐπιίστορας, οὕς μοι ὑπέστης,
ποίησαι· μηδ' ἔνθεν ἑκαστέρω ὁρμηθεῖσαν
χήτει κηδεμόνων ὀνοτὴν καὶ ἀεικέα θείης.
Ἴσκεν ἀκηχεμένη· μέγα δὲ φρένες Αἰσονίδαο
γήθεον· αἶψα δέ μιν περὶ γούνασι πεπτηυῖαν
ἧκ' ἀναειρόμενος προσπτύξατο θάρσυνέν τε·
Δαιμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω
Ἥρη τε Ζυγίη, Διὸς εὐνέτις, ἦ μὲν ἐμοῖσιν
κουριδίην σὲ δόμοισιν ἐνιστήσεσθαι ἄκοιτιν,
εὖτ' ἂν ἐς Ἑλλάδα γαῖαν ἱκώμεθα νοστήσαντες.
Ὣς ηὔδα καὶ χεῖρα παρασχεδὸν ἤραρε χειρὶ
δεξιτερήν· ἡ δέ σφιν ἐς ἱερὸν ἄλσος ἀνώγει
νῆα θοὴν ἐλάαν αὐτοσχεδὸν, ὄφρ' ἔτι νύκτωρ
κῶας ἑλόντες ἄγοιντο παρὲκ νόον Αἰήταο.
Ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισιν.
Εἰς γάρ μιν βήσαντες ἀπὸ χθονὸς αὐτίκ' ἔωσαν
νῆα· πολὺς δ' ὀρυμαγδὸς ἐπειγομένων ἐλάτῃσιν
ἦεν ἀριστήων· ἡ δ' ἔμπαλιν ἀΐσσουσα
γαίῃ χεῖρας ἔτεινεν ἀμήχανος. Αὐτὰρ Ἰήσων
θάρσυνέν τ' ἐπέεσσι, καὶ ἴσχανεν ἀσχαλόωσαν.
Ἦμος δ' ἀνέρες ὕπνον ἀπ' ὀφθαλμῶν ἐβάλοντο
ἀγρόται, οἵτε κύνεσσι πεποιθότες οὔ ποτε νύκτα
ἄγχαυρον κνώσσουσιν, ἀλευάμενοι φάος ἠοῦς,
μὴ πρὶν ἀμαλδύνῃ θηρῶν στίβον ἠδὲ καὶ ὀδμὴν
θηρείην λευκῇσιν ἐνισκίμψασα βολῇσιν·
τῆμος ἄρ' Αἰσονίδης κούρη τ' ἀπὸ νηὸς ἔβησαν
ποιήεντ' ἀνὰ χῶρον, ἵνα κριοῦ καλέονται
εὐναὶ, ὅθι πρῶτον κεκμηότα γούνατ' ἔκαμψεν,
νώτοισιν φορέων Μινυήϊον υἷ' Ἀθάμαντος.
Ἐγγύθι δ' αἰθαλόεντα πέλεν βωμοῖο θέμεθλα,
ὅν ῥά ποτ' Αἰολίδης Διῒ Φυξίῳ εἵσατο Φρίξος,
ῥέζων κεῖνο τέρας παγχρύσεον, ὥς οἱ ἔειπεν
Ἑρμείας πρόφρων ξυμβλήμενος. Ἔνθ' ἄρα τούς γε
Ἄργου φραδμοσύνῃσιν ἀριστῆες μεθέηκαν.
Τὼ δὲ δι' ἀτραπιτοῖο μεθ' ἱερὸν ἄλσος ἵκοντο,
φηγὸν ἀπειρεσίην διζημένω, ᾗ ἔπι κῶας
βέβλητο νεφέλῃ ἐναλίγκιον, ἥτ' ἀνιόντος
ἠελίου φλογερῇσιν ἐρεύθεται ἀκτίνεσσιν.
Αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνετο δειρὴν
ὀξὺς ἀΰπνοισιν προϊδὼν ὄφις ὀφθαλμοῖσιν

Ter quidem exclamavit, ter autem, hortante cœtu,
Phrontis vicissim reclamavit : interea vero
heroes ad eam celeribus remigabant remis.
Nondum retinaculis navis continenti oppositæ
injectis, celeres in-terram pedes immisit Jason
alte ex tabulatis : post *eum* Phrontis et Argus,
filii duo Phrixi, in-terram desiluerunt : illa igitur hos,
genua utraque-manu amplexa, affata-est :
Me, amici, eripite, miseram, simulque etiam ipsos
vos Æetæ : etenim prodita sunt
omnia omnino, neque ullum remedium superest. Verum
navi] fugiamus, priusquam iste celeres conscendat equos.
Dabo vero aureum ego vellus, sopito
custode dracone : tu vero deos coram tuis sociis,
hospes, tuorum promissorum testes, quæ mihi dedisti,
fac : neque hinc longius profectam
orbitate cognatorum vituperandam et infamem reddas.
Dixit tristis : valde vero mens Jasonis
lætata-est : statimque eam ad genua prolapsam
leniter sublatam amplexus-est et cohortatus :
O bona, Jupiter ipse Olympius testis esto,
Junoque Pronuba, Jovis conjux, profecto *me* in-meis
legitimam te ædibus ducturum-esse uxorem,
quando in Græcam terram venerimus reversi.
Sic dixit, et manum statim inseruit manui
dextram : illa eos in sacrum lucum jussit
navem celerem agere statim, ut adhuc noctu
vellus captum auferrent contra sententiam Æetæ.
Tunc dictum factumque simul erat properantibus.
Nam ea imposita a terra statim depulerunt
navem : multus autem strepitus incumbentium remis
erat heroum : illa retro saliens
versus-terram manus extendit consilii-inops. At Jason
et animavit verbis, et detinuit mœrentem.
Quando autem (viri) somnum ab oculis excutiunt
venatores, qui canibus confisi nunquam nocte
profunda dormiunt, vitantes lumen auroræ,
ne prius deleat ferarum vestigia aut etiam odorem
ferinum, lucidis si-incubuerit radiis :
eo-tempore Jason et puella e nave egressi-sunt
herbosum in locum, ubi arietis appellantur
cubilia, quo-loco primum fessa genua inflexit,
dorso vehens Minyeum filium Athamantis (*Phrixum*).
Prope vero fuliginosa erant aræ fundamenta,
quam quidem Æolides Jovi Phyxio erexerat Phrixus,
immolans illud portentum aureum, quemadmodum eum
jusserat] Mercurius benevole obviam-factus. Ibi igitur illos
Argi consilio heroes dimiserunt.
Illi vero per semitam ad sacrum nemus venerunt
fagum ingentem quærentes, in quà vellus
jacebat, nubi simile, quæ orientis
solis flammeis rubet radiis.
At ex-adverso longissimum extendebat collum
acer insomnibus prospiciens draco oculis

νισσομένους, ῥοίζει δὲ πελώριον· ἀμφὶ δὲ μακραὶ
ἠιόνες ποταμοῖο καὶ ἄσπετον ἴαχεν ἄλσος.
Ἔκλυον οἳ καὶ πολλὸν ἑκὰς Τιτηνίδος Αἴης
Κολχίδα γῆν ἐνέμοντο παρὰ προχοῇσι Λύκοιο,
ὅστ' ἀποκιδνάμενος ποταμοῦ κελάδοντος Ἀράξεω
Φάσιδι συμφέρεται ἱερὸν ῥόον· οἱ δὲ συνάμφω
Καυκασίην ἅλαδ' εἰς ἓν ἐλαυνόμενοι προχέουσιν.
Δείματι δ' ἐξέγροντο λεχωίδες, ἀμφὶ δὲ παισὶν
νηπιάχοις, οἵτε σφιν ὑπ' ἀγκαλίδεσσιν ἴαυον,
ῥοίζῳ παλλομένοις χεῖρας βάλον ἀσχαλόωσαι.
Ὡς δ' ὅτε τυφομένης ὕλης ὕπερ αἰθαλόεσσαι
καπνοῖο στροφάλιγγες ἀπείριτοι εἱλίσσονται,
ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται αἰὲν ἐπιπρὸ
νειόθεν εἰλίγγοισιν ἐπήορος ἐξανιοῦσα·
ὣς τότε κεῖνο πέλωρον ἀπειρεσίας ἐλέλιξεν
ῥυμβόνας ἀζαλέῃσιν ἐπηρεφέας φολίδεσσιν.
Τοῖο δ' ἑλισσομένοιο κατόμματον εἴσατο κούρη,
ὕπνον ἀοσσητῆρα, θεῶν ὕπατον, καλέουσα
ἡδείῃ ἐνοπῇ, θέλξαι τέρας· αὖε δ' ἄνασσαν
νυκτιπόλον, χθονίην, εὐαντέα δοῦναι ἐφορμήν.
Εἵπετο δ' Αἰσονίδης πεφοβημένος, αὐτὰρ ὅγ' ἤδη
οἴμῃ θελγόμενος δολιχὴν ἀνελύετ' ἄκανθαν
γηγενέος σπείρης, μήκυνε δὲ μυρία κύκλα,
οἷον ὅτε βληχροῖσι κυλινδόμενον πελάγεσσιν
κῦμα μέλαν κωφόν τε καὶ ἄβρομον· ἀλλὰ καὶ ἔμπης
ὑψοῦ σμερδαλέην κεφαλὴν μενέαινεν ἀείρας
ἀμφοτέρους ὀλοῇσι περιπτύξαι γενύεσσιν.
Ἡ δέ μιν ἀρκεύθοιο νέον τετμηότι θαλλῷ
βάπτουσ' ἐκ κυκεῶνος ἀκήρατα φάρμακ' ἀοιδαῖς
ῥαῖνε κατ' ὀφθαλμῶν· περί τ' ἀμφί τε νήριτος ὀδμὴ
φαρμάκου ὕπνον ἔβαλλε· γένυν δ' αὐτῇ ἐνὶ χώρῃ
θῆκεν ἐρεισάμενος· τὰ δ' ἀπείρονα πολλὸν ὀπίσσω
κύκλα πολυπρέμνοιο διὲξ ὕλης τετάνυστο.
Ἔνθα δ' ὁ μὲν χρύσειον ἀπὸ δρυὸς αἴνυτο κῶας
κούρης κεκλομένης· ἡ δ' ἔμπεδον ἑστηυῖα
φαρμάκῳ ἔψηχεν θηρὸς κάρη, εἰσόκε δή μιν
αὐτὸς ἑὴν ἐπὶ νῆα παλιντροπάασθαι Ἰήσων
ἤνωγεν, λεῖπεν δὲ πολύσκιον ἄλσος Ἄρηος.
Ὡς δὲ σεληναίην διχομήνιδα παρθένος αἴγλην
ὑψόθεν ἐξανέχουσαν ὑπωρόφιον θαλάμοιο
λεπταλέῳ ἑανῷ ὑποΐσχεται· ἐν δέ οἱ ἦτορ
χαίρει δερκομένης καλὸν σέλας· ὣς τότ' Ἰήσων
γηθόσυνος μέγα κῶας ἑαῖς ἐναείρατο χερσίν·
καί οἱ ἐπὶ ξανθῇσι παρηίσιν ἠδὲ μετώπῳ
μαρμαρυγῇ ληνέων φλογὶ εἴκελον ἷζεν ἔρευθος.
Ὅσση δὲ ῥινὸς βοὸς ἤνιος ἢ ἐλάφοιο
γίγνεται, ἥντ' ἀγρῶσται ἀχαιινέην καλέουσιν,
τόσσον ἔην πάντῃ χρύσεον ἐφύπερθεν ἄωτον.
Βεβρίθει λήνεσσιν ἐπηρεφές· ἦλιθα δὲ χθὼν
αἰὲν ὑπὸ πρὸ ποδῶν ἀμαρύσσετο νισσομένοιο.
Ἤιε δ' ἄλλοτε μὲν λαιῷ ἐπιειμένος ὤμῳ
αὐχένος ἐξ ὑπάτοιο ποδηνεκές, ἄλλοτε δ' αὖτε
εἴλει ἀφασσόμενος· πέρι γὰρ δίεν, ὄφρα ἑ μή τις
ἀνδρῶν ἠὲ θεῶν νοσφίσσεται ἀντιβολήσας.

venientes, stridebatque horrendum : undique vero longa
littora fluvii et ingens resonuit nemus.
Audiverunt, qui etiam admodum procul a-Titania Æa
Colchicam terram incolebant, ad ostia Lyci,
qui divertens a-fluvio strepente Araxe
cum-Phaside conjungit sacrum fluxum : illi autem ambo
in-Caucasium mare in unum compulsi effluunt.
Præ-timore autem expergefactæ-sunt puerperæ, infantes-
que] tenellos, qui ipsis sub ulnis dormiebant,
sibilo exterritos, manibus amplexæ-sunt tristes.
Ut vero incensa super silva flammantia
fumi volumina immensa volvuntur,
et aliud statim alii succedit semper ulterius,
ab-imo vorticibus sublime erumpens :
sic tum illud monstrum innumeros volvebat
tortus, aridis contectos squamis.
Ei autem se-volventi in-conspectum venit puella,
somnum opitulatorem, deorum potentissimum, invocans
suavi voce, ut-deliniret monstrum : inclamavit autem re-
ginam] noctivagam, subterraneam, faustum ut-redderet
inceptum.] Sequebatur Jason timens, at ille (*serpens*) jam
cantu delinitus longam resolvit spinam
terrigenæ spiræ, et in-longum-extendit innumeros orbes,
veluti quum in-magnis volvitur æquoribus
fluctus ater, surdus et strepitum-edens : at tamen
in-altum horribili capite cupiebat elato
ambo funestis complecti maxillis.
Illa vero ipsi, juniperi recens cæso ramo
illinens ex potione integra medicamina cum-carmine
destillabat in oculos : undique plurimus odor
medicaminis somnum circumfudit : maxillas eodem loco
demisit innixus : sed innumeri longe retrorsum
orbes arboribus-plenam per sylvam extendebantur.
Tum ille quidem aureum a quercu deripuit vellus
puella hortante; hæc vero semper adstans
medicamine defricuit belluæ caput, usque-dum jam eam
ipse suam in navem reverti Jason
juberet, reliquit autem umbrosum nemus Martis.
Ut vero plenilunii puella lumen
ex-alto effulgens sub-tecto thalami
tenui stola excipit; intusque ei animus
gaudet, quum-conspicit pulchrum splendorem : sic tum
Jason] lætus magnum vellus suis sustulit manibus :
atque ei in flavis genis atque fronte
fulgore lanarum flammæ similis insedit rubor.
Quanta vero pellis vaccæ anniculæ aut cervæ
est, quam quidem venatores achæïneam (*mollibus pilis
insignem*) appellant,] tantum erat undiquaque aureum
superne vellus.] Grave-erat lanis obsitum : et valde terra
semper ante pedes præfulgebat euntis.
Incessit vero nunc sinistro gestans humero
collo ex summo ad-pedes-usque-dependens : nunc rursus
involvit contrectatum : valde enim metuit, ne se quis
hominum deorumve eo privaret occurrens.

Ἠὼς μὲν ῥ' ἐπὶ γαῖαν ἐκίδνατο, τοὶ δ' ἐς ὅμιλον
ἶξον· θάμβησαν δὲ νέοι μέγα κῶας ἰδόντες
λαμπόμενον στεροπῇ ἴκελον Διός. Ὦρτο δ' ἕκαστος
ψαῦσαι ἐελδόμενος δέχθαι τ' ἐνὶ χερσὶν ἑῇσιν.
Αἰσονίδης δ' ἄλλους μὲν ἐρήτυε, τῷ δ' ἔπι φᾶρος
κάββαλε νηγάτεον· πρύμνῃ δ' ἐνεείσατο κούρην
ἀνθέμενος, καὶ τοῖον ἔπος μετὰ πᾶσιν ἔειπεν.
Μηκέτι νῦν χάζεσθε, φίλοι, πάτρηνδε νέεσθαι.
Ἤδη γὰρ χρειώ, τῆς εἵνεκα τήνδ' ἀλεγεινὴν
ναυτιλίην ἔτλημεν ὀϊζύϊ μοχθίζοντες,
εὐπαλέως κούρης ὑπὸ δήνεσι κεκράανται.
Τὴν μὲν ἐγὼν ἐθέλουσαν ἀνάξομαι οἴκαδ' ἄκοιτιν
κουριδίην· ἀτὰρ ὔμμες Ἀχαιίδος οἷά τε πάσης
αὐτῶν θ' ὑμείων ἐσθλὴν ἐπαρωγὸν ἐοῦσαν
σώετε. Δὴ γάρ που μάλ' ὀίομαι εἶσιν ἐρύξων
Αἰήτης ὁμάδῳ πόντονδ' ἴμεν ἐκ ποταμοῖο.
Ἀλλ' οἱ μὲν διὰ νηὸς ἀμοιβαδὶς ἀνέρος ἀνὴρ
ἑζόμενος πηδοῖσιν ἐρέσσετε· τοὶ δὲ βοείας
ἀσπίδας ἡμίσεες, δηΐων θοὸν ἔχμα βολάων,
προσχόμενοι νόστῳ ἐπαμύνετε. Νῦν δ' ἐνὶ χερσὶν
παῖδας ἑοὺς πάτρην τε φίλην γεραρούς τε τοκῆας
ἴσχομεν· ἡμετέρῃ δ' ἐπερείδεται Ἑλλὰς ἐφορμῇ
ἠὲ κατηφείην, ἢ καὶ μέγα κῦδος ἀρέσθαι.
Ὧς φάτο· δῦνε δὲ τεύχε' ἀρήϊα· τοὶ δ' ἰάχησαν
θεσπέσιον μεμαῶτες. Ὁ δὲ ξίφος ἐκ κολεοῖο
σπασσάμενος πρυμναῖα νεὼς ἀπὸ πείσματ' ἔκοψεν.
Ἄγχι δὲ παρθενικῆς κεκορυθμένος ἰθυντῆρι
Ἀγκαίῳ παρέβασκεν· ἐπείγετο δ' εἰρεσίῃ νηῦς
σπερχομένων ἄμοτον ποταμοῦ ἄφαρ ἐκτὸς ἐλάσσαι.
Ἤδη δ' Αἰήτῃ ὑπερήνορι πᾶσί τε Κόλχοις
Μηδείης περίπυστος ἔρως καὶ ἔργα τέτυκτο.
Ἐς δ' ἀγορὴν ἀγέροντ' ἐνὶ τεύχεσιν· ὅσσα τε πόντου
κύματα χειμερίοιο κορύσσεται ἐξ ἀνέμοιο,
ἢ ὅσα φύλλα χαμᾶζε περικλαδέος πέσεν ὕλης
φυλλοχόῳ ἐνὶ μηνί· τίς ἂν τάδε τεκμήραιτο;
ὣς οἱ ἀπειρέσιοι ποταμοῦ παρεμέτρεον ὄχθας,
κλαγγῇ μαιμώωντες· ὁ δ' εὐτύκτῳ ἐνὶ δίφρῳ
Αἰήτης ἵπποισι μετέπρεπεν, οὕς οἱ ὄπασσεν
Ἠέλιος, πνοιῇσιν ἐειδομένους ἀνέμοιο·
σκαιῇ μέν ῥ' ἐνὶ χειρὶ σάκος δινωτὸν ἀείρων,
τῇ δ' ἑτέρῃ πεύκην περιμήκεα· πὰρ δέ οἱ ἔγχος
ἀντικρὺ τετάνυστο πελώριον. Ἡνία δ' ἵππων
γέντο χεροῖν Ἄψυρτος. Ὑπεκπρὸ δὲ πόντον ἔταμνεν
νηῦς ἤδη κρατεροῖσιν ἐπειγομένη ἐρέτῃσιν
καὶ μεγάλου ποταμοῖο καταβλώσκοντι ῥεέθρῳ.
Αὐτὰρ ἄναξ ἄτῃ πολυπήμονι χεῖρας ἀείρας
Ἠέλιον καὶ Ζῆνα, κακῶν ἐπιμάρτυρας ἔργων,
κέκλετο· δεινὰ δὲ παντὶ παρασχεδὸν ἤπυε λαῷ·
Εἰ μή οἱ κούρην αὐτάγρετον ἢ ἀνὰ γαῖαν,
ἢ πλωτῆς εὑρόντες ἔτ' εἰν ἁλὸς οἴδματι νῆα
ἄξουσιν, καὶ θυμὸν ἐνιπλήσει μενεαίνων
τίσασθαι, τάδε πάντα δαήσονται κεφαλῇσιν
πάντα χόλον καὶ πᾶσαν ἑὴν ὑποδέγμενοι ἄτην.
Ὧς ἔφατ' Αἰήτης· αὐτῷ δ' ἐνὶ ἤματι Κόλχοι

Aurora jam in terram diffundebatur, quum illi ad
cœtum] venirent: stupuerunt vero juvenes magno vellere
conspecto] splendente, fulmini Jovis simili. Accessit autem quisque] attingere cupiens et recipere manibus suis.
Jason vero reliquos prohibuit, huic (*velleri*) autem pallium
injecit recens-factum; inque puppi *id* collocavit puellam
apponens, atque tale verbum ad omnes locutus-est:
Non-amplius nunc dubitate, amici, in-patriam redire.
Jam enim res, cujus causa hanc molestam
navigationem suscepimus, ærumnis conflictantes,
facile puellæ ex consiliis peracta-est.
Hanc ego lubentem abducam domum conjugem
legitimam: at vos *eam*, Achaiæ utpote omnis
vestrumque ipsorum bonam adjutricem,
servate. Etenim, *id quod* valde suspicor, aderit prohibiturus] Æetes, cum-multitudine in-mare exire e fluvio.
Itaque alii navem, alternatim viro vir
assidens, remis agite: alii bubulos
clypeos, *et quidem* dimidia pars, hostilium promtum munimen ictuum,] prætendentes, reditum defendite. Nunc
enim in manibus] liberos nostros, patriamque caram, et
venerandos parentes] tenemus: nostro vero innititur Græcia incepto,] aut ignominiam, aut etiam magnam gloriam
ut-reportet.] Sic dixit, et induit arma bellica: hi fremuerunt.
valde cupientes. Ille ense ex vagina
extracto in-puppi navis-retinacula abscidit.
Sed prope puellam armatus gubernatori
Ancæo adstitit: urgebatur autem remigio navis,
festinantibus *iis* continuo e fluvio statim *eam* propellere.
Jam vero Æetæ superbo et omnibus Colchis
Medeæ innotuerant amor et facinora.
In concionem igitur conveniebant armati: et quot maris
fluctus hiberno excitantur vento,
aut quot folia in-terram ex-ramosa decidunt silva,
quo-folia-delabuntur mense: (quæ quis conjectura-assequatur?)] sic illi (*Colchi*) innumeri fluvii præterierunt ripas,] cum-clangore delati: at bene-constructo in curru
Æetes equis splenduit, quos ei dederat
Sol, flatibus similes venti,
læva quidem manu scutum orbiculare tenens,
altera autem piceam (*facem*) prælongam: juxta eum hasta
omnino extendebatur ingens. Habenas autem equorum
tenebat manibus Absyrtus. At longius mare secabat
navis jam, validis compulsa remigibus
magnique fluvii decurrente fluxu.
At rex propter-calamitatem gravissimam manibus sublatis
Solem et Jovem, malorum testes facinorum,
invocavit, ac dira omni statim denunciavit populo:
Nisi ipsi filiam captam aut ad terram,
aut navigabilis deprehensa in maris fluctu navi,
adducturi-sint, atque animo *suo se* satisfacturum-esse cupientem] ulcisci, hæc omnia *illos* (*Colchos*) experturos-esse
capitibus *suis*,] omnem iram et omnem suam subituros
pœnam.] Sic dixit Æetes: illo-ipso autem die Colchi

[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
ἀνδράσιν ὀψιγόνοισι μένει καὶ σήματ᾽ ἰδέσθαι.
Αὐτίκα δ᾽ Αἰσονίδης ἐμνήσατο, σὺν δὲ καὶ ἄλλοι
ἥρωες, Φινῆος, ὃ δὴ πλόον ἄλλον ἔειπεν
ἐξ Αἴης ἔσσεσθαι· ἀνώϊστος δὲ τέτυκτο
πᾶσιν ὁμῶς. Ἄργος δὲ λιλαιομένοις ἀγόρευσεν.
Νισσόμεθ᾽ Ὀρχομενόν, τὴν ἔχραεν ὔμμι περῆσαι
νημερτὴς ὅδε μάντις, ὅτῳ ξυνέβητε πάροιθεν.
Ἔστιν γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες
πέφραδον, οἳ Θήβης Τριτωνίδος ἐκγεγάασιν.
Οὔπω τείρεα πάντα, τά τ᾽ οὐρανῷ εἰλίσσονται,
οὐδέ τί πω Δαναῶν ἱερὸν γένος ἦεν ἀκοῦσαι
πευθομένοις· οἷοι δ᾽ ἔσαν Ἀρκάδες Ἀπιδανῆες,
Ἀρκάδες, οἳ καὶ πρόσθε Σεληναίης ὑδέονται
ζώειν, φηγὸν ἔδοντες ἐν οὔρεσιν· οὐδὲ Πελασγὶς
χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο Δευκαλίδῃσιν,
ἦμος ὅτ᾽ ἠερίη πολυλήϊος ἐκλήϊστο
μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν,
καὶ ποταμὸς Τρίτωνος ἐΰρροος, ᾧ ὕπο πᾶσα
ἄρδεται ἠερίη· Διόθεν δέ μιν οὔ ποτε δεύει
ὄμβρος· ἅλις προχοῇσι δ᾽ ἀνασταχύουσιν ἄρουραι.
Ἔνθεν δή τινά φασι πέριξ διὰ πᾶσαν ὁδεῦσαι
Εὐρώπην Ἀσίην τε, βίῃ καὶ κάρτεϊ λαῶν
σφωϊτέρων θάρσει τε πεποιθότα· μυρία δ᾽ ἄστη
νάσσατ᾽ ἐποιχόμενος, τὰ μὲν ἤ ποθι ναιετάουσιν,
ἠὲ καὶ οὔ· πουλὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών.
Αἶά γε μὴν ἔτι νῦν μένει ἔμπεδον, υἱωνοί τε
τῶνδ᾽ ἀνδρῶν, οὓς ὅς γε καθίσσατο ναιέμεν Αἶαν.
Οἳ δή τοι γραπτοὺς πατέρων ἕθεν εἰρύονται
κύρβιας, οἷς ἔνι πᾶσαι ὁδοὶ καὶ πείρατ᾽ ἔασιν
ὑγρῆς τε τραφερῆς τε πέριξ ἐπινισσομένοισιν.
Ἔστι δέ τις ποταμός, ὕπατον κέρας Ὠκεανοῖο,
εὐρύς τε προβαθύς τε καὶ ὁλκάδι νηῒ περῆσαι·
Ἴστρον μιν καλέοντες ἑκὰς διετεκμήραντο·
ὅς δή τοι τείως μὲν ἀπείρονα τέμνετ᾽ ἄρουραν
εἷς οἶος· πηγαὶ γὰρ ὑπὲρ πνοιῆς Βορέαο
Ῥιπαίοις ἐν ὄρεσσιν ἀπόπροθι μορμύρουσιν.
Ἀλλ᾽ ὁπόταν Θρῃκῶν Σκυθέων τ᾽ ἐπιβήσεται οὔρους,
ἔνθα διχῇ τὸ μὲν ἔνθα μετ᾽ Ἰονίην ἅλα βάλλει
τῆλ᾽ ὕδωρ, τὸ δ᾽ ὄπισθε βαθὺν διὰ κόλπον ἵησιν

[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
sit, nec me animus impellat ut canam [illegible]
[illegible]
[illegible] quam quidem deæ heroes in littoribus exstruxerunt,
[illegible] posteris manet vel hodie visenda.
Statim vero Jason recordatus est, cumque eo et reliqui
heroes, Phinei, qui navigationem aliam dixerat
ex Colchide fore: ignota vero erat
omnibus omnino. Argus igitur ad eos cupientes [illegible]
dixit: Proficiscimur Orchomenum, quam jussit vos petere
veridicus ille vates, quem convenistis olim.
Est enim navigatio alia, quam immortalium sacerdotes
monstrarunt, qui Theba Tritonia orti-sunt.
Nondum sidera omnia, quæ in-cœlo volvuntur,
neque jam Danaorum sacram gentem licebat audire
quærentibus: soli erant Arcades Apidanenses,
Arcades, qui etiam ante Lunam narrantur
vixisse, glandibus vescentes in montibus: neque Pelasgica
terra tum a-gloriosis regnabatur Deucalidis,
quando nigra segetibus-abundans celebrabatur
Ægyptus mater antiquissimorum juvenum,
et fluvius Tritonis bene-fluens, quo tota
rigatur *terra illa* nigra: a-Jove enim eam nunquam irrigat] imber: satis inundationum-ope fruges-emittunt arva.
Inde igitur quendam dicunt per omnem circumiisse
Europam et Asiam, robori et viribus militum
suorum et fortitudini confisum: innumeras autem urbes
incolis-frequentavit obiens, quæ aut alicubi incoluntur,
aut etiam non: satis enim multa interest annorum-series.
Æa tamen etiamnum manet constanter, nepotesque
illorum hominum, quos ille considere-jussit habitaturos
Æam.] Qui quidem scriptos patrum suorum servant
cippos, in quibus omnes viæ et limites insunt
et maris et terræ circumquaque proficiscentibus.
Est vero quidam fluvius, ultimum cornu Oceani,
et latus, et profundus, etiam onerariæ navi trajiciendus.
Istrum eum appellantes procul indicarunt:
qui quidem aliquamdiu immensam secat terram
unus solus: fontes enim ultra flatum Boreæ
Ripæis in montibus procul murmurant.
At quando Thracum Scytarumque intrat fines,
tum divisim, partim ibi in Ionium mare emittit
procul aquam, partim pone profundum per sinum mittit,

σχιζόμενος πόντου Τρινακρίου εἰσανέχοντα,
γαίῃ δ' ὑμετέρῃ παρακέκλιται, εἰ ἐτεὸν δὴ
ὑμετέρης γαίης Ἀχελωΐος ἐξανίησιν.
Ὣς ἄρ' ἔφη· τοῖσιν δὲ θεὰ τέρας ἐγγυάλιξεν
αἴσιον, ᾧ καὶ πάντες ἐπευφήμησαν ἰδόντες
στέλλεσθαι τήνδ' οἶμον. Ἐπιπρὸ γὰρ ὁλκὸς ἐτύχθη
οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ ἀμεύσιμον ἦεν.
Γηθόσυνοι δὲ Λύκοιο κατ' αὐτόθι παῖδα λιπόντες
λαίφεσι πεπταμένοισιν ὑπεὶρ ἅλα ναυτίλλοντο,
οὔρεα Παφλαγόνων 'θηεύμενοι. Οὐδὲ Κάραμβιν
γνάμψαν, ἐπεὶ πνοιαί τε καὶ οὐρανίου πυρὸς αἴγλη
μεῖνεν, ἕως Ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο.
Κόλχοι δ' αὖτ' ἄλλοι μὲν, ἐτώσια μαστεύοντες,
Κυανέας Πόντοιο διὲκ πέτρας ἐπέρησαν·
ἄλλοι δ' αὖ ποταμὸν μετεκίαθον, οἷσιν ἄνασσεν
Ἄψυρτος, Καλὸν δὲ διὰ στόμα πεῖρε λιασθείς.
Τῷ καὶ ὑπέφθη τούς γε, βαλὼν ὑπὲρ αὐχένα γαίης,
κόλπον ἔσω πόντοιο πανέσχατον Ἰονίοιο.
Ἴστρῳ γάρ τις νῆσος ἐέργεται οὔνομα Πεύκη,
τριγλώχιν, εὖρος μὲν ἐς αἰγιαλοὺς ἀνέχουσα,
στεινὸν δ' αὖτ' ἀγκῶνα ποτὶ ῥόον· ἀμφὶ δὲ δοιαὶ
σχίζονται προχοαί. Τὴν μὲν καλέουσιν Νάρηκος·
τὴν δ' ὑπὸ τῇ νεάτῃ, Καλὸν στόμα. Τῇ δὲ διαπρὸ
Ἄψυρτος Κόλχοι τε θοώτερον ὡρμήθησαν·
οἱ δ' ὑψοῦ νήσοιο κατ' ἀκροτάτης ἐνέοντο
τηλόθεν. Εἱαμεναῖσι δ' ἐν ἄσπετα πώεα λεῖπον
ποιμένες ἄγραυλοι νηῶν φόβῳ, οἷά τε θῆρας
ὀσσόμενοι πόντου μεγακήτεος ἐξανιόντας.
Οὐ γάρ πω ἁλίας γε πάρος ποθὶ νῆας ἴδοντο
οὔτ' οὖν Θρήϊξιν μιγάδες Σκύθαι, οὔτε Σίγυνοι,
οὔτ' αὖ Γραυκένιοι, οὔθ' οἱ περὶ Λαύριον ἤδη
Σίνδοι ἐρημαῖον πεδίον μέγα ναιετάοντες.
Αὐτὰρ ἔπειτ' Ἄγγουρον ὄρος, καὶ ἄπωθεν ἐόντα
Ἀγγούρου ὄρεος σκόπελον παρὰ Καυλιακοῖο,
ᾧ πέρι δὴ σχίζων Ἴστρος ῥόον ἔνθα καὶ ἔνθα
βάλλει ἁλὸς πεδίον τε τὸ Λαύριον ἠμείψαντο.
Δή ῥα τότε Κρονίην Κόλχοι ἅλαδ' ἐκπρομολόντες
πάντῃ, μή σφε λάθοιεν, ὑπετμήξαντο κελεύθους.
Οἱ δ' ὄπιθεν ποταμοῖο κατήλυθον, ἐκ δ' ἐπέρησαν
δοιὰς Ἀρτέμιδος Βρυγηΐδας ἀγχόθι νήσους.
Τῶν δ' ἤτοι ἑτέρῃ μὲν ἐν ἱερὸν ἔσκεν ἔδεθλον·
ἐν δ' ἑτέρῃ, πληθὺν πεφυλαγμένοι Ἀψύρτοιο,
βαῖνον· ἐπεὶ κείνας πολέων λίπον ἔνδοθι νήσους
αὔτως ἀζόμενοι κούρην Διός· αἱ δὲ δὴ ἄλλαι
στεινόμεναι Κόλχοισι πόρους εἴρυντο θαλάσσης.
Ὣς δὲ καὶ εἰς ἄλλας πληθὺν λίπον ἀγχόθι νήσους
μέσφα Σαλαγγῶνος ποταμοῦ καὶ Νέστιδος αἴης.
Ἔνθα κε λευγαλέῃ Μινύαι τότε δηϊοτῆτι
παυρότεροι πλεόνεσσιν ὑπείκαθον· ἀλλὰ πάροιθεν
συνθεσίῃ μέγα νεῖκος ἀλευάμενοι ἐτάμοντο,
κῶας μὲν χρύσειον, ἐπεὶ σφίσιν αὐτὸς ὑπέστη
Αἰήτης, εἰ κεῖνοι ἀναπλήσειαν ἀέθλους,
ἔμπεδον εὐδικίῃ σφέας ἑξέμεν, εἴτε δόλοισιν,
εἴτε καὶ ἀμφαδίην αὔτως ἀέκοντος ἀπηύρων·

divisus, mari Trinacrio (*Siculo*) imminentem.
quod terræ vestræ adjacet, si vere quidem
ex-vestra terra Achelous erumpit.
Sic igitur dixit: his autem dea omen exhibuit
faustum, quo etiam omnes acclamarunt conspecto,
navigandum-esse hac via. Longo-tractu enim sulcus exstitit
cœlestis radii, qua-via etiam incedendum esset.
Læti vero Lyci filio ibi relicto
velis passis super mare vecti-sunt,
montes Paphlagonum contuiti. Neque Carambin
circumvecti-sunt, quoniam et venti, et cœlestis ignis flamma] manserunt, donec Istri magnum flumen attigissent.
Colchi igitur alii quidem, frustra quærentes,
per Cyaneas ex Ponto rupes exierunt:
alii contra ad fluvium contenderunt, quibus præerat
Absyrtus; *is* Calon (*Pulchrum*) per ostium (*Istri*) transiit ablatus.] Quare etiam prior-venit istis (*Argonautis*),
trajiciens cervicem terræ,] sinum in ultimum maris Ionii.
Istro enim insula quædam circumcluditur, nomine Peuce,
triangularis, latitudinem quidem ad littus protendens,
sed angustum cubitum ad fluvium: circum duo
separantur ostia: alterum appellant Narecis,
alterum sub ima-parte Calon ostium. Huc igitur
Absyrtus Colchique velocius proruperunt.
Illi vero (*Argonautæ*) altius insulam ad summam tendebant] procul. At in irriguis-pratis innumeras pecudes reliquerunt] pastores agrestes navium metu, veluti belluas
spectantes ex-mari cetis-referto prodeuntes.
Neque enim unquam marinas antea naves viderant,
nec Thracibus permixti Scythæ, nec Sigyni,
nec Graucenii, nec qui per Laurium jam
Sindi desertum campum vastum*que* habitabant.
At deinde Angurum montem, et procul situm
ab-Anguro monte scopulum Cauliaci,
circa quem Ister scindens fluxum huc atque illuc
mittit in-mare, campumque Laurium prætererant.
Tum Saturnium Colchi in mare egressi
undiquaque, ne ipsos laterent (*Argonautæ*), præciderunt
vias.] Illi pone fluvium devenerunt, et accesserunt
ad-duas Dianæ Brygeas prope insulas.
Quarum in altera quidem sacrum erat delubrum;
in alteram vero, multitudinem vitantes Absyrti,
escenderunt: quoniam illas intra multas reliquerant *Colchi* insulas] sic (*vacuas*) reveriti filiam Jovis: sed reliquæ
refertæ Colchis, itinera præcludebant maris.
Ita etiam in aliis copias reliquerant prope insulis
usque-ad Salanconem fluvium et Nestidem terram.
Ibi tristi Minyæ tum prœlio
pauciores pluribus succubuissent: sed antea
pactum, magno certamine vitato, inierunt.
Vellus quidem aureum, quoniam iis ipse pollicitus-erat
Æetes, si illi perficerent labores,
semper jure ipsos habituros-esse, sive dolis
sive etiam palam ita invito *illo* potiti-essent:

αὐτὰρ Μήδειάν γε, τὸ γὰρ πέλεν ἀμφήριστον,
παρθέσθαι κούρῃ Λητωΐδι νόσφιν ὁμίλου,
εἰσόκε τις δικάσῃσι θεμιστούχων βασιλήων,
εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν,
εἴτε μεθ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕπεσθαι.
Ἔνθα δ' ἐπεὶ τὰ ἕκαστα νόῳ πεμπάσσατο κούρη,
δή ῥά μιν ὀξεῖαι κραδίην ἐλέλιξαν ἀνῖαι
νωλεμές· αἶψα δὲ νόσφιν Ἰήσονα μοῦνον ἑταίρων
ἐκπροκαλεσσαμένη ἄγεν ἄλλυδις, ὄφρ' ἐλίασθεν
πολλὸν ἑκάς, στονόεντα δ' ἐνωπαδὶς ἔκφατο μῦθον.
Αἰσονίδη, τίνα τήνδε συναρτύνασθε μενοινὴν
ἀμφ' ἐμοί; ἠέ σε πάγχυ λαθιφροσύναις ἐνέηκαν
ἀγλαΐαι, τῶν δ' οὔ τι μετατρέπῃ, ὅσσ' ἀγόρευες
χρειοῖ ἐνισχόμενος; ποῦ τοι Διὸς Ἱκεσίοιο
ὅρκια; ποῦ δὲ μελιχραὶ ὑποσχεσίαι βεβάασιν;
ἧς ἐγὼ οὐ κατὰ κόσμον ἀναιδήτῳ ἰότητι
πάτρην τε κλέα τε μεγάρων αὐτούς τε τοκῆας
νοσφισάμην, τά μοι ἦεν ὑπέρτατα· τηλόθι δ' οἴη
λυγρῇσιν κατὰ πόντον ἅμ' ἀλκυόνεσσι φορεῦμαι
σῶν ἕνεκεν καμάτων, ἵνα μοι σόος ἀμφί τε βουσὶν
ἀμφί τε Γηγενέεσσιν ἀναπλήσειας ἀέθλους.
Ὕστατον αὖ καὶ κῶας, ἐφ' ᾧ πλόος ὔμμιν ἐτύχθη,
εἷλες ἐμῇ ματίῃ· κατὰ δ' οὐλοὸν αἶσχος ἔχευα
θηλυτέραις. Τῷ φημὶ τεὴ κούρη τε δάμαρ τε
αὐτοκασιγνήτη τε μεθ' Ἑλλάδα γαῖαν ἕπεσθαι.
Πάντῃ νυν πρόφρων ὑπερίστασο, μηδέ με μούνην
σεῖο λίπῃς ἀπάνευθεν, ἐποιχόμενος βασιλῆας.
Ἀλλ' αὔτως εἴρυσο· δίκη δέ τοι ἔμπεδος ἔστω
καὶ θέμις, ἣν ἄμφω συναρέσσαμεν· ἢ σύ γ' ἔπειτα
φασγάνῳ αὐτίκα τόνδε μέσον διὰ λαιμὸν ἀμῆσαι,
ὄφρ' ἐπίηρα φέρωμαι ἐοικότα μαργοσύνῃσιν.
Σχετλίη, εἴ κεν δή με κασιγνήτοιο δικάσσῃ
ἔμμεναι οὗτος ἄναξ, τῷ ἐπίσχετε τάσδ' ἀλεγεινὰς
ἄμφω συνθεσίας, πῶς ἵξομαι ὄμματα πατρός;
ἦ μάλ' εὐκλειής; τίνα δ' οὐ τίσιν ἠὲ βαρεῖαν
ἄτην οὐ σμυγερῶς δεινῶν ὕπερ, οἷα ἔοργα,
ὀτλήσω; οὐ κεν θυμηδέα νόστον ἕλοιο.
Μή τόγε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις,
ᾗ ἐπικυδιάεις. Μνήσαιο δὲ καί ποτ' ἐμεῖο,
στρευγόμενος καμάτοισι· δέρος δέ τοι ἶσον ὀνείροις
οἴχοιτ' εἰς ἔρεβος μεταμώνιον. Ἐκ δέ σε πάτρης
αὐτίκ' ἐμαί σ' ἐλάσειαν Ἐριννύες· οἷα καὶ αὐτὴ
σῇ πάθον ἀτροπίῃ. Τὰ μὲν οὐ θέμις ἀκράαντα
ἐν γαίῃ πεσέειν. Μάλα γὰρ μέγαν ἤλιτες ὅρκον,
νηλεές· ἀλλ' οὔ θὴν μοι ἐπιλλίζοντες ὀπίσσω
δὴν ἔσσεσθ' εὔκηλοι ἕκητί γε συνθεσιάων.
Ὣς φάτ' ἀναζείουσα βαρὺν χόλον· ἵετο δ' ἥ γε
νῆα καταφλέξαι διά τ' ἔμπεδα πάντα κεάσσαι,
ἐν δὲ πεσεῖν αὐτὴ μαλερῷ πυρί. Τοῖα δ' Ἰήσων
μειλιχίοις ἐπέεσσιν ὑποδδείσας προσέειπεν.
Ἴσχεο, δαιμονίη· τὰ μὲν ἁνδάνει οὐδ' ἐμοὶ αὐτῷ.
Ἀλλά τιν' ἀμβολίην διζήμεθα δηϊοτῆτος,
ὅσσον δυσμενέων ἀνδρῶν νέφος ἀμφιδέδηεν
εἵνεκα σεῦ. Πάντες γάρ, ὅσοι χθόνα τήνδε νέμονται,

at Medeam (hoc enim erat controversum)
deponendam-esse apud-filiam Latonæ seorsum a-cœtu,
dum quis judicet justorum regum,
utrum eam in patris oporteat domum reverti,
an in Græcam terram heroas sequi.
Ibi quum cuncta mente perpendisset puella,
sane ejus acerbæ animum exercuerunt curæ
indesinenter: statim vero seorsum Jasonem solum a-sociis
sevocatum duxit in-alium-locum, donec abessent
longissime, flebilemque coram edidit sermonem:
Jason, quamnam hanc iniistis sententiam
de me? num te omnino oblivioni immisit
fortuna-secunda, neque eorum quidquam curas, quæ dixisti
necessitate irretitus? ubinam Jovis supplicum-præsidis
jusjurandum? quo blanda promissa abierunt?
ob-quæ ego indecenter, impudente animo,
patriam et splendorem palatii, et ipsos parentes
deserui, quæ mihi erant summa: proculque sola
tristibus per mare cum alcyonibus feror
tuorum causa laborum, ut mihi salvus cum tauris
et cum gigantibus perficeres certamina.
Postremo etiam vellus, ob quod navigatio a-vobis su-
scepta-est,] cepisti mea temeritate: ingens vero dedecus
affudi] feminis. Quare dico *me*, tuam et puellam et conju-
gem] et sororem, in Græciam *te* comitari.
Omnino igitur benevolus defende, neve me solam
sine te relinquas, accedens ad-reges.
Verum ita tuere: jus vero tibi sanctum sit
et lex, in-quam ambo consensimus: aut tu deinde
ense statim hoc medium jugulum disseca,
ut pretium auferam conveniens stultitiæ.
O *me* miseram, si jam me fratris judicaverit
esse ille rex, cui committitis hæc tristia
ambo pacta, quomodo in-conspectum veniam patris?
num admodum gloriosa? quam vero non pœnam vel gra-
vem] calamitatem non misere, propter facinora, quæ pa-
travi,] perferam? non jucundum reditum habueris.
Ne hoc regina Jovis ratum-faciat conjux,
qua gloriaris. Memineris vero etiam aliquando mei
confectus ærumnis: vellus autem tibi, velut somnia,
abeat in tartara vanum! Te vero ex patria,
statim meæ te expellant Furiæ: quod et ipsa
tua passa-sum perversitate. Hæc non fas *est* irrita
in terram cadere. Admodum enim magnum violasti jusju-
randum] crudeliter; at non tamen mihi illudentes in
-posterum] diu eritis quieti, pactorum causa.
Sic dixit, effervescere-faciens gravem iram, cupiitque
illa] navem comburere, et firma omnia dissipare,
atque irruere ipsa in furentem ignem. Ita autem Jason
blandis verbis, metuens-nonnihil, allocutus est:
Cohibe-te, o bona, illa nec mihi ipsi placent.
Sed aliquam dilationem quærimus pugnæ,
quanta hostilium virorum nubes undique circumstat,
tua causa. Omnes enim, quotquot terram hanc incolunt,

Ἀψύρτῳ μεμάασιν ἀμυνέμεν, ὄφρα σε πατρὶ
οἷά τε ληϊσθεῖσαν ὑπότροπον οἴκαδ' ἄγοιτο.
Αὐτοὶ δὲ στυγερῷ κεν ὀλοίμεθα πάντες ὀλέθρῳ,
μίξαντες δαῒ χεῖρας· ὅ τοι καὶ ῥίγιον ἄλγος
ἔσσεται, εἴ σε θανόντες ἕλωρ κείνοισι λίποιμεν.
Ἧδε δὲ συνθεσίη κρανέει δόλον, ᾧ μιν ἐς ἄτην
βήσομεν. Οὐδ' ἂν ὁμῶς περιναιέται ἀντιόωσιν
Κόλχοις ἦρα φέροντες ὑπὲρ σέο νόσφιν ἄνακτος,
ὅς τοι ἀοσσητήρ τε κασίγνητός τε τέτυκται·
οὐδ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξω μὴ πτολεμίζειν
ἀντιβίην, ὅτε μή με διὲξ εἰῶσι νέεσθαι.
Ἴσκεν ὑποσσαίνων· ἡ δ' οὐλοὸν ἔκφατο μῦθον.
Φράζεό νυν. Χρειὼ γὰρ ἀεικελίοισιν ἐπ' ἔργοις
καὶ τόδε μητίσασθαι, ἐπεὶ τοπρῶτον ἀάσθην
ἀμπλακίῃ, θεόθεν δὲ κακὰς ἤνυσσα μενοινάς.
Τύνῃ μὲν κατὰ μῶλον ἀλέξεο δούρατα Κόλχων·
αὐτὰρ ἐγὼ κεῖνόν γε τεὰς ἐς χεῖρας ἱκέσθαι
μειλίξω· σὺ δέ μιν φαιδροῖς ἀγαπάζεο δώροις·
εἴ κέν πως κήρυκας ἀπερχομένους πεπίθοιμι
οἰόθεν οἶον ἐμοῖσι συναρθμῆσαι ἐπέεσσιν.
Ἔνθ' εἴ τοι τόδε ἔργον ἐφανδάνει, οὔ τι μεγαίρω,
κτεῖνέ τε καὶ Κόλχοισιν ἀείρεο δηϊοτῆτα.
Ὣς τώ γε ξυμβάντε μέγαν δόλον ἠρτύναντο
Ἀψύρτῳ, καὶ πολλὰ πόρον ξεινήϊα δῶρα,
οἷς μέτα καὶ πέπλον δόσαν ἱερὸν Ὑψιπυλείης
πορφύρεον. Τὸν μέν ῥα Διωνύσῳ κάμον αὐταὶ
Δίῃ ἐν ἀμφιάλῳ Χάριτες θεαί· αὐτὰρ ὁ παιδὶ
δῶκε Θόαντι μεταῦτις· ὁ δ' αὖ λίπεν Ὑψιπυλείῃ·
ἡ δ' ἔπορ' Αἰσονίδῃ πολέσιν μετὰ καὶ τὸ φέρεσθαι
γλήνεσιν εὐεργὲς ξεινήϊον. Οὔ μιν ἀφάσσων,
οὔτε κεν εἰσορόων γλυκὺν ἵμερον ἐμπλήσειας.
Τοῦ δὲ καὶ ἀμβροσίη ὀδμὴ πέλεν ἐξέτι κείνου,
ἐξ οὗ ἄναξ αὐτὸς Νυσήϊος ἐγκατέλεκτο
ἀκροχάλιξ οἴνῳ καὶ νέκταρι, καλὰ μεμαρπὼς
στήθεα παρθενικῆς Μινωΐδος, ἥν ποτε Θησεὺς
Κνωσσόθεν ἑσπομένην Δίῃ ἔνι κάλλιπε νήσῳ.
Ἡ δ' ὅτε κηρύκεσσιν ἐπεξυνώσατο μύθους,
θελγέμεν, εὖτ' ἂν πρῶτα θεᾶς περὶ νηὸν ἵκηται
συνθεσίῃ, νυκτός τε μέλαν κνέφας ἀμφιβάλῃσιν,
ἐλθέμεν, ὄφρα δόλον συμφράσσεται, ὥς κεν ἑλοῦσα
χρύσειον μέγα κῶας ὑπότροπος αὖτις ὀπίσσω
βαίη ἐς Αἰήταο δόμους· πέρι γάρ μιν ἀνάγκῃ
υἷῆες Φρίξοιο δόσαν ξείνοισιν ἄγεσθαι·
τοῖα παραιφαμένη θελκτήρια φάρμακ' ἔπασσεν
αἰθέρι καὶ πνοιῇσι, τά κεν καὶ ἄπωθεν ἐόντα
ἄγριον ἠλιβάτοιο κατ' οὔρεος ἤγαγε θῆρα.
Σχέτλι' Ἔρως, μέγα πῆμα, μέγα στύγος ἀνθρώποισιν,
ἐκ σέθεν οὐλόμεναί τ' ἔριδες στοναχαί τε γόοι τε
ἄλγεά τ' ἄλλ' ἐπὶ τοῖσιν ἀπείρονα τετρήχασιν·
δυσμενέων ἐπὶ παισὶ κορύσσεο, δαῖμον, ἀερθείς,
οἷος Μηδείῃ στυγερὴν φρεσὶν ἔμβαλες ἄτην.
Πῶς γὰρ δὴ μετιόντα κακῷ ἐδάμασσεν ὀλέθρῳ
Ἄψυρτον; τὸ γὰρ ἧμιν ἐπισχερὼ ἦεν ἀοιδῆς.
Ἦμος ὅτ' Ἀρτέμιδος νήσῳ ἔνι τήν γ' ἐλίποντο

Absyrto cupiunt opitulari, ut te patri,
velut captam, reversam domum abducat.
Ipsi vero tristi peribimus omnes morte
conserentes prœlio manus: qui sane vel atrocior dolor
erit, si te mortui prædam illis relinquamus.
Illud vero pactum efficiet dolum, quo eum in exitium
ducamus. Neque una (*cum Colchis*) vicini invadent *nos*
Colchis opem ferentes pro te, sine duce,
qui tibi et adjutor et frater est:
neque ego Colchis cedam, quin pugnem
contra, quando me non sinunt præternavigare.

Dixit blandiens: illa vero perniciosum elocuta-est sermonem:] Cogita igitur. Oportet enim indigna præter facinora] etiam hoc moliri, quoniam primum noxium-commisi peccatum, divinitusque mala perfeci consilia.
Tu quidem in prœlio defende hastas Colchorum:
at ego illum, tuas in manus ut-veniat,
alliciam: (tu vero eum splendidis excipe donis:)]
si forte præconibus abeuntibus persuaserim,
seorsum solum meis ut-conciliarem verbis.
Tum, si tibi hoc facinus placet, non repugno,
et interfice *eum*, et cum Colchis ini prœlium.

Sic illi congressi magnum dolum struxerunt
Absyrto, et multa donarunt hospitalia dona,
inter quæ etiam peplum dederunt eximium Hypsipyleæ
purpureum. Hunc quidem Dionyso confecerant ipsæ
Dia in circumflua Charites deæ: at ille filio
dederat Thoanti postea; hic reliquerat Hypsipylæ:
ea autem dederat Jasoni cum multis etiam hoc auferendum] ornamentis bene-elaboratum munus. Non illud contrectando,] neque adspiciendo dulce desiderium impleres.
Ejus etiam suavissimus odor erat ex illo *tempore*,
ex quo deus ipse Nysëius indormierat
semimadidus vino atque nectare, pulchris contactis
pectoribus virginis Minoïdis (Ariadnæ), quam olim Theseus
e-Cnosso secutam in Dia reliquerat insula.
Illa vero quum cum-præconibus communicasset sermonem *iis* persuasura, ut, quam primum deæ ad templum venisset] ex-pacto, noctisque atra caligo circumdedisset *ipsos*, abirent, quo dolum una-excogitaret (*cum Absyrto*), ut sumto
aureo magno vellere, redux iterum retro
iret in Æetæ domos: admodum enim ipsam vi
filii Phrixi dederant (*ut ajebat*) hospitibus abducendam:
hæc cum-admonuisset, delinientia medicamina inspersit
ætheri et ventis, quæ etiam procul versantem
agrestem celso de monte deduxissent feram.

Improbe Amor, magnum malum, magnum odium hominibus,] ex te (*te auctore*) perniciosæ contentiones, et gemitus et luctus] atque dolores alii præter illos innumeri turbarunt *homines*.] Hostium in liberos armare, o-deus, excitatus,] qualis Medeæ menti invisum injecisti crimen.
Quomodo enim accedentem malo perdomuit fato
Absyrtum? hoc enim nobis deinceps erat canendum
Postquam Dianæ in insula illam reliquerunt

συνθεσίῃ, τοὶ μέν ῥα διάνδιχα νηυσὶν ἔκελσαν
σφωϊτέραις κρινθέντες· ὁ δ' ἐς λόχον ᾖεν Ἰήσων
δέγμενος Ἄψυρτόν τε καὶ οὓς ἐξαῦτις ἑταίρους.
Αὐτὰρ ὅ γ' αἰνοτάτῃσιν ὑποσχεσίῃσι δολωθεὶς
καρπαλίμως ᾗ νηῒ διὲξ ἁλὸς οἶδμα περήσας,
νύχθ' ὑπὸ λυγαίην ἱερῆς ἐπεβήσατο νήσου·
οἰόθι δ' ἀντικρὺ μετιὼν πειρήσατο μύθοις
εἷο κασιγνήτης, ἀταλὸς πάϊς οἷα χαράδρης
χειμερίης, ἣν οὐδὲ δι' αἰζηοὶ περόωσιν,
εἴ κε δόλον ξείνοισιν ἐπ' ἀνδράσι τεχνήσαιτο.
Καὶ τὼ μὲν τὰ ἕκαστα συνήνεον ἀλλήλοισιν·
αὐτίκα δ' Αἰσονίδης πυκινοῦ ἐξᾶλτο λόχοιο,
γυμνὸν ἀνασχόμενος παλάμῃ ξίφος· αἶψα δὲ κούρη
ἔμπαλιν ὄμματ' ἔνεικε καλυψαμένη ὀθόνῃσιν,
μὴ φόνον ἀθρήσειε κασιγνήτοιο τυπέντος.
Τὸν δ' ὅγε, βουτύπος ὥστε μέγαν κερεαλκέα ταῦρον,
πλῆξεν ὀπιπτεύσας νηοῦ σχεδὸν, ὅν ποτ' ἔδειμαν
Ἀρτέμιδι Βρυγοὶ περιναιέται ἀντιπέρηθεν.
Τοῦ ὅ γ' ἐνὶ προδόμῳ γνὺξ ἤριπε· λοίσθια δ' ἥρως
θυμὸν ἀναπνείων χερσὶν μέλαν ἀμφοτέρῃσιν
αἷμα κατ' ὠτειλὴν ὑποΐσχετο· τῆς δὲ καλύπτρην
ἀργυφέην καὶ πέπλον ἀλευομένης ἐρύθηνεν.
Ὀξὺ δὲ πανδαμάτωρ λοξῷ ἴδεν οἷον ἔρεξαν
ὄμματι νηλειὴς ὀλοφώϊον ἔργον Ἐριννύς.
Ἥρως δ' Αἰσονίδης ἐξάργματα τάμνε θανόντος,
τρὶς δ' ἀπέλειξε φόνου, τρὶς δ' ἐξ ἄγος ἔπτυσ' ὀδόντων,
ᾗ θέμις αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι.
Ὑγρὸν δ' ἐν γαίῃ κρύψεν νέκυν, ἔνθ' ἔτι νῦν περ
κείαται ὀστέα κεῖνα μετ' ἀνδράσιν Ἀψυρτεῦσιν.
Οἱ δ' ἄμυδις πυρσοῖο σέλας προπάροιθεν ἰδόντες,
τό σφιν παρθενικὴ τέκμαρ μετιοῦσιν ἄειρεν,
Κολχίδος ἀγχόθι νηὸς ἑὴν παρὰ νῆα βάλοντο
ἥρωες· Κόλχον δ' ὄλεκον στόλον, ἠΰτε κίρκοι
φῦλα πελειάων, ἠὲ μέγα πῶϋ λέοντες
ἀγρότεροι κλονέουσιν ἐνὶ σταθμοῖσι θορόντες.
Οὐδ' ἄρα τις κείνων θάνατον φύγε, πάντα δ' ὅμιλον
πῦρ ἅτε δηϊόωντες ἐπέδραμον· ὀψὲ δ' Ἰήσων
ἤντησεν μεμαὼς ἐπαμυνέμεν οὐ μάλ' ἀρωγῆς
δευομένοις· ἤδη δὲ καὶ ἀμφ' αὐτοῖο μέλοντο.
Ἔνθα δὲ ναυτιλίης πυκινὴν πέρι μητιάασκον
ἑζόμενοι βουλήν· ἐπὶ δὲ σφίσιν ἤλυθε κούρη
φραζομένοις· Πηλεὺς δὲ παροίτατος ἔκφατο μῦθον·
Ἤδη νῦν κέλομαι νύκτωρ ἔτι νῆ' ἐπιβάντας
εἰρεσίῃ περάαν πλόον ἀντίον, ᾧ ἐπέχουσιν
δήϊοι· ἠῶθεν γὰρ ἐπαθρήσαντας ἕκαστα
ἔλπομαι οὐχ ἕνα μῦθον, ὅ τις προτέρωσε δίεσθαι
ἡμέας ὀτρυνέει, τοὺς πεισέμεν· οἷα δ' ἄνακτος
εὔνιδες ἀργαλέῃσι διχοστασίῃς κεδόωνται.
Ῥηϊδίη δέ κεν ἄμμι κεδασθέντων δίχα λαῶν
ἤδ' εἴη μετέπειτα κατερχομένοισι κέλευθος.
Ὣς ἔφατ'· ἤνησαν δὲ νέοι ἔπος Αἰακίδαο.
Ῥίμφα δὲ νῆ' ἐπιβάντες ἐπερρώοντ' ἐλάτῃσιν
νωλεμὲς, ὄφρ' ἱερὴν Ἠλεκτρίδα νῆσον ἵκοντο
ἀλλάων ὑπάτην, ποταμοῦ σχεδὸν Ἠριδανοῖο.

ex-pacto, ceteri quidem divisim navibus abierunt
suis separati: sed in insidias ivit Jason,
excepturus Absyrtum et ipsius deinde socios.
At ille gravissimis promissis deceptus
celeriter sua navi maris fluctu trajecto
nocte sub atra sacram conscendit insulam;
seorsum vero coram conveniens tentavit verbis
suam sororem (simplex puer velut torrentem
hibernum, quem ne adolescentes quidem transirent),
an dolum peregrinos contra homines moliretur.
Atque illi de-omnibus consenserunt inter-se:
subito vero Jason ex densis prosiluit insidiis
nudum gestans manu ensem: statimque puella
retro oculos avertit, obtecta velamine,
ne cædem conspiceret fratris percussi.
Hunc ille, veluti popa magnum cornibus-confisum taurum,
percussit oculis-lustrans prope templum, quod olim exstruxerant] Dianæ Brygi, qui-circumhabitant in-opposita
-terra.] Ejus (*templi*) ille in vestibulo in-genua procidit:
tandem heros] animam exhalans manu atrum utraque
sanguinem in vulnere excepit, illiusque (*Medeæ*) calyptram] candidam et peplum aversæ rubefecit.
Acute autem omnia-domans obliquo vidit, quod patraverant,] oculo immitis dirum facinus Erinnys.
Heros vero Æsonides primitias (*extremas membrorum partes*) exsecuit mortui,] et ter delinxit sanguinem, ter piaculum exspuit dentium,] ut fas *est* homicidis dolosas-cædes
expiare.] Humidum autem in terra sepelivit cadaver, ubi
etiamnum] jacent ossa illa inter viros Absyrtenses.

Illi autem (*Argonautæ*) simul-ac facis jubar procul
conspexerunt,] quod iis virgo signum accessuris sustulerat,] Colchicam prope navem suam navem adegerunt
heroes: Colchicasque peremerunt copias, velut accipitres
agmina columbarum, aut magnum gregem leones
immites conturbant in stabula irruentes.
Nec quisquam illorum mortem effugit, omnemque cœtum
ignis instar vastantes incursarunt: sero autem Jason
accessit, cupiens opem-ferre non valde auxilio
indigentibus: jam vero etiam de ipso solliciti-erant.
Ibi igitur de navigatione cauta inierunt
sedentes consilia; et ad eos accessit puella
deliberantes: Peleus autem primus habuit sermonem:

Jam nunc jubeo noctu adhuc navem ingressos
remigando trajicere cursu adverso *illi*, cui imminent
hostes: mane enim intuitis omnia
opinor non unam sententiam, quæ ulterius persequi
nos jubeat, illis persuasuram-esse: sed utpote duce
orbati diris dissidiis dissipabuntur.
Facilis autem nobis, dispersis populis,
hæc erit postea reversuris via.

Sic dixit: approbarunt autem juvenes dictum Æacidæ.
Statimque, navi conscensa, incubuerunt remis
indesinenter, donec ad-sacram Electridis insulam pervenissent,] aliarum postremam, fluvium prope Eridanum.

Τρὶς μὲν ἀνήϋσεν, τρὶς δ' ὀτρύνοντος ὁμίλου
Φρόντις ἀμοιβήδην ἀντίαχεν· οἱ δ' ἄρα τείως
ἥρωες μετὰ τήν γε θοοῖς ἐλάασκον ἐρετμοῖς.
Οὔπω πείσματα νηὸς ἐπ' ἠπείροιο περαίης
βάλλον, ὁ δὲ κραιπνοὺς χέρσῳ πόδας ἧκεν Ἰήσων
ὑψοῦ ἀπ' ἰκριόφιν· μετὰ δὲ Φρόντις τε καὶ Ἄργος,
υἷε δύω Φρίξου, χαμάδις θόρον· ἡ δ' ἄρα τούς γε
γούνων ἀμφοτέρῃσι περισχομένη προσέειπεν. [τοὺς
Ἔκ με, φίλοι, ῥύσασθε δυσάμμορον, ὣς δὲ καὶ αὐ-
δμέας Αἰήταο, πρὸ γάρ τ' ἀναφανδὰ τέτυκται
πάντα μάλ', οὐδέ τι μῆχος ἱκάνεται. Ἀλλ' ἐπὶ νηὶ
φεύγωμεν, πρὶν τόνδε θοῶν ἐπιβήμεναι ἵππων.
Δώσω δὲ χρύσειον ἐγὼ δέρος, εὐνήσασα
φρουρὸν ὄφιν· τύνη δὲ θεοὺς ἐνὶ σοῖσιν ἑταίροις,
ξεῖνε, τεῶν μύθων ἐπιίστορας, οὕς μοι ὑπέστης,
ποίησαι· μηδ' ἔνθεν ἑκαστέρω ὁρμηθεῖσαν
χήτει κηδεμόνων ὀνοτὴν καὶ ἀεικέα θείης.
Ἴσκεν ἀκηχεμένη· μέγα δὲ φρένες Αἰσονίδαο
γήθεον· αἶψα δέ μιν περὶ γούνασι πεπτηυῖαν
ἦκ' ἀναειρόμενος προσπτύξατο θάρσυνέν τε·
Δαιμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω
Ἥρη τε Ζυγίη, Διὸς εὐνέτις, ἦ μὲν ἐμοῖσιν
κουριδίην σὲ δόμοισιν ἐνιστήσεσθαι ἄκοιτιν,
εὖτ' ἂν ἐς Ἑλλάδα γαῖαν ἱκώμεθα νοστήσαντες.
Ὣς ηὔδα καὶ χεῖρα παρασχεδὸν ἤραρε χειρὶ
δεξιτερήν· ἡ δέ σφιν ἐς ἱερὸν ἄλσος ἀνώγει
νῆα θοὴν ἐλάαν αὐτοσχεδὸν, ὄφρ' ἔτι νύκτωρ
κῶας ἑλόντες ἄγοιντο παρὲκ νόον Αἰήταο.
Ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισιν.
Εἰς γάρ μιν βήσαντες ἀπὸ χθονὸς αὐτίκ' ἔωσαν
νῆα· πολὺς δ' ὀρυμαγδὸς ἐπειγομένων ἐλάτῃσιν
ἦεν ἀριστήων· ἡ δ' ἔμπαλιν ἀίσσουσα
γαίῃ χεῖρας ἔτεινεν ἀμήχανος. Αὐτὰρ Ἰήσων
θάρσυνέν τ' ἐπέεσσι, καὶ ἴσχανεν ἀσχαλόωσαν.
Ἦμος δ' ἀνέρες ὕπνον ἀπ' ὀφθαλμῶν ἐβάλοντο
ἀγρόται, οἵτε κύνεσσι πεποιθότες οὔ ποτε νύκτα
ἄγχαυρον κνώσσουσιν, ἀλευάμενοι φάος ἠοῦς,
μὴ πρὶν ἀμαλδύνῃ θηρῶν στίβον ἠδὲ καὶ ὀδμὴν
θηρείην λευκῇσιν ἐνισκίμψασα βολῇσιν·
τῆμος ἄρ' Αἰσονίδης κούρη τ' ἀπὸ νηὸς ἔβησαν
ποιήεντ' ἀνὰ χῶρον, ἵνα κριοῦ καλέονται
εὐναὶ, ὅθι πρῶτον κεκμηότα γούνατ' ἔκαμψεν,
νώτοισιν φορέων Μινυήϊον υἷ' Ἀθάμαντος.
Ἐγγύθι δ' αἰθαλόεντα πέλεν βωμοῖο θέμεθλα,
ὅν ῥά ποτ' Αἰολίδης Διὶ Φυξίῳ εἵσατο Φρίξος,
ῥέζων κεῖνο τέρας παγχρύσεον, ὥς οἱ ἔειπεν
Ἑρμείας πρόφρων ξυμβλήμενος. Ἔνθ' ἄρα τούς γε
Ἄργου φραδμοσύνῃσιν ἀριστῆες μεθέηκαν.
Τὼ δὲ δι' ἀτραπιτοῖο μεθ' ἱερὸν ἄλσος ἵκοντο,
φηγὸν ἀπειρεσίην διζημένω, ᾗ ἔπι κῶας
βέβλητο νεφέλῃ ἐναλίγκιον, ἥτ' ἀνιόντος
ἠελίου φλογερῇσιν ἐρεύθεται ἀκτίνεσσιν.
Αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνετο δειρὴν
ὀξὺς ἀΰπνοισιν προϊδὼν ὄφις ὀφθαλμοῖσιν

Ter quidem exclamavit, ter autem, hortante cœtu,
Phrontis vicissim reclamavit : interea vero
heroes ad eam celeribus remigabant remis.
Nondum retinaculis navis continenti oppositæ
injectis, celeres in-terram pedes immisit Jason
alte ex tabulatis : post *eum* Phrontis et Argus,
filii duo Phrixi, in-terram desiluerunt : illa igitur hos,
genua utraque-manu amplexa, affata-est :
Me, amici, eripite, miseram, simulque etiam ipsos
vos Æetæ : etenim prodita sunt
omnia omnino, neque ullum remedium superest. Verum
navi] fugiamus, priusquam iste celeres conscendat equos.
Dabo vero aureum ego vellus, sopito
custode dracone : tu vero deos coram tuis sociis,
hospes, tuorum promissorum testes, quæ mihi dedisti,
fac : neque hinc longius profectam
orbitate cognatorum vituperandam et infamem reddas.
Dixit tristis : valde vero mens Jasonis
lætata-est : statimque eam ad genua prolapsam
leniter sublatam amplexus-est et cohortatus :
O bona, Jupiter ipse Olympius testis esto,
Junoque Pronuba, Jovis conjux, profecto *me* in-meis
legitimam te ædibus ducturum-esse uxorem,
quando in Græcam terram venerimus reversi.
Sic dixit, et manum statim inseruit manui
dextram : illa eos in sacrum lucum jussit
navem celerem agere statim, ut adhuc noctu
vellus captum auferrent contra sententiam Æetæ.
Tunc dictum factumque simul erat properantibus.
Nam ea imposita a terra statim depulerunt
navem : multus autem strepitus incumbentium remis
erat heroum : illa retro saliens
versus-terram manus extendit consilii-inops. At Jason
et animavit verbis, et detinuit mœrentem.
Quando autem (viri) somnum ab oculis excutiunt
venatores, qui canibus confisi nunquam nocte
profunda dormiunt, vitantes lumen auroræ,
ne prius deleat ferarum vestigia aut etiam odorem
ferinum, lucidis si-incubuerit radiis :
eo-tempore Jason et puella e nave egressi-sunt
herbosum in locum, ubi arietis appellantur
cubilia, quo-loco primum fessa genua inflexit,
dorso vehens Minyeum filium Athamantis (*Phrixum*).
Prope vero fuliginosa erant aræ fundamenta,
quam quidem Æolides Jovi Phyxio erexerat Phrixus,
immolans illud portentum aureum, quemadmodum eum
jusserat] Mercurius benevole obviam-factus. Ibi igitur illos
Argi consilio heroes dimiserunt.
Illi vero per semitam ad sacrum nemus venerunt
fagum ingentem quærentes, in quâ vellus
jacebat, nubi simile, quæ orientis
solis flammeis rubet radiis.
At ex-adverso longissimum extendebat collum
acer insomnibus prospiciens draco oculis

νισσομένους, ῥοῖζει δὲ πελώριον· ἀμφὶ δὲ μακραὶ
ἠϊόνες ποταμοῖο καὶ ἄσπετον ἴαχεν ἄλσος.
Ἔκλυον οἳ καὶ πολλὸν ἑκὰς Τιτηνίδος Αἴης
Κολχίδα γῆν ἐνέμοντο παρὰ προχοῇσι Λύκοιο,
ὅστ' ἀποκιδνάμενος ποταμοῦ κελάδοντος Ἀράξεω
Φάσιδι συμφέρεται ἱερὸν ῥόον· οἱ δὲ συνάμφω
Καυκασίην ἅλαδ' εἰς ἓν ἐλαυνόμενοι προχέουσιν.
Δείματι δ' ἐξέγροντο λεχωΐδες, ἀμφὶ δὲ παισὶν
νηπιάχοις, οἵτε σφιν ὑπ' ἀγκαλίδεσσιν ἴαυον,
ῥοίζῳ παλλομένοις χεῖρας βάλον ἀσχαλόωσαι.
Ὡς δ' ὅτε τυφομένης ὕλης ὕπερ αἰθαλόεσσαι
καπνοῖο στροφάλιγγες ἀπείριτοι εἰλίσσονται,
ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται αἰὲν ἐπιπρὸ
νειόθεν εἰλίγγοισιν ἐπήορος ἐξανιοῦσα·
ὣς τότε κεῖνο πέλωρον ἀπειρεσίας ἐλέλιξεν
ῥυμβόνας ἀζαλέῃσιν ἐπηρεφέας φολίδεσσιν.
Τοῖο δ' ἑλισσομένοιο κατόμματον εἴσατο κούρη,
ὕπνον ἀοσσητῆρα, θεῶν ὕπατον, καλέουσα
ἡδείῃ ἐνοπῇ, θέλξαι τέρας· αὖε δ' ἄνασσαν
νυκτιπόλον, χθονίην, εὐαντέα δοῦναι ἐφορμήν.
Εἵπετο δ' Αἰσονίδης πεφοβημένος, αὐτὰρ ὅγ' ἤδη
οἴμῃ θελγόμενος δολιχὴν ἀνελύετ' ἄκανθαν
γηγενέος σπείρης, μήκυνε δὲ μυρία κύκλα,
οἷον ὅτε βληχροῖσι κυλινδόμενον πελάγεσσιν
κῦμα μέλαν κωφόν τε καὶ ἄβρομον· ἀλλὰ καὶ ἔμπης
ὑψοῦ σμερδαλέην κεφαλὴν μενέαινεν ἀείρας
ἀμφοτέρους ὀλοῇσι περιπτύξαι γενύεσσιν.
Ἡ δέ μιν ἀρκεύθοιο νέον τετμηότι θαλλῷ
βάπτουσ' ἐκ κυκεῶνος ἀκήρατα φάρμακ' ἀοιδαῖς
ῥαῖνε κατ' ὀφθαλμῶν· περί τ' ἀμφί τε νήριτος ὀδμὴ
φαρμάκου ὕπνον ἔβαλλε· γένυν δ' αὐτῇ ἐνὶ χώρῃ
θῆκεν ἐρεισάμενος· τὰ δ' ἀπείρονα πολλὸν ὀπίσσω
κύκλα πολυπρέμνοιο διὲξ ὕλης τετάνυστο.
Ἔνθα δ' ὁ μὲν χρύσειον ἀπὸ δρυὸς αἴνυτο κῶας
κούρης κεκλομένης· ἡ δ' ἔμπεδον ἑστηυῖα
φαρμάκῳ ἔψηχεν θηρὸς κάρη, εἰσόκε δή μιν
αὐτὸς ἑὴν ἐπὶ νῆα παλιντροπάασθαι Ἰήσων
ἤνωγεν, λεῖπεν δὲ πολύσκιον ἄλσος Ἄρηος.
Ὡς δὲ σεληναίην διχομήνιδα παρθένος αἴγλην
ὑψόθεν ἐξανέχουσαν ὑπωρόφιον θαλάμοιο
λεπταλέῳ ἑανῷ ὑποΐσχεται· ἐν δέ οἱ ἦτορ
χαίρει δερκομένης καλὸν σέλας· ὣς τότ' Ἰήσων
γηθόσυνος μέγα κῶας ἑαῖς ἐναείρατο χερσίν·
καί οἱ ἐπὶ ξανθῇσι παρηΐσιν ἠδὲ μετώπῳ
μαρμαρυγῇ ληνέων φλογὶ εἴκελον ἷζεν ἔρευθος.
Ὅσση δὲ ῥινὸς βοὸς ἤνιος ἢ ἐλάφοιο
γίγνεται, ἥντ' ἀγρῶσται ἀχαιΐνέην καλέουσιν,
τόσσον ἔην πάντῃ χρύσεον ἐφύπερθεν ἄωτον.
Βεβρίθει λήνεσσιν ἐπηρεφές· ἤλιθα δὲ χθὼν
αἰὲν ὑπὸ πρὸ ποδῶν ἀμαρύσσετο νισσομένοιο.
Ἤϊε δ' ἄλλοτε μὲν λαιῷ ἐπιειμένος ὤμῳ
αὐχένος ἐξ ὑπάτοιο ποδηνεκές, ἄλλοτε δ' αὖτε
εἴλει ἀρασσόμενος· πέρι γὰρ δίεν, ὄφρα ἑ μή τις
ἀνδρῶν ἠὲ θεῶν νοσφίσσεται ἀντιβολήσας.

venientes, stridebatque horrendum : undique vero longa
littora fluvii et ingens resonuit nemus.
Audiverunt, qui etiam admodum procul a-Titania Æa
Colchicam terram incolebant, ad ostia Lyci,
qui divertens a-fluvio strepente Araxo
cum-Phaside conjungit sacrum fluxum : illi autem ambo
in-Caucasium mare in unum compulsi effluunt.
Præ-timore autem expergefactæ-sunt puerperæ, infantes-
que] tenellos, qui ipsis sub ulnis dormiebant,
sibilo exterritos, manibus amplexæ-sunt tristes.
Ut vero incensa super silva flammantia
fumi volumina immensa volvuntur,
et aliud statim alii succedit semper ulterius,
ab-imo vorticibus sublime erumpens :
sic tum illud monstrum innumeros volvebat
tortus, aridis contectos squamis.
Ei autem se-volventi in-conspectum venit puella,
somnum opitulatorem, deorum potentissimum, invocans
suavi voce, ut-deliniret monstrum : inclamavit autem re-
ginam] noctivagam, subterraneam, faustum ut-redderet
inceptum.] Sequebatur Jason timens, at ille (*serpens*) jam
cantu delinitus longam resolvit spinam
terrigenæ spiræ, et in-longum-extendit innumeros orbes,
veluti quum in-magnis volvitur æquoribus
fluctus ater, surdus et strepitum-edens : at tamen
in-altum horribili capite cupiebat elato
ambo funestis complecti maxillis.
Illa vero ipsi, juniperi recens cæso ramo
illinens ex potione integra medicamina cum-carmine
destillabat in oculos : undique plurimus odor
medicaminis somnum circumfudit : maxillas eodem loco
demisit innixus : sed innumeri longe retrorsum
orbes arboribus-plenam per sylvam extendebantur.
Tum ille quidem aureum a quercu deripuit vellus
puella hortante; hæc vero semper adstans
medicamine defricuit belluæ caput, usque-dum jam eam
ipse suam in navem reverti Jason
juberet, reliquit autem umbrosum nemus Martis.
Ut vero plenilunii puella lumen
ex-alto effulgens sub-tecto thalami
tenui stola excipit; intusque ei animus
gaudet, quum-conspicit pulchrum splendorem : sic tum
Jason] lætus magnum vellus suis sustulit manibus :
atque ei in flavis genis atque fronte
fulgore lanarum flammæ similis insedit rubor.
Quanta vero pellis vaccæ anniculæ aut cervæ
est, quam quidem venatores achæïneam (*mollibus pilis
insignem*) appellant,] tantum erat undiquaque aureum
superne vellus.] Grave-erat lanis obsitum : et valde terra
semper ante pedes præfulgebat euntis.
Incessit vero nunc sinistro gestans humero
collo ex summo ad-pedes-usque-dependens : nunc rursus
involvit contrectatum : valde enim metuit, ne se quis
hominum deorumve eo privaret occurrens.

Ἠὼς μὲν ῥ' ἐπὶ γαῖαν ἐκίδνατο, τοὶ δ' ἐς ὅμιλον
ἷξον· θάμβησαν δὲ νέοι μέγα κῶας ἰδόντες
λαμπόμενον στεροπῇ ἴκελον Διός. Ὦρτο δ' ἕκαστος
ψαῦσαι ἐελδόμενος δέχθαι τ' ἐνὶ χερσὶν ἑῇσιν.
Αἰσονίδης δ' ἄλλους μὲν ἐρήτυε, τῷ δ' ἔπι φᾶρος
κάββαλε νηγάτεον· πρύμνῃ δ' ἐνεείσατο κούρην
ἀνθέμενος, καὶ τοῖον ἔπος μετὰ πᾶσιν ἔειπεν.
Μηκέτι νῦν χάζεσθε, φίλοι, πάτρηνδε νέεσθαι.
Ἤδη γὰρ χρειώ, τῆς εἵνεκα τήνδ' ἀλεγεινὴν
ναυτιλίην ἔτλημεν ὀϊζύϊ μοχθίζοντες,
εὐπαλέως κούρης ὑπὸ δήνεσι κεκράανται.
Τὴν μὲν ἐγὼν ἐθέλουσαν ἀνάξομαι οἴκαδ' ἄκοιτιν
κουριδίην· ἀτὰρ ὔμμες Ἀχαιΐδος οἷά τε πάσης
αὐτῶν θ' ὑμείων ἐσθλὴν ἐπαρωγὸν ἐοῦσαν
σώετε. Δὴ γάρ που μάλ' ὀίομαι εἶσιν ἐρύξων
Αἰήτης ὁμάδῳ πόντονδ' ἴμεν ἐκ ποταμοῖο.
Ἀλλ' οἱ μὲν διὰ νηὸς ἀμοιβαδὶς ἀνέρος ἀνὴρ
ἑζόμενος πηδοῖσιν ἐρέσσετε· τοὶ δὲ βοείας
ἀσπίδας ἡμίσεες, δηΐων θοὸν ἔχμα βολάων,
προσχόμενοι νόστῳ ἐπαμύνετε. Νῦν δ' ἐνὶ χερσὶν
παῖδας ἑοὺς πάτρην τε φίλην γεραρούς τε τοκῆας
ἴσχομεν· ἡμετέρῃ δ' ἐπερείδεται Ἑλλὰς ἐφορμῇ
ἠὲ κατηφείην, ἢ καὶ μέγα κῦδος ἀρέσθαι.
Ὣς φάτο· δῦνε δὲ τεύχε' ἀρήϊα· τοὶ δ' ἰάχησαν
θεσπέσιον μεμαῶτες. Ὁ δὲ ξίφος ἐκ κολεοῖο
σπασσάμενος πρυμναῖα νεὼς ἀπὸ πείσματ' ἔκοψεν.
Ἄγχι δὲ παρθενικῆς κεκορυθμένος ἰθυντῆρι
Ἀγκαίῳ παρέβασκεν· ἐπείγετο δ' εἰρεσίῃ νηῦς
σπερχομένων ἄμοτον ποταμοῦ ἄφαρ ἐκτὸς ἐλάσσαι.
Ἤδη δ' Αἰήτῃ ὑπερήνορι πᾶσί τε Κόλχοις
Μηδείης περίπυστος ἔρως καὶ ἔργα τέτυκτο.
Ἐς δ' ἀγορὴν ἀγέροντ' ἐνὶ τεύχεσιν· ὅσσα τε πόντου
κύματα χειμερίοιο κορύσσεται ἐξ ἀνέμοιο,
ἢ ὅσα φύλλα χαμᾶζε περικλαδέος πέσεν ὕλης
φυλλοχόῳ ἐνὶ μηνί· τίς ἂν τάδε τεκμήραιτο;
ὣς οἱ ἀπειρέσιοι ποταμοῦ παρεμέτρεον ὄχθας,
κλαγγῇ μαιμώωντες· ὁ δ' εὐτύκτῳ ἐνὶ δίφρῳ
Αἰήτης ἵπποισι μετέπρεπεν, οὕς οἱ ὄπασσεν
Ἠέλιος, πνοιῇσιν ἐειδομένους ἀνέμοιο·
σκαιῇ μέν ῥ' ἐνὶ χειρὶ σάκος δινωτὸν ἀείρων,
τῇ δ' ἑτέρῃ πεύκην περιμήκεα· πὰρ δέ οἱ ἔγχος
ἀντικρὺ τετάνυστο πελώριον. Ἡνία δ' ἵππων
γέντο χεροῖν Ἄψυρτος. Ὑπεκπρὸ δὲ πόντον ἔταμνεν
νηῦς ἤδη κρατεροῖσιν ἐπειγομένη ἐρέτῃσιν
καὶ μεγάλου ποταμοῖο καταβλώσκοντι ῥεέθρῳ.
Αὐτὰρ ἄναξ ἄτῃ πολυπήμονι χεῖρας ἀείρας
Ἠέλιον καὶ Ζῆνα, κακῶν ἐπιμάρτυρας ἔργων,
κέκλετο· δεινὰ δὲ παντὶ παρασχεδὸν ἤπυε λαῷ·
Εἰ μή οἱ κούρην αὐτάγρετον ἢ ἀνὰ γαῖαν,
ἢ πλωτῆς εὑρόντες ἔτ' εἰν ἁλὸς οἴδματι νῆα
ἄξουσιν, καὶ θυμὸν ἐνιπλήσει μενεαίνων
τίσασθαι, τάδε πάντα δαήσονται κεφαλῇσιν
πάντα χόλον καὶ πᾶσαν ἑὴν ὑποδέγμενοι ἄτην.
Ὣς ἔφατ' Αἰήτης· αὐτῷ δ' ἐνὶ ἤματι Κόλχοι

Aurora jam in terram diffundebatur, quum illi ad cœtum] venirent: stupuerunt vero juvenes magno vellere conspecto] splendente, fulmini Jovis simili. Accessit autem quisque] attingere cupiens et recipere manibus suis. Jason vero reliquos prohibuit, huic (*velleri*) autem pallium injecit recens-factum; inque puppi *id* collocavit puellam apponens, atque tale verbum ad omnes locutus-est:

Non-amplius nunc dubitate, amici, in-patriam redire. Jam enim res, cujus causa hanc molestam navigationem suscepimus, ærumnis conflictantes, facile puellæ ex consiliis peracta-est. Hanc ego lubentem abducam domum conjugem legitimam: at vos *eam,* Achaiæ utpote omnis vestrumque ipsorum bonam adjutricem, servate. Etenim, *id quod* valde suspicor, aderit prohibiturus] Æetes, cum-multitudine in-mare exire e fluvio. Itaque alii navem, alternatim viro vir assidens, remis agite: alii bubulos clypeos, *et quidem* dimidia pars, hostilium promtum munimen ictuum,] prætendentes, reditum defendite. Nunc enim in manibus] liberos nostros, patriamque caram, et venerandos parentes] tenemus: nostro vero innititur Græcia inceplo,] aut ignominiam, aut etiam magnam gloriam ut-reportet.] Sic dixit, et induit arma bellica: hi fremuerunt valde cupientes. Ille ense ex vagina extracto in-puppi navis-retinacula abscidit. Sed prope puellam armatus gubernatori Ancæo adstitit: urgebatur autem remigio navis, festinantibus *iis* continuo e fluvio statim *eam* propellere.

Jam vero Æetæ superbo et omnibus Colchis Medeæ innotuerant amor et facinora. In concionem igitur conveniebant armati: et quot maris fluctus hiberno excitantur vento, aut quot folia in-terram ex-ramosa decidunt silva, quo-folia-delabuntur mense: (quæ quis conjectura-assequatur?)] sic illi (*Colchi*) innumeri fluvii præterierunt ripas,] cum-clangore delati: at bene-constructo in curru Æetes equis splenduit, quos ei dederat Sol, flatibus similes venti, læva quidem manu scutum orbiculare tenens, altera autem piceam (*facem*) prælongam: juxta eum hasta omnino extendebatur ingens. Habenas autem equorum tenebat manibus Absyrtus. At longius mare secabat navis jam, validis compulsa remigibus magnique fluvii decurrente fluxu. At rex propter-calamitatem gravissimam manibus sublatis Solem et Jovem, malorum testes facinorum, invocavit, ac dira omni statim denunciavit populo:

Nisi ipsi filiam captam aut ad terram, aut navigabilis deprehensa in maris fluctu navi, adducturi-sint, atque animo *suo se* satisfacturum-esse cupientem] ulcisci, hæc omnia *illos* (*Colchos*) experturos-esse capitibus *suis*,] omnem iram et omnem suam subituros pœnam.] Sic dixit Æetes: illo-ipso autem die Colchi

νῆάς τ' εἰρύσσαντο καὶ ἄρμενα νηυσὶ βάλοντο,
αὐτῷ δ' ἤματι πόντον ἀνήϊον· οὐδέ κε φαίης
τόσσον νηΐτην στόλον ἔμμεναι, ἀλλ' οἰωνῶν
ἰλαδὸν ἄσπετον ἔθνος ἐπιβρομέειν πελάγεσσιν.
Οἱ δ' ἀνέμου λαιψηρὰ θεῆς βουλῇσιν ἀέντος
Ἥρης, ὄφρ' ὤκιστα κακὸν Πελίαο δόμοισιν
Αἰαίη Μήδεια Πελασγίδα γαῖαν ἵκηται,
ἠοῖ ἐνὶ τριτάτῃ πρυμνήσια νηὸς ἔδησαν
Παφλαγόνων ἀκταῖσι πάροιθ' Ἅλυος ποταμοῖο.
Ἡ γάρ σφ' ἐλαποβάντας ἀρέσσασθαι θυέεσσιν
ἠνώγει Ἑκάτην. Καὶ δὴ τὰ μὲν, ὅσσα θυηλὴν
κούρη πορσανέουσα τιτύσκετο, μήτε τις ἴστωρ
εἴη, μήτ' ἐμὲ θυμὸς ἐποτρύνειεν ἀείδειν.
Ἅζομαι αὐδῆσαι· τό γε μὴν ἕδος ἐξέτι κείνου,
ὅ ῥα θεᾷ ἥρωες ἐπὶ ῥηγμῖσιν ἔδειμαν,
ἀνδράσιν ὀψιγόνοισι μένει καὶ τῆμος ἰδέσθαι.
Αὐτίκα δ' Αἰσονίδης ἐμνήσατο, σὺν δὲ καὶ ὧλλοι
ἥρωες, Φινῆος, ὃ δὴ πλόον ἄλλον ἔειπεν
ἐξ Αἴης ἔσσεσθαι· ἀνώϊστος δὲ τέτυκτο
πᾶσιν ὁμῶς. Ἄργος δὲ λιλαιομένοις ἀγόρευσεν.
Νισσόμεθ' Ὀρχομενὸν, τὴν ἔχραεν ὔμμι περῆσαι
νημερτὴς ὅδε μάντις, ὅτῳ ξυνέβητε πάροιθεν.
Ἔστιν γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες
πέφραδον, οἳ Θήβης Τριτωνίδος ἐκγεγάασιν.
Οὔπω τείρεα πάντα, τάτ' οὐρανῷ εἱλίσσονται,
οὐδέ τί πω Δαναῶν ἱερὸν γένος ἦεν ἀκοῦσαι
πευθομένοις· οἶοι δ' ἔσαν Ἀρκάδες Ἀπιδανῆες,
Ἀρκάδες, οἳ καὶ πρόσθε Σεληναίης ὑδέονται
ζώειν, φηγὸν ἔδοντες ἐν οὔρεσιν· οὐδὲ Πελασγὶς
χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο Δευκαλίδῃσιν,
ἦμος ὅτ' ἠερίη πολυλήϊος ἐκλήϊστο
μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν,
καὶ ποταμὸς Τρίτωνος ἐΰῤῥοος, ᾧ ὕπο πᾶσα
ἄρδεται ἠερίη· Διόθεν δέ μιν οὔ ποτε δεύει
ὄμβρος· ἅλις προχοῇσι δ' ἀνασταχύουσιν ἄρουραι.
Ἔνθεν δή τινά φασι πέριξ διὰ πᾶσαν ὁδεῦσαι
Εὐρώπην Ἀσίην τε, βίῃ καὶ κάρτεϊ λαῶν
σφωϊτέρων θάρσει τε πεποιθότα· μυρία δ' ἄστη
νάσσατ' ἐποιχόμενος, τὰ μὲν ἤ ποθι ναιετάουσιν,
ἠὲ καὶ οὔ· πουλὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών.
Αἶά γε μὴν ἔτι νῦν μένει ἔμπεδον υἱωνοί τε
τῶνδ' ἀνδρῶν, οὓς ὅς γε καθίσσατο ναιέμεν Αἶαν.
Οἳ δή τοι γραπτοὺς πατέρων ἕθεν εἰρύονται
κύρβιας, οἷς ἔνι πᾶσαι ὁδοὶ καὶ πείρατ' ἔασιν
ὑγρῆς τε τραφερῆς τε πέριξ ἐπινισσομένοισιν.
Ἔστι δέ τις ποταμὸς, ὕπατον κέρας Ὠκεανοῖο,
εὐρύς τε προβαθύς τε καὶ ὁλκάδι νηῒ περῆσαι·
Ἴστρον μιν καλέοντες ἑκὰς διετεκμήραντο·
ὅς δή τοι τείως μὲν ἀπείρονα τέμνετ' ἄρουραν
εἷς οἶος· πηγαὶ γὰρ ὑπὲρ πνοιῆς Βορέαο
Ῥιπαίοις ἐν ὄρεσσιν ἀπόπροθι μορμύρουσιν.
Ἀλλ' ὁπόταν Θρῃκῶν Σκυθέων τ' ἐπιβήσεται οὔρους,
ἔνθα διχῇ τὸ μὲν ἔνθα μετ' Ἰονίην ἅλα βάλλει
τῆλ' ὕδωρ, τὸ δ' ὄπισθε βαθὺν διὰ κόλπον ἵησιν

et naves deduxerunt, et vela navibus imposuerunt,
eodemque die mare ingressi-sunt : nec diceres
tantas navales copias esse, sed avium
turmatim infinitum genus infremere maribus.

Illi (*Argonautæ*) vento vehementer deæ consiliis spirante,] Junonis, ut celerrime exitium Peliæ ædibus,
Colchica Medea, in-Pelasgicam terram veniret,
aurora tertia retinacula navis alligarunt.
Paphlagonum littoribus, ante Halyn fluvium.
Hæc enim ipsos egressos placare sacris
jussit Hecaten. Atqui illorum, quæ sacrificium
puella instructura paravit, nec quis conscius
sit, nec me animus impellat ut-canam *ea*.
Vereor effari. At sedes (*delubrum*) etiamnum-ex illo *tempore*,] quam quidem deæ heroes in littoribus exstruxerunt,
viris posteris manet vel hodie visenda.

Statim vero Jason recordatus-est, cumque *eo* et reliqui
heroes, Phinei, qui navigationem aliam dixerat
ex Colchide fore : ignota vero erat
omnibus omnino. Argus igitur ad eos cupientes *cognoscere*
dixit :] Proficiscimur Orchomenum, quam jussit vos petere
veridicus ille vates, quem convenistis olim.
Est enim navigatio alia, quam immortalium sacerdotes
monstrarunt, qui Theba Tritonia orti-sunt.
Nondum sidera omnia, quæ in-cœlo volvuntur,
neque jam Danaorum sacram gentem licebat audire
quærentibus : soli erant Arcades Apidanenses,
Arcades, qui etiam ante Lunam narrantur
vixisse, glandibus vescentes in montibus : neque Pelasgica
terra tum a-gloriosis regnabatur Deucalidis,
quando nigra segetibus-abundans celebrabatur
Ægyptus mater antiquissimorum juvenum,
et fluvius Tritonis bene-fluens, quo tota
rigatur *terra illa* nigra : a-Jove enim eam nunquam irrigat] imber : satis inundationum-ope fruges-emittunt arva.
Inde igitur quendam dicunt per omnem circumiisse
Europam et Asiam, robori et viribus militum
suorum et fortitudini confisum : innumeras autem urbes
incolis-frequentavit obiens, quæ aut alicubi incoluntur,
aut etiam non : satis enim multa interest annorum-series.
Æa tamen etiamnum manet constanter, nepotesque
illorum hominum, quos ille considere-jussit habitaturos
Æam.] Qui quidem scriptos patrum suorum servant
cippos, in quibus omnes viæ et limites insunt
et maris et terræ circumquaque proficiscentibus.
Est vero quidam fluvius, ultimum cornu Oceani,
et latus, et profundus, etiam onerariæ navi trajiciendus.
Istrum eum appellantes procul indicarunt :
qui quidem aliquamdiu immensam secat terram
unus solus : fontes enim ultra flatum Boreæ
Ripæis in montibus procul murmurant.
At quando Thracum Scytarumque intrat fines,
tum divisim, partim ibi in Ionium mare emittit
procul aquam, partim pone profundum per sinum mittit,

σχιζόμενος πόντου Τριναχρίου εἰσανέχοντα,
γαίῃ ὃς ὑμετέρῃ παρακέκλιται, εἰ ἐτεὸν δὴ
ὑμετέρης γαίης Ἀχελώϊος ἐξανίησιν.
Ὣς ἄρ' ἔφη· τοῖσιν δὲ θεὰ τέρας ἐγγυάλιξεν
αἴσιον, ᾧ καὶ πάντες ἐπευφήμησαν ἰδόντες
στέλλεσθαι τήνδ' οἶμον. Ἐπιπρὸ γὰρ ὁλκὸς ἐτύχθη
οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ ἀμεύσιμον ἦεν.
Γηθόσυνοι δὲ Λύκοιο κατ' αὐτόθι παῖδα λιπόντες
λαίφεσι πεπταμένοισιν ὑπεὶρ ἅλα ναυτίλλοντο,
οὔρεα Παφλαγόνων θηεύμενοι. Οὐδὲ Κάραμβιν
γνάμψαν, ἐπεὶ πνοιαί τε καὶ οὐρανίου πυρὸς αἴγλη
μεῖνεν, ἕως Ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο.
Κόλχοι δ' αὖτ' ἄλλοι μέν, ἐτώσια μαστεύοντες,
Κυανέας Πόντοιο διὲκ πέτρας ἐπέρησαν·
ἄλλοι δ' αὖ ποταμὸν μετεκίαθον, οἷσιν ἄνασσεν
Ἄψυρτος, Καλὸν δὲ διὰ στόμα πεῖρε λιασθείς.
Τῷ καὶ ὑπέφθη τούς γε, βαλὼν ὑπὲρ αὐχένα γαίης,
κόλπον ἔσω πόντοιο πανέσχατον Ἰονίοιο.
Ἴστρῳ γάρ τις νῆσος ἐέργεται οὔνομα Πεύκη,
τριγλώχιν, εὖρος μὲν ἐς αἰγιαλοὺς ἀνέχουσα,
στεινὸν δ' αὖτ' ἀγκῶνα ποτὶ ῥόον· ἀμφὶ δὲ δοιαὶ
σχίζονται προχοαί. Τὴν μὲν καλέουσιν Νάρηκος·
τὴν δ' ὑπὸ τῇ νεάτῃ, Καλὸν στόμα. Τῇ δὲ διαπρὸ
Ἄψυρτος Κόλχοι τε θοώτερον ὡρμήθησαν·
οἱ δ' ὑψοῦ νήσοιο κατ' ἀκροτάτης ἐνέοντο
τηλόθεν. Εἰαμεναῖσι δ' ἐν ἄσπετα πώεα λεῖπον
ποιμένες ἄγραυλοι νηῶν φόβῳ, οἷά τε θῆρας
ὀσσόμενοι πόντου μεγακήτεος ἐξανιόντας.
Οὐ γάρ πω ἁλίας γε πάρος ποθὶ νῆας ἴδοντο
οὔτ' οὖν Θρήϊξιν μιγάδες Σκύθαι, οὔτε Σίγυνοι,
οὔτ' αὖ Γραυκένιοι, οὔθ' οἱ περὶ Λαύριον ἤδη
Σίνδοι ἐρημαῖον πεδίον μέγα ναιετάοντες.
Αὐτὰρ ἔπειτ' Ἄγγουρον ὄρος, καὶ ἄπωθεν ἐόντα
Ἀγγούρου ὄρεος σκόπελον παρὰ Καυλιακοῖο,
ᾧ πέρι δὴ σχίζων Ἴστρος ῥόον ἔνθα καὶ ἔνθα
βάλλει ἁλὸς πεδίον τε τὸ Λαύριον ἠμείψαντο.
Δή ῥα τότε Κρονίην Κόλχοι ἅλαδ' ἐκπρομολόντες
πάντῃ, μή σφε λάθοιεν, ὑπετμήξαντο κελεύθους.
Οἱ δ' ὄπιθεν ποταμοῖο κατήλυθον, ἐκ δ' ἐπέρησαν
δοιὰς Ἀρτέμιδος Βρυγηΐδας ἀγχόθι νήσους.
Τῶν δ' ἤτοι ἑτέρῃ μὲν ἐν ἱερὸν ἔσκεν ἔδεθλον·
ἐν δ' ἑτέρῃ, πληθὺν πεφυλαγμένοι Ἀψύρτοιο,
βαῖνον· ἐπεὶ κείνας πολέων λίπον ἔνδοθι νήσους
αὔτως ἁζόμενοι κούρην Διός· αἱ δὲ δὴ ἄλλαι
στεινόμεναι Κόλχοισι πόρους εἴρυντο θαλάσσης.
Ὣς δὲ καὶ εἰς ἄλλας πληθὺν λίπον ἀγχόθι νήσους
μέσφα Σαλαγγῶνος ποταμοῦ καὶ Νέστιδος αἴης.
Ἔνθα κε λευγαλέῃ Μινύαι τότε δηϊοτῆτι
παυρότεροι πλεόνεσσιν ὑπείκαθον· ἀλλὰ πάροιθεν
συνθεσίῃ μέγα νεῖκος ἀλευάμενοι ἐτάμοντο,
κῶας μὲν χρύσειον, ἐπεὶ σφίσιν αὐτὸς ὑπέστη
Αἰήτης, εἰ κεῖνοι ἀναπλήσειαν ἀέθλους,
ἔμπεδον εὐδικίῃ σφέας ἑξέμεν, εἴτε δόλοισιν,
εἴτε καὶ ἀμφαδίην αὔτως ἀέκοντος ἀπηύρων·

divisus, mari Trinacrio (*Siculo*) imminentem,
quod terræ vestræ adjacet, si vere quidem
ex-vestra terra Achelous erumpit.
Sic igitur dixit: his autem dea omen exhibuit
faustum, quo etiam omnes acclamarunt conspecto,
navigandum-esse hac via. Longo-tractu enim sulcus exstitit
cœlestis radii, qua-via etiam incedendum esset.
Læti vero Lyci filio ibi relicto
velis passis super mare vecti-sunt,
montes Paphlagonum contuiti. Neque Carambin
circumvecti-sunt, quoniam et venti, et cœlestis ignis flamma] manserunt, donec Istri magnum flumen attigissent.
Colchi igitur alii quidem, frustra quærentes,
per Cyaneas ex Ponto rupes exierunt:
alii contra ad fluvium contenderunt, quibus præerat
Absyrtus; *is* Calon (*Pulchrum*) per ostium (*Istri*) transiit ablatus.] Quare etiam prior-venit istis (*Argonautis*),
trajiciens cervicem terræ,] sinum in ultimum maris Ionii.
Istro enim insula quædam circumcluditur, nomine Peuce,
triangularis, latitudinem quidem ad littus protendens,
sed angustum cubitum ad fluvium: circum duo
separantur ostia: alterum appellant Narecis,
alterum sub ima-parte Calon ostium. Huc igitur
Absyrtus Colchique velocius proruperunt.
Illi vero (*Argonautæ*) altius insulam ad summam tendebant] procul. At in irriguis-pratis innumeras pecudes reliquerunt] pastores agrestes navium metu, veluti belluas
spectantes ex-mari cetis-referto prodeuntes.
Neque enim unquam marinas antea naves viderant,
nec Thracibus permixti Scythæ, nec Sigyni,
nec Graucenii, nec qui per Laurium jam
Sindi desertum campum vastum*que* habitabant.
At deinde Angurum montem, et procul situm
ab-Anguro monte scopulum Cauliaci,
circa quem Ister scindens fluxum huc atque illuc
mittit in-mare, campumque Laurium prætererant.
Tum Saturnium Colchi in mare egressi
undiquaque, ne ipsos laterent (*Argonautæ*), præciderunt
vias.] Illi pone fluvium devenerunt, et accesserunt
ad-duas Dianæ Brygeas prope insulas.
Quarum in altera quidem sacrum erat delubrum;
in alteram vero, multitudinem vitantes Absyrti,
escenderunt: quoniam illas intra multas reliquerant *Colchi* insulas] sic (*vacuas*) reveriti filiam Jovis: sed reliquæ
refertæ Colchis, itinera præcludebant maris.
Ita etiam in aliis copias reliquerant prope insulis
usque-ad Salanconem fluvium et Nestidem terram.
Ibi tristi Minyæ tum prœlio
pauciores pluribus succubuissent: sed antea
pactum, magno certamine vitato, inierunt.
Vellus quidem aureum, quoniam iis ipse pollicitus-erat
Æetes, si illi perficerent labores,
semper jure ipsos habituros-esse, sive dolis
sive etiam palam ita invito *illo* potiti-essent:

αὐτὰρ Μήδειάν γε, τὸ γὰρ πέλεν ἀμφήριστον,
παρθέσθαι κούρῃ Λητωΐδι νόσφιν ὁμίλου,
εἰσόκε τις δικάσῃσι θεμιστούχων βασιλήων,
εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν,
εἴτε μεθ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕπεσθαι.
Ἔνθα δ' ἐπεὶ τὰ ἕκαστα νόῳ πεμπάσσατο κούρη,
δή ῥά μιν ὀξεῖαι κραδίην ἐλέλιξαν ἀνῖαι
νωλεμές· αἶψα δὲ νόσφιν Ἰήσονα μοῦνον ἑταίρων
ἐκπροκαλεσσαμένη ἄγεν ἄλλυδις, ὄφρ' ἐλίασθεν
πολλὸν ἑκάς, στονόεντα δ' ἐνωπαδὶς ἔκφατο μῦθον.
Αἰσονίδη, τίνα τήνδε συναρτύνασθε μενοινὴν
ἀμφ' ἐμοί; ἠέ σε πάγχυ λαθιφροσύναις ἐνέηκαν
ἀγλαΐαι, τῶν δ' οὔ τι μετατρέπῃ, ὅσσ' ἀγόρευες
χρειοῖ ἐνισχόμενος; ποῦ τοι Διὸς Ἱκεσίοιο
ὅρκια; ποῦ δὲ μελιχραὶ ὑποσχεσίαι βεβάασιν;
ἧς ἐγὼ οὐ κατὰ κόσμον ἀναιδήτῳ ἰότητι
πάτρην τε κλέα τε μεγάρων αὐτούς τε τοκῆας
νοσφισάμην, τά μοι ἦεν ὑπέρτατα· τηλόθι δ' οἴη
λυγρῇσιν κατὰ πόντον ἅμ' ἀλκυόνεσσι φορεῦμαι
σῶν ἕνεκεν καμάτων, ἵνα μοι σόος ἀμφί τε βουσὶν
ἀμφί τε Γηγενέεσσιν ἀναπλήσειας ἀέθλους.
Ὕστατον αὖ καὶ κῶας, ἐφ' ᾧ πλόος ὔμμιν ἐτύχθη,
εἷλες ἐμῇ ματίῃ· κατὰ δ' οὐλοὸν αἶσχος ἔχευα
θηλυτέραις. Τῷ φημὶ τεὴ κούρη τε δάμαρ τε
αὐτοκασιγνήτη τε μεθ' Ἑλλάδα γαῖαν ἕπεσθαι.
Πάντῃ νυν πρόφρων ὑπερίστασο, μηδέ με μούνην
σεῖο λίπῃς ἀπάνευθεν, ἐποιχόμενος βασιλῆας.
Ἀλλ' αὔτως εἴρυσο· δίκη δέ τοι ἔμπεδος ἔστω
καὶ θέμις, ἣν ἄμφω συναρέσσαμεν· ἢ σύ γ' ἔπειτα
φασγάνῳ αὐτίκα τόνδε μέσον διὰ λαιμὸν ἀμῆσαι,
ὄφρ' ἐπίηρα φέρωμαι ἐοικότα μαργοσύνῃσιν.
Σχετλίη, εἴ κεν δή με κασιγνήτοιο δικάσσῃ
ἔμμεναι οὗτος ἄναξ, τῷ ἐπίσχετε τάσδ' ἀλεγεινὰς
ἄμφω συνθεσίας, πῶς ἵξομαι ὄμματα πατρός;
ἦ μάλ' εὐκλειής; τίνα δ' οὐ τίσιν ἠὲ βαρεῖαν
ἄτην οὐ σμυγερῶς δεινῶν ὕπερ, οἷα ἔοργα,
ὀτλήσω; οὔ κεν θυμηδέα νόστον ἕλοιο.
Μή τόγε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις,
ᾗ ἐπικυδιάεις. Μνήσαιο δὲ καί ποτ' ἐμεῖο,
στρευγόμενος καμάτοισι· δέρος δέ τοι ἶσον ὀνείροις
οἴχοιτ' εἰς ἔρεβος μεταμώνιον. Ἐκ δέ σε πάτρης
αὐτίκ' ἐμαί σ' ἐλάσειαν Ἐρινύες· οἷα καὶ αὐτὴ
σῇ πάθον ἀτροπίῃ. Τὰ μὲν οὐ θέμις ἀκράαντα
ἐν γαίῃ πεσέειν. Μάλα γὰρ μέγαν ἤλιτες ὅρκον,
νηλεές· ἀλλ' οὔ θήν μοι ἐπιλλίζοντες ὀπίσσω
δὴν ἔσσεσθ' εὔκηλοι ἕκητί γε συνθεσιάων.
Ὣς φάτ' ἀναζείουσα βαρὺν χόλον· ἵετο δ' ἥ γε
νῆα καταφλέξαι διά τ' ἔμπεδα πάντα κεάσσαι,
ἐν δὲ πεσεῖν αὐτὴ μαλερῷ πυρί. Τοῖα δ' Ἰήσων
μειλιχίοις ἐπέεσσιν ὑποδδείσας προσέειπεν.
Ἴσχεο, δαιμονίη· τὰ μὲν ἁνδάνει οὐδ' ἐμοὶ αὐτῷ.
Ἀλλά τιν' ἀμβολίην διζήμεθα δηϊοτῆτος,
ὅσσον δυσμενέων ἀνδρῶν νέφος ἀμφιδέδηεν
εἵνεκα σεῦ. Πάντες γάρ, ὅσοι χθόνα τήνδε νέμονται,

at Medeam (hoc enim erat controversum)
deponendam-esse apud-filiam Latonæ seorsum a-cœtu,
dum quis judicet justorum regum,
utrum eam in patris oporteat domum reverti,
an in Græcam terram heroas sequi.
Ibi quum cuncta mente perpendisset puella,
sane ejus acerbæ animum exercuerunt curæ
indesinenter: statim vero seorsum Jasonem solum a-sociis
sevocatum duxit in-alium-locum, donec abessent
longissime, flebilemque coram edidit sermonem:
Jason, quamnam hanc iniistis sententiam
de me? num te omnino oblivioni immisit
fortuna-secunda, neque eorum quidquam curas, quæ dixisti
necessitate irretitus? ubinam Jovis supplicum-præsidis
jusjurandum? quo blanda promissa abierunt?
ob-quæ ego indecenter, impudente animo,
patriam et splendorem palatii, et ipsos parentes
deserui, quæ mihi erant summa: procul que sola
tristibus per mare cum alcyonibus feror
tuorum causa laborum, ut mihi salvus cum tauris
et cum gigantibus perficeres certamina.
Postremo etiam vellus, ob quod navigatio a-vobis suscepta-est,] cepisti mea temeritate: ingens vero dedecus
affudi] feminis. Quare dico *me*, tuam et puellam et conjugem] et sororem, in Græciam *te* comitari.
Omnino igitur benevolus defende, neve me solam
sine te relinquas, accedens ad-reges.
Verum ita tuere: jus vero tibi sanctum sit
et lex, in-quam ambo consensimus: aut tu deinde
ense statim hoc medium jugulum disseca,
ut pretium auferam conveniens stultitiæ.
O *me* miseram, si jam me fratris judicaverit
esse ille rex, cui committitis hæc tristia
ambo pacta, quomodo in-conspectum veniam patris?
num admodum gloriosa? quam vero non pœnam vel gravem] calamitatem non misere, propter facinora, quæ patravi,] perferam? non jucundum reditum habueris.
Ne hoc regina Jovis ratum-faciat conjux,
qua gloriaris. Memineris vero etiam aliquando mei
confectus ærumnis: vellus autem tibi, velut somnia,
abeat in tartara vanum! Te vero ex patria,
statim meæ te expellant Furiæ: quod et ipsa
tua passa-sum perversitate. Hæc non fas *est* irrita
in terram cadere. Admodum enim magnum violasti jusjurandum] crudeliter; at non tamen mihi illudentes in
-posterum] diu eritis quieti, pactorum causa.
Sic dixit, effervescere-faciens gravem iram, cupiitque
illa] navem comburere, et firma omnia dissipare,
atque irruere ipsa in furentem ignem. Ita autem Jason
blandis verbis, metuens-nonnihil, allocutus est:
Cohibe-te, o bona, illa nec mihi ipsi placent.
Sed aliquam dilationem quærimus pugnæ,
quanta hostilium virorum nubes undique circumstat,
tua causa. Omnes enim, quotquot terram hanc incolunt,

Ἀψύρτῳ μεμάασιν ἀμυνέμεν, ὄφρα σε πατρὶ
οἷά τε ληϊσθεῖσαν ὑπότροπον οἴκαδ' ἄγοιτο.
Αὐτοὶ δὲ στυγερῷ κεν ὀλοίμεθα πάντες ὀλέθρῳ,
μίξαντες δαΐ χεῖρας· ὅ τοι καὶ ῥίγιον ἄλγος
ἔσσεται, εἴ σε θανόντες ἕλωρ κείνοισι λίποιμεν.
Ἧδε δὲ συνθεσίη κρανέει δόλον, ᾧ μιν ἐς ἄτην
βήσομεν. Οὐδ' ἂν ὁμῶς περιναιέται ἀντιόωσιν
Κόλχοις ἦρα φέροντες ὑπὲρ σέο νόσφιν ἄνακτος,
ὅς τοι ἀοσσητήρ τε κασίγνητός τε τέτυκται·
οὐδ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξω μὴ πτολεμίζειν
ἀντιβίην, ὅτε μή με διὲξ εἰῶσι νέεσθαι.
Ἴσκεν ὑποσσαίνων· ἡ δ' οὐλοὸν ἔκφατο μῦθον.
Φράζεό νυν. Χρειὼ γὰρ ἀεικελίοισιν ἐπ' ἔργοις
καὶ τόδε μητίσασθαι, ἐπεὶ τοπρῶτον ἀάσθην
ἀμπλακίῃ, θεόθεν δὲ κακὰς ἤνυσσα μενοινάς.
Τύνη μὲν κατὰ μῶλον ἀλέξεο δούρατα Κόλχων·
αὐτὰρ ἐγὼ κεῖνόν γε τεὰς ἐς χεῖρας ἱκέσθαι
μειλίξω· σὺ δέ μιν φαιδροῖς ἀγαπάζεο δώροις·
εἴ κέν πως κήρυκας ἀπερχομένους πεπίθοιμι
οἰόθεν οἶον ἐμοῖσι συναρθμῆσαι ἐπέεσσιν.
Ἔνθ' εἴ τοι τόδε ἔργον ἐφανδάνει, οὔ τι μεγαίρω,
κτεῖνέ τε καὶ Κόλχοισιν ἀείρεο δηϊοτῆτα.
Ὣς τώ γε ξυμβάντε μέγαν δόλον ἠρτύναντο
Ἀψύρτῳ, καὶ πολλὰ πόρον ξεινήϊα δῶρα,
οἷς μέτα καὶ πέπλον δόσαν ἱερὸν Ὑψιπυλείης
πορφύρεον. Τὸν μέν ῥα Διωνύσῳ κάμον αὐταὶ
Δίῃ ἐν ἀμφιάλῳ Χάριτες θεαί· αὐτὰρ ὁ παιδὶ
δῶκε Θόαντι μεταῦτις· ὁ δ' αὖ λίπεν Ὑψιπυλείῃ·
ἡ δ' ἔπορ' Αἰσονίδῃ πολέσιν μετὰ καὶ τὸ φέρεσθαι
γλήνεσιν εὐεργὲς ξεινήϊον. Οὔ μιν ἀφάσσων,
οὔτε κεν εἰσορόων γλυκὺν ἵμερον ἐμπλήσειας.
Τοῦ δὲ καὶ ἀμβροσίη ὀδμὴ πέλεν ἐξέτι κείνου,
ἐξ οὗ ἄναξ αὐτὸς Νυσήϊος ἐγκατέλεκτο
ἀκροχάλιξ οἴνῳ καὶ νέκταρι, καλὰ μεμαρπὼς
στήθεα παρθενικῆς Μινωΐδος, ἥν ποτε Θησεὺς
Κνωσσόθεν ἑσπομένην Δίῃ ἔνι κάλλιπε νήσῳ.
Ἡ δ' ὅτε κηρύκεσσιν ἐπεξυνώσατο μύθους,
θελγέμεν, εὖτ' ἂν πρῶτα θεᾶς περὶ νηὸν ἵκηται
συνθεσίῃ, νυκτός τε μέλαν κνέφας ἀμφιβάλῃσιν,
ἐλθέμεν, ὄφρα δόλον συμφράσσεται, ὥς κεν ἑλοῦσα
χρύσειον μέγα κῶας ὑπότροπος αὖτις ὀπίσσω
βαίη ἐς Αἰήταο δόμους· πέρι γάρ μιν ἀνάγκῃ
υἱῆες Φρίξοιο δόσαν ξείνοισιν ἄγεσθαι·
τοῖα παραιφαμένη θελκτήρια φάρμακ' ἔπασσεν
αἰθέρι καὶ πνοιῇσι, τά κεν καὶ ἄπωθεν ἐόντα
ἄγριον ἠλιβάτοιο κατ' οὔρεος ἤγαγε θῆρα.
Σχέτλι' Ἔρως, μέγα πῆμα, μέγα στύγος ἀνθρώποισιν,
ἐκ σέθεν οὐλόμεναί τ' ἔριδες στοναχαί τε γόοι τε
ἄλγεά τ' ἄλλ' ἐπὶ τοῖσιν ἀπείρονα τετρήχασιν·
δυσμενέων ἐπὶ παισὶ κορύσσεο, δαῖμον, ἀερθείς,
οἷος Μηδείῃ στυγερὴν φρεσὶν ἔμβαλες ἄτην.
Πῶς γὰρ δὴ μετιόντα κακῷ ἐδάμασσεν ὀλέθρῳ
Ἄψυρτον; τὸ γὰρ ἧμιν ἐπισχερὼ ἦεν ἀοιδῆς.
Ἦμος ὅτ' Ἀρτέμιδος νήσῳ ἔνι τήν γ' ἐλίποντο

Absyrto cupiunt opitulari, ut te patri, velut captam, reversam domum abducat. Ipsi vero tristi peribimus omnes morte conserentes prœlio manus : qui sane vel atrocior dolor erit, si te mortui prædam illis relinquamus. Illud vero pactum efficiet dolum, quo eum in exitium ducamus. Neque una (*cum Colchis*) vicini invadent *nos* Colchis opem ferentes pro te, sine duce, qui tibi et adjutor et frater est : neque ego Colchis cedam, quin pugnem contra, quando me non sinunt prænavigare.

Dixit blandiens : illa vero perniciosum elocuta-est sermonem :] Cogita igitur. Oportet enim indigna præter facinora] etiam hoc moliri, quoniam primum noxium-commisi peccatum, divinitusque mala perfeci consilia. Tu quidem in prœlio defende hastas Colchorum : at ego illum, tuas in manus ut-veniat, alliciam : (tu vero eum splendidis excipe donis :)] si forte præconibus abeuntibus persuaserim, seorsum solum meis ut-conciliarem verbis. Tum, si tibi hoc facinus placet, non repugno, et interfice *eum*, et cum Colchis ini prœlium.

Sic illi congressi magnum dolum struxerunt Absyrto, et multa donarunt hospitalia dona, inter quæ etiam peplum dederunt eximium Hypsipyleæ purpureum. Hunc quidem Dionyso confecerant ipsæ Dia in circumflua Charites deæ : at ille filio dederat Thoanti postea; hic reliquerat Hypsipylæ : ea autem dederat Jasoni cum multis etiam hoc auferendum] ornamentis bene-elaboratum munus. Non illud contrectando,] neque adspiciendo dulce desiderium impleres. Ejus etiam suavissimus odor erat ex illo *tempore*, ex quo deus ipse Nysëius indormierat semimadidus vino atque nectare, pulchris contactis pectoribus virginis Minoïdis (Ariadnæ), quam olim Theseus e-Cnosso secutam in Dia reliquerat insula. Illa vero quum cum-præconibus communicasset sermonem *iis* persuasura, ut, quam primum deæ ad templum venisset] ex-pacto, noctisque atra caligo circumdedisset *ipsos*, abirent, quo dolum una-excogitaret (*cum Absyrto*). ut sumto aureo magno vellere, redux iterum retro iret in Æetæ domos : admodum enim ipsam vi filii Phrixi dederant (*ut ajebat*) hospitibus abducendam : hæc cum-admonuisset, delinientia medicamina inspersit ætheri et ventis, quæ etiam procul versantem agrestem celso de monte deduxissent feram.

Improbe Amor, magnum malum, magnum odium hominibus,] ex te (*te auctore*) perniciosæ contentiones, et gemitus et luctus] atque dolores alii præter illos innumeri turbarunt *homines*.] Hostium in liberos armare, o-deus, excitatus,] qualis Medeæ menti invisum injecisti crimen. Quomodo enim accedentem malo perdomuit fato Absyrtum? hoc enim nobis deinceps erat canendum

Postquam Dianæ in insula illam reliquerunt

συνθεσίῃ, τοὶ μέν ῥα διάνδιχα νηυσὶν ἔκελσαν
σφωϊτέραις κρινθέντες· ὁ δ' ἐς λόχον ᾖεν Ἰήσων
δέγμενος Ἄψυρτόν τε καὶ οὓς ἐξαῦτις ἑταίρους.
Αὐτὰρ ὅ γ' αἰνοτάτῃσιν ὑποσχεσίῃσι δολωθεὶς
καρπαλίμως ᾗ νηῒ διὲξ ἁλὸς οἶδμα περήσας,
νύχθ' ὑπὸ λυγαίην ἱερῆς ἐπεβήσατο νήσου·
οἰόθι δ' ἀντικρὺ μετιὼν πειρήσατο μύθοις
εἷο κασιγνήτης, ἀταλὸς πάϊς οἷα χαράδρης
χειμερίης, ἣν οὐδὲ δι' αἰζηοὶ περόωσιν,
εἴ κε δόλον ξείνοισιν ἐπ' ἀνδράσι τεχνήσαιτο.
Καὶ τὼ μὲν τὰ ἕκαστα συνήνεον ἀλλήλοισιν·
αὐτίκα δ' Αἰσονίδης πυκινοῦ ἐξᾶλτο λόχοιο,
γυμνὸν ἀνασχόμενος παλάμῃ ξίφος· αἶψα δὲ κούρη
ἔμπαλιν ὄμματ' ἔνεικε καλυψαμένη ὀθόνῃσιν,
μὴ φόνον ἀθρήσειε κασιγνήτοιο τυπέντος.
Τὸν δ' ὅγε, βουτύπος ὥστε μέγαν κερεαλκέα ταῦρον,
πλῆξεν ὀπιπτεύσας νηοῦ σχεδὸν, ὅν ποτ' ἔδειμαν
Ἀρτέμιδι Βρυγοὶ περιναιέται ἀντιπέρηθεν.
Τοῦ ὅ γ' ἐνὶ προδόμῳ γνὺξ ἤριπε· λοίσθια δ' ἥρως
θυμὸν ἀναπνείων χερσὶν μέλαν ἀμφοτέρῃσιν
αἷμα κατ' ὠτειλὴν ὑποΐσχετο· τῆς δὲ καλύπτρην
ἀργυφέην καὶ πέπλον ἀλευομένης ἐρύθηνεν.
Ὀξὺ δὲ πανδαμάτωρ λοξῷ ἴδεν οἷον ἔρεξαν
ὄμματι νηλειὴς ὀλοφώϊον ἔργον Ἐριννύς.
Ἥρως δ' Αἰσονίδης ἐξάργματα τάμνε θανόντος,
τρὶς δ' ἀπέλειξε φόνου, τρὶς δ' ἐξ ἄγος ἔπτυσ' ὀδόντων,
ᾗ θέμις αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι.
Ὑγρὸν δ' ἐν γαίῃ κρύψεν νέκυν, ἔνθ' ἔτι νῦν περ
κείαται ὀστέα κεῖνα μετ' ἀνδράσιν Ἀψυρτεῦσιν.
Οἱ δ' ἄμυδις πυρσοῖο σέλας προπάροιθεν ἰδόντες,
τό σφιν παρθενικὴ τέκμαρ μετιοῦσιν ἄειρεν,
Κολχίδος ἀγχόθι νηὸς ἑὴν παρὰ νῆα βάλοντο
ἥρωες· Κόλχον δ' ὄλεκον στόλον, ἠΰτε κίρκοι
φῦλα πελειάων, ἠὲ μέγα πῶϋ λέοντες
ἀγρότεροι κλονέουσιν ἐνὶ σταθμοῖσι θορόντες.
Οὐδ' ἄρα τις κείνων θάνατον φύγε, πάντα δ' ὅμιλον
πῦρ ἅτε δηϊόωντες ἐπέδραμον· ὀψὲ δ' Ἰήσων
ἤντησεν μεμαὼς ἐπαμυνέμεν οὐ μάλ' ἀρωγῆς
δευομένοις· ἤδη δὲ καὶ ἀμφ' αὐτοῖο μέλοντο.
Ἔνθα δὲ ναυτιλίης πυκινὴν πέρι μητιάασκον
ἑζόμενοι βουλήν· ἐπὶ δὲ σφίσιν ἤλυθε κούρη
φραζομένοις· Πηλεὺς δὲ παροίτατος ἔκφατο μῦθον·
Ἤδη νῦν κέλομαι νύκτωρ ἔτι νῆ' ἐπιβάντας
εἰρεσίῃ περάαν πλόον ἀντίον, ᾧ ἐπέχουσιν
δήϊοι· ἠῶθεν γὰρ ἐπαθρήσαντας ἕκαστα
ἔλπομαι οὐχ ἕνα μῦθον, ὅ τις προτέρωσε δίεσθαι
ἡμέας ὀτρυνέει, τοὺς πεισέμεν· οἷα δ' ἄνακτος
εὔνιδες ἀργαλέῃσι διχοστασίῃς κεδόωνται.
Ῥηϊδίη δέ κεν ἄμμι κεδασθέντων δίχα λαῶν
ἥδ' εἴη μετέπειτα κατερχομένοισι κέλευθος.
Ὣς ἔφατ'· ἤνησαν δὲ νέοι ἔπος Αἰακίδαο.
Ῥίμφα δὲ νῆ' ἐπιβάντες ἐπερρώοντ' ἐλάτῃσιν
νωλεμὲς, ὄφρ' ἱερὴν Ἠλεκτρίδα νῆσον ἵκοντο
ἀλλάων ὑπάτην, ποταμοῦ σχεδὸν Ἠριδανοῖο.

ex-pacto, ceteri quidem divisim navibus abierunt
suis separati : sed in insidias ivit Jason,
excepturus Absyrtum et ipsius deinde socios.
At ille gravissimis promissis deceptus
celeriter sua navi maris fluctu trajecto
nocte sub atra sacram conscendit insulam ;
seorsum vero coram conveniens tentavit verbis
suam sororem (simplex puer velut torrentem
hibernum, quem ne adolescentes quidem transirent),
an dolum peregrinos contra homines moliretur.
Atque illi de-omnibus consenserunt inter-se :
subito vero Jason ex densis prosiluit insidiis
nudum gestans manu ensem : statimque puella
retro oculos avertit, obtecta velamine,
ne cædem conspiceret fratris percussi.
Hunc ille, veluti popa magnum cornibus-confisum taurum,
percussit oculis-lustrans prope templum, quod olim ex-
struxerant] Dianæ Brygi, qui-circumhabitant in-opposita
-terra.] Ejus (*templi*) ille in vestibulo in-genua procidit :
tandem heros] animam exhalans manu atrum utraque
sanguinem in vulnere excepit, illiusque (*Medeæ*) caly-
ptram] candidam et peplum aversæ rubefecit.
Acute autem omnia-domans obliquo vidit, quod patrave-
rant,] oculo immitis dirum facinus Erinnys.
Heros vero Æsonides primitias (*extremas membrorum
partes*) exsecuit mortui,] et ter delinxit sanguinem, ter pia-
culum exspuit dentium,] ut fas *est* homicidis dolosas-cædes
expiare.] Humidum autem in terra sepelivit cadaver, ubi
etiamnum] jacent ossa illa inter viros Absyrtenses.

Illi autem (*Argonautæ*) simul-ac facis jubar procul
conspexerunt,] quod iis virgo signum accessuris sustule-
rat,] Colchicam prope navem suam navem adegerunt
heroes : Colchicasque peremerunt copias, velut accipitres
agmina columbarum, aut magnum gregem leones
immites conturbant in stabula irruentes.
Nec quisquam illorum mortem effugit, omnemque cœtum
ignis instar vastantes incursarunt : sero autem Jason
accessit, cupiens opem-ferre non valde auxilio
indigentibus : jam vero etiam de ipso solliciti-erant.
Ibi igitur de navigatione cauta inierunt
sedentes consilia ; et ad eos accessit puella
deliberantes : Peleus autem primus habuit sermonem :

Jam nunc jubeo noctu adhuc navem ingressos
remigando trajicere cursu adverso *illi*, cui imminent
hostes : mane enim intuitis omnia
opinor non unam sententiam, quæ ulterius persequi
nos jubeat, illis persuasuram-esse : sed utpote duce
orbati diris dissidiis dissipabuntur.
Facilis autem nobis, dispersis populis,
hæc erit postea reversuris via.

Sic dixit : approbarunt autem juvenes dictum Æacidæ.
Statimque, navi conscensa, incubuerunt remis
indesinenter, donec ad-sacram Electridis insulam perve-
nissent,] aliarum postremam, fluvium prope Eridanum.

Κόλχοι δ' ὁππότ' ὄλεθρον ἐπεφράσθησαν ἄνακτος,
ἤτοι μὲν δίζεσθαι ἐπέχραον ἔνδοθι πάσης
Ἀργὼ καὶ Μινύας Κρονίης ἁλός. Ἀλλ' ἀπέρυκεν
Ἥρη σμερδαλέῃσι κατ' αἰθέρος ἀστεροπῇσιν.
Ὕστατον αὐτοὶ δ' αὖτε Κυταιίδος ἤθεα γαίης
στύξαν, ἀτυζόμενοι χόλον ἄγριον Αἰήταο,
ἔμπεδα δ' ἄλλυδις ἄλλοι ἐφορμηθέντες ἔνασθεν.
Οἱ μὲν ἐπ' αὐτάων νήσων ἔβαν, ᾗσιν ἐπέσχον
ἥρωες, ναίουσι δ' ἐπώνυμοι Ἀψύρτοιο·
οἱ δ' ἄρ' ἐπ' Ἰλλυρικοῖο μελαμβαθέος ποταμοῖο,
τύμβος ἵν' Ἁρμονίης Κάδμοιό τε, πύργον ἔδειμαν,
ἀνδράσιν Ἐγχελέεσσιν ἐφέστιοι· οἱ δ' ἐν ὄρεσσιν
ἐνναίουσιν, ἅπερ τε Κεραύνια κικλήσκονται
ἐκ τόθεν ἐξότε τούς γε Διὸς Κρονίδαο κεραυνοὶ
νῆσον ἐς ἀντιπέραιαν ἀπέτραπον ὁρμηθῆναι.
Ἥρωες δ', ὅτε δή σφιν ἐείσατο νόστος ἀπήμων,
δή ῥα τότε προμολόντες ἐπὶ χθονὶ πείσματ' ἔδησαν
Ὑλλήων. Νῆσοι γὰρ ἐπιπρούχοντο θαμειαί,
ἀργαλέην πλώουσιν ὁδὸν μεσσηγὺς ἔχουσαι.
Οὐδέ σφιν, ὡς καὶ πρίν, ἀνάρσια μητιάασκον
Ὑλλῆες· πρὸς δ' αὐτοὶ ἐμηχανόωντο κέλευθον,
μισθὸν ἀειρόμενοι τρίποδα μέγαν Ἀπόλλωνος.
Δοιοὺς γὰρ τρίποδας τηλοῦ πόρε Φοῖβος ἄγεσθαι
Αἰσονίδῃ περόωντι κατὰ χρέος, ὁππότε Πυθὼ
ἱρὴν πευσόμενος μετεκίαθε τῆσδ' ὑπὲρ αὐτῆς
ναυτιλίης· πέπρωτο δ', ὅπῃ χθονὸς ἱδρυνθεῖεν,
μή ποτε τὴν δηΐοισιν ἀναστήσεσθαι ἰοῦσιν.
Τοὔνεκεν εἰσέτι νῦν κείνῃ ὅδε κεύθεται αἴῃ
ἀμφὶ πόλιν ἀγανὴν Ὑλληΐδα, πολλὸν ἔνερθεν
οὔδεος, ὥς κεν ἄφαντος ἀεὶ μερόπεσσι πέλοιτο.
Οὐ μὲν ἔτι ζώοντα καταυτόθι τέτμον ἄνακτα
Ὕλλον, ὃν εὐειδὴς Μελίτη τέκεν Ἡρακλῆϊ,
δήμῳ Φαιήκων. Ὁ γὰρ οἰκία Ναυσιθόοιο
Μάκριν τ' εἰσαφίκανε, Διωνύσοιο τιθήνην,
νιψόμενος παίδων ὀλοὸν φόνον· ἔνθ' ὅ γε κούρην
Αἰγαίου ἐδάμασσεν ἐρασσάμενος ποταμοῖο
Νηϊάδα Μελίτην· ἡ δὲ σθεναρὸν τέκεν Ὕλλον
[δήμῳ Φαιήκων. Ὁ μὲν οἰκία Ναυσιθόοιο
τυτθὸς ἐὼν ποτ' ἔναιεν· ἀτὰρ λίπε νῆσον ἔπειτα.]
Οὐδ' ἄρ' ὅγ' ἡβήσας αὐτῇ ἐν ἐέλδετο νήσῳ
ναίειν, κοιρανέοντος ἐπ' ὀφρύσι Ναυσιθόοιο·
βῆ δ' ἅλαδε Κρονίην, αὐτόχθονα λαὸν ἀγείρας
Φαιήκων· σὺν γάρ οἱ ἄναξ πόρσυνε κέλευθον
ἥρως Ναυσίθοος· τόθι δ' εἵσατο, καί μιν ἔπεφνον
Μέντορες, ἀγραύλοισιν ἀλεξόμενον περὶ βουσίν.
Ἀλλά, θεαί, πῶς τῆσδε παρὲξ ἁλός, ἀμφί τε γαῖαν
Αὐσονίην νήσους τε Λιγυστίδας, αἳ καλέονται
Στοιχάδες, Ἀργώης περιώσια σήματα νηὸς
νημερτὲς πέφαται; τίς ἀπόπροθι τόσσον ἀνάγκη
καὶ χρειὼ σφ' ἐκόμισσε; τίνες σφέας ἤγαγον αὖραι;
Αὐτόν που μεγαλωστὶ δεδουπότος Ἀψύρτοιο
Ζῆνα, θεῶν βασιλῆα, χόλος λάβεν, οἷον ἔρεξαν.
Αἰαίης δ' ὀλοὸν τεκμήρατο δήνεσι Κίρκης
αἷμ' ἀπονιψαμένους πρό τε μυρία πημανθέντας

Colchi vero, quando interitum cognoverant ducis, jam investigare pergebant intra omne Saturnium mare Argo et Minyas. At prohibuit Juno horrendis ab æthere fulguribus. Postremum ipsi rursus Colchicæ sedes terræ reformidabant, verentes iram sævam Æetæ, constanterque alio alius profecti habitarunt. Alii ipsas insulas ingressi-sunt, quas tenuerant heroes, incoluntque cognomines Absyrti: alii ad Illyricum profundum fluvium, sepulcrum ubi Harmoniæ et Cadmi *est*, turrim exstruxerunt] viris Encheleensibus vicini: alii in montibus habitant, qui Ceraunii appellantur, ex-illo-tempore, ex-quo hos Jovis Saturnii fulmina insulam in oppositam coegerunt abire (*e montibus*).

Heroes autem, quando jam ipsis videbatur reditus salvus,] tum sane provecti in terra retinacula alligarunt Hyllensium. Insulæ enim prominebant frequentes, difficilem navigantibus transitum medium concedentes. Neque iis, ut antea, hostilia meditabantur Hyllenses: immo cum *iis* ipsi excogitabant viam, mercede accepta tripode magno Appollinis. Duo enim tripodes procul dederat Phœbus avehendos Jasoni proficiscenti ex necessitate, quando Pythonem sacram oraculum-petiturus adiit hanc propter ipsam navigationem: fatale-autem erat, in-qua terra collocentur, nunquam eam hostibus vastatum-iri irruentibus. Quare etiamnum in-illa hic (*tripus*) occultatur terra circa urbem claram Hyllensem, multum infra solum, ut invisus semper hominibus sit. Non quidem adhuc viventem ibi offenderunt regem Hyllum, quem formosa Melite pepererat Herculi in-populo Phæacum. Ille enim in-domum Nausithoi et Macrin venerat, Dionysi nutricem, expiaturus liberorum miseram cædem: ubi ille filiam Ægæi subegit amore-incensus fluvii Najada Meliten: illa autem validum pepererat Hyllum [in-populo Phæacum, qui quidem ædes Nausithoi, pusillus cum-esset, olim inhabitavit; ac reliquit insulam postea.] Neque vero ille adultus in ipsa voluit insula habitare, imperantis subjectus superbiæ Nausithoi: abiitque ad-mare Saturnium, inquilino populo collecto Phæacum: simul enim ei rex adjuvit iter heros Nausithous: ibi igitur consedit, et eum interfecerunt] Mentores, in-agro-pascentibus opitulaturum bobus.

At, o-deæ (*Musæ*), quomodo extra hoc mare, et circa terram] Ausoniam, atque insulas Ligusticas, quæ appellantur] Stœchades, Argoæ magna insignia navis vere celebrantur? quæ procul adeo necessitas et causa eos compulit? quinam ipsos deduxerunt venti?

Ipsum, opinor, vehementer, occiso Absyrto, Jovem, deorum regem, ira cepit, *propter id,* quod patraverant.] Et *eos* ab-impia significavit Ææe consiliis Circes cæde ablutos, anteaque plurima perpessos-mala,

νοστήσειν. Τὸ μὲν οὔ τις ἀριστήων ἐνόησεν·
ἀλλ' ἔθεον γαίης Ὑλληΐδος ἐξανιόντες
τηλόθι· τὰς δ' ἀπέλειπον, ὅσαι Κόλχοισι πάροιθεν
ἑξείης πλήθοντο Λιβυρνίδες εἰν ἁλὶ νῆσοι,
Ἴσσα τε Δυσκέλαδός τε καὶ ἱμερτὴ Πιτύεια.
Αὐτὰρ ἔπειτ' ἐπὶ τῇσι παραὶ Κέρκυραν ἵκοντο,
ἔνθα Ποσειδάων Ἀσωπίδα νάσσατο κούρην,
ἠΰκομον Κέρκυραν, ἑκὰς Φλιουντίδος αἴης,
ἁρπάξας ὑπ' ἔρωτι· μελαινομένην δέ μιν ἄνδρες
ναυτίλοι ἐκ πόντοιο κελαινῇ πάντοθεν ὕλῃ
δερκόμενοι, Κέρκυραν ἐπικλείουσι Μέλαιναν.
Τῇ δ' ἔπι καὶ Μελίτην, λιαρῷ περιγηθέες οὔρῳ,
αἰπεινήν τε Κερωσσὸν, ὕπερθε δὲ πολλὸν ἐοῦσαν
Νυμφαίην παράμειβον, ἵνα κρείουσα Καλυψὼ
Ἀτλαντὶς ναίεσκε· τὰ δ' ἠεροειδέα λεύσσειν
οὔρεα δοιάζοντο Κεραύνια. Καὶ τότε βουλὰς
ἀμφ' αὐτοῖς Ζηνός τε μέγαν χόλον ἐφράσαθ' Ἥρη.
Μηδομένη δ' ἄνυσιν τοῖο πλόου ὦρσεν ἀέλλας
ἀντικρὺ, ταῖς αὖτις ἀναρπάγδην φορέοντο
νήσου ἔπι κραναῆς Ἠλεκτρίδος. Αὐτίκα δ' ἄφνω
ἴαχεν ἀνδρομέῃ ἐνοπῇ μεσσηγὺ θεόντων
αὐδῆεν γλαφυρῆς νηὸς δόρυ, τό ῥ' ἀνὰ μέσσην
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
Τοὺς δ' ὀλοὸν μεσσηγὺ δέος λάβεν εἰσαΐοντας
φθογγήν τε Ζηνός τε βαρὺν χόλον. Οὐ γὰρ ἀλύξειν
ἔννεπεν οὔτε πόνους δολιχῆς ἁλὸς οὔτε θυέλλας
ἀργαλέας, ὅτε μὴ Κίρκη φόνον Ἀψύρτοιο
νηλέα νίψειεν· Πολυδεύκεα δ' εὐχετάασθαι
Κάστορά τ' ἀθανάτοισι θεοῖς ἤνωγε κελεύθους
Αὐσονίης ἔμπροσθε πορεῖν ἁλὸς, ᾗ ἔνι Κίρκην
δήουσιν, Πέρσης τε καὶ Ἠελίοιο θύγατρα.
Ὣς Ἀργὼ ἰάχησεν ὑπὸ κνέφας· οἱ δ' ἀνόρουσαν
Τυνδαρίδαι, καὶ χεῖρας ἀνέσχεθον ἀθανάτοισιν
εὐχόμενοι τὰ ἕκαστα· κατηφείη δ' ἔχεν ἄλλους
ἥρωας Μινύας. Ἡ δ' ἔσσυτο πολλὸν ἐπιπρὸ
λαίφεσιν, ἐς δ' ἔβαλον μύχατον ῥόον Ἠριδανοῖο·
ἔνθα ποτ' αἰθαλόεντι τυπεὶς πρὸς στέρνα κεραυνῷ
ἡμιδαὴς Φαέθων πέσεν ἅρματος Ἠελίοιο
λίμνης ἐς προχοὰς πολυβενθέος· ἡ δ' ἔτι νῦν περ
τραύματος αἰθομένοιο βαρὺν ἀνακηκίει ἀτμὸν,
οὐδέ τις ὕδωρ κεῖνο διὰ πτερὰ κοῦφα τανύσσας
οἰωνὸς δύναται βαλέειν ὕπερ· ἀλλὰ μεσηγὺς
φλογμῷ ἐπιθρώσκει πεποτημένος. Ἀμφὶ δὲ κοῦραι
Ἡλιάδες, ταναῇσιν ἐελμέναι αἰγείροισιν,
μύρονται κινυρὸν μέλεαι γόον· ἐκ δὲ φαεινὰς
ἠλέκτρου λιβάδας βλεφάρων προχέουσιν ἔραζε.
Αἱ μέν τ' ἠελίῳ ψαμάθοις ἔπι τερσαίνονται·
εὖτ' ἂν δὲ κλύζῃσι κελαινῆς ὕδατα λίμνης
ἠϊόνας πνοιῇ πολυηχέος ἐξ ἀνέμοιο,
δὴ τότ' ἐς Ἠριδανὸν προκυλίνδεται ἀθρόα πάντα
κυμαίνοντι ῥόῳ. Κελτοὶ δ' ἐπὶ βάξιν ἔθεντο,
ὡς ἄρ' Ἀπόλλωνος τάδε δάκρυα Λητοΐδαο
ἐμφέρεται δίναις, ἅτε μυρία χεῦε πάροιθεν,
ἦμος Ὑπερβορέων ἱερὸν γένος εἰσαφίκανεν,

reversuros-esse. Quod quidem nullus heroum intellexit,
sed vehebantur e-terra Hyllensi egressi
longe : illas autem reliquerunt, quæ Colchis antea
deinceps replebantur Liburnides in mari insulæ,
Issa et Dysceladus et amabilis Pityea.
At deinde post illas Corcyram prætererunt,
ubi Neptunus Asopi-filiam habitare-jusserat puellam
pulchricomam Cercyram, procul a-Phliuntide terra,
abreptam ob amorem : nigram vero illam (viri)
obscura undique silva nautæ ex mari
conspicientes, Corcyram appellant Nigram.
Post eam etiam Meliten, secundo admodum-gravisi vento,
et celsam Cerosum et superius multo sitam
Nymphæam prætervecti-sunt, ubi regina Calyso
Atlantis-filia habitavit : aerios autem *se* videre
montes putabant Ceraunios. Atque tum consilia
de ipsis Jovisque magnam iram comperit Juno.
Sollicita igitur de-perficienda navigatione, excitavit procellas]
ex-adverso, quibus retro cum-impetu ferebantur
insulam ad asperam Electridem. Statim autem subito
clamavit humana voce, interim *iis* vectis,
sonorum cavæ navis lignum, quod in media
carina Minerva ex Dodonæa exstruxerat fago.
Hos autem vehemens interea metus corripuit audientes
et vocem et Jovis gravem iram. Neque enim *eos* evitaturos,
dixit *trabs*, nec ærumnas longinqui maris, nec procellas
sævas, nisi Circe cædem Absyrti
crudelem abluerit : Pollucem autem precari
Castoremque immortales deos jussit, vias
Ausonii ut-aperirent maris, in quo Circen
inventuri-essent, Persæ atque Solis filiam.

Ita Argo clamavit sub crepusculum : exsilierunt igitur
Tyndaridæ, manusque sustulerunt ad-immortales
precantes cuncta : tristitia autem occupavit alios
heroas Minyas. Illa (*navis*) autem ferebatur longe ulterius
velis, ac penetrarunt in intimum sinum Eridani;
ubi aliquando ardenti percussus pectora fulmine
ambustus Phaethon cecidit de-curru Solis
lacus in ostia profundi : ille etiamnum
ex-vulnere ardente gravem emittit fumum,
neque aliqua aquam illam levibus alis extensis
avis potest supervolare : sed in-mediam
flammam insilit volans. Circum autem puellæ
Heliades, proceris involutæ populis,
gementes-edunt querulum miseræ luctum : lucidasque
electri guttas e-palpebris effundunt in-terram
quarum aliæ sole in arenis siccantur;
quando vero inundaverint nigri aquæ lacus
littora flatu *orto* multum-sonante ex vento,
tum in Eridanum volvuntur una omnes
æstuante fluxu. Celti autem famam addiderunt.
Apollinis has lacrimas Latoidæ
ferri in vorticibus, quas innumeras effuderat antea,
quum Hyperboreorum sacram ad gentem veniret,

οὐρανὸν αἰγλήεντα λιπὼν ἐκ πατρὸς ἐνιπῆς,
χωόμενος περὶ παιδὶ, τὸν ἐν λιπαρῇ Λακερείῃ
δῖα Κορωνὶς ἔτικτεν ἐπὶ προχοῇς Ἀμύροιο.
Καὶ τὰ μὲν ὣς κείνοισι μετ' ἀνδράσι κεκλήϊσται.
Τοὺς δ' οὔτε βρώμης ᾖρει πόθος, οὔτε ποτοῖο,
οὔτ' ἐπὶ γηθοσύνας τράπετο νόος. Ἀλλ' ἄρα τοίγε
ἤματα μὲν στρεύγοντο περιβληχρὸν βαρύθοντες
ὀδμῇ λευγαλέῃ, τήν ῥ' ἄσχετον ἐξανίεσκον
τυφομένου Φαέθοντος ἐπιῤῥοαὶ Ἠριδανοῖο·
νυκτὸς δ' αὖ γόον ὀξὺν ὀδυρομένων ἐσάκουον
Ἡλιάδων λιγέως· τὰ δὲ δάκρυα μυρομένῃσιν
οἷον ἐλαιηραὶ στάγες ὕδασιν ἐμφορέοντο.
Ἐκ δὲ τόθεν Ῥοδανοῖο βαθὺν ῥόον εἰσαπέβησαν,
ὅστ' εἰς Ἠριδανὸν μετανίσσεται· ἄμμιγα δ' ὕδωρ
ἐν ξυνοχῇ βέβρυχε κυκώμενον. Αὐτὰρ ὁ γαίης
ἐκ μυχάτης, ἵνα τ' εἰσὶ πύλαι καὶ ἐδέθλια Νυκτὸς,
ἔνθεν ἀπορνύμενος τῇ μέν τ' ἐπερεύγεται ἀκτὰς
Ὠκεανοῦ, τῇ δ' αὖτε μετ' Ἰονίην ἅλα βάλλει,
τῇ δ' ἐπὶ Σαρδόνιον πέλαγος καὶ ἀπείρονα κόλπον
ἑπτὰ διὰ στομάτων ἵει ῥόον. Ἐκ δ' ἄρα τοῖο
λίμνας εἰσέλασαν δυσχείμονας, αἵτ' ἀνὰ Κελτῶν
ἤπειρον πέπτανται ἀθέσφατον· ἔνθα κεν οἵ γε
ἄτῃ ἀεικελίῃ πέλασαν. Φέρε γάρ τις ἀποῤῥὼξ
κόλπον ἐς Ὠκεανοῖο, τὸν οὐ προδαέντες ἔμελλον
εἰσβαλέειν, τόθεν οὔ κεν ὑπότροποι ἐξεσάωθεν.
Ἀλλ' Ἥρη σκοπέλοιο καθ' Ἑρκυνίου ἰάχησεν,
οὐρανόθεν προθοροῦσα· φόβῳ δ' ἐτίναχθεν ἀϋτῆς
πάντες ὁμῶς· δεινὸν γὰρ ἐπὶ μέγας ἔβραχεν αἰθήρ.
Ἂψ δὲ παλιντροπόωντο θεᾶς ὕπο, καί ῥ' ἐνόησαν
τὴν οἶμον, τῇ πέρ τε καὶ ἔπλετο νόστος ἰοῦσιν.
Δηναιοὶ δ' ἀκτὰς ἁλιμυρέας εἰσαφίκοντο
Ἥρης ἐννεσίῃσι, δι' ἔθνεα μυρία Κελτῶν
καὶ Λιγύων περόωντες ἀδήϊοι. Ἀμφὶ γὰρ αἰνὴν
ἠέρα χεῦε θεὰ πάντ' ἤματα νισσομένοισιν.
Μεσσότατον δ' ἄρα τοί γε διὰ στόμα νηῒ βαλόντες
Στοιχάδας εἰσαπέβαν νήσους σόοι εἵνεκα κούρων
Ζηνός· ὃ δὴ βωμοί τε καὶ ἱερὰ τοῖσι τέτυκται
ἔμπεδον· οὐδ' οἷον κείνης ἐπίουροι ἕποντο
ναυτιλίης· Ζεὺς δέ σφι καὶ ὀψιγόνων πόρε νῆας.
Στοιχάδας αὖτε λιπόντες ἐς Αἰθαλίην ἐπέρησαν
νῆσον, ἵνα ψηφῖσιν ἀπωμόρξαντο καμόντες
ἱδρῶ ἅλις· χροιῇ δὲ κατ' αἰγιαλοῖο κέχυνται
εἴκελαι· ἐν δὲ σόλοι καὶ τεύχεα θέσκελα κείνων·
ἐν δὲ λιμὴν Ἀργῷος ἐπωνυμίην πεφάτισται.
Καρπαλίμως δ' ἐνθένδε διὲξ ἁλὸς οἶδμα νέοντο
Αὐσονίης, ἀκτὰς Τυρσηνίδας εἰσορόωντες·
ἷξον δ' Αἰαίης λιμένα κλυτόν· ἐκ δ' ἄρα νηὸς [χην
πείσματ' ἐπ' ἠϊόνων σχεδόθεν βάλον. Ἔνθα δὲ Κίρ-
εὗρον ἁλὸς νοτίδεσσι κάρη ἐπιφαιδρύνουσαν·
τοῖον γὰρ νυχίοισιν ὀνείρασιν ἐπτοίητο.
Αἵματί οἱ θάλαμοί τε καὶ ἕρκεα πάντα δόμοιο
μύρεσθαι δόκεον· φλὸξ δ' ἀθρόα φάρμακ' ἔδαπτεν,
οἷσι πάρος ξείνους θέλγ' ἀνέρας, ὅστις ἵκοιτο·
τὴν δ' αὐτὴ φονίῳ σβέσεν αἵματι πορφύρουσαν,

cœlo fulgido relicto ob patris objurgationem,
iratus de filio, quem in divite Lacerea
divina Coronis pepererat ad ostia Amyri, (*Æsculapio*).
Atque hæc quidem sic illos inter homines celebrantur.
Hos autem (*Argonautas*) nec cibi cepit desiderium, nec
potus,] neque ad gaudia convertebatur mens. Sed illi
interdiu angebantur languide gravati
odore tristi, quem intolerabilem emittebant
ex-fumante Phaethonte fluxus Eridani :
noctu vero luctum acerbum lamentantium audiverunt
Heliadum argute : lacrimæ vero lugentibus
velut oleariæ guttæ in-aquas inferebantur.
Exinde Rhodani profundum flumen ingressi-sunt,
qui in Eridanum illabitur : commixta autem aqua
in angustiis reboavit turbata. At ille terra
ex ima, ubi sunt portæ et sedes Noctis,
inde effluens, partim eructatur in-littora
Oceani, partim contra in Ionicum mare exit,
partim in Sardonium pelagus et immensum sinum
septem per ostia mittit aquam. Ex illo igitur
paludes intrarunt procellosas, quæ in Celtorum
terra patent latissime : ubi illi
in-exitium indignum incidissent. Ferebat enim quoddam
brachium] in sinum Oceani, quod non prævidentes erant
intraturi, unde non salvi revertissent.
At Juno scopulo de Hercynio clamavit,
cælitus delapsa : metu autem concutiebantur vocis
omnes una : terribiliter enim magnus infremuit æther.
Retro igitur convertebantur per deam, animadverteruntque
illam viam, qua etiam reditus erat proficiscentibus.
Diu-autem postea ad littora marina venerunt,
Junonis consiliis, per gentes innumeras Celtorum
atque Ligurum trajicientes non-cogniti. Nam atram
nebulam circumfuderat dea per-omnes dies navigantibus.
Medio igitur illi ostio navi trajecto
in Stœchadas egressi-sunt insulas salvi, propter filios
Jovis : quare etiam et aræ et sacra illis fiunt
semper : nec tantum illius custodes sequebantur (*erant*)
navigationis ; sed Jupiter iis etiam posterorum commisit
naves (*tuendas*).] Stœchadibus porro relictis in Æthaliam
transierunt] insulam, ubi calculis absterserunt fessi
sudorem multum : colore *illi* in littore jacent
similes : in *ea sunt* disci et arma insignia illorum :
in *ea* etiam portus Argous cognomine appellatur.
Celeriter inde per maris fluctum navigarunt
Ausonii, littora Tyrrhena conspicientes :
veneruntque in Ææe portum celebrem : ex navi igitur
retinacula littoribus prope injecerunt. Ibi autem Circen
invenerunt marinis aquis caput abluentem :
tantopere enim nocturnis somniis exterrita-erat.
Sanguine ei et thalami et septa omnia domus
redundare videbantur : flamma vero cuncta medicamina
consumebat,] quibus antea hospites delinierat viros, qui-
cunque advenisset :] hanc ipsa cruento restinxit sanguine

χερσὶν ἀφυσσαμένη· λῆξεν δ' ὀλοοῖο φόβοιο.
Τῷ καὶ ἐπιπλομένης ἠοῦς νοτίδεσσι θαλάσσης
ἐγρομένη πλοκάμους τε καὶ εἵματα φαιδρύνεσκεν.
Θῆρες δ', οὐ θήρεσσιν ἐοικότες ὠμηστῇσιν,
οὐδὲ μὲν οὐδ' ἄνδρεσσιν ὁμὸν δέμας, ἄλλο δ' ἀπ' ἄλλων
συμμιγέες μελέων, κίον ἀθρόοι, ἠΰτε μῆλα
ἐκ σταθμῶν ἅλις εἶσιν ὀπηδεύοντα νομῆϊ.
Τοίους καὶ προτέρης ἐξ ἰλύος ἐβλάστησεν
χθὼν αὐτὴ μικτοῖσιν ἀρηρεμένους μελέεσσιν,
οὔπω διψαλέῳ μάλ' ὑπ' ἠέρι πιληθεῖσα,
οὐδέ πω ἀζαλέοιο βολαῖς τόσον ἠελίοιο
ἰκμάδας αἰνυμένη· τὰ δ' ἐπὶ στίχας ἤγαγεν αἰὼν
συγκρίνας· τὼς οἵ γε φυὴν ἀΐδηλοι ἕποντο.
Ἥρωας δ' ἕλε θάμβος ἀπείριτον· αἶψα δ' ἕκαστος
Κίρκης εἴς τε φυὴν εἴς τ' ὄμματα παπταίνοντες,
ῥεῖα κασιγνήτην φάσαν ἔμμεναι Αἰήταο.
Ἡ δ' ὅτε δὴ νυχίων ἀπὸ δείματα πέμψεν ὀνείρων,
αὐτίκ' ἔπειτ' ἄψορρον ἀπέστιχε· τοὺς δ' ἅμ' ἕπεσθαι
χειρὶ καταῤῥέξασα δολοφροσύνῃσιν ἄνωγεν.
Ἔνθ' ἤτοι πληθὺς μὲν ἐφετμαῖς Αἰσονίδαο
μίμνεν ἀπηλεγέως· ὁ δ' ἐρύσσατο Κολχίδα κούρην.
Ἄμφω δ' ἑσπέσθην αὐτὴν ὁδὸν, ἔστ' ἀφίκοντο
Κίρκης ἐς μέγαρον· τοὺς δ' ἐν λιπαροῖσι κέλευεν
ἥ γε θρόνοις ἕζεσθαι, ἀμηχανέουσα κιόντων.
Τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφ' ἑστίῃ ἀΐξαντες
ἵζανον, ἥτε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται,
ἡ μὲν ἐπ' ἀμφοτέραις θεμένη χείρεσσι μέτωπα,
αὐτὰρ ὁ κωπῆεν μέγα φάσγανον ἐν χθονὶ πήξας,
ᾧπέρ τ' Αἰήταο παῖν κτάνεν· οὐδέ ποτ' ὄσσε
ἰθὺς ἐνὶ βλεφάροισιν ἀνέσχεθον. Αὐτίκα δ' ἔγνω
Κίρκη φύξιον οἶτον, ἀλιτροσύνας τε φόνοιο.
Τῷ καὶ ὀπιζομένη Ζηνὸς θέμιν Ἱκεσίοιο,
ὃς μέγα μὲν κοτέει, μέγα δ' ἀνδροφόνοισιν ἀρήγει,
ῥέζε θυηπολίην, οἵῃ τ' ἀπολυμαίνονται
νηλιτεῖς ἱκέται, ὅτ' ἐφέστιοι ἀντιόωσιν.
Πρῶτα μὲν ἀτρέπτοιο λυτήριον ἥ γε φόνοιο
τειναμένη καθύπερθε συὸς τέκος, ἧς ἔτι μαζοὶ
πλήμμυρον λοχίης ἐκ νηδύος, αἵματι χεῖρας
τέγγεν, ἐπιτμήγουσα δέρην· αὖτις δὲ καὶ ἄλλοις
μείλισσεν χύτλοισι, καθάρσιον ἀγκαλέουσα
Ζῆνα, παλαμναίων τιμήορον ἱκεσιάων.
Καὶ τὰ μὲν ἀθρόα πάντα δόμων ἐκ λύματ' ἔνεικαν
Νηϊάδες πρόπολοι, ταί οἱ πόρσυνον ἕκαστα.
Ἡ δ' εἴσω πελάνους μείλικτρά τε νηφαλίῃσιν
καῖεν ἐπ' εὐχωλῇσι παρέστιος, ὄφρα χόλοιο
σμερδαλέας παύσειεν Ἐριννύας, ἠδὲ καὶ αὐτὸς
εὐμειδής τε πέλοιτο καὶ ἤπιος ἀμφοτέροισιν,
εἴτ' οὖν ὀθνείῳ μεμιασμένοι αἵματι χεῖρας,
εἴτε καὶ ἐμφύλῳ προσκηδέες ἀντιόωσιν.
Αὐτὰρ ἐπεὶ μάλα πάντα πονήσατο, δὴ τότ' ἔπειτα
εἷσεν ἐπὶ ξεστοῖσιν ἀναστήσασα θρόνοισιν,
καὶ δ' αὐτὴ πέλας ἷζεν ἐνωπαδίς· Αἶψα δὲ μύθῳ
χρειὼ ναυτιλίην τε διακριδὸν ἐξερέεινεν,
ἠδ' ὁπόθεν μετὰ γαῖαν ἐὴν καὶ δώματ' ἰόντες

rubentem,] manibus hausto : et cessavit a-sævo metu.
Quare etiam, exorta aurora, aquis maris
experrecta crines et vestes abluit.
Feræ autem, non feris similes crudivoris,
neque etiam viris pari corpore, sed aliud aliis
compositum-habentes membris ibant frequentes, ut pecudes] ex stabulis confertæ exeunt sequentes pastorem.
Tales etiam primo ex luto formaverat
terra ipsa mixtis compositas membris
nondum siticuloso aere valde compressa,
nondum torrentis adeo radiis solis
humores nacta : hæc tamen in ordines redegit tempus
conjungens. Sic illæ (*feræ*) natura incertæ sequebantur.
Heroas autem cepit stupor immensus : at statim quisque,
Circes et habitum et faciem intuiti,
facile sororem *eam* conjecerunt esse Æetæ.

Illa cum nocturnorum terrores depulisset somniorum,
statim deinde retrocessit : illosque una sequi
manu contrentatos dolose jussit.
Tum tamen multitudo quidem jussu Jasonis
mansit intrepide : ille vero secum-traxit Colchicam puellam.
Ambo sequebantur eadem via, usque-dum venissent
Circes in palatium : hos in splendidis jussit
illa soliis considere, animo-dubia ob-advenientes.
Hi muti atque taciti ad focum confugientes
sederunt, qui quidem mos miseris supplicibus est,
illa (*Medea*) in utramque deposita manum facie,
at hic (*Jason*) ansato magno gladio in terra defixo.
quo quidem Æetæ filium interfecerat : neque oculos
rectos inter palpebras sustinebant. Statim autem sensit
Circe exilii calamitatem, et piaculum cædis.
Quare etiam reverita Jovis jus supplicum-præsidis,
qui valde irascitur, valde homicidis opitulatur,
fecit sacra, quibus expiantur
cæde-polluti supplices, quando ad-focum accesserint.
Primum quidem manifestæ lustramentum illa cædis
extenso desuper suis catulo, cujus adhuc ubera
scatebant effœto ab utero, sanguine manus
rigavit, inciso collo : rursus vero etiam aliis
expiabat libamentis, lustralem invocans
Jovem, cædis-causa-factarum vindicem supplicationum.
Et illa quidem cuncta ex domibus purgamenta exportarant
Najades ministræ, quæ illi suppeditabant omnia.
Ipsa vero intus placentas et placamina sobriis
combussit additis votis foco-adstans, ut iram
terribilium sedaret Furiarum, atque etiam ipse (*Jupiter*),
placabilis esset et mitis erga-utrumque
sive alieno polluti sanguine manus,
sive etiam domestico, solliciti advenerint.

At quum omnino omnia peracta-essent, tum deinde
collocavit in politis, postquam-surgere-eos-jussit, soliis,
atque ipsa prope consedit ex-adverso. Statim vero oratione
de-negotio et navigatione singulatim quæsivit,
et unde in terram suam atque ædes venientes

αὔτως ἱδρύνθησαν ἐφέστιοι. Ἦ γὰρ ὀνείρων
μνῆστις ἀεικελίη δῦνεν φρένας ὁρμαίνουσαν·
ἵετο δ' αὖ κούρης ἐμφύλιον ἴδμεναι ὀμφὴν,
αὐτίχ' ὅπως ἐνόησεν ἀπ' οὔδεος ὄσσε βαλοῦσαν.
Πᾶσα γὰρ Ἠελίου γενεὴ ἀρίδηλος ἰδέσθαι
ἦεν, ἐπεὶ βλεφάρων ἀποτηλόθι μαρμαρυγῇσιν
οἷόν τε χρυσέην ἀντώπιον ἵεσαν αἴγλην.
Ἡ δ' ἄρα τῇ τὰ ἕκαστα διειρομένῃ κατέλεξεν,
Κολχίδα γῆρυν ἱεῖσα, βαρύφρονος Αἰήταο
κούρη μειλιχίως, ἠμὲν στόλον, ἠδὲ κελεύθους
ἡρώων, ὅσα τ' ἀμφὶ θοοῖς ἐμόγησαν ἀέθλοις·
ὥς τε κασιγνήτης πολυκηδέος ἤλιτε βουλαῖς,
ὥς τ' ἀπονόσφιν ἄλυξεν ὑπέρβια δείματα πατρὸς,
σὺν παισὶν Φρίξοιο· φόνον δ' ἀλέεινεν ἐνισπεῖν
Ἀψύρτου. Τὴν δ' οὔ τι νόῳ λάθεν· ἀλλὰ καὶ ἔμπης
μυρομένην ἐλέαιρεν, ἔπος δ' ἐπὶ τοῖσιν ἔειπεν.
Σχετλίη, ἦ ῥα κακὸν καὶ ἀεικέα μήσαο νόστον.
Ἔλπομαι οὐκ ἐπὶ δήν σε βαρὺν χόλον Αἰήταο
ἐκφυγέειν· τάχα δ' εἶσι καὶ Ἑλλάδος ἤθεα γαίης
τισόμενος φόνον υἷος, ὅτ' ἄσχετα ἔργα τέλεσσας.
Ἀλλ' ἐπεὶ οὖν ἱκέτις καὶ ὁμόγνιος ἔπλευ ἐμεῖο,
ἄλλο μὲν οὔ τι κακὸν μητίσομαι ἐνθάδ' ἰούσῃ·
ἔρχεο δ' ἐκ μεγάρων ξείνῳ συνοπηδὸς ἐοῦσα,
ὅντινα τοῦτον ἄϊστον ἀείραο πατρὸς ἄνευθεν·
μηδέ με γουνάσσηαι ἐφέστιος, οὐ γὰρ ἔγωγε
αἰνήσω βουλάς τε σέθεν καὶ ἀεικέα φύξιν. [πέπλον
Ὣς φάτο· τὴν δ' ἀμέγαρτον ἄχος λάβεν· ἀμφὶ δὲ
ὀφθαλμοῖσι βαλοῦσα γόον χέεν, ὄφρα μιν ἥρως
χειρὸς ἐπισχόμενος μεγάρων ἐξῆγε θύραζε
δείματι παλλομένην· λεῖπον δ' ἄπο δώματα Κίρκης.
Οὐδ' ἄλοχον Κρονίδαο Διὸς λάθον· ἀλλά οἱ Ἶρις
πέφραδεν, εὖτ' ἐνόησεν ἀπὸ μεγάροιο κιόντας.
Αὐτὴ γάρ μιν ἄνωγε δοκευέμεν, ὁππότε νῆα
στείχοιεν, τὸ καὶ αὖτις ἐποτρύνουσ' ἀγόρευεν.
Ἶρι φίλη, νῦν, εἴποτ' ἐμὰς ἐτέλεσσας ἐφετμὰς,
εἰ δ' ἄγε, λαιψηρῇσι μετοιχομένη πτερύγεσσιν
δεῦρο Θέτιν μοι ἄνωχθι μολεῖν ἁλὸς ἐξανιοῦσαν.
Κείνης γὰρ χρειώ με κιχάνεται. Αὐτὰρ ἔπειτα
ἐλθεῖν εἰς ἀκτὰς, ὅθι τ' ἄκμονες Ἡφαίστοιο
χάλκειοι στιβαρῇσιν ἀράσσονται τυπίδεσσιν·
εἰπὲ δὲ κοιμῆσαι φύσας πυρὸς, εἰσόκεν Ἀργὼ
τάς γε παρεξελάσῃσιν. Ἀτὰρ καὶ ἐς Αἴολον ἐλθεῖν,
Αἴολον, ὅστ' ἀνέμοις αἰθρηγενέεσσιν ἀνάσσει·
καὶ δὲ τῷ εἰπέμεναι τὸν ἐμὸν νόον, ὥς κεν ἀήτας
πάντας ἀπολλήξειεν ὑπ' ἠέρι, μηδέ τις αὔρη
τρηχύνοι πέλαγος· Ζεφύρου γε μὲν οὖρος ἀήτω,
ὄφρ' οἵ γ' Ἀλκινόου Φαιηκίδα νῆσον ἵκωνται.
Ὣς ἔφατ'· αὐτίκα δ' Ἶρις ἀπ' Οὐλύμποιο θοροῦσα
τέμνε τανυσσαμένη κοῦφα πτερά. Δῦ δ' ἐνὶ πόντῳ
Αἰγαίῳ, τόθι πέρ τε δόμοι Νηρῆος ἔασιν.
Πρώτην δ' εἰσαφίκανε Θέτιν, καὶ ἐπέφραδε μῦθον
Ἥρης ἐννεσίης ὦρσέν τέ μιν εἰς ἓ νέεσθαι.
Δεύτερα δ' εἰς Ἥφαιστον ἐβήσατο· παῦσε δὲ τόν γε
ῥίμφα σιδηρείων τυπίδων· ἔσχοντο δ' ἀϋτμῆς

sic consedissent ad-focum : profecto enim somniorum
recordatio tristis subiit animum cogitantis :
cupiit porro puellæ vernaculam cognoscere linguam,
statim ubi vidit humo *eam* oculos attollere.
Omne enim Solis genus manifesto visendum
erat, quoniam oculorum procul luminibus
velut aureum adversum emittebant splendorem (*Solis posteri*).] Illa igitur huic omnia interroganti dixit,
Colchicum sermonem emittens, gravia-meditantis Æetæ
filia placide, et expeditionem et itinera
heroum, et quanta in acribus perpessi-fuerint certaminibus,
et quomodo sororis sollicitæ peccaverit consiliis,
et quomodo seorsum effugerit terribiles minas patris
cum filiis Phrixi : sed cædem noluit edicere
Absyrti. Illam vero nihil mente latuit : at tamen
lamentantem miserata-est, et *talia* verba ad hæc respondit :] Misera, profecto malum et indecorum molita-es abitum.] Existimo non diu te gravem iram Æetæ
effugituram-esse : mox veniet vel in Græcæ sedes terræ
ulturus cædem filii, quum non-ferenda facinora patraveris.
At quoniam supplex et cognata es mihi,
aliud nullum malum *in te* machinabor huc profectam :
abi autem ex ædibus peregrini comes quæ-es,
quemcunque hunc ignotum adscivisti patre invito :
noli autem me supplex-rogare, ad-focum-sedens : neque
enim ego] probabo (*adjuvabo*) et consilia tua, et turpem
fugam.] Sic dixit : illam vero immensus dolor occupavit,
peploque] oculis tectis, lacrimas effudit, donec eam heros
manu prehensam ex-ædibus eduxit foras
timore agitatam : reliquerunt igitur domum Circes.
Neque uxorem Saturnii Jovis latuerunt : sed ei Iris
indicavit, cum animadverteret ex ædibus egredientes
Ipsa enim eam jusserat observare, quando navem
ingressuri-essent; quare etiam postea hortans dixit :
Iri cara, nunc, si unquam mea peregisti mandata,
age, celeribus ablata alis,
huc Thetin mihi jube venire e-mari progressam.
Ea enim opus mihi est. At deinde
abi ad littora, ubi incudes Vulcani
ferreæ duris tunduntur malleis :
jube autem *eum* quiescere-sinere folles ignis, donec Argo
hæc (*littora*) prætererit. At etiam ad Æolum abi,
Æolum, qui ventis æthere-genitis imperat :
atque ei dic meam voluntatem, ut ventos
omnes silere-jubeat sub aëre, neque ullus ventus
concitet mare : Zephyri tamen flatus spiret,
donec illi in Alcinoi Phæaciam insulam venerint.
Sic dixit : statim igitur Iris de Olympo desiliens
secuit *viam*, concussis levibus alis. Subiit autem mare
Ægæum, ubi domus Nerei sunt.
Et primam convenit Thetin, atque exposuit sermonem
Junonis jussu, atque impulit eam, ad illam ut-veniret.
Deinde ad Vulcanum abiit : et jussit-cessare illum
facile a-ferreis malleis : prohibebantur autem a-flatu

αἰθαλέοι πρηστῆρες. Ἀτὰρ τρίτον εἰσαφίκανεν
Αἰόλον Ἱππότεω παῖδα κλυτόν. Ὄφρα δὲ καὶ τῷ
ἀγγελίην φαμένη θοὰ γούνατα παῦσεν ὁδοῖο,
τόφρα Θέτις, Νηρῆα κασιγνήτας τε λιποῦσα,
ἐξ ἁλὸς Οὔλυμπόνδε θεὰν μετεκίαθεν Ἥρην·
ἡ δέ μιν ἆσσον ἑοῖο παρεῖσέ τε φαῖνέ τε μῦθον.
Κέκλυθι νῦν, Θέτι δῖα, τά τοι ἐπιέλδομ' ἐνισπεῖν.
Οἶσθα μὲν, ὅσσον ἐμῇσιν ἐνὶ φρεσὶ τίεται ἥρως
Αἰσονίδης ἠδ' ἄλλοι ἀοσσητῆρες ἀέθλου,
οἵη τέ σφ' ἐσάωσα διὰ πλαγκτὰς περόωντας
πέτρας, ἔνθα πυρὸς δειναὶ βρομέουσι θύελλαι,
κύματά τε σκληρῇσι περιβλύει σπιλάδεσσιν.
Νῦν δὲ παρὰ Σκύλλης σκόπελον μέγαν ἠδὲ Χάρυβδιν
δεινὸν ἐρευγομένην δέχεται ὁδός. Ἀλλά σε γὰρ δὴ
ἐξέτι νηπυτίης αὐτὴ τρέφον ἠδ' ἀγάπησα
ἔξοχον ἀλλάων, αἵτ' εἰν ἁλὶ ναιετάουσιν,
οὕνεκεν οὐκ ἔτλης εὐνῇ Διὸς ἱεμένοιο
λέξασθαι. Κείνῳ γὰρ ἀεὶ τάδε ἔργα μέμηλεν,
ἠὲ σὺν ἀθανάταις, ἠὲ θνητῇσιν ἰαύειν.
Ἀλλ' ἐμέ τ' αἰδομένη καὶ ἐνὶ φρεσὶ δειμαίνουσα,
ἠλεύω· ὁ δ' ἔπειτα πελώριον ὅρκον ὄμοσσεν,
μήποτέ σ' ἀθανάτοιο θεοῦ καλέεσθαι ἄκοιτιν.
Ἔμπης δ' οὐ μεθίεσκεν ὀπιπτεύων ἀέκουσαν,
εἰσόκε οἱ πρέσβειρα Θέμις κατέλεξεν ἅπαντα,
ὡς δή τοι πέπρωται ἀμείνονα πατρὸς ἑοῖο
παῖδα τεκεῖν· τῷ καί σε λιλαιόμενος μεθέηκεν
δείματι, μή τις ἑοῦ ἀντάξιος ἄλλος ἀνάσσοι
ἀθανάτων, ἀλλ' αἰὲν ἑὸν κράτος εἰρύοιτο.
Αὐτὰρ ἐγὼ τὸν ἄριστον ἐπιχθονίων πόσιν εἶναι
δῶκά τοι, ὄφρα γάμου θυμηδέος ἀντιάσειας
τέκνα τε φιτύσαιο· θεοὺς δ' εἰς δαῖτα κάλεσσα
πάντας ὁμῶς· αὐτὴ δὲ σέλας χείρεσσιν ἀνέσχον
νυμφίδιον κείνης ἀγανόφρονος εἵνεκα τιμῆς.
Ἀλλ' ἄγε, καὶ τινά τοι νημερτέα μῦθον ἐνίψω·
εὖτ' ἂν ἐς Ἠλύσιον πεδίον τεὸς υἱὸς ἵκηται,
ὃν δὴ νῦν Χείρωνος ἐν ἤθεσι Κενταύροιο
Νηϊάδες κομέουσι τεοῦ λίπτοντα γάλακτος,
χρειώ μιν κούρης πόσιν ἔμμεναι Αἰήταο
Μηδείης· σὺ δ' ἄρηγε νυῷ ἑκυρή περ ἐοῦσα
ἠδ' αὐτῷ Πηλῆϊ. Τί τοι χόλος ἐστήρικται;
Ἀάσθη. Καὶ γάρ τε θεοὺς ἐπινίσσεται ἄτη.
Ναὶ μὲν ἐφημοσύνῃσιν ἐμαῖς Ἥφαιστον ὀΐω
λωφήσειν πρήσοντα πυρὸς μένος, Ἱπποτάδην δὲ
Αἰόλον ὠκείας ἀνέμων ἄϊκας ἐρύξειν
νόσφιν ἐϋσταθέος Ζεφύρου, τείως κεν ἵκωνται
Φαιήκων λιμένας· σὺ δ' ἀκηδέα μήδεο νόστον.
Δεῖμα δέ τοι πέτραι καὶ ὑπέρβια κύματ' ἔασιν
μοῦνον, ἅ κεν τρέψαιο κασιγνήτῃσι σὺν ἄλλαις.
Μηδὲ σύ γ' ἠὲ Χάρυβδιν ἀμηχανέοντας ἐάσῃς
ἐσβαλέειν, μὴ πάντας ἀναβρόξασα φέρῃσιν,
ἠὲ παρὰ Σκύλλης στυγερὸν κευθμῶνα νέεσθαι,
Σκύλλης Αὐσονίης ὀλοόφρονος, ἣν τέκε Φόρκῳ
νυκτιπόλος Ἑκάτη, τήντε κλείουσι Κραταιΐν,
μήπως σμερδαλέῃσιν ἐπαΐξασα γένυσσιν

fuliginosi folles. At tertium venit ad
Æolum, Hippotæ filium clarum. Dum autem etiam illi
mandatum referens, velocia genua quiescere-fecit ab itinere,
interea Thetis, Nereo sororibusque relictis,
ex mari in-Olympum ad-deam abiit Junonem;
hæc eam propius sibi assidere-jussit, et edidit sermonem:
Audi jam, Theti divina, quæ tibi cupio dicere.
Nosti, quantum meo animo carus-sit heros
Æsonis-filius, et ceteri adjutores certaminis,
qualisque (*quomodo*) eos servaverim per errantes (*cyaneas*)
transeuntes] petras, ubi ignitæ horribiles fremunt procellæ,
fluctusque rigidas undique-alluunt cautes.
Nunc vero ad Scyllæ scopulum magnum, atque Charybdin
horrendum eructantem, excipit *eos* via. Age, te enim jam
ab infantia inde ipsa nutrivi, et amavi
præ aliis (*deabus*), quæ mare incolunt,
quoniam non ausa-es in-toro Jovis cupientis
concumbere. Illi enim semper hæc facta curæ-sunt,
ut vel cum deabus, vel cum mortalibus rem-habeat.
At me verita animoque timens,
effugisti: ille autem postea magnum jusjurandum juravit,
non te unquam immortalis dei vocari (*fore*) conjugem.
Attamen non desiit *te* oculis-persequi invitam,
usque-dum ei veneranda Themis indicavit omnia,
scilicet fato decretum-esse, præstantiorem patre suo
filium ut-pareres: quare etiam te, licet-desiderans, missam
-fecit,] metu, ne quis, ipsi dignitate-par, alius regnaret
immortalium, sed ut semper suum imperium servaret.
At ego optimum hominum, maritus ut-esset,
dedi tibi, ut conjugium gratum haberes,
et liberos ederes: deos autem ad epulas invitavi
omnes una: et ipsa facem manibus sustuli
nuptialem, illius læti causa honoris.
Age igitur, etiam quoddam tibi verum oraculum dicam:
quando in Elysium campum tuus filius venerit,
quem nunc Chironis in sedibus Centauri
Najades nutriunt, tuum desiderantem lac,
oportet eum filiæ maritum esse Æetæ,
Medeæ: tu igitur opitulare nurui socrus futura
atque ipsi Peleo. Cur tibi ira firma-stat?
Deliquit. Etenim deos etiam aggreditur culpa.
Profecto jussu meo Vulcanum puto
cessaturum-esse a-sufflando ignis vim, Hippotæque-filium
Æolum celeres ventorum turbines coerciturum,
præter stabilem Zephyrum, interea-dum venerint
Phæacum in portus: tu vero tutum molire reditum.
Terrori vero rupes et ingentes fluctus sunt
tantum, quos quidem avertes sororibus cum aliis.
Neque tu aut in-Charybdin *eos* consilii-inopes patiaris
incidere, ne omnes absorbens auferat,
aut ad Scyllæ horrendum recessum venire,
Scyllæ Ausoniæ crudelis, quam peperit Phorco
noctivaga Hecate, quamque appellant Cratæin,
ne-forte horrendis irruens faucibus

λεκτοὺς ἡρώων δηλήσεται. Ἀλλ' ἔχε νῆα
κεῖσ', ὅθι περ τυτθή γε παραίβασις ἔσσετ' ὀλέθρου.
Ὣς φάτο· τὴν δὲ Θέτις τοίῳ προσελέξατο μύθῳ·
Εἰ μὲν δὴ μαλεροῖο πυρὸς μένος ἠδὲ θύελλαι
ζαχρηεῖς λήξουσιν ἐτήτυμον, ἦτ' ἂν ἔγωγε
θαρσαλέη φαίην καὶ κύματος ἀντιόωντος
νῆα σαωσέμεναι, Ζεφύρου λίγα κινυμένοιο.
Ἀλλ' ὥρη δολιχήν τε καὶ ἄσπετον οἶμον ὁδεύειν,
ὄφρα κασιγνήτας μετελεύσομαι, αἵ μοι ἀρωγοὶ
ἔσσονται, καὶ νηὸς ὅθι πρυμνήσι' ἀνῆπται,
ὥς κεν ὑπηῷοι μνησαίατο νόστον ἑλέσθαι.
Ἦ καὶ ἀναΐξασα κατ' αἰθέρος ἔμπεσε δίναις
κυανέου πόντοιο· κάλει δ' ἐπαμυνέμεν ἄλλας
αὐτοκασιγνήτας Νηρηΐδας· αἱ δ' ἀΐουσαι
ἤντεον ἀλλήλῃσι· Θέτις δ' ἀγόρευεν ἐφετμὰς
Ἥρης· αἶψα δ' ἴαλλε μετ' Αὐσονίην ἅλα πάσας.
Αὐτὴ δ' ὠκυτέρη ἀμαρύγματος ἠὲ βολάων
ἠελίου, ὅτ' ἄνεισι περαίης ὑψόθι γαίης,
σεύατ' ἴμεν λαιψηρὰ δι' ὕδατος, ἔστ' ἀφίκανεν
ἀκτὴν Αἰαίην Τυρσηνίδος ἠπείροιο.
Τοὺς δ' εὗρεν παρὰ νηῒ σόλῳ ῥιπῇσί τ' ὀϊστῶν
τερπομένους· ἡ δ' ἆσσον ὀρεξαμένη χερὸς ἄκρης
Αἰακίδεω Πηλῆος· ὁ γάρ ῥά οἱ ἦεν ἀκοίτης,
οὐδέ τις εἰσιδέειν δύνατ' ἔμπεδον· ἀλλ' ἄρα τῷ γε
οἴῳ ἐν ὀφθαλμοῖσιν ἐείσατο, φώνησέν τε.
Μηκέτι νῦν ἀκταῖς Τυρσηνίσιν ἧσθε μένοντες·
ἠῶθεν δὲ θοῆς πρυμνήσια λύετε νηὸς,
Ἥρῃ πειθόμενοι ἐπαρηγόνι. Τῆς γὰρ ἐφετμῆς
πασσυδίῃ κοῦραι Νηρηΐδες ἀντιόωσιν,
νῆα διὲκ πέτρας, αἵτε Πλαγκταὶ καλέονται,
ῥυσόμεναι. Κείνη γὰρ ἐναίσιμος ὔμμι κέλευθος.
Ἀλλὰ σὺ μή τῳ ἐμὸν δείξῃς δέμας, εὖτ' ἂν ἴδηαι
ἀντομένην σὺν τῇσι· νόῳ δ' ἔχε, μή με χολώσῃς
πλεῖον ἔτ', ἢ τοπάροιθεν ἀπηλεγέως ἐχόλωσας.
Ἦ καὶ ἔπειτ' ἀΐδηλος ἐδύσατο βένθεα πόντου·
τὸν δ' ἄχος αἰνὸν ἔτυψεν, ἐπεὶ πάρος οὐκέτ' ἰοῦσαν
ἔδρακεν, ἐξότε πρῶτα λίπεν θάλαμόν τε καὶ εὐνὴν,
χωσαμένη Ἀχιλῆος ἀγαυοῦ νηπιάχοντος.
Ἡ μὲν γὰρ βροτέας αἰεὶ περὶ σάρκας ἔδαιεν
νύκτα διὰ μέσσην φλογμῷ πυρός· ἤματα δ' αὖτε
ἀμβροσίῃ χρίεσκε τέρεν δέμας, ὄφρα πέλοιτο
ἀθάνατος καί οἱ στυγερὸν χροῒ γῆρας ἀλάλκοι.
Αὐτὰρ ὁ ἐξ εὐνῆς ἀνεπάλμενος εἰσενόησεν
παῖδα φίλον σπαίροντα διὰ φλογός· ἧκε δ' ἀϋτὴν
σμερδαλέην ἐσιδὼν, μέγα νήπιος· ἡ δ' ἀΐουσα
τὸν μὲν ἄρ' ἁρπάγδην χαμάδις βάλε κεκληγῶτα·
αὐτὴ δὲ πνοιῇ ἰκέλη δέμας ἠΰτ' ὄνειρος
βῆ ῥ' ἴμεν ἐκ μεγάροιο θοῶς, καὶ ἐσήλατο πόντον
χωσαμένη· μετὰ δ' οὔ τι παλίσσυτος ἵκετ' ὀπίσσω.
Τῷ μιν ἀμηχανίη δῆσεν φρένας· ἀλλὰ καὶ ἔμπης
πᾶσαν ἐφημοσύνην Θέτιδος μετέειπεν ἑταίροις.
Οἱ δ' ἄρα μεσσηγὺς λῆξαν καὶ ἔπαυσαν ἀέθλους,
ἐσσυμένως δόρπον τε χαμεύνας τ' ἀμφεπένοντο,
τῆς ἔνι δαισάμενοι νύκτ' ἄεσαν ὡς τοπάροιθεν.

præstantissimos heroum lædat. Verum dirige navem eo, ubi exiguum saltem effugium erit mortis.

Sic dixit: eam vero Thetis hoc excepit sermone: Si quidem absumentis ignis vis et procellæ vehementes cessaverint vere, profecto equidem audacter pollicebor, etiam fluctu adversante, navem servatum-iri, Zephyro leniter moto. At tempus *est* longam immensamque viam inire, ut sorores conveniam, quæ mihi adjutrices erunt, et *illuc abeam*, navis ubi retinacula alligata-sunt, ut (*Argonautæ*) prima-luce meminerint iter suscipere.

Dixit, et delapsa ex æthere ingressa-est vortices cærulei maris: vocavitque in-auxilium alias sorores Nereïdas: hæ audientes convenerunt inter-se: Thetis autem exposuit mandata Iunonis, statimque misit in Ausonium mare cunctas. Ipsa celerior fulmine aut radiis solis, quando prodit ultima super terra, ferebatur eundo cito per aquam, usque-dum attigit littus Ææum Tyrrhenæ terræ. Illos (*Argonautas*) invenit apud navem disco et jactu sagittarum] se-oblectantes: hæc propius injiciens manum summam] Æacidæ Peleo: is enim ei erat conjux, neque quis conspicere *ipsam* potuit clare; sed huic quidem soli oculis visenda-erat et dixit:

Non amplius nunc ad-littora Tyrrhena sedete commorantes:] mane vero celeris retinacula solvite navis, Junoni obsecuti adjutrici. Ejus enim mandato omnes-una puellæ Nereïdes convenient, navem per rupes, quæ Planctæ (*errantes*) appellantur, salvam-ducturæ. Illa enim opportuna vobis *est* via. At tu nemini meum ostendas corpus, cum videris occurrentem cum illis (*Nereïdibus*): mente autem tene, ne me ad-iram-concites] magis etiam, quam antea intrepide concitasti.] Dixit, atque deinde invisa subiit profundum mare:] eum autem dolor gravis occupavit, quoniam antea non-amplius *se* convenientem] viderat, ex-quo primum reliquit thalamum et torum,] irata Achillis causa nobilis infantis.] Ipsa enim mortales usque carnes undique comburebat, nocte media, flamma ignis: interdiu contra ambrosia inungebat tenerum corpus, ut fieret immortalis, atque ei invisam a-corpore senectutem defenderet.] At ille (*Peleus*) e lecto prosiliens animadvertit filium suum palpitare in flamma: emisit igitur clamorem horrendum intuitus, valde imprudens: hæc audiens istum quidem raptim (*raptum e flamma*) in-terram projecit clamantem;] ipsa vero vento similis corpore, velut somnium,] abiit ex domo celeriter, et intravit mare indignata: neque rursus reversa-est postea. Ideo illi angor constrinxit mentem: at tamen omne mandatum Thetidis exposuit sociis. Illi igitur interea cessarunt et destiterunt a-laboribus, festinanter epulas et strata sibi-pararunt, in quibus epulati noctem dormierunt, ut antea.

Ἦμος δ' ἄκρον ἔβαλλε φαεσφόρος οὐρανὸν Ἠώς,
δὴ τότε λαιψηροῖο κατηλυσίῃ Ζεφύροιο
βαῖνον ἐπὶ κληῖδας ἀπὸ χθονός· ἐκ δὲ βυθοῖο
εὐναίας εἷλκον περιγηθέες, ἄλλα τε πάντα
ἄρμενα μηρύοντο κατὰ χρέος· ὕψι δὲ λαῖφος
εἴρυσσαν τανύσαντες ἐν ἱμάντεσσι κεραίης.
Νῆα δ' εὐκραὴς ἄνεμος φέρεν. Αἶψα δὲ νῆσον
καλὴν, ἀνθεμόεσσαν ἐσέδρακον, ἔνθα λίγειαι
Σειρῆνες σίνοντ' Ἀχελωΐδες, ἡδείῃσιν
θέλγουσαι μολπῇσιν, ὅτις παρὰ πεῖσμα βάλοιτο.
Τὰς μὲν ἄρ' εὐειδὴς Ἀχελωΐῳ εὐνηθεῖσα
γείνατο Τερψιχόρη, Μουσέων μία· καί ποτε Δηοῦς
θυγατέρ' ἰφθίμην ἀδμῆτ' ἔτι πορσαίνεσκον
ἄμμιγα μελπόμεναι· τότε δ' ἄλλο μὲν οἰωνοῖσιν,
ἄλλο δὲ παρθενικῇς ἐναλίγκιαι ἔσκον ἰδέσθαι.
Αἰεὶ δ' εὐόρμου δεδοκημέναι ἐκ περιωπῆς
ἦ θαμὰ δὴ πολέων μελιηδέα νόστον ἕλοντο,
τηκεδόνι φθινύθουσαι· ἀπηλεγέως δ' ἄρα καὶ τοῖς
ἵεσαν ἐκ στομάτων ὄπα λείριον. Οἱ δ' ἀπὸ νηὸς
ἤδη πείσματ' ἔμελλον ἐπ' ἠϊόνεσσι βαλέσθαι,
εἰ μὴ ἄρ' Οἰάγροιο πάϊς Θρηΐκιος Ὀρφεὺς
Βιστονίην ἐνὶ χερσὶν ἑαῖς φόρμιγγα τανύσσας
κραιπνὸν ἐϋτροχάλοιο μέλος κανάχησεν ἀοιδῆς,
ὄφρ' ἄμυδις κλονέοντος ἐπιβρομέωνται ἀκουαὶ
κρεγμῷ· παρθενικὴν δ' ἐνοπὴν ἐβιήσατο φόρμιγξ.
Νῆα δ' ὁμοῦ Ζέφυρός τε καὶ ἠχῆεν φέρε κῦμα
πρυμνόθεν ὀρνύμενον· ταὶ δ' ἄκριτον ἵεσαν αὐδήν.
Ἀλλὰ καὶ ὣς Τελέοντος ἐῢς πάϊς οἶος ἑταίρων
προφθάμενος ξεστοῖο κατὰ ζυγοῦ ἔνθορε πόντῳ
Βούτης, Σειρήνων λιγυρῇ ὀπὶ θυμὸν ἰανθείς·
νῆχε δὲ πορφυρέοιο δι' οἴδματος, ὄφρ' ἐπιβαίη,
σχέτλιος. Ἦ τέ οἱ αἶψα καταυτόθι νόστον ἀπηύρων·
ἀλλά μιν οἰκτείρασα θεὰ Ἔρυκος μεδέουσα
Κύπρις ἔτ' ἐν δίναις ἀνερείψατο, καί ῥ' ἐσάωσεν
πρόφρων ἀντομένη Λιλυβηΐδα ναιέμεν ἄκρην.
Οἱ δ' ἄχεϊ σχόμενοι τὰς μὲν λίπον, ἄλλα δ' ὄπαζον
κύντερα μιξοδίῃσιν ἁλὸς ῥαιστήρια νηῶν.
Τῇ μὲν γὰρ Σκύλλης λισσὴ προὐφαίνετο πέτρη·
τῇ δ' ἄμοτον βοάασκεν ἀναβλύζουσα Χάρυβδις·
ἄλλοθι δὲ Πλαγκταὶ μεγάλῳ ὑπὸ κύματι πέτραι
ῥόχθεον, ἧχι πάροιθεν ἀπέπτυεν αἰθομένη φλὸξ
ἄκρων ἐκ σκοπέλων πυριθαλπέος ὑψόθι πέτρης.
Καπνῷ δ' ἀχλυόεις αἰθὴρ πέλεν· οὐδέ κεν αὐγὰς
ἔδρακες ἠελίοιο. Τότ' αὖ λήξαντος ἀπ' ἔργων
Ἡφαίστου θερμὴν ἔτι κήκιε πόντος ἀϋτμήν.
Ἔνθα σφιν κοῦραι Νηρηΐδες ἄλλοθεν ἄλλαι
ἤντεον· ἡ δ' ὄπιθεν πτέρυγος θίγε πηδαλίοιο
δῖα Θέτις Πλαγκτῇσιν ἐνὶ σπιλάδεσσιν ἐρύσσαι.
Ὡς δ' ὁπόταν δελφῖνες ὑπὲξ ἁλὸς εὐδιόωντες
σπερχομένην ἀγεληδὸν ἑλίσσωνται περὶ νῆα,
ἄλλοτε μὲν προπάροιθεν ὁρώμενοι, ἄλλοτ' ὄπισθεν,
ἄλλοτε παρβολάδην, ναύτῃσι δὲ χάρμα τέτυκται·
ὣς αἱ ὑπεκπροθέουσαι ἐπήτριμοι εἱλίσσοντο
Ἀργῴῃ περὶ νηΐ, Θέτις δ' ἴθυνε κέλευθον.

Cum vero summum feriret lucifera cœlum Aurora,
tum placidi descensu (*flatu*) Zephyri
abierunt in transtra a terra : ex profundo autem
ancoras traxerunt læti, aliaque omnia
armamenta *navis* laxarunt, ut necesse erat : et in-altum
velum] sustulerunt expansum loris antennæ.
Navem autem lenis ventus ferebat : statimque insulan
pulcram floridam conspexerunt, ubi argutæ
Sirenes perdebant Acheloi-filiæ, suavibus
delinientes cantibus, quicunque funes injecisset (*appulisset*).] Illas quidem formosa Acheloi ex-concubitu
peperit Terpsichore, Musarum una : et aliquando Cereris
filiam generosam innuptam adhuc oblectarunt
conjunctim canentes : tum autem alia-ex-parte avibus
alia virginibus similes erant visendæ.
Semper vero bono-portu-instructa observantes ex specula,
profecto sæpe jam multis dulcem reditum ademerunt,
tabe *eos* conficientes. Intrepide igitur etiam his (*Argonautis*)] emiserunt ex ore vocem suavem : illique a navi
jam retinacula erant littoribus injecturi,
nisi Œagri filius, Thracius Orpheus
Bistoniam manibus suis citharam intendens
celerem volubilis modum edidisset cantilenæ,
ut omnes-una pulsantis tinnirent aures
cantu : virgineamque vocem superavit cithara.
Navem autem una et Zephyrus et sonorus egit fluctus
a-puppi urgens : illæ indistinctam emiserunt vocem.
Sed vel sic Teleontis strenuus filius, solus sociorum
præveniens, polito de transtro insiluit in-mare
Butes, Sirenum arguta voce animo delinitus :
natavitque concitatum per æquor, ut attingeret,
miser. Certe ei statim ibi reditum ademissent;
at illum miserata dea Erycis regina
Cypris adhuc in vorticibus corripuit, atque servavit
benevola occurrens, Lilybæum ut-incoleret promontorium.
Illi vero dolore correpti has quidem reliquerunt, sed alia sequebantur] duriora in-compitis maris, quæ-perderent naves.] Hac enim-parte Scyllæ præceps eminebat rupes :
illa nunquam-non reboabat ebulliens Charybdis :
alibi vero Planctæ magno sub fluctu petræ
murmurabant, ubi antea egesta-erat ardens flamma
summis e scopulis, ignivomam supra rupem.
Fumo autem tenebricosus æther erat : neque lumina
conspexeris solis. Tum cessante ab operibus
Vulcano, calidum adhuc emittebat mare vaporem.
Ibi ipsis puellæ Nereïdes aliunde aliæ
occurrerunt : sed a-tergo pinnam attigit gubernaculi
divina Thetis, Planctas in rupes ut-traheret.
Ut vero delphines ex mari serena-tempestate
festinantem gregatim glomerantur circa navem,
nunc ante *eam* conspecti, nunc a-tergo,
nunc a latere, nautisque gaudio sunt :
sic illæ (*Nereides*) procurrentes confertim volvebantur
Argoam circa navem, Thetis autem regebat cursum.

Καὶ ῥ' ὅτε δὴ Πλαγκτῇσιν ἐνιχρίμψεσθαι ἔμελλον,
αὐτίκ' ἀνασχόμεναι λευκοῖς ἐπὶ γούνασι πέζας,
ὑψοῦ ἐπ' αὐτάων σπιλάδων καὶ κύματος ἀγῆς
ῥώοντ' ἔνθα καὶ ἔνθα διασταδὸν ἀλλήλῃσιν.
Τὴν δὲ παρηορίην κόπτεν ῥόος· ἀμφὶ δὲ κῦμα
λάβρον ἀειρόμενον πέτραις ἐπικαχλάζεσκεν.
Αἱ δ' ὁτὲ μὲν κρημνοῖς ἐναλίγκιαι ἠέρι κῦρον,
ἄλλοτε δὲ βρύχιαι νεάτῳ ὑπὸ πυθμένι πόντου
ἠρήρειντ', ὅθι πολλὸν ὑπείρεχεν ἄγριον οἶδμα.
Αἱ δ' ὥστ' ἠμαθόεντος ἐπισχεδὸν αἰγιαλοῖο
παρθενικαὶ, δίχα κόλπον ἐπ' ἰξύας εἱλίξασαι,
σφαίρῃ ἀθύρουσιν περιηγέϊ· αἱ μὲν ἔπειτα
ἄλλη ὑπὲξ ἄλλης δέχεται καὶ ἐς ἠέρα πέμπει
ὕψι μεταχρονίην· ἡ δ' οὔποτε πίλναται οὔδει·
ὣς αἱ νῆα θέουσαν ἀμοιβαδὶς ἄλλοθεν ἄλλη
πέμπε διηερίην ἐπὶ κύμασιν, αἰὲν ἄπωθεν
πετράων· περὶ δέ σφιν ἐρευγόμενον ζέεν ὕδωρ.
Τὰς δὲ καὶ αὐτὸς ἄναξ κορυφῆς ἐπὶ λισσάδος ἄκρης
ὀρθὸς ἐπὶ στελεῇ τυπίδος βαρὺν ὦμον ἐρείσας
Ἥφαιστος θηεῖτο, καὶ αἰγλήεντος ὕπερθεν
οὐρανοῦ ἑστηυῖα Διὸς δάμαρ· ἀμφὶ δ' Ἀθήνῃ
βάλλε χέρας, τοῖόν μιν ἔχεν δέος εἰσορόωσαν.
Ὅσση δ' εἰαρινοῦ μηκύνεται ἤματος αἶσα,
τοσσάτιον μογέεσκον ἐπὶ χρόνον, ὀχλίζουσαι
νῆα διὲκ πέτρας πολυηχέας· οἱ δ' ἀνέμοιο
αὖτις ἐπαυρόμενοι προτέρω θέον· ὦκα δ' ἄμειβον
Θρινακίης λειμῶνα, βοῶν τροφὸν Ἠελίοιο.
Ἔνθ' αἱ μὲν κατὰ βένθος ἀλίγκιαι αἰθυίῃσιν
δῦνον, ἐπεὶ ῥ' ἀλόχοιο Διὸς πόρσυνον ἐφετμάς.
Τοὺς δ' ἄμυδις βληχή τε δι' ἠέρος ἵκετο μήλων,
μυκηθμός τε βοῶν αὐτοσχεδὸν οὔατ' ἔβαλλεν.
Καὶ τὰ μὲν ἑρσήεντα κατὰ δρία ποιμαίνεσκεν
ὁπλοτέρη Φαέθουσα θυγατρῶν Ἠελίοιο,
ἀργύρεον χαῖον παλάμῃ ἔνι πηχύνουσα·
Λαμπετίη δ' ἐπὶ βουσὶν ὀρειχάλκοιο φαεινοῦ
πάλλεν ὀπηδεύουσα καλαύροπα. Τὰς δὲ καὶ αὐτοὶ
βοσκομένας ποταμοῖο παρ' ὕδασιν εἰσορόωντο
ἄμ' πεδίον καὶ ἕλος λειμώνιον· οὐδέ τις ἦεν
κυανέη μετὰ τῇσι δέμας, πᾶσαι δὲ γάλακτι
εἰδόμεναι, χρυσέοισι κεράασι κυδιάασκον.
Καὶ μὲν τὰς παράμειβον ἐπ' ἤματι· νυκτὶ δ' ἰούσῃ
πεῖρον ἁλὸς μέγα λαῖτμα κεχαρμένοι, ὄφρα καὶ αὖτις
Ἠὼς ἠριγενὴς φέγγος βάλε νισσομένοισιν.
Ἔστι δέ τις πορθμοῖο παροιτέρη Ἰονίοιο
ἀμφιλαφὴς πίειρα Κεραυνίῃ εἰν ἁλὶ νῆσος,
ᾗ ὕπο δὴ κεῖσθαι δρέπανον φάτις, ἵλατε Μοῦσαι,
οὐκ ἐθέλων ἐνέπω προτέρων ἔπος, ᾧ ἀπὸ πατρὸς
μήδεα νηλειῶς ἔταμεν Κρόνος· (οἱ δέ ἑ Δηοῦς
κλείουσιν χθονίης καλαμητόμον ἔμμεναι ἅρπην.
Δηὼ γὰρ κείνῃ ἐνὶ δή ποτε νάσσατο γαίῃ,
Τιτῆνας δ' ἔδαεν στάχυν ὄμπνιον ἀμήσασθαι,
Μάκριδα φιλαμένη.) Δρεπάνη τόθεν ἐκλήϊσται
οὔνομα, Φαιήκων ἱερὴ τροφός· ὣς δὲ καὶ αὐτοὶ
αἵματος Οὐρανίοιο γένος Φαίηκες ἔασιν.

Et quando jam ad-Planctas accessuri erant,
statim *illæ* sublatis candida ad genua limbis,
alte in ipsis scopulis et fluctus fractione
nitebantur huc illuc, distantes a-se invicem.
Illam vero (*navem*) sublimem pellebat fluctus, circumque
unda] vehemens sublata scopulis illisa-fremuit.
Aliæ nunc præcipitiis similes aerem attigerunt,
nunc mersæ imo sub fundo maris
subsidebant, ubi multum eminebat sævus fluctus.
Aliæ, ut arenosum prope littus
virgines, gemino cinctu usque-ad ilia constricto,
pila ludunt rotunda, *quam* hæ deinde
alia ab alia excipiunt et in aerem mittunt
alte sublatam, hæc nunquam attingit solum:
sic illæ navem currentem, alternatim aliunde alia,
mittebant sublimem super fluctus, semper procul-a
rupibus: undique autem ipsis eructans fervebat aqua.
Has vero etiam ipse deus in vertice scopuli summo
erectus, capulo mallei gravem humerum suffultus,
Vulcanus spectavit, et sidereo super
cælo stans Jovis conjux: sed Minervam
amplexa-est manibus; tantus eam metus cepit adspicientem.] Quantum vero verni producitur diei mensura,
tantum laborarunt ad tempus (*tamdiu*), impellentes
navem per rupes valde-sonantes: illi (*Argonautæ*) vento
iterum usi ulterius provecti-sunt: celeriterque prætererunt] Trinacriæ pratum, boves quod-alit Solis.
Ibi illæ profundum-mare similes mergis
subierunt, postquam uxoris Jovis peregerant mandata.
Ad-hos autem una et balatus per aerem delatus-est ovium,
et mugitus boum statim aures feriit.
Atque illas (*oves*) roscidis in pratis pascebat
minima-natu filiarum Solis Phaethusa,
argenteum pedum manu cubito-inclinatum-gestans.
Lampetia vero in vaccas ex-orichalco splendido *factum*
vibrabat sequens baculum. Has vero etiam ipsi
pascentes fluminis ad aquas conspexerunt
in campo et palustri prato: neque ulla erat
fusco inter eas (*vaccas*) corpore, omnes lacti
similes, aureis cornibus ornabantur.
Atque has quidem prætervecti-sunt interdiu; nocte vero
sequente] transierunt maris magnum æquor læti, usque
-dum iterum] Aurora matutina lucem misit navigantibus.
Est vero quædam fretum ante Ionium
undique-adeunda, opulenta, Ceraunio in mari insula,
sub qua sitam-esse falcem fama *fert*, (ignoscite Musæ
non lubens eloquor majorum fabulam), qua patris
genitalia crudeliter abscidit Saturnus; (alii eam Cereris
narrant terrestris messoriam esse falcem.
Ceres enim in illa aliquando habitaverat terra,
Titanasque docuit spicas frumenti demetere
Macridem amans). Drepane inde appellatur
nomine, Phæacum sacra nutrix: ita vero etiam ipsi
e-sanguine Urani genere Phæaces sunt.

Τοὺς Ἀργὼ πολέεσσιν ἐνισχομένη καμάτοισιν
Θρινακίης αὔρῃς ἵκετ' ἐξ ἁλός· οἱ δ' ἀγανῇσιν
Ἀλκίνοος λαοί τε θυηπολίῃσιν ἰόντας
δειδέχατ' ἀσπασίως· ἐπὶ δὲ σφίσι καγχαλάασκεν
πᾶσα πόλις· φαίης κεν ἑοῖς ἐπὶ παισὶ γάνυσθαι.
Καὶ δ' αὐτοὶ ἥρωες ἀνὰ πληθὺν κεχάροντο,
τῷ ἴκελοι, οἷόν τε μεσαιτάτῃ ἐμβεβαῶτες
Αἱμονίῃ· μέλλον δὲ βοῇ ἔνι θωρήξεσθαι·
ὧδε μάλ' ἀγχίμολον στρατὸς ἄσπετος ἐξεφαάνθη
Κόλχων, οἳ Πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας
Κυανέας μαστῆρες ἀριστήων ἐπέρησαν.
Μήδειαν δ' ἔξαιτον ἑοῦ ἐς πατρὸς ἄγεσθαι
ἵεντ' ἀπροφάτως, ἠὲ στονόεσσαν ἀϋτὴν
νωμήσειν χαλεπῇσιν ὁμόκλεον ἀτροπίῃσιν,
αὖθί τε καὶ μετέπειτα σὺν Αἰήταο κελεύθῳ.
Ἀλλὰ σφέας κατέρυκεν ἐπειγομένους πολέμοιο
χρειὼν Ἀλκίνοος. Λελίητο γὰρ ἀμφοτέροισιν
δηϊοτῆτος ἄνευθεν ὑπέρβια νείκεα λῦσαι.
Κούρη δ' οὐλομένῳ ὑπὸ δείματι πολλὰ μὲν αὐτοὺς
Αἰσονίδεω ἑτάρους μειλίσσετο, πολλὰ δὲ χερσὶν
Ἀρήτης γούνων ἀλόχου θίγεν Ἀλκινόοιο. [χοις
Γουνοῦμαι, βασίλεια· σὺ δ' ἵλαθι, μηδέ με Κόλ-
ἐκδῴης ᾧ πατρὶ κομιζέμεν, εἴ νυ καὶ αὐτὴ
ἀνθρώπων γενεῆς μία φέρβεαι, οἷσιν ἐς ἄτην
ὠκύτατος κούφῃσι θέει νόος ἀμπλακίῃσιν.
Ὡς ἐμοὶ ἐκ πυκιναὶ ἔπεσον φρένες, οὐ μὲν ἕκητι
μαργοσύνης. Ἴστω δ' ἱερὸν φάος Ἠελίοιο,
ἴστω νυκτιπόλου Περσηΐδος ὄργια κούρης,
μὴ μὲν ἐγὼν ἐθέλουσα σὺν ἀνδράσιν ἀλλοδαποῖσιν
κεῖθεν ἀφωρμήθην· στυγερὸν δέ με τάρβος ἔπεισεν
τῆς γε φυγῆς μνήσασθαι, ὅτ' ἤλιτον· οὐδέ τις ἄλλη
μῆτις ἔην. Ἔτι μοι μίτρη μένει, ὡς ἐνὶ πατρὸς
δώμασιν, ἄχραντος καὶ ἀκήρατος. Ἀλλ' ἐλέαιρε,
πότνα, τεόν τε πόσιν μειλίσσεο· σοὶ δ' ὀπάσειαν
ἀθάνατοι βίοτόν τε τελεσφόρον ἀγλαΐην τε
καὶ παῖδας καὶ κῦδος ἀπορθήτοιο πόληος.
Τοῖα μὲν Ἀρήτην γουνάζετο δακρυχέουσα·
τοῖα δ' ἀριστήων ἐπαμοιβαδὶς ἄνδρα ἕκαστον.
Ὑμέων, ὦ πέρι δὴ μέγα φέρτατοι, ἀμφί τ' ἀέθλοις
οὕνεκεν ὑμετέροισιν ἀτύζομαι, ἧς ἰότητι
ταύρους τ' ἐζεύξασθε, καὶ ἐκ θέρος οὐλοὸν ἀνδρῶν
κείρατε γηγενέων, ἧς εἵνεκεν Αἱμονίηνδε
χρύσεον αὐτίκα κῶας ἀνάξετε νοστήσαντες,
ἥδ' ἐγώ, ἣ πάτρην τε καὶ οὓς ὤλεσσα τοκῆας,
ἣ δόμον, ἣ σύμπασαν ἐϋφροσύνην βιότοιο,
ὔμμι δὲ καὶ πάτρην καὶ δώματα ναιέμεν αὖτις
ἤνυσα· καὶ γλυκεροῖσιν ἔτ' εἰσόψεσθε τοκῆας
ὄμμασιν· αὐτὰρ ἐμοὶ ἀπὸ δὴ βαρὺς εἵλετο δαίμων
ἀγλαΐας· στυγερὴ δὲ σὺν ὀθνείοις ἀλάλημαι·
δείσατε συνθεσίας τε καὶ ὅρκια, δείσατ' Ἐριννὺν
Ἱκεσίην νέμεσίν τε θεῶν, ἐς χεῖρας ἰοῦσαν
Αἰήτεω λώβῃ πολυπήμονι δῃωθῆναι.
Οὐ νηούς, οὐ πύργον ἐπίρροθον, οὐχ ἀλεωρὴν
ἄλλην, οἰόθι δὲ προτιβάλλομαι ὑμέας αὐτούς.

Ad-hos Argo multis vexata laboribus
Trinacrio ventis *adjuta* venit e mari : sed splendidis
Alcinous et populi sacris venientes
exceperunt amice : eorumque causa exsultabat
omnis civitas : diceres eos propter suos filios lætari.
Et ipsi quoque heroes in multitudine lætabantur,
similiter, ac si mediam ingressi essent
Hæmoniam : erant tamen ad prœlium se-armaturi ;
adeo proxime exercitus infinitus apparuit
Colchorum, qui Ponti per ostium et per rupes
Cyaneas investigatores heroum penetrarant.
Medeam vero exemtam ipsius in patris *domum* abducere
cupiebant aperte, aut luctuosam pugnam
se moturos-esse gravi minabantur malignitate,
et nunc et postea Æete persequente.
At ipsos prohibuit festinantes ad-pugnam
rex Alcinous. Malebat enim utrisque
sine prœlio violenta jurgia dirimere.
Puella autem sævo metu *agitata* multum ipsos
Jasonis socios precata-est, sæpe manibus
Aretes genua attigit uxoris Alcinoi.

Precor, regina, *inquit*, tu propitia-esto, neque me Colchis] dedas, meum ad-patrem abducendam, si modo et ipsa
hominum de-genere una vivis (*es*), quibus in calamitatem
celerrima levibus ruit mens erroribus.
Sic mihi prudens excidit mens, non quidem propter
libidinem. Testor sacrum lumen Solis,
testor noctivagæ Perseidis mysteria puellæ (*Hecatæ*) :
non ego lubens cum viris alienigenis
inde (*e patria*) profecta-sum; sed horribilis mihi timor suasit,] hujus fugæ ut-meminissem, quando peccaram: nec
quoddam aliud] consilium erat. Adhuc mihi zona manet, ut
in patris] ædibus, intacta et integra. At miserere,
veneranda, tuumque maritum emolli : tibi vero dent
immortales et vitam longissimam, et ornamenta,
et liberos, et gloriam invictæ urbis.

Ita Aretæ supplicavit lacrimas-effundens :
sic vero heroum vicissim viro unicuique :

Vestrum, o longe præstantissimi, et certaminum
caussa vestrorum conturbor, cujus opera
et tauros junxistis, et segetem sævam virorum
desecuistis terrigenarum, cujus gratia in-Hæmoniam
aureum mox vellus deportabitis reversi,
illa ego, quæ patriamque et meos perdidi parentes,
quæ domum, quæ omnem voluptatem vitæ,
vos autem et patriam et domos ut-incoleretis iterum
effeci : et lætis porro adspicietis parentes
oculis : at mihi sane durum eripuit fatum
ornamenta ; invisa cum peregrinis vagor.
Veremini pacta et sacramenta, metuite Erinnyn
supplicum-ultricem, et vindictam deorum, in manus reversa] Æetæ supplicio acerbissimo ne-pereum.
Non ad-templa, non ad-arcem, quæ-præsidio-sit, non ad
-auxilium] aliud, tantum confugio ad-vos ipsos.

Σχέτλιοι ἀτροπίης καὶ ἀνηλέες· οὐδ' ἐνὶ θυμῷ
αἰδεῖσθε ξείνης μ' ἐπὶ γούνατα χεῖρας ἀνάσσης
δερκόμενοι τείνουσαν ἀμήχανον· ἀλλά κε πᾶσιν
κῶας ἑλεῖν μεμαῶτας ἐμίξατε δούρατα Κόλχοις
αὐτῷ τ' Αἰήτῃ ὑπερήνορι· νῦν δὲ λάθεσθε
ἠνορέης, ὅτε μοῦνοι ἀποτμηγέντες ἔασιν.
Ὣς φάτο λισσομένη· τῶν δ' ὄντινα γουνάζοιτο,
ὅς μιν θαρσύνεσκεν ἐρητύων ἀχέουσαν.
Σεῖον δ' ἐγχείας εὐήκεας ἐν παλάμῃσιν
φάσγανά τ' ἐκ κολεῶν· οὐδὲ σχήσεσθαι ἀρωγῆς
ἔννεπον, εἴ κε δίκης ἀλιτήμονος ἀντιάσειεν.
Στρευγομένοις δ' ἀν' ὅμιλον ἐπήλυθεν εὐνήτειρα
Νὺξ ἔργων ἄνδρεσσι, κατευκήλησε δὲ πᾶσαν
γαῖαν ὁμῶς· τὴν δ' οὔτι μίνυνθά περ εὔνασεν ὕπνος.
Ἀλλά οἱ ἐν στέρνοις ἀχέων εἱλίσσετο θυμός.
Οἷον ὅτε κλωστῆρα γυνὴ ταλαεργὸς ἑλίσσει
ἐννυχίη· τῇ δ' ἀμφὶ κινύρεται ὀρφανὰ τέκνα
χηροσύνῃ πόσιος· σταλάει δ' ὕπο δάκρυ παρειὰς
μυρομένης, οἵη μιν ἐπισμυγερὴ λάβεν αἶσα·
ὣς τῆς ἰκμαίνοντο παρηΐδες· ἐν δέ οἱ ἦτορ
ὀξείῃς εἰλεῖτο πεπαρμένον ἀμφ' ὀδύνῃσιν.
Τὼ δ' ἔντοσθε δόμοιο κατὰ πτόλιν, ὡς τὸ πάροιθεν,
κρείων Ἀλκίνοος πολυπότνιά τ' Ἀλκινόοιο
Ἀρήτη ἄλοχος κούρης πέρι μητιάασκον
οἷσιν ἐνὶ λεχέεσσι διὰ κνέφας· οἷα δ' ἀκοίτην
κουρίδιον θαλεροῖσι δάμαρ προσπτύσσετο μύθοις.
Ναὶ φίλος, εἰ δ' ἄγε μοι πολυκηδέα ῥύεο Κόλχων
παρθενικὴν, Μινύαισι φέρων χάριν. Ἐγγύθι δ' Ἄργος
ἡμετέρης νήσοιο καὶ ἀνέρες Αἱμονιῆες·
Αἰήτης δ' οὔτ' ἂρ ναίει σχεδὸν, οὐδέ τι ἴδμεν
Αἰήτην, ἀλλ' οἶον ἀκούομεν· ἥδε δὲ κούρη
αἰνοπαθὴς κατά μοι νόον ἔκλασεν ἀντιόωσα.
Μή μιν, ἄναξ, Κόλχοισι πόροις ἐς πατρὸς ἄγεσθαι.
Ἀάσθη, ὅτε πρῶτα βοῶν θελκτήρια δῶκεν
φάρμακά οἱ· σχεδόθεν δὲ κακῷ κακὸν, οἷά τε πολλὰ
ῥέζομεν ἀμπλακίῃσιν, ἀκειομένη ὑπάλυξεν
πατρὸς ὑπερφιάλοιο βαρὺν χόλον. Αὐτὰρ Ἰήσων,
ὡς ἀΐω, μεγάλοισιν ἐνίσχεται ἐξ ἕθεν ὅρκοις,
κουριδίην θήσεσθαι ἐνὶ μεγάροισιν ἄκοιτιν.
Τῷ, φίλε, μήτ' οὖν αὐτὸν ἑκὼν ἐπίορκον ὀμόσσαι
θείης Αἰσονίδην, μήτ' ἄσχετα σεῖο ἕκητι
παῖδα πατὴρ θυμῷ κεκοτηότι δηλήσαιτο.
Λίην γὰρ δύσζηλοι ἑαῖς ἐπὶ παισὶ τοκῆες·
οἷα μὲν Ἀντιόπην εὐώπιδα μήσατο Νυκτεύς·
οἷα δὲ καὶ Δανάη πόντῳ ἔνι πήματ' ἀνέτλη
πατρὸς ἀτασθαλίῃσι· νέον γε μέν οὐδ' ἀποτηλοῦ
ὑβριστὴς Ἔχετος γλήναις ἔνι χάλκεα κέντρα
πῆξε θυγατρὸς ἑῆς· στονόεντι δὲ κάρφεται οἴτῳ
ὀρφναίῃ ἐνὶ χαλκὸν ἀλετρεύουσα καλιῇ.
Ὣς ἔφατ' ἀντομένη· τοῦ δὲ φρένες ἰαίνοντο
ἧς ἀλόχου μύθοισιν, ἔπος δ' ἐπὶ τοῖον ἔειπεν.
Ἀρήτη, καί κεν σὺν τεύχεσιν ἐξελάσαιμι
Κόλχους, ἡρώεσσι φέρων χάριν, εἵνεκα κούρης.
Ἀλλὰ Διὸς δείδοικα δίκην ἰθεῖαν ἀτίσσαι.

**Miseri ob-duritiem, et immisericordes, ne animo quidem
reveremini me peregrinæ ad-genua manus reginæ
intuiti tendentem, inopem-consilii: verum cum-omnibus,
vellus auferre cupientes, conseruissetis hastas Colchis
ipsoque Æeta superbo: nunc vero deficitis
a-fortitudine, cum soli separati (*a reliquis*) adsint.**

**Sic dixit orans: eorum autem quemcunque supplex
-orabat,] is eam bono-animo-esse-jussit, vetans lugere.
Vibrabantque hastas acutas manibus,
et enses e vaginis *extractos*; nec se-defuturos auxilio
affirmabant, si iudicium iniqnum subiret.
Morantibus autem in cœtu supervenit quæ-cessare-facit
Nox opera viris, et tranquillam-reddidit omnem
terram simul: illam vero ne tantillum quidem sopivit somnus.] Immo ei in pectore tristis agitabatur animus.
Quemadmodum fusum mulier laboriosa versat
noctu: circum eam autem lamentantur orbati *patre* liberi
desiderio mariti, destillantque lacrimæ in genas
deplorantis, quam tristis ipsam occupaverit sors:
sic illius rigabantur genæ: intusque ejus cor
acutis agitabatur transfixum doloribus.**

**Illi vere intra domum in urbe, ut antea,
rex Alcinous et maxime-veneranda Alcinoi
uxor Arete de puella consultabant
suis in lectis noctu: *eum*que, ut maritum
legitimum, mollibus uxor compellavit verbis:**

**Recte carissime; age vero mihi sollicitam libera a Colchis] virginem, Minyis gratificans. Propinqui enim Argos
nostræ insulæ et viri Hæmonii (*Thessali*):
Æetes autem neque habitat prope, nec novimus
Æeten, sed tantum *de eo* audivimus: illa vero puella
dira-perpessa mihi animum fregit supplicans.
Noli eam, rex, Colchis tradere in patris *ædes* abducendam.
Deliquit, quando primum tauros demulcentia dedit
medicamina illi: proxime autem malum malo, qualia multa
facimus peccando, sanans effugit
patris sævi gravem iram. At Jason,
ut audio, magno obstrictus-tenetur ab illa jurejurando,
legitimam *eam* ut-faciat domi uxorem.
Quare, carissime, noli sponte, ut-ipse falso juraverit
Jason, efficere, neque ut-crudelissime, te concedente,
filiam pater animo irato puniat.
Admodum enim acerbi suas in filias *sunt* patres:
qualia in-Antiopen formosam molitus-est Nycteus:
qualia etiam Danae in mari mala perpessa-est
patris vecordia: nuper quidem nec procul *hinc*
scelestus Echetus pupillis-oculorum ferreos stimulos
infixit filiæ suæ: miserabili consumitur calamitate
tenebricoso æs molens in carcere.**

**Sic dixit orans: illius vero mens emolliebatur
suæ conjugis dictis, verbaque talia respondit:**

**Arete, vel cum armis expellerem
Colchos, heroibus gratificaturus, propter puellam.
At Jovis vereor jura justa spernere.**

Οὐδὲ μὲν Αἰήτην ἀθεριζέμεν, ὡς ἀγορεύεις,
λώϊον· οὐ γάρ τις βασιλεύτερος Αἰήταο·
καί κ' ἐθέλων ἕκαθέν περ ἐφ' Ἑλλάδι νεῖκος ἄγοιτο.
Τῷ μ' ἐπέοικε δίκην, ἥτις μετὰ πᾶσιν ἀρίστη
ἔσσεται ἀνθρώποισι, δικαζέμεν· οὐδέ σε κεύσω.
Παρθενικὴν μὲν ἐοῦσαν, ἑῷ ἀπὸ πατρὶ κομίσσαι
ἰθύνω· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
οὔ μιν ἑοῦ πόσιος νοσφίσσομαι· οὐδὲ, γενέθλην
εἴ τιν' ὑπὸ σπλάγχνοισι φέρει, δηΐοισιν ὀπάσσω.
Ὣς ἄρ' ἔφη· καὶ τὸν μὲν ἐπισχεδὸν εὔνασεν ὕπνος.
Ἡ δ' ἔπος ἐν θυμῷ πυκινὸν βάλετ'· αὐτίκα δ' ὦρτο
ἐκ λεχέων ἀνὰ δῶμα. Συνήϊξαν δὲ γυναῖκες
ἀμφίπολοι δέσποιναν ἑὴν μέτα ποιπνύουσαι.
Σῖγα δ' ἑὸν κήρυκα καλεσσαμένη προσέειπεν,
ᾗσιν ἐπιφροσύνῃσιν ἐποτρυνέουσα μιγῆναι
Αἰσονίδην κούρῃ, μηδ' Ἀλκίνοον βασιλῆα
λίσσεσθαι· τὸ γὰρ αὐτὸς ἰὼν Κόλχοισι δικάσσει,
παρθενικὴν μὲν ἐοῦσαν ἑοῦ ποτὶ δώματα πατρὸς
ἐκδώσειν· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
οὐκέτι κουριδίης μιν ἀποτμήξειν φιλότητος.
Ὣς ἄρ' ἔφη· τὸν δ' αἶψα πόδες φέρον ἐκ μεγάροιο,
ὥς κεν Ἰήσονι μῦθον ἐναίσιμον ἀγγείλειεν
Ἀρήτης βουλάς τε θεουδέος Ἀλκινόοιο.
Τοὺς δ' εὗρεν παρὰ νηῒ σὺν ἔντεσιν ἐγρήσσοντας
Ὑλλικῷ ἐν λιμένι σχεδὸν ἄστεος· ἐκ δ' ἄρα πᾶσαν
πέφραδεν ἀγγελίην· γήθησε δὲ θυμὸς ἑκάστου
ἡρώων· μάλα γάρ σφιν ἑαδότα μῦθον ἔειπεν.
Αὐτίκα δὲ κρητῆρα κερασσάμενοι μακάρεσσιν,
ᾗ θέμις, εὐαγέως ἐπιβώμια μῆλ' ἐρύσαντες,
αὐτονυχὶ κούρῃ θαλαμήϊον ἔντυον εὐνὴν
ἄντρῳ ἐν ἠγαθέῳ, τόθι δή ποτε Μάκρις ἔναιεν,
κούρη Ἀρισταίοιο μελίφρονος, ὅς ῥα μελισσέων
ἔργα πολυκμήτοιό τ' ἀνεύρατο πῖαρ ἐλαίης.
Κείνη δὴ πάμπρωτα Διὸς Νυσήϊον υἷα
Εὐβοίης ἔντοσθεν Ἀβαντίδος ᾧ ἐνὶ κόλπῳ
δέξατο καὶ μέλιτι ξηρὸν περὶ χεῖλος ἔδευσεν,
εὖτέ μιν Ἑρμείας φέρεν ἐκ πυρός· ἔδρακε δ' Ἥρη,
καί ἑ χολωσαμένη πάσης ἐξήλασε νήσου.
Ἡ δ' ἄρα Φαιήκων ἱερῷ ἐνὶ τηλόθεν ἄντρῳ
νάσσατο, καὶ πόρεν ὄλβον ἀθέσφατον ἐνναέτῃσιν.
Ἔνθα τότ' ἐστόρεσαν λέκτρον μέγα· τοῖο δ' ὕπερθεν
χρύσεον αἰγλῆεν κῶας βάλον, ὄφρα πέλοιτο
τιμήεις τε γάμος καὶ ἀοίδιμος. Ἄνθεα δέ σφιν
Νύμφαι ἀμεργόμεναι λευκοῖς ἐνὶ ποικίλα κόλποις
ἐσφόρεον· πάσας δὲ πυρὸς ὣς ἄμφεπεν αἴγλη·
τοῖον ἀπὸ χρυσέων θυσάνων ἀμαρύσσετο φέγγος.
Δαῖε δ' ἐν ὀφθαλμοῖς γλυκερὸν πόθον· ἴσχε δ' ἑκάστην
αἰδὼς ἱεμένην περ ὅμως ἐπὶ χεῖρα βαλέσθαι.
Αἱ μέν τ' Αἰγαίου ποταμοῦ καλέοντο θύγατρες·
αἱ δ' ὄρεος κορυφὰς Μελιτηΐου ἀμφενέμοντο·
αἱ δ' ἔσαν ἐκ πεδίων ἀλσηΐδες. Ὦρσε γὰρ αὐτὴ
Ἥρη Ζηνὸς ἄκοιτις Ἰήσονα κυδαίνουσα.
Κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κληΐζεται ἄντρον
Μηδείης, ὅθι τούς γε σὺν ἀλλήλοισιν ἔμιξαν,

Nec Æeten contemnere, ut jubes,
conducit: neque enim quis potentior-rex *est* Æeta,
atque, si-vellet, quamquam procul *habitans*, Græciæ bellum inferret.] Quare me decet sententiam, quæ omnibus
optima] futura-sit hominibus, ferre; neque te celabo.
Virgo si-est, suo *eam* patri reduci
jubebo: tori vero cum marito si-particeps-fuit,
non eam suo marito privabo; nec, fœtum
si quem in utero gestat, hostibus concedam.
Sic igitur dixit, eumque statim sopivit somnus.
Illa vero dictum menti prudens immisit; statimque abiit
e lecto per ædes. Convolarunt autem (mulieres)
ancillæ, dominæ suæ studiose-ministrantes.
Tacite igitur suo præcone vocato, eum allocuta-est,
sua prudentia jussura rem-habere
Jasonem cum-puella, neque Alcinoum regem
precibus-adire: hanc enim, *inquit*, sponte sua Colchis
sententiam-feret] *se*, virgo si-sit, ad ædes patris *eam*
abducendam-traditurum-esse, tori vero cum marito si-particeps-fuerit,] non-amplius a-conjugali eam divulsurum
amore.] Sic dixit: illum statim pedes ferebant ex palatio,
ut Jasoni mandatum faustum nuntiaret
Aretes, et consilia pii Alcinoi.
Illos invenit ad navem cum armis excubantes
Hyllico in portu, prope urbem: omnia igitur
exposuit mandata: lætatus-autem est animus cujusque
heroum: valde enim iis gratum sermonem dixit.
Statim igitur poculo mixto in-honorem-deorum,
ut fas *est*, rite in-aram pecudibus tractis,
ipsa-hac-nocte puellæ genitalem straverunt torum
antro in sacro, ubi quondam Macris habitaverat,
filia Aristæi mellarii, qui quidem apum
opus (*mel*) multumque-subactæ invenit pinguedinem olivæ
(*oleum*).] Illa quidem primum Jovis Nyseïum filium (Dionysum)] intra Eubœam Abantidem suo sinu
exceperat, et melle siccum labrum rigaverat,
quando eum Mercurius eripuerat igni: viderat autem Juno,
eamque irata ex-tota ejecerat insula.
Illa igitur Phæacum in sacro antro procul
habitavit, ac præbuit opes immensas incolis.
Ibi tum straverunt torum magnum; eique superne
aureum splendidum vellus injecerunt, ut essent
honoratæ nuptiæ et celebres. Flores autem ipsis
Nymphæ decerptos candido varios sinu
attulerunt: cunctas autem, velut ignis, circumdabat splendor:] tantum ab aureis villis refulsit jubar.
Accendit vero in oculis dulce desiderium: sed cohibuit
quamque] pudor, etsi cupientem manus injicere.
Aliæ Ægæi fluvii appellabantur filiæ:
aliæ montis vertices Melitei incolebant:
aliæ erant e campis nemorum-cultrices. Excitaverat enim
ipsa] Juno, Jovis conjux, Jasonem honoratura.
Illud etiamnum sacrum appellatur antrum
Medeæ, ubi illos invicem conjugio-copularunt

τεινάμεναι ἑανοὺς εὐώδεας. Οἱ δ' ἐνὶ χερσὶν
δούρατα νωμήσαντες ἀρήϊα, μὴ πρὶν ἐς ἀλκὴν
δυσμενέων ἀίδηλος ἐπιβρίσειεν ὅμιλος,
κράατα δ' εὐφύλλοις ἐστεμμένοι ἀκρεμόνεσσιν,
ἐμμελέως Ὀρφῆος ὕπαι λίγα φορμίζοντος
νυμφιδίαις ὑμέναιον ἐπὶ προμολῇσιν ἄειδον.
Οὐ μὲν ἐν Ἀλκινόοιο γάμον μενέαινε τελέσσαι
ἥρως Αἰσονίδης, μεγάροις δ' ἐνὶ πατρὸς ἑοῖο
νοστήσας ἐς Ἰωλκὸν ὑπότροπος· ὣς δὲ καὶ αὐτὴ
Μήδεια φρονέεσκε· τότ' αὖ χρεὼ ἦγε μιγῆναι.
Ἀλλὰ γὰρ οὔ ποτε φῦλα δυηπαθέων ἀνθρώπων
τερπωλῆς ἐπέβημεν ὅλῳ ποδί· σὺν δέ τις αἰεὶ
πικρὴ παρμέμβλωκεν ἐϋφροσύνῃσιν ἀνίη.
Τῷ καὶ τοὺς γλυκερῇ περ ἰαινομένους φιλότητι
δεῖμ' ἔχεν, εἰ τελέοιτο διάκρισις Ἀλκινόοιο.
Ἠὼς δ' ἀμβροσίοισιν ἀνερχομένη φαέεσσιν
λῦε κελαινὴν νύκτα δι' ἠέρος· αἱ δ' ἐγέλασσαν
ἠϊόνες νήσοιο καὶ ἑρσήεσσαι ἄπωθεν
ἀτραπιτοὶ πεδίων· ἐν δὲ θρόος ἔσχεν ἀγυιαῖς·
κίνυντ' ἐνναέται μὲν ἀνὰ πτόλιν, οἱ δ' ἀποτηλοῦ
Κόλχοι Μακριδίης ἐπὶ πείρασι χερνήσοιο.
Αὐτίκα δ' Ἀλκίνοος μετεβήσατο συνθεσίῃσιν
ὃν νόον ἐξερέων κούρης ὕπερ· ἐν δ' ὅγε χειρὶ
σκῆπτρον ἔχεν χρυσοῖο δικασπόλον, ᾧ ὕπο λαοὶ
ἰθείας ἀνὰ ἄστυ διεκρίνοντο θέμιστας.
Τῷ δὲ καὶ ἑξείης πολεμήϊα τεύχεα δύντες
Φαιήκων οἱ ἄριστοι ὁμιλαδὸν ἐστιχόωντο.
Ἥρωας δὲ γυναῖκες ἀολλέες ἔκτοθι πύργων
βαῖνον ἐποψόμεναι· σὺν δ' ἀνέρες ἀγροιῶται
ἤντεον εἰσαΐοντες, ἐπεὶ νημερτέα βάξιν
Ἥρη ἐπιπροέηκεν. Ἄγεν δ' ὁ μὲν ἔκκριτον ἄλλων
ἀρνειὸν μήλων, ὁ δ' ἀεργηλὴν ἔτι πόρτιν·
ἄλλοι δ' ἀμφιφορῆας ἐπισχεδὸν ἵστασαν οἴνου
κίρνασθαι· θυέων δ' ἀποτηλόθι κήκιε λιγνύς.
Αἱ δὲ πολυκμήτους ἑανοὺς φέρον, οἷα γυναῖκες,
μείλιά τε χρυσοῖο καὶ ἀλλοίην ἐπὶ τοῖσιν
ἀγλαΐην, οἵην τε νεόζυγες ἐντύνονται·
θάμβευν δ' εἰσορόωσαι ἀριπρεπέων ἡρώων
εἴδεα καὶ μορφάς, ἐν δὲ σφίσιν Οἰάγροιο
υἱὸν ὑπαὶ φόρμιγγος ἐϋκρέκτου καὶ ἀοιδῆς
ταρφέα σιγαλόεντι πέδον κροτέοντα πεδίλῳ.
Νύμφαι δ' ἄμμιγα πᾶσαι, ὅτε μνήσαιτο γάμοιο,
ἱμερόενθ' ὑμέναιον ἀνήπυον· ἄλλοτε δ' αὖτε
οἰόθεν οἶαι ἄειδον ἑλισσόμεναι περὶ κύκλον,
Ἥρη, σεῖο ἕκητι· σὺ γὰρ καὶ ἐπὶ φρεσὶ θῆκας
Ἀρήτῃ, πυκινὸν φάσθαι ἔπος Ἀλκινόοιο.
Αὐτὰρ ὅγ' ὡς ταπρῶτα δίκης ἀνὰ πείρατ' ἔειπεν
ἰθείης, ἤδη δὲ γάμου τέλος ἐκλήϊστο,
ἔμπεδον ὧς ἀλέγυνε διαμπερές· οὐδέ ἑ τάρβος
οὐλοὸν οὐδὲ βαρεῖαι ἐπήλυθον Αἰήταο
μήνιες, ἀρρήκτοισι δ' ἐνιζεύξας ἔχεν ὅρκοις.
Τῷ καὶ ὅτ' ἠλεμάτως Κόλχοι μάθον ἀντιόωντες,
καί σφεας ἠὲ θέμιστας ἑὰς εἴρυσθαι ἄνωγεν,
ἢ λιμένων γαίης τ' ἀποτηλόθι νῆας ἐέργειν,

extensis peplis odoratis. Illi (*heroes*) autem manibus
hastas vibrantes bellicas, ne prius ad prœlium
hostium improvisus irrueret exercitus,
capitaque frondosis redimiti ramis,
numerose, Orpheo argute cithara-canente,
nuptiales hymenæum ad aditus cecinerunt.
Non quidem in Alcinoi *terra* nuptias voluerat celebrare
heros Æsonides, sed in ædibus patris sui,
reversus Jolcum redux : similiter etiam ipsa
Medea sensit : tum vero necessitas *eos* jussit concumbere.
Enimvero nunquam *nos*, genus miserorum hominum,
ad-gaudium accedimus toto pede : simul quædam semper
acerba intervenit voluptatibus sollicitudo.
Quare etiam illos dulci quamvis delinitos amore
metus tenuit, an ratum-esset-futurum judicium Alcinoi.
Aurora vero divino exoriens lumine
discussit atram noctem per aerem : ipsaque riserunt
littora insulæ et roscidæ longe
semitæ camporum; strepitus existebat in vicis;
movebantur incolæ per urbem, et procul
Colchi Macridiæ in finibus insulæ.
Statim vero Alcinous prodiit ex-promisso,
suam sententiam dicturus de puella : manu ille
sceptrum tenuit ex-auro *factum* judiciale, sub quo populi
justis per urbem dirimebantur sententiis.
Post-eum etiam deinceps bellica arma induti
Phæacum præstantissimi turmatim incesserunt.
Heroas autem mulieres frequentes extra mœnia
iverunt visuræ : una vero (viri) agricolæ
advenerunt, qui-audiverant; nam certum rumorem
Juno præmiserat. Adduxit autem hic selectum ex-aliis
agnum pecudibus, ille ab-opere-immunem adhuc vitulam :
alii amphoras juxta statuerunt vini
ad-miscendum : sacrificiorum autem procul surgebat fumus.] Illæ vero multo-labore-factos peplos attulerunt, ut-pote mulieres] et munera aurea, et varium præterea
ornatum, quo recens-nuptæ instruuntur :
stupuerunt autem intuitæ illustrium heroum
vultus et habitum, in ipsis autem Œagri
filium ad citharam bene-sonantem et cantum
frequenter splendido solum pulsantem calceo.
Nymphæ autem simul cunctæ, quando mentionem-faciebat
nuptiarum,] amabilem hymenæum cecinerunt : interdum
vero etiam] solæ singulæ cecinerunt saltantes in orbem,
Juno, tua gratia. Tu enim menti inspiraveras
Aretæ, prudentem ut-indicaret sententiam Alcinoi.
At ille ut primum sententiæ finem edixerat
rectæ, jam vero nuptiæ peractæ innotuerant,
constanter ita tuebatur semper : neque eum metus
sævus, nec graves moverunt Æetæ
iræ, sed inviolabilibus constrictam tenuit ***sententiam sacramentis***.] Quare etiam cum temere Colchi intelligerent
se-adversari,] et ipsos aut jura sua observare juberet,
aut a portu terraque procul naves prohibere,

δὴ τότε μιν βασιλῆος ἑοῦ τρομέοντας ἐνιπὰς
δέχθαι μειλίξαντο συνήμονας· αὖθι δὲ νήσῳ
δὴν μάλα Φαιήκεσσι μετ' ἀνδράσι ναιετάασκον,
εἰσόκε Βακχιάδαι, γενεὴν Ἐφύρηθεν ἐόντες,
ἀνέρες ἐννάσσαντο μετὰ χρόνον· οἱ δὲ περαίην
νῆσον ἔβαν· κεῖθεν δὲ Κεραύνια μέλλον Ἀβάντων
οὔρεα Νεσταίους τε καὶ Ὤρικον εἰσαφικέσθαι·
ἀλλὰ τὰ μὲν στείχοντος ἄδην αἰῶνος ἐτύχθη.
Μοιράων δ' ἔτι κεῖσε θύη ἐπέτεια δέχονται
καὶ Νυμφέων Νομίοιο καθ' ἱερὸν Ἀπόλλωνος
βωμοὶ, τοὺς Μήδεια καθίσσατο. Πολλὰ δ' ἰοῦσιν
Ἀλκίνοος Μινύαις ξεινήϊα, πολλὰ δ' ὄπασσεν
Ἀρήτη· μετὰ δ' αὖτε δυώδεκα δῶκεν ἕπεσθαι
Μηδείῃ δμωὰς Φαιηκίδας ἐκ μεγάροιο. [ρος
Ἤματι δ' ἑβδομάτῳ Δρεπάνην λίπον· ἤλυθε δ' οὖ-
ἀκραὴς ἠῶθεν ὑπὲκ Διός· οἱ δ' ἀνέμοιο
πνοιῇ ἐπειγόμενοι προτέρω θέον. Ἀλλὰ γὰρ οὔπω
αἴσιμον ἦν ἐπιβῆναι Ἀχαιΐδος ἡρώεσσιν,
ὄφρ' ἔτι καὶ Λιβύης ἐπὶ πείρασιν ὀτλήσειαν.
Ἤδη μέν ποτε κόλπον ἐπώνυμον Ἀμβρακιήων,
ἤδη Κουρῆτιν ἔλιπον χθόνα πεπταμένοισιν
λαίφεσι, καὶ στεινὰς αὐταῖς σὺν Ἐχινάσι νήσους
ἑξείης, Πέλοπος δὲ νέον κατεφαίνετο γαῖα·
καὶ τότ' ἀναρπάγδην ὀλοὴ Βορέαο θύελλα
μεσσηγὺς πέλαγόσδε Λιβυστικὸν ἐννέα πάσας
νύκτας ὁμῶς καὶ τόσσα φέρ' ἤματα, μέχρις ἵκοντο
προπρὸ μάλ' ἔνδοθι Σύρτιν, ὅθ' οὐκέτι νόστος ὀπίσσω
νηυσὶ πέλει, ὅτε τόν γε βιῴατο κόλπον ἱκέσθαι.
Πάντῃ γὰρ τέναγος, πάντῃ μνιόεντα βυθοῖο
τάρφεα· κωφὴ δέ σφιν ἐπιβλύει ὕδατος ἄχνη·
ἠερίη δ' ἄμαθος παρακέκλιται· οὐδέ τι κεῖσε
ἑρπετὸν οὐδὲ ποτητὸν ἀείρεται. Ἔνθ' ἄρα τούς γε
πλημμυρὶς (καὶ γάρ τ' ἀναχάζεται ἠπείροιο
ἦ θαμὰ δὴ τόδε χεῦμα, καὶ ἂψ ἐπερεύγεται ἀκτὰς
λάβρον ἐποιχόμενον) μυχάτῃ ἐνέωσε τάχιστα
ἠϊόνι, τρόπιος δὲ μάλ' ὕδασι παῦρον ἔλειπτο.
Οἱ δ' ἀπὸ νηὸς ὄρουσαν, ἄχος δ' ἕλεν εἰσορόωντας
ἠέρα καὶ μεγάλης νῶτα χθονὸς, ἠέρι ἶσα,
τηλοῦ ὑπερτείνοντα διηνεκές· οὐδέ τιν' ἀρδμὸν,
οὐ πάτον, οὐχ ἀπάνευθε καταυγάσσαντο βοτήρων
αὔλιον, εὐκήλῳ δὲ κατείχετο πάντα γαλήνῃ.
Ἄλλος δ' αὖτ' ἄλλον τετιημένος ἐξερέεινεν.
Τίς χθὼν εὔχεται ἥδε; πόθι ξυνέωσαν ἄελλαι
ἡμέας; Αἴθ' ἔτλημεν, ἀφειδέες οὐλομένοιο
δείματος, αὐτὰ κέλευθα διαμπερὲς ὁρμηθῆναι
πετράων. Ἦτ' ἂν καὶ ὑπὲρ Διὸς αἶσαν ἰοῦσιν
βέλτερον ἦν μέγα δή τι μενοινώωντας ὀλέσθαι.
Νῦν δὲ τί κεν ῥέξαιμεν, ἐρυκόμενοι ἀνέμοισιν
αὖθι μένειν τυτθόν περ ἐπὶ χρόνον, οἷον ἐρήμη
πέζα διωλυγίης ἀναπέπταται ἠπείροιο;
Ὣς ἄρ' ἔφη· μετὰ δ' αὐτὸς ἀμηχανίῃ κακότητος
ἰθυντὴρ Ἀγκαῖος ἀκηχεμένοις ἀγόρευσεν·
Ὠλόμεθ' αἰνότατον δῆθεν μόρον, οὐδ' ὑπάλυξις
ἔστ' ἄτης· πάρα δ' ἄμμι τὰ κύντατα πημανθῆναι

tum jam eum, regis sui verentes minas,
ut-se-exciperet socios, orarunt : ibique in-insula
diu admodum inter Phæacas (viros)·habitarunt,
donec Bacchiadæ, genere Ephyra oriundi,
viri eo-habitatum-venerunt, interjecto tempore : illi in-oppositam] insulam transierunt, indeque ad-Ceraunios erant
Abantum] montes, et Nestæos, et Oricum venturi.
At hæc, progresso multum tempore, evenerunt.
Parcarum tamen etiamnum ibi victimas annuas recipiunt
et Nympharum Nomii in templo Apollinis
aræ, quas Medea erexit. Multa autem abeuntibus
Alcinous Minyis dona-hospitalia, multa dedit
Arete : postea item duodecim dedit comitaturas
Medeam ancillas Phæacias ex palatio *suo*.
At die septimo Drepanen reliquerunt, exortusque-est ventus] lenis mane de Jove : illi venti
flatu propulsi ulterius navigarunt. Verum enim nondum
in-fatis erat, ut ingrederentur Achajam heroes,
donec etiam Libyæ in finibus ærumnas-pertulissent.

Jam quidem dudum sinum, cognominatum ab-Ambraciotis,] jam Curetum reliquerant terram passis
velis, et angustas ipsis cum Echinadibus insulas
deinceps, Pelopis autem modo conspiciebatur terra :
atque tum cum-impetu sæva Boreæ procella
medium per-mare Libycum novem integras
noctes una totidemque egit dies, usque-dum venerunt
ulterius magis intra Syrtin, ubi non-amplius reditus postea
navibus contingit, quando illum coactæ-sunt sinum intrare.] Undique enim lacus, undique algosa profundi
loca-densa (*algis*) : surda iis inhæret aquæ spuma :
immensa autem arena adjecta-est : nec ulla illic
bestia, nec avis surgit. Ibi igitur hos
æstus (etenim retrocedit a-terra
frequenter ille fluxus, et iterum eructatur in-littora
cum-impetu irruens) in imum compulit celerrime
littus, carinæque admodum exigua-pars in-aquis relinquebatur.] Illi de navi desilierunt, dolorque occupavit intuentes
aerem et vastæ dorsum terræ, aeri simile
longe se-extendens continuo; nec aliquam aquationem,
non callem, non seorsum conspiciebant pastorum
caulam, sed tranquillo tenebantur omnia silentio.
Alius vero alium male-affectus interrogavit :

Quænam terra vocatur hæc? quo compulerunt procellæ
nos? Utinam ausi-essemus, abjecto noxio
metu, per ipsas vias medias transire
petrarum! Certe etiam contra Jovis fatum proficiscentibus
satius erat magnum quid conatos perire.
Nunc vero quid faciamus, prohibiti a-ventis
hic manere vel brevissimum tempus, quum-adeo deserta
ora late-patentis extendatur terræ?

Sic dixit : tum vero ipse ob-gravitatem rerum-adversarum] gubernator Ancæus ad-mœrentes locutus-est :

Perimus tristissimo sane fato, neque effugium
est interitus; instant nobis durissima *mala* perferenda

τῇδ' ὑπ' ἐρημαίῃ πεπτηότας, εἴ κεν ἀῆται
χερσόθεν ἀμπνεύσειαν· ἐπεὶ τεναγώδεα λεύσσω
τῆλε περισκοπέων ἅλα πάντοθεν· ἤλιθα δ' ὕδωρ
ξαινόμενον πολιῇσιν ἐπιτροχάει ψαμάθοισιν.
Καί κεν ἐπισμυγερῶς διὰ δὴ πάλαι ἥδε κεάσθη
νηῦς ἱερὴ χέρσου πολλὸν πρόσω· ἀλλά μιν αὐτὴ
πλημμυρὶς ἐκ πόντοιο μεταχθονίην ἐκόμισσεν.
Νῦν δ' ἡ μὲν πελαγόσδε μετέσσυται, οἰόθι δ' ἅλμη
ἄπλοος εἱλεῖται γαίης ὕπερ ὅσσον ἔχουσα.
Τοὔνεκ' ἐγὼ πᾶσαν μὲν ἀπ' ἐλπίδα φημὶ κεκόφθαι
ναυτιλίης νόστου τε. Δαημοσύνην δέ τις ἄλλος
φαίνοιεν· πάρα γάρ οἱ ἐπ' οἰήκεσσι θαάσσειν
μαιομένῳ κομιδῆς. Ἀλλ' οὐ μάλα νόστιμον ἦμαρ
Ζεὺς ἐθέλει καμάτοισιν ἐφ' ἡμετέροισι τελέσσαι.
Ὣς φάτο δακρυόεις· σὺν ἔννεπον ἀσχαλόωντι,
ὅσσοι ἔσαν νηῶν δεδαημένοι· ἐν δ' ἄρα πᾶσιν
παχνώθη κραδίη, χύτο δὲ χλόος ἀμφὶ παρειάς.
Οἷον δ' ἀψύχοισιν ἐοικότες εἰδώλοισιν
ἀνέρες εἱλίσσονται ἀνὰ πτόλιν, ἢ πολέμοιο
ἢ λοιμοῖο τέλος ποτιδέγμενοι, ἠέ τιν' ὄμβρον
ἄσπετον, ὅστε βοῶν κατὰ μυρία ἔκλυσεν ἔργα,
ἢ ὅταν αὐτόματα ξόανα ῥέῃ ἱδρώοντα
αἵματι, καὶ μυκαὶ σηκοῖς ἔνι φαντάζωνται,
ἠὲ καὶ ἠέλιος μέσῳ ἤματι νύκτ' ἐπάγῃσιν
οὐρανόθεν, τὰ δὲ λαμπρὰ δι' ἠέρος ἄστρα φαείνῃ·
ὣς τότ' ἀριστῆες δολιχοῦ προπάρ αἰγιαλοῖο
ἤλυον ἑρπύζοντες. Ἐπήλυθε δ' αὐτίκ' ἐρεμνὴ
ἕσπερος· οἱ δ' ἐλεεινὰ χεροῖν σφέας ἀμφιβαλόντες
δακρυόειν ἀγάπαζον, ἵν' ἄνδιχα δῆθεν ἕκαστος
θυμὸν ἀποφθίσειαν ἐνὶ ψαμάθοισι πεσόντες.
Βὰν δ' ἴμεν ἄλλυδις ἄλλος ἑκαστέρω αὖλιν ἑλέσθαι·
ἐν δὲ κάρη πέπλοισι καλυψάμενοι σφετέροισιν
ἄκμηνοι καὶ ἄπαστοι ἐκείατο νύκτ' ἐπὶ πᾶσαν
καὶ φάος, οἰκτίστῳ θανάτῳ ἔπι. Νόσφι δὲ κοῦραι
ἀθρόαι Αἰήταο παρεστενάχοντο θυγατρί.
Ὡς δ' ὅτ' ἐρημαῖοι πεπτηότες ἔκτοθι πέτρης
χηραμοῦ ἀπτῆνες λιγέα κλάζουσι νεοσσοί·
ἢ ὅτε καλὰ νάοντος ἐπ' ὀφρύσι Πακτωλοῖο
κύκνοι κινήσουσιν ἑὸν μέλος, ἀμφὶ δὲ λειμὼν
ἑρσήεις βρέμεται ποταμοῖό τε καλὰ ῥέεθρα·
ὣς αἱ ἐπὶ ξανθὰς θέμεναι κονίῃσιν ἐθείρας
παννύχιαι ἐλεεινὸν ἰήλεμον ὠδύροντο.
Καί νύ κεν αὐτοῦ πάντες ἀπὸ ζωῆς ἐλίασθεν
νώνυμνοι καὶ ἄφαντοι ἐπιχθονίοισι δαῆναι
ἡρώων οἱ ἄριστοι ἀνηνύστῳ ἐπ' ἀέθλῳ·
ἀλλά σφεας ἐλέηραν ἀμηχανίῃ μινύθοντας
ἡρῷσσαι, Λιβύης τιμήοροι, αἵ ποτ' Ἀθήνην,
ἦμος ὅτ' ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα,
ἀντόμεναι Τρίτωνος ἐφ' ὕδασι χυτλώσαντο.
Ἔνδιον ἦμαρ ἔην, περὶ δ' ὀξύταται θέρον αὐγαὶ
ἠελίου Λιβύην· αἱ δὲ σχεδὸν Αἰσονίδαο
ἔσταν, ἕλον δ' ἀπὸ χερσὶ καρήατος ἠρέμα πέπλον.
Αὐτὰρ ὅγ' εἰς ἑτέρωσε παλιντροπὲς ὄμματ' ἔνεικεν,
δαίμονας αἰδεσθείς· αὐτὸν δέ μιν ἀμφαδὸν οἶον

hanc in desertam-regionem dejectis, si modo venti
e-terra spirent; nam limosum video,
longe circumspiciens, mare undique; multum vero aqua
repercussa canis illiditur arenis.
Atque misere jam dudum hæc diffracta-fuisset
navis sacra, a-terra admodum procul; nisi eam ipse
æstus ex mari ad-terram appulisset.
Nunc autem ille in-pelagus retro-vertitur, tantumque sa-
lum] non-navigandum circumvolvitur, supra terram vix
excedens.] Quare ego omnem spem ajo præcisam esse
navigationis reditusque: peritiam alius quis
ostendat: licet enim ei ad gubernacula sedere,
si-desiderat profectionem. At non facile reditus diem
Jupiter vult laboribus nostris addere.
Sic dixit lacrimabundus: assenserunt autem mœrenti,
quotquot erant navium periti: omnibus igitur
diriguit cor, pallorque circumfusus-est genis.
Sicut vero inanibus similes spectris
viri versantur in urbe, sive belli
sive pestis eventum exspectantes, sive aliquem imbrem
immensum, qui boum infinita inundando-destruit opera
(*segetes*),] aut cum sponte-sua simulacra madeant sudantia
sanguine, et mugitus in-templis audiri-videantur,
aut etiam sol medio die noctem induxerit
cœlitus, splendidaque per aerem astra luceant:
sic tum heroes longum juxta littus
mœrebant repentes. Supervenit autem statim tenebricosa
vespera: illi miserabiliter manibus se amplexi
flebiliter *sibi* valedixerunt, ut seorsum scilicet quisque
vitam perderent in arenas prolapsi.
Ibant autem alius alio ulterius, cubile ut-sibi-caperent:
et capite palliis involuto suis
jejuni impransique jacebant noctem totam
diemque, ad tristissimam mortem. Separatim vero puellæ
confertæ circum Æetæ gemebant filiam.
Ut vero deserti lapsi ex petræ
caverna involucres argute pipiunt pulli:
aut pulcre fluentis ad crepidinem Pactoli
cygni emittunt suum cantum, undique vero pratum
roscidum fremit (*resonat*), et fluvii pulcra fluenta:
sic illæ (*puellæ*) flavis immissis pulveri comis
per-totam-noctem flebilem ejulatum edebant.
Atque ibi omnes vita privati-essent
inglorii obscurique hominibus cognitu (*ignoti*)
heroum præstantissimi non-peracto labore:
at ipsorum misertæ-sunt rebus-adversis deficientium
heroinæ, Libyæ præsides, quæ quondam Minervam,
quum ex patris capite prosiliret splendens (*armis*),
obviam-factæ Tritonis ad aquas se-laverunt.
Medius dies erat, et undique vehementissimi torrebant
radii solis Libyam: tum illæ prope Jasonem
steterunt, et detraxerunt manibus de capite leniter peplum.
At ille in aliam-partem retro oculos avertit
deas reveritus: ipsum vero cum palam solum

μειλιχίοις ἐπέεσσιν ἀτυζόμενον προσέειπον.
Κάμμορε, τίπτ' ἐπὶ τόσσον ἀμηχανίῃ βεβόλησαι;
ἴδμεν ἐποιχομένους χρύσεον δέρας· ἴδμεν ἕκαστα
ὑμετέρων καμάτων, ὅσ' ἐπὶ χθονός, ὅσσα τ' ἐφ' ὑγρὴν
πλαζόμενοι κατὰ πόντον ὑπέρβια ἔργα κάμεσθε.
Οἰοπόλοι δ' εἰμὲν χθόνιαι θεαὶ αὐδήεσσαι,
ἡρῶσσαι, Λιβύης τιμήοροι ἠδὲ θύγατρες.
Ἀλλ' ἄνα· μηδ' ἔτι τοῖον ὀϊζύων ἀκάχησο·
ἄνστησον δ' ἑτάρους. Εὖτ' ἂν δέ τοι Ἀμφιτρίτη
ἅρμα Ποσειδάωνος εὔτροχον αὐτίκα λύσῃ,
δή ῥα τότε σφετέρῃ ἀπὸ μητέρι τίνετ' ἀμοιβὴν,
ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ὔμμε φέρουσα·
καί κεν ἔτ' ἠγαθέην ἐς Ἀχαιΐδα νοστήσαιτε. [γε
Ὣς ἄρ' ἔφαν, καὶ ἄφαντοι ἵν' ἕσταθεν ἔνθ' ἄρα ταί
φθογγῇ ὁμοῦ ἐγένοντο παρασχεδόν. Αὐτὰρ Ἰήσων
παπτήνας ἀν' ἄρ' ἕζετ' ἐπὶ χθονὸς, ὧδέ τ' ἔειπεν.
Ἵλατ' ἐρημονόμοι κυδναὶ θεαί· ἀμφὶ δὲ νόστῳ
οὔτι μάλ' ἀντικρὺς νοέω φάτιν. Ἦ μὲν ἑταίρους
εἰς ἓν ἀγειράμενος μυθήσομαι, εἴ νύ τι τέκμωρ
δήοιμεν κομιδῆς· πολέων δέ τε μῆτις ἀρείων.
Ἦ καὶ ἀναΐξας ἑτάρους ἐπὶ μακρὸν ἄϋτει,
αὐσταλέος κονίῃσι, λέων ὥς, ὅς ῥά τ' ἀν' ὕλην
σύννομον ἣν μεθέπων ὠρύεται· αἱ δὲ βαρείῃ
φθογγῇ ὑποτρομέουσιν ἀν' οὔρεα τηλόθι βῆσσαι·
δείματι δ' ἄγραυλοί τε βόες μέγα πεφρίκασιν,
βουπελάται τε βοῶν· τοῖς δ' οὔ νύ τι γῆρυς ἐτύχθη
ῥιγεδανὴ ἑτάροιο φίλους ἐπικεκλομένοιο.
Ἀγχοῦ δ' ἠγερέθοντο κατηφέες· αὐτὰρ ὅ τους γε
ἀχνυμένους ὅρμοιο πέλας μίγα θηλυτέρῃσιν
ἱδρύσας, μυθεῖτο πιφαυσκόμενος τὰ ἕκαστα.
Κλῦτε, φίλοι· τρεῖς γάρ μοι ἀνιάζοντι θεάων,
στέρφεσιν αἰγείοις ἐζωσμέναι ἐξ ὑπάτοιο
αὐχένος ἀμφί τε νῶτα καὶ ἰξύας, ἠΰτε κοῦραι,
ἔσταν ὑπὲρ κεφαλῆς μάλ' ἐπισχεδόν· ἂν δ' ἐκάλυψαν
πέπλον ἐρυσσάμεναι κούφῃ χερὶ, καί μ' ἐκέλοντο
αὐτόν τ' ἔγρεσθαι ἀνά θ' ὑμέας ὄρσαι ἰόντα·
μητέρι δὲ σφετέρῃ μενοεικέα τῖσαι ἀμοιβὴν,
ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ἄμμε φέρουσα,
ὁππότε κεν λύσῃσιν εὔτροχον Ἀμφιτρίτη
ἅρμα Ποσειδάωνος. Ἐγὼ δ' οὐ πάγχυ νοῆσαι
τῆσδε θεοπροπίης ἴσχω πέρι. Φάν γε μὲν εἶναι
ἡρῶσσαι, Λιβύης τιμήοροι ἠδὲ θύγατρες, [γρὴν
καὶ δ' ὁπόσ' αὐτοὶ πρόσθεν ἐπὶ χθονὸς ἠδ' ὅσ' ἐφ' ὑ-
έτλημεν, τὰ ἕκαστα διΐδμεναι εὐχετόωντο.
Οὐδ' ἔτι τάσδ' ἀνὰ χῶρον ἐσέδρακον, ἀλλά τις ἀχλὺς
ἠὲ νέφος μεσσηγὺ φαεινομένας ἐκάλυψεν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐθάμβεον εἰσαΐοντες.
Ἔνθα τὸ μήκιστον τεράων Μινύαισιν ἐτύχθη.
Ἐξ ἁλὸς ἠπειρόνδε πελώριος ἔκθορεν ἵππος,
ἀμφιλαφὴς, χρυσέῃσι μετήορος αὐχένα χαίταις·
ῥίμφα δὲ σεισάμενος γυίων ἄπο νήχυτον ἅλμην
ὦρτο θέειν, πνοιῇ ἴκελος πόδας. Αἶψα δὲ Πηλεὺς
γηθήσας ἑτάροισιν ὁμηγερέεσσι μετηύδα.
Ἅρματα μὲν δὴ φημὶ Ποσειδάωνος ἔγωγε

blandis verbis mœrentem allocutæ-sunt :
Infelix, quare usque adeo calamitate perculsus-es?
Scimus, vos-petiisse aureum vellus : scimus omnes
vestros labores, quæ terra quæque mari
errantes in ponto ingentia facta patrastis.
Deserta-autem incolentes sumus indigenæ deæ vocales,
heroinæ, Libyæ tutelares atque filiæ.
At surge! neve amplius ita ærumnis-affectus luge;
excita socios! Quando vero tibi Amphitrite
currum Neptuni celerem statim solverit,
tum jam vestræ matri persolvite vices
eorum-quæ perpessa-est, diu utero vos gestans :
atque porro divinam in Achajam redibitis.
Sic igitur dixerunt, et conspectui-subtractæ, ubi stete-
rant, ibi illæ] cum-voce simul erant statim. At Jason
circumspiciens consedit in terra, et ita locutus-est :
Propitiæ-estote, deserta-incolentes, venerandæ deæ : de
reditu] nondum admodum clare intelligo oraculum. Præ-
fecto sociis] in unum coactis narrabo, si forte aliquod si-
gnum] inveniamus reditus : multorum enim consilium
præstat.] Dixit, et exsiliens socios magno *clamore* vocavit,
sordidus pulvere, ut leo, qui quidem per silvam
sociam suam sectans rugit : gravi autem
voce contremiscunt in montibus procul saltus,
et metu cum in-agris-pascentes boves valde horrent,
tum bubulci : illis (*Argonautis*) tamen nequaquam vox
erat] horribilis socii amicos inclamantis.
Prope autem convenerunt vultu-demisso : at ille hos
tristes juxta stationem permistos cum-mulieribus
sedere-jussos allocutus-est, exponens omnia :
Audite, amici! tres mihi mœrenti deæ
pellibus caprinis cinctæ ex summa
cervice circum terga et lumbos, tanquam puellæ,
adstiterunt supra caput proxime : retexeruntque
peplum detractum levi manu, et me jusserunt
et ipsum surgere, et vos excitare aggressum,
atque matri vestræ gratas persolvere vices
eorum,-quæ perpessa-est diu utero nos gestans,
quando solverit celerem Amphitrite
currum Neptuni. Ego autem non omnino intelligere
hoc oraculum valeo. Dixerunt quidem se esse
heroïnas, Libyæ præsides atque filias,
et quæ ipsi antehac in terra quæque mari
sustinuimus, omnia se-scire gloriabantur.
Neque amplius has eo loco vidi, sed quædam caligo
aut nubes in-medio conspectas cooperuit.
Sic dixit : illi igitur omnes stupuerunt audientes.
Tum maximum portentum Minyis oblatum-est.
E mari in-terram ingens exsiluit equus,
utrimque-comatus, aureis elatam-gerens cervicem jubis :
celeriter vero excussa de membris affusa aqua-marina
cœpit currere, vento similis pedes. Statimque Peleus
gavisus ad-socios congregatos dixit :
Currum quidem ajo Neptuni ego

ἤδη νῦν ἀλόχοιο φίλης ὑπὸ χερσὶ λελύσθαι·
μητέρα δ' οὐκ ἄλλην προτιόσσομαι ἤέ περ αὐτὴν
νῆα πέλειν· ἦ γὰρ κατὰ νηδύος ἄμμε φέρουσα
νωλεμὲς ἀργαλέοισιν ὀϊζύει καμάτοισιν.
Ἀλλά μιν ἀστεμφεῖ τε βίῃ καὶ ἀτειρέσιν ὤμοις
ὑψόθεν ἀνθέμενοι ψαμαθώδεος ἔνδοθι γαίης
οἴσομεν, ᾗ προτέρωσε ταχὺς πόδας ἤλασεν ἵππος.
Οὐ γὰρ ὅ γε ξηρὴν ὑποδύσεται· ἴχνια δ' ἡμῖν
σημανέειν τιν' ἔολπα μυχὸν καθύπερθε θαλάσσης.
Ὣς ηὔδα· πάντεσσι δ' ἐπήβολος ἥνδανε μῆτις.
Μουσάων ὅδε μῦθος· ἐγὼ δ' ὑπακουὸς ἀείδω
Πιερίδων, καὶ τήνδε πανατρεκὲς ἔκλυον ὀμφὴν,
ὑμέας, ὦ πέρι δὴ μέγα φέρτατοι υἷες ἀνάκτων,
ᾗ βίῃ, ᾗ ἀρετῇ Λιβύης ἀνὰ θῖνας ἐρήμους
νῆα μεταχρονίην, ὅσα τ' ἔνδοθι νηὸς ἄγεσθε,
ἀνθεμένους ὤμοισι φέρειν δυοκαίδεκα πάντα
ἦμαθ' ὁμοῦ νύκτας τε. Δύην γε μὲν ἢ καὶ ὀϊζὺν
τίς κ' ἐνέποι, τὴν κεῖνοι ἀνέπλησαν μογέοντες;
Ἔμπεδον ἀθανάτων ἔσαν αἵματος, οἷον ὑπέσταν
ἔργον ἀναγκαίῃ βεβιημένοι. Αὐτὰρ ἐπιπρὸ
τῆλε μάλ' ἀσπασίως Τριτωνίδος ὕδασι λίμνης
ὡς φέρον, ὡς εἰσβάντες ἀπὸ στιβαρῶν θέσαν ὤμων.
Λυσσαλέοις δ' ἤπειτ' ἴκελοι κυσὶν ἀΐσσοντες
πίδακα μαστεύεσκον· ἐπὶ ξηρὴ γὰρ ἔκειτο
δίψα δυηπαθίῃ τε καὶ ἄλγεσιν, οὐδὲ μάτησαν
πλαζόμενοι· ἷξον δ' ἱερὸν πέδον, ᾧ ἔνι Λάδων
εἰσέτι που χθιζὸν παγχρύσεα ῥύετο μῆλα
χώρῳ ἐν Ἄτλαντος, χθόνιος ὄφις· ἀμφὶ δὲ Νύμφαι
Ἑσπερίδες ποίπνυον, ἐφίμερον ἀείδουσαι.
Δὴ τότε δ' ἤδη κεῖνος ὑφ' Ἡρακλῆϊ δαϊχθεὶς
μήλειον βέβλητο ποτὶ στύπος· οἰόθι δ' ἄκρη
οὐρῇ ἔτι σκαίρεσκεν· ἀπὸ κρατὸς δὲ κελαινὴν
ἄχρις ἐπ' ἄκνηστιν κεῖτ' ἄπνοος· ἐκ δὲ λιπόντων
ὕδρης Λερναίης χόλον αἵματι πικρὸν ὀϊστῶν,
μυῖαι πυθομένοισιν ἐφ' ἕλκεσι τερσαίνοντο.
Ἀγχοῦ δ' Ἑσπερίδες κεφαλαῖς ἔπι χεῖρας ἔχουσαι
ἀργυφέας ξανθῇσι λίγ' ἔστενον· οἱ δὲ πέλασσαν
ἄφνω ὁμοῦ· ταὶ δ' αἶψα κόνις καὶ γαῖα κιόντων
ἐσσυμένως ἐγένοντο καταυτόθι. Νώσατο δ' Ὀρφεὺς
θεῖα τέρα, τὰς δέ σφι παρηγορέεσκε λιτῇσιν.
Δαίμονες ὦ καλαὶ καὶ εὔφρονες, ἵλατ' ἄνασσαι,
εἴτ' οὖν οὐρανίαις ἐναρίθμιοί ἐστε θεῇσιν,
εἴτε καταχθονίαις, εἴτ' οἰοπόλοι καλέεσθε
Νύμφαι· ἴτ' ὦ Νύμφαι, ἱερὸν γένος Ὠκεανοῖο,
δείξατ' ἐελδομένοισιν ἐνωπαδὶς ἄμμι φανεῖσαι
ἤ τινα πετραίην χύσιν ὕδατος, ἤ τινα γαίης
ἱερὸν ἐκβλύοντα, θεαὶ, ῥόον, ᾧ ἀπὸ δίψαν
αἰθομένην ἄμοτον λωφήσομεν. Εἰ δέ κεν αὖτις
δή ποτ' Ἀχαιίδα γαῖαν ἱκώμεθα ναυτιλίῃσιν,
δὴ τότε μυρία δῶρα μετὰ πρώτῃσι θεάων
λοιβάς τ' εἰλαπίνας τε παρέξομεν εὐμενέοντες.
Ὣς φάτο λισσόμενος ἀδινῇ ὀπί· ταὶ δ' ἐλέαιρον
ἐγγύθεν ἀχνυμένους· καὶ δὴ χθονὸς ἐξανέτειλαν
ποίην πάμπρωτον· ποίης γε μὲν ὑψόθι μακροὶ

jam nunc uxoris caræ manibus solutum-esse:
matrem vero non aliam auguror, quam ipsam
navem esse : profecto enim ventre nos gestans
continuo difficilibus premitur laboribus.
Itaque eam immota vi et indomitis humeris
superimpositam, arenosam intra terram
portabimus, qua ulterius celeripes progressus-est equus.
Neque enim ille terram subibit; immo vestigia *ejus* nobis
significatura aliquem spero sinum imminentem mari.
Sic locutus-est : omnibus vero congrua placuit sententia.
Musarum hæc *est* fabula : ego minister cano
Pieridum, atque hanc certissime audivi famam,
vos, longe præstantissimi filii regum
vestro robore, vestra virtute Libyæ per colles desertos
navem sublimem, et quæcunque navi vexistis,
imposita humeris, portasse duodecim integris
diebus simul noctibusque. Ærumnam quidem aut etiam
miseriam] quis effari-possit, quam illi exantlarunt laborantes?] Certo deorum erant ex-sanguine, quantum sustinerunt] opus, necessitate impulsi. Verum ulterius
procul admodum lubenter Tritonidis ad-aquas paludis
simulac deportarant, statim ingressi de validis deposuerunt humeris.] Rabidis deinde similes canibus incitati
fontem quærebant : arida enim accessit
sitis ad-ærumnam atque dolores, neque operam-perdiderunt] errantes; sed venerunt ad-sacrum solum, in quo
Ladon] adhuc pridie aurea custodierat mala
in agro Atlantis, terribilis serpens; circa vero Nymphæ
Hesperides occupatæ-fuerant suaviter canentes.
Tum vero jam hodie ab Hercule interfectus
mali jacebat ad truncum, tantumque summa
cauda adhuc palpitabat : a capite autem atram
usque ad spinam jacebat exanimis : quum-vero reliquissent
hydræ Lernææ virus amarum in-sanguine sagittæ,
muscæ putrescentibus in vulneribus exarescebant.
Prope autem Hesperides capitibus manus imponentes
candidas flavis acute gemebant : illi accesserunt
repente una : hæ statim pulvis et terra, venientibus *illis*
celeriter, factæ-sunt ibi. Agnovit vero Orpheus
divina portenta, easque pro-illis (*heroibus*) allocutus-est
precibus :] O deæ pulcræ benevolæque, propitiæ-estote
reginæ,] sive cœlestibus adnumeratæ estis deabus,
sive terrestribus, sive deserta-incolentes appellamini
Nymphæ : agite Nymphæ, sacra progenies Oceani,
ostendite desiderantibus coram nobis conspectæ
aut aliquam e-saxo-promanantem scatebram aquæ, aut
aliquem e-terra] sacrum ebullientem, deæ, fontem, quo
sitim] ardentem omnino restinguamus. Si vero iterum
aliquando in-Achaicam terram venerimus navigando,
tum innumera dona *vobis* in primis dearum
libationesque et epulas præbebimus grati.
Sic dixit supplicans flebili voce : illæ misertæ-sunt
prope dolentium : atqui e terra produxerunt
plantam primum : ex-planta vero in-altum longi

βλάστεον ὄρπηκες· μετὰ δ' ἔρνεα τηλεθάοντα
πολλὸν ὑπὲρ γαίης ὀρθοσταδὸν ἠέξοντο.
Ἑσπέρη αἴγειρος πτελέη δ' Ἐρυθηὶς ἔγεντο,
Αἴγλη δ' ἰτείης ἱερὸν στύπος. Ἐς δέ νυ κείνων
δενδρέων, οἷαι ἔσαν, τοῖαι πάλιν ἔμπεδον αὔτως
ἐξέφανεν, θάμβος περιώσιον· ἔκφατο δ' Αἴγλη
μειλιχίοις ἐπέεσσιν ἀμειβομένη χατέοντας.

Ἦ ἄρα δὴ μέγα πάμπαν ἐφ' ὑμετέροισιν ὄνειαρ
δεῦρ' ἔμολεν καμάτοισιν ὁ κύντατος, ὅστις ἀπούρας
φρουρὸν ὄφιν ζωῆς, παγχρύσεα μῆλα θεάων
οἴχετ' ἀειράμενος· στυγερὸν δ' ἄχος ἄμμι λέλειπται.
Ἤλυθε γὰρ χθιζός τις ἀνὴρ ὀλοώτατος ὕβριν
καὶ δέμας· ὄσσε δέ οἱ βλοσυρῷ ὑπέλαμπε μετώπῳ·
νηλής· ἀμφὶ δὲ δέρμα πελωρίου ἕστο λέοντος
ὠμὸν, ἀδέψητον· στιβαρὸν δ' ἔχεν ὄζον ἐλαίης
τόξα τε, τοῖσι πέλωρ τόδ' ἀπέφθισεν ἰοβολήσας.
Ἤλυθε δ' οὖν κἀκεῖνος, ἅτε χθόνα πεζὸς ὁδεύων,
δίψῃ καρχαλέος· παίφασσε δὲ τόνδ' ἀνὰ χῶρον
ὕδωρ ἐξερέων, τὸ μὲν οὔ ποθι μέλλεν ἰδέσθαι.
Ἧδε δέ τις πέτρη Τριτωνίδος ἐγγύθι λίμνης,
τὴν ὅγ' ἐπιφρασθεὶς ἢ καὶ θεοῦ ἐννεσίῃσιν
λὰξ ποδὶ τύψεν ἔνερθε· τὸ δ' ἀθρόον ἔβλυσεν ὕδωρ.
Αὐτὰρ ὅγ' ἄμφω χεῖρε πέδῳ καὶ στέρνον ἐρείσας
ῥωγάδος ἐκ πέτρης πίεν ἄσπετον, ὄφρα βαθεῖαν
νηδὺν, φορβάδι ἶσος ἐπιπροπεσὼν, ἐκορέσθη. [γλη

Ὣς φάτο· τοὶ δ' ἀσπαστὸν ἵνα σφίσι πέφραδεν Αἴ-
πίδακα, τῇ θέον αἶψα κεχαρμένοι, ὄφρ' ἐπέκυρσαν.
Ὡς δ' ὁπότε στεινὴν περὶ χηραμὸν εἱλίσσονται
γειομόροι μύρμηκες ὁμιλαδὸν, ἢ ὅτε μυῖαι
ἀμφ' ὀλίγην μέλιτος γλυκεροῦ λίβα πεπτηυῖαι
ἄπλητον μεμάασιν ἐπήτριμοι· ὣς τότ' ἀολλεῖς
πετραίῃ Μινύαι περὶ πίδακι δινεύεσκον.
Καί που τὶς διεροῖς ἐπὶ χείλεσιν εἶπεν ἰανθείς.

Ὢ πόποι, ἦ καὶ νόσφιν ἐὼν ἐσάωσεν ἑταίρους
Ἡρακλέης δίψῃ κεκμηότας. Ἀλλά μιν εἴ πως
δήοιμεν στείχοντα δι' ἠπείροιο κιόντες.

Ἦ, καὶ ἀμειβομένων οἵτ' ἄρμενοι ἐς τόδε ἔργον,
ἔκριθεν ἄλλυδις ἄλλος ἐπαΐξας ἐρεείνειν.
Ἴχνια γὰρ νυχίοισιν ἐπηλίνδητ' ἀνέμοισιν
κινυμένης ἀμάθου. Βορέαο μὲν ὡρμήθησαν
υἷε δύω πτερύγεσσι πεποιθότε· ποσσὶ δὲ κούφοις
Εὔφημος πίσυνος, Λυγκεύς γε μὲν ὀξέα τηλοῦ [θος.
ὄσσε βαλεῖν· πέμπτος δὲ μετὰ σφίσιν ἔσσυτο Κάν-
Τὸν μὲν ἄρ' αἶσα θεῶν κείνην ὁδὸν ἠνορέη τε
ὦρσεν, ἵν' Ἡρακλῆος ἀπηλεγέως πεπύθοιτο,
Εἰλατίδην Πολύφημον ὅπῃ λίπε· μέμβλετο γάρ οἱ
οὗ ἕθεν ἀμφ' ἑτάροιο μεταλλῆσαι τὰ ἕκαστα.
Ἀλλ' ὁ μὲν οὖν Μυσοῖσιν ἐπικλεὲς ἄστυ πολίσσας
νόστου κηδοσύνῃσιν ἔβη διζήμενος Ἀργὼ
τῆλε δι' ἠπείροιο· τέως δ' ἐξίκετο γαῖαν
ἀγχιάλων Χαλύβων, τόθι μιν καὶ Μοῖρ' ἐδάμασσεν.
Καί οἱ ὑπὸ βλωθρὴν ἀχερωΐδα σῆμα τέτυκται
τυτθὸν ἁλὸς προπάροιθεν. Ἀτὰρ τότε γ' Ἡρακλῆα
μοῦνον ἀπειρεσίης τηλοῦ χθονὸς εἴσατο Λυγκεὺς

progerminarunt surculi : tum rami virentes
multum super tera erecti crescebant.
Hespere populus, ulmusque Erytheis facta-est,
Ægle autem salicis sacer truncus. Ex illis vero
arboribus, quales erant, tales iterum omnino sic
apparuerunt, miraculum ingens : locuta-autem est Ægle
blandis verbis respondens desiderantibus :

Profecto magno omnino vestris adjumento
huc venit laboribus audacissimus ille, quisquis privato
custode serpente vita, aurea mala dearum
abiit auferens; invisus vero dolor nobis relictus-est.
Venit enim heri vir quidam sævissimus vi
et corpore, (oculi ei sub torva splendebant fronte),
immitis : circumdatus pelle ingentis erat leonis
cruda, nondum-subacta: validum autem gestabat ramum
oleæ] et sagittas, quibus monstrum hoc confecit jaculatus.
Venit igitur et ille, utpote per-terram pedes iter-faciens,
siti aridus : investigabatque hunc per locum
aquam quærens ; quam tamen nusquam erat visurus.
Hæc vero *est* quædam rupes, Tritonidem prope paludem,
quam ipse cognoscens, aut etiam dei monitu,
calce pedis feriit imam; et copiosa ebulliit aqua.
At ille utraque manu terræ et pectore adnixus
rupta ex petra bibit largissime, donec amplum
ventrem, juvencæ similis procumbens, explesset.

Sic dixit : illi, optatum ubi ipsis ostenderat Ægle
fontem, eo cucurrerunt statim læti, donec attingerent.
Ut vero quando angustam circa cavernam versantur
laboriosæ formicæ catervatim, aut quando muscæ
circum exiguam mellis dulcis guttam volantes
vehementissime appetunt confertæ : ita tum frequentes
Minyæ rupis circa fontem versabantur.
Et forte aliquis humidis labris dixit exhilaratus :

Papæ, profecto etiam sejunctus servavit socios
Hercules, siti fatigatos. At eum utinam
inveniamus incedentem per terram euntes!

Dixit, et excipientibus *illis*, qui quidem apti ad hoc negotium *erant*,] discesserunt alio alius profectus ad-investigandum.] Vestigia enim nocturnis deleta-erant ventis
commota arena. Boreæ quidem abierunt
filii duo, alis confisi : pedibus autem velocibus
Euphemus fretus, Lynceus acutis procul
oculis mittendis : quintus cum iis abiit Canthus.
Hunc quidem fatum deorum ad-illam viam et fortitudo
impulit, ut ab Hercule clare cognosceret,
Elati-filium Polyphemum ubi reliquerit : nam curæ-erat ei,
suo de socio exquirere omnia.
At ille quidem, Mysis celebri urbe condita,
reditus cura *impulsus* abierat quæsiturus Argo
procul per terram : intereaque venerat in-terram
maritimorum Chalybum, ubi ipsum etiam Fatum perdomuit.] Illique sub procera populo sepulcrum factum-est
paullulum ante mare. At tum Herculem
solus immensa procul terra videbatur Lynceus

τῶς ἰδέειν, ὥς τίς τε νέῳ ἐνὶ ἤματι μήνην
ἢ ἴδεν, ἢ ἐδόκησεν ἐπαχλύουσαν ἰδέσθαι.
Ἐς δ' ἑτάρους ἀνιὼν μυθήσατο, μή μιν ἔτ' ἄλλον
μαστῆρα στείχοντα κιχησέμεν· οἱ δὲ καὶ αὐτοὶ
ἤλυθον Εὔφημός τε πόδας ταχὺς υἷέ τε δοιὼ
Θρηϊκίου Βορέω, μεταμώνια μοχθήσαντες.
Κάνθε, σὲ δ' οὐλόμεναι Λιβύῃ ἔνι Κῆρες ἕλοντο.
Πώεσι φερβομένοισι συνήντεες· εἵπετο δ' ἀνὴρ
αὐλείτης, ὅ σ' ἑῶν μήλων πέρι, τόφρ' ἑτάροισιν
δευομένοις κομίσειας, ἀλεξόμενος κατέπεφνεν
λᾶϊ βαλών· ἐπεὶ οὐ μὲν ἀφαυρότερός γε τέτυκτο
υἱωνὸς Φοίβοιο Λυκωρείοιο Κάφαυρος
κούρης τ' αἰδοίης Ἀκακαλλίδος, ἥν ποτε Μίνως
ἐς Λιβύην ἀπένασσε θεοῦ βαρὺ κῦμα φέρουσαν,
θυγατέρα σφετέρην· ἡ δ' ἀγλαὸν υἱέα Φοίβῳ
τίκτεν, ὃν Ἀμφίθεμιν Γαράμαντά τε κικλήσκουσιν.
Ἀμφίθεμις δ' ἄρ' ἔπειτα μίγη Τριτωνίδι Νύμφῃ·
ἡ δ' ἄρα οἱ Νασάμωνα τέκεν κρατερόν τε Κάφαυρον,
ὃς τότε Κάνθον ἔπεφνεν ἐπὶ ῥήνεσσιν ἑοῖσιν.
Οὐδ' ὅγ' ἀριστήων χαλεπὰς ἠλεύατο χεῖρας,
ὡς μάθον οἷον ἔρεξε. Νέκυν δ' ἀνάειραν ὀπίσσω
πευθόμενοι Μινύαι, γαίῃ δ' ἔνι ταρχύσαντο
μυρόμενοι· τὰ δὲ μῆλα μετὰ σφέας οἵ γ' ἐκόμισσαν.
Ἔνθα καὶ Ἀμπυκίδην αὐτῷ ἐνὶ ἤματι Μόψον
νηλειὴς ἕλε πότμος· ἀδευκέα δ' οὐ φύγεν αἶσαν
μαντοσύναις· οὐ γάρ τις ἀποτροπίη θανάτοιο.
Κεῖτο δ' ἐπὶ ψαμάθοισι μεσημβρινὸν ἦμαρ ἀλύσκων
δεινὸς ὄφις, νωθὴς μὲν ἑκὼν ἀέκοντα χαλέψαι·
οὐδ' ἂν ὑποτρέσσαντος ἐνωπαδὶς ἀΐξειεν.
Ἀλλὰ μὲν ᾧ ταπρῶτα μελάγχιμον ἰὸν ἐνείη
ζωόντων, ὅσα γαῖα φερέσβιος ἔμπνοα βόσκει,
οὐδ' ὁπόσον πήχυιον ἐς Ἄϊδα γίγνεται οἶμος,
οὐδ' εἰ Παιήων, εἴ μοι θέμις ἀμφαδὸν εἰπεῖν,
φαρμάσσοι, ὅτε μοῦνον ἐνιχρίμψῃσιν ὀδοῦσιν.
Εὖτε γὰρ ἰσόθεος Λιβύην ὑπερέπτατο Περσεὺς
Εὐρυμέδων (καὶ γὰρ τὸ κάλεσκέ μιν οὔνομα μήτηρ)
Γοργόνος ἀρτίτομον κεφαλὴν βασιλῆϊ κομίζων,
ὅσσαι κυανέου στάγες αἵματος οὖδας ἵκοντο,
αἱ πᾶσαι κείνων ὀφίων γένος ἐβλάστησαν.
Τῷ δ' ἄκρην ἐπ' ἄκανθαν ἐνεστηρίξατο Μόψος
λαιὸν ἐπιπροφέρων ταρσὸν ποδός· αὐτὰρ ὁ μέσσην
κερκίδα καὶ μυῶνα, πέριξ ὀδύνῃσιν ἑλιχθείς,
σάρκα δακὼν ἐχάραξεν. Ἀτὰρ Μήδεια καὶ ἄλλαι
ἔτρεσαν ἀμφίπολοι· ὁ δὲ φοίνιον ἕλκος ἄφασσεν
θαρσαλέως, ἕνεκ' οὔ μιν ὑπέρβιον ἕλκος ἔτειρεν·
σχέτλιος· ἦ τέ οἱ ἤδη ὑπὸ χροῒ δύετο κῶμα
λυσιμελές, πολλὴ δὲ κατ' ὀφθαλμῶν χέετ' ἀχλύς.
Αὐτίκα δὲ κλίνας δαπέδῳ βεβαρηότα γυῖα
ψύχετ' ἀμηχανίῃ· ἕταροι δέ μιν ἀμφαγέροντο
ἥρως τ' Αἰσονίδης, ἀδινῇ περιθαμβέες ἄτῃ.
Οὐδὲ μὲν οὐδ' ἐπὶ τυτθὸν ἀποφθίμενός περ ἔμελλεν
κεῖσθαι ὑπ' ἠελίῳ. Πύθεσκε γὰρ ἔνδοθι σάρκας
ἰὸς ἄφαρ, μυδόωσα δ' ἀπὸ χροὸς ἔρρεε λάχνη.
Αἶψα δὲ χαλκείῃσι βαθὺν τάφον ἐξελάχαινον

ita conspicere, ut quis novo die (*novilunio*) lunam
aut vidit, aut putat *se* obnubilatam vidisse.
Ad socios igitur reversus dixit, non eum jam alium
quærentem eundo asseculturum-esse : illi vero et ipsi
redierunt, Euphemus pedibus velox, filiique gemini
Thracii Boreæ, frustra labore-suscepto.

Canthe, te vero exitiosæ in Libya Parcæ corripuerunt.
In-greges pascentes incidisti : insequebatur *eos* (vir)
villicus, qui te, suas pecudes, dum ad-socios
indigentes portares, defendens interfecit,
lapide percussum : neque enim imbecillior erat
nepos Phœbi Lycorei Caphaurus
et puellæ venerandæ Acacallidis, quam olim Minos
in Libyam transtulerat, dei gravem fœtum gestantem,
filiam suam; illa vero clarum filium Phœbo
peperit, quem Amphithemin et Garamantem appellant.
Amphithemis autem postea rem-habuit cum-Tritonide
Nympha;] hæc ei Nasamonem peperit et validum Caphaurum,] qui tum Canthum interemit propter oves suas.
Neque ille heroum graves effugit manus,
ut cognoverunt, quæ fecisset. Cadaver autem sustulerunt
deinceps] quæsitum Minyæ, et in terra sepeliverunt
lugentes : sed pecudes ad se illi abegerunt.

Ibi etiam Ampyci-filium eodem die Mopsum
crudele rapuit fatum; acerbamque non effugit mortem
vaticinandi-arte; neque enim ullum effugium *est* mortis.
Jacebat enim in arena meridiem devitans
horrendus serpens, tardus ad-lædendum sponte-sua nolentem :] neque in fugientem palam impetum-fecisset.
At cuicunque primum atrum virus immiserit
animalium, quæ terra frugifera viventia nutrit,
ei ne cubitalis quidem (*brevissima*) ad Orcum est via,
ne si Pæan quidem, (si mihi fas *est* aperte dicere)
medicamina-præbuerit, quando tantum attigerit dentibus.
Cum enim divinus Libyam supervolaret Perseus
Eurymedon (nam hoc appellarat eum nomine mater)
Gorgonis modo-amputatum caput regi allaturus,
quotquot atri guttæ cruoris in-terram delapsæ-sunt,
eæ omnes istorum serpentum genus produxerunt.
Ei vero summam in spinam impressit Mopsus
lævam promovens plantam pedis; at ille medium
os-tibiæ et suram, præ-dolore circumvolutus,
carnem mordens, incidit. At Medea et reliquæ
trepidarunt ancillæ : ille cruentum vulnus contrectavit
animose, quoniam non eum magnopere vulnus dolebat,
miser : jam enim ejus corpus subiit sopor
solvens-membra, multaque oculis affusa-est caligo;
Statimque reclinans in-solo gravata membra
diriguit (*exspiravit*) malo-inevitabili socii: autem circa
eum congregabantur,] herosque Jason, gravi obstupefacti
clade.] Neque vel tantillum mortuus poterat
jacere sub sole. Nam putrescere-fecit intus carnes
venenum statim, et putres de cute defluxerunt pili.
Statim igitur æreis profundum sepulcrum effoderunt

ἐσσυμένως μακέλῃσιν· ἐμοιρήσαντο δὲ χαίτας
αὐτοὶ ὁμῶς κοῦραί τε, νέκυν ἐλεεινὰ παθόντα
μυρόμενοι· τρὶς δ' ἀμφὶ σὺν ἔντεσι δινηθέντες
εὖ κτερέων ἴσχοντα, χυτὴν ἐπὶ γαῖαν ἔθεντο.
Ἀλλ' ὅτε δή ῥ' ἐπὶ νηὸς ἔβαν πρήσοντος ἀήτεω
ἂμ πέλαγος νοτίοιο, πόρους τ' ἀπετεκμήραντο
λίμνης ἐκπρομολεῖν Τριτωνίδος, οὔ τινα μῆτιν
δὴν ἔχον, ἀφραδέως δὲ πανημέριοι φορέοντο.
Ὡς δὲ δράκων σκολιὴν εἱλιγμένος ἔρχεται οἶμον,
εὖτέ μιν ὀξύτατον θάλπει σέλας ἠελίοιο·
ῥοίζῳ δ' ἔνθα καὶ ἔνθα κάρη στρέφει, ἐν δέ οἱ ὄσσε
σπινθαρύγεσσι πυρὸς ἐναλίγκια μαιμώωντι
λάμπεται, ὄφρα μυχόνδε διὰ ῥωχμοῖο δύηται·
ὣς Ἀργὼ λίμνης στόμα ναύπορον ἐξερέουσα
ἀμφεπόλει δηναιὸν ἐπὶ χρόνον. Αὐτίκα δ' Ὀρφεὺς
κέκλετ' Ἀπόλλωνος τρίποδα μέγαν ἔκτοθι νηὸς
δαίμοσιν ἐγγενέταις νόστῳ ἔπι μείλια θέσθαι.
Καὶ τοὶ μὲν Φοίβου κτέρας ἵδρυον ἐν χθονὶ βάντες·
τοῖσιν δ' αἰζηῷ ἐναλίγκιος ἀντεβόλησεν
Τρίτων εὐρυβίης, γαίης δ' ἀνὰ βῶλον ἀείρας
ξείνι' ἀριστήεσσι προΐσχετο φώνησέν τε.
Δέχθε, φίλοι· ἐπεὶ οὐ περιώσιον ἐγγυαλίξαι
ἐνθάδε νῦν παρ' ἐμοὶ ξεινήϊον ἀντομένοισιν.
Εἰ δέ τι τῆσδε πόρους μαίεσθ' ἁλός, οἷά τε πολλὰ
ἄνθρωποι χατέουσιν ἐπ' ἀλλοδαπῇ περόωντες,
ἐξερέω. Δὴ γάρ με πατὴρ ἐπιίστορα πόντου
θῆκε Ποσειδάων τοῦδ' ἔμμεναι. Αὐτὰρ ἀνάσσω
παραλίης, εἰ δή τιν' ἀκούετε νόσφιν ἐόντες
Εὐρύπυλον Λιβύῃ θηροτρόφῳ ἐγγεγαῶτα.
Ὣς ηὔδα· πρόφρων δ' ὑπερέσχεθε βώλακι χεῖρας
Εὔφημος, καὶ τοῖα παραβλήδην προσέειπεν.
Ἀπίδα καὶ πέλαγος Μινώϊον εἴ νύ που, Ἥρως,
ἐξεδάης, νημερτὲς ἀνειρομένοισιν ἔνισπε.
Δεῦρο γὰρ οὐκ ἐθέλοντες ἱκάνομεν, ἀλλὰ βαρείαις
χρίμψαντες γαίης ἐπὶ πείρασι τῆσδε θυέλλαις
νῆα μεταχρονίην ἐκομίσσαμεν εἰς τόδε λίμνης
χεῦμα δι' ἠπείρου βεβαρημένοι· οὐδέ τι ἴδμεν,
πῇ πλόος ἐξανέχει Πελοπηΐδα γαῖαν ἱκέσθαι.
Ὣς ἄρ' ἔφη· ὁ δὲ χεῖρα τανύσσατο, δεῖξε δ' ἄπωθεν
φωνήσας πόντον τε καὶ ἀγχιβαθὲς στόμα λίμνης·
Κείνη μὲν πόντοιο διήλυσις, ἔνθα μάλιστα
βένθος ἀκίνητον μελανεῖ· ἑκάτερθε δὲ λευκαὶ
ῥηγμῖνες φρίσσουσι διαυγέες· ἡ δὲ μεσηγὺ
ῥηγμίνων στεινὴ τελέθει ὁδὸς ἐκτὸς ἐλάσσαι.
Κεῖνο δ' ὑπηέριον θείην Πελοπηΐδα γαῖαν
εἰσανέχει πέλαγος Κρήτης ὕπερ· ἀλλ' ἐπὶ χειρὸς
δεξιτερῆς, λίμνηθεν ὅτ' εἰς ἁλὸς οἶδμα βάλητε,
τόφρ' αὐτὴν παρὰ χέρσον ἐεργμένοι ἰθύνεσθε,
ἔστ' ἂν ἄνω τείνῃσι· περιῤῥήδην δ' ἑτέρωσε
κλινομένης χέρσοιο, τότε πλόος ὔμμιν ἀπήμων
ἀγκῶνος τετάνυσται ἀπὸ προὔχοντος ἰοῦσιν.
Ἀλλ' ἴτε γηθόσυνοι, καμάτοιο δὲ μή τις ἀνίη
γιγνέσθω νεότητι κεκασμένα γυῖα μογῆσαι.
Ἴσκεν ἐΰφρονέων· οἱ δ' αἶψ' ἐπὶ νηὸς ἔβησαν

festinanter ligonibus : tum diviserunt-inter-se capillos
ipsi simul et puellæ, mortuum miseram-sortem perpessum
lugentes; terque cum armis circumacti *circum eum*
rite parentalia consecutum, aggestam terram adjecerunt.
At quum jam navem ingressi-essent, urente vento
per mare australi, et meatum investigarent,
e-palude quo-exirent Tritonide, nullam rationem
diu habuerunt, sed temere toto-die ferebantur.
Ut vero serpens oblique volvens-se incedit via,
quando eum vehementissimum calefacit jubar solis,
et cum-sibilo huc illuc caput vertit, eique oculi
scintillis ignis similes furenti
micant, usque-dum latibulum per foramen subierit :
sic Argo paludis ostium transeundum-navibus quærens
oberrabat longum per tempus. Statim autem Orpheus
jussit Apollinis tripodem magnum e navi
diis indigenis, reditus causa, placabile-munus exponi.
Itaque illi Phœbi donum statuerunt in terra egressi :
iisque juveni similis obviam-venit
Triton potentissimus, terræque glebam sublatam
donum-hospitale heroibus porrexit et dixit:
Accipite, amici, quoniam non præstantius, quod-præbeam] huc venientibus, nunc mihi donum adest.
Si vero forte hujus meatus cognoscere-cupitis maris, qualia sæpe] homines desiderant in peregrina *terra* versantes,] indicabo. Nam me pater gnarum maris
voluit Neptunus hujus esse. Impero vero
maritimæ-regioni si forte quendam audivistis, longe cum
-abessetis] Eurypylum in-Libya ferarum nutrice natum.
Sic locutus-est : lubens autem extendit-versus glebam
manus] Euphemus, atque ita vicissim allocutus-est :
Apiam (*Peloponnesum*) et pelagus Minoïum (*Creticum*)
si forte, heros,] cognovisti, vere interrogantibus responde.
Huc enim non lubentes venimus, sed gravibus
dejecti terræ hujus ad fines procellis,
navem sublatam portavimus, ad hunc stagni
fluxum per continentem pondere-pressi : neque scimus,
quorsum navigatio extendatur, in-Pelopeïam terram ut-veniamus.] Sic igitur dixit : ille manum protendit, ostendit
-que procul,] clamans, et mare et prope-*terram*-profundum
ostium paludis.] Ille quidem, *inquit*, maris transitus *est*,
ubi maxime] profunda-aqua immota nigrescit; utrimque
autem candida] littora extolluntur conspicienda; sed inter
littora angusta est via, qua-enavigetis e *palude*.
Illud vero nigrum ad-divinam-usque Pelopeïam terram
prominet mare, super Creta : itaque versus manum
dextram, e-palude quando maris æstum fueritis ingressi,
tum ipsam ad terram cohibiti, dirigite *cursum*,
donec altius tendat : utrinque vero in-aliam-partem
vergente terra, tum navigatio vobis tuta
protenditur (*erit*), a cubito prominente abeuntibus.
Ite igitur læti, neve laboris ulla molestia
sit, quæ-juventute ornata membra defatiget.
Dixit benevolus : illi statim navem conscenderunt

λίμνης ἐκπρομολεῖν λελιημένοι εἰρεσίῃσιν.
Καὶ δὴ ἐπιπρονέοντο μεμαότες· αὐτὰρ ὁ τείως
Τρίτων ἀνθέμενος τρίποδα μέγαν εἴσατο λίμνην
εἰσβαίνειν· μετὰ δ' οὔ τις ἐσέδρακεν, οἷον ἄφαντος
αὐτῷ σὺν τρίποδι σχεδὸν ἔπλετο. Τοῖσι δ' ἰάνθη
θυμὸς, ὃ δὴ μακάρων τις ἐναίσιμος ἀντεβόλησεν.
Καί ῥά οἱ Αἰσονίδην μήλων ὅ τι φέρτατον ἄλλων
ἤνωγον ῥέξαι καὶ ἐπευφημῆσαι ἑλόντα.
Αἶψα δ' ὅγ' ἐσσυμένως ἐκρίνατο, καί μιν ἀείρας
σφάξε κατὰ πρύμνης, ἐπὶ δ' ἔννεπεν εὐχωλῇσιν.
Δαῖμον, ὅτις λίμνης ἐπὶ πείρασι τῆσδε φαάνθης,
εἴτε σύ γε Τρίτων, ἅλιον τέρας, εἴτε σε Φόρκυν,
ἢ Νηρῆα θύγατρες ἐπικλείουσ' ἁλοσύδναι,
ἵλαθι καὶ νόστοιο τέλος θυμηδὲς ὄπαζε.
Ἦ ῥ', ἅμα δ' εὐχωλῇσιν ἐς ὕδατα λαιμοτομήσας
ἧκε κατὰ πρύμνης· ὁ δὲ βένθεος ἐξεφαάνθη
τοῖος ἐὼν, οἷός περ ἐτήτυμος ἦεν ἰδέσθαι.
Ὡς δ' ὅτ' ἀνὴρ θοὸν ἵππον ἐς εὐρέα κύκλον ἀγῶνος
στέλλῃ, ὀρεξάμενος λασίης εὐπειθέα χαίτης,
εἶθαρ ἐπιτροχάων· ὁ δ' ἐπ' αὐχένι γαῦρος ἀερθεὶς
ἕσπεται, ἀργινόεντα δ' ἐνὶ στομάτεσσι χαλινὰ
ἀμφὶς ὀδακτάζοντι παραβλήδην κροτέονται·
ὣς ὅγ' ἐπισχόμενος γλαφυρῆς ὁλκήϊον Ἀργοῦς
ἦγ' ἅλαδε προτέρωσε. Δέμας δέ οἱ ἐξ ὑπάτοιο
κράατος ἀμφί τε νῶτα καὶ ἰξύας ἔστ' ἐπὶ νηδὺν,
ἀντικρὺ μακάρεσσι φυὴν ἔκπαγλον ἔϊκτο·
αὐτὰρ ὑπαὶ λαγόνων δίκραιρά οἱ ἔνθα καὶ ἔνθα
κήτεος ὁλκαίη μηκύνετο· κόπτε δ' ἀκάνθαις
ἄκρον ὕδωρ, αἵτε σκολιοῖς ἐπὶ νειόθι κέντροις,
μήνης ὡς κεράεσσιν ἐειδόμεναι, διχόωντο.
Τόφρα δ' ἄγεν, τείως μιν ἐπιπροέηκε θαλάσσῃ
νισσομένην· δῦ δ' αἶψα μέγαν βυθόν· οἱ δ' ὁμάδησαν
ἥρωες, τέρας αἰνὸν ἐν ὀφθαλμοῖσιν ἰδόντες.
Ἔνθα μὲν Ἀργῷός τε λιμὴν καὶ σήματα νηὸς
ἠδὲ Ποσειδάωνος ἰδὲ Τρίτωνος ἔασιν
βωμοί· ἐπεὶ κεῖν' ἦμαρ ἐπέσχεθον. Αὐτὰρ ἐς ἠῶ
λαίφεσι πεπταμένοις αὐτὴν ἐπὶ δεξί' ἔχοντες
γαῖαν ἐρημαίην πνοιῇ Ζεφύροιο θέεσκον.
Ἦρι δ' ἔπειτ' ἀγκῶνά θ' ὁμοῦ μυχάτην τε θάλασσαν
κεκλιμένην ἀγκῶνος ὑπὲρ προὔχοντος ἴδοντο.
Αὐτίκα δὲ Ζέφυρος μὲν ἐλώφεεν, ἤλυθε δ' αὔρη
ἀργέσταο Νότου· κεχάροντο δὲ θυμὸν ἰωῇ.
Ἦμος δ' ἠέλιος μὲν ἔδυ, ἀνὰ δ' ἤλυθεν ἀστὴρ
αὔλιος, ὅς τ' ἀνέπαυσεν ὀϊζυροὺς ἀροτῆρας,
δὴ τότ' ἔπειτ' ἀνέμοιο κελαινῇ νυκτὶ λιπόντος
ἱστία λυσάμενοι περιμηκέα τε κλίναντες
ἱστὸν ἐϋξέστῃσιν ἐπερρώοντ' ἐλάτῃσιν
παννύχιοι καὶ ἐπ' ἦμαρ, ἐπ' ἤματι δ' αὖτις ἰοῦσαν
νύχθ' ἑτέρην. Ὑπέδεκτο δ' ἀπόπροθι παιπαλόεσσα
Κάρπαθος· ἔνθεν δ' οἵ γε περαιώσεσθαι ἔμελλον
Κρήτην, ἥτ' ἄλλων ὑπερέπλετο εἰν ἁλὶ νήσων.
Τοὺς δὲ Τάλως χάλκειος ἀπὸ στιβαροῦ σκοπέλοιο
ῥηγνύμενος πέτρας εἶργε χθονὶ πείσματ' ἀνάψαι,
Δικταίην ὅρμοιο κατερχομένους ἐπ' ἰωγήν.

e-palude exire cupientes remigando.
Atqui procedebant alacres. At interea
Triton imposito-sibi tripode magno, videbatur paludem
ingredi : postea autem nemo *cum* conspexit, utpote-qui invisus] ipso cum tripode statim erat. Illis vero exhilaratus-est] animus, quoniam deorum aliquis fausto-omine occurrerat.] Atque (ii) Jasonem ovium quæ præstantissime *erat* aliarum] jusserunt immolare, et bona-verba-dicere mactantem.] Statim ille celeriter selegit *ovem*, eamque sublatam] mactavit de puppi, addiditque preces :
O-deus, quicunque in paludis hujus terminis apparuisti,
sive tu Triton *es*, marinum monstrum, sive te Phorcum
aut Nereum filiæ appellant marinæ,
propitius-esto, et reditus finem optatum tribue.
Dixit, et una cum-precibus in fluctus jugulatam
misit de puppi *ovem*; ille ex profundo apparuit
talis, qualis vere erat adspiciendus.
Ut vero, quando vir celerem equum in latum stadium certaminis] mittit, tenens densa facile-obsequentem coma,
valde festinans, ille cervice superbiens elata
sequitur, et candida (*spumantia*) in ore frena
utrinque *ei* mordenti vicissim crepitant :
sic ille tenens cavæ caudam Argus
duxit *eam* in-mare ulterius. Corpus ei ex summo
capite et circa dorsum lumbosque usque ad ventrem
omnino immortalibus natura mirum-in-modum erat-simile
at sub lateribus bifida ei huc illuc
ceti cauda longior-exibat, et verberabat spinis
summam aquam, quæ inflexis in imo stimulis,
lunæ veluti cornibus similes, findebantur.
Tamdiu autem *navem* duxit, usque-dum eam immisit in -mare]ituram, subiitque celeriter ingens profundum-æquor: fremuerunt] heroes, monstrum terribile oculis contuiti.
Ibi Argous portus, signaque navis,
et Neptuni et Tritonis exstant
aræ : nam per-illum diem detenti-sunt. At sub auroram
velis passis ipsam ad dextram habentes
terram desertam, flatu Zephyri vehebantur.
Mane deinde cubitum simul et imum mare
inclinatum ultra cubitum prominentem viderunt.
Statim vero Zephyrus cessavit, exstititque flatus
velocis Noti : lætati-igitur sunt animo *venti* flatu.
Cum vero sol occidisset, rediissetque stella
vespertina, quæ cessare-jubet laboriosos aratores
tum deinde, vento atra nocte cessante,
velis solutis et longissimo reclinato
malo, politis incumbebant remis
nocte-tota et die, atque diem insequente
nocte altera. Excepit autem eminus aspera
Carpathus : inde illi trajecturi erant
in-Cretam, quæ inter-alias eminebat in mari insulas.
Hos vero Talos æreus, a duro scopulo
abrupta-jaciens saxa, prohibuit ad-terram funes alligare
Dictæum stationis-navium deventuros ad præsidium.

Τὸν μὲν χαλκείης μελιηγενέων ἀνθρώπων
ῥίζης λοιπὸν ἐόντα μετ' ἀνδράσιν ἡμιθέοισιν
Εὐρώπῃ Κρονίδης νήσου πόρεν ἔμμεναι οὖρον
τρὶς περὶ χαλκείοις Κρήτην ποσὶ δινεύοντα.
Ἀλλ' ἤτοι τὸ μὲν ἄλλο δέμας καὶ γυῖα τέτυκτο
χάλκεος ἠδ' ἄῤῥηκτος· ὑπαὶ δέ οἱ ἔσκε τένοντος
σύριγξ αἱματόεσσα κατὰ σφυρόν· αὐτὰρ ὁ τήνγε
λεπτὸς ὑμὴν ζωῆς ἔχε πείρατα καὶ θανάτοιο.
Οἱ δὲ δύῃ μάλα περ δεδμημένοι αἶψ' ἀπὸ χέρσου
νῆα περιδδείσαντες ἀνακρούεσκον ἐρετμοῖς.
Καί νύ κ' ἐπισμυγερῶς Κρήτης ἑκὰς ἠέρθησαν
ἀμφότερον δίψῃ τε καὶ ἄλγεσι μοχθίζοντες,
εἰ μή σφιν Μήδεια λιαζομένοις ἀγόρευσεν.

Κέκλυτέ μευ. Μούνη γὰρ ὀΐομαι ὔμμι δαμάσσειν
ἄνδρα τὸν, ὅστις ὅδ' ἐστὶ, καὶ εἰ παγχάλκεον ἴσχει
ὃν δέμας, ὁππότε μή οἱ ἐπ' ἀκάματος πέλοι αἰών.
Ἀλλ' ἔχετ' αὐτοῦ νῆα θελήμονες ἐκτὸς ἐρωῆς
πετράων, εἵως κεν ἐμοὶ εἴξειε δαμῆναι.

Ὣς ἄρ' ἔφη· καὶ τοὶ μὲν ὑπὲκ βελέων ἐρύσαντο
νῆ' ἐπ' ἐρετμοῖσιν, δεδοκημένοι ἥντινα ῥέξοι
μῆτιν ἀνωΐστως· ἡ δὲ πτύχα πορφυρέοιο
προσχομένη πέπλοιο παρειάων ἑκάτερθεν
βήσατ' ἐπ' ἰκριόφιν· χειρὸς δὲ ἑ χειρὶ μεμαρπὼς
Αἰσονίδης ἐκόμιζε διὰ κληῖδας ἰοῦσαν.
Ἔνθα δ' ἀοιδῇσιν μειλίσσετο, μέλπε δὲ Κῆρας
θυμοβόρους, Ἀΐδαο θοὰς κύνας, αἳ περὶ πᾶσαν
ἠέρα δινεύουσαι ἐπὶ ζωοῖσιν ἄγονται.
Τὰς γουναζομένη τρὶς μὲν παρεκέκλετ' ἀοιδαῖς,
τρὶς δὲ λιταῖς· θεμένη δὲ κακὸν νόον ἐχθοδοποῖσιν
ὄμμασι χαλκείοιο Τάλω ἐμέγηρεν ὀπωπάς·
λευγαλέον δ' ἐπί οἱ πρίεν χόλον, ἐκ δ' ἀΐδηλα
δείκηλα προΐαλλεν ἐπιζάφελον κοτέουσα.

Ζεῦ πάτερ, ἦ μέγα δή μοι ἐνὶ φρεσὶ θάμβος ἄηται,
εἰ δὴ μὴ νούσοισι τυπῇσί τε μοῦνον ὄλεθρος
ἀντιάει, καὶ δή τις ἀπόπροθεν ἄμμε χαλέπτει.
Ὣς ὅγε χάλκειός περ ἐὼν ὑπόειξε δαμῆναι
Μηδείης βρίμῃ πολυφαρμάκου. Ἂν δὲ βαρείας
ὀχλίζων λάϊγγας ἐρυκέμεν ὅρμον ἱκέσθαι,
πετραίῳ στόνυχι χρίμψε σφυρόν· ἐκ δέ οἱ ἰχὼρ
τηκομένῳ ἴκελος μολίβῳ ῥέεν· οὐδ' ἔτι δηρὸν
εἱστήκει προβλῆτος ἐπεμβεβαὼς σκοπέλοιο.
Ἀλλ' ὥς τίς τ' ἐν ὄρεσσι πελωρίη ὑψόθι πεύκη,
τήντε θοοῖς πελέκεσσιν ἔθ' ἡμιπλῆγα λιπόντες
ὑλοτόμοι δρυμοῖο κατήλυθον· ἡ δ' ὑπὸ νυκτὶ
ῥιπῇσιν μὲν πρῶτα τινάσσεται, ὕστερον αὖτε
πρυμνόθεν ἐξεαγεῖσα κατήριπεν· ὣς ὅγε ποσσὶν
ἀκαμάτοις τείως μὲν ἐπισταδὸν ἠωρεῖτο,
ὕστερον αὖτ' ἀμενηνὸς ἀπείρονι κάππεσε δούπῳ.
κεῖνο μὲν οὖν Κρήτῃ ἐνὶ δὴ κνέφας ηὐλίζοντο
ἥρωες· μετὰ δ' οἵ γε νέον φαέθουσαν ἐς ἠῶ
ἱρὸν Ἀθηναίης Μινωΐδος ἱδρύσαντο,
ὕδωρ τ' εἰσαφύσαντο καὶ εἰσέβαν, ὥς κεν ἐρετμοῖς
παμπρώτιστα βάλοιεν ὑπὲρ Σαλμωνίδος ἄκρης.

Αὐτίκα δὲ Κρηταῖον ὑπὲρ μέγα λαῖτμα θέοντας

Eum enim ex-ænea e-fraxinis-genitorum hominum
stirpe superstitem inter viros semideos
Europæ Jupiter dederat, insulæ ut-esset custos
ter æreis Cretam pedibus oberrans.
At *is* reliquo corpore et membris erat
æreus et invulnerabilis; sed ei erat sub tendine
vena sanguine-plena ad malleolum : at hanc
tenuis cuticula tenebat, vitæ terminus et mortis.
Illi, adversa-re vehementer coacti, statim a terra
navem, valde metuentes, repulerunt remis.
Atqui misere a-Creta procul essent-ablati,
pariter et siti et doloribus oppressi,
nisi Medea ipsis properantibus dixisset :

Audite me : solam enim puto *me* vobis domituram-esse
virum illum, quicunque iste est, etiamsi totum-æreum habeat] suum corpus, quandoquidem non ei immortalis est
vita.] At tenete hic navem lubentes extra jactum
saxorum, usque-dum mihi cesserit domitus.

Ita dixit : at illi quidem saxis subtraxerunt
navem remis, observantes, quodnam exsecutura-sit *Medea*
consilium præter-opinionem : illa, plicas purpurei
prætendens pepli genis ex-utraque-parte,
conscendit foros : manumque ejus manu prehendens
Jason *eam* deduxit per transtra euntem.
Tum incantatione delinivit, invocavitque Parcas
vitam-eripientes, Orci celeres canes, quæ per omnem
aerem versantes viventibus immittuntur.
Has supplex-venerata ter advocavit incantationibus,
ter precibus : sumto autem noxio animo infestis
oculis ærei Tali fascinavit lumina :
pestiferam vero ei afflavit bilem, et atra
simulacra objecit, vehementer infensa.

Jupiter pater, profecto magnus mihi intus stupor excitatur,] siquidem non morbis vulneribusque tantum interitus] obvenit, atque etiam quis e-longinquo nos lædit.
Sic ille, quanquam æreus, cessit domitus
Medeæ potentiæ veneficæ. Gravesque
devolvens lapides, ut-prohiberet *eos* in-portum ingredi,
lapideæ aciei (*acutæ rupi*) illisit malleolum, eique cruor
liquefacto similis plumbo effluxit : neque amplius diu
stetit prominenti insistens scopulo.
Sed ut quædam in montibus ingens alte picea,
quam acutis securibus semicæsam reliquerunt
lignorum-cæsores e silva abeuntes; ea noctu
ventorum ictu primum concutitur, tum deinde
radicitus effracta concidit : sic ille pedibus
indefessis aliquamdiu stando erigebatur,
ad-extremum vero exanimis cum-immenso prolapsus-est
strepitu.] Illam igitur in Creta noctem transegerunt
heroes : postea illi recens apparentem ad auroram
templum Minervæ Minoæ exstruxerunt,
et aqua hausta ingressi-sunt *navem*, ut remis
quam-primum superarent Salmonium promontorium.

Statim vero Creticum super magnum æquor navigantes

νὺξ ἐφόβει, τήν πέρ τε Κατουλάδα κικλήσκουσιν·
νύκτ' ὀλοὴν οὐκ ἄστρα διίσχανεν, οὐκ ἀμαρυγαὶ
μήνης· οὐρανόθεν δὲ μέλαν χάος ἠέ τις ἄλλη
ὠρώρει σκοτίη μυχάτων ἀνιοῦσα βερέθρων.
Αὐτοὶ δ', εἴτ' Ἀΐδῃ, εἴθ' ὕδασιν ἐμφορέοντο,
ἠείδειν οὐδ' ὅσσον· ἐπέτρεψαν δὲ θαλάσσῃ
νόστον, ἀμηχανέοντες, ὅπῃ φέροι. Αὐτὰρ Ἰήσων
χεῖρας ἀνασχόμενος μεγάλῃ ὀπὶ Φοῖβον ἀΰτει,
ῥύσασθαι καλέων· κατὰ δ' ἔρρεεν ἀσχαλόωντι
δάκρυα· πολλὰ δὲ Πυθοῖ ὑπέσχετο, πολλὰ δ' Ἀμύκλαις,
πολλὰ δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσειν.
Λητοΐδη, τύνη δὲ κατ' οὐρανοῦ ἵκεο πέτρας
ῥίμφα Μελαντίους ἀριήκοος, αἵτ' ἐνὶ πόντῳ
ἧνται· δοιάων δὲ μιῆς ἐφύπερθεν ὀρούσας,
δεξιτερῇ χρύσειον ἀνέσχεθες ὑψόθι τόξον·
μαρμαρέην δ' ἀπέλαμψε βιὸς περὶ πάντοθεν αἴγλην.
Τοῖσι δέ τις Σποράδων βαιὴ ἀπὸ τόφρα φαάνθη
νῆσος ἰδεῖν ὀλίγης Ἱππουρίδος ἀντία νήσου,
ἔνθ' εὐνὰς ἐβάλοντο καὶ ἔσχεθον· αὐτίκα δ' Ἠὼς
φέγγεν ἀνερχομένη· τοὶ δ' ἀγλαὸν Ἀπόλλωνι
ἄλσει ἐνὶ σκιερῷ τέμενος σκιόεντά τε βωμὸν
ποίεον· Αἰγλήτην μὲν εὐσκόπου εἵνεκεν αἴγλης
Φοῖβον κεκλόμενοι· Ἀνάφην δέ τε λισσάδα νῆσον
ἴσκον, ὃ δὴ Φοῖβός μιν ἀτυζομένοις ἀνέφηνεν.
Ῥέζον δ' ὅσσα περ ἄνδρες ἐρημαίῃ ἐνὶ ῥέζειν
ἀκτῇ ἐφοπλίσσειαν· ὃ δὴ σφέας ὁππότε δαλοῖς
ὕδωρ αἰθομένοισιν ἐπιλλείβοντας ἴδοντο
Μηδείης δμωαὶ Φαιηκίδες, οὐκ ἔτ' ἔπειτα
ἴσχειν ἐν στήθεσσι γέλω σθένον, οἷα θαμειὰς
αἰὲν ἐν Ἀλκινόοιο βοοκτασίας ὁρόωσαι.
Τὰς δ' αἰσχροῖς ἥρωες ἐπεστοβέεσκον ἔπεσσιν
χλεύῃ γηθόσυνοι· γλυκερὴ δ' ἀνεδαίετο τοῖσιν
κερτομίη καὶ νεῖκος ἐπεσβόλον. Ἐκ δέ νυ κείνης
μολπῆς ἡρώων νήσῳ ἔνι τοῖα γυναῖκες
ἀνδράσι δηριόωνται, ὅτ' Ἀπόλλωνα θυηλαῖς
Αἰγλήτην Ἀνάφης τιμήορον ἱλάσκονται.
Ἀλλ' ὅτε δὴ κακεῖθεν ὑπεύδια πείσματ' ἔλυσαν,
μνήσατ' ἔπειτ' Εὔφημος ὀνείρατος ἐννυχίοιο,
ἁζόμενος Μαίης υἷα κλυτόν. Εἴσατο γάρ οἱ
δαιμονίη βῶλαξ ἐπιμάστιος ᾧ ἐν ἀγοστῷ
ἄρδεσθαι λευκῇσιν ὑπαὶ λιβάδεσσι γάλακτος,
ἐκ δὲ γυνὴ βώλοιο πέλειν ὀλίγης περ ἐούσης,
παρθενικῇ ἰκέλη· μίχθη δέ οἱ ἐν φιλότητι
ἄσχετον ἱμερθείς· ὀλοφύρετο δ' ἠΰτε κούρη,
ζευξάμενος, τὴν αὐτὸς ἑῷ ἀτίταλλε γάλακτι·
ἡ δέ ἑ μειλιχίοισι παρηγορέεσκεν ἔπεσσιν·
Τρίτωνος γένος εἰμί, τεῶν τροφός, ὦ φίλε, παίδων,
οὐ κούρη· Τρίτων γὰρ ἐμοὶ Λιβύη τε τοκῆες.
Ἀλλά με Νηρῆος παρακάτθεο παρθενικῇσιν
ἂμ πέλαγος ναίειν Ἀνάφης σχεδόν· εἶμι δ' ἐς αὐγὰς
ἠελίου μετόπισθε τεοῖς νεπόδεσσιν ἑτοίμη.
Τῷ δ' ἄρ' ἐπὶ μνῆστιν κραδίῃ βάλεν ἔκ τ' ὀνόμηνεν
Αἰσονίδην· ὁ δ' ἔπειτα θεοπροπίας Ἑκάτοιο,
θυμῷ πεμπάζων, ἀνενείκατο φώνησέν τε.

nox terruit, quam Catulada (*pestiferam*) appellant :
noctem exitiosam neque astra discutiebant, nec radii
lunæ : cœlitus enim nigra caligo, aut quædam aliæ
exortæ-sunt tenebræ ex-imis progressæ adytis.
Ipsi autem utrum in-tartaro an aquis veherentur
sciebant ne tantillum quidem : sed commiserunt mari
cursum, incerti, quo ferret. At Jason
manibus sublatis magna voce Phœbum imploravit,
ut-eriperet invocans ; defluebant autem dolenti
lacrimæ : multaque Delphis pollicitus-est, multa Amyclis,
multa in Ortygiam immensa dona *se* deportaturum.
Apollo, tu vero de cœlo devenisti ad-petras
celeriter Melantias exaudiens, quæ in mari
sedent ; duarum vero in-unam superne insiliens
dextra aureum sustinuisti alte arcum :
candidumque emisit arcus undique splendorem.
Illis autem una e-Sporadibus exigua tum apparuit
insula adspicienda, parvæ Hippuridis e-regione insulæ,
ubi ancoras jecerunt et appulerunt ; statimque aurora
splenduit revertens : illi pulchrum Apollini
luco in umbroso fanum opacamque aram
exstruxerunt, Ægleten (*Fulgentem*), conspicui caussa fulgoris,] Phœbum appellantes, Anaphen (*Ostensam*) autem
glabram insulam] dixerunt, propterea-quod Phœbus eam
sollicitis ostenderat.] Sacra-autem fecerunt, qualia quidem
viri in deserto facienda] littore parare-possent : quare eos
cum in-torres] aquam ardentes libare viderent
Medeæ ancillæ Phæaciæ, non amplius tum
continere intus risum valuerunt, utpote frequentes
semper in Alcinoi *palatio* taurorum-immolationes-conspicatæ.] Has procacibus heroes petierunt dictis,
ludibrio læti, dulcisque excitata-est inter-eos
cavillatio, atque contentio dicax. Ex illo autem
lusu heroum in insula sic mulieres
cum-viris altercantur, quando Apollinem sacris
Ægleten Anaphes præsidem venerantur.

At quando jam inde-etiam tranquillitate-æris-usi retinacula solverunt,] recordatus-est tum Euphemus somnii nocturni,] veneratus Majæ filium inclytum. Videbatur enim
ei] divina gleba sub-mamma suo in cubito
rigari candidis guttis lactis,
atque mulier fieri e gleba quanquam exigua
virgini similis : mistus-est autem cum-ea concubitu
vehementi desiderio-compulsus : lamentabatur vero velut
puella,] quod-*eam*-secum-conjunxerit, quam ipse suo nutrierat lacte ;] illa autem eum blandis allocuta-est verbis :
Tritonis progenies sum, tuorum nutrix, amice, liberorum,
non filia : Triton enim mihi et Libya parentes *sunt*
At me Nerei committe virginibus,
in-mari ut-habitem, prope Anaphen : prodibo autem in lucem] solis postea, tuis nepotibus destinata.

Ei igitur in memoriam mens revocavit, compellavitque
Jasonem : ille tum vaticinia Apollinis
animo perpendens, referens dixit :

Ὢ πόποι, ἦ μέγα δή σε καὶ ἀγλαὸν ἔμμορε κῦδος.
Βώλακα γὰρ τεύξουσι θεοὶ πόντονδε βαλόντι
νῆσον, ἵν' ὁπλότεροι παίδων σέθεν ἐννάσσονται
παῖδες· ἐπεὶ Τρίτων ξεινήϊον ἐγγυάλιξεν
τήνδε τοι ἠπείροιο Λιβυστίδος. Οὔ νύ τις ἄλλος
ἀθανάτων, ἢ κεῖνος, ὅ μιν πόρεν ἀντιβολήσας.
Ὣς ἔφατ'· οὐδ' ἁλίωσεν ὑπόκρισιν Αἰσονίδαο
Εὔφημος· βῶλον δὲ θεοπροπίῃσιν ἰανθεὶς
ἧκεν ὑποβρυχίην. Τῆς δ' ἔκτοθι νῆσος ἀέρθη
Καλλίστη, παίδων ἱερὴ τροφὸς Εὐφήμοιο,
οἳ πρὶν μέν ποτε δὴ Σιντηΐδα Λῆμνον ἔναιον,
Λήμνου τ' ἐξελαθέντες ὑπ' ἀνδράσι Τυρσηνοῖσιν
Σπάρτην εἰσαφίκανον ἐφέστιοι· ἐκ δὲ λιπόντας
Σπάρτην Αὐτεσίωνος ἐῢς παῖς ἤγαγε Θήρας
Καλλίστην ἐπὶ νῆσον· ἀμείψατο δ' οὔνομα Θήρης
ἐξ ἕθεν. Ἀλλὰ τὰ μὲν μετόπιν γένετ' Εὐφήμοιο.
Κεῖθεν δ' ἀπτερέως διὰ μυρίον οἶδμα λιπόντες
Αἰγίνης ἀκτῇσιν ἐπέσχεθον· αἶψα δὲ τοί γε
ὑδρείης πέρι δῆριν ἀμεμφέα δηρίσαντο,
ὅς κεν ἀφυσσάμενος φθαίη μετὰ νῆάδ' ἱκέσθαι.
Ἄμφω γὰρ χρειώ τε καὶ ἄσπετος οὖρος ἔπειγεν.
Ἔνθ' ἔτι νῦν πλήθοντας ἐπωμαδὸν ἀμφιφορῆας
ἀνθέμενοι κούφοισιν ἄφαρ κατ' ἀγῶνα πόδεσσιν
κοῦροι Μυρμιδόνων νίκης πέρι δηριόωνται.
Ἵλατ' ἀριστήων μακάρων γένος· αἵδε δ' ἀοιδαὶ
εἰς ἔτος ἐξ ἔτεος γλυκερώτεραι εἶεν ἀείδειν
ἀνθρώποις. Ἤδη γὰρ ἐπὶ κλυτὰ πείραθ' ἱκάνω
ὑμετέρων καμάτων· ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος
αὖθις ἀπ' Αἰγίνηθεν ἀνερχομένοισιν ἐτύχθη,
οὔτ' ἀνέμων ἐριῶλαι ἐνέσταθεν· ἀλλὰ ἕκηλοι
γαῖαν Κεκροπίην παρά τ' Αὐλίδα μετρήσαντες
Εὐβοίης ἔντοσθεν, Ὀπούντιά τ' ἄστεα Λοκρῶν,
ἀσπασίως ἀκτὰς Παγασηΐδας εἰσαπέβητε.

Papæ, certe magna te et splendida manet gloria.
Glebam enim reddent dii, in-mare si-conjeceris,
insulam, ubi juniores liberorum tuorum habitabunt
filii: quoniam Triton hospitale-munus præbuit
hanc tibi e-terra Libyca *glebam*. Non *est* alius quis
immortalium, nisi ille, qui eam dederit obviam-factus.

Sic locutus-est: neque vanum-reddidit responsum Æsonidæ] Euphemus: immo glebam, oraculis delectatus,
immisit mari immersam. Ex ea autem insula exorta-est
Calliste (*Pulcherrima*), liberorum sacra nutrix Euphemi,
qui antea aliquando Sintiacam Lemnum incoluerant;
Lemnoque ejecti a viris Tyrrhenis
Spartam devenerant, ibi-habitaturi; sed relicta
Sparta, Autesionis bonus filius duxit Theras
Callisten in insulam: mutavitque nomen *in nomen* Theræ
de se (*de suo nomine*). At hæc post-ætatem evenerunt Euphemi.] Inde celerrime, immenso æquore relicto,
Æginæ ad-littora appulerunt; statimque ipsi
de aquatione certamen irreprehensum inierunt,
quisnam hausta *aqua* prior ad-navem veniret.
Utrumque enim, et necessitas et multus ventus urgebant.
Unde etiamnum plenas humeris amphoras
impositas-gestantes levibus celeriter in certamine pedibus
filii Myrmidonum (*Æginetæ*) de victoria contendunt.

Propitii-estote, heroum divinorum proles; hocque carmen
ex anno in annum jucundius sit ad-canendum
hominibus. Jam enim ad gloriosos fines venio
vestrorum laborum: quoniam nullus vobis labor
iterum ex Ægina solventibus exstitit,
neque ventorum turbines impedimento-fuerunt, sed quieti,
terram Cecropiam (*Atticam*) et Aulida prætervecti
intra Eubœam, atque Opuntias urbes Locrorum
læti littora Pagasæa ingressi-estis.

INDEX

NOMINUM ET RERUM.

A.

B.

Γ.

Δ.

E.

Θ.

I.

Λ.

Λιλυβηΐς ἄκρη, ἡ, Lilybæum promontorium, quod Butes incolebat, ex undis per Venerem servatus, IV, 919.

Λοκροί, οἱ, Locri, IV, 1780.

Λυγκεύς, ὁ, Apharei f., Idæ frater, Argonauta, oculorum acie insignis, I, 151, 153; unus eorum, qui in Libya Herculem investigaturi abeunt, IV, 1466; quem postquam longissime remotum conspexit, re infecta revertitur, 1478 sqq.

Λυκάστιαι, αἱ, una e tribus Amazonum gentibus, II, 999.

Λυκάων, ονος, ὁ, Arcadiæ rex, a quo Parrhasii originem ducebant, II, 521.

Λυκία, ης, ἡ, Lycia, ubi Apollo imprimis colebatur, I, 309; Λυκίηθεν, e Lycia, II, 674.

Λυκόοργος, ὁ, Lycurgus, Alei f., pater Ancæi, frater Amphidamantis et Cephei, I, 164; II, 118.

Λύκος, ὁ. 1) Bithyniæ amnis, II, 724, qui cum Phaside confluit, IV, 132. 2) Dascyli f., Mariandynorum rex, qui Bebrycum terram vastat, II, 139; 752; cujus in ædibus hospitaliter excepti Argonautæ epulantur, 759 sqq.; Herculis de patre suo merita exponit, 774 sqq.; Tyndaridis templum in promontorio Acherusio se exstructurum promittit, 806; multa dona Argonautis proficiscentibus et Dascylum filium comitem dat, 813 sqq.; cum Argonautis populoque suo Idmonis exsequias celebrat, 839; ejus filius in Paphlagonia ab Argonautis relinquitur, IV, 298.

Λυκώρειος, ὁ, Phœbi epitheton, IV, 1490.

Λυκωρεύς, ὁ, Amyci regis servus, II, 51.

Λύρη, ἡ, Lyra, regio circum Stheneli tumulum vocata est, quia Orpheus lyram Apollini ibi dedicavit, II, 929.

Λυρκήϊος, adj. Λυρκήϊον Ἄργος a Lyrceo monte cognominatum, I 125.

M.

Μάγνησα, in littore Thessaliæ (Magnesiæ), quod Argonautæ carpebant, I, 587.

Μαγνῆτις, ιδος, adj. fem., Magnesia; Παγασαὶ Μαγνήτιδες, I, 238.

Μαῖα, ης, ἡ, Maja, Mercurii mater, IV, 1733.

Μαινάλιος, adj. Mænali, montis Arcadiæ; Μαιναλίη ἄρκτος, I, 168.

Μαίναλος, mons et urbs Arcadiæ, I, 770.

Μακριάς, άδος, adj. fem., Μακριάδες σκοπιαί, scopuli in Propontide, circa Cyzicum, I, 1112.

Μακρίδιος, adj Μακριδίη χέρνησος, ἡ, peninsula Drepanes (Macridis) IV, 1175.

Μακριεῖς, έων, οἱ, gens Pelasgica, I, 1025.

Μάκρις, ιδος, ιδα et ιν, 1) Ionii maris insula, Bacchi nutrix, ubi Phæaces habitabant sub Nausithoo rege, IV, 540; Cereri adamata, Drepane postea vocata 990. 2) Aristæi filia, cujus historia IV, 1131 -- 1140.

Μάκρωνες, οἱ, Ponti populus, Philyres inter et Bechires habitans, II, 394; 1242.

Μαριανδυνοί, οἱ, Bithyniæ populus, duce Lyco rege Bebrycum terram vastant, II, 140. 723; horum in terram Megarenses coloniam duxerunt, 747. 753; III, 352.

Μεγαβρόντης, ὁ, unus Dolionum, ab Hercule interfectus in prœlio, I, 1041.

Μεγαλοσσάκης, εος, ὁ, unus Dolionum, quem Tyndaridarum alter in prœlio occidit, I, 1045.

Μεγαρῆες, οἱ, Megarenses, quorum colonia in Mariandynorum terra, II, 747.

Μέλαινα, ἡ (Nigra); 1) ἄκρη, Melæna, promontorium Asiæ minoris, II, 349, 651. 2) epitheton Corcyræ, Illyrici maris insulæ IV, 571.

Μελάμπους, ὁ, in stabulis Iphicli gravem ærumnam sustinuit, Αἰολίδης, I, 121.

Μελανίππη, ἡ, Martis filia, in Amazonum promontorio capta per Herculem, redempta per Hippolyten sororem, II, 966 sqq.

Μελάντιοι πέτραι, αἱ, rupes Melantiæ duæ in Ægæo mari, IV, 1707.

Μέλας, ὁ, 1) unus filiorum Phrixi, II, 1156. 2) Μέλας πόντος, ὁ, mare Nigrum, Ægæi maris pars juxta Thraciam, I, 922.

Μελέαγρος, ὁ, Œnei f., Calydonius, Argonauta, I, 191; Itymoneum et Artacem, Doliones, in prœlio interficit, 1046; unus eorum, qui certamina ab Æeta proposita pro Jasone suscipere cupiunt, III, 518.

Μελίβοια, ἡ, Magnesiæ urbs maritima, I, 592.

Μελίη, ἡ, Nympha Bithyna, Amyci mater e Neptuno, II, 4.

Μελίτη, ἡ, 1) Najas, Ægæi filia, mater Hylli ex Hercule, IV, 538, 543. 2) insula maris Illyrici, IV, 572.

Μελιτήϊος, adj.; ὄρος Μελιτήϊον, Meliteus Corciræ mons, cujus Nymphæ profectæ sunt, Jasonis Medeæque nuptiis interfuturæ, IV, 1150.

Μενετηΐς, ΐδος, ἡ, Meneti filia, Antianira, I, 56.

Μενοίτιος, ὁ, Actoris f., Opuntius, Argonauta, I, 69

Μέντορες, οἱ, juxta Liburniam gens, Hyllum interfecerunt, IV, 551.

Μέροψ, οπος, Percosius, Clites pater, I, 975.

Μήδεια, ης, ἡ, III, 3; Æetæ filia, soror Chalciopes, 248, Hecatæ sacerdos, 251; Cupidinis telo vulnerata ardentissimo in Jasonem amore flagrat, 284 sqq.; Jasone ex ædibus profecto se recipit in thalamum, amore atque anxietate cruciata, 451 sqq., 611; e somniis, quæ ipsam exagitaverant, excitata, ad Chalciopam sororem abire conatur, pudore tamen impedita, luctui immoderato se tradit 616-664; a sorore de doloris causa interrogata, 674, se illius filiis metuere dissimulat, 688; se et his opem laturam, 710 sqq., et Jasoni promittit, ipsa lætata, 724, sqq.; insequente nocte summa sollicitudine excruciata, vix se continet, quin ipsa se veneno necet, 751—824; tum prima luce vestitu ornatuque sumpto, 828 sqq., cum Prometheo, quod vocant, medicamine, 844 sqq., ad Hecatæ templum vehitur, 869 sqq.; cum ancillis communicato consilio, has discedere jubet, quando Jason advenerit, 891—911; impatiens moræ hunc expectat, 948 sqq.; ejus advenientis adspectu vehementer percellitur, 962 sqq.; Jasoni auxilium suum imploranti (975—1007) medicamentum illud dat neque habet diu, quid prius dicat, 1008—1025; tandem medicaminis usum certaminisque instituendi rationem Jasonem docet, 1026—1062; lacrimata vero, quod adeo longe a se abiturus sit, rogat, ut sui semper memor sit (coll. 1105—1117), et de patria ejus Adriaduæque historia plura ex eo quærit, 1063—1077; Jasone promittente, se ipsam in Græciam abducturum uxoremque suam facturum, ita delectatur, 1130-1135, ut reditus plane obliviscatur, 1140 sqq.; tandem ab illo monita cum ancillis domum revertitur, magis etiam animo conturbata, 1149-1162. 1246; 1164; magno metu perculsa, IV, 11 sqq., Junone impellente, 21 sqq., domui patriæ valedicit, 26-33, atque inde noctu aufugit, 34-53; ubi ad fluvium accessit, Phrontin evocat, 66 sqq.; ab eo Argoque et Jasone excepta petit, ut celeriter secum aufugiant, ac promittit, se, sopito dracone, vellus daturam esse, 83-91; Argonautas ad sacrum lucum navigare jubet, 100; quo ubi ventum est, draconem sopit incantamentis ac medicaminibus, 145-161, 163; prima luce ad navem redit cum Jasone 183, qui heroibus edicit, ut eam colant

Ξ.

O.

Π.

Υ.

Φ.

X.

Ω.

ΜΟΥΣΑΙΟΥ

ΤΑ ΚΑΘ' ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ.

MUSAEI

DE HERONE ET LEANDRO.

ΜΟΥΣΑΙΟΥ

ΤΑ ΚΑΘ

ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ.

Εἰπὲ, θεὰ, κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων
καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων
καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος Ἠὼς,
καὶ Σηστὸν καὶ Ἄβυδον, ὅπη γάμος ἔννυχος Ἡροῦς.
Νηχόμενόν τε Λέανδρον ὁμοῦ καὶ λύχνον ἀκούω,
λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης,
Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην,
λύχνον, ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος Ζεὺς
ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων
καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων,
ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων
ἀγγελίην τ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων
πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.
Ἀλλ' ἄγε μοι μέλποντι μίαν συνάειδε τελευτὴν
λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο Λεάνδρου.
Σηστὸς ἔην καὶ Ἄβυδος ἐναντίον, ἐγγύθι πόντου·
γείτονές εἰσι πόληες. Ἔρως δ' ἀνὰ τόξα τιταίνων
ἀμφοτέραις πτολίεσσιν ἕνα ξυνέηκεν ὀϊστὸν,
ἠίθεον φλέξας καὶ παρθένον· οὔνομα δ' αὐτῶν
ἱμερόεις τε Λέανδρος ἔην καὶ παρθένος Ἡρώ.
Ἡ μὲν Σηστὸν ἔναιεν, ὁ δὲ πτολίεθρον Ἀβύδου,
ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω,
εἴκελοι ἀλλήλοισι. Σὺ δ', εἴ ποτε κεῖθι περήσεις,
δίζεό μοι τινὰ πύργον, ὅπη ποτὲ Σηστιὰς Ἡρὼ
ἵστατο λύχνον ἔχουσα καὶ ἡγεμόνευε Λεάνδρῳ·
δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμὸν Ἀβύδου,
εἰσέτι που κλαίοντα μόρον καὶ ἔρωτα Λεάνδρου.
Ἀλλὰ πόθεν Λείανδρος Ἀβυδόθι δώματα ναίων
Ἡροῦς ἐς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε καὶ αὐτήν;
Ἡρὼ μὲν χαρίεσσα, διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια, γάμων δ' ἀδίδακτος ἐοῦσα
πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ,
ἄλλη Κύπρις ἄνασσα· σαοφροσύνῃ δὲ καὶ αἰδοῖ
οὐδέποτ' ἀγρομένῃσι μεθωμίλησε γυναιξὶν,
οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης,
μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων·
καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες·
ἀλλ' αἰεὶ Κυθέρειαν ἱλασκομένη βασίλειαν,
πολλάκι καὶ τὸν Ἔρωτα παρηγορέεσκε θυηλαῖς
μητρὶ σὺν οὐρανίῃ, φλογερὴν τρομέουσα φαρέτρην.
Ἀλλ οὐδ' ὧς ἀλέεινε πυριπνείοντας ὀϊστούς.
Δὴ γὰρ Κυπριδίη πανδήμιος ἦλθεν ἑορτὴ,
τὴν ἀνὰ Σηστὸν ἄγουσιν Ἀδώνιδι καὶ Κυθερείῃ,
πανσυδίῃ δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι,
ὅσσοι ναιετάεσκον ἁλιστεφέων σφυρὰ νήσων,

MUSÆI

CARMEN

DE HERONE ET LEANDRO

Dic, dea, occultorum testem lychnum amorum
et nocturnum natatorem per-mare-ducentium nuptiarum
-causa] et concubitum tenebrosum, quem non vidit immortalis Aurora,] et Sestum et Abydum, ubi nuptiæ nocturnæ
Herus *erant*.] Natantemque Leandrum simul et lychnum audio,] lychnum adnuntiantem mandata Veneris
Herus nocte-nubentis pronubum nuntium,
lychnum, amoris signum, quem debebat ætherius Juppiter
nocturnum post certamen *intro*ducere in cœtum astrorum
atque ipsum appellare pronubam stellam amoris,
quoniam erat administer amatoriarum solicitudinum
nuntiumque servavit insomnium nuptiarum,
antequam molestum flatibus flaret inimicus ventus.
Agedum mihi modulanti unum simul-cane finem
lychni exstincti et pereuntis Leandri.
Sestus erat et Abydus e regione, prope mare;
vicinæ sunt urbes. Cupido autem arcu tento
ambabus urbibus unam simul-immisit sagittam
juvenem urens et virginem: nomen vero eorum
suavisque Leander erat et virgo Hero.
Altera Sestum habitabat, alter oppidum Abydi,
ambarum urbium perpulcræ stellæ ambo,
similes inter-se. Tu vero, si quando illic transieris,
quære mihi quandam turrim, ubi quondam Sestias Hero
stabat lychnum tenens et dux-erat Leandro;
quære autem antiquæ marisonum fretum Abydi
adhuc flens mortem et amorem Leandri.
Verum unde Leander Abydi domos habitans
Herus in amorem venit amoreque devinxit et ipsam?
Hero quidem gratiosa, divinum sanguinem sortita,
Veneris erat sacerdos, nuptiarum vero expers (existens)
turrim avitam ad vicinum habitabat mare,
altera Venus regina; ob-castitatem vero et pudorem
nunquam congregatis conversabatur mulieribus,
neque chorum gratiosum adivit æqualis juventutis,
livorem evitans invidum mulierum;
namque ob pulcritudinem invidæ sunt feminæ;
sed semper Cythereeam placans reginam
sæpe etiam Cupidinem conciliabat libamentis
matre cum cœlesti, flammeam tremens pharetram.
Sed neque sic evitavit ignem-spirantes sagittas.
Jam enim Venereum populare venit festum,
quod Sesti celebrant Adonidi et Cythereæ,
catervatimque festinabant ad sacrum diem ire,
quotquot habitabant mari-cinctarum extrema insularum,

οἱ μὲν ἀφ' Αἱμονίης, οἱ δ' εἰναλίης ἀπὸ Κύπρου·
οὐδὲ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι Κυθήρων,
οὐ Λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων·
οὐδὲ περικτιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,
οὐ Φρυγίης ναέτης, οὐ γείτονος ἀστὸς Ἀβύδου,
οὐδέ τις ἠϊθέων φιλοπάρθενος· ἦ γὰρ ἐκεῖνοι,
αἰὲν ὁμαρτήσαντες, ὅπη φάτις ἐστὶν ἑορτῆς,
οὐ τόσον ἀθανάτοισιν ἄγειν σπεύδουσι θυηλὰς,
ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων.
Ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπῴχετο παρθένος Ἡρὼ
μαρμαρυγὴν χαρίεντος ἀπαστράπτουσα προσώπου,
οἷά τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη.
Ἄκρα δὲ χιονέης φοινίσσετο κύκλα παρειῆς,
ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον· ἦ τάχα φαίης,
Ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι·
χροιὴν γὰρ μελέων ἐρυθαίνετο· νισσομένης δὲ
καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης,
πολλαὶ δ' ἐκ μελέων Χάριτες ῥέον. Οἱ δὲ παλαιοὶ
τρεῖς Χάριτας ψεύσαντο πεφυκέναι· εἷς δέ τις Ἡροῦς
ὀφθαλμὸς γελόων ἑκατὸν Χαρίτεσσι τεθήλει.
Ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρατο Κύπρις.
Ὣς ἡ μὲν περὶ πολλὸν ἀριστεύσασα γυναικῶν
Κύπριδος ἀρήτειρα νέη διεφαίνετο Κύπρις.
Δύσατο δ' ἠϊθέων ἁπαλὰς φρένας· οὐδέ τις ἀνδρῶν
ἦεν, ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον Ἡρώ.
Ἡ δ' ἄρα καλλιθέμεθλον ὅπη κατὰ νηὸν ἀλᾶτο,
ἑσπόμενον νόον εἶχε καὶ ὄμματα καὶ φρένας ἀνδρῶν.
Καί τις ἐν ἠϊθέοισιν ἐθαύμασε καὶ φάτο μῦθον·
Καὶ Σπάρτης ἐπέβην, Λακεδαίμονος ἔδρακον ἄστυ,
ἧχι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων·
τοίην δ' οὔποτ' ὄπωπα νέην κεδνήν θ' ἁπαλήν τε·
καὶ τάχα Κύπρις ἔχει Χαρίτων μίαν ὁπλοτεράων.
Παπταίνων ἐμόγησα, κόρον δ' οὐχ εὗρον ὀπωπῆς.
Αὐτίκα τεθναίην λεχέων ἐπιβήμενος Ἡροῦς·
οὐκ ἂν ἐγὼ κατ' Ὄλυμπον ἐφιμείρω θεὸς εἶναι
ἡμετέρην παράκοιτιν ἔχων ἐν δώμασιν Ἡρώ.
Εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
τοίην μοι, Κυθέρεια, νέην παράκοιτιν ὀπάσσαις.
Τοῖα μὲν ἠϊθέων τις ἐφώνεεν· ἄλλοθεν ἄλλος
ἕλκος ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κούρης.
Αἰνοπαθὲς Λείανδρε, σὺ δ', ὡς ἴδες εὐκλέα κούρην,
οὐκ ἔθελες κρυφίοισι κατατρύχειν φρένα κέντροις,
ἀλλὰ πυριπνεύστοισι δαμεὶς ἀδόκητον ὀϊστοῖς
οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς.
Σὺν βλεφάρων δ' ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων,
καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
Κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς
ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ·
ὀφθαλμὸς δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων
ἕλκος ὀλισθαίνει καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.
Εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς·
ἔτρεμε μὲν κραδίην, αἰδὼς δέ μιν εἶχεν ἁλῶναι·
θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ·
θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων

alii ab Hæmonia, alii marina e Cypro :
neque mulier ulla remansit in oppidis Cytherorum ,
non Libani odoriferi in summitatibus saltans ;
neque accolarum quisquam deerat tunc festo ,
non Phrygiæ incola , non vicinæ civis Abydi ,
neque ullus juvenum amans-virginum. Certe enim illi
semper secuti , ubi fama est festi ,
non tantum immortalibus afferre festinant sacrificia,
quantum congregatarum ob pulcritudinem virginum.
Verum deæ per ædem incessit virgo Hero
splendorem gratiosa emittens facie ,
qualis candida-genas exoriens luna.
Summi autem niveæ rubebant circuli genæ,
ut rosa e calicibus bicolor : profecto diceres ,
Herus in membris rosarum pratum apparere :
colore enim membrorum rubebat ; euntis vero
etiam rosæ candida-indutæ-tunica sub talis splendebant
puellæ,] multæ autem ex membris Gratiæ fluebant. Antiqui
vero] tres Gratias mentiti-sunt esse : alteruter enim Herus
oculus ridens centum Gratiis pullulabat.
Profecto sacerdotem dignam nacta-erat Cypria.
Sic quidem multum antecellens feminis
Cypriæ sacerdos nova apparebat Cypria.
Subiit autem juvenum teneras mentes ; neque ullus virorum
erat , qui non cuperet habere conjugem Hero.
Illa igitur, bene-fundatam quacunque per ædem vagabatur,
sequentem mentem habebat et oculos et corda virorum.
Atque unus-et-alter inter juvenes miratus-est et dixit verbum:]
Vel Spartam accessi, Lacedæmonis vidi urbem,
ubi contentionem et certamen *esse* audimus pulcritudinum:
talem autem nondum vidi puellam venerandamque teneramque :]
et forte Cypria habet Gratiarum unam juniorum.
Intuendo defessus-sum , satietatem autem non inveni adspiciendi.]
Illico moriar, cubile ubi-conscenderim Herus :
non ego in Olympo cupio deus esse
nostram uxorem habens domi Hero.
Sin autem mihi non licet tuam sacerdotem contrectare ,
talem mihi , Cytherea, puellam uxorem præbeas.
Talia quidem juvenum unus-et-alter locutus-est : aliunde
alius] vulnus celans insanivit pulcritudine puellæ.
Gravia-patiens Leander, tu autem , ut vidisti inclytam
puellam,] nolebas occultis consumere mentem stimulis,
sed ignem-spirantibus domitus inopinato sagittis
nolebas vivere perpulcræ expers Herus.
Cum oculorum vero radiis augebatur fax amorum
et cor fervebat invicti ignis impetu.
Pulcritudo enim celebris emendatæ mulieris
acutior hominibus est veloci sagitta :
oculus autem via est ; ab oculi ictibus
vulnus delabitur et in præcordia viri descendit.
Cepit autem ipsum tunc stupor, impudentia, tremor, pudor :
tremuit quidem in-corde, pudebat vero ipsum capi ,
obstupuit autem forma egregia, amor vero ademit pudorem;
audacter autem ob amorem impudentiam amplectens

ἠρέμα ποσσὶν ἔβαινε καὶ ἀντίον ἵστατο κούρης.
Λοξὰ δ' ὀπιπτεύων δολερὰς ἐλέλιξεν ὀπωπὰς,
νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
Αὐτὴ δ', ὡς συνέηκε πόθον δολόεντα Λεάνδρου,
χαῖρεν ἐπ' ἀγλαΐῃσιν· ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
πολλάκις ἱμερόεσσαν ἑὴν ἔκρυψεν ὀπωπὴν,
νεύμασι λαθριδίοισιν ὑπαγγελέουσα Λεάνδρῳ,
καὶ πάλιν ἀντέκλινεν. Ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
ὅττι πόθον συνέηκε καὶ οὐκ ἀπεσείσατο κούρη.
Ὄφρα μὲν οὖν Λείανδρος ἐδίζετο λάθριον ὥρην,
φέγγος ἀναστείλασα κατήϊεν ἐς δύσιν Ἠώς·
ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος Ἕσπερος ἀστήρ.
Αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης,
ὡς ἴδε κυανόπεπλον ἐπιθρώσκουσαν ὀμίχλην·
ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης
βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον· ἡ δὲ σιωπῇ,
οἷά τε χωομένη, ῥοδέην ἐξέσπασε χεῖρα.
Ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης,
θαρσαλέῃ παλάμῃ πολυδαίδαλον ἕλκε χιτῶνα
ἔσχατα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηοῦ.
Ὀκναλέοις δὲ πόδεσσιν ἐφέσπετο παρθένος Ἡρὼ,
οἷάπερ οὐκ ἐθέλουσα, τόσην δ' ἀνενείκατο φωνὴν,
θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα Λεάνδρῳ· [κεις;
Ξεῖνε, τί μαργαίνεις; τί με, δύσμορε, παρθένον ἕλ-
ἄλλην δεῦρο κέλευθον· ἐμὸν δ' ἀπόλειπε χιτῶνα.
Μῆνιν ἐμῶν ἀλέεινε πολυκτεάνων γενετήρων.
Κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν·
παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.
Τοῖα μὲν ἠπείλησεν, ἐοικότα παρθενικῇσιν.
Θηλείης δὲ Λέανδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς,
ἔγνω πειθομένων σημήϊα παρθενικάων.
Καὶ γὰρ ὅτ' ἠϊθέοισιν ἀπειλείωσι γυναῖκες,
κυπριδίων ὀάρων αὐτάγγελοί εἰσιν ἀπειλαί.
Παρθενικῆς δ' εὔοδμον, εὔχροον αὐχένα κύσας
τοῖον μῦθον ἔειπε πόθου βεβολημένος οἴστρῳ·
Κύπρι φίλη μετὰ Κύπριν, Ἀθηναίη μετ' Ἀθήνην,
οὐ γὰρ ἐπιχθονίῃς ἴσην καλέω σε γυναιξὶν,
ἀλλά σε θυγατέρεσσι Διὸς Κρονίωνος ἐΐσκω·
ὄλβιος, ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη, ἣ τέκε, μήτηρ,
γαστὴρ, ἥ σ' ἐλόχευσε, μακαρτάτη. Ἀλλὰ λιτάων
ἡμετέρων ἐπάκουε, πόθου δ' οἴκτειρον ἀνάγκην.
Κύπριδος ὡς ἱέρεια μετέρχεο Κύπριδος ἔργα.
Δεῦρ' ἴθι, μυστιπόλευε γαμήλια θεσμὰ θεαίνης·
παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν Ἀφροδίτῃ,
παρθενικαῖς οὐ Κύπρις ἰαίνεται. Ἢν δ' ἐθελήσῃς
θεσμὰ θεῆς ἐρόεντα καὶ ὄργια πιστὰ δαῆναι,
ἔστι γάμος καὶ λέκτρα. Σὺ δ', εἰ φιλέεις Κυθέρειαν,
θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων,
σὸν δ' ἱκέτην με κόμιζε καὶ, ἢν ἐθέλῃς, παρακοίτην,
τόν σοι Ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας.
Ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόρραπις Ἑρμῆς
θητεύειν ἐκόμιζεν Ἰαρδανίην ποτὶ νύμφην.
Σοὶ δέ με Κύπρις ἔπεμπε, καὶ οὐ σοφὸς ἤγαγεν Ἑρμῆς.
Παρθένος οὔ σε λέληθεν ἀπ' Ἀρκαδίης Ἀταλάντη,

tacite pedibus incessit et e-regione constitit puellæ.
Oblique autem intuens dolosos torquebat oculos,
nutibus mutis seducens mentem puellæ.
Ipsa vero, ut sensit amorem dolosum Leandri,
gavisa-est *suam* ob pulcritudinem; tacite vero et ipsa
sæpe gratam suam occuluit faciem,
nutibus occultis clam-nuntians Leandro,
et rursus *eam* acclinavit. Ille vero intus animo gaudebat,
quod desiderium *suum* senserit neque renuerit puella.
Dum igitur Leander quærebat occultam horam,
lucem contrahens descendit ad occasum dies,
e regione autem adparuit umbrosa Hesperus stella
Sed ipse audacter adibat prope puellam,
ut vidit atratas ingruentes tenebras:
tacite quidem premens roseos digitos puellæ,
ex-imo suspirabat vehementer; illa vero silentio,
tanquam irascens, roseam retraxit manum.
Ut vero amatæ sensit remissos nutus puellæ,
audaci manu artificiosam traxit tunicam
extrema venerandi ducens ad penetralia templi.
Pigris autem pedibus sequebatur virgo Hero,
tanquam nolens, talemque emisit vocem
femineis verbis minans Leandro:
Hospes, quid insanis? quid me, infelix, virginem tra-
his?] alia ito via, meamque remitte vestem.
Iram meorum evita locupletum parentum.
Cypriæ non te decet deæ sacerdotem contrectare;
virginis ad lectum nullo-pacto licet pervenire.
Talia quidem minata-est, convenientia virginibus.
Feminearum autem Leander ubi audivit furorem minarum,
cognovit persuasarum signa virginum.
Etenim quum juvenibus minantur feminæ,
venerearum consuetudinum nuntiæ sunt minæ.
Virginis autem odoratam pulcri-coloris cervicem osculatus
tale verbum dixit desiderii ictus furore:
Venus cara post Venerem, Minerva post Minervam,
non enim terrestribus æqualem voco te mulieribus,
sed te filiabus Jovis Saturnii comparo;
beatus, qui te genuit, et beata, quæ peperit, mater,
venter, qui te enixus-est, beatissimus. Sed preces
nostras exaudi, amorisque miserere necessitatis.
Veneris utpote sacerdos exerce Veneris opera.
Huc ades, mysterio-initiare nuptialibus legibus deæ:
virginem non decet ministrare Veneri,
virginibus non Cypria gaudet. Si vero volueris
instituta deæ amabilia et cerimonias veras scire,
sunt nuptiæ et lecti. Tu autem, si amas Venerem,
mulcentium-mentem amplectere suavem legem amorum,
tuumque *servum* supplicem me accipe et, si velis, conjugem,
quem tibi Cupido venatus-est suis sagittis assecutus.
Sic audacem Herculem celer auream-gestans-virgam Mer-
curius] servitum duxit Iardaniam ad puellam.
Tibi vero me Cypria misit, neque sapiens adduxit Mercu-
rius.] Virgo non te latet ab Arcadia Atalanta,

ἥ ποτε Μειλανίωνος ἐρασσαμένου φύγεν εὐνὴν,
παρθενίης ἀλέγουσα· χολωσαμένης δ' Ἀφροδίτης,
τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.
Πείθεο καὶ σὺ, φίλη, μὴ Κύπριδι μῆνιν ἐγείρῃς.
Ὣς εἰπὼν παρέπεισεν ἀναινομένης φρένα κούρης,
θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
Παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπὴν,
αἰδοῖ ἐρυθριόωσαν ὑποκλέπτουσα παρειὴν,
καὶ χθονὸς ἔξεεν ἄκρον ὑπ' ἴχνεσιν, αἰδομένη δὲ
πολλάκις ἀμφ' ὤμοισιν ἑὸν συνέεργε χιτῶνα.
Πειθοῦς γὰρ τάδε πάντα προάγγελα, παρθενικῆς δὲ
πειθομένης ποτὶ λέκτρον ὑπόσχεσίς ἐστι σιωπή.
Ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων,
θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος Ἡρὼ,
κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο Λεάνδρου.
Ὄφρα μὲν οὖν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὀπωπὴν,
τόφρα δὲ καὶ Λείανδρος ἐρωμανέεσσι προσώποις
οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
Ὀψὲ δὲ Λειάνδρῳ γλυκερὴν ἀνενείκατο φωνὴν
αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπου·
Ξεῖνε, τεοῖς ἐπέεσσι τάχ' ἂν καὶ πέτρον ὀρίναις·
Τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
οἴ μοι! τίς σ' ἐκόμισσεν ἐμὴν ἐς πατρίδα γαῖαν;
Ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο· πῶς γὰρ ἀλήτης
ξεῖνος ἐὼν καὶ ἄπιστος, ἐμῇ φιλότητι μιγείης;
Ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι·
οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπεύαδεν· ἢν δ' ἐθελήσῃς
ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν Ἀφροδίτην.
Γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος· ἐν δὲ σιωπῇ
ἔργον ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκούει.
Εἰπὲ δὲ, μὴ κρύψῃς, τεὸν οὔνομα καὶ σέο πάτρην.
Οὐ γὰρ ἐμόν σε λέληθεν, ἐμοὶ δ' ὄνομα κλυτὸν Ἡρώ.
Πύργος δ' ἀμφιβόητος ἐμὸς δόμος οὐρανομήκης,
ᾧ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνῃ
Σηστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας
γείτονα πόντον ἔχω στυγεραῖς βουλῇσι τοκήων.
Οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες, οὐδὲ χορεῖαι
ἠϊθέων παρέασιν· ἀεὶ δ' ἀνὰ νύκτα καὶ Ἠῶ
ἐξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.
Ὣς φαμένη ῥοδέην ὑπὸ φάρεϊ κλέπτε παρειὴν,
ἔμπαλιν αἰδομένη, σφετέροις δ' ἐπεμέμφετο μύθοις.
Λείανδρος δὲ πόθου βεβολημένος ὀξέϊ κέντρῳ
φράζετο, πῶς κεν ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
Ἄνδρα γὰρ αἰολόμητις Ἔρως βελέεσσι δαμάσσας
καὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται· οἷσι δ' ἀνάσσει,
αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσιν.
Αὐτὸς καὶ ποθέοντι τότε χραίσμησε Λεάνδρῳ.
Ὀψὲ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον·
Παρθένε, σὸν δι' ἔρωτα καὶ ἄγριον οἶδμα περήσω,
εἰ πυρὶ παφλάζοιτο καὶ ἄπλοον ἔσσεται ὕδωρ.
Οὐ τρομέω βαρὺ χεῦμα τεὴν μετανεύμενος εὐνὴν,
οὐ βρόμον ἠχήεντα περιπτώσσοιμι θαλάσσης.
Ἀλλ' αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης

quæ olim Milanionis amantis fugit cubile,
virginitatem curans; irata autem Venere,
quem prius non amavit, *eum* in corde posuit toto.
Persuadere et tu, cara, ne Veneri iram excites.
Sic fatus persuadendo-flexit recusantis mentem puellæ,
animum amorem-parientibus seducens (in) verbis
Virgo autem tacita in terram defixit oculos,
pudore rubefactam abscondens genam,
et terræ radebat summum subter vestigia, pudibunda autem
sæpe circa humeros suam contraxit vestem.
Persuasionis enim hæc omnia prænuntia; virginis autem
persuasæ ad lectum promissio est silentium.
Jam et suavamarum susceperat stimulum amorum,
urebatur autem cor dulci igne virgo Hero,
pulcritudineque gratiosi stupescebat Leandri
Quando igitur in terram habebat inclinatos oculos,
tum et Leander amore-furentibus oculis
non defatigabatur spectando teneræ-cutis cervicem puellæ.
Tandem autem Leandro suavem emisit vocem *Hero*
verecundiæ madidum ruborem stillans a-facie:
Hospes, tuis verbis fortasse et lapidem moveas.
Quis te fallentium verborum docuit vias?
hei mihi! quis te duxit meam in patriam terram?
Hæc vero omnia frustra locutus-es: quomodo enim, vagus
hospes existens et incertus, meo amori miscearis?
Palam non possumus nuptiis legitimis jungi;
non enim meis parentibus *id* placuit; si autem voles
ut hospes vagabundus mea in patria manere,
non potes obtectam celare Venerem.
Lingua enim hominum amans-conviciorum: in silentio
autem] opus quod perficit aliquis, in triviis audit.
Dic vero, ne celes, tuum nomen et tuam patriam.
Non enim meum te latet: mihi vero nomen inclytum Hero.
Turris autem circumsona mea domus ad-cœlum-tendens,
in qua habitans cum ancilla quadam sola
Sestiensem ante urbem super profundas-undas-habentia
littora] vicinum pontum habeo odiosis consiliis parentum.
Neque me prope sunt æquales, neque choreæ
juvenum adsunt; sed semper noctu et interdiu
ex mari ventoso insonat auribus sonitus.
Sic fata roseam sub veste celabat genam
rursus pudefacta, suaque increpabat verba.
Leander autem cupidinis percussus acuto stimulo
cogitabat, quomodo amoris certaret certamen.
Virum enim varius-consiliis Amor sagittis domans
etiam rursus viri vulneri medetur; quibus vero dominatur,
ipse omnium-domitor consiliarius est mortalibus.
Ipse etiam ardenti tunc auxiliatus-est Leandro.
Tandem igitur ingemens solers dixit verbum:
Virgo, tuum propter amorem etiam asperam undam
transibo,] etsi igni ferveat et innavigabilis fuerit aqua.
Non tremo gravem undam tuum adiens cubile,
non fremitum sonantem exhorresco maris.
Sed semper per noctem vectus madidus maritus

νήξομαι Ἑλλήσποντον ἀγάῤῥοον· οὐχ ἕκαθεν γὰρ
ἀντία σεῖο πόληος ἔχω πτολίεθρον Ἀβύδου.
Μοῦνον ἐμοί τινα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας, ὄφρα νοήσας
ἔσσομαι ὁλκὰς Ἔρωτος ἔχων σέθεν ἀστέρα λύχνον.
Καί μιν ὀπιπτεύων δύντ' ὄψομαι οὔτε Βοώτην,
οὐ θρασὺν Ὠρίωνα καὶ ἄβροχον ὁλκὸν Ἀμάξης·
πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην.
Ἀλλὰ, φίλη, πεφύλαξο βαρυπνείοντας ἀήτας,
μή μιν ἀποσβέσσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,
λύχνον, ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
Εἰ ἐτεὸν δ' ἐθέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,
οὔνομά μοι Λείανδρος, ἐϋστεφάνου πόσις Ἡροῦς.
Ὣς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι,
καὶ νυχίην φιλότητα καὶ ἀγγελίην ὑμεναίων
λύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάξειν,
ἡ μὲν φῶς τανύειν, ὁ δὲ κύματα μακρὰ περῆσαι.
Παννυχίδας δ' ἀνύσαντες ἀκοιμήτων ὑμεναίων
ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκῃ,
ἡ μὲν ἑὸν ποτὶ πύργον, ὁ δ', ὀρφναίην ἀνὰ νύκτα
μήτι παραπλάζοιτο, λαβὼν σημήϊα πύργου,
πλῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον Ἀβύδου.
Παννυχίων δ' ὀάρων κρυφίους ποθέοντες ἀέθλους
πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην.
Ἤδη κυανόπεπλος ἀνέδραμε Νυκτὸς ὀμίχλη
ἀνδράσιν ὕπνον ἄγουσα, καὶ οὐ ποθέοντι Λεάνδρῳ·
ἀλλὰ πολυφλοίσβοιο παρ' ἠϊόνεσσι θαλάσσης
ἀγγελίην ἀνέμιμνε φαεινομένην ὑμεναίων
μαρτυρίην λύχνοιο πολυκλαύστοιο δοκεύων,
εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
Ὡς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην
Ἡρὼ, λύχνον ἔφαινεν· ἀναπτομένοιο δὲ λύχνου,
θυμὸν Ἔρως ἔφλεξεν ἐπειγομένοιο Λεάνδρου·
λύχνῳ καιομένῳ συνεκαίετο· πὰρ δὲ θαλάσσῃ
μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων
ἔτρεμε μὲν τοπρῶτον, ἔπειτα δὲ θάρσος ἀείρας
τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις·[σης
Δεινὸς Ἔρως, καὶ πόντος ἀμείλιχος· ἀλλὰ θαλάσ-
ἐστὶν ὕδωρ, τὸ δ' Ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ.
Λάζεο πῦρ, κραδίη, μὴ δείδιθι νήχυτον ὕδωρ.
Δεῦρό μοι εἰς φιλότητα· τί δὴ ῥοθίων ἀλεγίζεις;
ἀγνώσσεις, ὅτι Κύπρις ἀπόσπορός ἐστι θαλάσσης
καὶ κρατέει πόντοιο καὶ ἡμετέρων ὀδυνάων;
Ὣς εἰπὼν μελέων ἐρατῶν ἀπεδύσατο πέπλον
ἀμφοτέραις παλάμῃσιν, ἑῷ δ' ἔσφιγξε καρήνῳ,
ἠϊόνος δ' ἐξῶρτο, δέμας δ' ἔῤῥιψε θαλάσσῃ.
Λαμπομένου δ' ἔσπευδεν ἀεὶ κατεναντία λύχνου,
αὐτὸς ἐὼν ἐρέτης, αὐτόστολος, αὐτόματος νηῦς.
Ἡρὼ δ', ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου,
λευγαλέῃς αὔρῃσιν ὅθεν πνεύσειεν ἀήτης,
φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν, εἰσόκε Σηστοῦ
πολλὰ καμὼν Λείανδρος ἔβη ποτὶ ναύλοχον ἀκτήν.
Καί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν· ἐκ δὲ θυράων
νυμφίον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,

natabo per-Hellespontum valde-fluentem : non longe enim
e-regione tuæ urbis habeo oppidum Abydi.
Tantum mihi quendam lychnum ab excelsa tua turri
e regione ostende per tenebras, ut *illum* intuens
sim navis Amoris habens tuum stellam lychnum.
Et ipsum observans occidentem spectabo neque Booten,
non asperum Orionem et non-immadescentem tractum
Plaustri :] patriæ oppositæ ad dulcem portum veniam.
Sed, cara, cave graviter-flantes ventos,
ne ipsum exstinguant, et statim animam perdam,
lychnum, meæ vitæ luciferum ducem.
Si vere autem vis meum nomen et tu scire,
nomen mihi Leander, pulcre-coronatæ conjux Herus.
Sic hi quidem clandestinis nuptiis constituebant misceri,
et nocturnum amorem et nuntium nuptiarum
lychni testimoniis pacti-sunt servare
illa quidem lucernam extendere, hic autem undas latas
transire.] Pervigilia autem exsecuti insomnium nuptiarum
a-se inviti separati-sunt necessitate,
ea quidem suam ad turrim, hic autem, tenebrosam per
noctem] ne-quid erraret, capiens signa turris
natabat profunde-fundatæ ad magnum populum Abydi.
Nocturnarum vero consuetudinum clandestina desideran-
tes certamina] sæpe optarunt, ut-venirent thalamum-ornan
tes tenebræ.] Jam atrata surrexit Noctis caligo
viris somnum afferens, at non ardenti Leandro;
sed *is* multifremi apud littora maris
nuntium opperiebatur lucentem nuptiarum,
signum lychni lugubris observans
lectique clandestini procul-speculantem nuntium.
Ut vero vidit nigræ luminis-expertem noctis caliginem
Hero, lychnum ostendit : accenso vero lychno
animum Amor ussit festinantis Leandri;
lychno ardente una-ardebat: ad mare autem
insanarum undarum multisonum fremitum audiens
tremebat quidem primo, postea vero audaciam attollens
talibus adloquebatur exhortans mentem verbis :
Gravis Amor et mare inplacabile : sed maris
est aqua, Amoris vero me urit intestinus ignis.
Assume ignem, cor, ne time effusam aquam.
Ades mihi ad amorem; cur fluctus curas?
ignorasne, quod Cypria nata sit e-mari,
et dominetur ponto et nostris doloribus?
Sic fatus membris amabilibus exuit vestem
ambabus manibus suoque adstrinxit capiti,
littoreque exsiluit corpusque dejecit in-mare.
Splendentem vero festinabat semper adversus lychnum
ipse (existens) remex, ipse-classis, ipse-sibi navis.
Hero autem alta lucifera in turri,
perniciosis auris undecunque spirabat ventus,
veste sæpe lychnum tegebat, donec Sesti
multum fatigatus Leander venit ad portuosum littus.
Et ipsum suam ad turrim deduxit; ante fores vero
sponsum anhelantem complexa silentio,

ἀφροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης,
ἤγαγε νυμφοκόμοιο μυχοὺς ἔπι παρθενεῶνος,
καὶ χρόα πάντα κάθηρε, δέμας δ' ἔχριεν ἐλαίῳ
εὐόδμῳ, ῥοδέῳ, καὶ ἁλίπνοον ἔσβεσεν ὀδμήν.
Εἰσέτι δ' ἀσθμαίνοντα βαθυστρώτοις ἐνὶ λέκτροις
νυμφίον ἀμφιχυθεῖσα φιλήνορας ἴαχε μύθους·
Νυμφίε, πολλὰ μόγησας, ἃ μὴ πάθε νυμφίος ἄλλος,
νυμφίε, πολλὰ μόγησας· ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ
ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης·
δεῦρο, τεοὺς ἱδρῶτας ἐμοῖς παρακάτθεο κόλποις.
Ὣς ἡ μὲν τάδ' ἔειπεν· ὁ δ' αὐτίκα λύσατο μίτρην,
καὶ θεσμῶν ἐπέβησαν ἀριστονόου Κυθερείης.
Ἦν γάμος, ἀλλ' ἀχόρευτος· ἔην λέχος, ἀλλ' ἄτερ ὕ-
οὐ Ζυγίην Ἥρην τις ἐπευφήμησεν ἀοιδός· [μνων·
οὐ δαΐδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνήν·
οὐδὲ πολυσκάρθμῳ τις ἐπεσκίρτησε χορείῃ,
οὐχ ὑμέναιον ἄεισε πατὴρ καὶ πότνια μήτηρ·
ἀλλὰ λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις
Σιγὴ παστὸν ἔπηξεν, ἐνυμφοκόμησε δ' Ὀμίχλη,
καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.
Νὺξ μὲν ἔην κείνοισι γαμοστόλος, οὐδέ ποτ' Ἠὼς
νυμφίον εἶδε Λέανδρον ἀριγνώτοις ἐνὶ λέκτροις·
νήχετο δ' ἀντιπόροιο πάλιν ποτὶ δῆμον Ἀβύδου
ἐννυχίων ἀκόρητος ἔτι πνείων ὑμεναίων.
Ἡρὼ δ' ἑλκεσίπεπλος, ἑοὺς λήθουσα τοκῆας,
παρθένος ἠματίη, νυχίη γυνή. Ἀμφότεροι δὲ
πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν Ἠῶ.
Ὣς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην
κρυπταδίῃ τέρποντο μετ' ἀλλήλων Κυθερείῃ.
Ἀλλ' ὀλίγον ζώεσκον ἐπὶ χρόνον, οὐδ' ἐπὶ δηρὸν
ἀλλήλων ἀπόναντο πολυπλάγκτων ὑμεναίων·
ἀλλ' ὅτε παχνήεντος ἐπήλυθε χείματος ὥρη
φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας,
βένθεα δ' ἀστήρικτα θεμείλιά θ' ὑγρὰ θαλάσσης
χειμέριοι πνείοντες ἀεὶ στυφέλιζον ἀῆται,
λαίλαπι μαστίζοντες ὅλην ἅλα· τυπτομένης δὲ
ἤδη νῆα μέλαιναν ἀνέλκυσε διχθάδι χέρσῳ
χειμερίην καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
Ἀλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης,
καρτερόθυμε Λέανδρε· διακτορίη δέ σε πύργου,
ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
μαινομένης ὤτρυνεν ἀφειδήσαντα θαλάσσης,
νηλειὴς καὶ ἄπιστος. ὄφελλε δὲ δύσμορος Ἡρὼ
χείματος ἱσταμένοιο μένειν ἀπάνευθε Λεάνδρου
μηκέτ' ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων.
Ἀλλὰ πόθος καὶ μοῖρα βιήσατο· θελγομένη δὲ
Μοιράων ἀνέφαινε, καὶ οὐκέτι δαλὸν Ἐρώτων.
Νὺξ ἦν, εὖτε μάλιστα βαρυπνείοντες ἀῆται,
χειμερίαις πνοιῇσιν ἀκοντίζοντες ἀῆται,
ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Δὴ τότε καὶ Λείανδρος ἐθήμονος ἐλπίδι νύμφης
δυσκελάδων πεφόρητο θαλασσαίων ἐπὶ νώτων.
Ἤδη κύματι κῦμα κυλίνδετο, σύγχυτο δ' ὕδωρ·
αἰθέρι μίσγετο πόντος· ἀνέγρετο πάντοθεν ἠχὴ

spumeas-ex-capillis guttas adhuc stillantem maris,
duxit sponsam-ornantis ad penetralia virginalis-cubiculi,
et cutem totam abstersit, corpusque unxit oleo
bene-olenti, roseo, et mare-spirantem exstinxit odorem.
Adhuc autem anhelantem alte-stratis in lectis
sponsum circumfusa blanda clamabat verba :
Sponse, multa tulisti, quæ non passus-est sponsus alius,
sponse, multa tulisti: satis nunc tibi salsæ aquæ
odorisque piscosi graviter-frementis maris :
agedum, tuos sudores meo depone in-sinu.
Sic ea quidem hæc locuta-est; ille vero statim solvit
zonam,] et leges inierunt benevolæ Cythereæ.
Erant nuptiæ, sed sine-choreis; erat lectus, sed sine-hy-
mnis;] non jugalem Junonem quisquam invocavit poeta;
non tædarum illuminabat splendor nuptialem lectum;
neque peragili quisquam saltavit chorea,
non hymenæum cantavit pater et veneranda mater;
sed lectum sternens perficientibus-nuptias in horis
Silentium thalamum construxit, sponsamque-ornavit Ca-
ligo,] et nuptiæ erant absque cantatis hymenæis.
Nox quidem erat illis nuptiarum-ornatrix, neque unquam
Aurora]sponsum vidit Leandrum valde-notis in lectis :
natabat autem oppositæ rursus ad populum Abydi
nocturnos insatiatus adhuc spirans hymenæos :
Hero autem longa-induta-veste, suos latens parentes
virgo interdiu, noctu *erat* mulier : utrique autem
sæpe optarunt, ut-descenderet ad occasum dies.
Sic hi quidem amoris abscondentes necessitatem
occulta delectabantur inter-se Venere.
Sed exiguum vixerunt tempus, nec diu
invicem fruebantur multivagis nuptiis.
Sed quando pruinosæ venit hiemis hora
horrendas commovens multarum-vortiginum procellas,
profunditates instabiles fundamentaque madida maris
hiemales spirantes semper quassabant venti
turbine verberantes totum mare: vapulante autem *eo*
jam navem nigram subduxit utramque in terram
hiemale et perfidum vitans mare nauta.
Sed non hiberni te timor coercebat maris,
magnanime Leander: nuntius vero te turris,
consuetam monstrans lucem nuptiarum,
furentis impulit securum maris,
crudelis et perfidus. Debebat autem infelix Hero
hieme instante manere sine Leandro
non-amplius accendens brevis-temporis stellam lecti.
Sed amor et fatum cogebat; allecta autem *amore*
Parcarum ostendebat, non amplius facem Amorum.
Nox erat, quum maxime spirantes venti,
hiemalibus flatibus jaculantes venti,
cunctim irruunt in littus maris.
Jam tunc etiam Leander consuetæ spe sponsæ
valde-sonanti ferebatur maris in dorso.
Jam ab-unda unda volvebatur, accumulabatur vero aqua;
ætheri miscebatur pontus; concitabatur undique fremitus

μαρναμένων ἀνέμων· Ζεφύρῳ δ' ἀντέπνεεν Εὖρος,
καὶ Νότος ἐς Βορέην μεγάλας ἀφέηκεν ἀπειλάς·
καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσσης.
Αἰνοπαθὴς δὲ Λέανδρος ἀκηλήτοις ἐνὶ δίναις
πολλάκι μὲν λιτάνευσε θαλασσαίην Ἀφροδίτην,
πολλάκι δ' αὐτὸν ἄνακτα Ποσειδάωνα θαλάσσης·
Ἀτθίδος οὐ Βορέην ἀμνήμονα κάλλιπε νύμφης·
ἀλλά οἱ οὔτις ἄρηγεν, Ἔρως δ' οὐκ ἤρκεσε Μοίρας.
Πάντοθι δ' ἀγρομένοιο δυσαντέϊ κύματος ὁρμῇ
τυπτόμενος πεφόρητο, ποδῶν δέ οἱ ὤκλασεν ὁρμὴ,
καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων.
Πολλὴ δ' αὐτόματος χύσις ὕδατος ἔῤῥεε λαιμῷ,
καὶ ποτὸν ἀχρήϊστον ἀμαιμακέτου πίεν ἅλμης·
καὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης,
καὶ ψυχὴν καὶ ἔρωτα πολυτλήτοιο Λεάνδρου.
Ἡ δ', ἔτι δηθύνοντος, ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς
ἵστατο κυμαίνουσα πολυκλαύτοισι μερίμναις.
Ἤλυθε δ' Ἠριγένεια, καὶ οὐκ ἴδε νυμφίον Ἡρώ.
Πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
εἴπου ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην,
λύχνου σϐεννυμένοιο. Παρὰ κρηπῖδα δὲ πύργου
θρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην,
δαιδαλέον ῥήξασα περὶ στήθεσσι χιτῶνα,
ῥοιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου.
Κὰδ δ' Ἡρὼ τέθνηκεν ἐπ' ὀλλυμένῳ παρακοίτῃ,
ἀλλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

pugnantium ventorum: Zephyro enim contra-spirabat
Eurus] et Notus in Boream magnas immisit minas;
et fragor erat continuus valde-strepentis maris.
Gravia-passus autem Leander implacabilibus in gurgitibus
sæpe quidem precabatur marinam Venerem,
sæpe autem ipsum regem Neptunum maris;
Atthidis non Boream immemorem reliquit nymphæ:
sed ipsi nullus auxiliatus-est, Cupido autem non coercuit
Parcas.] Undique autem accumulati male-obvio fluctus
impetu] percussus ferebatur, pedum autem ei defecit vigor,
et vis fuit immobilis non-quiescentium manuum.
Multa autem spontanea effusio aquæ fluebat in-guttur,
et potum nequam impetuosi potavit salsi-maris:
et jam lychnum perfidum exstinxit amarus ventus,
et animam et amorem multum-passi Leandri.
Illa autem, *eo* adhuc morante, vigilibus oculis
stabat fluctuans luctuosis curis.
Venit autem Aurora, et non vidit sponsum Hero.
Ubique autem oculos dirigebat in lata dorsa maris
sicubi conspiceret errantem suum maritum,
lychno exstincto. Apud fundamentum vero turris
dilaniatum scopulis ut vidit mortuum maritum,
artificiosam disrumpens circa pectora tunicam
violenter præceps ab excelsa cecidit turri.
At Hero periit super mortuo marito,
se-invicem vero fructi-sunt etiam in ultima pernicie.

INDEX

NOMINUM ET RERUM.

M.

N.

O.

Π.

Σ.

Φ.

X.

Ω.

ΚΟΛΟΥΘΟΥ

ΑΡΠΑΓΗ ΕΛΕΝΗΣ.

COLUTHI

RAPTUS HELENÆ.

ΚΟΛΟΥΘΟΥ

ΑΡΠΑΓΗ ΕΛΕΝΗΣ.

Νύμφαι Τρωϊάδες, ποταμοῦ Ξάνθοιο γενέθλη,
αἳ πλοκάμων κρήδεμνα καὶ ἱερὰ παίγνια χειρῶν
πολλάκι πατρῴησιν ἐπὶ ψαμάθοισι λιποῦσαι
ἐς χορὸν Ἰδαίησιν ἐπεντύνεσθε χορείαις,
δεῦτε, θεμιστοπόλοιο νοήματα μηλοβοτῆρος
εἴπατέ μοι, κελάδοντος ἀπορνύμενος ποταμοῖο
ἐξ ὀρέων πόθεν ἦλθεν ἀήθεα πόντον ἐλαύνων,
ἀγνώσσων ἁλὸς ἔργα· τί δὲ χρέος ἔπλετο νηῶν
ἀρχεκάκων, ἵνα πόντον ὁμοῦ καὶ γαῖαν ὀρίνῃ
βουκόλος· ὠγυγίη δὲ τίς ἔπλετο νείκεος ἀρχὴ,
ὄφρα καὶ ἀθανάτοισι θεμιστεύσωσι νομῆες·
τίς δὲ δικασπολίη· πόθεν ἔκλυεν οὔνομα νύμφης
Ἀργείης· αὐταὶ γὰρ ἐθηήσασθε μολοῦσαι
Ἰδαίης τρικάρηνον ὑπὸ πρηῶνα Φαλάκρης
καὶ Πάριν οἰοπόλοισιν ἐφεδριόωντα θοώκοις
καὶ Χαρίτων βασίλειαν ἀγαλλομένην Ἀφροδίτην.
Ὡς ὁ μὲν ὑψιλόφοισιν ἐν οὔρεσιν Αἱμονιήων,
νυμφιδίων Πηλῆος ἀειδομένων ὑμεναίων,
Ζηνὸς ἐφημοσύνῃσιν ἐῳνοχόει Γανυμήδης·
πᾶσα δὲ κυδαίνουσα θεῶν ἔσπευδε γενέθλη
αὐτοκασιγνήτην λευκώλενον Ἀμφιτρίτης.
Ζεὺς μὲν ἀπ' Οὐλύμποιο, Ποσειδάων δὲ θαλάσσης,
ἐκ δὲ Μελισσήεντος ἀπ' εὐόδμου Ἑλικῶνος
Μουσάων λιγύφωνον ἄγων χορὸν ἦλθεν Ἀπόλλων·
χρυσείοις δ' ἑκάτερθε τινασσόμενος πλοκάμοισι
βότρυς ἀκερσεκόμης Ζεφύρῳ στυφελίζετο χαίτης·
τὸν δὲ μεθ' ὡμάρτησε κασιγνήτη Διὸς Ἥρη·
οὐδ' αὐτὴ βασίλεια καὶ ἁρμονίης Ἀφροδίτη
ἐρχομένη δήθυνεν ἐς ἄλσεα Κενταύροιο·
καὶ στέφος ἀσκήσασα γαμήλιον ἤλυθε Πειθὼ,
τοξευτῆρος Ἔρωτος ἐλαφρίζουσα φαρέτρην·
καὶ βριαρὴν τριφάλειαν ἀπὸ κροτάφοιο μεθεῖσα
ἐς γάμον ὡμάρτησε γάμων ἀδίδακτος Ἀθήνη·
οὐδὲ κασιγνήτη Λητωϊὰς Ἀπόλλωνος
Ἄρτεμις ἠτίμησε, καὶ ἀγροτέρη περ ἐοῦσα·
οἷος δ' οὐ κυνέην, οὐ δήϊον ἔγχος ἀείρων
ἐς δόμον Ἡφαίστοιο σιδήρεος ἔρχεται Ἄρης,
τοῖος ἄτερ θώρηκος, ἄτερ θηκτοῖο σιδήρου
μειδιόων ἐχόρευεν. Ἔριν δ' ἀγέραστον ἐάσας
οὐ Χείρων ἀλέγιζε καὶ οὐκ ἐμπάζετο Πηλεύς.
Ἡ δ', ἅτε βησσήεντος ἀποπλαγχθεῖσα νομοῖο
πόρτις ἐρημαίῃσιν ἐνὶ ξυλόχοισιν ἀλᾶται,
φοινήεντι μύωπι βοῶν ἐλατῆρι τυπεῖσα·
τοῖα βαρυζήλοισιν Ἔρις πληγῇσι δαμεῖσα
πλάζετο μαστεύουσα, θεῶν πῶς δαῖτας ὀρίνοι·
πολλάκι δ' εὐλάϊγγος ἀπὸ κλισμοῖο θοροῦσα
ἵστατο καὶ παλίνορσος ἐφέζετο· χειρὶ δὲ γαίης

COLUTHI

RAPTUS HELENÆ.

Nymphæ Troades, fluvii Xanthi soboles,
quæ capillorum vittis et sacris ludicris manuum
sæpe patriis in ripis relictis
ad chorum Idæis vos-confertis choreis,
agite, jura-statuentis consilia opilionis
dicite mihi, strepenti profectus ab-amne
e montibus cur venerit insuetum pontum *remis* agitans,
ignorans maris labores; quid autem opus fuerit navibus
auctoribus-malorum, ut pontum simul et terram commo-
veret] bubulcus; prisca vero quæ fuerit contentionis origo,
ut etiam immortalibus jus-dicerent pastores;
quodnam autem judicium *fuerit*; unde audiverit nomen
Nymphæ] Argivæ. Ipsæ enim spectavistis aggressæ,
Idææ tricipiti sub vertice Phalacræ,
et Paridem pastoralibus insidentem sedibus,
et Gratiarum reginam superbientem Venerem.
Sic igitur excelsis in montibus Hæmoniorum,
sponsales Pelei dum-canuntur hymenæi
Jovis jussu vinum-fudit Ganymedes.
Omne autem condecorare deorum properabat genus
sororem candidis-ulnis Amphitrites.
Juppiter quidem de Olympo, Neptunus autem e mari,
e Melisseente vero de fragrante Helicone
Musarum argutum ducens chorum venit Apollo;
aureis autem utrimque agitatus cincinnis
capillus intonsus Zephyro concutiebatur comæ:
eum autem comitata-est soror Jovis, Juno
neque ipsa regina etiam conjugii, Venus,
venire cunctata-est ad nemora Centauri:
et corona ornata nuptiali venit Suada,
sagittarii Cupidinis gerens pharetram:
et valida galea de capite deposita
ad nuptias secuta-est nuptiarum indocta Minerva:
neque soror Latonia Apollinis,
Diana, *venire* dedignata-est, etiamsi venatrix esset:
qualis autem non galeam, non hostilem hastam gerens
ad ædes Vulcani ferreus venit Mars,
talis absque lorica, absque acuto ferro
ridens saltabat. Eridem vero inhonoratam relinquens
non Chiro curabat neque respiciebat Peleus.
Ea autem, ut herbido aberrans pascuo
vitula desertis in silvis vagatur
letali tabano, boum agitatori, percussa,
sic Eris gravis-livoris verberibus domita
oberrabat investigans, Deorum quomodo epulas turbaret:
sæpe autem lapidea de sede prosiliens
stabat et retroacta insidebat; manu vero terræ

οὖδας ἄκαμπτον ἄραξε, καὶ οὐχ ἐφράσσατο πέ-
ἤθελεν ὀρφναίων γυάλων κληῖδας ἀνεῖσα, [τρην·
ἐκ χθονίων Τιτῆνας ἀναστήσασα βερέθρων,
οὐρανὸν ὑψιμέδοντος ἀϊστῶσαι Διὸς ἕδρην·
ἤθελε δ' ἠχήεντα πυρὸς πρηστῆρα τινάσσειν·
Ἡφαίστῳ δ' ὑπόειξεν, ἀμαιμακέτη περ ἐοῦσα,
καὶ πυρὸς ἀσβέστοιο καὶ ἰθυντῆρι σιδήρου·
καὶ σακέων βαρύδουπον ἐμήσατο κόμπον ἀράσ-
εἴ ποτε δειμαίνοντες ἀναθρώσκοιεν ἰωήν· [σειν,
ἀλλὰ καὶ ὁπλοτέρης δολίης ἀνεχάσσατο βουλῆς,
Ἄρεα δειμαίνουσα, σιδήρεον ἀσπιδιώτην.
Ἤδη δ' Ἑσπερίδων χρυσέων ἐμνήσατο μήλων·
ἔνθεν ἔριν πτολέμοιο προάγγελον, ἔρνος ἰδοῦσα
μήλου, ἀριζήλων τ' ἐφράσσατο δήνεα μόχθων·
χειρὶ δὲ δινήσασα μόθου πρωτόσπορον ἀρχὴν
ἐς θαλίην ἔρριψε· χορὸν δ' ὤρινε θεάων.
Ἥρη μὲν παράκοιτις ἀγαλλομένη Διὸς εὐνῇ,
ἵστατο θαμβήσασα καὶ ἤθελε ληΐζεσθαι·
πασάων δ' ἅτε Κύπρις ἀρειοτέρη γεγαυῖα,
μῆλον ἔχειν ἐπόθησεν, ὅτι κτέρας ἐστὶν Ἐρώτων·
Ἥρη δ' οὐ μεθέηκε καὶ οὐχ ὑπόειξεν Ἀθήνη·
Ζεὺς δὲ θεάων νεῖκος ἰδὼν, ὃν παῖδα καλέσσας
τοῖον ὑποδρήσσοντα προσέννεπεν Ἑρμάωνα.
Εἴ τινά που Ξάνθοιο παρ' Ἰδαίοιο ῥεέθροις
παῖδα Πάριν Πριάμοιο, τίν' ἀγλαὸν ἡβητῆρα,
Τροίης βουκολέοντα κατ' οὔρεα, τέκνον, ἀκούεις,
κείνῳ μῆλον ὄπαζε· διακρίνειν δὲ θεάων [πων.
κέκλεο καὶ βλεφάρων ξυνοχὴν καὶ κύκλα προσώ-
Ἡ δὲ διακρινθεῖσα φέρειν περίπυστον ὀπώρην
κάρτος ἀρειοτέρης ἐχέτω καὶ κόσμον Ἐρώτων.
Ὣς ὁ μὲν Ἑρμάωνι πατὴρ ἐπέτελλε Κρονίων·
αὐτὰρ ὁ πατρῴῃσιν ἐφημοσύνῃσι πιθήσας
εἰς ὁδὸν ἡγεμόνευε καὶ οὐκ ἀμέλησε θεάων.
Πᾶσα δὲ λωϊτέρην καὶ ἀμείνονα δίζετο μορφήν·
Κύπρις μὲν δολόμητις ἀναπτύξασα καλύπτρην
καὶ περόνην θυόεντα διαστήσασα κομάων,
χρυσῷ μὲν πλοκάμους, χρυσῷ δ' ἐστέψατο χαίτην·
τοῖα δὲ παῖδας Ἔρωτας ἀνήϋτησεν ἰδοῦσα·
Ἐγγὺς ἀγὼν, φίλα τέκνα· περιπτύξασθε τιθήνην·
σήμερον ἀγλαΐαι με διακρινέουσι προσώπων·
δειμαίνω, τίνι μῆλον ὁ βουκόλος οὗτος ὀπάσσει.
Ἥρην μὲν Χαρίτων ἱερὴν ἐνέπουσι τιθήνην,
φασὶ δὲ κοιρανίην μεθέπειν καὶ σκῆπτρα φυλάσσειν·
καὶ πολέμων βασίλειαν ἀεὶ καλέουσιν Ἀθήνην·
μούνη Κύπρις ἄναλκις ἔην θεός· οὐ βασιλήων
κοιρανίην, οὐκ ἔγχος Ἀρήϊον, οὐ βέλος ἕλκω.
Ἀλλὰ τί δειμαίνω περιώσιον; ἀντὶ μὲν αἰχμῆς,
ὡς θοὸν ἔγχος ἔχουσα μελίφρονα θεσμὸν ἐρώτων,
κεστὸν ἔχω· καὶ κέντρον ἄγω καὶ τόξον ἀείρω
κεστὸν, ὅθεν φιλότητος ἐμῆς βαρὺν οἶστρον ἑλοῦσαι
πολλάκις ὠδίνουσι καὶ οὐ θνήσκουσι γυναῖκες.
Τοῖον ἐφεσπομένη ῥοδοδάκτυλος ἔννεπε Κύ-
Οἱ δ' ἄρα μητρῴης ἐρατῆς ἀΐοντες ἐφετμῆς [πρις.
φοιτητῆρες Ἔρωτες ἐπεῤῥώοντο τιθήνῃ.

solum immotum percussit neque animadvertit saxum;
volebat tenebrosorum carcerum obicibus remotis
e subterraneis Titanes excitando voraginibus
cœlum in-alto-regnantis perdere Jovis sedem',
volebat etiam sonorum ignis turbinem quassare;
at Vulcano cessit, quamvis invicta esset,
et ignis inextincti et moderatori ferri :
et scutorum gravisonum meditata-est strepitum ciere,
si forte formidantes retrocederent *Dii* fragorem;
sed etiam a-novissimo *hoc* doloso discessit consilio,
Martem formidans, ferreum scutigerum.
Jam vero Hesperidum aureorum meminerat malorum :
inde jurgium belli pronuncium, germine conspecto
mali, ingentiumque excogitavit consilia contentionum :
manu autem rotans belli primum-satam originem
in convivium projecit, cœtum vero turbavit Dearum.
Juno quidem conjux superbiens Jovis lecto
stetit stupefacta et voluit abripere :
omnibus autem Cypria utpote præstantior nata,
malum habere cupivit, quoniam possessio est Cupidinum :
Junoni vero non indulsit neque concessit Minerva.
Juppiter autem Dearum litem quum-vidisset, suo filio
vocato,] sic dicto-audientem allocutus-est Mercurium.
Si quendam forte Xanthi juxta Idæi fluenta
filium Paridem Priami, quendam splendidum juvenem,
Trojæ pascentem in montibus, fili, audis,
illi malum præbeas, dijudicare autem Dearum
jubeas *eum* et superciliorum nexum et orbes vultuum.
Ea autem, quæ-dijudicata-fuerit auferre insignem fructum,
victoriam præstantioris habeto et decus Amorum.
Ita quidem Mercurio pater mandavit Saturnius :
at is patriis jussis obediens
itineris dux-erat neque negligens-erat Dearum
Quæque autem gratiorem et meliorem quæsivit formam :
Cypria quidem dolosa, soluto velo
et fibula odorata diducta comarum,
auro quidem cincinnos, auroque coronavit comas;
sic autem filios Cupidines allocuta-est intuita :
Prope *est* certamen, cari filii, adeste matri;
hodie venustates me dijudicabunt faciei :
vereor, cui malum bubulcus ille oblaturus-sit.
Junonem quidem Gratiarum sanctam dicunt nutricem,
dicunt autem *eam* imperium obtinere et sceptra servare;
et bellorum reginam semper vocant Minervam :
sola Cypria impotens eram dea; non regum
imperium, non hastam Martiam, non telum educo.
Sed quid formido frustra? loco quidem mucronis
tanquam acutam hastam habens dulcia fœdera amorum,
cestum habeo et spiculum agito et arcum tollo
cestum, unde amoris mei sævum stimulum capientes
sæpe doloribus-cruciantur, at non moriuntur mulieres
Sic sequens *Mercurium* roseis-digitis dicebat Cypria.
Itaque maternum gratum audientes mandatum
strenui Cupidines sequebantur nutricem.

Ἄρτι μὲν Ἰδαίην ὑπερέδραμον οὔρεος ἄκρην,
ἔνθα λιθοχρήδεμνον ὑπὸ πρηῶνος ἐρίπνην
κουρίζων ἐνόμευε Πάρις πατρώϊα μῆλα,
ποιμαίνων θ' ἑκάτερθεν ἐπὶ προχοῇσιν ἀναύρου
νόσφι μὲν ἀγρομένων ἀγέλην πεμπάζετο ταύρων,
νόσφι δὲ βοσκομένων διεμέτρεε πώεα μήλων.
Καί τις ὀρεσσαύλοιο δορὴ μετόπισθε χιμαίρης
ἐκκρεμὲς ἠώρητο καὶ αὐτῶν ἅπτετο μηρῶν·
ποιμενίη δ' ὑπέκειτο βοῶν ἐλάτειρα καλαῦροψ.
Τοῖος ἐπεὶ σήραγγος ἐς ἤθεα βαιὸς ὁδεύοι,
ἀγροτέρων καλάμων λιγυρὴν ἐδίωκεν ἀοιδήν.
Πολλάκι δ' οἰοπόλοισιν ἐνὶ σταθμοῖσιν ἀείδων,
καὶ ταύρων ἀμέλησε καὶ οὐκ ἐμπάζετο μήλων.
Ἐνθάδ' ἔχων σύριγγα καθ' ἤθεα καλὰ νομήων,
Πανὶ καὶ Ἑρμάωνι φίλην ἀνεβάλλετο μολπήν.
Οὐ κύνες ὠρύοντο καὶ οὐ μυκήσατο ταῦρος·
μούνη δ' ἠνεμόεσσα, βοῆς ἀδίδακτος ἐοῦσα,
Ἰδαίων ὀρέων ἀντίθροος ἴαχεν Ἠχώ·
ταῦροι δὲ χλοερῆς κεκορηότες ὑψόθι ποίης,
κεκλιμένοι βαρύγουνον ἐπ' ἰσχίον εὐνάζοντο.
Ὡς ὁ μὲν ὑψορόφοιο φυτῶν ὑπένερθε καλύπτρης
τηλόθεν Ἑρμάωνα διάκτορον εἶδε λιγαίνων·
δειμαίνων δ' ἀνόρουσε, θεῶν δ' ἀλέεινεν ὀπωπήν·
καὶ χορὸν εὐκελάδων δονάκων ἐπὶ φηγὸν ἐρείσας,
μήπω πολλὰ καμοῦσαν ἑὴν ἀνέκοπτεν ἀοιδήν.
Τοῖα δὲ δειμαίνοντα προσέννεπε θέσκελος Ἑρμῆς·
Γαῦλον ἀποῤῥίψας καὶ πώεα καλὰ μεθήσας
δεῦρο θεμιστεύσειας ἐπουρανίῃσι δικάζων·
δεῦρο διακρίνων προφερέστερον εἶδος ὀπωπῆς,
φαιδροτέρῃ τόδε μῆλον, ἐπήρατον ἔρνος, ὀπάσσαις.
Τοῖον ἀνηύτησεν· ὁ δὲ ἤπιον ὄμμα τανύσσας
ἦκα διακρίνειν πειρήσατο κάλλος ἑκάστης. [ρὴν
Δέρκετο μὲν γλαυκῶν βλεφάρων σέλας, ἔδρακε δει-
χρυσῷ δαιδαλέην, ἐφράσσατο κόσμον ἐθείρης,
καὶ πτέρνης μετόπισθε καὶ αὐτῶν ἴχνια ταρσῶν.

Τοῖον Ἀλεξάνδρῳ μυθήσατο μῦθον Ἀθήνη· [σας
Δεῦρο, τέκος Πριάμοιο, Διὸς παράκοιτιν ἐά-
καὶ θαλάμων βασίλειαν ἀτιμήσας Ἀφροδίτην,
ἠνορέης ἐπίκουρον ἐπαινήσειας Ἀθήνην.
Φασί σε κοιρανέειν καὶ Τρώϊον ἄστυ φυλάσσειν·
δεῦρό σε τειρομένοισι σαόπτολιν ἀνδράσι θήσω,
μή ποτέ σοι βαρύμηνις ἐπιβρίσειεν Ἐνυώ.
Πείθεο, καὶ πτολέμους σε καὶ ἠνορέην σε διδάξω.
Ὡς ἡ μὲν πολύμητις ἀνηύτησεν Ἀθήνη.
Τοῖα δ' ὑποβλήδην λευκώλενος ἔννεπεν Ἥρη·
Εἴ με διακρίνων προφερέστερον, ἔρνος ὀπάσσῃς,
πάσης σ' ἡμετέρης Ἀσίης ἡγήτορα θήσω.
Ἔργα μόθων ἀθέριζε· τί γὰρ πολέμων βασιλῆϊ;
κοίρανος ἰφθίμοισι καὶ ἀπτολέμοισι κελεύει·
οὐκ αἰεὶ θεράποντες ἀριστεύουσιν Ἀθήνης·
ὠκύμοροι θνήσκουσιν ὑποδρηστῆρες Ἐνυοῦς.
Τοίην κοιρανίην πρωτόθρονος ὤπασεν Ἥρη.
Ἡ δ' ἑανὸν βαθύκολπον ἐς ἠέρα, γυμνώσασα

Modo quidem Idæum superaverant montis cacumen,
ubi lapidibus-cincto sub rupis jugo
adolescens pascebat Paris paternas oves,
pascensque utrimque ad fluenta torrentis,
seorsim quidem congregatorum armenta numerabat tau-
rorum,] seorsim vero pascentium dividebat greges ovium
Et quædam montanæ pellis a-tergo capræ
suspensa pendebat et ipsa attingebat femora
pastorale autem aderat, boum stimulus, pedum.
Talis dum antri in suetas-sedes lentus procedit,
agrestium arundinum argutam prosequebatur cantilenam.
Sæpe vero ovilibus in stabulis canens
et tauros neglexit, neque curam-gessit ovium.
Ibi gerens fistulam secundum consuetudines pulcras pa-
storum] Pani et Mercurio gratam offerebat cantilenam.
Non canes ululabant neque mugiebat taurus;
sola autem ventosa, vocis indocta quæ-est,
ab-Idæis montibus resonans clamabat Echo;
tauri autem viridi saturati super herba
reclinati tardam in coxam quiescebant.
Ita ille quidem alto arborum sub tegmine
eminus Mercurium nuntium vidit acute-canens:
formidans vero exiluit dearumque fugit conspectum,
et seriem bene-sonantium arundinum (*fistulam*) in fagum
reclinata,]nondum longe productum suum abrupit cantum.
Talibus vero formidantem allocutus-est divus Mercurius:
Mulctro posito et gregibus pulcris relictis
age, jura-des cœlestibus *deabus* arbiter,
age, discernens præstantiorem formam faciei
splendidiori hocce malum, amabile germen, præbeas.
Sic locutus-est: ille vero blandum oculum intendens
sedate dijudicare tentavit pulcritudinem uniuscujusque.
Vidit quidem cæsiorum oculorum splendorem, vidit collum
auro arteficiose-ornatum, animadvertit decus comæ
et calcanei a-tergo et ipsarum vestigia plantarum.

Tale Alexandro dixit verbum Minerva:
Age, fili Priami, Jovis conjuge neglecta
et thalamorum regina contempta Venere,
fortitudinis adjutricem probes Minervam.
Dicunt te imperare et Trojanam urbem custodire
age, te afflictis civitatis-servatorem viris faciam,
ne quando te iracunda opprimat Bellona.
Crede *mihi*, et bella te et fortitudinem te docebo.
Sic quidem sapientissima locuta-est Minerva.
Talia autem, excipiens, candidis-ulnis dixit Juno:
Si me dijudicans præstantiorem, germen præbeas,
totius te nostræ Asiæ regem faciam.
Opera pugnarum contemne: quo enim bella regi?
imperator fortibus et imbellibus præest:
non semper cultores excellunt Minervæ;
præmature-pereuntes moriuntur ministri Bellonæ.
Tale imperium primo-throno-insidens obtulit Juno.
At vestem sinuosam in aera, denudato

[156] κόλπον, ἀνηώρησε καὶ οὐκ ἠδέσσατο Κύπρις·
χειρὶ δ' ἐλαφρίζουσα μελίφρονα θεσμὸν ἐρώτων,
στῆθος ἅπαν γύμνωσε καὶ οὐκ ἐμνήσατο μαζῶν.
Τοῖα δὲ μειδιόωσα προσέννεπε μηλοβοτῆρα,
[136] χειρῶν μειδιόωντα δίκης προπάροιθεν ἑλοῦσα·
Δέξο με καὶ πολέμων ἐπιλήθεο· δέχνυσο μορφὴν
ἡμετέρην, καὶ σκῆπτρα καὶ Ἀσίδα κάλλιπε γαῖαν.
Ἔργα μόθων οὐκ οἶδα· τί γὰρ σακέων Ἀφροδίτῃ;
ἀγλαΐῃ πολὺ μᾶλλον ἀριστεύουσι γυναῖκες.
Ἀντὶ μὲν ἠνορέης ἐρατὴν παράκοιτιν ὀπάσσω,
ἀντὶ δὲ κοιρανίης Ἑλένης ἐπιβήσεο λέκτρων·
νυμφίον ἀθρήσει σε μετὰ Τροίην Λακεδαίμων.
Οὔπω μῦθος ἔληγεν, ὁ δ' ἀγλαὸν ὤπασε μῆλον,
ἀγλαΐης ἀνάθημα, μέγα κτέρας Ἀφρογενείῃ,
φυταλιὴν πολέμοιο, κακὴν πολέμοιο γενέθλην.
Χειρὶ δὲ μῆλον ἔχουσα τόσην ἀνενείκατο φωνήν,
Ἥρην κερτομέουσα καὶ ἀντιάνειραν Ἀθήνην·
Εἴξατέ μοι, πολέμοιο συνήθεες, εἴξατε νίκης!
ἀγλαΐην ἐφίλησα, καὶ ἀγλαΐη με διώκει.
Φασί σε, μῆτερ Ἄρηος, ὑπ' ὠδίνεσσιν ἀέξειν
ἠϋκόμων Χαρίτων ἱερὸν χορόν· ἀλλά σε πᾶσαι
σήμερον ἠρνήσαντο, καὶ οὐ μίαν εὗρες ἀρωγόν.
Οὐ σακέων βασίλεια, καὶ εἰ πυρός ἐστι τιθήνη,
οὔ σοι Ἄρης ἐπάρηξε, καὶ εἰ δορὶ μαίνεται Ἄρης,
οὐ φλόγες Ἡφαίστοιο, καὶ εἰ φλογὸς ἆσθμα λοχεύει.
[183] Οἷα δὲ, χαλκείοισι καλυψαμένη χρόα πέπλοις,
οἷα σὺ κυδιάεις ἀνεμώλιος, Ἀτρυτώνη!
[180] ἣν γάμος οὐκ ἔσπειρε καὶ οὐ μαιώσατο μήτηρ,
ἀλλὰ σιδηρείη σε τομὴ καὶ ῥίζα σιδήρου
πατρώων ἀλόχευτον ἀνεβλάστησε καρήνων·
καὶ φεύγεις φιλότητα καὶ Ἄρεος ἔργα διώκεις,
ἁρμονίης ἀδίδακτος, ὁμοφροσύνης ἀδαήμων.
Ἀγνώσσεις ὅτι μᾶλλον ἀνάλκιδές εἰσιν Ἀθῆναι
τοῖαι, κυδαλίμοισιν ἀγαλλόμεναι πολέμοισι,
κεκριμένων μελέων οὔτ' ἄρσενες οὔτε γυναῖκες;
Τοῖον ἐφυβρίζουσα προσέννεπε Κύπρις Ἀθήνην.
Ὣς ἡ μὲν πτολίπορθον ἀέθλιον ἔλλαχε μορφῆς,
Ἥρην ἐξελάσασα καὶ ἀσχαλόωσαν Ἀθήνην.
Ἱμείρων δ' ὑπ' ἔρωτι καὶ ἣν οὐκ εἶδε διώκων
Δύσπαρις, ἀθροίσας ἐπὶ δάσκιον ἤγαγεν ὕλην
ἀνέρας ἐργοπόνοιο δαήμονας Ἀτρυτώνης.
Ἔνθα τανυπρέμνοιο δαϊζόμεναι δρύες Ἴδης
ἤριπον ἀρχεκάκοιο περιφροσύνῃσι Φερέκλου,
ὃς τότε μαργαίνοντι χαριζόμενος βασιλῆϊ
νῆας Ἀλεξάνδρῳ δρυτόμῳ τεκτήνατο χαλκῷ.
Αὐτῆμαρ προβέβουλε καὶ αὐτῆμαρ κάμε νῆας,
νῆας, ἃς οὐκ ἐνόησε καὶ οὐκ ἤσκησεν Ἀθήνη.
Ἄρτι μὲν Ἰδαίων ὀρέων ἠλλάξατο πόντον,
καὶ λεχέων ἐπίκουρον ἐφεσπομένην Ἀφροδίτην
πολλάκις ἀκταίοισιν ἱλασκόμενος θυέεσσιν,
ἔπλεεν Ἑλλήσποντον ἐπ' εὐρέα νῶτα γαλήνης·
τῷ δὲ πολυτλήτων σημήϊα φαίνετο μόχθων.
Κυανέη μὲν ὕπερθεν ἀναθρώσκουσα θύελλα
οὐρανὸν ὀρφναίων ἑλίκων ἐζώσατο δεσμῷ,

sinu, sustulit neque pudorem-habuit Cypria
manu vero relaxans dulcia mysteria amorum
pectus omne nudavit neque cogitavit de mammis.
Talibus autem subridens allocuta-est opilionem,
manibus subridentem ante judicium prehendens.
Accipe me et bellorum obliviscere, accipe forman
nostram, et sceptra et Asiam mitte terram.
Opera pugnarum non novi : quo enim scuta Veneri
pulcritudine multo magis excellunt feminæ.
Pro fortitudine quidem amabilem conjugem dabo,
pro imperio autem Helenæ conscendes lectum
sponsum videbit te post Trojam Lacedæmon.
Nondum sermo finem-habuit, ille autem splendidum obtu
lit malum,] pulchritudinis donarium, magnam possessio
nem Spumigenæ,] semen belli, pravum belli ortum.
Manu autem malum tenens talem edidit vocem,
Junonem carpens et viraginem Minervam :
Cedite mihi, bello adsuefactæ, cedite victoriam!
Pulchritudinem amavi et pulcritudo me comitatur.
Dicunt te, mater Martis, doloribus enixam-esse
pulcricomarum Gratiarum sacrum chorum; sed te omnes
hodie deseruerunt, neque ullam invenisti auxiliatricem.
Non scutorum regina (*Bellona*), etiamsi ignis est nutrix
non tibi Mars succurrit, etiamsi hasta furit Mars,
non flammæ Vulcani, etiamsi flammæ halitum gign'
Quomodo autem, æreis tecta corpus vestimentis,
quomodo tu superbis vana, Minerva!
quam connubium non sevit, neque peperit mater,
sed ferreus (*ferri*) te ictus et radix ferri
e-paterno non-partam produxit capite.
Et fugis amorem et Martis labores sectaris,
harmoniæ indocta, concordiæ imperita.
Ignoras*ne*, quod potius impotentes sunt Minervæ
tales, gloriosis se-delectantes bellis,
discrepantibus membris nec viri nec feminæ?
Ita superbiens allocuta-est Cypria Minervam.
Sic ea quidem urbes-evertens præmium accepit formæ,
Junone expulsis et indignanti Minerva.
Desiderans autem præ amore et, quam non norat, perse-
quens] funestus-Paris congregatos in umbrosam duxit sil-
vam] viros laboriosæ peritos Minervæ (*architecturæ*).
Ubi proceros-stipites-ferentis resectæ ilices Idæ
ceciderunt malorum-auctoris consilio Pherecli,
qui tunc fatuo gratificatus regi
naves Alexandro ligna-cædente exstruxit ferro.
Eodem-die decrevit et eodem-die fabricavit naves,
naves, quas non excogitavit neque compegit Minerva.
Jam igitur Idæis montibus mutaverat pontum,
et lectorum conciliatricem comitantem Venerem
sæpe littoralibus cum-placasset sacrificiis,
navigavit Hellespontum supra lata terga æquoris :
huic autem gravium signa apparuerunt ærumnarum.
Ater quidem sursum assiliens turbo
cœlum obscurarum nubium-tortarum cinxit vinculo,

εἶθαρ ὁμιχλήεντος ἀπ' ἠέρος ὄμβρον ἰεῖσα·
ἐκλύσθη δ' ὑπὸ πόντος ἐρεσσομένων ἐρετάων.
Τόφρα δὲ Δαρδάνιον καὶ Τρώϊον οὖδας ἀμείψας
Ἰσμαρίδος μεθέηκε παραπλώων στόμα λίμνης·
αἶψα δὲ Θρηϊκίοιο μετὰ ῥία Παγγαίοιο
Φυλλίδος ἀντέλλοντα φιλήνορος ἔδρακε τύμβον,
καὶ δρόμον ἐννεάκυκλον ἀλήμονος εἶδε κελεύθου,
ἔνθα διαστείχουσα κινύρεο, Φυλλὶς, ἀκοίτην
δεχνυμένη παλίνορσον ἀπήμονα Δημοφόωντα,
ὁππότε νοστήσειεν Ἀθηναίης ἀπὸ δήμων.
Τῷ δὲ βαθυκλήροιο διὰ χθονὸς Αἱμονιήων
ἐξαπίνης ἀνέτελλεν Ἀχαιΐδος ἄστεα γαίης,
Φθίη βωτιάνειρα καὶ εὐρυάγυια Μυκήνη.
Ἔνθεν ἀνερχομένοιο παρ' εἱαμενὰς Ἐρυμάνθου
Σπάρτην καλλιγύναικα, φίλην πόλιν Ἀτρείωνος,
κεκλιμένην ἐνόησεν ἐπ' Εὐρώταο ῥεέθροις.
Ἄγχι δὲ ναιομένην ὑπὸ δάσκιον οὔρεος ὕλην
γείτονα παπταίνων ἐρατὴν θηεῖτο Θεράπνην.
Οὔπω κεῖθεν ἔην δολιχὸς πλόος, οὐδὲ γαλήνης
δηρὸν ἐρεσσομένων ἠκούετο δοῦπος ἐρετμῶν.
Καὶ χθονὸς εὐκόλποισιν ἐπ' ἠϊόνεσσι βαλόντες
πείσματα νηὸς ἔδησαν, ὅσοις ἁλὸς ἔργα μέμηλεν.
Αὐτὰρ ὁ χιονέοιο λοεσσάμενος ποταμοῖο
ᾤχετο φειδομένοισιν ἐπ' ἴχνεσιν ἴχνος ἐρείδων,
μὴ πόδες ἱμερόεντες ὑποχραίνοιντο κονίῃς,
μὴ πλοκάμων κυνέηφιν ἐπιβρίσαντες ἐθείρας
ὀξύτερον σπεύδοντος ἀναστέλλοιεν ἀῆται.
Ἄρτι μὲν αἰπύδμητα φιλοξείνων ναετήρων
δώματα παπταίνων καὶ γείτονας ἐγγύθι νηοὺς,
ἄστεος ἀγλαΐην διεμέτρεεν, ἔνθα μὲν αὐτῆς
χρύσεον ἐνδαπίης θηεύμενος εἶδος Ἀθήνης,
ἔνθα δὲ Καρνείοιο φίλον κτέρας Ἀπόλλωνος,
οἶκον Ἀμυκλαίοιο παραγνάμψας Ὑακίνθου,
ὅν ποτε κουρίζοντα σὺν Ἀπόλλωνι νοήσας
δῆμος Ἀμυκλαίων ἠγάσσατο, μὴ Διὶ Λητὼ
κυσαμένη καὶ τοῦτον ἀνήγαγεν. Αὐτὰρ Ἀπόλλων
οὐκ ἐδάη Ζεφύρῳ ζηλήμονι παῖδα φυλάσσων.
Γαῖα δὲ δακρύσαντι χαριζομένη βασιλῆϊ
ἄνθος ἀνηέξησε παραίφασιν Ἀπόλλωνι,
ἄνθος ἀριζήλοιο φερώνυμον ἡβητῆρος.
Ἤδη δ' ἀγχιπόροισιν ἐπ' Ἀτρείδαο μελάθροις
ἵστατο, θεσπεσίῃσιν ἀγαλλόμενος χαρίτεσσιν.
Οὐ Διὶ τοῖον ἔτικτεν ἐπήρατον υἷα Θυώνη·
ἰλήκοις, Διόνυσε, καὶ εἰ Διός ἐσσι γενέθλης·
καλὸς ἔην καὶ κεῖνος ἐπ' ἀγλαΐῃσι προσώπου.
Ἡ δὲ φιλοξείνων θαλάμων κληῗδας ἀνεῖσα
ἐξαπίνης Ἑλένη μετεκίαθε δώματος αὐλήν·
καὶ θαλάμου προπάροιθεν ὀπιπεύουσα θυράων,
ὡς ἴδεν, ὣς ἐκάλεσσε καὶ ἐς μυχὸν ἤγαγεν οἴκου,
καί μιν ἐφεδρήσσειν νεοπηγέος ὑψόθεν ἕδρης
ἀργυρέης ἐπέτελλε· κόρον δ' οὐχ εἶχεν ὀπωπῆς·
ἄλλοτε δὲ χρύσειον ὀϊσαμένη Κυθερείης
κοῦρον ὀπιπεύειν θαλαμηπόλον· ὀψὲ δ' ἀνέγνω,
ὡς οὐκ ἔστιν Ἔρως· βελέων δ' οὐκ εἶδε φαρέτρην.

subito nebuloso ex aere imbrem immittens :
æstuavit autem subtus pontus remigantibus remigibus.
Tunc vero Dardanio et Troico solo mutato
Ismaricæ reliquit præternavigans ostium paludis;
moxque Threicii post juga Pangæi
Phyllidis surgentem virum-amantis conspexit tumulum .
et cursum novies-retortum erraticæ vidit viæ
ubi obambulans lugebas, Phyllis, maritum
expectans reducem incolumem Demophontem,
quando reverteretur Minervæ a populo.
Illi vero (*Paridi*) opulentam per terram Hæmoniorum
extemplo apparuerunt Achaicæ urbes terræ,
Phthia virorum-altrix et latis-viis Mycenæ.
Inde surgentis juxta palustria-loca Erymanthi
Spartam formosis-mulieribus, caram urbem Atridæ,
jacentem conspexit ad Eurotæ fluenta.
Prope autem *bene*-habitatas sub umbrosa montis silva
vicinas circumspiciens amœnas contemplatus-est Therapnas.] Non-jam inde erat longa navigatio, neque æquoris
diu agitatis audiebatur sonitus remis.
Et terræ bene-sinuata in littora injectos
funes navis ligarunt *ii*, quibus maris opera curæ-erant.
At ille (*Paris*) niveo ablutus fluvio
incedebat parcis in vestigiis vestigium figens,
ne pedes amabiles contaminarentur pulvere,
ne cincinnorum, pileo ingruentes, cæsariem
ocius festinantis turbarent venti.
Statim quidem excelsa hospitalium incolarum
domicilia circumspiciens et vicina cominus templa,
urbis decus *oculis* dimensus-est, ibi quidem ipsius
aureum indigenæ contemplans simulacrum Minervæ,
ibi vero Carnei caram possessionem Apollinis,
domum Amyclæi, alio-deflectens, Hyacinthi,
quem olim ludentem cum Apolline videns
populus Amyclæorum obstupuit, quod-non ex Jove Latona
gravida etiam-hunc *in lucem* edidisset. At Apollo
ignorabat Zephyro æmulo puerum se asservare,
Terra autem ploranti gratificata regi
florem produxit solatium Apollini,
florem præclari ferentem-nomen adolescentis.
Jam autem viæ-adjacentes ad Atridæ ædes
constitit, divinis insignitus gratiis.
Non Jovi talem peperit amabilem filium Thyone :
ignoscas, Bacche, etsi Jovis es e-prosapia :
pulcher erat et ille splendore faciei.
At hospitalium thalamorum foribus reseratis,
statim Helena transiit ædificii atrium,
et ante ædium circumspectans fores
ut vidit, continuo vocavit et in recessum duxit domus,
et eum insidere recens-constructa in sede
argentea jussit; satietatem vero non habuit adspectus.
modo autem aureum putans Cythereæ
filium se conspicere thalamorum-ministrum : tandem vero
cognovit,] quod non est Cupido : sagittarum enim non vidit

Πολλάκι δ' ἀγλαΐησιν εὐγλήνοιο προσώπου
παπταίνειν ἐδόκευε τὸν ἡμερίδων βασιλῆα·
ἀλλ' οὐχ ἡμερίδων θαλερὴν ἐδόκευεν ὀπώρην
πεπταμένην χαρίεντος ἐπὶ ξυνοχῇσι καρήνου.
Ὀψὲ δὲ θαμβήσασα τόσην ἀνενείκατο φωνήν·
Ξεῖνε, πόθεν τελέθεις ἐρατὸν γένος; εἰπὲ καὶ [ἡμῖν.
Ἀγλαΐην μὲν ἔοικας ἀριζήλῳ βασιλῆϊ,
ἀλλὰ τεὴν οὐκ οἶδα παρ' Ἀργείοισι γενέθλην·
Οὐ Πύλον ἠμαθόεσσαν ἔχεις, Νηλήϊον οὖδας·
Ἀντίλοχον δεδάηκα, τεὴν δ' οὐκ εἶδον ὀπωπήν·
οὐ Φθίην χαρίεσσαν, ἀριστήων τροφὸν ἀνδρῶν·
πᾶσαν Δευκαλίωνος ἀμύμονος οἶδα γενέθλην,
οἶδα περικλήϊστον ὅλον γένος Αἰακιδάων,
ἀγλαΐην Πηλῆος, ἐϋκλείην Τελαμῶνος,
ἤθεα Πατρόκλοιο καὶ ἠνορέην Ἀχιλῆος.
Τοῖα Πάριν ποθέουσα λιγύθροος ἔννεπε νύμφη.
Αὐτὰρ ὁ μειλιχίην ἠμείβετο γῆρυν ἀνοίξας·
Εἴ τινά που Φρυγίης ἐπὶ πείρασι γαῖαν ἀκούεις,
Ἴλιον, ἣν πύργωσε Ποσειδάων καὶ Ἀπόλλων·
εἴ τινά που πολύολβον ἐνὶ Τροίῃ βασιλῆα
ἔκλυες εὐώδινος ἀπὸ Κρονίδαο γενέθλης·
ἔνθεν ἀριστεύων ἐμφύλια πάντα διώκω.
Εἰμὶ, γύναι, Πριάμοιο πολυχρύσου φίλος υἱός·
εἰμὶ δὲ Δαρδανίδης· ὁ δὲ Δάρδανος ἐκ Διὸς ἦεν,
ᾧ καὶ ἀπ' Οὐλύμποιο θεοὶ ξυνήονες ἀνδρῶν
πολλάκι θητεύουσι, καὶ ἀθάνατοί περ ἐόντες.
Ὧν ὁ μὲν ἡμετέρης δωμήσατο τείχεα πάτρης,
τείχεα μὴ πίπτοντα, Ποσειδάων καὶ Ἀπόλλων,

pharetram.] Sæpe autem ob-splendores pulcris-oculis-decoræ faciei] se-spectare existimabat vitium regem :
sed non vitium recentes vidit fructus
explicatos formosi in junctura capitis (*in collo*).
Tandem vero admirabunda talem emisit vocem :
Hospes, unde es amabili genere? dic etiam nobis.
Pulcritudine quidem similis-es præclaro regi ;
verum tuum non novi inter Argivos genus.
Non Pylum arenosam incolis, Neleïam terram
Antilochum novi, tuam vero non vidi faciem :
non Phthiam amœnam, præstantissimorum altricem virorum ;] omnem Deucalionis inculpati novi familiam,
novi celeberrimum totum genus Æacidarum,
pulcritudinem Pelei, gloriam Telamonis,
mores Patrocli et fortitudinem Achillis.]
Talia Paridi desiderio-incensa arguta dixit nympha.
At ille blandum respondit sermonem ordiens :
Si quam forte Phrygiæ in finibus terram audivisti,
Ilium, quam turribus-cinxerunt Neptunus et Apollo,
si quem forte perdivitem in Troja regem
audivisti fecunda de Saturnii progenie;
Inde excellens genti-meæ-propria omnia sector.
Sum, mulier, Priami auro-abundantis carus filius ;
sum autem Dardanides : Dardanus vero a Jove erat :
cui etiam de Olympo dii socii hominum
sæpe famulantur, licet immortales sint.
Quorum ille quidem nostræ exstruxit mœnia patriæ,
mœnia non ruentia, Neptunus et Apollo,

Αὐτὰρ ἐγὼ, βασίλεια, δικασπόλος εἰμὶ θεάων·
καὶ γὰρ ἀχηχεμένῃσιν ἐπουρανίῃσι δικάζων
Κύπριδος ἀγλαΐην καὶ ἐπήρατον ᾔνεσα μορφήν·
ἡ δὲ περικλήϊστον, ἐμῶν ἀντάξιον ἔργων,
νύμφην ἱμερόεσσαν ἐμοὶ κατένευσεν ὀπάσσαι,
ἣν Ἑλένην ἐνέπουσι, κασιγνήτην Ἀφροδίτης.
Ἧς ἕνεκεν τέτληκα καὶ οἴδματα τόσσα περῆσαι.
Δεῦρο γάμον κεράσωμεν, ἐπεὶ Κυθέρεια κελεύει·
εἴ με καταισχύνειας, ἐμὴν καὶ Κύπριν ἐλέγξεις.
Οὐκ ἐρέω· τί δὲ τόσσον ἐπισταμένην σε διδάξω,
εἰ τοῖαι γεγάασιν ἐν Ἀργείοισι γυναῖκες;
καὶ γὰρ ἀκιδνοτέροισιν ἀεξόμεναι μελέεσσιν
ἀνδρῶν εἶδος ἔχουσι, νόθοι δ' ἐγένοντο γυναῖκες.
Ἔννεπεν· ἡ δ' ἐρόεσσαν ἐπὶ χθονὶ πῆξεν ὀπωπὴν
δηρὸν ἀμηχανέουσα καὶ οὐκ ἠμείβετο νύμφη.
Ὀψὲ δὲ θαμβήσασα τόσην ἀνενείκατο φωνήν·
Ἀτρεκέως, ὦ ξεῖνε, τεῆς ποτὲ πυθμένα πάτρης
τὸ πρὶν ἐδωμήσαντο Ποσειδάων καὶ Ἀπόλλων;
ἤθελον ἀθανάτων δαιδάλματα κεῖνα νοῆσαι
καὶ νομὸν οἰονόμοιο λιγύπνοον Ἀπόλλωνος,
ἔνθα θεοδμήτοισι παρὰ προμολῇσι πυλάων
πολλάκις εἰλιπόδεσσιν ἐφέσπετο βουσὶν Ἀπόλλων.
Ἔγρεο νῦν, Σπάρτηθεν ἐπὶ Τροίην με κομίσσον·
ἕψομαι, ὡς Κυθέρεια γάμων βασίλεια κελεύει.
Οὐ τρομέω Μενέλαον, ὅτ' ἂν Τροίῃ με νοήσῃ·

At ego, regina, arbiter sum dearum;
etenim afflictis deabus jus-dicens
Cypriæ pulcritudinem et amabilem probavi formam;
ea vero præclaram, meis dignam operibus,
nympham desiderabilem mihi promisit *se* daturam-esse,
quam Helenam nominant, sororem Veneris.
Cujus gratia sustinui vel tot maria trajicere.
Agedum, nuptias conciliemus, quoniam Cytherea jubet :
si me fastidieris, meam etiam Venerem redargues
Non dicam *plura;* quid vero tam-multa scientem te doceam,
si tales existant inter Argivos mulieres ?
Etenim infirmioribus crescentes membris
virorum speciem habent, degeneratæ vero sunt mulieres.
Dixit : at amabiles in terram defixit oculos
diu hæsitans neque respondit nympha.
Tandem vero admiratione-perculsa talem extulit vocem :
Profecto, o hospes, tuæ aliquando fundamentum mœnia patriæ-urbis] pridem posuerunt Neptunus et Apollo?
Vellem immortalium egregia-opera illa cognoscere
et pascua pastoris ventosa Apollinis,
ubi diis-exstructos ad aditus portarum
sæpe flexipedes sequebatur boves Apollo.
Age nunc, Sparta ad Trojam me transmitte :
sequar, uti Cytherea nuptiarum præses jubet.
Non tremeo Menelaum, quum Troja me viderit;

οἶσθα γὰρ ὡς Μενέλαος ἀνάλκιδός ἐστι γενέθλης.
Τοίην συνθεσίην καλλίσφυρος ἔννεπε νύμφη.
Νὺξ δὲ, πόνων ἄμπαυμα μετ' ἠελίοιο κελεύθους,
ὕπνον ἐλαφρίζουσα παρήορον ὤπασεν ἠοῖ
ἀρχομένη · δοιὰς δὲ πύλας ὤϊξεν ὀνείρων,
τὴν μὲν ἀληθείης, κεράων δ' ἀπελάμπετο κόσμος,
ἔνθεν ἀναθρώσκουσι θεῶν νημερτέες ὀμφαί·
τὴν δὲ δολοφροσύνης, κενεῶν θρέπτειραν ὀνείρων.
Αὐτὰρ ὁ ποντοπόρων Ἑλένην ἐπὶ σέλματα νηῶν
ἐκ θαλάμων ἐκόμισσε φιλοξείνων Μενελάου,
κυδιόων δ' ὑπέροπλον ὑποσχεσίῃ Κυθερείης,
φόρτον ἄγων ἔσπευδεν ἐς Ἴλιον ἰωχμοῖο.
Ἑρμιόνη δ' ἀνέμοισιν ἀποῤῥίψασα καλύπτρην
ἱσταμένης πολύδακρυς ἀνέστενεν Ἠριγενείης·
πολλάκι δ' ἀμφιπόλους θαλάμων ἔκτοσθε λαβοῦσα,
ὀξύτατον βοόωσα, τόσην ἀνενείκατο φωνήν· [τηρ,
Παῖδες, πῇ με λιποῦσα πολύστονον ᾤχετο μή-
ἣ χθιζὸν σὺν ἐμοὶ θαλάμων κληῖδας ἑλοῦσα
ἔδραθεν ὑπνώουσα καὶ ἐς μίαν ἤλυθεν εὐνήν;
Ἔννεπε δακρυχέουσα, συνωδύροντο δὲ παῖδες·
ἀγρόμεναι δ' ἑκάτερθεν ἐπὶ προθύροισιν ἐρύκειν
Ἑρμιόνην στενάχουσαν ἐπειρήσαντο γυναῖκες·
Τέκνον ὀδυρομένη, γόον εὔνασον. Ὤχετο μή-
νοστήσει παλίνορσος· ἔτι κλαίουσα νοσήσεις· [τηρ·
οὐχ ὁράᾳς; γοεραὶ μὲν ὑπημύουσι παρειαὶ,
πυκνὰ δὲ μυρομένης θαλεραὶ μινύθουσιν ὀπωπαί.
Ἢ τάχα νυμφάων ἐς ὁμήγυριν ἀγρομενάων
ἤλυθεν, ἰθείης δὲ παραπλάζουσα κελεύθου
ἵσταται ἀσχαλόωσα, καὶ ἐς λειμῶνα μολοῦσα

Ὡράων, δροσόεντος ὑπὲρ πεδίοιο θαάσσει·
ἢ χρόα πατρῴοιο λοεσσομένη ποταμοῖο
ᾤχετο, καὶ δήθυνεν ἐπ' Εὐρώταο ῥεέθροις.
Τοῖα δὲ δακρύσασα πολύστονος ἔννεπε κούρη·
Οἶδεν ὄρος, ποταμῶν ἐδάη ῥόον, οἶδε κελεύθους
ἐς ῥόδον, ἐς λειμῶνα· τί μοι φθέγγεσθε, γυναῖκες;
ἀστέρες ὑπνώουσι, καὶ ἐν σκοπέλοισιν ἰαύει·
ἀστέρες ἀντέλλουσι, καὶ οὐ παλίνορσος ἱκάνει.
Μῆτερ ἐμὴ, τίνα χῶρον ἔχεις; τίνα δ' οὔρεα ναίεις;
πλαζομένην θῆρές σε κατέκτανον; ἀλλὰ καὶ αὐτοὶ
θῆρες ἀριζήλοιο Διὸς τρομέουσι γενέθλην.
Ἤριπες ἐξ ὀχέων χθαμαλῆς ἐπὶ νῶτα κονίης,
σὸν δέμας οἰοπόλοισιν ἐνὶ δρυμοῖσι λιποῦσα;
ἀλλὰ πολυπρέμνων ξυλόχων ὑπὸ δάσκιον ὕλην
δένδρεα παπτήνασα καὶ αὐτῶν ἄχρι πετήλων
σὸν δέμας οὐκ ἐνόησα· καὶ οὐ νεμεσίζομαι ὕλην.
Μὴ διερῶν γονόεντος ἐπ' Εὐρώταο ῥεέθρων
νηχομένην ἐκάλυψεν ὑποβρυχίην σε γαλήνη;
ἀλλὰ καὶ ἐν ποταμοῖσι καὶ ἐν πελάγεσσι θαλάσσης
Νηϊάδες ζώουσι, καὶ οὐ κτείνουσι γυναῖκας.
Ὣς ἡ μὲν στενάχεσκεν· ἀνακλίνασα δὲ δειρὴν

ὕπνος ἐπεὶ θανάτοιο συνέμπορος εἴπερ ἐτύχθη,
ἄμφω ἀναγκαίη ξυν... .... λαχόντε

scis enim, quod Menelaus imbelli sit natura.
Talem conditionem pulcris-talis iniit nympha.
Nox vero, labornm sedamen post solis vias
somnum allevando inquietum exhibuit sub-Auroram
orientem: binas vero portas aperuit somniorum,
hanc quidem veritatis, cornuumque splendebat ornatus,
unde prosiliunt deorum veraces voces;
illam vero doli, vanorum altricem somniorum.
At ille pontigradarum Helenam in tabulatis navium
ex ædibus transmittebat hospitalibus Menelai,
et superbiens supra-modum promisso Cythereæ,
onus ducens, properabat in Ilium, belli.
Hermione autem, ventis abjecto velo,
oriente lacrimabunda ingemuit Aurora;
sæpe autem ancillis extra ædes vocatis,
peracute clamans talem extulit vocem:
Puellæ, quo, me relicta miseranda, abiit mater,
quæ heri mecum ædium clavibus acceptis
dormivit sopita et in eundem venit lectum?
Dixit lacrimas-fundens, et una-lamentabantur puellæ;
congregatæ vero utrinque in vestibulo cohibere
Hermionem gemiscentem tentabant mulieres.
Filia lamentans, luctum sopito. Abiit mater;
domum-veniet redux. Adhuc plorans in-morbum-incides;
nonne vides? lacrimosæ quidem subsidunt genæ,
continuoque flentis vigentes absumuntur oculi.
Certo nympharum ad cœtum congregatarum
ivit, recta vero aberrans via
insistit mœrens et ad pratum gressa

Horarum, roscido super campo sedet:
aut corpus patrio ablutura fluvio
abiit et moratur ad Eurotæ fluenta.
Talia autem lacrimans multum-gemens dicebat puella:
Novit montem, fluviorum novit fluxum, novit vias
ad rosetum, ad pratum; quid mihi loquimini, mulieres?
stellæ dormiunt, et in scopulis pernoctat;
stellæ oriuntur, neque redux venit.
Mater mea, quemnam locum tenes? quosnam vero montes
incolis?] *num* oberrantem feræ te trucidarunt? at et ipsæ
feræ præclari Jovis tremunt sobolem.
Cecidisti*ne* e curru humilis in terga pulveris,
tuum corpus desertis in quercetis relinquens?
sed stipatorum arbustorum sub umbrosa silva
arbores visitans vel ipsa usque-ad folia
tuum corpus non inveni: neque indignor silvæ.
Num humidis fecundi in Eurotæ fluentis
natantem texit submersam te æquor?
sed etiam in fluviis et in gurgite maris
Najades vivunt neque occidunt mulieres.
Ita illa quidem ingemuit, inclinata vero cervice

somnus enim mortis socius siquidem est,
ambos necesse-est communia omnia nactos

ἔργα παλαιοτέροιο κασιγνήτοιο διώκειν·
ἔνθεν ἀκηχεμένοισι βαρυνόμεναι βλεφάροισι
πολλάκις ὑπνώουσιν, ὅτε κλαίουσι, γυναῖκες.
Ἡ μὲν ἀλητεύουσα δολοφροσύνῃσιν ὀνείρων
μητέρα παπταίνειν ὠΐσατο· τοῖα δὲ κούρη
ἴαχε θαμβήσασα, καὶ ἀχνυμένη περ ἐοῦσα·
Χθιζὸν ὀδυρομένην με δόμων ἔκτοσθε φυγοῦσα
κάλλιπες ὑπνώουσαν ὑπὲρ λεχέων γενετῆρος.
Ποῖον ὄρος προλέλοιπα; τίνας μεθέηκα κολώνας;
Τοῖα δὲ φωνήσασα προσέννεπε Τυνδαρεώνη·
Τέκνον ἀκηχεμένη, μὴ μέμφεο δεινὰ παθοῦσα·
ὁ χθιζός με μολὼν ἀπατήλιος ἥρπασεν ἀνήρ.
Ἔννεπεν. Ἡ δ' ἀνόρουσε, καὶ οὐχ ὁρόωσα τιθήνην
ὀξυτέρῃ πολὺ μᾶλλον ἀνεβρυχήσατο φωνῇ·
Ἠερίης ὄρνιθες εὔπτερα τέκνα γενέθλης,
ἔσπετε νοστήσαντες ἐπὶ Κρήτην Μενελάῳ·
χθιζὸν ἐπὶ Σπάρτην τις ἀνὴρ ἀθεμίστιος ἐλθὼν
ἀγλαΐην σύμπασαν ἐμῶν ἀλάπαξε μελάθρων.
Ὣς ἡ μὲν πολύδακρυς ἐς ἠέρα φωνήσασα,
μητέρα μαστεύουσα, μάτην ἐπλάζετο κούρη.
Οὕτω καλλικόμοιο μεθ' ἁρμονίην Ἀφροδίτης

καὶ Κικόνων πτολίεθρα καὶ Αἰολίδος πόρον Ἕλλης
Δαρδανίης λιμένεσσιν ὁ νυμφίος ἤγαγε νύμφην.
Πυκνὰ δὲ τίλλε κόμην, χρυσέην δ' ἔρρηξε καλύπτρην
Κασσάνδρη, νεόφοιτον ἐπ' ἀκροπόληος ἰδοῦσα.
Τροίη δ' ὑψιδόμων πυλέων κληῖδας ἀνεῖσα
δέξατο νοστήσαντα τὸν ἀρχέκακον πολιήτην.

officia majoris-natu fratris exsequi :
hinc mœstis gravatæ oculis
sæpe obdormiscunt, quando lacrimantur, mulieres.
Illa quidem decepta dolis somniorum
matrem se-videre opinata-est : talia vero puella
clamavit stupefacta, quamvis mœsta esset :
Heri lamentantem me extra domum aufugiens
deseruiste dormientem in lecto genitoris.
Qualem montem superavi ? quosnam præterii colles ?
Talia vero loquens respondit Tyndaris :
Filia mœrore-afflicta, ne culpes *me* sæva patiens.
Ille heri qui-venit me fallax abripuit vir.
Dixit : illa autem prosiluit, nec videns nutricem
vehementiori multo magis clamavit voce :
Aeriæ, volucres, alati nati progeniei,
dicite tendentes in Cretam Menelao :
Heri Spartam quidam vir improbus veniens
splendorem omnem mearum abripuit ædium.
Sic quidem lacrimabunda in aerem vociferans,
matrem investigans, frustra oberrabat puella.
Sic pulcricomæ ad conjugium Veneris

et *per* Ciconum urbes et Æolidis fretum Helles
Dardaniæ portibus sponsus advexit sponsam.
Crebro autem vulsit comam aureamque laniavit vittam
Cassandra, novam-advenam ab arce videns.
Troja vero excelsarum portarum pessulis laxatis
recepit redeuntem illum auctorem-malorum civem.



INDEX

NOMINUM ET RERUM.

A.

Γ.

Δ.

E.

ΚΟΙΝΤΟΥ

ΤΑ ΜΕΘ' ΟΜΗΡΟΝ.

QUINTI

POSTHOMERICA.

ΚΟΙΝΤΟΥ

ΤΟΥ ΣΜΥΡΝΑΙΟΥ

ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ

ΛΟΓΟΣ Α.

Εὖθ' ὑπὸ Πηλείωνι δάμη θεοείκελος Ἕκτωρ,
καί ἑ πυρὴ κατέδαψε καὶ ὀστέα γαῖα κεκεύθει·
δὴ τότε Τρῶες ἔμιμνον ἀνὰ Πριάμοιο πόληα,
δειδιότες μένος ἠῢ θρασύφρονος Αἰακίδαο.
Ἠΰτ' ἐνὶ ξυλόχοισι βόες βλοσυροῖο λέοντος
ἐλθέμεν οὐκ ἐθέλουσιν ἐναντίαι, ἀλλὰ φέβονται
ἰληδὸν πτώσσουσαι ἀνὰ ῥωπήϊα πυκνά·
ὣς οἱ ἀνὰ πτολίεθρον ὑπέτρεσαν ὄβριμον ἄνδρα,
μνησάμενοι προτέρων· ὁπόσων ἀπέταμνε κάρηνα,
θύων Ἰδαίοιο περὶ προχοῇσι Σκαμάνδρου,
ἠδ' ὅσσους φεύγοντας ὑπὸ μέγα τεῖχος ὄλεσσεν,
Ἕκτορά θ' ὡς ἐδάμασσε καὶ ἀμφ' εἴρυσσε πόληϊ,
ἄλλους θ' ὡς ἐδάϊξε δι' ἀκαμάτοιο θαλάσσης,
ὁππότε δὴ ταπρῶτα φέρε Τρώεσσιν ὄλεθρον·
τῶν οἵγε μνησθέντες ἀνὰ πτολίεθρον ἔμιμνον·
ἀμφὶ δ' ἄρα σφίσι πένθος ἀνιηρὸν πεπότητο,
ὡς ἤδη στονόεντι καταιθομένης πυρὶ Τροίης.
Καὶ τότε Θερμώδοντος ἀπ' εὐρυπόροιο ῥοάων
ἤλυθε Πενθεσίλεια, θεῶν ἐπιειμένη εἶδος,
ἄμφω, καὶ στονόεντος ἐελδομένη πολέμοιο,
καὶ μέγ' ἀλευαμένη στυγερὴν καὶ ἀεικέα φήμην,
μή τίς ἑὸν κατὰ δῆμον ἐλεγχείῃσι χαλέψῃ
ἀμφὶ κασιγνήτης, ἧς εἵνεκα πένθος ἄεξεν,
Ἱππολύτης· τὴν γάρ ῥα κατέκτανε δουρὶ κραταιῷ,
οὐ μὲν δὴ τό γ' ἑκοῦσα, τιτυσκομένη δ' ἐλάφοιο.
Τοὔνεκ' ἄρα Τροίης ἐρικυδέος ἵκετο γαῖαν.
Πρὸς δ' ἔτι οἱ τόδε θυμὸς ἀρήϊος ὡρμαίνεσκεν,
ὄφρα καθηραμένη περὶ λύματα λυγρὰ φόνοιο,
σμερδαλέας θυέεσσιν Ἐριννύας ἱλάσηται,
αἵ οἱ ἀδελφειῆς κεχολωμέναι αὐτίχ' ἕποντο
ἄφραστοι· κεῖναι γὰρ ἀεὶ περὶ ποσσὶν ἀλιτρῶν
στρωφῶντ', οὐδέ τιν' ἐστὶ θεὰς ἀλιτόνθ' ὑπαλύξαι.
Σὺν δέ οἱ ἄλλαι ἕποντο δυώδεκα, πᾶσαι ἀγαυαί,
πᾶσαι ἐελδόμεναι πόλεμον καὶ ἀεικέα χάρμην,
αἵ οἱ δμωΐδες ἔσκον, ἀγακλειταί περ ἐοῦσαι·
ἀλλ' ἄρα πασάων μέγ' ὑπείρεχε Πενθεσίλεια.
Ὡς δ' ὅτ' ἀν' οὐρανὸν εὐρὺν ἐν ἄστρασι δῖα σελήνη
ἐκπρέπει, ἐν πάντεσσιν ἀριζήλη γεγαυῖα,
αἰθέρος ἀμφιραγέντος ὑπὸ νεφέων ἐριδούπων,
εὖτ' ἀνέμων εὕδῃσι μένος μέγα λάβρον ἀέντων·
ὣς ἥ γ' ἐν πάσῃσι μετέπρεπεν ἐσσυμένῃσιν.
Ἔνθ' ἄρ' ἔην Κλονίη Πολεμοῦσά τε Δηριόνη τε,
Εὐάνδρη τε καὶ Ἀντάνδρη, καὶ δῖα Βρέμουσα,
ἠδὲ καὶ Ἱπποθόη, μετὰ δ' Ἁρμοθόη κυανῶπις,
Ἀλκιβίη τε καὶ Ἀντιβρότη, καὶ Δηριμάχεια,

QUINTI

SMYRNÆI

POSTHOMERICORUM

LIBER I.

Quum a Pelei-filio superatus-esset deo-similis Hector,
et eum rogus absumpsisset et *ejus* ossa terra tegeret;
tum Trojani se-continebant in Priami urbe,
pertimescentes robur præstans animosi Æacidæ.
Ut in saltu boves truci leoni
venire nolunt obviam, sed fugiunt
gregatim pavitantes per virgulta densa:
sic illi intra urbem subterfugiebant fortem virum,
memores priorum; quam-multorum amputaverit capita,
ruens Idæi circa fluenta Scamandri,
et quot fugientes sub magno muro perdiderit
Hectoremque ut vicerit et raptaverit circa urbem
aliosque ut subegerit per inquietum mare,
quum initio afferret Trojanis exitium:
horum illi recordati in urbe permanebant:
circa vero eos dolor tristis suspensus-erat,
quasi jam lamentabili conflagrante incendio Troja.
Ac tum a Thermodontis latìvagi fluentis
advenit Penthesilea, dearum induta specie,
utrumque, et luctuosi cupida belli,
et magnopere evitans odiosam ac turpem famam,
ne qua sua in gente *ipsam* deformaret
ob sororem, cujus gratia dolorem fovebat,
Hippolytam: hanc enim interemerat hasta valida,
non quidem id dedita-opera, sed jaculo-petens cervam.
Idcirco igitur Trojæ illustris se-contulit in-terram
Ad hoc insuper eius animus Martius ferebatur,
ut expiata a labe tristi cædis,
terribiles sacris furias placaret,
quæ ei sororis-causa succensentes statim sequebantur
occultæ: hæ enim perpetuo circa pedes impiorum
versantur, neque alicui licet peccanti Deas evitare.
Cum ipsa vero aliæ venerant duodecim, omnes nobiles,
omnes cupidæ belli et infestæ pugnæ,
quæ ejus ministræ erant, licet inclytæ essent:
attamen omnes longe supereminebat Penthesilea.
Ut enim in cœlo lato inter stellas diva luna
eminet, inter omnes prælucida nata,
æthere circa-divulso a nubibus valde-sonantibus,
quum ventorum dormit vis magna vehementer spirantium:
ita illa inter cunctas præcellebat accelerantes.
Ibi igitur erant Clonia et Polemura et Derione,
Evandraque et Antandra et diva Bremusa,
tum etiam Hippothoe, unaque Harmothoe nigris-oculis,
Alcibieque et Antibrote et Derimachia,

ταῖς δ' ἔπι Θερμώδοσσα μέγ' ἔγχεϊ κυδιόωσα.
Τόσσαι ἄρ' ἀμφιέποντο δαΐφρονι Πενθεσιλείῃ.
Οἵη δ' ἀκαμάτοιο κατέρχεται Οὐλύμποιο
Ἠὼς, μαρμαρέοισιν ἀγαλλομένη φρένας ἵπποις,
Ὡράων μετ' ἐϋπλοκάμων, μετὰ δέ σφισι πάσαις
ἐκπρέπει ἀγλαὸν εἶδος, ἀμωμήτοις περ ἐούσαις·
τοίη Πενθεσίλεια μόλεν ποτὶ Τρώϊον ἄστυ,
ἔξοχος ἐν πάσῃσιν Ἀμαζόσιν. Ἀμφὶ δὲ Τρῶες,
πάντοθεν ἐσσύμενοι, μέγ' ἐθάμβεον, εὖτ' ἐσίδοντο
Ἄρεος ἀκαμάτοιο βαθυκνήμιδα θύγατρα,
εἰδομένην μακάρεσσιν, ἐπεὶ ῥά οἱ ἀμφὶ προσώπῳ,
ἄμφω, σμερδαλέον τε καὶ ἀγλαὸν εἶδος ὀρώρει,
μειδιόωσ' ἐρατεινόν· ὑπ' ὀφρύσι δ' ἱμερόεντες
ὀφθαλμοὶ μάρμαιρον ἀλίγκιον ἀκτίνεσσιν,
αἰδὼς δ' ἀμφερύθηνε παρήϊα, τῶν δ' ἐφύπερθεν
θεσπεσίη ἐπέκειτο χάρις, καταειμένη ἀλκήν·
λαοὶ δ' ἀμφεγάνυντο, καὶ ἀχνύμενοι τοπάροιθεν.
Ὡς δ' ὁπότ' ἀθρήσαντες ἀπ' οὔρεος ἀγροιῶται
Ἶριν ἀνεγρομένην ἐξ εὐρυπόροιο θαλάττης,
ὄμβρου ὅτ' ἰσχανόωσι θεουδέος, ὁππότ' ἀλωαὶ
ἤδη ἀπαυαίνονται, ἐελδόμεναι Διὸς ὕδωρ,
ὀψὲ δ' ὑπηχλύνθη μέγας οὐρανὸς, οἳ δ' ἐσιδόντες
ἐσθλὸν σῆμ' ἀνέμοιο καὶ ὑετοῦ ἐγγὺς ἐόντος
χαίρουσι, τοπάροιθεν ἐπιστενάχοντες ἀρούραις·
ὣς ἄρα Τρώϊοι υἷες ὅτ' ἔδρακον ἔνδοθι πάτρης
δεινὴν Πενθεσίλειαν, ἐπὶ πτόλεμον μεμαυῖαν,
γήθεον. Ἐλπωρὴ γὰρ ὅτ' ἐς φρένας ἀνδρὸς ἵκηται
ἀμφ' ἀγαθοῦ, στονόεσσαν ἀμαλδύνει κακότητα.
Τοὔνεκα καὶ Πριάμοιο νόος, πολέα στενάχοντος
καὶ μέγ' ἀκηχεμένοιο, περὶ φρεσὶ τυτθὸν ἰάνθη.
Ὡς δ' ὅτ' ἀνὴρ ἀλαοῖσιν ἐπ' ὄμμασι πολλὰ μογήσας,
ἱμείρων ἰδέειν ἱερὸν φάος ἢ θανέεσθαι,
ἢ πόνῳ ἰητῆρος ἀμύμονος, ἠὲ θεοῖο
ὄμματ' ἀπαχλύσαντος, ἴδῃ φάος ἠριγενείης,
οὐ μὲν ὅσον τοπάροιθεν, ὅμως δ' ἄρα βαιὸν ἰάνθη
πολλῆς ἐκ κακότητος, ἔχει δ' ἔτι πήματος ἄλγος
αἰνὸν ὑπὸ βλεφάροισι λελειμμένον· ὣς ἄρα δεινὴν
υἱὸς Λαομέδοντος ἐσέδρακε Πενθεσίλειαν.
Παῦρον μὲν γήθησε, τὸ δὲ πλέον εἰσέτι παίδων
ἄχνυτ' ἀποκταμένων· ἄγε δ' εἰς ἑὰ δώματ' ἄνασσαν
καί μιν προφρονέως τίεν ἔμπεδον, ὥστε θύγατρα,
τηλόθε νοστήσασαν ἐεικοστῷ λυκάβαντι·
καί οἱ δόρπον ἔτευξε πανείδατον, οἷον ἔδουσι
κυδάλιμοι βασιλῆες, ὅτ' ἔθνεα δῃώσαντες
δαίνυντ' ἐν θαλίῃσιν, ἀγαλλόμενοι περὶ νίκης·
δῶρα δέ οἱ πόρε καλὰ καὶ ὄλβια, πολλὰ δ' ὑπέστη
δωσέμεν, ἢν Τρώεσσι δαϊζομένοις ἐπαμύνῃ.
Ἡ δ' ἄρ' ὑπέσχετο ἔργον, ὅ οὔποτε θνητὸς ἐώλπει,
δῃώσειν Ἀχιλῆα, καὶ εὐρέα λαὸν ὀλέσσειν
Ἀργείων, νῆας δὲ πυρὸς καθύπερθε βαλέσθαι.
Νηπίη, οὐδέ τι ἤδη ἐϋμμελίην Ἀχιλῆα,
ὅσσον ὑπέρτατος ἦεν ἐνὶ φθισήνορι χάρμῃ.
Τῆς δ' ὡς οὖν ἐπάκουσεν ἐῢς πάϊς Ἠετίωνος,
Ἀνδρομάχη, μάλα τοῖα φίλῳ προσελέξατο θυμῷ·

et cum his Thermodossa valde in-hasta glorians.
Tam-multæ igitur comitabantur bellicosam Penthesileam.
Qualis vero ab-indefesso descendit Olympo
Aurora, fulgentibus oblectans animum equis,
Horis cum pulcricomis, et inter eas omnes
præstat splendida forma, quamvis non-reprehendendæ sint;
talis Penthesilea venit ad Trojanam urbem,
eximia inter omnes Amazones. Circa vero Troes,
undique accelerantes, valde stupebant, quum intuerentur
Martis indefessi profundis-tibialibus-indutam filiam,
similem deabus, quoniam ei circa vultum,
utrumque, et terribilis et venusta forma erat,
quum-rideret amabiliter : sub superciliis autem illices
oculi fulgebant ad-instar radiorum,
pudorque rubefaciebat genas, in quibus
divina residebat gratia, induta vim :
populus vero lætabatur, quamvis mœstus hactenus.
Sicut, quando conspicantes de monte agrestes
Iridem exsurgentem e latifluo mari,
imbrem quum desiderant divinum, quum arva
jam penitus-arescunt exoptantia Jovis aquam,
tandem vero nigrescit magnum cœlum; illi igitur, viso
bono prodigio venti et pluviæ imminentis,
gaudent, qui-antehac suspiraverant propter-agros :
sic igitur Trojana proles, quum viderent in patria
acrem Penthesileam, ad bellum cupide-tendentem,
gaudebant. Spes enim ubi mentem hominis subit
de bono *aliquo*, tristificam extinguit molestiam.
Ideo etiam Priami animus, multum gementis
ac valde mœrentis, in pectore paululum levatus-est.
Perinde atque homo, qui-cæcis oculis multum laboravit,
cupidus intueri almam lucem aut mori
sive opera medici egregii, sive dei
oculos caligine-liberantis, videt lucem auroræ,
non quidem ut antea, attamen paululum recreatur
longa a calamitate, habet vero adhuc morbi cruciatum
sævum sub palpebris relictum : ita igitur fortem
filius Laomedontis intuitus-est Penthesileam.
Paululum quidem gavisus-est, sed plus adhuc ob-filios
afflictus-erat interfectos : duxit igitur in suas ædes reginam
et eam benevole honorabat magnopere, tamquam filiam,
e-longinquo reversam vicesimo anno :
et ei cœnam instruxit opiparam, qualem edunt
magnifici reges, quum gentibus subactis
convivantur in epulis, læti ob victoriam :
muneraque ei dedit pulcra et pretiosa, multaque promisit
se-daturum, si Trojanis bello-fractis opem-ferret.
Illa vero in-se-recepit opus, quod nunquam mortalis in-animum-induxerat,] debellare Achillem et numerosas copias delere] Argivorum, navesque in ignem conjicere.
Fatua! neque enim norat hasta-insignem Achillem,
quantum præstantissimus esset in exitiali-viris pugna.
Hanc ubi audivit pulcra filia Eetionis,
Andromache, profecto ita earum allocuta-est animum :

Ἆ δειλή, τί νυ τόσσα μέγα φρονέουσ' ἀγορεύεις;
οὐ γάρ τοι σθένος ἔσται ἀταρβέϊ Πηλείωνι
μάρνασθ', ἀλλά σοι ὦκα φόνον καὶ λοιγὸν ἐφήσει.
Λευγαλέη, τί μέμηνας ἀνὰ φρένας; ἦ νυ τοι ἄγχι
ἕστηκεν θανάτοιο τέλος, καὶ δαίμονος αἶσα.
Ἕκτωρ γὰρ σέο πολλὸν ὑπέρτερος ἔπλετο δουρί·
ἀλλ' ἐδάμη κρατερός περ ἐών, μέγα δ' ἤκαχε Τρῶας,
οἵ ἑ θεὸν ὣς πάντες ἀνὰ πτόλιν εἰσορόωντο·
καί μοι ἔην μέγα κῦδος ἰδ' ἀντιθέοις τοκέεσσιν,
ζωὸς ἐών· ὡς εἴ με χυτὴ κατὰ γαῖα κεκεύθει,
πρίν σφε δι' ἀνθερεῶνος ὑπ' ἔγχεϊ θυμὸν ὀλέσσαι.
Νῦν δ' ἄρ' ἀάσπετον ἄλγος ὀϊζυρῶς ἐσάθρησα,
κεῖνον ὅτ' ἀμφὶ πόληα ποδώκεες εἴρυον ἵπποι
ἀργαλέως Ἀχιλῆος, ὅ μ' ἀνέρος εὔνιν ἔθηκε
κουριδίου, τό μοι αἰνὸν ἄχος πέλει ἤματα πάντα.
Ὣς φάθ' ἑὸν κατὰ θυμὸν ἐΰσφυρος Ἠετιώνη,
μνησαμένη πόσιος· μάλα γὰρ μέγα πένθος ἀέξει
ἀνδρὸς ἀποφθιμένοιο σαόφροσι θηλυτέρῃσιν.
Ἠέλιος δὲ θοῇσιν ἑλισσόμενος περὶ δίνῃς
δύσατ' ἐς ὠκεανοῖο βαθὺν ῥόον, ἤνυτο δ' ἠώς.
Οἱ δ' ὅτε δὴ παύσαντο ποτοῦ δαιτός τ' ἐρατεινῆς,
δὴ τότε που δμωαὶ στόρεσαν θυμήρεα λέκτρα,
ἐν Πριάμοιο δόμοισι, θρασύφρονι Πενθεσιλείῃ·
ἡ δὲ κιοῦσ' εὕδεσκεν, ὕπνος δέ οἱ ὄσσ' ἐκάλυψεν
νήδυμος ἀμφιπεσών. Μόλε δ' αἰθέρος ἐξ ὑπάτοιο,
Παλλάδος ἐννεσίῃσι, μένος δολόεντος Ὀνείρου,
ὅππως μιν λεύσσουσα κακὸν Τρώεσσι γένηται,
οἷ τ' αὐτῇ, μεμαυῖα ποτὶ πτολέμοιο φάλαγγας.
Καὶ τὰ μὲν ὣς ὥρμαινε δαΐφρων Τριτογένεια.
Τῇ δ' ἄρα λυγρὸς Ὄνειρος ἐφίστατο, πατρὶ ἐοικώς,
καί μιν ἐποτρύνεσκε ποδάρκεος ἄντ' Ἀχιλῆος
θαρσαλέως μάρνασθαι ἐναντίον· ἡ δ' ἀΐουσα
γήθεεν ἐν φρεσὶ πάμπαν· δίσσατο γὰρ μέγα ἔργον
ἐκτελέσειν αὐτῆμαρ ἀνὰ μόθον ὀκρυόεντα·
νηπίη, ἥ ῥ' ἐπίθησεν ὀϊζυρῷ περ Ὀνείρῳ
ἑσπερίῳ, ὃς φῦλα πολυτλήτων ἀνθρώπων
θέλγει ἐνὶ λεχέεσσιν ἄδην ἐπικέρτομα βάζων·
ὅς μιν ἄρ' ἐξαπάφησεν, ἐποτρύνων πονέεσθαι.
Ἀλλ' ὅτε δή ῥ' ἐπόρουσε ῥοδόσφυρος Ἠριγένεια,
δὴ τότε Πενθεσίλεια μέγ' ἐνθεμένη φρεσὶ χάρτος,
ἐξ εὐνῆς ἀνέπαλτο, καὶ ἀμφ' ὤμοισιν ἔδυνε
τεύχεα δαιδαλόεντα, τά οἱ θεὸς ὤπασεν Ἄρης.
Πρῶτα μὲν ἄρ κνήμῃσιν ἐπ' ἀργυφέῃσιν ἔθηκε
κνημῖδας χρυσέας, αἵ οἱ ἔσαν εὖ ἀραρυῖαι·
ἕσσατο δ' αὖ θώρηκα παναίολον· ἀμφὶ δ' ἄρ' ὤμοις
θήκατο κυδιόωσα μέγα ξίφος, ᾧ πέρι πάντῃ
κουλεὸς εὖ ἤσκητο δι' ἀργύρου ἠδ' ἐλέφαντος·
ἂν δ' ἕλετ' ἀσπίδα δῖαν, ἀλίγκιον ἄντυγι μήνης,
ἥ θ' ὑπὲρ ὠκεανοῖο βαθυρρόου ἀντέλλῃσιν,
ἥμισυ πεπληθυῖα περὶ γναμπτῇσι κεραίῃς·
τοίη μαρμαίρεσκεν ἀάσπετον· ἀμφὶ δὲ κρατὶ
θῆκε κόρυν κομόωσαν ἐθείρῃσι χρυσέῃσιν.
Ὣς ἡ μὲν μορόεντα περὶ χροῒ θήκατο τεύχη·
ἀστεροπῇ δ' ἀτάλαντος ἐείδετο, τὴν ἀπ' Ὀλύμπου

O misella, cur tanta elato animo pronuntias?
neque enim tibi vires erunt, cum-intrepido Pelida
ut-pugnes, sed tibi statim necem et exitium afferet
Infelix! quid insanis animo? sane tibi prope
instat mortis terminus et dei fatum.
Hector enim te multo præstantior erat hasta :
et-tamen succubuit, fortis quamvis esset, et valde afflixit
Troes,] qui eum tanquam Deum universi in urbe suspicie-
bant;] et mihi erat magno honestamento ac divinis paren-
tibus,] vivus quum-esset : utinam me super-ingesta terra
occuluisset,] antequam ipse trans*fixus* guttur hasta animam
efflasset!] At nunc ineffabilem miseriam magno-meo-malo
adspexi,] illum quando circa urbem celeripedes raptabant
equi] crudeliter Achillis, qui me viri viduam fecit
legitimi, id-quod mihi sævus dolor est per-dies omnes.
Sic dixit suum intra animum pulcris-malleolis filia-Eetio-
nis,] recordans mariti : valde enim magnus luctus accre-
scit,] viro extincto, pudicis mulieribus.
Sol rapida se-circumvolvens vertigine
subiit oceani profundum fluxum, exactaque-est dies.
Illi vero quum desiissent a-potu ciboque suavi,
exinde famulæ straverunt gratum cubile,
in Priami ædibus, temerariæ Penthesileæ :
quæ abiit cubitum, somnusque ejus oculos obtexit,
suaviter illapsus. Venit autem æthere ex summo,
Palladis instinctu, vis fraudulenti Somnii,
ut eo viso pestis Trojanis fieret
sibique ipsi, cupiens *ruere* ad belli phalanges.
Atque hæc quidem ita agitabat belli-sciens Minerva.
Illi igitur triste Somnium adstabat patri simile,
et eam incitabat, celeripedem contra Achillem
fidenter ut-pugnaret ex-adverso : ea vero audiens
gaudebat animo magnopere : putavit enim magnum facinus
se-patraturam illo-die in conflictu aspero :
demens, quæ morem-gessit infelici Somnio
vespertino, quod genus ærumnosorum hominum
demulcet in lectis, affatim ludibria blaterans;
quod et ipsam delusit instigando ad-pugnandum.
At, ubi ingruit roseis-malleolis Aurora,
tum Penthesilea, magna indita animo vi,
e lecto prosiliit, et humeris induit
arma fabrefacta, quæ illi deus donarat Mars.
Primum igitur tibiis candidis applicavit
ocreas aureas, quæ ipsi erant bene aptæ:
induit deinde thoracem variegatum : circumque humeros
posuit gloriabunda magnum ensem, circa quem undique
vagina probe elaborata-erat argento atque ebore :
sustulitque clypeum divinum, similem orbi lunæ,
quæ super oceano altifluo exoritur,
semiplena circum incurva cornua;
talis *ille* fulgebat immensum : at capiti
imposuit galeam cristatam comis aureis.
Sic illa letalia corpori circumdedit arma :
fulguri vero similis apparebat, quod de Olympo

ἐς γαῖαν προΐησι Διὸς μένος ἀκαμάτοιο,
δεικνὺς ἀνθρώποισι μένος βαρυηχέος ὄμβρου,
ἠὲ πολυῤῥοίζων ἀνέμων ἄλληκτον ἰωήν.
Αὐτίκα δ', ἐγκονέουσα διὲκ μεγάροιο νέεσθαι,
δοιοὺς εἵλετ' ἄκοντας ὑπ' ἀσπίδα· δεξιτερῇ δὲ
ἀμφίτυπον βουπλῆγ', ὅν οἱ Ἔρις ὤπασε δεινή,
θυμοβόρου πολέμοιο πελώριον ἔμμεναι ἄλκαρ·
τῷ ἐπικαγχαλόωσα τάχ' ἤλυθεν ἔκτοθι πύργων,
Τρῶας ἐποτρύνουσα μάχην ἐς κυδιάνειραν
ἐλθέμεναι· οἱ δ' ὦκα συναγρόμενοι πεπίθοντο
ἄνδρες ἀριστῆες, καίπερ πάρος οὐκ ἐθέλοντες
στήμεναι ἄντ' Ἀχιλῆος· ὁ γὰρ περὶ δάμνατο πάντας.
Ἡ δ' ἄρα κυδιάασκεν ἀάσχετον. Ἕζετο δ' ἵππῳ
καλῷ τ' ὠκυτάτῳ θ', ὅν οἱ ἄλοχος Βορέαο
ὤπασεν Ὠρείθυια πάρος, Θρῄκηνδε κιούσῃ,
ξείνιον, ὅς τε θοῇσι μετέπρεπεν Ἁρπυίῃσι·
τῷ ῥα τόθ' ἑζομένη λίπεν ἄστεος αἰπὰ μέλαθρα
ἐσθλὴ Πενθεσίλεια· λυγραὶ δέ μιν ὠτρύνεσκον
Κῆρες, ὁμῶς πρώτην τε καὶ ὑστατίην ἐπὶ δῆριν
ἐλθέμεν· ἀμφὶ δὲ Τρῶες ἀνοστήτοισι πόδεσσι
πολλοὶ ἕποντ' ἐπὶ δῆριν ἀναιδέα τλήμονι κούρῃ
ἰλαδὸν, ἠΰτε μῆλα μετὰ κτίλον, ὅς θ' ἅμα πάντων
νισσομένων προθέῃσι, δαημοσύνῃσι νομῆος·
ὣς ἄρα τῇ γ' ἐφέποντο βίῃ μέγα μαιμώοντες
Τρῶες ἐΰσθενέες καὶ Ἀμαζόνες ὀβριμόθυμοι.
Οἵη δ' ἢ Τριτωνὶς, ὅτ' ἤλυθεν ἄντα Γιγάντων,
ἢ Ἔρις ἐγρεκύδοιμος, ἀνὰ στρατὸν ἀΐσσουσα·
τοίη ἐνὶ Τρώεσσι θοὴ πέλε Πενθεσίλεια.
Καὶ τότε δὴ Κρονίωνι πολυτλήτους ἀναείρας
χεῖρας Λαομέδοντος ἐΰς γόνος ἀφνειοῖο,
εὔχετ' ἐς ἱερὸν αἰπὺ τετραμμένος Ἰδαίοιο
Ζηνὸς, ὃς Ἴλιον αἰὲν ἑοῖς ἐπιδέρκεται ὄσσοις·
Κλῦθι, πάτερ, καὶ λαὸν Ἀχαιϊκὸν ἤματι τῷδε
δὸς πεσέειν ὑπὸ χερσὶν Ἀρηϊάδος βασιλείης,
καὶ δή μιν παλίνορσον ἐμὸν ποτὶ δῶμα σάωσον,
ἀζόμενος τεὸν υἷα πελώριον, ὄβριμον Ἄρην,
αὐτήν θ', οὕνεκ' ἔοικεν ἐπουρανίῃσι θεῇσιν
ἐκπάγλως, ἣ σεῖο θεουδέος ἐστὶ γενέθλης·
αἴδεσσαι δ' ἐμὸν ἦτορ, ἐπεὶ κακὰ πολλὰ τέτληκα,
παίδων ὀλλυμένων, οὕς μοι περὶ Κῆρες ἔμαρψαν,
Ἀργείων παλάμῃσι, κατὰ στόμα δηϊοτῆτος·
αἴδεο δ', ὡς ἔτι παῦροι ἀφ' αἵματος ἐσμὲν ἀγαυοῦ
Δαρδάνου, ὡς ἀδάϊκτος ἔτι πτόλις, ὄφρα καὶ ἡμεῖς
ἐκ φόνου ἀργαλέοιο καὶ Ἄρεος ἀμπνεύσωμεν.
Ἦ ῥα μέγ' εὐχόμενος· τῷ δ' αἰετὸς ὀξὺ κεκληγὼς,
ἤδη ἀποπνείουσαν ἔχων ὀνύχεσσι πέλειαν,
ἐσσυμένως οἴμησεν ἀριστερός· ἀμφὶ δὲ θυμῷ
τάρβησε Πριάμοιο νόος, φάτο δ' οὐκ ἔτ' ἀθρήσειν
ζωὴν Πενθεσίλειαν, ἀπὸ πτολέμοιο κιοῦσαν·
καὶ τὸ μὲν ὣς ἤμελλον ἐτήτυμον ἤματι κείνῳ
Κῆρες ὑπεκτελέειν. Ὁ δ' ἄρ' ἄχνυτο θυμὸν ἐαγώς.
Ἀργεῖοι δ' ἀπάνευθεν ἐθάμβεον, εὖτ' ἐσίδοντο
Τρῶας ἐπεσσυμένους, καὶ Ἀρηΐδα Πενθεσίλειαν,
τοὺς μὲν δὴ θήρεσσιν ἐοικότας, οἵ τ' ἐν ὄρεσσιν

in terram mittit Jovis potestas invicti,
portendens hominibus vim strepitantis pluviæ,
aut multisonorum ventorum continuum fragorem.
Mox autem festinans ex ædibus prodire
duo sumpsit pila sub scuto : dextraque
ancipitem bipennem, quam ei Discordia dederat sæva,
exitiosi belli ingens ut-esset præsidium :
hac exsultans celeriter venit extra turres,
Trojanos instigans pugnam ad gloriosam-viris
ut-se-conferrent : statim coeuntes obtemperabant
viri principes, etsi antea nolebant
stare contra Achillem : hic enim egregie domabat omnes
Illa igitur gloriabatur effuse. Et insidebat equo
pulcro celerrimoque, quem ei uxor Boreæ
dederat Orithyia olim, in Thraciam venienti,
hospitale-munus, qui etiam inter pernices eminebat Harpyias :] eo igitur tunc conscenso reliquit urbis celsa tecta
fortis Penthesilea : sed tristes eam impellebant
Parcæ, primum simul ultimumque ad certamen
ut-iret : circumque Troes non-reversuris pedibus
multi sequebantur ad certamen propudiosum patientem
-laboris puellam] turmatim, velut oves arietem, qui una
omnes] euntes antecedit, solertia pastoris :
sic igitur illam sequebantur vi valde perciti
Troes fortes et Amazones magnanimæ.
Qualis vero aut Minerva, ubi ivit contra Gigantes,
aut Discordia turbarum-auctor, per exercitum ruens:
talis inter Trojanos acris erat Penthesilea.
Tunc vero Saturnio multa-expertas attollens
manus Laomedontis præstans filius opulenti
preces-fundebat, ad sacrum, arduum tantum conversus Idæi
Jovis, qui Ilium perpetuo suis intuetur oculis:
Audi, pater, et populum Achaicum hoc die
da succumbere manibus Mavortiæ reginæ,
atque ipsam reducem meis-ædibus salvam restitue;
honorans tuum filium egregium præpotentem Martem
ipsamque, quandoquidem similis-est cœlestibus Deabus
mirum-in modum, quæ tui divini est generis :
parce etiam meo cordi, quod mala multa toleravi
liberis deperditis, quos mihi Parcæ abripuerunt
Argivorum manibus in faucem hostici-conflictus.
parce, dum adhuc pauci de sanguine supersumus nobilis
Dardani, necdum excisa *est* urbs, ut denique nos
a cæde detestanda et bello respiremus.
Dixit, instanter precans: ei vero aquila acuto cum-clangore] jam animam-efflantem tenens unguibus columbam
repente advolavit a-sinistra : ex animo igitur
consternabatur Priami mens et præsagiebat non amplius
se-visurum] vivam Penthesileam, e bello reversam :
et id ita erant vere die hoc
Parcæ ratum-facturæ. Ille igitur mœrebat animo fracto.
At Argivi procul-inde mirabantur, dum vident
Troes irruentes, et Martis-filiam Penthesileam,
illos quidem feris similes, quæ in montibus

ποίμνης εἰροπόκοισι φόνον στονόεντα φέρουσι,
τὴν δὲ πυρὸς ῥιπῇ ἐναλίγκιον, ἥ τ' ἐπὶ θάμνοις
μαίνεται ἀζαλέοισιν, ἐπειγομένου ἀνέμοιο·
καί τις ἅμ' ἀγρομένοισιν ἔπος ποτὶ τοῖον ἔειπεν·
Τίς δὴ Τρῶας ἄγειρε μεθ' Ἕκτορα δηωθέντα,
οὓς φαμὲν οὐκ ἔτι νῶϊν ὑπαντιάσειν μεμαῶτας;
νῦν δ' ἄφαρ ἀΐσσουσι λιλαιόμενοι μέγα χάρμης.
Καί νύ τις ἐν μέσσοισιν ἐποτρύνει πονέεσθαι·
φαίης κεν θεὸν ἔμμεν', ἐπεὶ μέγα μήδεται ἔργον.
Ἀλλ' ἄγε θάρσος ἄατον ἐνὶ στέρνοισι βαλόντες
ἀλκῆς μνησώμεσθα δαΐφρονος· οὐδὲ γὰρ ἡμεῖς
νόσφι θεῶν Τρώεσσι μαχησόμεθ' ἤματι τῷδε.
Ὣς φάτο. Τοὶ δὲ φαεινὰ περὶ σφίσι τεύχεα θέντες,
νηῶν ἐξεχέοντο, μένος καταειμένοι ὤμοις·
σὺν δ' ἔβαλον θήρεσσιν ἐοικότες ὠμοβόροισι,
δῆριν ἐς αἱματόεσσαν, ὁμοῦ δ' ἔχον ἔντεα καλά,
ἔγχεα καὶ θώρηκας ἐϋσθενέας τε βοείας,
καὶ κόρυθας βριαράς, ἕτερος δ' ἑτέρου χρόα χαλκῷ
τύπτον ἀπηλεγέως· τὸ δ' ἐρεύθετο Τρώϊον οὖδας.
Ἔνθ' ἕλε Πενθεσίλεια Μόλωνά τε Περσίνοόν τε,
Εἴλισσόν τε καὶ Ἀντίθεον, καί ἀγήνορα Λέρνον,
Ἵππαλμόν τε καὶ Αἱμονίδην κρατερόν τ' Ἐλάσιπ-[πον.
Δηριόνη δ' ἕλε Λαογόνον, Κλονίη δὲ Μένιππον,
ὅς ῥα πάρος Φυλακῆθεν ἐπέσπετο Πρωτεσιλάῳ,
ὄππως κεν Τρώεσσιν ἐϋσθενέεσσι μάχοιτο·
τοῦ δ' ἄρ' ἀποφθιμένοιο, Ποδάρκεϊ θυμὸς ὀρίνθη
Ἰφικληϊάδῃ· τὸν γὰρ μέγα φίλαθ' ἑταίρων·
αἶψα δ' ὅγ' ἀντιθέην Κλονίην βάλε· τῆς δὲ διαπρὸ
ἦλθε δόρυ στιβαρὸν κατὰ νηδύος· ἐκ δέ οἱ ὦκα
δουρὶ χύθη μέλαν αἷμα· συνέσπετο δ' ἔγκατα πάντα.
Τῆς δ' ἄρα Πενθεσίλεια χολώσατο, καί ῥα Ποδάρκεα
οὔτασεν ἐς μυῶνα παχύν, περιμηκεῖ δουρί,
χειρὸς δεξιτερῆς, διὰ δὲ φλέβας αἱματοέσσας
κέρσε· μέλαν δέ οἱ αἷμα δι' ἕλκεος οὐταμένοιο
ἔβλυσεν ἐσσυμένως· ὁ δ' ἄρα στενάχων ἀπόρουσεν
εἰσοπίσω· μάλα γάρ οἱ ἐδάμνατο θυμὸν ἀνίη.
Τοῦ δ' ἄρ' ἀπεσσυμένοιο ποθὴ Φυλάκεσσιν ἐτύχθη
ἄσπετος· ὃς δ' ἄρα, βαιὸν ἀπὸ πτολέμοιο λιασθεὶς,
κάτθανε καρπαλίμως σφετέρων ἐνὶ χερσὶν ἑταίρων.
Ἰδομενεὺς δὲ Βρέμουσαν ἐνήρατο δούρατι μακρῷ,
δεξιτερὸν παρὰ μαζόν· ἄφαρ δέ οἱ ἦτορ ἔλυσεν.
Ἡ δ' ἔπεσεν, μελίῃ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσι
δουροτόμοι τέμνουσιν ὑπείροχον· ἡ δ' ἀλεγεινὸν
ῥοῖζον ὁμῶς καὶ δοῦπον ἐρειπομένη προΐησιν·
ὣς ἥ ἀνοιμώξασα πέσεν, τῆς δ' ἅψεα πάντα
λῦσε μόρος, ψυχὴ δ' ἐμίγη πολυάεσιν αὔραις.
Εὐάνδρην δ' ἄρα Μηριόνης ἰδὲ Θερμώδοσσαν
εἷλεν ἐπεσσυμένας ὀλοὴν ἀνὰ δηϊοτῆτα·
τῇ μὲν ἄρ' ἐς κραδίην ἐλάσας δόρυ, τῇ δ' ὑπὸ νηδὺν
φάσγανον ἐγχρίμψας· τὰς δ' ἐσσυμένως λίπεν ἦτορ.
Δηριόνην δ' ἐδάμασσεν Ὀϊλέος ὄβριμος υἱὸς,
ἔγχεϊ ὀκριόεντι διὰ κληῗδα τυχήσας.
Ἀλκιβίης δ' ἄρα Τυδείδης καὶ Δηριμαχείης
ἄμφω κρᾶτ' ἀπέκοψε σὺν αὐχέσιν ἄχρις ἐπ' ὤμους

gregibus lanigeris necem tristem afferunt,
hanc vero ignis impetui similem, qui in virgultis
furit aridis, concitante vento :
et quispiam in-unum congregatos sermone tali allocutus-est:
Quis tandem Trojanos coegit post Hectorem occisum,
quos putavimus non amplius ad-occurrendum nobis promtos-fore ?] nunc vero repente inferuntur cupidi vehementer prœlii.] Et sane quispiam, inter medios *eos* exstimulat ad -certandum :] dixeris deum esse, quia arduam molitur rem.
Sed agite, fiduciam firmam animis injicientes
fortitudinis memores-simus bellicæ : neque enim nos
sine diis cum-Trajanis pugnabimus hodie.
Sic dixit. At illi splendidis se armis quum-circumdedissent,] e-navibus effundebantur, robore amicti humeros,
et concurrebant, bestiis similes crudivoris,
certamen ad cruentum, et conferebant arma pulcra,
hastas et loricas validosque bubulos-clypeos,
et galeas ponderosas, alterque alterius corpus ære
feriit intrepide; rubebat (*sanguine*) Trojanus campus.
Ibi occidit Penthesilea Molonem et Persinoum,
Ilissumque et Antitheum, et fortem Lernum,
Hippalmumque et Æmonidem validumque Elasippum.
Derione vero occidit Laogonum, et Clonie Menippum,
qui olim ex-Phylaca secutus-erat Protesilam,
ut cum-Trojanis robore-præstantibus pugnaret.
Quo interfecto, Podarci animus commotus-est
Iphiclidæ : hunc enim apprime diligebat inter-socios:
extemplo igitur is divam Clonien petiit; eique penitus
transit hasta gravis per ventrem; atque ejus statim
cum-hasta erupit ater sanguis, et secuta-sunt intestina
cuncta.] Propter-illam Penthesilea ira-exarsit, et Podarci
vulnus-inflixit in musculum crassum prælonga hasta
manus dexteræ, venasque sanguine-turgidas
dissecuit; niger autem ei cruor per vulnus inflictum
ebulliit confestim : ideo cum-gemitu se-proripuit
retro; nam valde dejecerat ejus animum ægritudo.
Quo abeunte desiderium Phylacensibus ortum-est
ingens; at is paululum ex acie submotus
exspiravit protinus suorum inter manus sociorum.
Idomeneus porro Bremusam interemit hasta longa
ad dexteram *ictam* mammam, statimque ei cor dissolvit.
Illa procubuit fraxini instar, quam in monte
lignatores cædunt eminentem, eaque horrificum
strepitum simul et fragorem procumbens edit :
sic illa cum-gemitu cecidit, et ejus artus omnes
solvit mors, animaque commiscebatur ventosis auris.
Evandram dehinc Meriones et Thermodossam
interemit, ruentes exitialem per conflictum ;
illi in cor impacta hasta, huic in ventrem
ense infixo : quas extemplo destituit cor.
Derionem vero profligavit Oilei strenuus filius,
hasta aspera jugulum transverberans.
Alcibiæ porro Tydides et Derimachiæ
utrumque caput abscidit cum cervicibus usque ad humeros

ἄορι λευγαλέῳ· ταὶ δ', ἠΰτε πόρτιες, ἄμφω
κάππεσον, ἅς τ' αἰζηὸς ἄφαρ ψυχῆς ἀπαμέρσῃ,
κόψας αὐχενίους στιβαρῷ βουπλῆγι τένοντας·
ὣς αἳ Τυδείδαο πέσον παλάμῃσι δαμεῖσαι,
Τρώων ἂμ πεδίον, σφετέρων ἀπὸ νόσφι καρήνων.
Τῇσι δ' ἐπὶ Σθένελος κρατερὸν κατέπεφνε Κάβειρον,
ὅς κίεν ἐκ Σηστοῖο, λιλαιόμενος πολεμίζειν
Ἀργείοις, οὐδ' αὖθις ἑὴν νοστήσατο πάτρην.
Τοῦ δὲ Πάρις κραδίην ἐχολώσατο δῃωθέντος,
καί ῥ' ἔβαλε Σθενέλοιο καταντίον· οὐδ' ἄρα τόν γε
οὔτασεν, ἐσσύμενός περ, ἀπεπλάγχθη γὰρ ὀϊστὸς
ἄλλῃ, ὅπῃ μιν Κῆρες ἀμείλιχοι ἰθύνεσκον·
κτεῖνε γὰρ ἐσσυμένως Εὐήνορα χαλκεομίτρην,
ὅς ῥ' ἐκ Δουλιχίοιο κίεν Τρώεσσι μάχεσθαι.
Τοῦ δ' ἄρ' ἀποφθιμένοιο, πάϊς Φυλῆος ἀγαυὸς
ὠρίνθη· μάλα δ' ὦκα, λέων ὡς πώεσι μήλων,
ἔνθορε· τοὶ δ' ἄρα πάντες ὑπέτρεσαν ὄβριμον ἄνδρα.
Κτεῖνε γὰρ Ἰτυμονῆα καὶ Ἱππασίδην Ἀγέλαον,
οἵ ῥ' ἀπὸ Μιλήτοιο φέρον Δαναοῖσιν ὁμοκλήν,
Νάστῃ ἅμ' ἀντιθέῳ, καὶ ὑπ' Ἀμφιμάχῳ μεγαθύμῳ,
οἳ Μυκάλην ἐνέμοντο Λάτμοιό τε λευκὰ κάρηνα,
Βράγχου τ' ἄγκεα μακρὰ καὶ ἠϊόεντα Πάνορμον,
Μαιάνδρου τε ῥέεθρα βαθυῤῥόου, ὅς ῥ' ἐπὶ γαῖαν
Καρῶν ἀμπελόεσσαν ἀπὸ Φρυγίης πολυμήλου
εἶσι, πολυγνάμπτοισιν ἑλισσόμενος προχοῇσιν.
Καὶ τοὺς μὲν κατέπεφνε Μέγης ἐνὶ δηϊοτῆτι·
ἄλλους δ' αὖτ' ἐδάμασσεν, ὅσους κίχε δουρὶ κελαινῷ·
ἐν γάρ οἱ στέρνοισι θράσος βάλε Τριτογένεια,
ὄφρα κε δυσμενέεσσιν ὀλέθριον ἦμαρ ἐφείῃ.
Δρησαῖον δ' ἐδάμασσεν ἀρηΐφιλος Πολυποίτης,
τὸν τέκε δῖα Νέαιρα περίφρονι Θειοδάμαντι
μιχθεῖσ' ἐν λεχέεσσιν ὑπαὶ Σιπύλῳ νιφόεντι,
ἧχι θεοὶ Νιόβην λᾶαν θέσαν, ἧς ἔτι δάκρυ
πουλὺ μάλα στυφελῆς καταλείβεται ὑψόθι πέτρης,
καί οἱ συστοναχοῦσι ῥοαὶ πολυηχέος Ἕρμου,
καὶ κορυφαὶ Σιπύλου περιμήκεες, ὧν καθύπερθεν
ἐχθρὴ μηλονόμοισιν ἀεὶ περιπτατ' ὀμίχλη·
ἡ δὲ πέλει μέγα θαῦμα παρεσσυμένοισι βροτοῖσιν,
οὕνεκ' ἔοικε γυναικὶ πολυστόνῳ, ἥτ' ἐπὶ λυγρῷ
πένθεϊ μυρομένη μάλα μυρία δάκρυα χεύει·
καὶ τὸ μὲν ἀτρεκέως φῇς ἔμμεναι, ὁππότ' ἄρ' αὐτὴν
τηλόθεν ἀθρήσειας· ἐπὴν δέ οἱ ἐγγὺς ἵκηαι,
φαίνεται αἰπήεσσα πέτρη Σιπύλοιο τ' ἀποῤῥώξ.
Ἀλλ' ἡ μὲν μακάρων ὀλοὸν χόλον ἐκτελέουσα
μύρεται ἐν πέτρῃσιν, ἔτ' ἀχνυμένῃ εἰκυῖα.
Ἄλλοι δ' ἀμφ' ἄλλοισι φόνον καὶ κῆρ' ἐτίθεντο
ἀργαλέοι· δεινὸς γὰρ ἐνεστρωφᾶτο Κυδοιμὸς
λαοῖς ἐν μέσσοισιν· ἀταρτηρὸν δέ οἱ ἄγχι
εἱστήκει Θανάτοιο τέλος· περὶ δέ σφισι Κῆρες
λευγαλέαι στρωφῶντο, φόνον στονόεντα φέρουσαι.
Πολλῶν δ' ἐν κονίῃσι λύθη κέαρ ἤματι κείνῳ
Τρώων τ' Ἀργείων τε· πολὺς δ' ἀλαλητὸς ὀρώρει·
οὐ γάρ πως ἀπέληγε μένος μέγα Πενθεσιλείης,
ἀλλ' ὥς τίς τε βόεσσι κατ' οὔρεα μακρὰ λέαινα

gladio letali. Quæ, velut vitulæ, ambæ
prociderunt, quas juvenis subito anima privat,
amputans cervicales valida securi nervos :
sic illæ Tydidæ procubuere manibus trucidatæ,
Trojanorum in campo, a suis seorsum capitibus.
Post has Sthenelus fortem peremit Cabirum,
qui ex Sesto venerat cupiens belligerare
cum Argivis, nec rursus in suam reversus-est patriam.
Quo Paris intus ira-exarsit occiso,
*telum*que conjecit in Sthenelum; nec tamen illum
sauciavit, quamlibet enixus; aberravit enim sagitta
alio, quo eam Parcæ immites dirigebant:
interfecit enim illico Evenorem æreo-baltheo-insignem,
qui ex Dulichio profectus-erat cum Trojanis pugnaturus.
Hoc igitur extincto filius Phylei illustris
commotus-est; et subito, ut leo in-greges ovium,
impetum-fecit; at omnes exhorrescebant fortem virum.
Necavit autem Itymoneum et Hippasiden Agelaum,
qui a Mileto afferebant Danais minas-hostiles,
cum-Naste una divino, et sub Amphimacho magnanimo,
qui Mycalen tenebant Latmique candida juga,
et Branchi valles longas ac littoralem Panormum,
Mæandrique fluenta profundi, qui in terram
Carum vitiferam ex Phrygia ovibus-abundante
labitur, flexuoso se-provolvens cursu.
Atque hos quidem interfecit Meges in conflictu :
et alios insuper stravit, quotquot contigit hasta nigra:
nam ejus pectori fiduciam immiserat Minerva,
ut hostibus funestum diem afferret.
Dresæum deinde vicit Marti-carus Polypœtes,
quem peperit diva Neæra solerti Thiodamanti
commixta in lecto sub Sipylo nivoso,
ubi Dii Nioben in saxum verterunt, cujus adhuc lacrima
largissima ex-rigida destillat alte petra ;
et cum ipsa gemunt undæ multisoni Hermi
et cacumina Sipyli longe-protenta, super quibus
inimica pastoribus perpetuo volat nebula :
illa autem existit ingens miraculum prætereuntibus homi-
nibus,] quia refert mulierem gemibundam, quæ præ tristi
luctu lamentans infinitas lacrimas profundit
et hoc revera dixeris se-ita-habere, siquidem ipsam
a-longinquo adspexeris : si autem ad-eam prope accesseris,
apparet arduus scopulus Sipylique fragmentum.
Hæc itaque Deorum exitialem iram explens
lamentatur inter saxa, etiamnum dolenti similis.
Alii præterea aliis necem ac stragem dabant
atroces : dirus enim versabatur Tumultus
populis in mediis : funestus autem hunc prope
stabat Mortis terminus : circaque illos Parcæ
letiferæ agitabantur, cædem luctificam apportantes.
Multorum itaque in pulvere solutum-fuit cor die illo
et Trojanorum et Argivorum ; ingensque ululatus oriebatur:
nullo enim modo cessabat vis acris Penthesileæ
sed ut quædam boves in montibus longis leæna

ἐνθόρῃ ἀΐξασα βαθυσκοπέλου διὰ βήσσης,
αἵματος ἱμείρουσα, τό οἱ μάλα θυμὸν ἰαίνει·
ὣς τῆμος Δαναοῖσιν Ἀρηϊὰς ἔνθορε κούρη.
Οἱ δ' ὀπίσω χάζοντο τεθηπότα θυμὸν ἔχοντες,
ἡ δ' ἕπετ', ἠΰτε κῦμα βαρυγδούποιο θαλάσσης
νήεσιν ὠκείῃσιν, ὅθ' ἱστία λευκὰ πετάσσῃ
οὖρος ἐπειγόμενος· βοόωσι δὲ πάντοθεν ἄκραι
πόντου ἐρευγομένοιο ποτὶ χθονὸς ἠόνα μακρήν·
ὣς ἥ γ' ἑσπομένη Δαναῶν ἐδάϊζε φάλαγγας,
καί σφιν ἐπηπείλησε, μέγα φρεσὶ κυδιόωσα·
Ὦ κύνες, ὡς Πριάμοιο κακὴν ἀποτίσετε λώβην
σήμερον· οὐ γάρ πώ τις ἐμὸν σθένος ἐξυπαλύξας
χάρμα φίλοις τοκέεσσι καὶ υἱάσιν ἠδ' ἀλόχοισιν
οἴσεται· οἰωνοῖς δὲ βόσις καὶ θηρσὶ θανόντες
κείσεσθ'· οὐδέ τι τύμβος ἐφ' ὑμέας ἵξεται αἴης.
Πῇ νῦν Τυδείδαο βίη, πῇ δ' Αἰακίδαο,
ποῦ δ' Αἴαντος ἔβη; τοὺς γὰρ φάτις ἔμμεν' ἀρίστους·
ἀλλ' ἐμοὶ οὐ τλήσονται ἐναντία δηριάασθαι,
μή σφιν ἀπὸ μελέων ψυχὰς φθιμένοισι κεδάσσω.
Ἦ ῥα· καὶ Ἀργείοισι μέγα φρονέουσ' ἐνόρουσε,
θηρὶ βίην εἰκυῖα· πολὺν δ' ὑπεδάμνατο λαὸν,
ἄλλοτε μὲν βουπλῆγι βαρυστόμῳ, ἄλλοτε δ' αὖτε
πάλλουσ' ὀξὺν ἄκοντα· φέρεν δέ οἱ αἰόλος ἵππος
ἰοδόκην καὶ τόξον ἀμείλιχον, εἴ που ἄρ' αὐτῇ
χρειὼ ἀν' αἱματόεντα μόθον βελέων ἀλεγεινῶν
καὶ τόξοιο πέλοιτο· θοοὶ δὲ μετ' ἄνδρες ἕποντο,
Ἕκτορος ἀγχεμάχοιο κασίγνητοί τε φίλοι τε,
ὄβριμον ἐν στέρνοισιν ἀναπνείοντες Ἄρηα,
οἳ Δαναοὺς ἐδάϊζον ἐϋξέστῃς μελίῃσιν·
τοὶ δὲ, θοοῖς φύλλοισιν ἐοικότες ἢ ψεκάδεσσιν,
πῖπτον ἐπασσύτεροι· μέγα δ' ἔστενεν ἄσπετος αἶα,
αἵματι δευομένη νεκύεσσί τε πεπληθυῖα.
Ἵπποι δ', ἀμφὶ βέλεσσι πεπαρμένοι ἢ μελίῃσιν,
ὑστάτιον χρεμέτιζον ἑὸν μένος ἐκπνείοντες.
Οἱ δὲ κόνιν δραγμοῖσι δεδραγμένοι ἀσπαίρεσκον·
τοὺς δ' ἄρα Τρώϊοι ἵπποι ἐπεσσύμενοι μετόπισθεν,
ἄντλον ὅπως, στείβεσκον ὁμοῦ κταμένοισι πεσόντας.
Καί τις ἐνὶ Τρώεσσιν ἀγάσσατο μακρὰ γεγηθὼς,
ὡς ἴδε Πενθεσίλειαν ἀνὰ στρατὸν ἀΐσσουσαν,
λαίλαπι κυανέῃ ἐναλίγκιον, ἥτ' ἐνὶ πόντῳ
μαίνεθ', ὅτ' αἰγοκερῆϊ συνέρχεται ἠελίου ἴς·
καί ῥ' ὅγε μαψιδίῃσιν ἐπ' ἐλπωρῇσιν ἔειπεν·
Ὦ φίλοι, ὡς ἀναφανδὸν ἀπ' οὐρανοῦ εἰλήλουθε
σήμερον ἀθανάτων τις, ἵν' Ἀργείοισι μάχηται,
ἡμῖν ἦρα φέρουσα, Διὸς κρατερόφρονι βουλῇ,
ὅς τάχα που μέμνηται ἐϋσθενέος Πριάμοιο,
ὅς ῥά οἱ εὔχεται εἶναι ἀφ' αἵματος ἀθανάτοιο.
Οὐ γὰρ τήνδε γυναῖκά γ' ὀΐομαι εἰσοράασθαι
αὔτως θαρσαλέην τε καὶ ἀγλαὰ τεύχε' ἔχουσαν,
ἀλλ' ἄρ' Ἀθηναίην, ἢ καρτερόθυμον Ἐνυὼ,
ἢ Ἔριδ', ἢ κλειτὴν Λητωΐδα· καί μιν ὀΐω
σήμερον Ἀργείοισι φόνον στονόεντα βαλέσθαι,
νῆάς τ' ἐμπρήσειν ὀλοῷ πυρὶ, τῇσι πάροιθεν
ἤλυθον ἐς Τροίην, νῶϊν κακὰ πολλὰ φέροντες·

invadit magno-impetu scopulis-præcipitem per vallem,
sanguinem appetens, qui ejus animum valde exhilarat;
ita tunc in-Danaos Martia irruebat virgo.
Qui retro cedebant attonitum animum habentes,
ipsa vero instabat, ut fluctus horrisoni maris
navibus citis, cum vela candida explicat
ventus-secundus *eas* impellens : et mugiunt undique promontoria,] mari eructante ad terræ crepidinem longam.
Sic illa insequens Danaum dirumpit phalanges,
et eos minis-incessit, valde animo glorians:
Proh Canes! quomodo Priami tetram luetis injuriam
hodie! neque enim quisquam, meum robur evadens,
gaudium caris parentibus et liberis atque uxoribus
referet; sed alitibus epulum et bestiis mortui
jacebitis, nec tumulus super vos aggeretur terræ.
Quo nunc Tydidæ vis, quo Æacidæ,
quo Ajacis abiit? hos enim fama *est* esse fortissimos:
sed non audebunt mecum manus-conserere;
ne illorum e membris animas ad-inferos depellam.
Sic fata-est, et in-Argivos magno animo impetum-fecit,
feræ viribus similis: numerosamque dejecit turbam,
nunc securi acuta, nunc rursus
vibrans acutum pilum: gestabat etiam ipsi velox equus
pharetram et arcum immitem, si uspiam illi
opus in cruento conflictu sagittis vulnificis
atque arcu foret. Acres vero viri sectabantur,
Hectoris bellicosi fratres et amici,
rigidum pectore spirantes Martem,
qui Danaos transfodiebant levigatis hastis:
hi itaque citis foliis similes aut guttis-pluvialibus
cadebant conferti; et valde ingemebat vasta tellus,
sanguine humectata et cadaveribus oppleta.
Equi etiam, sagittis confixi aut hastis,
ultimum edebant-hinnitum suas vires exhalantes.
Alii pulverem morsibus corripientes palpitabant;
alios equi Trojani irruentes a-tergo,
velut manipulos (*in area*), calcabant simul cum-mortuis prolapsos.] Et quispiam inter Trojanos obstupuit maxime lætus,] ut vidit Penthesileam per aciem grassari,
turbini atro similem, qui in mari
furit, quando in Capricornum ingreditur solis vis;
et is vana spe *inflatus* dixit:
O amici, quam manifeste e cælo venit
hodie Dearum quæpiam, ut cum-Argivis depugnet,
nobis opem ferens, Jovis magnanimo decreto,
qui forte reminiscitur præpotentis Priami,
qui gloriatur se-ortum-esse ab ejus sanguine immortali.
Non enim hanc feminam puto me-intueri,
tam animosam et tam splendida arma gestantem:
sed Minervam, vel magnanimam Bellonam,
vel Discordiam, vel præclaram Latonæ-natam; et eam opinor] hodie Argivis cædem luctuosam allaturam,
navesque crematuram exitiali igne, quibus olim
venerunt ad Trojam, nobis mala multa afferentes.

[ἤλυθον ἄσχετον ἄμμιν ἐπ' Ἄρεϊ πῆμα φέροντες.]
Ἀλλ' οὐ μὰν παλίνορσοι ἐς Ἑλλάδα νοστήσαντες,
πάτρην εὐφρανέουσιν, ἐπεὶ θεὸς ἄμμιν ἀρήγει.
Ὣς ἄρ' ἔφη Τρώων τις, ἐνὶ φρεσὶ πάγχυ γεγηθώς·
νήπιος· οὐδ' ἄρ' ἐφράσσατ' ἐπεσσύμενον βαρὺ πῆμα
οἷ αὐτῷ καὶ Τρωσὶ καὶ αὐτῇ Πενθεσιλείῃ·
οὐ γάρ πώ τι μόθοιο δυσηχέος ἀμφὶ πέπυστο
Αἴας ὀβριμόθυμος ἰδὲ πτολίπορθος Ἀχιλλεύς,
ἀλλ' ἄμφω περὶ σῆμα Μενοιτιάδαο χέχυντο,
μνησάμενοι ἑτάροιο· γόος δ' ἔχεν ἄλλυδις ἄλλον.
Τοὺς γὰρ δὴ μακάρων τις ἐρήτυε νόσφι κυδοιμοῦ,
ὄφρ' ἀλεγεινὸν ὄλεθρον ἀναπλήσωσι δαμέντες
πολλοὶ ὑπὸ Τρώεσσι καὶ ἐσθλῇ Πενθεσιλείῃ·
ἥ σφιν ἐπεσσυμένη κακὰ μήδετο· καί οἱ ἄεξεν
ἀλκὴ ὁμῶς καὶ θάρσος ἐπιπλέον· οὐδέ οἱ αἰχμὴ
μαψιδίη ποτὲ θῦνεν, ἀεὶ δ' ἢ νῶτα δάϊξε
φευγόντων, ἢ στέρνα κατάντιον ἀϊσσόντων·
θερμῷ δ' αἵματι πάμπαν ἐδεύετο, γυῖα δ' ἐλαφρὰ
ἔπλετ' ἐπεσσυμένης· κάματος δ' οὐ δάμνατο θυμὸν
ἄτρομον, ἀλλ' ἀδάμαντος ἔχεν μένος· εἰσέτι γάρ μιν
Αἶσα λυγρὴ κύδαινεν, ἀπόπροθι δ' ἑστηυῖα
χάρμης, κυδιάασκεν ὀλέθριον, οὕνεκ' ἔμελλε
κούρην οὐ μετὰ δηρὸν ὑπ' Αἰακίδαο χέρεσσι
δάμνασθ'· ἀμφὶ δέ μιν ζόφος ἔκρυφε· τὴν δ' ὀρόθυνεν
αἰὲν ἄϊστος ἐοῦσα, καὶ ἐς κακὸν ἦγεν ὄλεθρον
ὕστατα κυδαίνουσ'· ἡ δ' ἄλλοθεν ἄλλον ἔναιρεν.
Ὡς δ' ὁπότ' ἐρσήεντος ἔσω κήποιο θοροῦσα
ποίης ἐλδομένη θυμηδέος εἴαρι πόρτις,
ἀνέρος οὐ παρέοντος, ἐπέσσυται ἄλλοθεν ἄλλῃ,
σινομένη φυτὰ πάντα, νέον μάλα τηλεθόωντα,
καὶ τὰ μὲν ἂρ κατέδαψε, τὰ δ' ἐν ποσὶν ἠμάλδυνεν·
ὣς ἄρ' Ἀχαιῶν υἷας ἐπεσσυμένη καθ' ὅμιλον
κούρη Ἐνυαλίη, τοὺς μὲν κτάνε, τοὺς δ' ἐφόβησε.
Τρωϊάδες δ' ἀπάνευθεν Ἀρήϊα ἔργα γυναικὸς
θαύμαζον, πολέμοιο δ' ἔρως λάβεν Ἱπποδάμειαν,
Ἀντιμάχοιο θύγατρα, μενεπτολέμοιο δ' ἄκοιτιν
Τισιφόνου· κρατερῇσι δ' ὑπὸ φρεσὶν ἐμμεμαυῖα,
θαρσαλέον φάτο μῦθον, ὁμήλικας ὀτρύνουσα
δῆριν ἐπὶ στονόεσσαν· ἔγειρε δέ οἱ θράσος ἀλκήν·
Ὦ φίλαι, ἄλκιμον ἦτορ ἐπὶ στέρνοισι βαλοῦσαι
ἀνδράσιν ἡμετέροισιν ὁμοίϊον, οἳ περὶ πάτρης
δυσμενέσιν μάρνανται ὑπὲρ τεκέων τε καὶ ἡμῶν,
οὔποτ' ἀναπνείοντες ὀϊζύος — ἀλλὰ καὶ αὐταὶ
παρθέμεναι φρεσὶ θυμὸν, ἴσης μνησώμεθα χάρμης.
Οὐ γὰρ ἀπόπροθεν εἰμὲν ἐϋσθενέων αἰζηῶν,
ἀλλ' οἷον κείνοισι πέλει μένος, ἔστι καὶ ἡμῖν·
ἶσοι δ' ὀφθαλμοὶ, καὶ γούνατα, πάντα δ' ὁμοῖα·
ξυνὸν δ' αὖ πάντεσσι φάος, καὶ νήχυτος ἀήρ·
φορβὴ δ' οὐχ' ἑτέρη· τί δ' ἐπ' ἀνδράσι λώϊον ἄλλο
θῆκε θεός; τῷ μή τι φεβώμεθα δηϊοτῆτος.
Ἢ οὐχ ὁράατε γυναῖκα, μέγ' αἰζηῶν προφέρουσαν
ἀγχεμάχων; τῆς δ' οὔ τι πέλει σχεδὸν, οὔτε γενέθλη,
οὔτ' ἄρ' ἑὸν πτολίεθρον· ὑπὲρ ξείνοιο δ' ἄνακτος
μάρναται ἐκ θυμοῖο, καὶ οὐκ ἐμπάζεται ἀνδρῶν,

[venerunt insuperabile nobis cum Marte damnum afferentes.] Sed nequaquam, denuo in Græciam reversi,
patriam gaudio-afficient, quoniam Deus nobis præsidio-est.
Sic dixit igitur Trojanorum quispiam, in animo omnino
lætus :] stolidus! non enim perpendit imminens grave malum] sibimet et Trojanis et ipsi Penthesileæ :
nondum enim quidquam prœlio de infelici cognoverat
Ajax magnanimus, et vastator-urbium Achilles,
sed ambo ad tumulum Menœtiadæ fusi-jacebant,
memores amici, et luctus detinebat alibi alium.
Hos enim Deorum quispiam remorabatur a pugna,
ut tristi exitio perfungerentur trucidati
multi (*Græcorum*) a Trojanis et Penthesilea strenua :
quæ in-eos impetu-facto dira meditabatur; ejusque augebatur] robur simul et fiducia magis : neque ejus hasta
incassum unquam irruit, sed semper vel terga fodit
fugientium, vel præcordia contra venientium;
et calido sanguine undique conspergebatur, membraque agilia] erant grassantis : nec labor defatigabat animum
intrepidum, sed adamantis habebat vim; adhuc enim ipsam
Parca funesta decorabat; procul autem stans
extra-pugnam, exultabat letaliter, quia erat
puellam non multo post Æacidæ manibus
domitura; et eam caligo obtexerat: illam autem incitabat
nunquam visa, et ad funestum ducebat interitum,
novissimum *illi* honorem-addens: hæc vero alibi alium perimebat.] Ut, quando roscidum in hortum irrupens
herbæ cupida dulcis verno-tempore juvenca,
vir (*villicus*) dum abest, fertur aliunde alio,
vastans plantas omnes, recens læte florentes,
et alias depascitur, alias pedibus conculcat :
sic igitur Achivum filios, invadens in aciem,
virgo Martia, partim occidit, partim in-fugam egit.
Troades autem procul Mavortia facinora mulieris
admirabantur: belli vero cupido incessit Hippodamiam,
Antimachi filiam, bellicosi uxorem
Tisiphoni; fortique animo percita
plenam-fiduciæ habuit orationem, æquales exhortans
ad certamen tristisonum: excitabat enim illi audacia vires :
O amicæ, fortem animum pectoribus infigentes
virorum nostrorum instar, qui pro patria
contra-hostes pugnant parentum gratia et nostra
nunquam respirantes ab-ærumnis, agedum et ipsæ,
indita pectoribus fiducia, de-simili cogitemus pugna.
Non enim procul absumus a-robustis juvenibus;
sed quale ipsis est robur, est etiam nobis,
paresque oculi, et genua, et omnia similia;
communis etiam omnibus lux, et liquidus aer,
nec nutrimentum diversum *est*: at quid viris præstantius
aliud] apposuit Deus? Ideo nequaquam defugiamus certamen.] Nonne videtis feminam longe viris præstare
bellicosis? cujus non in-propinquo est, neque familia,
neque ipsius urbs : sed pro externo rege
belligerat ex animo, nec magnificat viros,

ἐνθεμένη φρεσὶ θάρσος ἀταρτηρόν τε νόημα·
ἡμῖν δ' ἄλλοθεν ἄλλα παραὶ ποσὶν ἄλγεα κεῖται·
τῆς μὲν γὰρ φίλα τέκνα καὶ ἀνέρες ἀμφὶ πόληϊ
ὄλλυνθ', αἱ δὲ τοκῆας ὀδυρόμεθ' οὐκ ἔτ' ἐόντας·
ἄλλαι δ' αὖτ' ἀκάχηνται ἀδελφειῶν ἐπ' ὀλέθρῳ
καὶ πηῶν· οὐ γάρ τις ὀϊζυρῆς κακότητος
ἄμμορος· ἐλπωρὴ δὲ πέλει, καὶ δούλιον ἦμαρ
εἰσιδέειν. Τῷ μή τις ἔτ' ἀμβολίη πολέμοιο
εἴη τειρομένῃσιν· ἔοικε γὰρ ἐν δαῒ μᾶλλον
τεθνάμεν, ἢ μετόπισθεν ὑπ' ἀλλοδαποῖσιν ἄγεσθαι,
νηπιάχοις ἅμα παισὶν, ἀνιηρῇ ὑπ' ἀνάγκῃ,
ἄστεος αἰθομένοιο, καὶ ἀνδρῶν οὐκ ἔτ' ἐόντων.
Ὣς ἄρ' ἔφη· πάσῃσι δ' ἔρως στυγεροῖο μόθοιο
ἔμπεσεν· ἐσσυμένως δὲ πρὸ τείχεος ὡρμαίνεσκον
βήμεναι ἐν τεύχεσσιν, ἀρηγέμεναι μεμαυῖαι
ἄστεϊ, καὶ λαοῖσιν· ὀρίνετο δέ σφισι θυμός.
Ὡς δ' ὅτ' ἔσω σίμβλοιο μέγ' ἰύζωσι μέλισσαι,
χείματος οὐκ ἔτ' ἐόντος, ὅτ' ἐς νομὸν ἐντύνονται
ἐλθέμεν, οὐδ' ἄρα τῇσι φίλον πέλει ἔνδοθι μίμνειν,
ἄλλη δ' αὖθ' ἑτέρην προκαλίζεται ἐκτὸς ἄγεσθαι·
ὣς ἄρα Τρωϊάδες ποτὶ φύλοπιν ἐγκονέουσαι,
ἀλλήλας ὄτρυνον· ἀπόπροθι δ' εἴρια θέντο
καὶ ταλάρους· ἀλεγεινὰ δ' ἐπ' ἔντεα χεῖρας ἴαλλον.
Καί νύ κεν ἄστεος ἐκτὸς ἅμα σφετέροισιν ὄλοντο
ἀνδράσι καὶ σθεναρῇσιν Ἀμαζόσιν ἐν δαῒ κείνῃ,
εἰ μή σφέας κατέρυξε πύκα φρονέουσα Θεανὼ
ἐσσυμένας, πινυτοῖσι παραυδήσασ' ἐπέεσσιν·
Τίπτε ποτὶ κλόνον αἰνὸν, ἐελδόμεναι πονέεσθαι,
σχέτλιαι, οὔτι πάροιθε πονησάμεναι περὶ χάρμης,
ἀλλ' ἄρα νήϊδες, ἔργον ἐπ' ἄτλητον μεμαυῖαι,
ὄρνυσθ' ἀφραδέως; οὐ γὰρ σθένος ἔσσεται ἶσον
ὑμῖν καὶ Δαναοῖσιν ἐπισταμένοισι μάχεσθαι.
Αὐτὰρ Ἀμαζόσι δῆρις ἀμείλιχος ἱππασίαι τε
εὔαδον ἐξ ἀρχῆς, καὶ ὅσ' ἀνέρος ἔργα πέλονται·
τοὔνεκ' ἄρα σφίσι θυμὸς Ἀρήϊος αἰὲν ὄρωρεν,
οὐδ' ἀνδρῶν δεύονται, ἐπεὶ πόνος εἰς μέγα κάρτος
θυμὸν ἀνηέξησε, καὶ ἄτρομα γούνατ' ἔθηκε.
Τὴν δὲ φάτις καὶ Ἄρηος ἔμεν κρατεροῖο θύγατρα·
τῷ οἱ θηλυτέρην τιν' ἐριζέμεν οὔτι ἔοικεν·
ἠὲ τάχ' ἀθανάτων τις ἐπήλυθεν εὐχομένοισιν.
Πᾶσι δ' ἄρ' ἀνθρώποισιν ὁμὸν γένος· ἀλλ' ἐπὶ ἔργα
στρωφῶντ', ἄλλος ἐπ' ἄλλα· πέλει δ' ἄρα κεῖνο φέρι-
ἔργον, ὅ, τι φρεσὶν ᾗσιν ἐπιστάμενος πονέηται· [στον
τοὔνεκα δηϊοτῆτος ἀποσχόμεναι κελαδεινῆς,
ἱστὸν ἐπεντύνεσθαι ἑῶν ἔντοσθε μελάθρων·
ἀνδράσι δ' ἡμετέροισι περὶ πτολέμοιο μελήσει.
Ἐλπωρὴ δ' ἀγαθοῖο τάχ' ἔσσεται, οὕνεκ' Ἀχαιοὺς
δερκόμεθ' ὀλλυμένους μέγα δὲ κράτος ὄρνυται ἀν-
ἡμετέρων. Οὐδ' ἔστι κακῶν δέος· οὔτι γὰρ ἄστυ [δρῶν
δήϊοι ἀμφὶς ἔχουσιν ἀνηλέες, οὔτ' ἀλεγεινὴ
γίγνετ' ἀναγκαίη καὶ θηλυτέρῃσι μάχεσθαι.
Ὣς φάτο· ταὶ δ' ἐπίθοντο παλαιοτέρῃ περ ἐούσῃ·
ἰσμίνην δ' ἀπάνευθεν ἐσέδρακον. Ἡ δ' ἔτι λαοὺς
δάμνατο Πενθεσίλεια, περιτρομέοντο δ' Ἀχαιοί,

complexa pectore virtutem atque imperterritum animum :
nobis autem aliunde aliæ ante pedes miseriæ objectæ-sunt;
aliis enim cari liberi et mariti ante urbem
perierunt, aliæ parentes deploramus non ultra superstites;
aliæ etiam cruciantur fratrum ob necem
ac propinquorum. Nulla enim a-calamitosissima infelicitate
immunis *est* : metuendum vero est, ne etiam servitutis
diem] videamus. Ideo nulla amplius mora pugnandi
sit *nobis* afflictis : satius-est in prœlio potius
occumbere, quam postmodum ab alienigenis abduci,
infantibus una cum-liberis, tristi necessitate,
urbe incendio-absumta, et viris non amplius superstitibus.
Sic dixit. Universas igitur cupido tristis pugnæ
incessit; et continuo extra mœnia conabantur
prorumpere in armis, suppetias-ferre properantes
urbi et civibus : commotusque-erat illis animus.
Ut cum in alveariis apes magnopere fremunt
hyeme jam exacta, cum in pascua se-accingunt
ut-evolent, nec amplius ipsis amicum est intus manere,
sed alia aliam provocat ad exeundum :
sic Troades ad conflictum festinantes
se-mutuo instigabant; at procul lanam seposuerunt
calathosque; et sæva ad arma manus adjecerunt.
Et ante urbem una cum-suis periissent
viris et strenuis Amazonibus in conflictu illo,
nisi eas cohibuisset prudens Theano
impetum-facientes, prudentibus affata verbis :
Quare ad pugnam gravem, ardentes bellare,
infelices, non prius expertæ bellum,
sed plane rudes, ad rem *vobis* intolerabilem properantes,
ruitis insipienter? Non enim vires erunt pares
vobis et Danais peritis belligerandi.
At Amazonibus certamen infestum et equitandi-studium
cordi-sunt a principio, et quæcunque virorum opera sunt :
propterea igitur in-istis animus Martius semper est
neque viris indigent, quoniam labor ad magnum robur
animum provexit et intrepida genua fecit.
Istam vero fama *est* etiam Martis esse robusti natam ;
quare cum-ea feminam aliquam certare non par-est :
aut forte Deorum quispiam adest vota facientibus.
Universis quidem hominibus eadem origo *est*, sed circa
opera] versatur alius alia : est vero illud potissimum
opus, quod mente sua cognitum *quis* exercet.
Idcirco a-pugna desistentes clamosa,
telam instaurate vestris in ædibus :
viris autem nostris de bello cura-erit.
At spes boni mox aderit, quia Achivos
videmus succumbere : magnumque robur oritur virorum
nostrorum. Neque est malorum metus : non enim urbem
hostes circa obsident infesti, neque *tam* acerba
est necessitas, ut-etiam feminis pugnandum-sit.
Sic ait : illæ vero morem-gessere seniori :
et pugnam e-longinquo spectarunt. Nam adhuc populos
prostravit Penthesilea, et undique-trepidabant Achivi;

οὐδέ σφιν θανάτοιο πέλε στονόεντος ἄλυξις·
ἀλλ' ἅτε μηκάδες αἶγες ὑπὸ βλοσυρῇσι γένυσσι
παρδάλιος κτείνοντο, ποθὴ δ' ἔχεν οὐκ ἔτι χάρμης
ἀνέρας, ἀλλὰ φόβοιο, καὶ ἄλλυδις ἤϊον ἄλλοι,
οἱ μὲν ἀποῤῥίψαντες ἐπὶ χθόνα τεύχε' ἀπ' ὤμων,
οἱ δ' ἄρα σὺν τεύχεσσι· καὶ ἡνιόχων ἀπάνευθεν
ἵπποι ἔσαν φεύγοντες· ἐπεσσυμένοις δ' ἄρα χάρμα
ἔπλετ', ἀπολλυμένων δὲ πολὺς στόνος· οὐδέ τις ἀλκὴ
γίγνετο τειρομένοισι· μινυνθάδιοι δὲ πέλοντο
πάντες, ὅσους ἐκίχανεν ἀνὰ κρυερὸν στόμα χάρμης.
Ὡς δ' ὅτ' ἐπιβρίσασα μέγα στονόεσσα θύελλα,
ἄλλα μὲν ἐκ ῥιζῶν χαμάδις βάλε δένδρεα μακρὰ
ἄνθεσι τηλεθόωντα, τὰ δ' ἐκ πρέμνοιο κέασσεν
ὑψόθεν· ἀλλήλοισι δ' ἐπὶ κλασθέντα κέχυνται·
ὣς Δαναῶν κεχύλιστο πολὺς στρατὸς ἐν κονίῃσι
Μοιράων ἰότητι καὶ ἔγχεϊ Πενθεσιλείης.
Αὐτὰρ ἐπεὶ καὶ νῆες ἐνιπρήσεσθαι ἔμελλον
χερσὶν ὑπὸ Τρώων, τότε που μενεδήϊος Αἴας
οἰμωγῆς ἐσάκουσε καὶ Αἰακίδην προσέειπεν·
Ὦ Ἀχιλεῦ, περὶ δή μοι ἀπείριτος ἤλυθεν αὐδὴ
οὔασιν, ὡς πολέμοιο συνεσταότος μεγάλοιο·
ἀλλ' ἴομεν, μὴ Τρῶες, ὑποφθάμενοι παρὰ νηυσὶν,
Ἀργείους ὀλέσωσι, καταφλέξωσι δὲ νῆας.
Νῶϊν δ' ἀμφοτέροισιν ἐλεγχείη ἀλεγεινὴ
ἔσσεται· οὐ γὰρ ἔοικε Διὸς μεγάλου γεγαῶτας
αἰσχύνειν πατέρων ἱερὸν γένος, οἵ ῥα καὶ αὐτοὶ
Τρώων ἀγλαὸν ἄστυ διέπραθον, ἐγχείῃσι
τὸ πρὶν ἅμ' Ἡρακλῆϊ δαΐφρονι Λαομέδοντος **
ὥσπερ νῦν τελέεσθαι ὑφ' ἡμετέρῃσιν ὀΐω
χερσὶν, ἐπεὶ μέγα κάρτος ἀέξεται ἀμφοτέροισιν.
Ὡς φάτο· τῷ δ' ἐπίθησε θρασὺ σθένος Αἰακίδαο·
κλαγγὴν γὰρ στονόεσσαν ὑπέκλυεν οὔασιν οἷσιν.
Ἄμφω δ' ὡρμήθησαν ἐπ' ἔντεα μαρμαίροντα·
καὶ τὰ μὲν ἑσσάμενοι κατεναντίον ἔσταν ὁμίλου·
τῶν δ' ἄρα τεύχεα καλὰ μέγ' ἔβραχε· μαίνετο δέ σφιν
ἶσον θυμὸς Ἄρηϊ· τόσον σθένος ἀμφοτέροισι
δῶκεν ἐπειγομένοισι σακέσπαλος Ἀτρυτώνη.
Ἀργεῖοι δ' ἐχάρησαν, ἐπεὶ ἴδον ἄνδρε κραταιὼ,
εἰδομένω παίδεσσιν Ἀλωῆος μεγάλοιο,
οἵ ποτ' ἐπ' εὐρὺν Ὄλυμπον ἔφαν θέμεν οὔρεα μακρὰ,
Ὄσσαν τ' αἰπεινὴν καὶ Πήλιον ὑψικάρηνον,
ὅππως δὴ μεμαῶτε καὶ οὐρανὸν εἰσαφίκωνται·
τοῖοι ἄρ' ἀντέστησαν ἀταρτηροῦ πολέμοιο
Αἰακίδαι, μέγα χάρμα λιλαιομένοισιν Ἀχαιοῖς,
ἄμφω ἐπειγόμενοι δηΐων ἀπὸ λαὸν ὀλέσσαι.
Πολλοὺς δ' ἐγχείῃσιν ἀμαιμακέτῃσι δάμασσαν.
Ὡς δ' ὅτε πίονα μῆλα βοοδμητῆρε λέοντε
εὑρόντ' ἐν ξυλόχοισι φίλων ἀπάνευθε νομήων,
πανσυδίῃ κτείνωσιν, ἄχρις μέλαν αἷμα πιόντες
σπλάγχνων ἐμπλήσωνται ἑὴν πολυχανδέα νηδύν·
ὣς οἵγ' ἄμφω ὄλεσσαν ἀπειρέσιον στρατὸν ἀνδρῶν.
Ἔνθ' Αἴας ἕλε Δηΐοχόν τ' ἰδ' Ἀρήϊον Ὕλλον,
Εὐρύνομόν τε φιλοπτόλεμον καὶ Ἐνυέα δῖον.
Ἀντάνδρην δ' ἄρα Πηλείδης ἕλε καὶ Πολεμοῦσαν,

nec illis interitus erat lamentabilis effugium :
sed veluti balantes capræ sub immanibus maxillis
pardalis conficiebantur, nec cupiditas tenuit amplius belli
viros, sed fugæ, et alio se-subducunt alii,
partim rejectis ad terram armis ab humeris,
partim cum armis : et aurigis destituti
equi erant fugientes : apud-infestantes quidem gaudium
erat, at apud-intereuntes multum gemitus; nec quidquam
opis] dabatur afflictis : sed brevis-vitæ erant
omnes, quos *illa* comprehendit in horrenda fauce conflictus.] Sicut ubi ingravescens vehementer murmurans procella] alias radicitus humi prosternit arbores longas,
cum-floribus virescentes, partim a trunco avellit
desuper; et super aliis aliæ truncatæ jacent :
ita Danaum prostratus-erat ingens exercitus in pulvere
Parcarum numine et hasta Penthesileæ.
Sed cum etiam naves incendendæ essent
manibus Troum, tum forte bellicosus Ajax
clamorem audivit et Æaciden *sic* compellavit :
Heus Achilles, sane mihi ingens pervenit strepitus
ad aures, ac si-prœlium committitur grande :
eamus ergo, ne Trojani præoccupantes apud naves
Argivos cædant, atque incendio-vastent naves.
At nostrum utrique ignominia turpis
erit. Non enim decet a Jove-magno progenitos
dehonestare parentum sacrum genus, qui et ipsi
Troum splendidam urbem expugnarunt hastis
olim cum Hercule bellicoso Laomedontis **
ut nunc effectum-iri nostris confido
manibus, cum ingens robur vigescat utrique.
Sic dixit; eique morem-gessit audax vis Æacidæ :
clangorem enim lamentabilem perceperat auribus suis.
Ambo igitur properarunt ad arma fulgentia :
quibus induti ex-adverso constiterunt exercitui :
horumque arma insignia valde resonabant, furebatque
ipsis] animus æque-ac Marti : tantum robur utrique
dederat festinanti clypei-agitatrix Minerva.
Argivi autem læti-erant, cum conspicerent viros fortes,
similes filiis Aloei magni,
qui quondam super latum Olympum jactitabant *se* imposituros montes arduos,] Ossamque excelsam et Pelion altijugum,] ut connixi etiam in cœlum pervenirent :
tales igitur se-objectarunt terribili pugnæ
Æacidæ, magnum gaudium expetentibus Achivis,
ambo festinantes hostium turbam pessundare.
Multos vero hastis invictis peremerunt.
Ut quando pingues oves boum-domitores duo-leones,
inventas in saltu amicis sine pastoribus,
confertim trucidant, usque-dum nigro sanguine hausto
visceribus expleverint suum capacissimum ventrem :
sic illi duo interemerunt innumerabilem turbam virorum.
Ibi Ajax occidit Deïochum et Mavortium Hyllum,
Eurynomumque belli-amantem et Enyeum divum.
Antandren vero Pelides interfecit et Polemusam,

ἠδὲ καὶ Ἀντιβρότην, μετὰ δ' Ἱπποθόην ἐρίθυμον,
τῇσι δ' ἐφ' Ἁρμοθόην· ἐπὶ δ' ᾤχετο λαὸν ἅπαντα
σὺν Τελαμωνιάδῃ μεγαλήτορι· τῶν δ' ὑπὸ χερσὶ
πυκναί τε σθεναραί τε κατηρείποντο φάλαγγες
ῥεῖα καὶ ὀτραλέως, ὡσεὶ πυρὶ δάσκιος ὕλη
οὔρεος ἐν ξυλόχοισιν, ἐπισπέρχοντος ἀήτεω.
Τοὺς δ' ὁπότ' εἰσενόησε δαΐφρων Πενθεσίλεια
θῆρας ὅπως θύνοντας ἀνὰ μόθον ὀκρυόεντα,
ἀμφοτέρων ὥρμησε καταντίον, ἠΰτε λυγρὴ
πάρδαλις ἐν ξυλόχοισιν, ὀλέθριον ἦτορ ἔχουσα,
αἰνὰ περισσαίνουσα, θόρῃ κατέναντ' ἐπιόντων
ἀγρευτῶν, οἵπερ μιν ἐν ἔντεσι θωρηχθέντες,
ἐσσυμένην μίμνουσι, πεποιθότες ἐγχείῃσιν·
ὣς ἄρα Πενθεσίλειαν Ἀρήϊοι ἄνδρες ἔμιμνον,
δούρατ' ἀειράμενοι· περὶ δέ σφισι χαλκὸς ἄϋτει
κινυμένων· πρώτη δ' ἔβαλεν περιμήκετον ἔγχος
ἐσθλὴ Πενθεσίλεια· τὸ δ' ἐς σάκος Αἰακίδαο
ἷξεν, ἀπεπλάγχθη δὲ διατρυφὲν εὖτ' ἀπὸ πέτρης·
τοῖ' ἔσαν Ἡφαίστοιο περίφρονος ἄμβροτα δῶρα.
Ἡ δ' ἕτερον μετὰ χερσὶ τιτύσκετο θοῦρον ἄκοντα
Αἴαντος κατέναντα, καὶ ἀμφοτέροισιν ἀπείλει·
Νῦν μὲν ἐμῆς ἀπὸ χειρὸς ἐτώσιον ἔκθορεν ἔγχος·
ἀλλ' ὀΐω τάχα τῶδε μένος καὶ θυμὸν ὀλέσσειν
ὑμέων ἀμφοτέρων, οἵ τ' ἄλκιμοι εὐχετάασθε
ἔμμεναι ἐν Δαναοῖσιν· ἐλαφροτέρη δὲ μόθοιο
ἔσσεται ἱπποδάμοισι μετὰ Τρώεσσιν ὀϊζύς.
Ἀλλά μοι ἆσσον ἵκεσθον ἀνὰ κλόνον, ὄφρ' ἐσίδεσθε,
ὅσσον Ἀμαζόσι κάρτος ἐνὶ στήθεσσιν ὄρωρεν·
καὶ γάρ μευ γένος ἐστὶν Ἀρήϊον· οὐδέ με θνητὸς
γείνατ' ἀνήρ, ἀλλ' αὐτὸς Ἄρης ἀκόρητος ὁμοκλῆς·
τοὔνεκά μοι μένος ἐστὶ πολὺ προφερέστατον ἀνδρῶν.
Ἦ δ' ἄρα· τοὶ δ' ἐγέλασσαν· ἄφαρ δέ οἱ ἤλασεν αἰχ-
Αἴαντος κνημῖδα πανάργυρον· οὐδέ οἱ εἴσω [μὴ
ἤλυθεν ἐς χρόα καλόν, ἐπειγομένη περ ἱκέσθαι·
οὐ γὰρ δὴ πέπρωτο μιγήμεναι αἵματι κείνου
δυσμενέων στονόεσσαν ἐνὶ πτολέμοισιν ἀκωκήν.
Αἴας δ' οὐκ ἀλέγιζεν Ἀμαζόνος, ἀλλ' ἄρα Τρώων
ἐς πληθὺν ἀνόρουσε· λίπε δ' ἄρα Πηλείωνι
οἴῳ Πενθεσίλειαν, ἐπεί ῥά οἱ ἐν φρεσὶ θυμὸς
ἤδεεν, ὡς Ἀχιλῆϊ, καὶ ἰφθίμη περ ἐοῦσα,
ῥηΐδιος πόνος ἔσσεθ', ὅπως ἴρηκι πέλεια.
Ἡ δὲ μέγα στονάχησεν, ἐτώσια δοῦρα βαλοῦσα·
καί μιν κερτομέων προσεφώνεε Πηλέος υἱός·
Ὦ γύναι, ὡς ἀλίοισιν ἀγαλλομένη ἐπέεσσιν
ἡμέων ἤλυθες ἄντα, λιλαιομένη πολεμίζειν,
οἳ μέγα φέρτατοί εἰμεν ἐπιχθονίων ἡρώων·
ἐκ γὰρ δὴ Κρονίωνος ἐριγδούποιο γενέθλης
εὐχόμεθ' ἐκγεγάμεν· τρομέεσκε δὲ καὶ θοὸς Ἕκτωρ
ἡμέας, εἰ καὶ ἄπωθεν ἐσέδρακεν ἀΐσσοντας
δῆριν ἐπὶ στονόεσσαν· ἐμὴ δέ μιν ἔκτατεν αἰχμή,
καὶ κρατερόν περ ἐόντα. Σὺ δ' ἐν φρεσὶ πάγχυ μέμη-
ἢ μέγ' ἔτλης, καὶ νῶϊν ἐπηπείλησας ὄλεθρον [νας,
σήμερον· ἀλλά σοι εἶθαρ ἐλεύσεται ὕστατον ἦμαρ·
οὐδὲ γὰρ οὐδ' αὐτός σε πατὴρ ἔτι ῥύσεται Ἄρης

atque Antibroten, et deinde Hippothoen acris-animi,
et post has Harmothoen: et invasit exercitum totum
cum Telamoniade magnanimo, horumque manibus
densa et valida sternebantur agmina
facile et sine-mora, quasi igni opaca silva
montis in saltu, urgente vento.
Hos itaque cum animadverteret belli-gnara Penthesilea
ferarum instar grassantes per aciem horrendam,
utrique tetendit obviam, ut luctuosa
pardalis in silva, perniciali animo prædita,
terribiliter cauda-mota, insilit in invadentes
venatores, qui eam in armis loricati,
approperantem præstolantur, confidentes hastis:
sic igitur Penthesileam Martii viri expectabant
hastis sublatis, circumque eos æs crepabat
dum-se-movent. Prima autem emisit prælongam hastam
fortis Penthesilea, quæ in scutum Æacidæ
pervenit, sed resultavit diffracta tanquam a lapide:
talia erant Vulcani solertis cœlestia munera.
Ipsa vero alterum manibus direxit acre jaculum
adversus Ajacem, et utrique minabatur:
Nunc quidem mea ex manu irritum exiliit hastile:
sed confido *me* statim hoc robur et vitam eversuram
vestrum utrique, qui fortissimi gloriamini
esse inter Danaos: et levior belli
erit equum-domitoribus Trojanis calamitas.
Verum ad-me propius accedite per aciem, ut cognoscatis,
quanta Amazonibus vis in præcordiis existat:
etenim mihi genus est Martium, nec me mortalis
creavit vir, sed ipse Mars, insatiabilis belli:
ideo mihi robur est longe præstantius quam-viris.
Dixit igitur: at illi riserunt; et confestim ejus transadegit
hasta] Ajacis ocream omnino-argenteam; nec-tamen in ejus
penetravit cutem pulcram, cupida quamlibet penetrandi:
non enim in-fatis-erat, ut-misceretur sanguini ejus
hostium luctificus in pugnis mucro.
Ajax itaque non curabat Amazonem, sed Troum
in globum abscessit, permisitque Pelidæ
soli Penthesileam, quia penitus ejus animus
norat, Achilli *eam*, quantumlibet fortis esset,
facilem laborem fore, ut accipitri columbam.
Illa vero valde ingemuit, incassum hastis evibratis:
et eam dictis-incessens affatus-est Pelei filius:
Mulier, quam futilibus exultans verbis
adversum nos venisti, cupiens dimicare,
qui multo excellentissimi sumus terrestrium heroum:
nam ex Jovis valde-tonantis prosapia
gloriamur *nos ortos-esse*: et formidabat etiam velox Hector
nos, si vel procul videbat accelerantes
certamen ad funestum, meaque illum peremit cuspis,
utut fortis erat. At tu mente prorsus insanis,
quæ magna ausa-es, et nobis interminata-es interitum
hodie. verum tibi jamjam veniet ultimus dies:
neque enim sane ipse te pater deinceps eripiet Mars

ἐξ ἐμέθεν· τίσεις δὲ κακὸν μόρον, εὖτ' ἐν ὄρεσσι
κεμμὰς ἀπαντήσασα βοοδμητῆρι λέοντι.
Ἦ οὔπω τόδ' ἄκουσας, ὅσων ὑποκάππεσε γυῖα
Ξάνθου πὰρ προχοῇσιν ὑφ' ἡμετέρης παλάμῃσιν;
ἤ σεῦ πευθομένης μάκαρες φρένας ἐξείλοντο
καὶ νόον, ὄφρα σε Κῆρες ἀμείλιχοι ἀμφιχάνωσιν;
Ὣς εἰπὼν οἴμησε, κραταιῇ χειρὶ τιταίνων
λαοφόνον δόρυ μακρὸν ὑπαὶ Χείρωνι πονηθέν·
αἶψα δ' ὑπὲρ μαζοῖο δαΐφρονα Πενθεσίλειαν
οὔτασε δεξιτεροῖο· μέλαν δέ οἱ ἔρρεεν αἷμα
ἐσσυμένως· ἡ δ' εἶθαρ ὑπεκλάσθη μελέεσσιν·
ἐκ δ' ἔβαλεν χειρὸς πέλεκυν μέγαν· ἀμφὶ δέ οἱ νὺξ
ὀφθαλμοὺς ἤχλυσε, καὶ ἐς φρένα δῦσαν ἀνίαι.
Ἀλλὰ καὶ ὣς ἄμπνυε, καὶ εἴσιδε δήϊον ἄνδρα,
ἤδη μιν μέλλοντα καθελκέμεν ὠκέος ἵππου·
ὥρμηνεν δ', ἢ χειρὶ μέγα ξίφος εἰρύσασα
μεῖναι ἐπεσσυμένοιο θοοῦ Ἀχιλῆος ἐρωὴν,
ἢ κραιπνῶς ἵπποιο κατ' ὠκυτάτοιο θοροῦσα
λίσσεσθ' ἀνέρα δῖον, ὑποσχέσθαι δέ οἱ ὦκα
χαλκὸν ἅλις καὶ χρυσὸν, ἅ τε φρένας ἔνδον ἰαίνει
θνητῶν ἀνθρώπων, καὶ εἰ μάλα τὶς θρασὺς εἴη·
τοῖς ἤν πως πεπίθοιτ' ὀλοὸν σθένος Αἰακίδαο·
ἢ καὶ ὁμηλικίην αἰδεσσάμενος κατὰ θυμὸν,
δώῃ νόστιμον ἦμαρ ἐελδομένῃ περ ἀλύξαι.
Καὶ τὸ μὲν ὣς ὥρμαινε· θεοὶ δ' ἑτέρωσε βάλοντο.
Τῇ γὰρ ἐπεσσύμενος μέγ' ἐχώσατο Πηλέος υἱὸς,
καί οἱ ἄφαρ σὺν ἔπειρεν ἀελλόποδος δέμας ἵππου·
εὖτέ τις ἀμφ' ὀβελοῖσιν ὑπὲρ πυρὸς αἰθαλόεντος
σπλάγχνα διαμπείρῃσιν ἐπειγόμενος ποτὶ δόρπον,
ἢ ὥς τις στονόεντα βαλὼν ἐν ὄρεσσιν ἄκοντα
θηρητὴρ ἐλάφοιο μέσην διὰ νηδύα κέρσῃ
ἐσσυμένως, πταμένη δὲ διαμπερὲς ὄβριμος αἰχμὴ
πρέμνον ἐς ὑψικόμοιο πάγῃ δρυὸς, ἢ ἐνὶ πεύκῃ·
ὣς ἄρα Πενθεσίλειαν ὁμῶς περικαλλέϊ ἵππῳ
ἀντικρὺ διάμησεν ὑπ' ἔγχεϊ μαιμώωντι
Πηλείδης. Ἡ δ' ὦκα μίγη κονίῃ καὶ ὀλέθρῳ,
εὐσταλέως ἐριποῦσα κατ' οὔδεος· οὐ δέ οἱ αἰδὼς
ἤσχυνεν δέμας ἠΰ· τάθη δ' ἐπὶ νηδύα μακρὴν,
δουρὶ περισπαίρουσα, θοῷ δ' ἐπικέκλιτο ἵππῳ·
εὖτ' ἐλάτη κλασθεῖσα βίῃ κρυεροῦ Βορέαο,
ἥν τέ που αἰπυτάτην ἀνά τ' ἄγκεα μακρὰ καὶ ὕλην,
οἷ αὐτῇ μέγ' ἄγαλμα, τρέφει περὶ πίδακι γαῖα·
τοίη Πενθεσίλεια κατ' ὠκέος ἤριπεν ἵππου
θηητή περ ἐοῦσα· κατεκλάσθη δέ οἱ ἀλκή.
Τρῶες δ' ὡς ἐσίδοντο δαϊκταμένην ἐνὶ χάρμῃ,
πανσυδίῃ τρομέοντες ἐπὶ πτόλιν ἐσσεύοντο,
ἄσπετ' ἀκηχέμενοι μεγάλῳ περὶ πένθεϊ θυμόν.
Ὡς δ' ὅτ' ἀν' εὐρέα πόντον ἐπιβρίσαντος ἀήτεω
ναῦται νῆ' ὀλέσαντες ὑπεκπροφύγωσιν ὄλεθρον,
παῦροι, πολλὰ καμόντες ὀϊζυρῆς ἁλὸς εἴσω,
ὀψὲ δ' ἄρα σφίσι γαῖα φάνῃ σχεδὸν, ἠδὲ καὶ ἄστυ,
τοὶ δὲ μόγῳ στονόεντι τετρυμένοι ἅψεα πάντες
ἐξ ἁλὸς ἀΐσσουσι, μέγ' ἀχνύμενοι περὶ νηὸς
ἠδ' ἑτάρων, οὓς αἰνὸν ὑπὸ ζόφον ἤλασε κῦμα·

mihi; sed lues infelici fato, veluti in montibus
cerva obviam-facta boum-domitori leoni.
Utrum nunquam hoc audivisti, quam-multorum succubuerint membra] Xanthi ad fluenta nostris manibus?
an tibi audienti Dii mentem ademerunt
et rationem, ut te Parcæ immites absorberent?
Sic fatus irruit, valida manu protendens
letalem hastam prolixam, a Chirone fabricatam:
ac subito supra papillam bellicosam Penthesileam
vulneravit dexteram; nigerque ejus profluit cruor
repente, subitoque debilitata-est membris:
at dimisit e-manu bipennem grandem; circumque ei nox
oculos tenebris-obtexit, et pectus subiere dolores.
Sed vel sic respiravit atque intuita-est infestum virum,
qui-jam ipsam erat abstracturus ex-celeri equo.
Ergo deliberavit, utrum manu ingenti gladio educto
expectaret advenientis rapidi Achillis impetum,
an subito equo ex velocissimo desiliens
supplicaret viro divo, promitteretque ei mox
affatim æs et aurum, quæ mentes penitus oblectant
mortalium hominum, etiamsi quis valde ferox sit:
si his forte moveretur sæva vis Æacidæ;
aut etiam æqualis-ætatis rationem habens in animo,
concederet reditus diem cupienti evadere.
Et hæc quidem ita versabat: sed Dii alio rejecerunt.
Illi enim irruens graviter succensuit Pelei filius,
et subito una-cum ipsa transverberavit celeripedis corpus
equi,] veluti quis verubus super ignem flammantem
viscera transfigit festine apparans cœnam,
aut ut quispiam sonoram ejaculatus in monte tragulam
venator cervi mediam alvum trajicit
raptim, pervolansque penitus acuta cuspis
in truncum alticomæ infigitur quercus, aut in piceam:
sic etiam Penthesileam una-cum insigni equo
penitus transadegit hasta furenti
Pelides. Illa autem mox commista-est cum-pulvere et morte,
composite cadens ad terram; nec ei pudor
dedecoravit corpus formosum: sed extendebatur in ventrem latum,] circa hastam palpitans, celerique incubuit
equo:] veluti abies fracta vi horridi Boreæ,
quam alicubi procerissimam in vallibus longis et silva,
sibimet ingens decus, nutrit juxta fontem tellus:
talis Penthesilea veloci defluxit equo,
admirabilis etiamnum; et fractum-est ipsius robur.
Troes autem, ut viderunt occisam in pugna,
gregatim trepidantes ad urbem fugerunt,
valde conturbati ingenti luctu animum.
Ut cum in lato mari, ingravescente vento,
nautæ navi amissa effugerunt exitium,
pauci, multa perpessi in calamitoso mari,
tandemque eis terra apparet prope, atque oppidum:
tum labore acerbo confectis membris omnes
e mari properant, valde mœrentes propter navem
et socios, quos horrendam sub caliginem impulit unda:

ὣς Τρῶες ποτὶ ἄστυ πεφυζότες ἐκ πολέμοιο,
κλαῖον πάντες Ἄρηος ἀμαιμακέτοιο θύγατρα,
καὶ λαοὺς, οἳ δῆριν ἀνὰ στονόεσσαν ὄλοντο.
Τῇ δ' ἐπικαγχαλόων μεγάλ' εὔχετο Πηλέος υἱός·
Κεῖσό νυν ἐν κονίῃσι, κυνῶν βόσις ἠδ' οἰωνῶν,
δειλαίη· τίς γάρ σε παρήπαφεν ἀντί' ἐμεῖο
ἐλθέμεν; ἦπου ἔφησθα, μάχης ἀπονοστήσασα,
οἴσειν ἄσπετα δῶρα παρὰ Πριάμοιο γέροντος,
κτείνασ' Ἀργείους· ἀλλ' οὐ τόδε σοί γε νόημα
ἀθάνατοι ἐτέλεσσαν, ἐπεὶ μέγα φέρτατοι εἰμὲν
ἡρώων, Δαναοῖσι φάος μέγα, Τρωσὶ δὲ πῆμα
ἠδὲ σοὶ αἰνομόρῳ, ἐπειή νύ σε Κῆρες ἐρεμναὶ,
καὶ νόος ἐξορόθυνε, γυναικῶν ἔργα λιποῦσαν,
βήμεναι ἐς πόλεμον, τόν περ τρομέουσι καὶ ἄνδρες.
Ὣς εἰπὼν, μελίην ἐξείρυσε Πηλέος υἱὸς
ὠκέος ἐξ ἵπποιο καὶ αἰνῆς Πενθεσιλείης·
ἄμφω δ' ἀσπαίρεσκον, ὑφ' ἓν δορὶ δῃωθέντες·
ἀμφὶ δέ οἱ κρατὸς κόρυν εἵλετο μαρμαίρουσαν,
ἠελίου ἀκτῖσιν ἀλίγκιον ἢ Διὸς αἴγλῃ.
Τῆς δὲ, καὶ ἐν κονίῃσι καὶ αἵματι πεπτηυίης,
ἐξεφάνη ἐρατῇσιν ὑπ' ὀφρύσι καλὰ πρόσωπα,
καί περ ἀποκταμένης· οἱ δ' ὡς ἴδον ἀμφιέποντες
Ἀργεῖοι, θάμβησαν, ἐπεὶ μακάρεσσιν ἐῴκει.
Κεῖτο γὰρ ἐν τεύχεσσι κατὰ χθονὸς, ἠΰτ' ἀτειρὴς
Ἄρτεμις ὑπνώουσα, Διὸς τέκος, εὖτε κάμῃσι
γυῖα, κατ' οὔρεα μακρὰ θοοὺς βάλλουσα λέοντας·
αὐτὴ γάρ μιν ἔτευξε καὶ ἐν φθιμένοισιν ἀγητὴν
Κύπρις ἐϋστέφανος, κρατεροῦ παράκοιτος Ἄρηος,
ὄφρα τι καὶ Πηλῆος ἀμύμονος υἷ' ἀκαχήσῃ.
Πολλοὶ δ' εὐχετόωντο, κατ' οἰκία νοστήσαντες·
τοίης καὶ ἀλόχοιο παραὶ λεχέεσσιν ἰαῦσαι·
καὶ δ' Ἀχιλεὺς ἀλίαστον ἑῷ ἐνετείρετο θυμῷ,
οὕνεκά μιν κατέπεφνε, καὶ οὐκ ἄγε δῖαν ἄκοιτιν
Φθίην εἰς εὔπωλον, ἐπεὶ μέγεθός τε καὶ εἶδος
ἔπλετ' ἀμώμητός τε καὶ ἀθανάτῃσιν ὁμοίη.
Ἀρεϊ δ' ἔμπεσε πένθος ὑπὸ φρένας ἀμφὶ θυγατρὸς
θυμὸν ἀκηχεμένῳ· τάχα δ' ἔκθορεν Οὐλύμποιο,
σμερδαλέῳ ἀτάλαντο, ἀγακτυπέοντι κεραυνῷ,
ὅν τε Ζεὺς προΐησιν, ὁ δ' ἀκαμάτης ἀπὸ χειρὸς
ἔσσυται ἢ ἐπὶ πόντον ἀπείριτον, ἢ ἐπὶ γαῖαν,
μαρμαίρων, τῷ δ' ἀμφὶ μέγας πελεμίζετ' Ὄλυμπος·
τοῖος Ἄρης ταναοῖο δι' ἠέρος, ἀσχαλόων κῆρ,
ἔσσυτο σὺν τεύχεσσιν, ἐπεὶ μόρον αἰνὸν ἄκουσε
παιδὸς ἑῆς· τῷ γάρ ῥα, κατ' οὐρανὸν εὐρὺν ἐόντι,
Αὖραι μυθήσαντο, θοαὶ Βορέαο θύγατρες,
κούρης αἰνὸν ὄλεθρον. Ὁ δ', ὡς κίεν, ἶσος ἀέλλῃ,
Ἰδαίων ὀρέων ἐπεβήσετο· τοῦ δ' ὑπὸ ποσσὶν
ἄγκεα κίνυτο μακρὰ, βαθύρρωχμοί τε χαράδραι,
καὶ ποταμοὶ, καὶ πάντες ἀπειρέσιοι πόδες Ἴδης.
Καί νύ κε Μυρμιδόνεσσι πολύστονον ὤπασεν ἦμαρ,
εἰ μή μιν Ζεὺς αὐτὸς ἀπ' Οὐλύμποιο φόβησεν
σμερδαλέης στεροπῇσι καὶ ἀργαλέοισι κεραυνοῖς,
οἵ οἱ πρόσθε ποδῶν θαμέες ποτόωντο δι' αἴθρης,
δεινὸν ἀπαιθόμενοι· ὁ δ' ἄρ' εἰσορόων ἐνόησε

ita Trojani ad urbem fuga-elapsi e prœlio,
deplorabant omnes Martis invicti filiam,
et milites, qui conflictu in luctuoso perierant.
Illi autem insultans multum gloriabatur Pelei natus
Jaceto nunc in pulvere, canum esca et volucrum,
infelix. Quis enim te seduxit contra me
ut-venires? an-forte putasti, e-pugna reversam
te-asportaturam infinita præmia a Priamo grandævo,
interfectis Argivis? sed nequaquam hoc tibi propositum
dii secundarunt, cum longe pollentissimi simus
heroum, Danais lumen ingens, et Trojanis pestis
ac tibi infortunatæ, quandoquidem te Parcæ nigræ
et animus concitarunt, feminarum operibus relictis
ut-venires ad bellum, quod extimescunt etiam viri.
Sic fatus, hastam extraxit Pelei filius
rapido ex equo et misera Penthesilea:
et uterque palpitarunt una hasta trucidati:
eique de capite cassidem detraxit micantem,
solis radiis similem aut Jovis fulguribus.
At ejus, etiam in pulvere et sanguine jacentis,
reluxit amabili ex fronte pulcra facies,
quamvis extinctæ. Atque ut viderunt obeuntes
Argivi, obstupuerunt, quoniam Deabus similis-erat.
Jacebat enim in armis humi, ut invicta
Diana dormiens, Jovis nata, cum defatigata-habet
membra, in montibus arduis rapidos sternendo leones:
ipsa enim eam reddiderat etiam inter mortuos spectabilem
Venus coronigera, strenui concubina Martis,
ut aliquo etiam Pelei non-culpandi filium mœrore-afficeret.
Multi autem optabant, ut-domum reversi
talis etiam uxoris in lecto dormirent.
Imo etiam Achilles graviter suo excruciabatur animo,
quod eam necasset, nec duxisset divam uxorem
in Phthiam equis-fœcundam; quandoquidem statura et
forma] esset inculpabilis et Deabus similis.
Marti autem incidit luctus in pectus propter filiam
animum excrucianti: confestimque erupit ex Olympo,
horrendo par tonanti fulmini,
quod Jupiter ejaculatur, quodque invicta e manu
evolat, aut super mare immensum, aut super terram,
candens, eoque vastus concutitur Olympus:
talis Mars patulum per aera indignans corde
grassatus-est cum armis, postquam de fato tristi cognovit
filiæ suæ. Ei enim, in cœlo amplo quum-esset,
auræ renunciarunt, præproperæ Boreæ natæ,
filiæ lamentosum exitium. Ipse igitur cum delapsus-esset,
similis turbini,] in Idæis jugis constitit, ejusque pedibus
convalles tremuere longæ, præruptæque voragines
amnesque, et cunctæ profundissimæ radices Idæ.
Et sane Myrmidonibus querulum attulisset diem,
nisi eum Juppiter ipse de cœlo exterruisset
horrificis fulgetris et infestis fulminibus:
quæ ejus ante pedes crebra volitabant per æthram
graviter flagrantia. Ipse igitur videns agnovi

πατρὸς ἐριγδούποιο μέγα βρομέουσαν ὁμοκλήν·
ἔστη δ', ἐσσύμενός περ ἐπὶ πτολέμοιο κυδοιμόν.
Ὡς δ' ὅτ' ἀπ' ἠλιβάτου σκοπιῆς περιμηκέα λᾶαν
λάβρος ὁμῶς ἀνέμοισιν ἀπορρήξῃ Διὸς ὄμβρος,
ὄμβρος ἄρ' ἠὲ κεραυνὸς, ἐπικτυπέουσι δὲ βῆσσαι
λάβρα κυλινδομένοιο, ὁ δ' ἀκαμάτῳ ὑπὸ ῥοίβδῳ
ἔσσυτ' ἀναθρώσκων μάλα ταρφέα, μέχρις ἵκηται
χῶρον ἐπ' ἰσόπεδον, σταίη δ' ἄφαρ οὐκ ἐθέλων περ·
ὣς Διὸς ὄβριμος υἱὸς Ἄρης ἀέκοντί γε θυμῷ
ἔστη, ἐπειγόμενός περ· ἐπεὶ μακάρων μεδέοντι
πάντες ὁμῶς εἴκουσιν Ὀλύμπιοι, οὕνεκ' ἄρ' αὐτῶν
πολλὸν ὑπέρτατός ἐστι, πέλει δέ οἱ ἄσπετος ἀλκή.
Πολλὰ δὲ πορφύροντα, θοὸς νόος ὠτρύνεσκεν,
ἄλλοτε μὲν, Κρονίδαο μέγ' ἀσχαλόωντος ἐνιπὴν
σμερδαλέην τρομέοντα, πρὸς οὐρανὸν ἀπονέεσθαι,
ἄλλοτε δ' οὐκ ἀλέγειν σφετέρου πατρὸς, ἀλλ' Ἀχιλῆϊ
μῖξαι ἐν αἵματι χεῖρας ἀτειρέας· ὀψὲ δέ οἱ κῆρ
μνήσαθ', ὅσοι καὶ Ζηνὸς ἐνὶ πτολέμοισι δάμησαν
υἷεες, οἷς οὐδ' αὐτὸς ἐπήρκεσεν ὀλλυμένοισιν.
Τοὔνεκ' ἀπ' Ἀργείων ἑκὰς ἤϊεν· ἦ γὰρ ἔμελλεν
κεῖσθαι ὁμῶς Τιτῆσι, δαμεὶς στονόεντι κεραυνῷ
εἰ Διὸς ἀκαμάτοιο παρὲκ νόον ἄλλα μενοίνα.
Καὶ τότ' Ἀρήϊοι υἷες ἐϋσθενέων Ἀργείων
σύλεον ἐσσυμένως βεβροτωμένα τεύχεα νεκρῶν,
πάντη ἐπεσσύμενοι· μέγα δ' ἄχνυτο Πηλέος υἱὸς
κούρης εἰσορόων ἐρατὸν σθένος ἐν κονίῃσιν·
τοὔνεκά οἱ κραδίην ὀλοαὶ κατέδαπτον ἀνίαι,
ὁππόσον ἀμφ' ἑτάροιο πάρος Πατρόκλοιο δαμέντος.
Θερσίτης δέ μιν ἄντα κακῷ μέγα νείκεσε μύθῳ·
Ὦ Ἀχιλεῦ, φρένας αἰνὲ, τίη νύ σευ ἤπαφε δαίμων
θυμὸν ἐνὶ στέρνοισιν Ἀμαζόνος εἵνεκα λυγρῆς,
ἣ νῶϊν κακὰ πολλὰ λιλαίετο μητίσασθαι;
καί τοι, ἐνὶ φρεσὶ σῇσι γυναιμανὲς ἦτορ ἔχοντι,
μέμβλεται ὡς ἀλόχοιο πολύφρονος, ἥν τ' ἐπὶ ἕδνοις
κουριδίην μνήστευσας, ἐελδόμενος γαμέεσθαι.
Ὥς σ' ὄφελον κατὰ δῆριν ὑποφθαμένη βάλε δουρὶ,
οὕνεκα θηλυτέρῃσιν ἄδην ἐπιτέρπεαι ἦτορ·
οὐδέ νυ σοί τι μέμηλεν ἐνὶ φρεσὶν οὐλομένῃσιν
ἀμφ' ἀρετῆς κλυτὸν ἔργον, ἐπὴν ἐσίδῃσθα γυναῖκα.
Σχέτλιε, ποῦ νύ τοι ἐστὶ πέρι σθένος, ἠὲ νόημα;
πῇ δὲ βίη βασιλῆος ἀμύμονος; οὐδέ τι οἶσθα,
ὅσσον ἄχος Τρώεσσι γυναιμανέουσι τέτυκται.
Οὐ γὰρ τερπωλῆς ὀλοώτερον ἄλλο βροτοῖσιν
ἐς λέχος ἱεμένης, ἥτ' ἄφρονα φῶτα τίθησι,
καὶ πινυτόν περ ἐόντα· πόνῳ δ' ἄρα κῦδος ὀπηδεῖ.
Ἀνδρὶ γὰρ αἰχμητῇ νίκης κλέος ἔργα τ' Ἄρηος
τερπνά· φυγοπτολέμῳ δὲ γυναικῶν εὔαδεν εὐνή.
Ἦ, μέγα νεικείων· ὁ δέ οἱ περιχώσατο θυμῷ
Πηλείδης ἐρίθυμος· ἄφαρ δέ ἑ χειρὶ κραταιῇ
τύψε κατὰ γναθμοῖο καὶ οὔατος· οἱ δ' ἅμα πάντες
ἐξεχύθησαν ὀδόντες ἐπὶ χθόνα, κάππεσε δ' αὐτὸς
πρηνής· ἐκ δέ οἱ αἷμα διὰ στόματος πεφόρητο
ἀθρόον· αἶψα δ' ἄναλκις ἀπὸ μελέων φύγε θυμὸς
ἀνέρος οὐτιδανοῖο. Χάρη δ' ἄρα λαὸς Ἀχαιῶν·

patris altitonantis valde sonantem fremitum,
et restitit, quamlibet festinans ad belli strepitum.
Ac veluti quando de excelsa specula ingens saxum
vehemens simul cum-ventis abrupit Jovis imber,
imber aut fulmen, intonantque valles,
impetuose dum-volvitur; id continuo fragore
ruit subsultans quam creberrime, donec venerit
locum ad planum, et consistat statim vel invitum:
sic Jovis strenuus filius, Mars, invito quamquam animo,
substitit, quamlibet concitatus. Namque Deorum regi
omnes pariter cedunt Olympii, quod inter-ipsos
longe supremus est, atque est ei infinita potestas.
At multa versantem celer animus impulit,
nunc, Jovis valde indignantis minas
terribiles formidantem, ad cœlum remeare;
nunc, non vereri suum patrem, sed cum-Achille
committere in sanguine manus indomitas: tandem vero
ejus mens] recordata-est, quot etiam Jovis in pugnis inter-
emti-fuissent] filii, quibus neque ipse subsidio-venisset
pereuntibus.] Ideo ab Argivis procul se-recepit: profecto
erat] jaciturus inter Titanes, prostratus fulmine luctisono.
si Jovis indefessi contra voluntatem alia decrevisset.
Et tunc Martii filii fortium Argivorum
spoliabant extemplo cruenta arma mortuorum,
undique grassantes. At valde contristabatur Pelei filius,
puellæ contuens delectabilem speciem in pulvere
ideo ipsius cor perniciosi edebant dolores,
non-minus-quam ob amicum nuper Patroclum interfectum.
Thersites autem eum coram improba valde objurgavit
oratione:] Heus Achilles vecors, quare tuum fefellit
malus-genius] animum in pectore, Amazonis causa infeli-
cis;] quæ nobis mala multa avebat consciscere?
Ac tibi, in pectore tuo mulierosum cor habenti,
curæ-est *hæc* ut uxor cordata, quam sponsalibus-donis
virginem ambieris, cupiens domum-ducere.
Utinam te in pugna præveniens trajecisset hasta,
quia ad-feminas supra-modum te-convertis animo;
nec tibi ullum curæ-est in mente corrupta
virtutis egregium opus, quam-primum intuitus-es femi-
nam.] Degener, ubi tibi est amplius fortitudo, vel ratio?
ubi strenuitas principis boni? nec dum novisti,
quantum luctus Trojanis effeminatis extiterit.
Non enim voluptate perniciosius aliud *quid est* hominibus
in venerem ruente, quæ dementem virum reddit,
etiamsi cordatissimus est: laborem vero gloria comitatur.
Viro enim pugnaci victoriæ laus operaque Martis
delectationi *sunt*: imbelli autem mulierum perplacet torus.
Dixit magnopere objurgans: itaque in-ipsum exarsit ira
Pelides magnanimus, statimque eum manu valida
percussit secundum maxillam et aurem: tum pariter omnes
effusi-sunt dentes ad terram, et lapsus-est ipse
pronus, atque ei sanguis per os erupit
copiosus, subitoque imbecillis e membris fugit animus
viri nullius-pretii: et lætabatur populus Achivorum;

τοὺς γὰρ νείκεε πάμπαν ἐπεσβολίῃσι κακῇσιν,
αὐτὸς ἐὼν λωβητός· ὁ γὰρ Δαναοῖν πέλεν αἰδώς.
Καί ῥά τις ὧδ' εἴπεσκεν ἀρηϊθόων Ἀργείων·
Οὐκ ἀγαθὸν βασιλῆας ὑβριζέμεν ἀνδρὶ χέρηϊ
ἀμφαδὸν, οὔτε κρυφηδὸν, ἐπεὶ χόλος αἰνὸς ὀπηδεῖ.
Ἔστι Θέμις, καὶ γλῶσσαν ἀναιδέα τίνυται Ἄτη,
ἥτ' αἰεὶ μερόπεσσιν ἐπ' ἄλγεσιν ἄλγος ἀέξει.
Ὣς ἄρ' ἔφη Δαναῶν τις· ὁ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Πηλείδης ἐρίθυμος ἔπος ποτὶ τοῖον ἔειπεν·
Κεῖσό νυν ἐν κονίῃσι, λελασμένος ἀφροσυνάων.
Οὐ γὰρ ἀμείνονι φωτὶ χρεὼν κακὸν ἀντιφερίζειν·
ὅς καί που τοπάροιθεν Ὀδυσσῆος ταλαὸν κῆρ
ἀργαλέως ὤρινας, ἐλέγχεα μυρία βάζων.
Ἀλλ' οὐ Πηλείδης τοι ὁμοίϊος ἐξεφαάνθην,
ὅς σεῦ θυμὸν ἔλυσα, καὶ οὐκ ἐπὶ χειρὶ βαρείῃ
πληξάμενος· σὲ δὲ πότμος ἀμείλιχος ἀμφεκάλυψεν·
σῇ δ' ὀλιγοδρανίῃ θυμὸν λίπες· ἀλλ' ἀπ' Ἀχαιῶν
ἔῤῥε, καὶ ἐν φθιμένοισιν ἐπεσβολίας ἀγόρευε.
Ὣς ἔφατ' Αἰακίδαο θρασύφρονος ἄτρομος υἱός·
Τυδείδης δ' ἄρα μοῦνος ἐν Ἀργείοις Ἀχιλῆϊ
χώετο, Θερσίταο δεδουπότος, οὕνεκ' ἄρ' αὐτοῦ
εὔχετ' ἀφ' αἵματος εἶναι, ἐπεὶ πέλεν ὃς μὲν ἀγαυοῦ
Τυδέος ὄβριμος υἱὸς, ὁ δ' Ἀγρίου ἰσοθέοιο,
Ἀγρίου, ὅς τ' Οἰνῆος ἀδελφεὸς ἔπλετο δίου,
Οἰνεὺς δ' υἱέα γείνατ', ἀρήϊον ἐν Δαναοῖσι,
Τυδέα· τοῦ δ' ἐτέτυκτο πάϊς σθεναρὸς Διομήδης.
Τοὔνεκα Θερσίταο περὶ κταμένοιο χαλέφθη.
Καί νύ κε Πηλείωνος ἐναντίον ἤρατο χεῖρας,
εἰ μή μιν κατέρυξαν Ἀχαιῶν φέρτατοι υἷες,
πολλὰ παρηγορέοντες ὁμιλαδόν· ὣς δὲ καὶ αὐτὸν
Πηλείδην ἑτέρωθεν ἐρήτυον· ἦ γὰρ ἔμελλον
ἤδη καὶ ξιφέεσσιν ἐριδμαίνειν οἱ ἄριστοι
Ἀργείων· τοὺς γάρ ῥα κακὸς χόλος ὠτρύνεσκεν.
Ἀλλ' οἱ μὲν πεπίθοντο παραιφασίῃσιν ἑταίρων.
Οἱ δὲ μέγ' οἰκτείραντες ἀγαυὴν Πενθεσίλειαν
Ἀτρεΐδαι βασιλῆες, ἀγασσάμενοι δὲ καὶ αὐτοὶ,
Τρωσὶ δόσαν ποτὶ ἄστυ φέρειν ἐρικυδέος Ἴλου
σὺν σφοῖσιν τεύχεσσιν, ἐπεὶ Πριάμοιο νόησαν
ἀγγελίην προϊέντος· ὁ γὰρ φρεσὶν ᾗσι μενοίνα
κούρην ὀβριμόθυμον, ὁμῶς τεύχεσσι καὶ ἵππῳ,
ἐς μέγα σῆμα βαλέσθαι ἀφνειοῦ Λαομέδοντος·
καί οἱ πυρκαϊὴν νηήσατο πρόσθε πόληος
ὑψηλὴν, εὐρεῖαν· ὕπερθε δὲ θήκατο κούρην
πολλοῖς σὺν κτεάτεσσιν, ὅσα κταμένῃ ἐπεῴκει
ἐν πυρὶ συγκεύασθαι ἐϋκτεάνῳ βασιλείῃ.
Καὶ τὴν μὲν κατέδαψε μέγα σθένος Ἡφαίστοιο,
φλὸξ ὀλοή· λαοὶ δὲ περισταδὸν ἄλλοθεν ἄλλοι
πυρκαϊὴν σβέσσαντο θοῶς εὐώδεϊ οἴνῳ·
ὀστέα δ' ἀλλέξαντες ἅδην ἐπέχευαν ἄλειφαρ
ἡδὺ, καὶ ἐς κοίλην χηλὸν θέσαν· ἀμφὶ δ' ἄρ' αὐτοῖς
πίονα δημὸν ὕπερθ' ἔβαλον βοὸς, ἥ τ' ἀγέλῃσιν
Ἰδαίοις ἐν ὄρεσσι μετέπρεπε φερβομένῃσι.
Τρῶες δ' ὥστε θύγατρα φίλην περικωκύσαντες,
ἀχνύμενοι τάρχυσαν ἐΰδμητον περὶ τεῖχος,

Hos enim impetebat prorsum conviciis acerbis,
ipse cum-esset vituperandus. Hic enim Danais erat pudori.
Et quispiam sic dixit Marte-expeditorum Argivum :
Non conducit reges detrectare viro malo,
neque aperte, neque occulte, quoniam ira gravis comitatur.
Est Themis, et linguam effrenem punit Ate,
quæ perpetuo mortalibus ad dolores dolorem accumulat.
Sic dixit Danaum aliquis : at indignans animo
Pelides animosus sermone hoc affatus-est *Thersiten* :
Jaceas nunc in pulvere oblitus dementiæ.
Non enim meliori viro decet malum se-opponere :
qui et antehac Ulyssis patiens cor
graviter commovisti, probra plurima deblaterans.
Sed non Pelides tibi talis cognitus-sum,
qui tibi vitam solvi, et-quidem non valida manu
feriens, et te fatum immite obtexit;
tuaque ignavia vitam destituisti. Sed ab Achivis
abi-in-malam-rem, et inter mortuos contumelias dicito
Sic dixit Æacidæ audacis impavidus natus.
Tydides autem solus inter Argivos Achilli
succensebat propter-Thersiten interemptum, quia eadem
gloriabatur de stirpe esse; nam erat hic illustris
Tydei præstans filius, ille vero Agrii divini,
Agrii, qui Œnei frater fuerat generosi;
Œneus autem filium procrearat, Martium inter Danaos,
Tydeum, cujus erat filius fortis Diomedes.
Ideo propter Thersiten cæsum graviter-commotus-est.
Et quidem contra Peliden sustulisset manus,
nisi eum inhibuissent Achivum præstantissimi filii,
multum exhortantes verbis catervatim : sicut et ipsum
Peliden ex-alia-parte retinebant. Namque in-animo-habebant] jam etiam gladiis *inter se* contendere fortissimi
Argivum. Eos enim maligna ira incitabat.
Sed tamen obtemperarunt monitis amicorum.
Cæterum valde miserti illustris Penthesileæ
Atridæ imperatores, quam-demirabantur et ipsi,
Trojanis reddiderunt ad urbem auferendam magnifici Ili
cum ipsius armis, cum *de* Priami *voluntate* cognovissent,
legationem mittentis. Is enim animo suo destinarat
puellam magnanimam, una-cum armis et equo,
in magnificum tumulum inferre opulenti Laomedontis.
Ideo ei rogum construxit ante urbem
excelsum, amplum : cui super imposuit viraginem
multis cum opibus, quas cum-defuncta decebat
in ignem congeri prædivite regina.
Eam itaque absumpsit magna vis Vulcani,
flamma edax; et populi circumstantes, aliunde alii,
pyram exstinxerunt propere fragranti vino,
et ossibus sublatis satis admiscuere unguenti
dulcis, et in cavam urnam condiderunt; undique etiam
ipsis] pingue sevum insuper imposuerunt vaccæ, quæ inter armenta] Idæis in montibus eximia-fuerat pascentia.
Trojani autem *ipsam* ut filiam caram deplorantes,
mœrentes sepelierunt bene-structa juxta mœnia,

πύργῳ ἐπὶ προὔχοντι, παρ' ὀστέα Λαομέδοντος,
ἦρα φέροντες Ἄρηϊ καὶ αὐτῇ Πενθεσιλείῃ.
Καί οἱ πὰρ κατέθαψαν Ἀμαζόνας, ὅσσαι ἅμ' αὐτῇ
ἑσπόμεναι ποτὶ δῆριν ὑπ' Ἀργείοισι δάμησαν·
οὐ γὰρ σφὶν τύμβοιο πολυκλαύτοιο μέγηραν
Ἀτρεΐδαι, Τρώεσσι δ' ἐϋπτολέμοισιν ὅπασσαν
ἐκ βελέων ἐρύσασθαι, ὁμῶς κταμένοισι καὶ ἄλλοις.
Οὐ γὰρ ἐπὶ φθιμένοισι πέλει κότος, ἀλλ' ἐλεεινοὶ
δήϊοι οὐκ ἔτ' ἐόντες, ἐπὴν ἀπὸ θυμὸς ὄληται.
Ἀργεῖοι δ' ἀπάνευθε δόσαν πυρὶ πολλὰ κάρηνα
ἡρώων, οἳ δή σφιν ὁμοῦ κτάθεν ἠδ' ἐδάμησαν
Τρώων ἐν παλάμῃσιν, ἀνὰ στόμα δηϊοτῆτος, [λων
πολλὰ μάλ' ἀχνύμενοι κταμένων ὕπερ, ἔξοχα δ' ἄλ-
ἀμφ' ἀγαθοῦ μύροντο Ποδάρκεος· οὐ γὰρ ἐπ' ἐσθλοῦ
δεύετ' ἀδελφειοῖο μάχῃ ἔνι Πρωτεσιλάου·
ἀλλ' ὁ μὲν ἤδη πρόσθεν ὑφ' Ἕκτορι κεῖτο δαϊχθεὶς
ἠΰς Πρωτεσίλαος· ὁ δ' ἔγχεϊ Πενθεσιλείης
βλήμενος, Ἀργείοισι λυγρὸν περικάββαλε πένθος.
Τοὔνεκά οἱ πληθὺν μὲν ἀπόπροθι ταρχύσαντο
τεθνεώτων· κείνῳ δὲ πέριξ ἐβάλοντο καμόντες
οἴῳ σῆμ' ἀρίδηλον, ἐπεὶ θρασὺς ἔπλετο θυμῷ.
Νόσφι δὲ Θερσίταο λυγρὸν δέμας οὐτιδανοῖο
θάψαντες, ποτὶ νῆας ἐϋπρώρους ἀφίκοντο,
Αἰακίδην Ἀχιλῆα μέγα φρεσὶ κυδαίνοντες.
Ἦμος δ' αἰγλήεσσα κατ' ὠκεανοῖο βεβήκει
ἠώς, ἀμφὶ δὲ γαῖαν ἐκίδνατο θεσπεσίη νύξ,
δὴ τότ' ἄρ' ἐν κλισίῃς Ἀγαμέμνονος ἀφνειοῖο
δαίνυτο Πηλείδαο βίη· σὺν δ' ἄλλοι ἄριστοι
τέρποντ' ἐν θαλίῃς, μέχρις ἠῶ δῖαν ἱκέσθαι.

in turri edita, juxta ossa Laomedontis,
officium præstantes Marti et ipsi Penthesileæ.
Et prope eam sepelierunt Amazones, quæ ipsam
comitatæ ad conflictum, ad Argivis peremtæ-erant.
Neque eis sepulcrum flebile inviderunt
Atridæ, sed Trojanis bellicosis reddiderunt
ex telis eripiendas una-cum interfectis aliis.
Non enim contra mortuos est ira; imo misericordia-digni
sunt] hostes non amplius superstites, cum animus exstinctus-est.] Argivi etiam seorsum tradiderunt igni multa capita] heroum, qui cum-illis una interfecti succubuerant
Trojanorum manibus, in fauce conflictus,
maxime afflicti de mortuis; præ cæteris autem
strenuum lugebant Podarcem; non enim forti
deterior-erat fratre in pugna Protesilao:
sed jam antea ab Hectore obtruncatus jacebat
egregius Protesilaus; ipse vero hasta Penthesileæ
ictus, Argivos funesto affecit luctu.
Idcirco multitudinem ab eo procul sepelierunt
mortuorum; ipsi autem multo aggerarunt labore
soli monimentum insigne, quod interrito fuisset animo.
Seorsum quoque Thersitæ deforme cadaver imbellis
cum-humassent, ad naves firmis-proris se-receperunt,
Æacidæ Achilli magnum ex-animo deferentes-honorem.
Cum vero clarus in Oceanum descendisset
dies, et telluri circumfunderetur nox divina,
tunc in tabernaculis Agamemnonis opulenti
cibum-capiebat Pelidæ vis, simulque alii optimates
oblectabantur in epulis, usque-dum Aurora diva adveniret.

ΛΟΓΟΣ Β.

Αὐτὰρ ἐπεὶ κορυφὰς ὀρέων ὑπὲρ ἠχηέντων
λαμπρὸν ὑπὲρ φάος ἦλθεν ἀτειρέος ἠελίοιο,
οἱ μὲν ἄρ' ἐν κλισίῃσιν Ἀχαιῶν ὄβριμοι υἷες
γήθεον, ἀκαμάτῳ μέγ' ἐπευχόμενοι Ἀχιλῆϊ·
Τρῶες δ' αὖ μύροντο κατὰ πτόλιν· ἀμφὶ δὲ πύργους
ἑζόμενοι, σκοπίαζον, ἐπεὶ φόβος ἔλλαβε πάντας,
μὴ δήπου μέγα τεῖχος ὑπερθόρῃ ὄβριμος ἀνήρ,
αὐτούς τε κτείνῃ, κατά τε πρήσῃ πυρὶ πάντα.
Τοῖσι δ' ἄρ' ἀχνυμένοισι γέρων μετέειπε Θυμοίτης·
Ὦ φίλοι, οὐκ ἔτ' ἔγωγε περὶ φρεσὶν οἶδα νοῆσαι,
ὅππως ἔσσεται ἄλκαρ ἀνιηροῦ πολέμοιο,
Ἕκτορος ἀγχεμάχοιο δεδουπότος, ὃς μέγα Τρώων
κάρτος ἔην τοπάροιθε· καὶ οὐδ' ὅ γε Κῆρας ἄλυξεν,
ἀλλ' ἐδάμη παλάμῃσιν Ἀχιλλέος, ᾧ περ ὀΐω
καὶ θεὸν ἀντιάσαντα μάχῃ ἔνι δῃωθῆναι·
οἵην τήνδ' ἐδάμασσεν ἀνὰ κλόνον, ἣν περ οἱ ἄλλοι
Ἀργεῖοι φοβέοντο, δαΐφρονα Πενθεσίλειαν·
καὶ γὰρ ἔην ἔκπαγλος. Ἔγωγέ μιν ὡς ἐνόησα,
ὠϊσάμην μακάρων τίν' ἀπ' οὐρανοῦ ἐνθάδ' ἱκέσθαι,
ἡμῖν χάρμα φέρουσαν. Ὃ δ' οὐκ ἄρ' ἐτήτυμον ἦεν.
Ἀλλ' ἄγε φραζώμεσθα, τί λώϊον ἄμμι γένηται,

LIBER II.

At cum juga montium altisonorum
splendidum jubar superasset indefessi solis,
in castris Achivum validi nati
lætabantur de invicto valde gloriantes Achille.
Trojani vero lugebant per urbem: et turribus
insidentes custodias-agebant; nam timor invaserat omnes,
ne quando ardua mœnia transiliret immanis vir,
ipsosque interimeret ac devastaret igni cuncta.
Inter-hos igitur mœrentes senex locutus-est Thymœtes:
Amici, non amplius equidem animo queo concipere
quomodo futurum-sit remedium tristi bello,
cum-Hector pugnax ceciderit, qui ingens Trojanorum
præsidium fuit antehac; nec tamen Parcas evitavit,
sed succubuit manibus Achillis, cui arbitror
etiam Deum congressum in prœlio superari;
quomodo hanc vicit in conflictu, quam tamen alii
Argivi formidarunt, bellacem Penthesileam:
erat enim stupenda. Ego-certe illam ubi conspexi,
putavi Dearum aliquam ex cœlo huc venisse,
nobis lætitiam afferentem: quod tamen minime verum erat.
Verum agite consilium-capiamus, quid præstabilius nobis

ἢ ἔτι που στυγεροῖσι μαχώμεθα δυσμενέεσσιν,
ἢ ἤδη φεύγωμεν ἀπ' ἄστεος ὀλλυμένοιο.
Οὐ γὰρ ἔτ' Ἀργείοισι δυνησόμεθ' ἀντιφερίζειν,
μαρναμένου κατὰ δῆριν ἀμειλίκτου Ἀχιλῆος.
Ὣς ἄρ' ἔφη· τὸν δ' υἱὸς ἀμείβετο Λαομέδοντος·
Ὦ φίλος ἠδ' ἄλλοι Τρῶες σθεναροί τ' ἐπίκουροι,
μή νύ τι δειμαίνοντες ἑῆς χαζώμεθα πάτρης,
μηδ' ἔτι δυσμενέεσσι μαχώμεθα τῆλε πόληος,
ἀλλά που ἐκ πύργων καὶ τείχεος, εἰσόκεν ἔλθῃ
Μέμνων ὀβριμόθυμος, ἄγων ἀπερείσια φῦλα
λαῶν, οἳ ναίουσι μελάμβροτον Αἰθιόπειον.
Ἤδη γάρ ῥα καὶ αὐτὸν ὀίομαι ἀγχόθι γαίης
ἔμμεναι ἡμετέρης· ἐπειή νύ οἱ οὔτι νέον γε
ἀγγελίην προέηκα, μέγ' ἀχνύμενος περὶ θυμῷ·
αὐτὰρ ὅγ' ἀσπασίως μοι ὑπέσχετο πάντα τελέσσαι,
ἐλθὼν ἐς Τροίην· καί μιν σχεδὸν ἔλπομαι εἶναι.
Ἀλλ' ἄγε τλῆτ' ἔτι βαιὸν, ἐπεὶ πολὺ λώϊον ἐστι
θαρσαλέως ἀπολέσθαι ἀνὰ κλόνον, ἠὲ φυγόντας
ζώειν ἀλλοδαποῖσι παρ' ἀνδράσιν, αἴσχε' ἔχοντας.
Ἦ ῥ' ὁ γέρων· ἀλλ' οὔτι σαόφρονι Πουλυδάμαντι
ἥνδανεν εἰσέτι δῆρις· ἐύφρονα δ' ἔκφατο μῦθον·
Εἰ μὲν δὴ Μέμνων τοι ἀριφραδέως κατένευσεν
ἡμέων αἰνὸν ὄλεθρον ἀπωσέμεν, οὔτι μεγαίρω
μίμνειν ἀνέρα δῖον ἀνὰ πτόλιν, ἀλλ' ἄρα θυμῷ
δείδω, μὴ σὺν ἑοῖσι κιὼν ἑτάροισι δαμείη
κεῖνος ἀνὴρ, πολλοῖς δὲ καὶ ἄλλοις πῆμα γένηται
ἡμετέροις. Δεινὸν γὰρ ἐπὶ σθένος ὄρνυτ' Ἀχαιῶν.
Ἀλλ' ἄγε, μηδὲ πόληος ἑῆς ἀπὸ τῆλε φυγόντες
αἴσχεα πολλὰ φέρωμεν ἀναλκείῃ ὑπὸ λυγρῇ,
ἀλλοδαπὴν περόωντες ἐπὶ χθόνα, μηδ' ἐνὶ πάτρῃ
μίμνοντες κτεινώμεθ' ὑπ' Ἀργείων ὀρυμαγδοῦ,
ἀλλ' ἤδη Δαναοῖσι, καὶ εἰ βραδὺ, λώϊον εἴη
εἰσέτι κυδαλίμην Ἑλένην καὶ κτήματ' ἐκείνης,
ἠμὲν ὅσα Σπάρτηθεν ἀνήγαγεν, ἠδὲ καὶ ἄλλα,
διττάκι τόσσα φέροντας ὑπὲρ πόλιός τε καὶ αὐτῶν,
ἐκδόμεν, ἕως οὐ κτῆσιν ἀνάρσια φῦλα δέδασται
ἡμετέρην, οὐδ' ἄστυ κατήνυκε πῦρ ἀΐδηλον.
Νῦν δ' ἄγ' ἐμοὶ πείθεσθε μετὰ φρεσίν· οὐ γὰρ ὀίω
ἄλλον ἀμείνονα μῆτιν ἐνὶ Τρώεσσι φράσασθαι·
αἴθ' ὄφελον καὶ πρόσθεν ἐμῆς ἐπάκουσεν ἐφετμῆς
Ἕκτωρ, ὁππότε μιν κατερήτυον ἔνδοθι πάτρης.
Ὣς φάτο Πουλυδάμαντος ἐὺ σθένος. Ἀμφὶ δὲ Τρῶες
ἤνεον εἰσαΐοντες ἐνὶ φρεσίν· οὐδ' ἀναφανδὸν
μῦθον ἔφαν· πάντες γὰρ ἑὸν τρομέοντες ἄνακτα
ἅζοντ', ἠδ' Ἑλένην, κείνης ἕνεκ' ὀλλύμενοί περ.
Τὸν δὲ, καὶ ἐσθλὸν ἐόντα, Πάρις μέγα νείκεσεν ἄντην·
Πουλυδάμα, σὺ μὲν ἐσσὶ φυγοπτόλεμος καὶ ἄναλκις·
οὐδέ σοι ἐν στέρνοισι πέλει μενεδήϊον ἦτορ,
ἀλλὰ δέος καὶ φύζα. Σὺ δ' εὔχεαι εἶναι ἄριστος
ἐν βουλῇ· πάντων δὲ χερείονα μήδεα οἶδας.
Ἀλλ' ἄγε δὴ σὺ μὲν αὐτὸς ἀπόσχεο δηϊοτῆτος·
μίμνε δ' ἐνὶ μεγάροισι καθήμενος· αὐτὰρ οἱ ἄλλοι
ἀμφ' ἐμὲ θωρήξονται ἀνὰ πτόλιν, εἰσόκε μῆχος
εὕρωμεν θυμῆρες ἀνηλεγέος πολέμοιο.

sit,] utrum amplius cum-infestis decertemus hostibus,
an jam fugiamus ex urbe pessum-eunte.
Non enim ultra Argivis poterimus resistere,
certante in acie sævissimo Achille.
Sic dixit; eumque filius excepit Laomedontis:
Amice cæterique Trojani et fortes socii,
ne quæso præ-metu e-nostra discedamus patria,
neve porro cum-hostibus pugnemus longius ab urbe,
sed e turribus et muro, donec venerit
Memnon magnanimus, adducens infinitas cohortes
gentium, quæ incolunt nigros-homines-producentem
Æthiopiam.] Jam enim etiam hunc spero non-longe a-terra
abesse nostra; siquidem ad-ipsum non ita nuper
legationem misi, valde discruciatus animi.
Atqui ille benigne mihi promisit, omnia se-confecturum,
quam-primum-venisset Trojam: et eum in-propinquo confido esse.] Agitedum durate adhuc paulisper, cum multo satius sit] fortiter occumbere in acie, quam fuga-arrepta
vivere exteros inter homines, probris affectos.
Dixit senex: nequaquam vero sapienti Polydamanti
cordi-erat ultra bellum. Ideo prudentem edidit orationem:
Siquidem Memnon tibi diserte promisit,
a-nobis dirum excidium se-propulsaturum, non invideo,
quo-minus-præstolemur virum excellentem in urbe: sed tamen apud-animum] vereor, ne cum suis veniens militibus occumbat] ille vir, multisque etiam aliis exitio sit
nostratium. Valde enim vires confirmantur Achivum.
Quare agite, nec ex patria nostra procul fugientes
opprobria multa sustineamus ignaviam ob fœdam,
peregrinam transgressi in regionem, nec in patria
subsistentes trucidemur in Argivum conflictu;
sed jam Danais, etiamsi serum, *tamen* satius fuerit
nunc-etiam nobilem Helenam et opes ejus,
tum quas Sparta avexit, tum etiam alias,
bis tantum offerentes pro urbe et *nobismet* ipsis,
tradere, dum facultates hostica turba nondum divisit
nostras, neque urbem absumpsit ignis funestus.
Nunc igitur mihi obsequimini in animis: non enim arbitror,]alium utilius consilium inter Trojanos excogitaturum.
Utinam vero et antea meo obsecutus-esset præcepto
Hector, cum eum retinerem in patria-urbe!
Sic fata-est Polydamantis præstans virtus. Ac Troes
approbarunt audita intra animos: sed-non aperte
sententiam dicebant; omnes enim suum cum-trepidatione
principem] reverebantur et Helenam, illius causa quamvis
pereuntes.] At hunc, quamlibet probum, Paris vehementer
objurgavit coram:] Polydama, tu equidem es imbellis et
ignavus,] nec tibi in pectore existit fortis animus,
sed pavor et fuga. Tu quidem jactas te-esse optimum
in senatu; sed deteriora quam-omnes consilia scis.
Agedum ergo tu ipse abstineto a-pugna,
et contine-te domi deses: alii autem
circa me armabuntur in urbe, donec machinamentum
inveniamus optatum crudelis belli.

Οὐ γὰρ νόσφι πόνοιο καὶ ἀργαλέου πολέμοιο
ἀνθρώποις μέγα κῦδος ἀέξεται ἠδὲ καὶ ἔργον·
φύζα δὲ νηπιάχοισι μάλ' εὔαδεν, ἠδὲ γυναιξί.
Κείνης θυμὸν ἔοικας. Ἐγὼ δέ τοι οὔτι πέποιθα
μαρναμένῳ· πάντων γὰρ ἀμαλδύνεις θρασὺ κάρτος.
Ἦ μέγα νεικείων. Ὁ δὲ χωόμενος φάτο μῦθον
Πουλυδάμας. Οὐ γάρ οἱ ἐναντίον ἄζετ' ἀῦσαι
κεῖνος· ἐπεὶ στυγερὸς καὶ ἀτάσθαλος ἠδ' ἀεσίφρων,
ὅς φίλα μὲν σαίνῃσιν ἐνωπαδὸν, ἄλλα δὲ θυμῷ
πορφύρει, καὶ κρύβδα τὸν οὐ παρέοντα χαλέπτει.
Τῷ ῥα καὶ ἀμφαδίην μέγα νείκεσε δῖον ἄνακτα·
Ὤ μοι ἐπιχθονίων πάντων ὀλοώτατε φωτῶν,
σὸν θράσος ἤγαγε νῶϊν ὀϊζύα· σὸς νόος ἔτλη
δῆριν ἀπειρεσίην καὶ τλήσεται, εἰσόκε πάτρην
σὺν λαοῖς σφετέροισι δαϊζομένην ἐσίδηαι.
Ἀλλ' ἐμὲ μὴ τοιόνδε λάβοι θράσος, ἀμφὶ δὲ τάρβος
ἀσφαλὲς αἰὲν ἔχοιμι· σόον δέ μοι οἶκον ὀφέλλοι.
Ὣς ὅ γ' ἔφη· ὁ δ' ἄρ' οὔτι προσέννεπε Πουλυδάμαν-[τα.
Μνήσατο γάρ, Τρώεσσιν ὅσας ἐφέηκεν ἀνίας,
ἠδ' ὁπόσας ἔτ' ἔμελλεν· ἐπεί ῥά οἱ αἰθόμενον κῆρ
μᾶλλον ἐφώρμαινεν θανέειν, ἢ νόσφι γενέσθαι
ἀντιθέης Ἑλένης, ἧς εἵνεκα Τρώϊοι υἷες
ὑψόθεν ἐσκοπίαζον ἀπ' ἄστεος αἰπεινοῖο,
δέγμενοι Ἀργείους ἠδ' Αἰακίδην Ἀχιλῆα.
Τοῖσι δ' ἄρ' οὐ μετὰ δηρὸν ἀρήϊος ἤλυθε Μέμνων,
Μέμνων, κυανέοισι μετ' Αἰθιόπεσσιν ἀνάσσων,
ὃς κίε λαὸν ἄγων ἀπερείσιον. Ἀμφὶ δὲ Τρῶες
γηθόσυνοί μιν ἴδοντο κατὰ πτόλιν, ἠΰτε ναῦται
χείματος ἐξ ὀλοοῖο δι' αἰθέρος ἀθρήσωσιν,
ἤδη τειρόμενοι, Ἑλίκης περιηγέος αἴγλην.
ὣς λαοὶ κεχάροντο περισταδὸν, ἔξοχα δ' ἄλλων
Λαομεδοντιάδης. Μάλα γάρ νύ οἱ ἦτορ ἐώλπει,
δῃώσειν πυρὶ νῆας ὑπ' ἀνδράσιν Αἰθιόπεσσιν·
οὕνεκ' ἔχον βασιλῆα πελώριον, ἠδὲ καὶ αὐτοὶ
πολλοὶ ἔσαν, καὶ πάντες ἐς Ἄρεα μαιμώωντες.
Τῷ ῥ' ἄμοτον κύδαινεν ἐὺν γόνον Ἠριγενείης
δωτίνῃς ἀγαθῇσι καὶ εὐφροσύνῃ τεθαλυίῃ·
ἀλλήλοις δ' ὀάριζον ἐπ' εἰλαπίνῃ καὶ ἐδωδῇ,
ὃς μὲν ἀριστῆας Δαναῶν, καὶ ὅσ' ἄλγε' ἀνέτλη,
ἐξενέπων· ὁ δὲ πατρὸς ἑοῦ καὶ μητέρος Ἠοῦς
ἀθάνατον βίον αἰὲν, ἀπειρεσίης τε ῥέεθρα
Τηθύος, ὠκεανοῦ τε βαθυῤῥόου ἱερὸν οἶδμα,
ἠδὲ καὶ ἀκαμάτου πέρατα χθονὸς, ἀντολίας τε
ἠελίου, καὶ πᾶσαν ἀπ' ὠκεανοῖο κέλευθον,
μέχρις ἐπὶ Πριάμοιο πόλιν καὶ πρώονας Ἴδης·
ἠδὲ καὶ ὡς ἐδάϊξεν ὑπὸ στιβαρῇσι χέρεσσιν
ἀργαλέων Σολύμων ἱερὸν στρατὸν, οἵ μιν ἰόντα
εἶργον· ὃ καί σφισι πῆμα, καὶ ἄσχετον ὤπασε πότμον.
Καὶ τὰ μὲν ὣς ἀγόρευε, καὶ ὡς ἴδεν ἔθνεα φωτῶν
μυρία. Τοῦ δ' ἀΐοντος ὑπὸ φρεσὶ τέρπετο θυμὸς,
καί ἑ καθαπτόμενος, γεραρῷ προσεφώνεε μύθῳ·
Ὦ Μέμνον, τὸ μὲν ἄρ' με θεοὶ ποίησαν ἰδέσθαι
σὸν στρατὸν ἠδὲ καὶ αὐτὸν ἐν ἡμετέροισι μελάθροις·
ὡς μοι ἔτι κρήνειαν, ἵν' Ἀργείους ἐσίδωμαι

Non enim sine labore ac gravi bello
viris ingens gloria accrescit, atque etiam opus:
fuga autem pueris valde placet et mulierculis;
quibus *tu* animo similis-es. Ideo ego tibi minime confido
pugnanti: cunctorum enim deprimis animosos spiritus.
Dixit valde objurgans. Iratus vero reddidit *hæc* verba
Polydamas : non enim ei verebatur reclamare
ille; nam odio-dignus, sceleratus et malignus *est*,
qui amice blanditur coram, sed diversa animo *suo*
cogitat, et clam absentem rodit.
Propterea aperte recriminabatur generosum principem.
Heu in-terris-viventium omnium perditissime hominum,
tua temeritas attulit nobis calamitatem; tuus animus sustinuit] *hoc* bellum infinitum et sustinebit, donec patriam
una-cum incolis suis devastari cernas.
Ne vero me talis capiat temeritas; sed metum
tutum perpetuo habeam, qui salvam mihi domum augeat.
Sic ille dixit : at is nihil respondit Polydamanti;
meminerat enim, Trojanis quantum conciliasset curarum,
et quantum adhuc esset *conciliaturus*: nam ipsius flagrans
animus] potius properavit mori, quam separari
divina ab-Helena, propter quam Trojugenæ
alte speculabantur ex urbe sublimi,
exspectantes Achivos et Æaciden Achillem.
His autem non multo post bellipotens venit Memnon,
Memnon, nigros inter Æthiopes imperium-tenens,
qui accessit copias ducens maximas. Et undique Troes
læti illum spectabant per urbem, ut-cum nautæ
tempestatem post sævam in æthere vident,
jam fatiscentes, Helices circumvolubilis sidus.
Sic populus lætabatur circumstans (*Memnonem*), præ aliis
autem] Laomedontiades. Maxime enim ejus animus sperabat,] se-deleturum igni classem (*Græcorum*) per viros
Æthiopicos:] nam habebant imperatorem egregium; atque
et ipsi] plurimi erant, et omnes ad Martem adspirantes.
Ideoque impense honestabat fortem natum Auroræ
muneribus præclaris et convivio lauto.
Inter-se vero colloquia-miscebant inter epulas ac dapes;
alter enim proceres Danaum, et quantas ærumnas perpessus-esset,] recensebat; alter patris sui et matris Auroræ
vitam perpetuo immortalem, et immensæ fluxus
Tethyos, et Oceani profundi sacrum æstum,
atque invictæ fines terræ, ortumque
solis, et totum ab oceano iter,
usque ad Priami urbem et radices Idæ;
ad hæc, quemadmodum contudisset validis manibus
pugnacium Solymorum sacras copias, qui ipsi in-itinere
obstiterant; quod illis et cladem et ineluctabile attulisset
fatum.] Et hæc quidem ita narrabat, porro, quod vidisset
nationes hominum] innumeras. Illius igitur audientis intus oblectabatur animus,] et ipsum manu-demulcens honorifica compellabat oratione:] Memno, nunc quidem Dii concesserunt videre] tuum exercitum et teipsum in nostris
ædibus.] Utinam mihi etiam *hoc* effectum-reddant, ut Achi-

ὀλλυμένους ἅμα πάντας ὑπ' ἐγχείῃσι τεῇσιν·
καὶ γὰρ δὴ μακάρεσσιν ἀτειρέσι πάντα ἔοικας
ἐκπάγλως, ὡς οὔτις ἐπιχθονίων ἡρώων.
Τῷ σ' ὀίω κείνοισι φόνον στονόεντα βαλέσθαι·
νῦν δ' ἄγε τέρπεο θυμὸν ἐν εἰλαπίνῃσιν ἐμῇσιν
σήμερον. Αὐτὰρ ἔπειτα μαχήσεαι, ὡς ἐπέοικεν.
Ὣς εἰπὼν, παλάμῃσι δέπας πολυχανδὲς ἀείρας,
Μέμνονα προφρονέως στιβαρῷ δείδεκτο κυπέλλῳ
χρυσείῳ, τό ῥα δῶκε περίφρων ἀμφιγυήεις
Ἥφαιστος, κλυτὸν ἔργον, ὅτ' ἤγετο Κυπρογένειαν,
Ζηνὶ μεγασθενέϊ· ὁ δ' ἄρ' ὤπασεν υἱέϊ δῶρον
Δαρδάνῳ ἀντιθέῳ· ὁ δ' Ἐριχθονίῳ πόρε παιδί·
Τρωῒ δ' Ἐριχθόνιος μεγαλήτορι· αὐτὰρ ὁ Ἴλῳ
κάλλιπε σὺν κτεάτεσσιν· ὁ δ' ὤπασε Λαομέδοντι·
αὐτὰρ ὁ Λαομέδων Πριάμῳ πόρεν, ὅς μιν ἔμελλεν
υἱέϊ δωσέμεναι· τὸ δέ οἱ θεὸς οὐκ ἐτέλεσσεν.
Κεῖνο δέπας περικαλλὲς ἐθάμβεεν ἐν φρεσὶ Μέμνων
ἀμφαφόων, καὶ τοῖον ὑποβλήδην φάτο μῦθον·
Οὐ μὲν χρὴ παρὰ δαιτὶ πελώριον εὐχετάασθαι,
οὐδ' ἄρ' ὑποσχεσίην κατανευσέμεν, ἀλλὰ ἕκηλον
δαίνυσθ' ἐν μεγάροισι, καὶ ἄρτια μηχανάασθαι.
Εἴτε γὰρ ἐσθλός τ' εἰμὶ καὶ ἄλκιμος, εἴτε καὶ οὐχὶ,
γνώσῃ ἐνὶ πτολέμῳ, ὁπότ' ἀνέρος εἴδεται ἀλκή·
νῦν δ' ἄγε δὴ κοίτοιο μεδώμεθα· μηδ' ἀνὰ νύκτα
πίνωμεν. Χαλεπὸς γὰρ ἐπειγομένῳ μάχεσθαι
οἶνος ἀπειρέσιος, καὶ ἀϋπνοσύνη ἀλεγεινή. [πεν·
Ὣς φάτο. Τὸν δ' ὁ γεραιὸς ἀγασσάμενος προσέει-
Αὐτὸς ὅπως ἐθέλεις μεταδαίνυσο· πείθεο δ' αὐτῷ·
οὐ γὰρ ἐγώ σ' ἀέκοντα βίησομαι. Οὐ γὰρ ἔοικεν
οὔτ' ἀπιόντ' ἀπὸ δαιτὸς ἐρυκέμεν, οὔτε μένοντα
σεύειν ἐκ μεγάροιο· θέμις νύ τοι ἀνδράσιν αὕτως.
Ὣς φάθ'. Ὁ δ' ἐκ δόρποιο μεθίστατο· βῆ δὲ πρὸς εὐ-
ναστατίην. Ἅμα δ' ἄλλοι ἔβαν κοίτοιο μέδεσθαι [νῆν
δαιτυμόνες· τοῖς δέ σφιν ἐπήλυθε νήδυμος ὕπνος.
Αὐτὰρ ἐνὶ μεγάροισι Διὸς στεροπηγερέταο
ἀθάνατοι δαίνυντο· πατὴρ δ' ἐνὶ τοῖσι Κρονίων
εὖ εἰδὼς ἀγόρευε δυσηχέος ἔργα μόθοιο·
Ἴστε θεοὶ πέρι πάντες ἐπεσσύμενον βαρὺ πῆμα
αὔριον ἐν πολέμῳ· μάλα γὰρ πολέων μένος ἵππων
ὄψεσθ' ἀμφ' ὀχέεσσι δαϊζομένων ἑκάτερθεν,
ἄνδρας τ' ὀλλυμένους. Τῶν καὶ περὶ κηδόμενός τις
μιμνέτω ὑμείων μηδ' ἀμφ' ἐμὰ γούναθ' ἱκάνων
λισσέσθω· Κῆρες γὰρ ἀμείλιχοι εἰσὶ καὶ ἡμῖν.
Ὣς ἔφατ' ἐν μέσσοισιν, ἐπισταμένοισι καὶ αὐτοῖς,
ὄφρα καὶ ἀσχαλόων τις ἀπὸ πτολέμοιο τράπηται,
μηδέ ἑ λισσόμενος περὶ υἱέος ἠὲ φίλοιο,
μαψιδίως ἀφίκηται ἀτειρέος ἔνδον Ὀλύμπου.
Καὶ τὰ μὲν ὡς ἐσάκουσαν ἐριγδούπου Κρονίδαο,
τλῆσαν ἐνὶ στέρνοισι, καὶ οὐ βασιλῆος ἔναντα
μῦθον ἔφαν· μάλα γάρ μιν ἀπειρέσιον τρομέεσκον·
ἀχνύμενοι δ' ἵκανον ὅπῃ δόμος ἦεν ἑκάστου
καὶ λέχος· ἀμφὶ δὲ τοῖσι, καὶ ἀθανάτοις περ ἐοῦσιν,
ὕπνου βληχρὸν ὄνειαρ ἐπὶ βλεφάροισι τανύσθη.
Ἦμος δ' ἠλιβάτων ὀρέων ὑπερέσσυται ἄκρης

tos videam] exscindi una omnes hastis tuis.
Etenim diis immortalibus per-omnia similis-es
mirifice, ut nemo in-terra-degentium heroum.
Idcirco auguror illis necem luctificam te-allaturum.
Quare age nunc refice animum epulis meis
hodie; at deinde prœliaberis, ut *te* dignum-est.
Ita locutus, manibus poculum capax attollens,
Memnonem liberaliter grandi accepit cyatho
aureo, quem dederat solers, utroque-pede-claudus
Vulcanus, præclarum opus, cum uxorem-duceret Venerem,
Jovi magnipotenti: is rursus donarat filio donum *hoc*
Dardano divino; qui Erichthonio *id* tribuit filio:
Troi porro Erichthonius magnanimo; at hic Ilo
reliquit *alias* inter opes: is dedit Laomedonti;
hinc Laomedon *id* Priamo concessit, qui cogitarat
filio tradere: sed hoc ipsi Deus non ratum-fecit.
Hoc poculum insigne demiratus-est apud animum Memnon
contrectans, et talem vicissim edidit sermonem:
Non decet in convivio magnifice gloriari,
nec pollicitando se-obstringere, sed quiete
cibum-capere in ædibus, et quæ-res-postulat machinari.
Utrum enim frugi sim et fortis, nec ne,
cognosces in prælio, ubi viri spectatur virtus.
Nunc vero agedum jam de-somno cogitemus; nec per noctem] bibamus. Molestum enim est se-accingenti ad-pugnam] vinum immodice-sumptum, et vigilia noxia.
Sic dixit; at hunc senior demirans *ita* affatus-est:
Ipse, uti vis, *nobis*cum-epulare, et, morem-gere *tibi* ipsi;
non enim ego te invitum detinebo: nam minime decet,
neque discedentem e convivio remorari, neque manentem
pellere e domo. Regula sane viris ita *est*.
Sic ait. Ille igitur e cœna surrexit, et se-recepit cubitum
postremum; unaque alii abierunt, ut-quieti se-traderent,
convivæ; quos invasit dulcis somnus.
Interea in aula Jovis fulgurantis
Dii convivabantur; et pater inter hos Saturnius,
probe gnarus *sic* verba-fecit horrisoni operum belli:
Bene scitis, Dii universi, impendere gravem cladem
cras in bello: plurimorum enim vim equorum
cernetis ad currus mactari utrinque,
et viros occumbere. De quibus etiamsi anxius quis
vestrum, se-contineat, nec ad mea genua accidens
supplicet: fata enim implacabilia sunt etiam nobis.
Sic memorabat in medio-ipsorum, non-ignorantibus
etiam ipsis,] ut vel indigne-ferens quis a pugna sese-averteret,] neve ipsum deprecaturus pro filio aut amico,
frustra se-conferret æternum in Olympum.
Hæc autem ubi audiverunt ex-altitonante Saturni-filio,
tolerarunt in animo, nec contra regem
verbum locuti-sunt: valde enim ipsum immodice tremebant.] Tristes igitur se-receperunt, ubi domus erat *sua* cuique] et lectus; ubi illorum, quamvis immortales essent,
somni suave oblectamentum palpebris se-circumfudit.
Sed quo-tempore arduorum montium super-emicat ca-

λαμπρὸς ἀν' οὐρανὸν εὐρὺν Ἑωσφόρος, ὅς τ' ἐπὶ ἔργον
ἡδὺ μάλα κνώσσοντας ἀμαλλοδετῆρας ἐγείρει
τῆμος ἀρήϊον υἷα φαεσφόρου Ἠριγενείης
ὕστατος ὕπνος ἀνῆκεν· ὁ δ' ἐν φρεσὶ κάρτος ἀέξων,
ἤδη δυσμενέεσσι λιλαίετο δηριάασθαι.
Ἠὼς δ' οὐρανὸν εὐρὺν ἀνήϊεν οὐκ ἐθέλουσα.
Καὶ τότε Τρῶες ἕσαντο περὶ χροῒ δήϊα τεύχη,
τοῖσι δ' ἅμ' Αἰθίοπές τε, καὶ ὁππόσα φῦλα πέλοντο
ἀμφὶ βίην Πριάμοιο συναγρομένων ἐπικούρων
πανσυδίῃ· μάλα δ' ὦκα πρὸ τείχεος ἐσσεύοντο,
κυανέοις νεφέεσσιν ἐοικότες; οἷα Κρονίων,
χείματος ὀρνυμένοιο, κατ' ἠέρα πουλὺν ἀγείρει.
Αἶψα δ' ἄρ' ἐπλήσθη πεδίον πᾶν· τοὶ δ' ἐκέχυντο
ἀκρίσι πυροβόροις ἐναλίγκιοι, αἵ τε φέρονται,
ὡς νέφος ἢ πολὺς ὄμβρος, ὑπὲρ χθονὸς εὐρυπέδοιο,
ἄπλητοι, μερόπεσσιν ἀεικέα λιμὸν ἄγουσαι·
ὣς οἵ ἴσαν πολλοί τε καὶ ὄβριμοι, ἀμφὶ δ' ἀγυιὰ
στείνετ' ἐπεσσυμένων, ὑπὸ δ' ἔγρετο ποσσὶ κονίη.
Ἀργεῖοι δ' ἀπάνευθεν ἐθάμβεον, εὖτ' ἐσίδοντο
ἐσσυμένους. Εἶθαρ δὲ περὶ χροῒ χαλκὸν ἕσαντο,
κάρτεϊ Πηλεΐδαο πεποιθότες· ὃς δ' ἐνὶ μέσσοις
ἤϊε, Τιτήνεσσι πολυσθενέεσσιν ἐοικὼς,
κυδιόων ἵπποις καὶ ὄχεσφιν· τοῦ δ' ἄρα τεύχη
πάντῃ μαρμαίρεσκον ἀλίγκιον ἀστεροπῇσιν.
Οἷος δ' ἐκ περάτων γαιηόχου ὠκεανοῖο
ἔρχεται ἠέλιος φαεσίμβροτος οὐρανὸν εἴσω,
παμφαίνων, τραφερὴ δὲ γελᾷ πέρι γαῖα, καὶ αἰθήρ·
τοῖος ἐν Ἀργείοισι τότ' ἔσσυτο Πηλέος υἱός.
Ὣς δὲ καὶ ἐν Τρώεσσιν ἀρήϊος ἤϊε Μέμνων,
Ἄρεϊ μαιμώοντι πανείκελος; ἀμφὶ δὲ λαοὶ
προφρονέως ἐφέποντο παρεσσύμενοι βασιλῆϊ.
Αἶψα δ' ἄρ' ἀμφοτέρων δολιχαὶ πονέοντο φάλαγγες,
Τρώων καὶ Δαναῶν· μετὰ δ' ἔπρεπον Αἰθιοπῆες·
σὺν δ' ἔπεσον καναχηδὸν ὁμῶς, ἅτε κύματα πόντου,
πάντοθεν ἀγρομένων ἀνέμων, ὑπὸ χείματος ὥρῃ·
ἀλλήλους δ' ἐδάϊζον, ἐϋξέστῃς μελίῃσιν
βάλλοντες, μετὰ δέ σφι γόος καναχή τε δεδήει.
Ὡς δ' ὅτ' ἐρίγδουποι ποταμοὶ μεγάλα στενάχωσιν,
εἰς ἅλα χευόμενοι, ὅτε λαβρότατος πέλει ὄμβρος
ἐκ Διὸς, εὖτ' ἀλίαστον ἐπὶ νέφεα κτυπέωσι
θεινόμεν' ἀλλήλοισι, πυρὸς δ' ἐξέσσυτ' ἀϋτμή·
ὣς τῶν μαρναμένων μέγ' ὑπαὶ ποσὶ γαῖα πελώρη
ἔβραχε, θεσπεσίου δὲ δι' ἠέρος ἔσσυτ' ἀϋτὴ
σμερδαλέη· δεινὸν γὰρ ἀΰτεον ἀμφοτέρωθεν.
Ἔνθ' ἕλε Πηλείδης Θάλιον καὶ ἀμύμονα Μέντην,
ἄμφω ἀριγνώτω· βάλε δ' ἄλλων πολλὰ κάρηνα·
εὖτ' ἄνεμος μελάθροισιν ὑποχθόνιος ἐπορούσῃ
λάβρος, ἄφαρ δέ τε πάντα κατὰ χθονὸς ἀμφιχέηται
ἐκ θεμέθλων· μάλα γάρ ῥα περιτρομέει βαθὺ γαῖα·
ὣς οἵγ' ἐν κονίῃσι κατήριπον ὠκέϊ πότμῳ,
αἰχμῇ Πηλείωνος· ὁ γὰρ μέγα μαίνετο θυμῷ.
Ὣς δ' αὔτως ἑτέρωθεν ἐῢς πάϊς Ἠριγενείης
Ἀργείους ἐδάϊζε, κακῇ ἐναλίγκιος αἴσῃ,
ἥ τε φέρει λαοῖσι κακὸν καὶ ἀεικέα λοιγόν.

cumen] nitidus in cœlo amplo Lucifer, qui ad opus
suavissime dormientes messores suscitat;
eo bellicosum natum luciferæ Auroræ
ultimus sopor dimisit: hic igitur animi robur confirmans,
jam cum-hostibus cupiebat pugna-disceptare.
Sed Aurora cœlum spaciosum conscendit haud volens.
Et tunc Troes circumdabant corporibus bellica arma,
unaque cum-illis Æthiopes, et quæcunque agmina erant
circa potentem Priamum congregatorum sociorum,
ad-unum-omnes; propereque e mœnibus sese-proripiebant,] atris nubibus similes, quales Juppiter,
tempestate imminente, in aere denso cogit.
Statim ergo repletus-est campus totus: nam effundebant
-se] locustarum frugivorarum ritu, quæ feruntur,
ut nubes aut immodicus imber, super terram latipatentem,] innumeræ, hominibus tetram famem allaturæ:
tam illi incedebant multi ac fortes, circumque via
ingemiscebat irruentibus *iis*, atque excitabatur a pedibus
pulvis.] Argivi autem procul stupuerunt, dum vident *illos*
impetum-dare: statimque corpus ære circumdederunt,
fortitudine Pelidæ confisi, qui per medios
ibat, Titanes prævalidos æquiparans,
insignis equis et curru: ejusque arma
longe-lateque rutilabant ad-instar fulgurum.
Qualis ex finibus terram-ambientis Oceani
evehitur sol mortalium-illustrator in cœlum,
ubique-conspicuus, almaque ridet circum tellus et æther.
talis inter Argivos tunc ferebatur Pelei filius.
Pari-modo etiam inter Trojanos Martius incessit Memnon,
Marti ruenti-in-prœlium omnino similis: circumque milites] magno-studio secuti-sunt accurrentes regem.

Mox igitur utrorumque extentæ certamen inierunt phalanges,] Troum et Danaum, interque *alios* eminebant Æthiopes:] et concurrerunt cum-strepitu inter-se, veluti fluctus
ponti,] undique coeuntibus ventis, hyemis tempore,
alterque-alterum confodit, politis fraxinis
impetens, interque eos gemitus et strepitus fervebat.
Ut quando sonori amnes valde strepitant,
in mare dum-se-exonerant, cum densissimus est (*præcipitat*) nimbus] a Jove, quando gravissimum nubes fragorem-excitant,] collisæ inter-se, ignis autem erumpit vapor:
ita illorum dimicantium sub pedibus valde terra ingens
resonuit, et divinum per aera ruit clamor
terribilis; immane enim vociferabant utrinque.
Ibi necavit Pelides Thalium et egregium Mentam,
ambos nobilissimos, et dejecit aliorum multa capita:
non-secus-ac-si ventus ædibus subterraneus adoritur
cum-impetu; at mox totæ ad terram profligantur
ex fundamentis; valde enim quassatur alte terra:
ita illi in pulverem corruebant repentino fato,
hasta Achillis *confossi*. Hic enim vehementer percitus-erat
furore.] Nec segnius ex-altera-parte præstans natus Auroræ
Argivos trucidabat, funestæ similis Parcæ,
quæ affert populis calamitosum fœdumque exitium.

Πρῶτον δ' εἷλε Φέρωνα διὰ στέρνοιο τυχήσας
δούρατι λευγαλέῳ, ἐπὶ δ' ἔκτανε δῖον Ἔρευθον,
ἄμφω ἐελδομένω πόλεμον καὶ ἀεικέα χάρμην,
οἳ Θρύον ἀμφενέμοντο παρ' Ἀλφειοῖο ῥεέθροις,
καί ῥ' ὑπὸ Νέστορι βῆσαν ἐς Ἰλίου ἱερὸν ἄστυ.
Τοὺς δ' ὁπότ' ἐξενάριξεν, ἐπῴχετο Νηλέος υἱὸν,
κτεῖναί μιν μεμαώς· τοῦ δ' Ἀντίλοχος θεοειδὴς
πρόσθ' ἐλθὼν, ἴθυνε μακρὸν δόρυ, καί οἱ ἅμαρτε
τυτθὸν ἀλευαμένοιο· φίλον δέ οἱ εἷλεν ἑταῖρον,
Αἴθοπα Πυῤῥασίδην. Ὁ δὲ χωσάμενος κταμένοιο,
Ἀντιλόχῳ ἐπᾶλτο, λέων ὣς ὀβριμόθυμος
καπρίῳ, ὅς ῥα καὶ αὐτὸς ἐναντίον οἶδε μάχεσθαι
ἀνδράσι καὶ θήρεσσι, πέλει δέ οἱ ἄσπετος ὁρμή·
ὣς ὁ θοῶς ἐπόρουσεν. Ὁ δ' εὐρέϊ μιν βάλε πέτρῳ
Ἀντίλοχος· τοῦ δ' οὔτι λύθη κέαρ, οὕνεκ' ἄρ' αὐτοῦ
ἀλγινόεντ' ἀπάλαλκε φόνον κρατερὴ τρυφάλεια·
σμερδαλέον δέ οἱ ἦτορ ἐνὶ στήθεσσιν ὀρίνθη,
βλημένου. Ἀμφὶ δέ οἱ κόρυς ἴαχε· καί ῥ' ἔτι μᾶλλον
μαίνετ' ἐπ' Ἀντιλόχῳ· κρατερὴ δέ οἱ ἔζεεν ἀλκή·
τοὔνεκα Νέστορος υἷα, καὶ αἰχμητήν περ ἐόντα,
τύψεν ὑπὲρ μαζοῖο· διήλασε δ' ὄβριμον ἔγχος
ἐς κραδίην, θνητοῖσιν ὅπη πέλει ὠκὺς ὄλεθρος.
Τοῦ δ' ὑποδμηθέντος, ἄχος Δαναοῖσιν ἐτύχθη
πᾶσι, μάλιστα δὲ πατρὶ περὶ φρένας ἤλυθε πένθος
Νέστορι, παιδὸς ἑοῖο παρ' ὀφθαλμοῖσι δαμέντος.
Οὐ γὰρ δὴ μερόπεσσι κακώτερον ἄλγος ἔπεισιν,
ἢ ὅτε παῖδες ὄλωνται ἑοῦ πατρὸς εἰσορόωντος.
Τοὔνεκα, καὶ στερεῇσιν ἀρηράμενος φρεσὶ θυμὸν,
ἄχνυτο, παιδὸς ἑοῖο κακῇ περὶ Κηρὶ δαμέντος.
Κέκλετο δ' ἐσσυμένως Θρασυμήδεα, νόσφιν ἐόντα·
Ὄρσο μοι, ὦ Θρασύμηδες ἀγακλεὲς, ὄφρα φονῆα
σεῖο κασιγνήτοιο καὶ υἱέος ἡμετέροιο
νεκροῦ ἑκὰς σεύωμεν ἀεικέος, ἠὲ καὶ αὐτοὶ
ἀμφ' αὐτῷ στονόεσσαν ἀναπλήσωμεν ὀϊζύν.
Εἰ δέ σοι ἐν στέρνοισι πέλει δέος, οὐ σύ γ' ἐμεῖο
υἱὸς ἔφυς, οὐδ' ἐσσὶ Περικλυμένοιο γενέθλης,
ὅς τε καὶ Ἡρακλῆϊ καταντίον ἐλθέμεν ἔτλη.
Ἀλλ' ἄγε δὴ πονεώμεθ', ἐπεὶ μέγα κάρτος ἀνάγκη
πολλάκι μαρναμένοισι καὶ οὐτιδανοῖσιν ὀπάζει.
Ὣς φάτο. Τοῦ δ' ἀΐοντος ὑπὸ φρεσὶ σύγχυτο θυμὸς
πένθεσι λευγαλέοισιν· ἄφαρ δέ οἱ ἤλυθεν ἄγχι
Φηρεὺς, ὅν ῥα καὶ αὐτὸν ἀποκταμένοιο ἄνακτος
εἷλεν ἄχος· κρατεροῖο δ' ἐναντία δηριάασθαι
Μέμνονος ὡρμήθησαν ἀν' αἱματόεντα κυδοιμόν.
Ὡς δ' ὅταν ἀγρευτῆρες ἀνὰ πτύχας ὑληέσσας
οὔρεος ἠλιβάτοιο, λιλαιόμενοι μέγα θήρης,
ἢ συὸς ἢ ἄρκτοιο καταντίον ἀΐσσουσι,
κτεινέμεναι μεμαῶτες· ὁ δ' ἀμφοτέρους ἐπορούσας
θυμῷ μαιμώωντι, βίην ἀπαμύνεται ἀνδρῶν·
ὣς τότε καὶ Μέμνων φρόνεεν μέγα. Τοὶ δέ οἱ ἄγχι
ἤλυθον· ἀλλά μιν οὔτι κατακτανέειν ἐδύναντο
μακρῇσι μελίῃσιν· ἀπέπλαγχθεν δέ οἱ αἰχμαὶ
τῆλε χροός· μάλα γάρ που ἀπέτραπεν Ἠριγένεια.
Δούρατα δ' οὐχ ἁλίως χαμάδις πέσεν· ἀλλ' ὁ μὲν ὦκα

Primum autem interfecit Pheronem, pectus transverberans
hasta letali, cumque *eo* occidit eximium Ereuthum,
ambos amantes belli et truculenti conflictus,
qui Thryon incolebant, prope Alphei amnem,
et sub Nestore venerant ad Ilii sanctam urbem.
Quos cum spoliasset, aggressus-est Nelei filium,
perimere eum conans: sed hunc Antilochus, Diis-forma-similis,] protegens, direxit longam hastam, atque ab-eo aberravit] paululum declinante, carumque ejus stravit sodalem
Æthopa Pyrrhasiden. Ille igitur iratus ob-interfectum,
in-Antilochum exsiliit, ut leo magnanimus
in-aprum, qui tamen et ipse cominus scit pugnare
cum-viris et bestiis; est enim ei rapidus impetus:
ita ille subito ingruit. At vastum in eum conjecit molarem
Antilochus: ejus tamen non solutum-est cor, quod ab ipso
tristem avertit cædem valida galea:
horrendum igitur ejus animus in pectore efferbuit
icti. Circumcirca galea crepuit; atque etiam majore
furore-irruit in Antilochum, ac fortis in-eo æstuabat animus:] ideo Nestoris filium, licet bellator-strenuus esset,
percussit supra mammam, et impegit rigidam hastam
in cor, ubi mortalibus repentinus est interitus.
Hoc cæso, mœror Danais obortus-est
universis, maxime autem patri animum invasit luctus
Nestori, filio ante oculos trucidato.
Nunquam enim hominibus acerbior dolor accidit,
quam si nati necantur genitoris sub-aspectu.
Quare, etiamsi solida confirmatum-haberet ratione animum,
mœrebat, filio funesta a Parca peremto.
Et invocabat continuo Thrasymedem, seorsum qui-erat:
Appropera ad-me, Thrasymedes inclyte, ut percussorem
tui germani et filii mei
a cadavere procul abigamus tristi, aut etiam ipsi
propter illum acerbam oppetamus mortem.
Quod si tuo pectori inest metus, non tu ex-me
natus es, neque es *ortus* de Periclymeni prosapia,
qui etiam Herculi obviam ire non-expavit.
Quare age connitamur; nam ingens robur necessitas
sæpe in-conflictu etiam nauci-hominibus addit.
Sic ait. Illius autem audientis imo pectore conturbatus
-fuit animus] dolore acerbissimo; ocyusque ad eum accurrit prope] Phereus, quem et ipsum interfecti principis causa
corripuit dolor; et adversus fortem ut-pugnarent
Memnonem, properarunt in cruentum prœlium.
Ut quando venatores in anfractibus silvosis
montis ardui valde cupiditate-accensi prædæ,
aut aprum aut ursum contra tendunt,
interficere conantes; is autem ambobus sese-opponens
animo irritato, robur propulsat virorum:
ita tunc quoque Memnon spiritus-gerebat altos. Illi vero
ad-eum prope] accesserunt: attamen eum perimere non
potuerunt] prælongis hastis: deflexerunt enim cuspides
procul a-corpore *ejus*; enixe enim alio *ipsas* avertit Aurora.
Hastæ tamen non incassum humi ceciderunt; sed statim

ἐμμεμαώς, κατέπεφνε Πολύμνιον, υἷα Μέγητος,
Φηρεὺς ὀβριμόθυμος· ὁ δ' ἔκτανε Λαομέδοντα
Νέστορος ὄβριμος υἱὸς, ἀδελφειοῖο χολωθεὶς,
ὃν Μέμνων ἐδάϊξε κατὰ μόθον, ἀμφὶ δ' ἄρ' αὐτῷ
χερσὶν ὑπ' ἀκαμάτῃσι λύεν παγχάλκεα τεύχη,
οὔτε βίην ἀλέγων Θρασυμήδεος, οὔτε μὲν ἐσθλοῦ
Φηρέος, οὕνεκα πολλὸν ὑπείροχος. Οἳ δ' ἅτε θῶε,
ἀμφ' ἔλαφον βεβαῶτε, μέγαν φοβέοντο λέοντα,
οὔτι πρόσω μεμαῶτες ἐπελθέμεν. Αἰνὰ δὲ Νέστωρ,
ἐγγύθεν εἰσορόων, ὀλοφύρετο· κέκλετο δ' ἄλλους
σφοὺς ἑτάρους δηΐοισιν ἐπελθέμεν· ἂν δὲ καὶ αὐτὸς
ὥρμαινεν πονέεσθαι ἀφ' ἅρματος, οὕνεκ' ἄρ' αὐτὸν
παιδὸς ἀποφθιμένοιο ποθὴ ποτὶ μῶλον ἄγεσκε,
πὰρ δύναμιν· μέλλεν δὲ φίλῳ περὶ παιδὶ καὶ αὐτὸς
κεῖσθαι ὁμῶς κταμένοις ἐναλίγκιον, εἰ μὴ ἄρ' αὐτὸν
Μέμνων ὀβριμόθυμος ἐπεσσύμενον προσέειπεν,
αἰδεσθεὶς ἀνὰ θυμὸν ὁμήλικα πατρὸς ἑοῖο·
  Ὦ γέρον, οὔ μοι ἔοικε καταντία σεῖο μάχεσθαι,
πρεσβυτέροιο γεγῶτος, ἐπεί γε μὲν οἶδα νοῆσαι.
Ἦ γὰρ ἔγωγ' ἐφάμην σε νέον καὶ ἀρήϊον ἄνδρα
ἀντιάαν δηΐοισι· θρασὺς δέ μοι ἔλπετο θυμὸς,
χειρὸς ἐμῆς καὶ δουρὸς ἐπάξιον ἔμμεναι ἔργον·
ἀλλ' ἀναχάζεο τῆλε μόθου στυγεροῦ τε φόνοιο·
χάζεο, μή σε βάλοιμι καὶ οὐκ ἐθέλων περ ἀνάγκῃ,
μηδὲ τεῷ περὶ παιδὶ πέσῃς, μεγ' ἀμείνονι φωτὶ
μαρνάμενος, μὴ δή σε καὶ ἄφρονα μυθήσωνται
ἀνέρες. Οὐ γὰρ ἔοικεν ὑπερτέρῳ ἀντιάασθαι.
  Ὣς φάτο· τὸν δ' ἑτέρωθι γέρων ἠμείβετο μύθῳ·
  Ὦ Μέμνων, τὰ μὲν ἄρ' που ἐτώσια πάντ' ἀγορεύ-
οὐ μὲν γὰρ δηΐοισι πονεύμενον εἵνεκα παιδὸς [εις·
ἀφραίνειν ἐρέει τις, ἀνηλέα παιδοφονῆα
νεκροῦ ἑκὰς σεύοντα κατὰ μόθον. Ὡς ὄφελόν μοι
ἀλκὴ ἔτ' ἔμπεδος ἦεν, ἵνα γνώῃς ἐμὸν ἔγχος.
Νῦν δὲ σὺ μὲν μάλα πάγχυ μέγ' εὔχεαι, οὕνεκα θυμὸς
θαρσαλέος νέου ἀνδρὸς, ἐλαφρότερόν τε νόημα·
τῷ ῥα καὶ ὑψηλὰ φρονέων ἀποφώλια βάζεις.
Εἰ δέ μοι ἡβώοντι κατ' ἀντίον εἰληλούθεις,
οὐκ ἄν τοι κεχάροντο φίλοι κρατερῷ περ ἐόντι·
νῦν δ' ὥς τίς τε λέων ὑπὸ γήραος ἄχθομαι αἰνοῦ,
ὅν τε κύων σταθμοῖο πολυῤῥήνοιο δίηται
θαρσαλέως· ὁ δ' ἄρ' οὔτι, λιλαιόμενός περ, ἀμύνει
οἷ αὐτῷ· οὐ γάρ οἱ ἔτ' ἔμπεδοι εἰσὶν ὀδόντες,
οὐδὲ βίη, κρατερὸν δὲ χρόνῳ ἀμαθύνεται ἦτορ·
ὣς ἐμοὶ οὐκ ἔτι κάρτος ἐνὶ στήθεσσιν ὄρωρεν,
οἷόν περ τοπάροιθεν· ὅμως δ' ἔτι φέρτερός εἰμι
πολλῶν ἀνθρώπων, παύροισι δὲ γῆρας ὑπείκει.
  Ὣς εἰπὼν ἀπὸ βαιὸν ἐχάσσατο· λεῖπε δ' ἄρ' υἷα
κείμενον ἐν κονίῃσιν, ἐπεί νύ οἱ οὐκ ἔτι πάμπαν
γναμπτοῖς ἐν μελέεσσι πέλε σθένος, ὡς τοπάροιθεν·
γήραϊ γὰρ καθύπερθε πολυτλήτῳ βεβάρητο.
  Ὣς δ' αὔτως ἀπόρουσεν ἐϋμμελίης Θρασυμήδης,
Φηρεύς τ' ὀβριμόθυμος, ἰδ' ἄλλοι πάντες ἑταῖροι,
δειδιότες. Μάλα γάρ σφιν ἐπῴχετο λοίγιος ἀνήρ.
  Ὡς δ' ὅτ' ἀπὸ μεγάλων ὀρέων ποταμὸς βαθυδίνης

vires-intendens, necavit Polymnium, prolem Megetis,
Phereus magnanimus: interfecit vero Laomedontem
Nestoris strenuus filius, propter-fratrem iratus,
quem Memnon obtruncarat in pugna, jamque ab ipso
manibus indefessis laxabat ænea arma,
neque vim pensi-habens Thrasymedis, nec boni
Pherei: nam longe præstabat. Illi igitur, ut duo-thoes,
qui cervum obeunt, immanem reformidabant leonem
(*Memnonem*),] non ausi ulterius progredi. Misere autem
Nestor] e-propinquo intuitus, plorabat, hortabaturque alios
suos familiares, hostes ut-invaderent: quin et ipse
festinabat pugnare e curru; namque ipsum
filii extincti amor in prœlium trahebat
præter vires. Et evenisset, ut-dilectum prope filium et ipse
occubuisset inter mortuos eodem-modo, nisi illum
Memnon magnanimus irruentem compellasset,
venerans ex animo æqualem patris sui:
  Senex, non mihi honestum-est adversus te pugnare
natu-grandior qui-es, quoniam novi sapere.
Profecto enim equidem putaram te juvenem et aptum-bello
virum] occurrere hostibus; promptusque mihi sperabat
animus,] manu mea et hasta dignum fore certamen.
Verum excede procul acie et horrifica strage,
cede, ne te feriam, etiamsi invitus, necessitate *adactus*,
neu tuum juxta filium cadas, longe præstantiori cum-viro
pugnans, neve te mente-captum dicant
viri. Non enim decorum contra præstantiorem contendere.
  Sic dixit; at huic contra senex *hoc* respondit sermone:
  O Memnon, hæc fere vana omnia loqueris:
non enim cum-hostibus dimicantem pro filio
desipere *me* dicet quisquam, truculentum filii-interfecto-
rem] a cadavere dum-arceo in conflictu. Utinam mihi
vires adhuc integræ forent, ut experireris meam hastam!
Nunc vero tu admodum alte te-effers; nam animus
temerarius *est* junioris viri, et levior mens:
quare et *tu* nimium tibi-arrogans vana loqueris.
Quod si mihi pubescenti obviam venisses,
non tua-causâ lætati-essent amici, quamlibet fortis:
at nunc ut leo aliquis senio gravor molesto,
quem canis a-caula agnis-repleta fugat
confidenter; qui nullo-modo, licet cupiat, vindicat
sese: non enim ipsi amplius solidi sunt dentes,
neque vires, sed validum tempore (*senectute*) marcescit
cor:] sic mihi non amplius vis in pectore se-exserit,
quomodo olim: et tamen adhuc præstantior sum
multis hominibus, et paucis senectus *mea* cedit.
  Sic fatus paululum recessit, et reliquit filium
stratum in pulvere, cum ipsi non amplius integra
flexibilibus membris inesset virtus, ut antea:
senectute enim ærumnosa oppressus-erat.
Sic quoque re-infecta abiit hasta-spectatus Thrasymedes,
Phereusque magnanimus, et alii omnes familiares,
metu-perculsi. Acriter enim eos urgebat perniciosus vir.
  Ac veluti ab altis montibus amnis vorticosus

χαχλάζων φορέηται ἀπειρεσίῳ ὀρυμαγδῷ,
ὁππότε συννεφὲς ἦμαρ ἐπ' ἀνθρώποισι τανύσσῃ
Ζεὺς κλονέων μέγα χεῖμα· περικτυπέουσι δὲ πάντῃ
βρονταὶ ὁμῶς στεροπῇσιν, ἄδην νεφέων συνιόντων
θεσπεσίων, κοῖλαι δὲ περικλύζονται ἄρουραι,
ὄμβρου ἐπεσσυμένοιο δυσηχέος, ἀμφὶ δὲ μακραὶ
σμερδαλέον βοόωσι κατ' οὔρεα πάντα χαράδραι·
ὣς Μέμνων σεύεσκεν ἐπ' ἠόνας Ἑλλησπόντου
Ἀργείους· μετόπισθε δ' ἐπισπόμενος κεράϊζε.
Πολλοὶ δ' ἐν κονίῃσι καὶ αἵματι θυμὸν ἔλειπον
Αἰθιόπων ὑπὸ χερσί· λύθρῳ δ' ἐφορύνετο γαῖα
ὀλλυμένων Δαναῶν· μέγα δ' ἐν φρεσὶ γήθεε Μέμνων
αἰὲν ἐπεσσύμενος δηΐων στίχας· ἀμφὶ δὲ νεκρῶν
στείνετο Τρώϊον οὖδας· ὁ δ' οὐκ ἀπέληγε κυδοιμοῦ·
ἔλπετο γὰρ Τρώεσσι φάος, Δαναοῖσι δὲ πῆμα
ἔσσεσθ'. Ἀλλά ἑ Μοῖρα πολύστονος ἠπερόπευεν
ἐγγύθεν ἱσταμένη καὶ ἐπὶ κλόνον ὀτρύνουσα.
Ἀμφὶ δέ οἱ θεράποντες ἐϋσθενέες πονέοντο,
Ἀλκυονεὺς Νύχιός τε καὶ Ἀσιάδης ἐρίθυμος,
αἰχμητής τε Μένεκλος Ἀλέξιππός τε Κλάδων τε,
ἄλλοι τ' ἰωχμοῖο μεμαότες, οἵ ῥα καὶ αὐτοὶ
καρτύνοντ' ἀνὰ δῆριν, ἑῷ πίσυνοι βασιλῆϊ.
Καὶ τότε δή ῥα Μένεκλον ἐπεσσύμενον Δαναοῖσι
Νηλεΐδης κατέπεφνεν. Ὁ δ' ἀσχαλόων ἑτάροιο
Μέμνων ὀβριμόθυμος ἐνήρατο πουλὺν ὅμιλον.
Ὡς δ' ὅτε τις κραιπνῇσιν ἐπιβρίσῃ ἐλάφοισι
θηρητὴρ ἐν ὄρεσσι, λίνων ἔντοσθεν ἐρεμνῶν,
ἰλαδὸν ἀγρομένῃσιν ἐς ὑστάτιον δόλον ἄγρης
αἰζηῶν ἰότητι, κύνες δ' ἐπικαγχαλόωσιν,
πυκνὸν ὑλακτιόωντες· ὁ δ' ἐμμεμαὼς ὑπ' ἄκοντι
κεμμάσιν ὠκυτάτῃσι φόνον στονόεντα τίθησιν·
ὣς Μέμνων ἐδάϊζε πολὺν στρατόν. Ἀμφὶ δ' ἑταῖροι
γήθεον· Ἀργεῖοι δὲ περικλυτὸν ἄνδρ' ἐφέβοντο.
Ὡς δ' ὁπότ' ἐξεριπόντος ἀπ' οὔρεος ἠλιβάτοιο
πέτρου ἀπειρεσίοιο, τὸν ὑψόθεν ἀκάματος Ζεὺς
ὤσῃ ἀπὸ κρημνοῖο, βαλὼν στονόεντι κεραυνῷ,
τοῦ δ' ἄρ' ἀνὰ δρυμὰ πυκνὰ καὶ ἄγκεα μακρὰ ῥαγέν-
[τος
βῆσσαι ἐπικτυπέουσι, περιτρομέουσι δ' ἀν' ὕλην,
εἴ που μῆλ' ὑπένερθε κυλινδομένοιο νέμονται,
ἢ βόες, ἠέ τι ἄλλο, καὶ ἐξαλέονται ἰόντος
ῥιπὴν ἀργαλέην καὶ ἀμείλιχον· ὣς ἄρ' Ἀχαιοὶ
Μέμνονος ὄβριμον ἔγχος ἐπεσσυμένοιο φέβοντο.
Καὶ τότε δὴ κρατεροῖο μόλε σχεδὸν Αἰακίδαο
Νέστωρ· ἀμφὶ δὲ παιδὶ μέγ' ἀχνύμενος φάτο μῦθον·
Ὦ Ἀχιλεῦ, μέγα ἕρκος ἐϋσθενέων Ἀργείων,
ὤλετό μοι φίλος υἱός, ἔχει δέ μοι ἔντεα Μέμνων
τεθνειῶτος· δείδω δὲ κυνῶν μὴ κύρμα γένηται.
Ἀλλὰ θοῶς ἐπάμυνον, ἐπεὶ φίλος, ὅς τις ἑταίρου
μέμνηται κταμένοιο, καὶ ἄχνυται οὐκ ἔτ' ἐόντος.
Ὣς φάτο· τοῦ δ' ἀΐοντος ὑπὸ φρένας ἔμπεσε πένθος·
Μέμνονα δ' ὡς ἐνόησεν ἀνὰ στονόεντα κυδοιμὸν
Ἀργείους ἰληδὸν ὑπ' ἔγχεϊ δηϊόωντα,
αὐτίκα κάλλιπε Τρῶας, ὅσους ὑπὸ χερσὶ δάϊξεν,
ἀμφ' ἄλλῃσι φάλαγξι, καὶ ἰσχανόων πολέμοιο

murmurans defertur ingenti strepitu,
cum nubilum diem mortalibus obtendit
Juppiter, glomerans magnam tempestatem; at reboant ubi-
que] tonitrua cum fulguribus, vehementer nubibus con-
currentibus] cœlestibus, et cavi passim-inundantur agri
imbre ruente cum-sonitu, et circumquaque longi
horrendum mugiunt in montibus cunctis torrentes:
ita Memnon pellebat ad littora Hellesponti
Argivos, et a-tergo imminens strages-edebat.
Plurimi igitur in pulvere et cruore animam exspirabant
Æthiopum sub manibus; et sanguine fœdabatur tellus
pereuntium Græcorum; ac valde exultabat Memnon,
subinde irruens in hostium ordines; et cadaveribus
arctabatur Trojanum solum: nec tamen destitit a-pugna.
Sperabat enim *se* Trojanis lumen, Danaisque exitium
fore: sed eum Fatum lugubre falsa-spe-ludebat,
juxta assistens et ad certamen instigans.
Atqui circa ipsum ministri robore-præstantes occupati
-erant,] Alcyoneus Nychiusque et Asiades animosus,
hastipotensque Meneclus Alexippusque Cladonque,
aliique pugnæ percupidi, qui et ipsi
fortiter-se-gerebant in conflictu, suo freti rege.
Et tunc Meneclum, incumbentem Danais,
Nelides neci-dedit. Commotus igitur ob-socium
Memnon cordatus sustulit numerosam turbam.
Non-secus, ac-si quis celeres obruit cervas
venator in montibus, retibus in nigris,
gregatim coactas in extremum dolum venationis
juvenum sagacitate, canesque exsultant,
crebro latrantes; ipse vero strenuus venabulo
cervis velocissimis necem tristem infert:
sic Memnon concidit magnam multitudinem. Commilito-
nes] gaudebant; Argivi autem insignem virum fugitabant.
Ut *fit*, si-ruit ex monte arduo
saxum immensum, quod deorsum invictus Juppiter
trudit a rupe divulsum horrisono fulmine,
quo per arboreta densa et devexa longa ruinam-factitante,
valles fragorem-reddunt, trepidantque in silva,
sicubi oves infra rotatum *illud* pascuntur,
aut juvencæ, aut aliud *animans*, et evitant imminentis
impetum violentum et sævum: non-aliter Argivi
Memnonis acrem hastam irruentis formidabant.
Tunc vero prævalidum adiit Æaciden
Nestor, et propter filium valde mœrens *hæc* profatus-est
verba:] O Achilles, ingens propugnaculum fortium Argi
vorum,] cæsus-est mihi dilectus filius, et obtinet arma Me-
mnon] defuncti; metuo etiam, ne canibus præda fiat.
At e-vestigio succurre: nam is *demum* amicus, qui amici
meminit extincti, *ejus*que *causa* dolet, non amplius su-
perstitis.] Sic fatus-est: illius vero audientis animo incidit
mœror;] et Memnona ut conspexit in tristisono conflictu,
Argivos catervatim hasta trucidantem,
confestim omisit Troas, quos manibus *suis* conficiebat,
inter alias aciei-series; et ardens pugnam

ἤλυθέ οἱ κατέναντα χολούμενος Ἀντιλόχοιο
ἠδ' ἄλλων κταμένων. Ὁ δ' ἄρ' εἵλετο χείρεσι πέτρην,
τήν ῥα βροτοὶ θέσαν οὖρον ἐϋστάχυος πεδίοιο,
καὶ βάλεν ἀκαμάτοιο κατ' ἀσπίδα Πηλείωνος
δῖος ἀνήρ· ὁ δ' ἄρ' οὔτι τρέσας περιμήκεα πέτρην,
αὐτίκα οἱ σχεδὸν ἦλθε, μακρὸν δόρυ πρόσθε τιταίνων,
πεζός, ἐπεί ῥά οἱ ἵπποι ἔσαν μετόπισθε κυδοιμοῦ·
καί οἱ δεξιὸν ὦμον ὑπὲρ σάκεος στυφέλιξεν·
ὃς δὲ, καὶ οὐτάμενος, ἀταρβέϊ μαίνετο θυμῷ,
τύψε δ' ἄρ' Αἰακίδαο βραχίονα δουρὶ κραταιῷ·
τοῦ δ' ἐχύθη φίλον αἷμα, χάρη δ' ἄρ' ἐτώσιον ἥρως,
καί μιν ἄφαρ προσέειπεν ὑπερφιάλοις ἐπέεσσιν·
Νῦν σ' ὀΐω μόρον αἰνὸν ἀναπλήσειν ὑπ' ὀλέθρῳ,
χερσὶν ἐμῇσι δαμέντα, καὶ οὐκ ἔτι μῶλον ἀλύξαι.
Σχέτλιε, τίπτε σὺ Τρῶας ἀνηλεγέως ὀλέεσκες,
πάντων εὐχόμενος πολὺ φέρτερος ἔμμεναι ἀνδρῶν,
μητρός τ' ἀθανάτης Νηρηΐδος; Ἀλλά σοι ἤδη
ἤλυθεν αἴσιμον ἦμαρ, ἐπεὶ θεόθεν γένος εἰμὶ,
Ἠοῦς ὄβριμος υἱὸς, ὃν ἔκποθι λειριόεσσαι
Ἑσπερίδες θρέψαντο παρὰ ῥόον ὠκεανοῖο.
Τοὔνεκά σευ καὶ δῆριν ἀμείλιχον οὐκ ἀλεείνω,
εἰδὼς μητέρα δῖαν, ὅσον προφερεστέρη ἐστὶν
Νηρηΐδος, τῆς αὐτὸς ἐπεύχεαι ἔκγονος εἶναι.
Ἡ μὲν γὰρ μακάρεσσι καὶ ἀνθρώποισι φαείνει·
τῇ ἔπι πάντα τελεῖται ἀτείρεος ἔνδον Ὀλύμπου
ἐσθλά τε καὶ κλυτὰ ἔργα, τά τ' ἀνδράσι γίνετ' ὄνειαρ·
ἡ δ' ἐν ἁλὸς κευθμῶσι καθημένη ἀτρυγέτοισιν,
ναίει δμῶς κήτεσσι, μετ' ἰχθύσι κυδιόωσα,
ἄπρηκτος καὶ ἄϊστος· ἐγὼ δέ μιν οὐκ ἀλεγίζω,
οὐδέ μιν ἀθανάτῃσιν ἐπουρανίῃσιν ἐΐσκω.
Ὣς φάτο. Τὸν δ' ἐνένισπε θρασὺς πάϊς Αἰακίδαο·
Ὦ Μέμνον, πῇ νῦν σε κακαὶ φρένες ἐξορόθυναν
ἐλθέμεν ἀντί' ἐμεῖο καὶ ἐς μόθον ἰσοφαρίζειν;
ὅς σέο φέρτερός εἰμι βίῃ γενεῇ τε φυῇ τε
Ζηνὸς ὑπερθύμοιο λαχὼν ἀριδείκετον αἷμα,
καὶ σθεναροῦ Νηρῆος, ὃς εἰναλίας τέκε κούρας
Νηρηΐδας, τὰς δή ῥα θεοὶ τίουσ' ἐν Ὀλύμπῳ,
πασάων δὲ μάλιστα Θέτιν κλυτὰ μητιόωσαν,
οὕνεκά που Διόνυσον ἑοῖς ὑπέδεκτο μελάθροις,
ὁππότε δειμαίνεσκε βίην ὀλοοῖο Λυκούργου·
ἠδὲ καὶ ὡς Ἥφαιστον, ἐΰφρονα χαλκεοτέχνην,
δέξατο οἷσι δόμοισιν ἀπ' Οὐλύμποιο πεσόντα·
αὐτόν τ' Ἀργικέραυνον ὅπως ὑπελύσατο δεσμῶν·
τῶν μιμνησκόμενοι πανδερκέες Οὐρανίωνες,
μητέρ' ἐμὴν τίουσι Θέτιν ζαθέῳ ἐν Ὀλύμπῳ.
Γνώσῃ δ' ὡς θεός ἐστιν, ἐπὴν δόρυ χάλκεον εἴσω
ἐς τεὸν ἧπαρ ἵκηται, ἐμῇ βεβλημένον ἀλκῇ.
Ἕκτορα γὰρ Πατρόκλοιο, σὲ δ' Ἀντιλόχοιο χολωθεὶς
τίσομαι· οὐ γὰρ ὄλεσσας ἀνάλκιδος ἀνδρὸς ἑταῖρον.
Ἀλλὰ τί νηπιάχοισιν ἐοικότες ἀφραδέεσσιν,
ἕσταμεν, ἡμετέρων μυθεύμενοι ἔργα τοκήων,
ἠδ' αὐτῶν; Ἐγγὺς καὶ Ἄρης, ἐγγὺς δὲ καὶ ἀλκή.
Ὣς εἰπὼν παλάμῃσι λάβεν πολυμήκετον ἄορ,
Μέμνων δ' αὖθ' ἑτέρωθε, καὶ ὀτραλέως συνόρουσαν·

tetendit contra illum ira-percitus propter-Antilochum, aliosque interfectos. Ille vero corripuit manibus saxum, quem agricolæ posuerant terminum spiciferi ruris, et conjecit invicti in scutum Achillis, divinus vir. Ille tamen nihil abhorrens immane saxum statim ad-eum propius accessit, longam hastam prætendens,] pedes : nam ei equi relicti-erant post aciem : et ipsi dextrum humerum supra scutum perculit. Hic vero, quanquam saucius, intrepido furuit animo, sauciavitque Æacidæ brachium hasta violenta, ex quo emicuit carus sanguis; ideo gestivit nequicquam heros,] atque illum statim compellavit superbis dictis.

Nunc te spero fatum luctuosum oppetiturum morte, manibus meis victum, neque ultra belli-discrimen evasurum.]Improbe, cur tu Trojanos crudeliter exitio-multabas, omnibus jactans *te* multo meliorem esse viris, matreque immortali Nereide *natum*? Sed tibi jam venit fatalis dies, namque a-Diis genus duco, Auroræ strenuus filius, quem procul floridæ Hesperides nutriverunt juxta fluenta Oceani. Ideo tuum etiam certamen immite non evito, sciens, mater diva quanto potior sit Nereide, ex-qua ipse gloriaris *te* natum esse. Illa enim Diis et hominibus lucem-præbet, illa exorta omnia perficiuntur æternum intra Olympum bona et præclara opera, quæ hominibus afferunt utilitatem: hæc autem in Ponti latebris residens infructuosis vitam-degit cum cetis, inter pisces dominans, otiosa et ignobilis : egoque ipsam nihili æstimo, nec eam deabus cælestibus parem-censeo.

Sic ait : hunc contra increpuit audax natus Æacidæ. Memnon, quorsum nunc te læva mens exagitavit, ut-venias obviam mihi et in acie compares? qui te potentior sum viribus genereque et forma, Jovis fortissimi sortitus nobilem stirpem et potentis Nerei, qui marinas procreavit puellas Nereides, quas etiam Dii honorant in Olympo, ante-omnes vero maxime Thetin præclara consilia-dantem, propterea-quod olim Bacchum suis suscepit laribus, cum expavesceret violentiam crudelis Lycurgi; et quod etiam Vulcanum, ingeniosum æris-artificem, recepit sua domo, Olympo dejectum; ipsumque Tonantem quod solvit e-vinculis : horum memores omnia-lustrantes Dii, matrem meam venerantur Thetin beato in Olympo. Et experieris Deam esse, quando hasta ænea penitus in tuum jecur intraverit, mea percussum virtute. De-Hectore enim ob-Patroclum *sumpsi*, de-te ob-Antilochum iratus] vindictam-sumam : non enim occidisti imbellis viri amicum.] Sed quid infantium more imperitorum stamus, nostrorum verbis-extollentes facinora parentum, *nostra*que ipsorum? Adest Mars; adsit etiam virtus.

Sic fatus manibus corripuit longum ensem, Memnon item ex-alia-parte, et ardenter concurrerunt;

τύπτον δ' ἀλλήλων ἄμοτον, φρεσὶ κυδιόωντες,
ἀσπίδας, ἃς Ἥφαιστος ὑπ' ἀμβροσίῃ κάμε τέχνῃ,
πυκνὰ συναΐσσοντες· ἐπέψαυον δὲ λόφοισιν
ἀλλήλαις ἑκάτερθεν ἐρειδόμεναι τρυφάλειαι. [τος,
Ζεὺς δὲ μέγ' ἀμφοτέροισι φίλα φρονέων βάλε κάρ-
τεῦξε δ' ἄρ' ἀκαμάτους καὶ μείζονας, οὐδὲν ὁμοίους
ἀνδράσιν, ἀλλὰ θεοῖσιν· Ἔρις δ' ἐπεγήθεεν ἀμφοῖν.
Οἳ δ' αἰχμὴν μεμαῶτες ἄφαρ χροὸς ἐντὸς ἐλάσσαι,
μεσσηγὺς σάκεός τε καὶ ὑψιλόφου τρυφαλείης,
πολλάκις ἰθύνεσκον ἑὸν μένος· ἄλλοτε δ' αὖτε
βαιὸν ὑπὲρ κνημῖδος, ἔνερθε δὲ δαιδαλέοιο
θώρηκος, βριαροῖσιν ἀρηρότος ἀμφὶ μελέεσσιν,
ἄμφω ἐπειγόμενοι· περὶ δέ σφισιν ἄμβροτα τεύχη
ἀμφ' ὤμοις ἀράβησε· βοὴ δ' ἵκητ' αἰθέρα δῖον
Τρώων Αἰθιόπων τε καὶ Ἀργείων ἐριθύμων,
μαρναμένων ἑκάτερθε· κόνις δ' ὑπὸ ποσσὶν ὀρώρει
ἄχρις ἐς οὐρανὸν εὐρὺν, ἐπεὶ μέγα κίνυτο ἔργον.
Εὖτ' ὀμίχλη κατ' ὄρεσφιν ὀρινομένου ὑετοῖο,
ὁππότε δὴ κελάδοντες ἐνιπλήθονται ἔναυλοι
ὕδατος ἐσσυμένοιο, βρέμει δ' ἄρα πᾶσα χαράδρη
ἄσπετον, οἱ δ' ἄρα πάντες ἐπιτρομέουσι νομῆες
χειμάῤῥους, ὀμίχλην τε, φίλην ὀλοοῖσι λύκοισιν
ἠδ' ἄλλοις θήρεσσιν, ὅσους τρέφει ἄσπετος ὕλη·
ὣς τῶν ἀμφὶ πόδεσσι κόνις πεπότητ' ἀλεγεινὴ,
ἥ ῥά τε καὶ φάος ἠῢ κατέκρυψεν ἠελίοιο,
αἰθέρ' ἐπισκιάουσα· κακὴ δ' ὑπεδάμνατ' ὀϊζὺς
λαοὺς ἐν κονίῃ τε καὶ αἰνομόρῳ ὑσμίνῃ.
Καὶ τὴν μὲν μακάρων τις ἀπώσατο δηϊοτῆτος
ἐσσυμένως· ὀλοαὶ δὲ θοὰς ἑκάτερθε φάλαγγας
Κῆρες ἐποτρύνεσκον ἀπειρέσιον πονέεσθαι
δῆριν ἀνὰ στονόεσσαν· Ἄρης δ' οὐ λῆγε φόνοιο
λευγαλέου, πάντη δὲ πέριξ ἐφορύνετο γαῖα
αἵματος ἐκχυμένοιο· μέλας δ' ἐπετέρπετ' Ὄλεθρος·
στείνετο δὲ κταμένων πεδίον μέγα θ' ἱππόβοτόν τε,
ὁππόσον ἀμφὶ ῥοαῖς Σιμόεις καὶ Ξάνθος ἐέργει,
Ἴδηθεν κατιόντες ἐς ἱερὸν Ἑλλήσποντον.
Ἀλλ' ὅτε δὴ πολλὴ μὲν ἄδην μηκύνετο δῆρις
μαρναμένων, ἶσον δὲ μένος τέτατ' ἀμφοτέροισι,
δὴ τότε τούς γ' ἀπάνευθεν Ὀλύμπιοι εἰσορόωντες,
οἱ μὲν θυμὸν ἔτερπον ἀτειρέϊ Πηλείωνι,
οἱ δ' ἄρα Τιθωνοῖο καὶ Ἠοῦς υἱεῖ δίῳ·
ὑψόθε δ' οὐρανὸς εὐρὺς ἐπέβραχεν· ἀμφὶ δὲ πόντος
ἴαχε· κυανέη δὲ πέριξ ἐλελίζετο γαῖα
ἀμφοτέρων ὑπὸ ποσσί· περιτρομέοντο δὲ πᾶσαι
ἀμφὶ Θέτιν Νηρῆος ὑπερθύμοιο θύγατρες
ὀβρίμου ἀμφ' Ἀχιλῆος, ἰδ' ἄσπετα δειμαίνοντο·
δείδιε δ' Ἠριγένεια φίλῳ περὶ παιδὶ καὶ αὐτὴ,
ἵπποις ἐμβεβαυῖα δι' αἰθέρος· αἱ δέ οἱ ἄγχι
Ἠελίοιο θύγατρες ἐθάμβεον ἑστηυῖαι
θεσπέσιον περὶ κύκλον, ὃν ἠελίῳ ἀκάμαντι
Ζεὺς πόρεν εἰς ἐνιαυτὸν ἑὸν δρόμον, ᾧ πέρι πάντα
ζώει τε φθινύθει τε, περιπλομένοιο κατ' ἦμαρ
νωλεμέως αἰῶνος, ἑλισσομένων ἐνιαυτῶν.
Καὶ νύ κε δὴ μακάρεσσιν ἀμείλιχος ἔμπεσε δῆρις,

tutuderunt alternatim avide, animis studio-gloriæ-elatis,
clypeos, quos Vulcanus divina elaborarat arte,
crebro irruentes; et contigerunt cristis
sese-invicem utrinque collisæ galeæ.
Juppiter autem utrique bene cupiens adjecit robur,
reddiditque *eos* indefatigabiles et proceriores, nec-quic-
quam similes] viris, sed Divis. Discordia vero gaudebat
utroque.] Qui cum mucrones cuperent citissime in corpus
adigere,] inter scutum et cristatam galeam,
crebro intenderunt suas vires, alias etiam
paullum supra ocreas, et infra varium
thoracem, validis aptatum membris,
ambo festinantes: interim illis divina arma
circum humeros crepuere; et clamor ascendit ad-æthera
divinum] Troum Æthiopumque et Argivorum fortium,
pugnantium utrimque, pulvisque sub pedibus se-sustulit
usque ad cœlum altum: nam ingens commotum-erat ne-
gotium.] Ut nebula in montibus excitato nimbo,
quando strepitantes replentur fluminum-alvei
aqua ruente, et fremit omnis vorago
immensum; at cuncti metuunt pastores
torrentes, et caliginem gratam pernitialibus lupis
aliisque feris, quas nutrit vasta silva:
ita illorum circa pedes pulvis volitabat molestus,
qui etiam lucem claram obtexit solis,
æthera obumbrans; et dira affligebat calamitas
populos in pulvere et infelici prœlio.
Et illum quidem deorum quispiam dispulit a-certamine
repente: sævæ interim strenuas utrinque phalangas
Parcæ instigabant ad-indefesse pugnandum
conflictu in tristi; nec Mars finem-faciebat cædis
funestæ: circumquaque igitur polluebatur tellus
cruore effuso, atraque oblectabatur Pernicies;
arctabaturque mortuis campus vastus et equestris,
quantum hinc-et-illinc alveo Simois et Xanthus includunt,
ex-Ida decurrentes in sacrum Hellespontum.
Cum itaque sat longa extracta-esset pugna
certantium, et æquæ vires intenderentur utrinque;
tum hos procul Dii intuentes,
alii animis voluptatem-percipiebant de invicto Pelida,
alii de Tithoni et Auroræ nato divino.
Tum desuper cœlum arduum immugiit, et undique mare
resonuit, et nigra in-orbem concussa-fuit tellus,
utriusque sub pedibus. Trepidarunt vero omnes
circa Thetim Nerei cordati filiæ,
strenui Achillis causa, ac vehementer timuere:
timuitque Aurora caro nato et ipsa,
equis invecta per æthera, et prope illam
Solis filiæ stupuerunt stantes,
divino in circulo, quem Soli indefatigabili
Juppiter dedit, annuum pulcrum cursum, sub quo universa
vivunt et intereunt, dum-circumvertitur in dies
absque-intermissione ævum, circumvolventibus annis.
Tum certe Diis acerbissima incidisset contentio,

εἰ μὴ ὑπ' ἐννεσίῃσι Διὸς μεγαλοβρεμέταο
δοιαὶ ἄρ' ἀμφοτέροισι θοῶς ἑκάτερθε παρέσταν
Κῆρες· ἐρεμναίη μὲν ἔβη ποτὶ Μέμνονος ἦτορ,
φαιδρὴ δ' ἀμφ' Ἀχιλῆα δαΐφρονα· τοὶ δ' ἐσιδόντες
ἀθάνατοι μέγ' ἄϋσαν· ἄφαρ δ' ἕλε τοὺς μὲν ἀνίη
λευγαλέη, τοὺς δ' ἠῢ καὶ ἀγλαὸν ἔλλαβε χάρμα.
Ἥρωες δ' ἐμάχοντο καθ' αἱματόεντα κυδοιμὸν,
ἔμπεδον, οὐδέ τι Κῆρας ἐποιχομένας ἐνόησαν,
θυμὸν καὶ μέγα κάρτος ἐπ' ἀλλήλοισι φέροντες.
Φαίης κε στονόεντα κατὰ μόθον ἤματι κείνῳ
μάρνασθ' ἠὲ Γίγαντας ἀτειρέας, ἠὲ κραταιοὺς
Τιτῆνας· σθεναρὴ δ' ἄρ' ἐπὶ σφίσι δῆρις ὀρώρει,
ἠμὲν ὅτε ξιφέεσσι συνέδραμον, ἠδ' ὅτε λάας
βάλλον ἐπεσσύμενοι περιμήκεας· οὐδέ τις αὐτῶν
χάζετο βαλλομένων, οὐδ' ἔτρεσαν, ἀλλ' ἅτε πρῶνες
ἕστασαν ἀδμῆτες, καταείμενοι ἄσπετον ἀλκήν·
ἄμφω γὰρ μεγάλοιο Διὸς γένος εὐχετόωντο·
τοὔνεκ' ἄρα σφίσι δῆριν ἴσην ἐτάνυσσεν Ἐνυὼ,
πολλὸν ἐρειδομένοισιν ἐπὶ χρόνον, ἐν δαῒ κείνῃ,
αὐτοῖς ἠδ' ἑτάροισιν ἀταρβέσιν, οἳ μέτ' ἀνάκτων
νωλεμέως πονέοντο μεμαότες, ἄχρι καμόντων
αἰχμαὶ ἀνεγνάμφθησαν ἐν ἀσπίσιν· οὐδέ τις ἦεν
θεινομένων ἑκάτερθεν ἀνούτατος, ἀλλ' ἄρα πάντων
ἐκ μελέων εἰς οὖδας ἀπέῤῥεεν αἷμα καὶ ἱδρὼς,
αἰὲν ἐρειδομένων· κεκάλυπτο δὲ γαῖα νέκυσσιν,
οὐρανὸς ὡς νεφέεσσιν, ἐς αἰγοκερῆα κιόντος
ἠελίου, ὅτε πόντον ὑποτρομέει μέγα ναύτης·
τοὺς δ' ἵπποι χρεμέθοντες, ἐπεσσυμένοις ἅμα λαοῖς,
τεθνεῶτας στείβεσκον, ἅτ' ἄσπετα φύλλα κατ' ἄλσος
χείματος ἀρχομένου μετὰ τηλεθόωσαν ὀπώρην.
Οἱ δέ που ἐν νεκύεσσι καὶ αἵματι δηριόωντο
υἷες μακάρων ἐρικυδέες, οὐδ' ἀπέληγον
ἀλλήλοις κοτέοντες. Ἔρις δ' ἴθυνε τάλαντα
ὑσμίνης ἀλεγεινά· τὰ δ' οὐκ ἔτι ἶσα πέλοντο·
ἀλλ' ἄρα Μέμνονα δῖον ὑπὸ στέρνοιο θέμεθλα
Πηλείδης οὔτησε· τὸ δ' ἀντικρὺ μέλαν αἷμα
ἐξέθορε· τοῦ δ' αἶψα λύθη πολυήρατος αἰών·
κάππεσε δ' εἰς μέλαν αἷμα· βράχε δέ οἱ ἄσπετα τεύχη·
γαῖα δ' ὑπεσμαράγησε, καὶ ἀμφεφόβηθεν ἑταῖροι·
τὸν δ' ἄρα Μυρμιδόνες μὲν ἐσύλεον· ἀμφὶ δὲ Τρῶες
φεῦγον· ὁ δ' αἶψα δίωκε, μένος μέγα λαίλαπι ἶσος.
Ἠὼς δ' ἐστονάχησε, καλυψαμένη νεφέεσσιν,
ἠχλύνθη δ' ἄρα γαῖα· θοοὶ δ' ἅμα πάντες ἀῆται,
μητρὸς ἐφημοσύνῃσι, μιῇ φορέοντο κελεύθῳ
ἐς πεδίον Πριάμοιο καὶ ἀμφεχέοντο θανόντι·
οἳ καὶ ἀνηρείψαντο θοῶς Ἠώϊον υἷα,
καί ἑ φέρον πολιοῖο δι' ἠέρος· ἄχνυτο δέ σφι
θυμὸς ἀδελφειοῖο δεδουπότος· ἀμφὶ δ' ἄρ' αἰθὴρ
ἔστενε· τοῦ δ' ἐπὶ γαῖαν ὅσαι πέσον αἱματόεσσαι
ἐκ μελέων ῥαθάμιγγες, ἐν ἀνθρώποισι τέτυκται
σῆμα καὶ ἐσσομένοις· τὰς γὰρ θεοὶ, ἄλλοθεν ἄλλην,
εἰς ἓν ἀγειράμενοι, ποταμὸν θέσαν ἠχήεντα,
τόν ῥά τε Παφλαγόνειον ἐπιχθόνιοι καλέουσι
πάντες, ὅσοι ναίουσι μακρῆς ὑπὸ δειράσιν Ἴδης·

ni consilio Jovis altifrementis,
duæ illis subito utrinque adstitissent
Parcæ: altera atra adiit Memnonis cor,
altera lucida Achillem fortem. Quibus visis
superi valde clamarunt; et statim occupavit alios mœstitia
lugubris, alios dulcis et nitida complexa-est lætitia.
Heroes interea confligebant in cruento prœlio
pertinacissime, nec Parcas accedere animadverterunt,
animum ac summam vim in se-mutuo intendentes.
Dixeris lacrimoso in conflictu die illo
inter-se-disceptasse aut Gigantes indomitos, aut robustos
Titanes: nam validum inter eos certamen incruduerat,
tum ubi gladiis concurrebant, tum ubi lapides
rotabant, impetu-facto, prægrandes; neuterque horum
recessit, licet-ictus, nec tremuit; sed veluti cautes
steterunt immotæ, armati invicto robore:
ambo enim magni Jovis familia *se ortos* profitebantur.
Ideo ipsis Martem æquum suspendit Bellona,
longum ut-colluctarentur ad tempus, in prœlio isto,
ipsis et amicis impavidis, qui cum ducibus
constanter laborem-subibant magno-nixu, donec fessorum
mucrones reflecterentur in scutis: nec quisquam erat
se-verberantium invicem absque-vulnere, sed omnium
e membris ad solum manabat cruor et sudor,
pertinaciter nitentium: opertaque-erat tellus cadaveribus,
ut cœlum nubibus, Ægocerotem cum-intrat
sol, ubi pontum reformidat valde nauta.
Equi autem hinnientes, cum-ingruentibus una catervis,
exanimes proculcabant, ceu densa folia in silva,
hieme ineunte post florentem autumnum.
At in strage et tabo decertabant
filii Deorum percelebres, nec desinebant
in-se-mutuo iris-exasperari: Contentio tandem libravit lances] pugnæ ferales, eæque non amplius æquilibres erant.
Ergo Memnoni divo in pectoris ima
Pelides vulnus-inflixit, et ex-adverso ater sanguis
erupit, ejusque protinus abruptum-erat jucundum ævum:
procubuit igitur in nigram saniem, et intonuerunt ipsius
vasta arma,] tellusque reboavit, et passim-consternati-sunt
socii.] Illum quidem Myrmidones spoliavere; at undique
Troes] fugerunt; is (*Achilles*) rapide insecutus-est, acri
impetu turbini par.] Tum Aurora gemuit, sese-condens
nubibus,] tenebrisque-inhorruit tellus, et præpetes simul
omnes venti,] matris jussu, uno deferebantur itinere
in campum Priami ac circumfundebantur mortuo:
iique arripuerunt extemplo Auroræ natum,
et eum auferebant canum per aera: sed mœstus-erat ipsis
animus ob fratrem cæsum: et circumquaque æther
ingemuit. Ejus vero in terram quotquot cadebant cruentæ
e membris guttæ, inter homines factæ-sunt
signum etiam posteros; has enim Dii, aliunde alias,
in unum collectas, fluvium fecerunt undisonantem,
quem Paphlagonium mortales vocant
omnes, quotquot habitant longæ sub jugis Idæ;

ὅς τε καὶ αἱματόεις τραφερὴν ἐπινίσσεται αἶαν,
ὁππότε Μέμνονος ἦμαρ ἔῃ λυγρὸν, ᾧ ἐνὶ κεῖνος
κάτθανε· λευγαλέη δὲ καὶ ἄσχετος ἔσσυται ὀδμὴ
ἐξ ὕδατος· φαίης κεν ἔθ' ἕλκεος οὐλομένοιο
πυθομένους ἰχῶρας ἀποπνείειν ἀλεγεινόν.
Ἀλλὰ τὸ μὲν βουλῇσι θεῶν γένεθ'· οἱ δ' ἐπέτοντο
Ἠοῦς ὄβριμον υἷα θοοὶ φορέοντες ἀῆται
τυτθὸν ὑπὲρ γαίης, δνοφερῇ κεκαλυμμένον ὄρφνῃ.
Οὐδὲ μὲν Αἰθιοπῆες ἀποκταμένοιο ἄνακτος
νόσφιν ἀπεπλάγχθησαν, ἐπεὶ θεὸς αἶψα καὶ αὐτοὺς
ἦγε, λιλαιομένοισι βαλὼν τάχος, οἷον ἔμελλον
οὐ μετὰ δηρὸν ἔχοντες ὑπηέριοι φορέεσθαι.
Τοὔνεχ' ἕποντ' ἀνέμοισιν, ὀδυρόμενοι βασιλῆα·
ὡς δ' ὅταν ἀγρευτῆρος ἐνὶ ξυλόχοισι δαμέντος,
ἢ συὸς ἠὲ λέοντος ὑπὸ βλοσυρῇσι γένυσσι,
σῶμ' ἀναειρόμενοι μογεροὶ φορέουσιν ἑταῖροι
ἀχνύμενοι, μετὰ δέ σφι κύνες, ποθέοντες ἄνακτα,
κνυζηθμῷ ἐφέπονται, ἀνιηρῆς ἕνεκ' ἄγρης·
ὡς οἵ γε προλιπόντες ἀνηλέα δηϊοτῆτα
λαιψηροῖς ἐφέποντο μέγα στενάχοντες ἀήταις,
ἀχλύϊ θεσπεσίῃ κεκαλυμμένοι· ἀμφὶ δὲ Τρῶες
καὶ Δαναοὶ θάμβησαν, ἅμα σφετέρῳ βασιλῆϊ
πάντας ἀϊστωθέντας· ἀπειρεσίῃ δ' ἀνὰ θυμὸν
ἀμφασίῃ βεβόληντο. Νέκυν δ' ἀκάμαντες ἀῆται
Μέμνονος ἀγχεμάχοιο θέσαν, βαρέα στενάχοντες,
πὰρ ποταμοῖο ῥέεθρα βαθυῤῥόου Αἰσήποιο,
ἧχι τε Νυμφάων καλλιπλοκάμων πέλει ἄλσος
καλὸν, ὃ δὴ μετόπισθε μακρὸν περὶ σῆμ' ἐβάλοντο
Αἰσήποιο θύγατρες, ἅδην πεπυκασμένον ὕλῃ
παντοίῃ· καὶ πολλὰ θεαὶ περικωκύσαντο,
υἱέα κυδαίνουσαι ἐϋθρόνου Ἠριγενείης.
Δύσετο δ' ἠελίοιο φάος, κατὰ δ' ἤλυθεν Ἠὼς
οὐρανόθεν, κλαίουσα φίλον τέκος· ἀμφὶ δ' ἄρ' αὐτῇ
κοῦραι ἐϋπλόκαμοι δυοκαίδεκα, τῇσι μέμηλεν
αἰὲν ἑλισσομένου Ὑπερίονος αἰπὰ κέλευθα,
νύξ τε καὶ ἠριγένεια, καὶ ἐκ Διὸς ὁππόσα βουλῆς
γίγνεται, οὗ περὶ δῶμα καὶ ἀῤῥήκτους πυλεῶνας
στρωφῶντ' ἔνθα καὶ ἔνθα, πέριξ λυκάβαντα φέρουσαι
καρποῖσι βρίθοντα, κυλινδομένου περὶ κύκλου
χειμῶνος κρυεροῖο καὶ εἴαρος ἀνθεμόεντος
ἠδὲ θέρευς ἐρατοῖο πολυσταφύλοιό τ' ὀπώρης·
αἳ τότε δὴ κατέβησαν ἀπ' αἰθέρος ἠλιβάτοιο,
ἄσπετ' ὀδυρόμεναι περὶ Μέμνονα, σὺν δ' ἄρα τῇσι
Πληϊάδες μύροντο, περίαχε δ' οὔρεα μακρὰ,
καὶ ῥόος Αἰσήποιο, γόος δ' ἄλληκτος ὀρώρει.
Ἡ δ' ἄρ' ἐνὶ μέσσῃσιν, ἑῷ περὶ παιδὶ χυθεῖσα,
μακρὸν ἀνεστονάχησε πολύστονος Ἠριγένεια·
Ὤλεό μοι, φίλε τέκνον· ἐῇ δ' ἄρα μητέρι πένθος
ἀργαλέον περίθηκας· ἐγὼ δ' οὐ, σεῖο δαμέντος,
τλήσομαι ἀθανάτοισιν ἐπουρανίοισι φαείνειν,
ἀλλὰ καταχθονίων ἐσδύσομαι αἰνὰ βέρεθρα,
ψυχὴ ὅπου σέο νόσφιν ἀποφθιμένου πεπότηται,
πάντ' ἐπικιδναμένου χάεος καὶ ἀεικέος ὄρφνης,
ὄφρα τι καὶ Κρονίδαο περὶ φρένας ἄλγος ἵκηται.

qui et sanguinolentus per-benignam labitur terram,
quando Memnonis dies est funestus, quo ille
mortem-obiit: et tetra atque ingens exhalatur Mephitis
ex unda: dixeris etiamnum e vulnere letali
putridam saniem exhalare-odorem fœdum.
Hæc itaque consiliis Deorum acciderunt: volabant autem,
Auroræ rigidum natum ferentes, celeres venti
paululum supra terram, nubila involutum caligine.
At nec Æthiopes a-cæso ductore
procul vagati-sunt: nam Deus repente etiam ipsos
duxit, exoptantibus adjiciens celeritatem, qua erant
non multo post præditi in-aëre-sublimes ferendi.
Ideo sequebantur ventos, deplorantes regem:
ut cum venatoris in saltu prostrati,
vel apri vel leonis mortiferis faucibus,
cadaver sublatum laborum-patientes auferunt socii,
dolentes; pone vero canes, desiderantes herum,
cum-gannitu sequuntur, tristificam propter vanationem:
ita illi, relicto sævo conflictu,
rapidos secuti-sunt magno cum-gemitu ventos,
nebula divina involuti; passimque Troes
et Græci stupebant, una cum suo-rege
cunctos disparuisse; et profundo animos
silentio percellebantur. Cadaver autem indefessi venti
Memnonis bellicosi reposuerunt gravi cum-gemitu,
juxta amnis undas altiflui Æsepi,
ubi Nympharum pulchre-crinitarum exstat lucus
amœnus, in quo postea arduum tumulum eduxerunt
Æsepi filiæ, satis opacum arboribus
omnis-generis; multumque Divæ planxerunt,
filium honorantes pulcrithronæ Auroræ.
Occidit tum solis lumen, et descendit Aurora
de-cœlo, lugens natum carum, circumque illam
puellæ pulcricomæ duodecim, quibus curæ-sunt
semper circumvolventis Solis arduæ viæ,
noxque et dies, et Jovis quæcunque voluntate
fiunt, cujus circa aulam et non-dirumpenda vestibula
versantur huc atque illuc, annum circumferentes
fructibus prægnantem, dum-se-circumvertit circulus
hyemis gelidæ et veris floridi
atque æstatis jucundæ racemosique autumni:
hæ tunc descenderunt ab æthere excelso,
graviter lugentes propter Memnonem, et cum illis
Plejades flebant, circumsonabant vero montes alti
et fluenta Æsepi, luctusque indesinens se-commovit.
Ipsa igitur in medio-ipsarum, suo nato circumfusa,
magno ejulatu-exclamavit lamentabilis Aurora:
Interiisti mihi, cara soboles, tuæque matri luctum
inextricabilem injecisti! ego nunquam, te sublato,
sustinebo immortalibus Diis lucem-reddere;
sed inferorum subibo tetra barathra,
quo anima a-te procul exstincto avolavit,
per-omnia ut-diffundatur Chaos ac tristis caligo,
ut aliquis etiam Saturnii animum dolor occupet.

Οὐ γὰρ ἀτιμοτέρη Νηρηΐδος, ἐκ Διὸς αὐτοῦ
πάντ' ἐπιδερκομένη, πάντ' ἐς τέλος ἄχρις ἄγουσα·
μαψιδίως· οὐ γὰρ καὶ ἐμὸν φάος ὠπίσατο Ζεύς.
Τοὔνεχ' ὑπὸ ζόφον εἶμι· Θέτιν δ' ἐπ' Ὄλυμπον ἀγέ-
ἐξ ἁλὸς, ὄφρα θεοῖσι καὶ ἀνθρώποισι φαείνῃ· [σθω
αὐτὰρ ἐμοὶ στονόεσσα μετ' οὐρανὸν εὔαδεν ὄρφνη,
μὴ ἵνα σεῖο φονῆϊ φάος περὶ σῶμα βάλοιμι.
Ὣς φαμένης ῥέε δάκρυ κατ' ἀμβροσίοιο προσώπου
ἀενάῳ ποταμῷ ἐναλίγκιον· ἀμφὶ δὲ νεκρῷ
δεύετο γαῖα μέλαινα· συνάχνυτο δ' ἀμβροσίη Νὺξ
παιδὶ φίλῃ, καὶ πάντα κατέκρυφεν οὐρανὸς ἄστρα
ἀχλύϊ καὶ νεφέεσσι, φέρων χάριν Ἠριγενείῃ.
Τρῶες δ' ἄστεος ἔνδον ἔσαν περὶ Μέμνονι θυμῷ
ἀχνύμενοι· πόθεον γὰρ ὁμῶς ἑτάροισιν ἄνακτα·
οὐδὲ μὲν Ἀργεῖοι μέγ' ἐγήθεον, ἀλλὰ καὶ αὐτοὶ,
ἐν πεδίῳ κταμένοισι παρ' ἀνδράσιν αὖλιν ἔχοντες,
ἄμφω, ἐϋμμελίην μὲν Ἀχιλλέα κυδαίνεσκον, [θος.
Ἀντίλοχον δ' ἄρα κλαῖον· ἔχον δ' ἅμα χάρματι πέν-
Παννυχίη δ' ἀλεγεινὸν ἀνεστονάχιζε γοῶσα
Ἠώς· ἀμφὶ δέ οἱ κέχυτο ζόφος· οὐδ' ἔτι θυμῷ
ἀντολίης ἀλέγιζε, μέγαν δ' ἤχθηρεν Ὄλυμπον·
ἄγχι δέ οἱ μάλα πολλὰ ποδώκεες ἔστενον ἵπποι,
γαῖαν ἐπιστείβοντες ἀνανθέα, καὶ βασίλειαν
ἀχνυμένην ὁρόωντες, ἐελδόμενοι μέγα νόστου.
Ζεὺς δ' ἄμοτον βρόντησε χολούμενος· ἀμφὶ δὲ γαῖα
κινήθη πέρι πᾶσα· τρόμος δ' ἕλεν ἄμβροτον Ἠῶ.
Τὸν δ' ἄρα καρπαλίμως μελανόχροες Αἰθιοπῆες
θάψαν ὀδυρόμενοι. Τοὺς δ' Ἠριγένεια βοῶπις,
πολλ' ὀλοφυρομένους, κρατεροῦ περὶ σήματι παιδὸς
οἰωνοὺς ποίησε, καὶ ἠέρι δῶκε φέρεσθαι·
τοὺς δὴ νῦν καλέουσι βροτῶν ἀπερείσια φῦλα
Μέμνονας· οἳ ῥ' ἔτι τύμβον ἐπὶ σφετέρου βασιλῆος
ἐσσύμενοι γοόωσι, κόνιν καθύπερθε χέοντες
σήματος· ἀλλήλοις δὲ περικλονέουσι κυδοιμὸν,
Μέμνονι ἦρα φέροντες· ὁ δ' εἰν Ἀΐδαο δόμοισιν,
ἠέ που ἐν μακάρεσσι κατ' Ἠλύσιον πέδον αἴης,
καγχαλάα· καὶ θυμὸν ἰαίνεται ἄμβροτος Ἠὼς
δερκομένη· τοῖσιν δὲ πέλει πόνος, ἄχρι καμόντες
εἷς ἕνα δῃώσωνται ἀνὰ κλόνον, ἠὲ καὶ ἄμφω
πότμον ἀναπλήσωσι, πονεύμενοι ἀμφὶς ἄνακτι.
Καὶ τὰ μὲν ἐννεσίῃσι φαεσφόρου Ἠριγενείης
οἰωνοὶ τελέουσι θοοί. Τότε δ' ἄμβροτος Ἠὼς
οὐρανὸν εἰσανόρουσεν ὁμῶς πολυαλδέσιν Ὥραις,
αἵ ῥά μιν οὐκ ἐθέλουσαν ἀνήγαγον ἐς Διὸς οὖδας,
παρφάμεναι μύθοισιν, ὅσοις βαρὺ πένθος ὑπείκει,
καί περ ἔτ' ἀχνυμένην· ἡ δ' οὐ λάθεθ' οἷο δρόμοιο·
δείδιε γὰρ δὴ Ζηνὸς ἄδην ἄλληκτον ἐνιπὴν,
ἐξ οὗ πάντα πέλονται, ὅσ' ὠκεανοῖο ῥέεθρα
ἐντὸς ἔχει, καὶ γαῖα, καὶ αἰθομένων ἕδος ἄστρων.
Τῆς ἄρα Πληϊάδες πρότεραι ἴσαν· ἡ δὲ καὶ αὐτὴ
αἰθερίας ὤϊξε πύλας· ἐκέδασσε δ' ἄρ' αἴγλην.

Non enim indignior *sum* Nereide, ex Jove ipso,
omnia quæ-collustro, omnia ad finem usque perduco.
nequicquam! non enim meam lucem magni-fecit Juppiter.
Ideo tenebras peto; Thetin vero in Olympum evehat
e mari, ut Diis et mortalibus lumen-exhibeat.
At mihi tristis, posthabito cœlo, cordi-est caligo,
ne unquam tui interfectoris circa corpus radios spargam.
Sic querenti promanabant lacrimæ ab immortali vultu,
perenni fluvio similes, et circa mortuum
madebat tellus nigra, condoluitque ambrosia Nox
cum-nata dilecta, et omnia obduxit cœlum astra
caligine et nubibus, faciens gratiam Auroræ.

Cæterum Troes intra urbem erant, propter Memnonem animis] ægri; desiderabant enim una-cum sociis ducem:] nec tamen Argivi admodum lætabantur; verum et ipsi,] in campo cæsos juxta commilitones castris positis, utrumque *agebant*, hasta-clarum enim Achillem laudabant, Antilochumque plangebant, habebant igitur cum gaudio luctum.] Totam autem-noctem vehementer suspirabat flens Aurora, et circa ipsam sparsæ-erant tenebræ; nec ultra animo *suo*] ortus curam-agebat, magnumque odio-habebat Olympum.] Et prope illam plurimum alipedes gemebant equi,] solum fodientes infloridum, quamvis reginam mœstam viderent, magnopere *tamen* appetentes reditum. Juppiter ergo inquietum detonabat iratus, et undique terra concutiebatur valde universa; pavor vero corripuit immortalem Auroram.] Illum (*Memnonem*) statim nigricolores Æthiopes] sepelierunt cum-planctu. Hos Aurora bovinis-oculis] multum lamentantes, strenui ad monumentum filii,] in-aves vertit, aerique dedit ferendos:
quas etiamnum vocant hominum innumeræ gentes
Memnonides; illæ adhuc bustum sui principis
frequentantes plangunt, cinerem superinspergentes
sepulcro, mutuoque-inter-se pugnant certamen
Memnonis in-honorem, qui in Plutonis aula,
aut forte inter beatos in Elysio campo terræ,
exsultat; et animum *suum* solatio-fovet cœlestis Aurora, dum-cernit: illis autem durat certamen, usque-dum post -multum-laboris] altera alteram confecerit dimicando, aut etiam ambæ] fatum expleverint, decertantes pro rege.

Hæc itaque nutu luciferæ Auroræ
aves peragunt citæ. Tunc vero diva Aurora
in cœlum properavit, una cum-almis Horis,
quæ ipsam invitam eduxerunt in Jovis solum,
iis appellantes verbis, quibus gravis luctus cedit,
quamvis adhuc mœstam: sed-tamen non est-oblita sui cursus:] horrebat enim vehementer Jovis rigidas minas,
ex quo omnia existunt, quæ Oceani fluxus
intus complectitur, ac tellus, et flammantium sedes astrorum.] Hanc igitur Pleiades antecesserunt: tum ipsa
ætherias aperuit portas, diffuditque lumen.

ΛΟΓΟΣ Γ.

Αὐτὰρ ἐπεὶ φάος ἦλθεν ἐυθρόνου Ἠριγενείης,
δὴ τότ' ἄρ' Ἀντιλόχοιο νέκυν ποτὶ νῆας ἔνεικαν
αἰχμηταὶ Πύλιοι, μεγάλα στενάχοντες ἄνακτα·
καί μιν ταρχύσαντο παρ' ᾐόσιν Ἑλλησπόντου
πολλὰ μάλ' ἀχνύμενοι· περὶ δ' ἔστενον υἷες ἀρειοὶ
Ἀργείων· πάντας γὰρ ἀμείλιχον ἄμπεχε πένθος
Νέστορι ἦρα φέροντας· ὁ δ' οὐ μέγα δάμνατο θυμῷ.
Ἀνδρὸς γὰρ πινυτοῖο, περὶ φρεσὶ τλήμεναι ἄλγος
θαρσαλέως, καὶ μή τι κατηφιόωντ' ἀκάχησθαι.
Πηλείδης δ' ἑτάροιο χολούμενος Ἀντιλόχοιο,
σμερδαλέον ἐπὶ Τρωσὶ κορύσσετο· τοὶ δὲ καὶ αὐτοί,
καί περ ὑποτρομέοντες ἐυμμελίην Ἀχιλῆα,
τείχεος ἐξεχέοντο μεμαότες, οὕνεκ' ἄρα σφι
Κῆρες ἐνὶ στέρνοισι θράσος βάλον. Ἦ γὰρ ἔμελλον
πολλοὶ ἀνοστήτοιο κατελθέμεν Ἄϊδος εἴσω
χερσὶν ὑπ' Αἰακίδαο δαΐφρονος, ὃς ῥα καὶ αὐτὸς
φθεῖσθαι ὁμῶς ἤμελλε παρὰ Πριάμοιο πόληι.
Αἶψα δ' ἄρ' ἀμφοτέρωθε συνήλυθον εἰς ἕνα χῶρον
Τρώων ἔθνεα πολλὰ μενεπτολέμων τ' Ἀργείων,
μαιμώοντ' ἐς Ἄρηα διεγρομένου πολέμοιο.
Πηλείδης δ' ἐν τοῖσι πολὺν περιδάμνατο λαὸν
δυσμενέων· πάντη δὲ φερέσβιος αἵματι γαῖα
δεύετο, καὶ νεκύεσσι περιστείνοντο ῥέεθρα
Ξάνθου καὶ Σιμόεντος· ὁ δ' ἑσπόμενος κεράιζε
μέχρις ἐπὶ πτολίεθρον, ἐπεὶ φόβος ἄμφεχε λαούς.
Καί νύ κε πάντας ὄλεσσε, πύλας δ' εἰς οὖδας ἔρεισε
θαιρῶν ἐξερύσας, ἢ καὶ συνέαξεν ὀχῆας
δόχμιος ἐγχριμφθείς, Δαναοῖσι δὲ θῆκε κέλευθον
ἐς Πριάμοιο πόληα, διέπραθε δ' ὄλβιον ἄστυ,
εἰ μή οἱ μέγα Φοῖβος ἀνηλέϊ χώσατο θυμῷ,
ὡς ἴδεν ἄσπετα φῦλα δαϊκταμένων ἡρώων.
Αἶψα δ' ἀπ' Οὐλύμποιο κατήλυθε θηρὶ ἐοικώς,
ἰοδόκην ὤμοισιν ἔχων καὶ ἀναλθέας ἰούς·
ἔστη δ' Αἰακίδαο καταντίον· ἀμφὶ δ' ἄρ' αὐτοῦ
γωρυτὸς καὶ τόξα μέγ' ἴαχεν· ἐκ δέ οἱ ὄσσων
πῦρ ἄμοτον μάρμαιρε· ποσὶν δ' ὑπεκίνυτο γαῖα·
σμερδαλέον δ' ἤϋσε μέγας θεός, ὄφρ' Ἀχιλῆα
τρέψῃ ἀπὸ πτολέμοιο, θεοῦ ὄπα ταρβήσαντα
θεσπεσίην, καὶ Τρῶας ὑπὲκ θανάτοιο σαώσῃ·
Χάζεο, Πηλείδη, Τρώων ἑκάς, οὐ γὰρ ἔοικεν,
εἰσέτι δυσμενέεσσι κακὰς ἐπὶ κῆρας ἰάλλειν,
μή σε καὶ ἀθανάτων τις ἀπ' Οὐλύμποιο χαλέψῃ.
Ὣς ἄρ' ἔφη· ὁ δ' ἄρ' οὔτι θεοῦ τρέσεν ἄμβροτον αὐδήν·
ἤδη γάρ οἱ Κῆρες ἀμείλιχοι ἀμφεποτῶντο·
τοὔνεκ' ἄρ' οὐκ ἀλέγιζε θεοῦ· μέγα δ' ἴαχεν ἄντην·
Φοῖβε, τίη με θεοῖσι, καὶ οὐ μεμαῶτα, μάχεσθαι
ὀτρύνεις, Τρώεσσιν ὑπερφιάλοισιν ἀμύνων;
Ἤδη γὰρ καὶ πρόσθε μ' ἀποστρέψας ὀρυμαγδοῦ
ἤπαφες, ὁππότε πρῶτον ὑπεξεσάωσας ὀλέθρου
Ἕκτορα, τῷ μέγα Τρῶες ἀνὰ πτόλιν εὐχετόωντο.
Ἀλλ' ἀναχάζεο τῆλε καὶ ἐς μακάρων ἕδος ἄλλων
ἔρχεο, μή σε βάλοιμι καὶ ἀθάνατόν περ ἐόντα.

LIBER III.

Cum igitur jubar venisset pulchre-sedentis Auroræ,
protinus Antilochi cadaver ad naves portarunt
bellatores Pylii, magnopere plangentes ducem:
atque ipsi justa-fecerunt in littore Hellesponti,
maximo mœrore-perculsi: et circumquaque suspirabant
strenui filii Argivum; omnes enim acerbus occupavit luctus, Nestori officium præstantes, qui non prorsus frangebatur animo. Viri enim prudentis est, animo sustinere
dolorem fortiter, nec afflictum se-excruciare.
Pelides autem propter-sodalem ira-inflammatus Antilochum, horrendum in Trojanos sese-accingebat, qui et ipsi,
quamvis exhorrescentes hasta-clarum Æacidem,
e-mœnibus erumpebant proni, quoniam ipsis
Deæ-fatales in pectora confidentiam injecerant. Namque
erant plurimi ad-expertem-reditus descensuri Orcum
sub manibus Æacidæ bellipotentis, qui tamen et ipse
interiturus simul erat juxta Priami urbem.
Statim igitur utrinque congrediebantur in unum locum
Trojanorum gentes variæ et bellicosorum Argivum,
magno-fervore-ruentes ad Martem excitati prœlii.
Pelides autem inter hos numerosam prodigabat turbam
hostium, et undique ferax sanguine tellus
madescebat, et cadaveribus arctabantur fluenta
Xanthi et Simoentis. Ille autem persequens strages-faciebat
usque ad urbem, quia pavor occuparat homines.
Et forte omnes exitio-tradidisset, portasque in solum dejecisset cardinibus emotis, aut etiam perfregisset repagula,
ex-obliquo incumbens, Danaisque patefecisset viam
in Priami urbem, et expugnasset opulentam civitatem;
nisi in-eum graviter Phœbus implacabili exarsisset ira,
ut vidit densas cohortes leto-sterni heroum.
Quare extemplo de cœlo descendit feræ in-morem,
pharetram humeris gestans et immedicabiles sagittas,
et stetit Æacidæ ex-adverso; circumque eum
corytus et arcus immane resonabant; ex illius vero oculis
ignis magna-vi emicabat, et sub pedibus movebatur terra,
horrendumque clamavit potens deus, ut Achillem
averteret e bello, dei voce consternatum
prodigiosa, et Troas e pernicie liberaret:
Subducito-te, Pelida, a-Trojanis procul, non enim æquum
est, amplius hostibus sævam mortem afferre,
ne te vel deorum quispiam ex Olympo pessumdet.
Sic dixit; at ille nihil dei extimuit immortalem vocem:
jam enim ipsum Parcæ severæ circumvolabant.
Ideo non curabat deum, sed valde vociferatus-est contra:
Phœbe, cur me cum-diis, etiam invitum, ad-pugnandum
lacessis, Trojanis fœdifragis auxilium-præstans?
Jam enim et antea me avertens a-conflictu
fefellisti, quando primum subtraheres exitio
Hectorem, quo magnifice Troes in urbe se-jactabant.
Sed abscede hinc et ad deorum sedem cæterorum
te-recipe, ne te feriam quantumvis immortalem.

Ὣς εἰπὼν ἀπάτερθε θεὸν λίπε, βῆ δ' ἐπὶ Τρῶας,
οἵ ῥ' ἔτι που φεύγεσκον ἀεὶ προπάροιθε πόληος,
καὶ τοὺς μὲν σεύεσκεν· ὁ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Φοῖβος, ἑὸν κατὰ θυμὸν ἔπος ποτὶ τοῖον ἔειπεν·
Ὢ πόποι, ὡς ὅγε μαίνετ' ἀεὶ φρένας· ἀλλά οἱ οὔτι
οὔτ' αὐτὸς Κρονίδης ἔτ' ἀνέξεται, οὔτε τις ἄλλος,
οὕτω μαργαίνοντα καὶ ἀντιόωντα θεοῖσιν.
Ὣς ἄρ' ἔφη, καὶ ἄϊστος ὁμοῦ νεφέεσσιν ἐτύχθη·
ἠέρα δ' ἑσσάμενος στυγερὸν προέηκε βέλεμνον·
καί ἑ θοῶς οὔτησε κατὰ σφυρόν· αἶψα δ' ἀνίαι
δῦσαν ὑπὸ κραδίην· ὁ δ' ἀνετράπετ' ἠΰτε πύργος,
ὅν τε βίη τυφῶνος ὑποχθονίῃ στροφάλιγγι
ῥήξῃ ὑπὲρ δαπέδοιο, κραδαινομένης βαθὺ γαίης·
ὣς ἐκλίθη δέμας ἠῢ κατ' οὔδεος Αἰακίδαο·
ἀμφὶ δὲ παπτήνας ὀλοὸν καὶ ἄκρατον ὁμόκλα·
Τίς νύ μοι αἰνὸν ὀϊστὸν ἐπιπροέηκε κρυφηδόν;
Στήτω μευ κατέναντα, καὶ εἰς ἀναφανδὸν ἱκέσθω,
ὄφρα κέ οἱ μέλαν αἷμα καὶ ἔγκατα πάντα χυθείη
ἡμετέρῳ περὶ δουρὶ, καὶ Ἄϊδα λυγρὸν ἵκηται·
οἶδα γὰρ ὡς οὔτις με δυνήσεται, ἐγγύθεν ἐλθὼν,
ἐγχείῃ δαμάσασθαι ἐπιχθονίων ἡρώων,
οὐδ' εἴπερ στέρνοισι μάλ' ἄτρομον ἦτορ ἔχῃσιν,
ἄτρομον ἦτορ ἔχῃσι λίην, καὶ χάλκεος εἴη.
Κρύβδα δ' ἀνάλκιδες αἰὲν ἀγαυοτέρους λοχόωσι·
τῷ μευ ἴτω κατέναντα, καὶ εἰ θεὸς εὔχεται εἶναι
χωόμενος Δαναοῖς, ἐπειή νύ μοι ἦτορ ἔολπεν
ἔμμεναι Ἀπόλλωνα λυγρῇ κεκαλυμμένον ὄρφνῃ.
Ὣς γάρ μοι τοπάροιθε φίλη διεπέφραδε μήτηρ,
κείνου ὑπαὶ βελέεσσιν ὀϊζυρῶς ἀπολέσθαι
Σκαιῇς ἀμφὶ πύλῃσι· τὸ δ' οὐχ ἀνεμώλιον ἦεν.
Ἦ, καὶ λυγρὸν ὀϊστὸν ἀμειλίκτοισι χέρεσσιν
ἕλκεος ἐξείρυσσεν ἀναλθέος, ἐκ δέ οἱ αἷμα
ἔσσυτο τειρομένου· πότμος δέ οἱ ἦτορ ἐδάμνα·
ἀσχαλόων δ' ἔρριψε βέλος· τὸ δ' ἄρ' αἶψα κιοῦσαι
πνοιαὶ ἀνηρείψαντο, δόσαν δέ μιν Ἀπόλλωνι
ἐς Διὸς οἰχομένῳ ζάθεον πέδον· οὐ γὰρ ἐῴκει
ἄμβροτον ἰὸν ὀλέσθαι ἀπ' ἀθανάτοιο μολόντα.
Δεξάμενος δ' ὅγε κραιπνὸς ἀφίκετο μακρὸν Ὄλυμ-[πον,
ἄλλων ἀθανάτων ἐς ὁμήγυριν, ἧχι μάλιστα
πανσυδίῃ ἀγέροντο μάχην ἐσορώμενοι ἀνδρῶν·
οἱ μὲν γὰρ Τρώεσσι μενοίνεον εὖχος ὀρέξαι,
οἱ δ' ἄρ' Ἀχαιοῖσιν, τοὶ δ' αὖ δίχα μητιόωντες
δέρκοντο κτείνοντας ἀνὰ μόθον ὀλλυμένους τε.
Τὸν δ' ὁπότ' εἰσενόησε Διὸς πινυτὴ παράκοιτις,
αὐτίκα μιν νείκεσσεν ἀνιηροῖς ἐπέεσσιν·
Φοῖβε, τίη τόδ' ἔρεξας ἀτάσθαλον ἤματι τῷδε;
λησάμενος κείνοιο, τὸν ἀθάνατοι γάμον αὐτοὶ
ἀντιθέῳ Πηλῆϊ συνάρσαμεν, ἐν δὲ σὺ μέσσοις
δαινυμένοις ἤειδες, ὅπως Θέτιν ἀργυρόπεζαν
Πηλεὺς ἤγετ' ἄκοιτιν, ἁλὸς μέγα λαῖτμα λιποῦσαν,
καί σευ φορμίζοντος ἐπήϊεν ἀθρόα φῦλα,
θῆρές τ' οἰωνοί τε βαθυσκόπελοί τε κολῶναι
καὶ ποταμοὶ, καὶ πᾶσα βαθύσκιος ἤϊεν ὕλη·
ἀλλὰ τά γ' ἐξελάθου, καὶ ἀμείλιχον ἔργον ἔρεξας

Sic fatus seorsum deum liquit et tetendit in Trojanos,
qui adhuc fugiebant semper ante urbem:
hos itaque propulit. At excandescens in pectore
Phœbus, suum ad animum hæc verba locutus-est:
O Dii! quantum hic furit perpetuo mente: at eum minime,] nec ipse Juppiter deinceps sustinebit, nec quisquam
alius,] adeo dum-luxuriat et adversatur diis.
Sic ait, et non-amplius-visus inter nubes erat,
aeraque prætendens inimicum emisit telum,
et eum continuo sauciavit in-malleolum-pedis; statimque
ægritudo] subiit cor, et subversus-est, velut turris,
quam violentia typhonis subterranea vertigine
evertit supra solum succussa alte tellure:
sic prostratum-fuit humi corpus pulcrum Æacidæ;
et circumspiciens misere et immoderate clamavit:
Quis in-me pestiferum jaculum contorsit occulte?
Stet mihi cominus et aperte aggrediatur,
ut ipsi ater cruor et viscera cuncta effundantur
nostra hasta, et ad-Orcum tristem migret:
scio enim, quod nemo me possit, cominus adortus,
hasta superare in-terris-degentium heroum,
ne si *quis* quidem in-pectore satis intrepidum cor habeat.
intrepidum cor habeat omnino, atque æreus sit.
At furtim imbelles semper fortiores insidiis-excipiunt:
ideo mihi procedat obviam, etiamsi deum glorietur se
-esse] infensum Danais: nam mihi animus auguratur
esse Apollinem, horrida involutum caligine.
Sic enim mihi olim dilecta prædixit mater,
illius jaculis calamitose me-periturum-esse
Scæam ad portam: neque hoc cassum fuit.
Dixit et letalem sagittam duris manibus
e-vulnere evulsit immedicabili, et ejus sanguis
erupit cruciati, letumque ejus cor subegit:
magna-indignatione igitur abjecit telum, quod illico advolantes] auræ corripuerunt reddideruntque Apollini,
in Jovis remeanti sacrum campum: non enim fas-erat,
ut-immortale jaculum interiret, a Deo profectum.
Quo accepto is festinus rediit in-spatiosum Olympum
aliorum deorum ad concionem, ubi potissimum
ad-unum-omnes coibant, pugnam spectatum mortalium:
alii enim Trojanis studebant gloriam præbere,
alii contra Achivis, alii etiam dubie sentientes
intuebantur trucidantes in acie et occumbentes.
Illum (*Phœbum*) vero ubi conspexit Jovis prudens uxor,
statim eum objurgavit molestis verbis:
Phœbe, quare istud patrasti scelus hoc die?
oblitus illius connubii, quod dii ipsi
semideo Peleo conciliavimus, tuque in medio
epulantium cantabas, quo-pacto Thetin argenteis-pedibus
Peleus duceret uxorem, maris vastum gurgitem cum-deseruisset,] et te citharam-feriente accurrebant densa agmina,
bestiæ volucresque et profundis-scopulis montes
et fluvii, et omnis opaca veniebat silva:
ed hæc oblitus-es, et crudele facinus peregisti

κτείνας ἀνέρα δῖον, ὅν, ἀθανάτοισι σὺν ἄλλοις
νέκταρ ἀποσπένδων, ἠρήσαο παῖδα γενέσθαι
ἐκ Θέτιδος Πηλῆϊ· τεῆς δ' ἐπελήσαο ἀρῆς,
ἦρα φέρων λαοῖσι κραταιοῦ Λαομέδοντος,
ᾧ πάρα βουκολέεσκες· ὁ δ' ἀθάνατόν περ ἐόντα,
θνητὸς ἐών, ἀκάχιζε· σὺ δ' ἀφρονέων ἐνὶ θυμῷ
ἦρα φέρεις Τρώεσσι, λελασμένος ὅσσ' ἐμόγησας.
Σχέτλιος, οὐ νύ τοι οἶδας ἐνὶ φρεσὶ λευγαλέῃσιν,
οὔθ' ὅτις ἀργαλέος καὶ ἐπάξιος ἄλγεα πάσχειν,
οὔθ' ὅτις ἀθανάτοισι τετιμένος· ἦ γὰρ Ἀχιλλεὺς
ἤπιος ἄμμι τέτυκτο καὶ ἐξ ἡμέων γένος ἦεν.
Ἀλλ' οὐ μὰν Τρώεσσιν ἐλαφρότερον πόνον οἴω
ἔσσεσθ' Αἰακίδαο δεδουπότος· οὕνεκ' ἄρ' αὐτοῦ
υἱὸς ἀπὸ Σκύροιο θοῶς ἐς ἀπηνέα δῆριν
Ἀργείοις ἐπαρωγὸς ἐλεύσεται, εἴκελος ἀλκὴν
πατρὶ ἑῷ· πολέσιν δὲ κακὸν δηΐοισι πελάσσει.
Ἦ νύ σοι οὐ Τρώων ἐπιμέμβλεται, ἀλλ' Ἀχιλῆϊ
ἀμφ' ἀρετῆς ἐμέγηρας, ἐπεὶ πέλε φέρτατος ἀνδρῶν.
Νήπιε, πῶς ἔτι σοῖσιν ἐν ὄμμασι Νηρηΐνην
ὄψει ἐν ἀθανάτοισι Διὸς ποτὶ δώματ' ἰοῦσαν,
ἥ σε πάρος κύδαινε καὶ ὡς φίλον ἔδρακεν υἷα;
Ἦ, μέγα νεικείουσα πολυσθενέος Διὸς υἷα,
Ἥρη ἀκηχεμένη· ὁ δ' ἄρ' οὐκ ἀπαμείβετο μύθῳ·
ἅζετο γὰρ παράκοιτιν ἑοῦ πατρὸς ἀκαμάτοιο·
οὐδέ οἱ ὀφθαλμοῖσι καταντίον εἰσοράασθαι
ἔσθενεν, ἀλλ' ἀπάνευθε θεῶν ἄλληκτον ἐόντων
ἧστο κατωπιόων· ἄμοτον δέ οἱ ἐσκύζοντο
ἀθάνατοι κατ' Ὄλυμπον, ὅσοι Δαναοῖσιν ἄμυνον·
ὅσσοι δ' αὖ Τρώεσσι μενοίνεον εὖχος ὀρέξαι,
κεῖνοί μιν κύδαινον, ἐνὶ φρεσὶ καγχαλόωντες,
κρύβδ' Ἥρης· πάντες γὰρ ἐναντίον Οὐρανίωνες
ἅζοντ' ἀσχαλόωσαν. Ὁ δ' οὔπω λήθετο θυμοῦ
Πηλείδης· ἔτι γάρ οἱ ἀμαιμακέτοις ἐνὶ γυίοις
ἔζεεν αἷμα κελαινὸν ἐελδομένοιο μάχεσθαι·
οὐδ' ἄρα οἱ Τρώων τις ἐτόλμα ἐγγὺς ἱκέσθαι
βλημένου, ἀλλ' ἀπάνευθεν ἀφέστασαν, εὖτε λέοντος
ἀγρόται ἐν ξυλόχοισι τεθηπότες, ὅν τε βάλῃσι
θηρητήρ· ὁ δ' ἄρ' οὔτι, πεπαρμένος ἦτορ ἄκοντι,
λήθεται ἠνορέης, ἀλλὰ στρέφετ' ἄγριον ὄμμα,
σμερδαλέον βλοσυρῇσιν ὑπαὶ γενύεσσι βεβρυχώς·
ὣς ἄρα Πηλείδαο χόλος καὶ λοίγιον ἕλκος
θυμὸν ἄδην ὀρόθυνε· θεοῦ δέ μιν ἰὸς ἐδάμνα·
ἀλλὰ καὶ ὣς ἀνόρουσε καὶ ἔνθορε δυσμενέεσσι
πάλλων ὄβριμον ἔγχος· ἕλεν δ' Ὀρυθάονα δῖον,
Ἕκτορος ἐσθλὸν ἑταῖρον, ἐπὶ κροτάφοιο τυχήσας·
οὐ γάρ οἱ κόρυς ἔσχε μακρὸν δόρυ, καὶ μεμαῶτος,
ἀλλὰ δι' αὐτῆς αἶψα καὶ ὀστέου ἔνδον ἵκανεν
ἶνας ἐς ἐγκεφάλοιο· κέασσε δέ οἱ θαλερὸν κῆρ.
Ἱππόνοον δ' ἐδάμασσε, κατ' ὀφρύος ἔνδον ἐρείσας
ἐς θέμεθλ' ὀφθαλμοῖο· χαμαὶ δέ οἱ ἔκπεσε γλήνη
ἐκ βλεφάρων· ψυχὴ δὲ κατ' Ἄϊδος ἐξεποτήθη.
Ἀλκιθόου δ' ἄρ' ἔπειτα διὰ γναθμοῖο περήσας
γλῶσσαν ὅλην ἀπέκερσεν· ὁ δ' ἐς πέδον ἤριπε γαίης
ἐκπνείων· αἰχμὴ δὲ δι' οὔατος ἐξεφαάνθη.

interficiens hominem divinum, quem, Diis cum aliis
nectar libans, precatus-es filium nasci
ex Thetide Peleo, tuique oblitus-es voti,
opem dum-fers populis validi Laomedontis,
apud quem armenta-pavisti, isque *te* immortalem
mortalis ærumnis-affecit; tu tamen insipiens animo
opem fers Trojanis, oblitus quanta perpessus-sis.
Improbe, nondum cognitum-habes mente vesana,
neque quis impius et dignus tristia pati,
neque quis apud Deos honorabilis *sit:* enim vero Achilles
benignus in-nos erat, et a nobis genus ducebat.
Attamen non propterea Trojanis levius negotium arbitror
fore, Æacida occiso: nam hujus
natus e Scyro propediem ad immite bellum
Argivis præsidio veniet, æquiparans robore
patrem suum, et plurimis malum hostibus afferet.
Nec adeo tibi Trojanorum cura-est, verum Achilli
virtutem invidisti, quod esset præstantissimus hominum
Stulte, quomodo in-posterum tuis oculis Thetim
aspicies, inter immortales Jovis ad ædes euntem,
quæ te prius coluit et tanquam carum suspexit filium?
Dixit, magnis probris-incessens præpotentis Jovis natum,
Juno animi-cruciata. At is nullo respondit verbo,
reverebatur enim uxorem sui patris invicti,
nec eam oculis exadversum obtueri
potuit, sed seorsum a-Diis æternis
resedit, dejectis-humi-oculis. Graviter vero illi succense-
bant] dii in Olympo, qui Danaos tutabantur;
qui vero Trojanis cupiebant palmam tradere,
ii ipsum laudabant, intimo pectore lætantes,
clam Junone: cuncti enim palam Cœlites
formidabant iratam. At nondum remiserat ferociam
Pelides; nam adhuc ejus vastis in membris
fervebat sanguis ater, cupientis pugnare:
nec ad-ipsum Trojanorum ullus audebat propius accedere
prostratum, sed procul absistebant, velut a-leone
rustici in silva perplexi, quem perculit
venator; isque nequaquam, transfixus cor venabulo,
obliviscitur fortitudinis, sed torquet truculentos oculos,
tremendum inmani rictu infrendens:
ita Pelidæ et ira et exitiale vulnus
animum acriter stimulabant, sed Dei eum sagitta deprime-
bat;] nihilominus tamen raptim-surrexit et incurrit in ho-
stes] quassans validam hastam; confoditque Orythaona exi-
mium,] Hectoris probatum socium, ad tempora forte-ictum:
non enim ipsius cassis impediit oblongam hastam quamlibet
cupientis,] sed per eam subito etiam trans ossa penetravit
in fibras cerebri, et diffidit ei floridum cor.
Hipponoum dein profligavit, circa supercilium *hasta* in
fixa] in fundamenta oculi, humique ipsi decidit pupula
e palpebris, et anima ad Orcum evolavit.
Alcithoi posthac mala transverberata
linguam totam præcidit, qui in solum procubuit terræ
exspirans; mucroque per aurem eminebat.

Καὶ τοὺς μὲν κατέπεφνε, καταντίον ἀΐσσοντας,
δῖος ἀνήρ· πολλῶν δὲ καὶ ἄλλων θυμὸν ἔλυσε
φευγόντων· ἔτι γάρ οἱ ἐνὶ φρεσὶν ἔζεεν αἷμα.
Ἀλλ' ὅτε οἱ ψύχοντο μέλη, καὶ ἀπήϊε θυμὸς,
ἔστη ἐρεισάμενος μελίῃ ἔπι. Τοὶ δ' ἐφέβοντο
πανσυδίῃ τρομέοντες, ὁ δέ σφισι τοῖον ὁμόκλα·
Ἆ δειλοὶ Τρῶες καὶ Δάρδανοι, οὐδὲ θανόντος
ἔγχος ἐμὸν φεύξεσθε ἀμείλιχον, ἀλλ' ἅμα πάντες
[illegible] τίσετ' ὄλεθρον Ἐριννύσιν ἡμετέρῃσιν.
Ὣς φάτο· τοὶ δ' ἀΐοντες ὑπέτρεσαν, εὖτ' ἐν ὄρεσσι
φθόγγον ἐριβρύχοιο νεβροὶ τρομέωσι λέοντος,
δείλαιοι, μέγα θῆρα πεφυζότες· ὣς ἄρα λαοὶ
Τρώων ἱπποπόλων ἠδ' ἀλλοδαπῶν ἐπικούρων
ὑστατίην Ἀχιλῆος ὑποτρομέεσκον ὁμοκλὴν,
ἐλπόμενοί μιν ἔτ' ἔμμεν' ἀνούτατον· ὃς δ' ὑπὸ πότμῳ
θυμὸν τολμήεντα καὶ ὄβριμα γυῖα βαρυνθεὶς
ἤριπεν ἀμφὶ νέκυσσιν, ἀλίγκιος οὔρεϊ μακρῷ·
γαῖα δ' ὑπεπλατάγησε, καὶ ἄσπετον ἔβραχε τεύχη,
Πηλείδαο πεσόντος ἀμύμονος. Οἱ δ' ἔτι θυμῷ,
δήϊον εἰσορόωντες, ἀπειρέσιον τρομέεσκον.
Ὡς δ' ὅτε θῆρα δαφοινὸν, ὑπ' αἰζηοῖσι δαμέντα,
μῆλα περιτρομέουσι, περὶ σταθμὸν ἀθρήσαντα
βλημένον, οὐδέ οἱ ἄγχι παρελθέμεναι μεμάασιν,
ἀλλὰ καὶ ὡς ζώοντα, νέκυν περιπεφρίκασιν·
ὣς Τρῶες φοβέοντο καὶ οὐκ ἔτ' ἐόντ' Ἀχιλῆα.
Ἀλλὰ καὶ ὣς ἐπέεσσι Πάρις μέγα θαρσύνεσκε
λαὸν, ἐπεὶ φρεσὶν ᾗσιν ἐγήθεεν· ἦ γὰρ ἐώλπει
Ἀργείους παύσασθαι ἀμαιμακέτοιο κυδοιμοῦ,
Πηλείδαο πεσόντος· ὁ γὰρ Δαναοῖς πέλεν ἀλκή·
Ὦ φίλοι, εἰ ἐτεόν μοι ἀρήγοιτ' εὐμενέοντες,
σήμερον ἠὲ θάνωμεν ὑπ' Ἀργείοισι δαμέντες,
ἠὲ σαωθέντες ποτὶ Ἴλιον εὐρύσωμεν
ἵπποις Ἑκτορέοισι δεδουπότα Πηλείωνα,
οἵ μ' ἐς δηϊοτῆτα, κασιγνήτοιο θανόντος,
ἀχνύμενοι φορέουσιν, ἑὸν ποθέοντες ἄνακτα.
Τοῖς εἴ πως ἐρύσαιμεν Ἀχιλλέα δῃωθέντα,
ἵπποις μὲν μέγα κῦδος ὀρέξομεν, ἠδὲ καὶ αὐτῷ
Ἕκτορι, εἴ γε τίς ἐστι κατ' Ἄϊδος ἀνθρώποισιν
ἢ νόος, ἠὲ θέμιστες· ὁ γὰρ κακὰ μήσατο Τρῶας·
καί μιν Τρωϊάδες, μεγάλα φρεσὶ καγχαλόωσαι,
ἀμφιπεριστήσονται ἀνὰ πτόλιν, ἠΰτε λυγραὶ
παρδάλιες τεκέων κεχολωμέναι, ἠὲ λέαιναι,
ἀνδρὶ πολυκμήτῳ μογερῆς ἐπιΐστορι θήρης·
ὣς Τρωαὶ περὶ νεκρὸν ἀποκταμένου Ἀχιλῆος
ἀθρόαι ἀΐξουσιν, ἀπειρέσιον κοτέουσαι·
αἱ μὲν ὑπὲρ τοκέων κεχολωμέναι, αἱ δὲ καὶ ἀνδρῶν,
αἱ δ' ἄρ' ὑπὲρ παίδων, αἱ δὲ γνωτῶν ἐριτίμων.
Γηθήσει δὲ μάλιστα πατὴρ ἐμὸς, ἠδὲ γέροντες,
ὅσσους οὐκ ἐθέλοντας ἐν ἄστεϊ γῆρας ἐρύκει,
τὸν δ' ἡμεῖς εἴπερ τε ποτὶ πτόλιν εἰρύσαντες
θήσομεν οἰωνοῖσιν ἀερσιπέτῃσιν ἐδωδήν.
Ὣς φάτο· τοὶ δὲ νέκυν κρατερόφρονος Αἰακίδαο
ἀμφέβαν ἐσσυμένως, οἵ μιν φοβέοντο πάροιθεν,
Γλαῦκός τ' Αἰνείας τε καὶ ὀβριμόθυμος Ἀγήνωρ

Et hos quidem occidit, ex-adverso irruentes,
divinus vir; sed multorum etiam aliorum vitam solvit
fugientium: adhuc enim ipsi in pectore fervebat sanguis.
At cum ejus frigescerent artus, et absceileret spiritus,
constitit innixus fraxino. Illi (*hostes*) interim fugerunt
confertim trementes; is vero ipsos ita increpuit:
Vah timidi Troes et Dardani! ne exstincti quidem
hastam meam evadetis immitem, sed simul omnes
persolvetis atrocem interitum Furiis nostris.
Sic aiebat; at illi audientes pavitabant, perinde-ac-si
in monte] rugitum frementis hinnuli tremiscant leonis
imbelles, immanem belluam fugientes: sic agmina
Trojanorum equestrium et alienigenarum sociorum
ultimum Achillis expavescebant clamorem,
rati ipsum adhuc non-vulneratum esse, qui fato
animum audacem et fortia membra gravatus,
procubuit inter cadavera, similis monti magno;
tellusque intremuit, magnumque fragorem-dederunt arma,
Pelida cadente eximio. Illi autem adhuc animo,
hostem respicientes, vehementer trepidabant.
Perinde-ac-si belluam cruentam, a juvenibus confectam,
oves circumtrepidant, juxta ovilia ubi-viderint
stratam, nec ad-eam prope accedere audent,
sed etiam tanquam vivam, mortuam exhorrent;
ita Trojani formidabant, etiam non superstitem, Achillem.
Attamen nihilominus dictis Paris non-parum acuebat
exercitum, cum animo suo exultaret; namque sperabat
Argivos quieturos-esse a cruento bello,
Pelida everso. Hic enim Danaum erat columen.
Amici, si vere mihi auxilium-præstatis benevolentes,
hodie aut moriamur ab Argivis debellati,
aut sospites versus Ilium raptemus
equis Hectoreis interemptum Pelidam,
qui me ad certamen, fratre exstincto,
mœsti ferunt, suum desiderantes herum.
Quibus si forte abstraxerimus Achillem cæsum,
equis grande decus conciliabimus, et ipsi
Hectori, si ullus est in Orco mortalibus
sensus jurisve-respectus. Ille enim dira meditatus-fuit
in-Trojanos;] et ipsum Troades, magna animos lætitia-perfusæ,] circumstabunt in urbe, ceu feroces
pantheræ ob-catulos sævientes, vel leænæ,
virum exercitatum, operosæ peritum venationis:
sic Trojanæ circa cadaver confossi Achillis
magna-frequentia confluent ingenti ira-percitæ,
aliæ propter parentes indignatæ, aliæ *propter* maritos,
aliæ etiam super filiis, aliæ *super* honoratis fratribus.
Gaudebit vero maxime pater meus, et seniores,
quos nolentes in urbe senectus retinet.
hunc si nos in urbem tractum
proponemus avibus altivolantibus escam.
Sic ait: illi igitur cadaver fortis Æacidæ
corona-cinxerunt repente, qui eum horruerant antea,
Glaucus et Æneas et firmo-pectore Agenor

ἄλλοι τ' οὐλομένοιο δαήμονες ἰωχμοῖο,
εἰρῦσαι μεμαῶτες ἐς Ἰλίου ἱερὸν ἄστυ.
Ἀλλά οἱ οὐκ ἀμέλησε θεοῖς ἐναλίγκιος Αἴας,
ἀλλὰ θοῶς περίβη· πάντας δ' ἀπὸ δούρατι μακρῷ
ὤθει ἀπὸ νέκυος· τοὶ δ' οὐκ ἀπέληγον ὁμοκλῆς,
ἀλλά οἱ ἀμφεμάχοντο περισταδὸν, ἀίσσοντες
αἰὲν ἐπασσύτεροι, τανυχειλέες εὖτε μέλισσαι,
αἵ ῥά θ' ἑὸν περὶ σίμβλον ἀπειρέσιαι ποτέονται,
ἄνδρ' ἀπαμυνόμεναι, ὁ δ' ἄρ' οὐκ ἀλέγων ἐπιούσας,
κηροὺς ἐκτάμνησι μελίχροας, αἱ δ' ἀχάχονται
καπνοῦ ὑπὸ ῥιπῆς ἠδ' ἀνέρος, ἀλλ' ἄρα καὶ ὣς
ἀντίαι ἀίσσουσιν, ὁ δ' οὐκ ὄθετ', οὐδ' ἄρα βαιόν·
ὣς Αἴας τῶν οὔτι μάλ' ἐσσυμένων ἀλέγιζεν,
ἀλλ' ἄρα πρῶτον ἐνήραθ', ὑπὲρ μαζοῖο τυχήσας,
Μαιονίδην Ἀγέλαον, ἔπειτα δὲ Θέστορα δῖον·
εἷλε δ' ἄρ' Ἀρκύθοον καὶ Ἀγέστρατον ἠδ' Ἀγάνιππον,
Ζωρόν τε Νίσσον τε περικλειτόν τ' Ἐρύμαντα,
ὃς Λυκίηθεν ἵκανεν ὑπαὶ μεγαλήτορι Γλαύκῳ·
ναῖε δ' ὅγ' αἰπεινὸν Μελανίππιον, ἱρὸν Ἀθήνης,
ἀντία Μασσικύτοιο, Χελιδονίης σχεδὸν ἄκρης,
τὴν μέγ' ὑποτρομέουσι τεθηπότες εἰν ἁλὶ ναῦται,
εὖτε περιγνάμπτωσι μάλα στυφελὰς περὶ πέτρας·
τοῦ δ' ἄρ' ἀποφθιμένοιο κλυτὸς πάϊς Ἱππολόχοιο
παχνώθη κατὰ θυμὸν, ἐπεί ῥά οἱ ἔσκεν ἑταῖρος·
καί ῥα θοῶς Αἴαντα κατ' ἀσπίδα πουλυβόειαν
οὔτασεν· ἀλλά οἱ οὔτι διήλασεν ἐς χρόα καλόν·
ῥινοὶ γάρ μιν ἔρυντο βοῶν, καὶ ὑπ' ἀσπίδι θώρηξ,
ὅς ῥά οἱ ἀκαμάτοισι περὶ μελέεσσιν ἀρήρει·
Γλαῦκος δ' οὐκ ἀπέληγεν ἀταρτηροῖο κυδοιμοῦ,
Αἰακίδην Αἴαντα δαμασσέμεναι μενεαίνων,
καί οἱ ἐπευχόμενος μέγ' ἀπείλεεν ἄφρονι θυμῷ·
Αἶαν, ἐπεὶ νύ σε φασὶ μέγ' ἔξοχον ἔμμεναι ἄλλων
Ἀργείων, σοὶ δ' αἰὲν ἔπι φρονέουσι μάλιστα
ἄσπετον, ὡς Ἀχιλῆϊ δαΐφρονι, τῷ σε θανόντι
ποιῶ συνθανέεσθαι ἐπ' ἤματι τῷδε καὶ αὐτόν.
Ὣς ἔφατ' ἀκράαντον ἱεὶς ἔπος· οὐδέ τι ᾔδη,
ὅσσον ἀμείνονος ἀνδρὸς ἐναντίον ἔγχος ἐνώμα.
Τὸν δ' ὑποδερκόμενος προσέφη μενεδήϊος Αἴας·
Ἆ δειλ', οὔτοι οἶδας, ὅσον σέο φέρτερος Ἕκτωρ
ἔπλετ' ἐνὶ πτολέμοισι; μένος δ' ἀλέεινε καὶ ἔγχος
ἡμέτερον· πινυτὸν γὰρ ὁμῶς ἔχε καρτεϊ θυμόν·
σοὶ δ' ἤτοι νόος ἐστὶ ποτὶ ζόφον, ὅς ῥά μοι ἔτλης
ἐς μόθον ἐλθέμεναι, μέγ' ἀμείνονί περ γεγαῶτι.
Οὐ γάρ μευ ξεῖνος πατρώϊος εὔχεαι εἶναι,
οὐδέ με δωτίνῃσι παραιφάμενος πολέμοιο
νόσφιν ἀποστρέψεις, ὡς Τυδέος ὄβριμον υἷα·
ἀλλὰ καὶ εἰ κείνοιο φύγες μένος, οὔ σέ τ' ἐγώ γε
ζωὸν ἀπὸ πτολέμοιο μεθήσομαι ἀπονέεσθαι.
Ἦ ἄλλοισι πέποιθας ἀνὰ κλόνον, οἵ μετὰ σεῖο,
μυίαις οὐτιδανῇσιν ἐοικότες, ἀίσσουσιν
ἀμφὶ νέκυν Ἀχιλῆος ἀμύμονος; ἀλλ' ἄρα καὶ τοῖς
δώσω ἐπεσσυμένοις θάνατον καὶ κῆρας ἐρεμνάς.
Ὣς εἰπὼν Τρώεσσιν ἐνεστρωφᾶτο, λέων ὣς
ἐν κυσὶν ἀγρευτῇσι κατ' ἄγκεα μακρὰ καὶ ὕλην·

atque alii pernicialis periti belli,
abripere *eum* conantes ad Ilii augustam urbem.
Verum eum non neglexit diis æquiparandus Ajax,
quin subito propugnaret : omnes igitur hasta longa
repulit a cadavere, qui tamen non intermiserunt impressionem,] sed ipsum impugnarunt circumquaque, irruentes
subinde densiores, veluti protensis-labiis apes,
quæ suum circa alveare innumeræ volitant,
virum ut-arceant, qui tamen non magnifaciens invadentes,
favos castrat mellitos, atque illæ crucientur
fumi impetu et viri; tamen nihilominus
contra tendunt; is vero nullam *ipsarum* rationem-habet, ne
minimam quidem :] sic Ajax hos irruentes nihili fecit :
sed primum necavit, supra mammam contingens,
Mœonidem Agelaum, et deinceps Thestora divum,
stravitque Arcythoum et Agestratum atque Aganippum,
Zorumque et Nissum prælustremque Erymantem,
qui ex-Lycia venerat sub (*duce*) magnanimo Glauco;
accolebat autem is celsum Melanippium, fanum Minervæ,
e-regione Masicyti, Chelidonium juxta promontorium,
quod magnopere formidant attoniti in mari nautæ,
quando inflectunt *naves* asperrimas circum petras :
hoc itaque extincto, illustris filius Hippolochi
mœrore-diriguit animi; nam ejus erat contubernalis;
et protinus Ajacis scutum e-multis-boum-coriis-confectum
verberavit, sed non impegit ejus in corpus venustum;
tergora enim illum tutabantur boum et sub clypeo thorax,
qui ejus indefessis membris circumhærebat.
Glaucus vero non destitit a-nocivo conflictu,
Æacidam Ajacem debellare contendens,
et ipsi glorians admodum minabatur insipienti animo :
Ajax, quandoquidem te ferunt valde excellere præ-aliis
Argivis, et ob te semper superbiunt potissimum
supra-modum, non-minus-quam Achillem bella-edoctum,
cum-quo mortuo te] faciam mori hoc die et ipsum.
Sic loquebatur irritum edens verbum, nec perpendebat,
quanto superiorem contra virum hastam vibraret.
Quem limis-intuitus-oculis, *sic* compellavit fortis Ajax :
O miser, nonne cognitum-habes, quanto te potior Hector
fuerit in bello? et-tamen vim subterfugit et hastam
nostram; prudentem enim conjunxerat cum virtute mentem;] at tibi sane animus tendit ad tenebras, qui mihi non
-vereris] in certamen venire, quamvis longe præstantior
sim.] Non enim mei hospes patris jactas te-esse,
nec me muneribus demulsum a-bello
procul avertes, ut Tydei fortem natum :
sed, etsi illius effugisti vim, non tamen te ego
vivum ex prælio sinam redire.
An aliis confidis in acie, qui tecum,
muscis vilibus comparandi, vagantur
circa cadaver Achillis laudati? sed et hos
donabo, si-appropinquent, morte et Parcis nigris.
Sic fatus inter Trojanos se-vertebat, tanquam leo
inter canes venaticos per convalles longas et silvam;

ἤλυθέ οἱ κατέναντα χολούμενος Ἀντιλόχοιο
ἠδ' ἄλλων κταμένων. Ὁ δ' ἄρ' εἵλετο χείρεσι πέτρην,
τήν ῥα βροτοὶ θέσαν οὖρον ἐϋστάχυος πεδίοιο,
καὶ βάλεν ἀκαμάτοιο κατ' ἀσπίδα Πηλείωνος
δῖος ἀνήρ· ὁ δ' ἄρ' οὔτι τρέσας περιμήκεα πέτρην,
αὐτίκα οἱ σχεδὸν ἦλθε, μακρὸν δόρυ πρόσθε τιταίνων,
πεζὸς, ἐπεί ῥά οἱ ἵπποι ἔσαν μετόπισθε κυδοιμοῦ·
καί οἱ δεξιὸν ὦμον ὑπὲρ σάκεος στυφέλιξεν·
ὃς δὲ, καὶ οὐτάμενος, ἀταρβέϊ μαίνετο θυμῷ,
τύψε δ' ἄρ' Αἰακίδαο βραχίονα δουρὶ κραταιῷ·
τοῦ δ' ἐχύθη φίλον αἷμα, χάρη δ' ἄρ' ἐτώσιον ἥρως,
καί μιν ἄφαρ προσέειπεν ὑπερφιάλοις ἐπέεσσιν·
Νῦν σ' ὀΐω μόρον αἰνὸν ἀναπλήσειν ὑπ' ὀλέθρῳ,
χερσὶν ἐμῇσι δαμέντα, καὶ οὐκ ἔτι μῶλον ἀλύξαι.
Σχέτλιε, τίπτε σὺ Τρῶας ἀνηλεγέως ὀλέεσκες,
πάντων εὐχόμενος πολὺ φέρτερος ἔμμεναι ἀνδρῶν,
μητρός τ' ἀθανάτης Νηρηΐδος; Ἀλλά σοι ἤδη
ἤλυθεν αἴσιμον ἦμαρ, ἐπεὶ θεόθεν γένος εἰμὶ,
Ἠοῦς ὄβριμος υἱὸς, ὃν ἔκποθι λειριόεσσαι
Ἑσπερίδες θρέψαντο παρὰ ῥόον ὠκεανοῖο.
Τοὔνεκά σευ καὶ δῆριν ἀμείλιχον οὐκ ἀλεείνω,
εἰδὼς μητέρα δῖαν, ὅσον προφερεστέρη ἐστὶν
Νηρηΐδος, τῆς αὐτὸς ἐπεύχεαι ἔκγονος εἶναι.
Ἡ μὲν γὰρ μακάρεσσι καὶ ἀνθρώποισι φαείνει·
τῇ ἔπι πάντα τελεῖται ἀτείρεος ἔνδον Ὀλύμπου
ἐσθλά τε καὶ κλυτὰ ἔργα, τά τ' ἀνδράσι γίνετ' ὄνειαρ·
ἡ δ' ἐν ἁλὸς κευθμῶσι καθημένη ἀτρυγέτοισιν,
ναίει δμῶς κήτεσσι, μετ' ἰχθύσι κυδιόωσα,
ἄπρηκτος καὶ ἄϊστος· ἐγὼ δέ μιν οὐκ ἀλεγίζω,
οὐδέ μιν ἀθανάτῃσιν ἐπουρανίῃσιν ἐΐσκω.
Ὣς φάτο. Τὸν δ' ἐνένισπε θρασὺς πάϊς Αἰακίδαο·
Ὦ Μέμνον, πῇ νῦν σε κακαὶ φρένες ἐξορόθυναν
ἐλθέμεν ἀντί' ἐμεῖο καὶ ἐς μόθον ἰσοφαρίζειν;
ὅς σέο φέρτερός εἰμι βίῃ γενεῇ τε φυῇ τε
Ζηνὸς ὑπερθύμοιο λαχὼν ἀριδείκετον αἷμα,
καὶ σθεναροῦ Νηρῆος, ὃς εἰναλίας τέκε κούρας
Νηρηΐδας, τὰς δή ῥα θεοὶ τίουσ' ἐν Ὀλύμπῳ,
πασάων δὲ μάλιστα Θέτιν κλυτὰ μητιόωσαν,
οὕνεκά που Διόνυσον ἑοῖς ὑπέδεκτο μελάθροις,
ὁππότε δειμαίνεσκε βίην ὀλοοῖο Λυκούργου·
ἠδὲ καὶ ὡς Ἥφαιστον, εὔφρονα χαλκεοτέχνην,
δέξατο οἷσι δόμοισιν ἀπ' Οὐλύμποιο πεσόντα·
αὐτόν τ' Ἀργικέραυνον ὅπως ὑπελύσατο δεσμῶν·
τῶν μιμνησκόμενοι πανδερκέες Οὐρανίωνες,
μητέρ' ἐμὴν τίουσι Θέτιν ζαθέῳ ἐν Ὀλύμπῳ.
Γνώσῃ δ' ὡς θεός ἐστιν, ἐπὴν δόρυ χάλκεον εἴσω
ἐς τεὸν ἧπαρ ἵκηται, ἐμῇ βεβλημένον ἀλκῇ.
Ἕκτορα γὰρ Πατρόκλοιο, σὲ δ' Ἀντιλόχοιο χολωθεὶς
τίσομαι· οὐ γὰρ ὄλεσσας ἀνάλκιδος ἀνδρὸς ἑταῖρον.
Ἀλλὰ τί νηπιάχοισιν ἐοικότες ἀφραδέεσσιν,
ἕσταμεν, ἡμετέρων μυθεύμενοι ἔργα τοκήων,
ἠδ' αὐτῶν; Ἐγγὺς καὶ Ἄρης, ἐγγὺς δὲ καὶ ἀλκή.
Ὣς εἰπὼν παλάμῃσι λάβεν πολυμήκετον ἆορ,
Μέμνων δ' αὖθ' ἑτέρωθε, καὶ ὀτραλέως συνόρουσαν·

tetendit contra illum ira-percitus propter-Antilochum, aliosque interfectos. Ille vero corripuit manibus saxum, quem agricolæ posuerant terminum spiciferi ruris, et conjecit invicti in scutum Achillis, divinus vir. Ille tamen nihil abhorrens immane saxum statim ad-eum propius accessit, longam hastam prætendens,] pedes : nam ei equi relicti-erant post aciem : et ipsi dextrum humerum supra scutum perculit. Hic vero, quanquam saucius, intrepido furuit animo, sauciavitque Æacidæ brachium hasta violenta, ex quo emicuit carus sanguis; ideo gestivit nequicquam heros,] atque illum statim compellavit superbis dictis.

Nunc te spero fatum luctuosum oppetiturum morte, manibus meis victum, neque ultra belli-discrimen evasurum.]Improbe, cur tu Trojanos crudeliter exitio-multabas, omnibus jactans *te* multo meliorem esse viris, matreque immortali Nereide *natum*? Sed tibi jam venit fatalis dies, namque a-Diis genus duco, Auroræ strenuus filius, quem procul floridæ Hesperides nutriverunt juxta fluenta Oceani. Ideo tuum etiam certamen immite non evito, sciens, mater diva quanto potior sit Nereide, ex-qua ipse gloriaris *te* natum esse. Illa enim Diis et hominibus lucem-præbet, illa exorta omnia perficiuntur æternum intra Olympum bona et præclara opera, quæ hominibus afferunt utilitatem: hæc autem in Ponti latebris residens infructuosis vitam-degit cum cetis, inter pisces dominans, otiosa et ignobilis : egoque ipsam nihili æstimo, nec eam deabus cælestibus parem-censeo.

Sic ait : hunc contra increpuit audax natus Æacidæ.

Memnon, quorsum nunc te læva mens exagitavit, ut-venias obviam mihi et in acie compares? qui te potentior sum viribus genereque et forma, Jovis fortissimi sortitus nobilem stirpem et potentis Nerei, qui marinas procreavit puellas Nereides, quas etiam Dii honorant in Olympo, ante-omnes vero maxime Thetin præclara consilia-dantem, propterea-quod olim Bacchum suis suscepit laribus, cum expavesceret violentiam crudelis Lycurgi; et quod etiam Vulcanum, ingeniosum æris-artificem, recepit sua domo, Olympo dejectum; ipsumque Tonantem quod solvit e-vinculis : horum memores omnia-lustrantes Dii, matrem meam venerantur Thetin beato in Olympo. Et experieris Deam esse, quando hasta ænea penitus in tuum jecur intraverit, mea percussum virtute. De-Hectore enim ob-Patroclum *sumpsi*, de-te ob-Antilochum iratus] vindictam-sumam : non enim occidisti imbellis viri amicum.] Sed quid infantium more imperitorum stamus, nostrorum verbis-extollentes facinora parentum, *nostra*que ipsorum? Adest Mars; adsit etiam virtus.

Sic fatus manibus corripuit longum ensem, Memnon item ex-alia-parte, et ardenter concurrerunt;

τύπτον δ' ἀλλήλων ἄμοτον, φρεσὶ κυδιόωντες,
ἀσπίδας, ἃς Ἥφαιστος ὑπ' ἀμβροσίῃ κάμε τέχνῃ,
πυκνὰ συναΐσσοντες· ἐπέψαυον δὲ λόφοισιν
ἀλλήλαις ἑκάτερθεν ἐρειδόμεναι τρυφάλειαι. [τος,
Ζεὺς δὲ μέγ' ἀμφοτέροισι φίλα φρονέων βάλε κάρ-
τεῦξε δ' ἄρ' ἀκαμάτους καὶ μείζονας, οὐδὲν ὁμοίους
ἀνδράσιν, ἀλλὰ θεοῖσιν· Ἔρις δ' ἐπεγήθεεν ἀμφοῖν.
Οἵ δ' αἰχμὴν μεμαῶτες ἄφαρ χροὸς ἐντὸς ἐλάσσαι,
μεσσηγὺς σάκεός τε καὶ ὑψιλόφου τρυφαλείης,
πολλάκις ἰθύνεσκον ἑὸν μένος· ἄλλοτε δ' αὖτε
βαιὸν ὑπὲρ κνημῖδος, ἔνερθε δὲ δαιδαλέοιο
θώρηκος, βριαροῖσιν ἀρηρότος ἀμφὶ μελέσσιν,
ἄμφω ἐπειγόμενοι· περὶ δέ σφισιν ἄμβροτα τεύχη
ἀμφ' ὤμοις ἀράβησε· βοὴ δ' ἵκητ' αἰθέρα δῖον
Τρώων Αἰθιόπων τε καὶ Ἀργείων ἐριθύμων,
μαρναμένων ἑκάτερθε· κόνις δ' ὑπὸ ποσσὶν ὀρώρει
ἄχρις ἐς οὐρανὸν εὐρὺν, ἐπεὶ μέγα κίνυτο ἔργον.
Εὖτ' ὁμίχλη κατ' ὄρεσφιν ὀρινομένου ὑετοῖο,
ὁππότε δὴ κελάδοντες ἐνιπλήθονται ἔναυλοι
ὕδατος ἐσσυμένοιο, βρέμει δ' ἄρα πᾶσα χαράδρη
ἄσπετον, οἱ δ' ἄρα πάντες ἐπιτρομέουσι νομῆες
χειμάῤῥους, ὁμίχλην τε, φίλην ὀλοοῖσι λύκοισιν
ἠδ' ἄλλοις θήρεσσιν, ὅσους τρέφει ἄσπετος ὕλη·
ὣς τῶν ἀμφὶ πόδεσσι κόνις πεπότητ' ἀλεγεινὴ,
ἥ ῥά τε καὶ φάος ἠΰ κατέκρυφεν ἠελίοιο,
αἰθέρ' ἐπισκιάουσα· κακὴ δ' ὑπεδάμνατ' ὀϊζὺς
λαοὺς ἐν κονίῃ τε καὶ αἰνομόρῳ ὑσμίνῃ.
Καὶ τὴν μὲν μακάρων τις ἀπώσατο δηϊοτῆτος
ἐσσυμένως· ὀλοαὶ δὲ θοὰς ἑκάτερθε φάλαγγας
Κῆρες ἐποτρύνεσκον ἀπειρέσιον πονέεσθαι
δῆριν ἀνὰ στονόεσσαν· Ἄρης δ' οὐ λῆγε φόνοιο
λευγαλέου, πάντη δὲ πέριξ ἐφορύνετο γαῖα
αἵματος ἐκχυμένοιο· μέλας δ' ἐπετέρπετ' Ὄλεθρος·
στείνετο δὲ κταμένων πεδίον μέγα θ' ἱππόβοτόν τε,
ὁππόσον ἀμφὶ ῥοαῖς Σιμόεις καὶ Ξάνθος ἐέργει,
Ἴδηθεν κατιόντες ἐς ἱερὸν Ἑλλήσποντον.
Ἀλλ' ὅτε δὴ πολλὴ μὲν ἄδην μηκύνετο δῆρις
μαρναμένων, ἶσον δὲ μένος τέτατ' ἀμφοτέροισι,
δὴ τότε τούς γ' ἀπάνευθεν Ὀλύμπιοι εἰσορόωντες,
οἱ μὲν θυμὸν ἔτερπον ἀτειρέϊ Πηλείωνι,
οἱ δ' ἄρα Τιθωνοῖο καὶ Ἠοῦς υἱεϊ δίῳ·
ὑψόθε δ' οὐρανὸς εὐρὺς ἐπέβραχεν· ἀμφὶ δὲ πόντος
ἴαχε· κυανέη δὲ πέριξ ἐλελίζετο γαῖα
ἀμφοτέρων ὑπὸ ποσσί· περιτρομέοντο δὲ πᾶσαι
ἀμφὶ Θέτιν Νηρῆος ὑπερθύμοιο θύγατρες
ὀβρίμου ἀμφ' Ἀχιλῆος, ἰδ' ἄσπετα δειμαίνοντο·
δείδιε δ' Ἠριγένεια φίλῳ περὶ παιδὶ καὶ αὐτὴ,
ἵπποις ἐμβεβαυῖα δι' αἰθέρος· αἱ δέ οἱ ἄγχι
Ἠελίοιο θύγατρες ἐθάμβεον ἑστηυῖαι
θεσπέσιον περὶ κύκλον, ὃν ἠελίῳ ἀκάμαντι
Ζεὺς πόρεν εἰς ἐνιαυτὸν ἐὺν δρόμον, ᾧ πέρι πάντα
ζώει τε φθινύθει τε, περιπλομένοιο κατ' ἦμαρ
νωλεμέως αἰῶνος, ἑλισσομένων ἐνιαυτῶν.
Καὶ νύ κε δὴ μακάρεσσιν ἀμείλιχος ἔμπεσε δῆρις,

tutuderunt alternatim avide, animis studio-gloriæ-elatis,
clypeos, quos Vulcanus divina elaboraral arte,
crebro irruentes; et contigerunt cristis
sese-invicem utrinque collisæ galeæ.
Juppiter autem utrique bene cupiens adjecit robur,
reddiditque *eos* indefatigabiles et proceriores, nec-quic-
quam similes] viris, sed Divis. Discordia vero gaudebat
utroque.] Qui cum mucrones cuperent citissime in corpus
adigere,] inter scutum et cristatam galeam,
crebro intenderunt suas vires, alias etiam
paullum supra ocreas, et infra varium
thoracem, validis aptatum membris,
ambo festinantes: interim illis divina arma
circum humeros crepuere; et clamor ascendit ad-æthera
divinum] Troum Æthiopumque et Argivorum fortium,
pugnantium utrimque, pulvisque sub pedibus se-sustulit
usque ad cœlum altum: nam ingens commotum-erat ne-
gotium.] Ut nebula in montibus excitato nimbo,
quando strepitantes replentur fluminum-alvei
aqua ruente, et fremit omnis vorago
immensum; at cuncti metuunt pastores
torrentes, et caliginem gratam perniciali bus lupis
aliisque feris, quas nutrit vasta silva:
ita illorum circa pedes pulvis volitabat molestus,
qui etiam lucem claram obtexit solis,
æthera obumbrans; et dira affligebat calamitas
populos in pulvere et infelici prœlio.
Et illum quidem deorum quispiam dispulit a-certamine
repente: sævæ interim strenuas utrinque phalangas
Parcæ instigabant ad-indefesse pugnandum
conflictu in tristi; nec Mars finem-faciebat cædis
funestæ: circumquaque igitur polluebatur tellus
cruore effuso, atraque oblectabatur Pernicies;
arctabaturque mortuis campus vastus et equestris,
quantum hinc-et-illinc alveo Simois et Xanthus includunt,
ex-Ida decurrentes in sacrum Hellespontum.
Cum itaque sat longa extracta-esset pugna
certantium, et æquæ vires intenderentur utrinque;
tum hos procul Dii intuentes,
alii animis voluptatem-percipiebant de invicto Pelida,
alii de Tithoni et Auroræ nato divino.
Tum desuper cœlum arduum immugiit, et undique mare
resonuit, et nigra in-orbem concussa-fuit tellus,
utriusque sub pedibus. Trepidarunt vero omnes
circa Thetim Nerei cordati filiæ,
strenui Achillis causa, ac vehementer timuere:
timuitque Aurora caro nato et ipsa,
equis invecta per æthera, et prope illam
Solis filiæ stupuerunt stantes,
divino in circulo, quem Soli indefatigabili
Juppiter dedit, annuum pulcrum cursum, sub quo universa
vivunt et intereunt, dum-circumvertitur in dies
absque-intermissione ævum, circumvolventibus annis.
Tum certe Diis acerbissima incidisset contentio,

εἰ μὴ ὑπ' ἐννεσίῃσι Διὸς μεγαλοβρεμέταο
δοιαὶ ἄρ' ἀμφοτέροισι θοῶς ἑκάτερθε παρέσταν
Κῆρες· ἐρεμναίη μὲν ἔβη ποτὶ Μέμνονος ἦτορ,
φαιδρὴ δ' ἀμφ' Ἀχιλῆα δαΐφρονα· τοὶ δ' ἐσιδόντες
ἀθάνατοι μέγ' ἄϋσαν· ἄφαρ δ' ἕλε τοὺς μὲν ἀνίη
λευγαλέη, τοὺς δ' ἠῢ καὶ ἀγλαὸν ἔλλαβε χάρμα.
Ἥρωες δ' ἐμάχοντο καθ' αἱματόεντα κυδοιμὸν,
ἔμπεδον, οὐδέ τι Κῆρας ἐποιχομένας ἐνόησαν,
θυμὸν καὶ μέγα κάρτος ἐπ' ἀλλήλοισι φέροντες.
Φαίης κε στονόεντα κατὰ μόθον ἤματι κείνῳ
μάρνασθ' ἠὲ Γίγαντας ἀτειρέας, ἠὲ κραταιοὺς
Τιτῆνας· σθεναρὴ δ' ἄρ' ἐπὶ σφίσι δῆρις ὀρώρει,
ἠμὲν ὅτε ξιφέεσσι συνέδραμον, ἠδ' ὅτε λάας
βάλλον ἐπεσσύμενοι περιμήκεας· οὐδέ τις αὐτῶν
χάζετο βαλλομένων, οὐδ' ἔτρεσαν, ἀλλ' ἅτε πρῶνες
ἔστασαν ἀδμῆτες, καταείμενοι ἄσπετον ἀλκήν·
ἄμφω γὰρ μεγάλοιο Διὸς γένος εὐχετόωντο·
τοὔνεκ' ἄρα σφίσι δῆριν ἴσην ἐτάνυσσεν Ἐνυὼ,
πολλὸν ἐρειδομένοισιν ἐπὶ χρόνον, ἐν δαῒ κείνῃ,
αὐτοῖς ἠδ' ἑτάροισιν ἀταρβέσιν, οἳ μέτ' ἀνάκτων
νωλεμέως πονέοντο μεμαότες, ἄχρι καμόντων
αἰχμαὶ ἀνεγνάμφθησαν ἐν ἀσπίσιν· οὐδέ τις ἦεν
θεινομένων ἑκάτερθεν ἀνούτατος, ἀλλ' ἄρα πάντων
ἐκ μελέων εἰς οὖδας ἀπέρρεεν αἷμα καὶ ἱδρὼς,
αἰὲν ἐρειδομένων· κεκάλυπτο δὲ γαῖα νέκυσσιν,
οὐρανὸς ὡς νεφέεσσιν, ἐς αἰγοκερῆα κιόντος
ἠελίου, ὅτε πόντον ὑποτρομέει μέγα ναύτης·
τοὺς δ' ἵπποι χρεμέθοντες, ἐπεσσυμένοις ἅμα λαοῖς,
τεθνεῶτας στείβεσκον, ἅτ' ἄσπετα φύλλα κατ' ἄλσος
χείματος ἀρχομένου μετὰ τηλεθόωσαν ὀπώρην.
Οἱ δέ που ἐν νεκύεσσι καὶ αἵματι δηριόωντο
υἱῆες μακάρων ἐρικυδέες, οὐδ' ἀπέληγον
ἀλλήλοις κοτέοντες. Ἔρις δ' ἴθυνε τάλαντα
ὑσμίνης ἀλεγεινά· τὰ δ' οὐκ ἔτι ἶσα πέλοντο·
ἀλλ' ἄρα Μέμνονα δῖον ὑπὸ στέρνοιο θέμεθλα
Πηλείδης οὔτησε· τὸ δ' ἀντικρὺ μέλαν αἷμα
ἐξέθορε· τοῦ δ' αἶψα λύθη πολυήρατος αἰών·
κάππεσε δ' εἰς μέλαν αἷμα· βράχε δέ οἱ ἄσπετα τεύχη·
γαῖα δ' ὑπεσμαράγησε, καὶ ἀμφεφόβηθεν ἑταῖροι·
τὸν δ' ἄρα Μυρμιδόνες μὲν ἐσύλεον· ἀμφὶ δὲ Τρῶες
φεῦγον· ὁ δ' αἶψα δίωκε, μένος μέγα λαίλαπι ἶσος.
Ἠὼς δ' ἐστονάχησε, καλυψαμένη νεφέεσσιν,
ἠχλύνθη δ' ἄρα γαῖα· θοοὶ δ' ἅμα πάντες ἀῆται,
μητρὸς ἐφημοσύνῃσι, μίῃ φορέοντο κελεύθῳ
ἐς πεδίον Πριάμοιο καὶ ἀμφεχέοντο θανόντι·
οἵ καὶ ἀνηρείψαντο θοῶς Ἠώϊον υἷα,
καί ἑ φέρον πολιοῖο δι' ἠέρος· ἄχνυτο δέ σφι
θυμὸς ἀδελφειοῖο δεδουπότος· ἀμφὶ δ' ἄρ' αἰθὴρ
ἔστενε· τοῦ δ' ἐπὶ γαῖαν ὅσαι πέσον αἱματόεσσαι
ἐκ μελέων ῥαθάμιγγες, ἐν ἀνθρώποισι τέτυκται
σῆμα καὶ ἐσσομένοις· τὰς γὰρ θεοὶ, ἄλλοθεν ἄλλην,
εἰς ἓν ἀγειράμενοι, ποταμὸν θέσαν ἠχήεντα,
τόν ῥά τε Παφλαγόνειον ἐπιχθόνιοι καλέουσι
πάντες, ὅσοι ναίουσι μακρῆς ὑπὸ δειράσιν Ἴδης·

ni consilio Jovis altifrementis,
duæ illis subito utrinque adstitissent
Parcæ: altera atra adiit Memnonis cor,
altera lucida Achillem fortem. Quibus visis
superi valde clamarunt; et statim occupavit alios mœstitia
lugubris, alios dulcis et nitida complexa-est lætitia.
Heroes interea confligebant in cruento prœlio
pertinacissime, nec Parcas accedere animadverterunt,
animum ac summam vim in se-mutuo intendentes.
Dixeris lacrimoso in conflictu die illo
inter-se-disceptasse aut Gigantes indomitos, aut robustos
Titanes: nam validum inter eos certamen incruduerat,
tum ubi gladiis concurrebant, tum ubi lapides
rotabant, impetu-facto, prægrandes; neuterque horum
recessit, licet-ictus, nec tremuit; sed veluti cautes
steterunt immotæ, armati invicto robore:
ambo enim magni Jovis familia *se ortos* profitebantur.
Ideo ipsis Martem æquum suspendit Bellona,
longum ut-colluctarentur ad tempus, in prœlio isto,
ipsis et amicis impavidis, qui cum ducibus
constanter laborem-subibant magno-nixu, donec fessorum
mucrones reflecterentur in scutis: nec quisquam erat
se-verberantium invicem absque-vulnere, sed omnium
e membris ad solum manabat cruor et sudor,
pertinaciter nitentium: opertaque-erat tellus cadaveribus,
ut cœlum nubibus, Ægocerotem cum-intrat
sol, ubi pontum reformidat valde nauta.
Equi autem hinnientes, cum-ingruentibus una catervis,
exanimes proculcabant, ceu densa folia in silva,
hieme ineunte post florentem autumnum.
At in strage et tabo decertabant
filii Deorum percelebres, nec desinebant
in-se-mutuo iris-exasperari: Contentio tandem libravit lances] pugnæ ferales, eæque non amplius æquilibres erant.
Ergo Memnoni divo in pectoris ima
Pelides vulnus-inflixit, et ex-adverso ater sanguis
erupit, ejusque protinus abruptum-erat jucundum ævum:
procubuit igitur in nigram saniem, et intonuerunt ipsius
vasta arma,] tellusque reboavit, et passim-consternati-sunt
socii.] Illum quidem Myrmidones spoliavere; at undique
Troes] fugerunt; is (*Achilles*) rapide insecutus-est, acri
impetu turbini par.] Tum Aurora gemuit, sese-condens
nubibus,] tenebrisque-inhorruit tellus, et præpetes simul
omnes venti,] matris jussu, uno deferebantur itinere
in campum Priami ac circumfundebantur mortuo:
iique arripuerunt extemplo Auroræ natum,
et eum auferebant canum per aera: sed mœstus-erat ipsis
animus ob fratrem cæsum: et circumquaque æther
ingemuit. Ejus vero in terram quotquot cadebant cruentæ
e membris guttæ, inter homines factæ-sunt
signum etiam posteros; has enim Dii, aliunde alias,
in unum collectas, fluvium fecerunt undisonantem,
quem Paphlagonium mortales vocant
omnes, quotquot habitant longæ sub jugis Idæ;

ὅς τε καὶ αἱματόεις τραφερὴν ἐπινίσσεται αἶαν,
ὁππότε Μέμνονος ἦμαρ ἔῃ λυγρὸν, ᾧ ἔνι κεῖνος
κάτθανε· λευγαλέη δὲ καὶ ἄσχετος ἔσσυται ὀδμὴ
ἐξ ὕδατος· φαίης κεν ἔθ' ἕλκεος οὐλομένοιο
πυθομένους ἰχῶρας ἀποπνείειν ἀλεγεινόν.
Ἀλλὰ τὸ μὲν βουλῇσι θεῶν γένεθ'· οἱ δ' ἐπέτοντο
Ἠοῦς ὄβριμον υἷα θοοὶ φορέοντες ἀῆται
τυτθὸν ὑπὲρ γαίης, δνοφερῇ κεκαλυμένον ὄρφνῃ.
Οὐδὲ μὲν Αἰθιοπῆες ἀποκταμένοιο ἄνακτος
νόσφιν ἀπεπλάγχθησαν, ἐπεὶ θεὸς αἶψα καὶ αὐτοὺς
ἦγε, λιλαιομένοισι βαλὼν τάχος, οἷον ἔμελλον
οὐ μετὰ δηρὸν ἔχοντες ὑπηέριοι φορέεσθαι.
Τοὔνεκ' ἔποντ' ἀνέμοισιν, ὀδυρόμενοι βασιλῆα·
ὡς δ' ὅταν ἀγρευτῆρος ἐνὶ ξυλόχοισι δαμέντος,
ἢ συὸς ἠὲ λέοντος ὑπὸ βλοσυρῇσι γένυσσι,
σῶμ' ἀναειρόμενοι μογεροὶ φορέουσιν ἑταῖροι
ἀχνύμενοι, μετὰ δέ σφι κύνες, ποθέοντες ἄνακτα,
κνυζηθμῷ ἐφέπονται, ἀνιηρῆς ἕνεκ' ἄγρης·
ὣς οἵ γε προλιπόντες ἀνηλέα δηϊοτῆτα
λαιψηροῖς ἐφέποντο μέγα στενάχοντες ἀήταις,
ἀχλύϊ θεσπεσίῃ κεκαλυμμένοι· ἀμφὶ δὲ Τρῶες
καὶ Δαναοὶ θάμβησαν, ἅμα σφετέρῳ βασιλῆϊ
πάντας ἀϊστωθέντας· ἀπειρεσίῃ δ' ἀνὰ θυμὸν
ἀμφασίῃ βεβόληντο. Νέκυν δ' ἀκάμαντες ἀῆται
Μέμνονος ἀγχεμάχοιο θέσαν, βαρέα στενάχοντες,
πὰρ ποταμοῖο ῥέεθρα βαθυῤῥόου Αἰσήποιο,
ᾗχι τε Νυμφάων καλλιπλοκάμων πέλει ἄλσος
καλὸν, ὃ δὴ μετόπισθε μακρὸν περὶ σῆμ' ἐβάλοντο
Αἰσήποιο θύγατρες, ἅδην πεπυκασμένον ὕλῃ
παντοίῃ· καὶ πολλὰ θεαὶ περικωκύσαντο,
υἱέα κυδαίνουσαι ἐϋθρόνου Ἠριγενείης.
Δύσετο δ' ἠελίοιο φάος, κατὰ δ' ἤλυθεν Ἠὼς
οὐρανόθεν, κλαίουσα φίλον τέκος· ἀμφὶ δ' ἄρ' αὐτῇ
κοῦραι ἐϋπλόκαμοι δυοκαίδεκα, τῇσι μέμηλεν
αἰὲν ἑλισσομένου Ὑπερίονος αἰπὰ κέλευθα,
νύξ τε καὶ ἠριγένεια, καὶ ἐκ Διὸς ὁππόσα βουλῆς
γίγνεται, οὗ περὶ δῶμα καὶ ἀῤῥήκτους πυλεῶνας
στρωφῶντ' ἔνθα καὶ ἔνθα, πέριξ λυκάβαντα φέρουσαι
καρποῖσι βρίθοντα, κυλινδομένου περὶ κύκλου
χειμῶνος κρυεροῖο καὶ εἴαρος ἀνθεμόεντος
ἠδὲ θέρευς ἐρατοῖο πολυσταφύλοιό τ' ὀπώρης·
αἳ τότε δὴ κατέβησαν ἀπ' αἰθέρος ἠλιβάτοιο,
ἄσπετ' ὀδυρόμεναι περὶ Μέμνονα, σὺν δ' ἄρα τῇσι
Πληϊάδες μύροντο, περίαχε δ' οὔρεα μακρὰ,
καὶ ῥόος Αἰσήποιο, γόος δ' ἄλληκτος ὀρώρει.
Ἡ δ' ἄρ' ἐνὶ μέσσῃσιν, ἑῷ περὶ παιδὶ χυθεῖσα,
μακρὸν ἀνεστονάχησε πολύστονος Ἠριγένεια·
Ὤλεό μοι, φίλε τέκνον· ἐῇ δ' ἄρα μητέρι πένθος
ἀργαλέον περίθηκας· ἐγὼ δ' οὐ, σεῖο δαμέντος,
τλήσομαι ἀθανάτοισιν ἐπουρανίοισι φαείνειν,
ἀλλὰ καταχθονίων ἐσδύσομαι αἰνὰ βέρεθρα,
ψυχὴ ὅπου σέο νόσφιν ἀποφθιμένου πεπότηται,
πάντ' ἐπικιδναμένου χάεος καὶ ἀεικέος ὄρφνης,
ὄφρα τι καὶ Κρονίδαο περὶ φρένας ἄλγος ἵκηται.

qui et sanguinolentus per-benignam labitur terram,
quando Memnonis dies est funestus, quo ille
mortem-obiit: et tetra atque ingens exhalatur Mephitis
ex unda: dixeris etiamnum e vulnere letali
putridam saniem exhalare-odorem fœdum.
Hæc itaque consiliis Deorum acciderunt: volabant autem,
Auroræ rigidum natum ferentes, celeres venti
paululum supra terram, nubila involutum caligine.
At nec Æthiopes a-cæso ductore
procul vagati-sunt: nam Deus repente etiam ipsos
duxit, exoptantibus adjiciens celeritatem, qua erant
non multo post præditi in-aëre-sublimes ferendi.
Ideo sequebantur ventos, deplorantes regem:
ut cum venatoris in saltu prostrati,
vel apri vel leonis mortiferis faucibus,
cadaver sublatum laborum-patientes auferunt socii,
dolentes; pone vero canes, desiderantes herum,
cum-gannitu sequuntur, tristificam propter vanationem:
ita illi, relicto sævo conflictu,
rapidos secuti-sunt magno cum-gemitu ventos,
nebula divina involuti; passimque Troes
et Græci stupebant, una cum suo-rege
cunctos disparuisse; et profundo animos
silentio percellebantur. Cadaver autem indefessi venti
Memnonis bellicosi reposuerunt gravi cum-gemitu,
juxta amnis undas altiflui Æsepi,
ubi Nympharum pulchre-crinitarum exstat lucus
amœnus, in quo postea arduum tumulum eduxerunt
Æsepi filiæ, satis opacum arboribus
omnis-generis; multumque Divæ planxerunt,
filium honorantes pulcrithronæ Auroræ.
Occidit tum solis lumen, et descendit Aurora
de-cœlo, lugens natum carum, circumque illam
puellæ pulcricomæ duodecim, quibus curæ-sunt
semper circumvolventis Solis arduæ viæ,
noxque et dies, et Jovis quæcunque voluntate
fiunt, cujus circa aulam et non-dirumpenda vestibula
versantur huc atque illuc, annum circumferentes
fructibus prægnantem, dum-se-circumvertit circulus
hyemis gelidæ et veris floridi
atque æstatis jucundæ racemosique autumni:
hæ tunc descenderunt ab æthere excelso,
graviter lugentes propter Memnonem, et cum illis
Plejades flebant, circumsonabant vero montes alti
et fluenta Æsepi, luctusque indesinens se-commovit.
Ipsa igitur in medio-ipsarum, suo nato circumfusa,
magno ejulatu-exclamavit lamentabilis Aurora:
Interiisti mihi, cara soboles, tuæque matri luctum
inextricabilem injecisti! ego nunquam, te sublato,
sustinebo immortalibus Diis lucem-reddere;
sed inferorum subibo tetra barathra,
quo anima a-te procul exstincto avolavit,
per-omnia ut-diffundatur Chaos ac tristis caligo,
ut aliquis etiam Saturnii animum dolor occupet.

Οὐ γὰρ ἀτιμοτέρη Νηρηΐδος, ἐκ Διὸς αὐτοῦ
πάντ' ἐπιδερκομένη, πάντ' ἐς τέλος ἄχρις ἄγουσα·
μαψιδίως· οὐ γὰρ καὶ ἐμὸν φάος ὠπίσατο Ζεύς.
Τοὔνεχ' ὑπὸ ζόφον εἶμι· Θέτιν δ' ἐπ' Ὄλυμπον ἀγέ- [σθω
ἐξ ἁλὸς, ὄφρα θεοῖσι καὶ ἀνθρώποισι φαείνῃ·
αὐτὰρ ἐμοὶ στονόεσσα μετ' οὐρανὸν εὔαδεν ὄρφνη,
μὴ ἵνα σεῖο φονῆϊ φάος περὶ σῶμα βάλοιμι.
Ὣς φαμένης ῥέε δάκρυ κατ' ἀμβροσίοιο προσώπου
ἀενάῳ ποταμῷ ἐναλίγκιον· ἀμφὶ δὲ νεκρῷ
δεύετο γαῖα μέλαινα· συνάχνυτο δ' ἀμβροσίη Νὺξ
παιδὶ φίλῃ, καὶ πάντα κατέκρυφεν οὐρανὸς ἄστρα
ἀχλύϊ καὶ νεφέεσσι, φέρων χάριν Ἠριγενείῃ.
Τρῶες δ' ἄστεος ἔνδον ἔσαν περὶ Μέμνονι θυμῷ
ἀχνύμενοι· πόθεον γὰρ ὁμῶς ἑτάροισιν ἄνακτα·
οὐδὲ μὲν Ἀργεῖοι μέγ' ἐγήθεον, ἀλλὰ καὶ αὐτοὶ,
ἐν πεδίῳ κταμένοισι παρ' ἀνδράσιν αὖλιν ἔχοντες,
ἄμφω, ἐϋμμελίην μὲν Ἀχιλλέα κυδαίνεσκον, [θος.
Ἀντίλοχον δ' ἄρα κλαῖον· ἔχον δ' ἅμα χάρματι πέν-
Παννυχίη δ' ἀλεγεινὸν ἀνεστονάχιζε γοῶσα
Ἠώς· ἀμφὶ δέ οἱ κέχυτο ζόφος· οὐδ' ἔτι θυμῷ
ἀντολίης ἀλέγιζε, μέγαν δ' ἤχθηρεν Ὄλυμπον·
ἄγχι δέ οἱ μάλα πολλὰ ποδώκεες ἔστενον ἵπποι,
γαῖαν ἐπιστείβοντες ἀνανθέα, καὶ βασίλειαν
ἀχνυμένην ὁρόωντες, ἐελδόμενοι μέγα νόστου.
Ζεὺς δ' ἄμοτον βρόντησε χολούμενος· ἀμφὶ δὲ γαῖα
κινήθη πέρι πᾶσα· τρόμος δ' ἕλεν ἄμβροτον Ἠῶ.
Τὸν δ' ἄρα καρπαλίμως μελανόχροες Αἰθιοπῆες
θάψαν ὀδυρόμενοι. Τοὺς δ' Ἠριγένεια βοῶπις,
πολλ' ὀλοφυρομένους, κρατεροῦ περὶ σήματι παιδὸς
οἰωνοὺς ποίησε, καὶ ἠέρι δῶκε φέρεσθαι·
τοὺς δὴ νῦν καλέουσι βροτῶν ἀπερείσια φῦλα
Μέμνονας· οἵ ῥ' ἔτι τύμβον ἐπὶ σφετέρου βασιλῆος
ἐσσύμενοι γοόωσι, κόνιν καθύπερθε χέοντες
σήματος· ἀλλήλοις δὲ περικλονέουσι κυδοιμὸν,
Μέμνονι ἦρα φέροντες· ὁ δ' εἰν Ἀΐδαο δόμοισιν,
ἠέ που ἐν μακάρεσσι κατ' Ἠλύσιον πέδον αἴης,
καγχαλάα· καὶ θυμὸν ἰαίνεται ἄμβροτος Ἠὼς
δερκομένη· τοῖσιν δὲ πέλει πόνος, ἄχρι καμόντες
εἷς ἕνα δῃώσωνται ἀνὰ κλόνον, ἠὲ καὶ ἄμφω
πότμον ἀναπλήσωσι, πονεύμενοι ἀμφὶς ἄνακτι.
Καὶ τὰ μὲν ἐννεσίῃσι φαεσφόρου Ἠριγενείης
οἰωνοὶ τελέουσι θοοί. Τότε δ' ἄμβροτος Ἠὼς
οὐρανὸν εἰσανόρουσεν ὁμῶς πολυαλδέσιν Ὥραις,
αἵ ῥά μιν οὐκ ἐθέλουσαν ἀνήγαγον ἐς Διὸς οὖδας,
παρφάμεναι μύθοισιν, ὅσοις βαρὺ πένθος ὑπείκει,
καί περ ἔτ' ἀχνυμένην· ἡ δ' οὐ λάθετ' οἷο δρόμοιο·
δείδιε γὰρ δὴ Ζηνὸς ἄδην ἄλληκτον ἐνιπὴν,
ἐξ οὗ πάντα πέλονται, ὅσ' ὠκεανοῖο ῥέεθρα
ἐντὸς ἔχει, καὶ γαῖα, καὶ αἰθομένων ἕδος ἄστρων.
Τῆς ἄρα Πληϊάδες πρότεραι ἴσαν· ἡ δὲ καὶ αὐτὴ
αἰθερίας ᾤϊξε πύλας· ἐκέδασσε δ' ἄρ' αἴγλην.

Non enim indignior *sum* Nereide, ex Jove ipso,
omnia quæ-collustro, omnia ad finem usque perduco.
nequicquam! non enim meam lucem magni-fecit Juppiter.
Ideo tenebras peto; Thetin vero in Olympum evehat
e mari, ut Diis et mortalibus lumen-exhibeat.
At mihi tristis, posthabito cœlo, cordi-est caligo,
ne unquam tui interfectoris circa corpus radios spargam.
Sic querenti promanabant lacrimæ ab immortali vultu,
perenni fluvio similes, et circa mortuum
madebat tellus nigra, condoluitque ambrosia Nox
cum-nata dilecta, et omnia obduxit cœlum astra
caligine et nubibus, faciens gratiam Auroræ.
Cæterum Troes intra urbem erant, propter Memnonem animis] ægri; desiderabant enim una-cum sociis
ducem:] nec tamen Argivi admodum lætabantur; verum et
ipsi,] in campo cæsos juxta commilitones castris positis,
utrumque *agebant*, hasta-clarum enim Achillem laudabant,
Antilochumque plangebant, habebant igitur cum gaudio luctum.] Totam autem-noctem vehementer suspirabat flens
Aurora, et circa ipsam sparsæ-erant tenebræ; nec ultra
animo *suo*] ortus curam-agebat, magnumque odio-habebat
Olympum.] Et prope illam plurimum alipedes gemebant
equi,] solum fodientes infloridum, quamvis reginam
mœstam viderent, magnopere *tamen* appetentes reditum.
Juppiter ergo inquietum detonabat iratus, et undique terra
concutiebatur valde universa; pavor vero corripuit immortalem Auroram.] Illum (*Memnonem*) statim nigricolores Æthiopes] sepelierunt cum-planctu. Hos Aurora bovinis-oculis] multum lamentantes, strenui ad monumentum filii,] in-aves vertit, aerique dedit ferendos:
quas etiamnum vocant hominum innumeræ gentes
Memnonides; illæ adhuc bustum sui principis
frequentantes plangunt, cinerem superinspergentes
sepulcro, mutuoque-inter-se pugnant certamen
Memnonis in-honorem, qui in Plutonis aula,
aut forte inter beatos in Elysio campo terræ,
exsultat; et animum *suum* solatio-fovet cœlestis Aurora,
dum-cernit: illis autem durat certamen, usque-dum post
-multum-laboris] altera alteram confecerit dimicando, aut
etiam ambæ] fatum expleverint, decertantes pro rege.
Hæc itaque nutu luciferæ Auroræ
aves peragunt citæ. Tunc vero diva Aurora
in cœlum properavit, una cum-almis Horis,
quæ ipsam invitam eduxerunt in Jovis solum,
iis appellantes verbis, quibus gravis luctus cedit,
quamvis adhuc mœstam: sed-tamen non est-oblita sui
cursus:] horrebat enim vehementer Jovis rigidas minas,
ex quo omnia existunt, quæ Oceani fluxus
intus complectitur, ac tellus, et flammantium sedes astrorum.] Hanc igitur Pleiades antecesserunt: tum ipsa
ætherias aperuit portas, diffuditque lumen.

ΛΟΓΟΣ Γ.

Αὐτὰρ ἐπεὶ φάος ἦλθεν ἐϋθρόνου Ἠριγενείης,
δὴ τότ' ἄρ' Ἀντιλόχοιο νέκυν ποτὶ νῆας ἔνειχαν
αἰχμηταὶ Πύλιοι, μεγάλα στενάχοντες ἄνακτα·
καί μιν ταρχύσαντο παρ' ἠόσιν Ἑλλησπόντου,
πολλὰ μάλ' ἀχνύμενοι· περὶ δ' ἔστενον ὄβριμοι υἷες
Ἀργείων· πάντας γὰρ ἀμείλιχον ἄμφεχε πένθος
Νέστορι ἦρα φέροντας· ὁ δ' οὐ μέγα δάμνατο θυμῷ.
Ἀνδρὸς γὰρ πινυτοῖο, περὶ φρεσὶ τλήμεναι ἄλγος
θαρσαλέως, καὶ μή τι κατηφιόωντ' ἀκαχῆσθαι.
Πηλείδης δ' ἑτάροιο χολούμενος Ἀντιλόχοιο,
σμερδνὸν ἐπὶ Τρώεσσι κορύσσετο· τοὶ δὲ καὶ αὐτοί,
καί περ ὑποτρομέοντες ἐϋμμελίην Ἀχιλῆα,
τείχεος ἐξεχέοντο μεμαότες, οὕνεκ' ἄρα σφι
Κῆρες ἐπὶ στέρνοισι θράσος βάλον. Ἦ γὰρ ἔμελλον
πολλοὶ ἀνοστήτοιο κατελθέμεν Αἰδωνῆος,
χερσὶν ὑπ' Αἰακίδαο δαΐφρονος, ὅς ῥα καὶ αὐτὸς
φθεῖσθαι ὁμῶς ἤμελλε παρὰ Πριάμοιο πόληϊ.
Αἶψα δ' ἄρ' ἀμφοτέρωθε συνήλυθον εἰς ἕνα χῶρον
Τρώων ἔθνεα πολλὰ μενεπτολέμων τ' Ἀργείων,
μαιμώοντ' ἐς Ἄρηα διεγρομένου πολέμοιο.
Πηλείδης δ' ἐν τοῖσι πολὺν περιδάμνατο λαὸν
δυσμενέων· πάντη δὲ φερέσβιος αἵματι γαῖα
δεύετο, καὶ νεκύεσσι περιστείνοντο ῥέεθρα
Ξάνθου καὶ Σιμόεντος· ὁ δ' ἑσπόμενος κεράϊζε
μέχρις ἐπὶ πτολίεθρον, ἐπεὶ φόβος ἄμφεχε λαούς.
Καί νύ κε πάντας ὄλεσσε, πύλας δ' εἰς οὖδας ἔρεισε
θαιρῶν ἐξερύσας, ἢ καὶ συνέαξεν ὀχῆας
δόχμιος ἐγχριμφθείς, Δαναοῖσι δὲ θῆκε κέλευθον
ἐς Πριάμοιο πόληα, διέπραθε δ' ὄλβιον ἄστυ,
εἰ μή οἱ μέγα Φοῖβος ἀνηλέϊ χώσατο θυμῷ,
ὡς ἴδεν ἄσπετα φῦλα δαϊκταμένων ἡρώων.
Αἶψα δ' ἀπ' Οὐλύμποιο κατήλυθε θηρὶ ἐοικώς,
ἰοδόκην ὤμοισιν ἔχων καὶ ἀναλθέας ἰούς·
ἔστη δ' Αἰακίδαο καταντίον· ἀμφὶ δ' ἄρ' αὐτοῦ
γωρυτὸς καὶ τόξα μέγ' ἴαχεν· ἐκ δέ οἱ ὄσσων
πῦρ ἄμοτον μάρμαιρε· ποσὶν δ' ὑπεκίνυτο γαῖα·
σμερδαλέον δ' ἤϋσε μέγας θεός, ὄφρ' Ἀχιλῆα
τρέψῃ ἀπὸ πτολέμοιο, θεοῦ ὄπα ταρβήσαντα
θεσπεσίην, καὶ Τρῶας ὑπὲκ θανάτοιο σαώσῃ·
Χάζεο, Πηλείδη, Τρώων ἑκάς, οὐ γὰρ ἔοικεν,
εἰσέτι δυσμενέεσσι κακὰς ἐπὶ κῆρας ἰάλλειν,
μή σε καὶ ἀθανάτων τις ἀπ' Οὐλύμποιο χαλέψῃ.
Ὣς ἄρ' ἔφη· ὁ δ' ἄρ' οὔτι θεοῦ τρέσεν ἄμβροτον αὐδήν·
ἤδη γάρ οἱ Κῆρες ἀμείλιχοι ἀμφεποτῶντο·
τοὔνεκ' ἄρ' οὐκ ἀλέγιζε θεοῦ· μέγα δ' ἴαχεν ἄντην·
Φοῖβε, τίη με θεοῖσι, καὶ οὐ μεμαῶτα, μάχεσθαι
ὀτρύνεις, Τρώεσσιν ὑπερφιάλοισιν ἀμύνων;
Ἤδη γὰρ καὶ πρόσθε μ' ἀποστρέψας ὀρυμαγδοῦ
ἤπαφες, ὁππότε πρῶτον ὑπεξεσάωσας ὀλέθρου
Ἕκτορα, τῷ μέγα Τρῶες ἀνὰ πτόλιν εὐχετόωντο.
Ἀλλ' ἀναχάζεο τῆλε καὶ ἐς μακάρων ἕδος ἄλλων
ἔρχεο, μή σε βάλοιμι καὶ ἀθάνατόν περ ἐόντα.

LIBER III.

Cum igitur jubar venisset pulcre-sedentis Auroræ, protinus Antilochi cadaver ad naves portarunt hastigeri Pylii, magnopere plangentes ducem : atque ipsi justa-fecerunt in littore Hellesponti, maximo mœrore-perculsi : et circumquaque suspirabant strenui filii] Argivum; omnes enim acerbus occuparat luctus,] Nestori officium præstantes, qui non prorsus frangebatur animo.] Viri enim prudentis *est*, animo sustinere dolorem] fortiter, nec afflictum se-excruciare.
Pelides autem propter-sodalem ira-inflammatus Antilochum,] horrendum in Trojanos se-accingebat, qui et ipsi, quamvis exhorrescentes hasta-clarum Achillem, e-mœnibus erumpebant promti, quoniam ipsis Deæ-fatales in pectora confidentiam injecerant. Namque erant] plurimi ad-expertem-reditus descensuri Orcum sub manibus Æacidæ belliscientis, qui tamen et ipse interiturus simul erat juxta Priami urbem.
Statim igitur utrinque congrediebantur in unum locum Trojanorum gentes variæ et bellicosorum Argivum, magno-fervore-ruentes ad Martem excitati prœlii.

Pelides autem inter hos numerosam profligabat turbam hostium, et undique ferax sanguine tellus madescebat, et cadaveribus arctabantur fluenta Xanthi et Simoentis. Ille autem persequens strages-faciebat usque ad urbem, quia pavor occuparat homines.
Et forte omnes exitio-tradidisset, portasque in solum dejecisset] cardinibus emotis, aut etiam perfregisset repagula, ex-obliquo incumbens, Danaisque patefecisset viam in Priami urbem, et expugnasset opulentam civitatem; nisi in-eum graviter Phœbus implacabili exarsisset ira, ut vidit densas cohortes leto-sterni heroum.
Quare extemplo de cœlo descendit feræ in-morem, pharetram humeris gestans et immedicabiles sagittas, et stetit Æacidæ ex-adverso; circumque eum corytus et arcus immane resonabant; ex illius vero oculis ignis magna-vi emicabat, et sub pedibus movebatur terra, horrendumque clamavit potens deus, ut Achillem averteret e bello, dei voce consternatum prodigiosa, et Troas e pernicie liberaret :

Subducito-te, Pelida, a-Trojanis procul, non enim æquum -est,] amplius hostibus sævam mortem afferre, ne te vel deorum quispiam ex Olympo pessumdet.

Sic dixit; at ille nihil dei extimuit immortalem vocem : jam enim ipsum Parcæ severæ circumvolabant.
Ideo non curabat deum, sed valde vociferatus-est contra :

Phœbe, cur me cum-diis, etiam invitum, ad-pugnandum lacessis, Trojanis fœdifragis auxilium-præstans? Jam enim et antea me avertens a-conflictu fefellisti, quando primum subtraheres exitio Hectorem, quo magnifice Troes in urbe se-jactabant. Sed abscede hinc et ad deorum sedem cæterorum te-recipe, ne te feriam quantumvis immortalem.

Ὣς εἰπὼν ἀπάτερθε θεὸν λίπε, βῆ δ' ἐπὶ Τρῶας,
οἵ ῥ' ἔτι που φεύγεσκον ἀεὶ προπάροιθε πόληος,
καὶ τοὺς μὲν σεύεσκεν· ὁ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Φοῖβος, ἑὸν κατὰ θυμὸν ἔπος ποτὶ τοῖον ἔειπεν·
Ὢ πόποι, ὡς ὅγε μαίνετ' ἀεὶ φρένας· ἀλλά οἱ οὔτι
οὔτ' αὐτὸς Κρονίδης ἔτ' ἀνέξεται, οὔτε τις ἄλλος,
οὕτω μαργαίνοντα καὶ ἀντιόωντα θεοῖσιν.
Ὣς ἄρ' ἔφη, καὶ ἄϊστος ὁμοῦ νεφέεσσιν ἐτύχθη·
ἠέρα δ' ἑσσάμενος στυγερὸν προέηκε βέλεμνον·
καί ἑ θοῶς οὔτησε κατὰ σφυρόν· αἶψα δ' ἀνίαι
δῦσαν ὑπὸ κραδίην· ὁ δ' ἀνετράπετ' ἠύτε πύργος,
ὅν τε βίη τυφῶνος ὑποχθονίῃ στροφάλιγγι
ῥήξῃ ὑπὲρ δαπέδοιο, κραδαινομένης βαθὺ γαίης·
ὣς ἐκλίθη δέμας ἠῢ κατ' οὔδεος Αἰακίδαο·
ἀμφὶ δὲ παπτήνας ὀλοὸν καὶ ἄκρατον ὁμόκλα·
Τίς νύ μοι αἰνὸν ὀϊστὸν ἐπιπροέηκε κρυφηδόν;
Στήτω μευ κατέναντα, καὶ εἰς ἀναφανδὸν ἱκέσθω,
ὄφρα κέ οἱ μέλαν αἷμα καὶ ἔγκατα πάντα χυθείη
ἡμετέρῳ περὶ δουρί, καὶ Ἄϊδα λυγρὸν ἵκηται·
οἶδα γὰρ ὡς οὔτις με δυνήσεται, ἐγγύθεν ἐλθών,
ἐγχείῃ δαμάσασθαι ἐπιχθονίων ἡρώων,
οὐδ' εἴπερ στέρνοισι μάλ' ἄτρομον ἦτορ ἔχῃσιν,
ἄτρομον ἦτορ ἔχῃσι λίην, καὶ χάλκεος εἴη.
Κρύβδα δ' ἀνάλκιδες αἰὲν ἀγαυοτέρους λοχόωσι·
τῷ μευ ἴτω κατέναντα, καὶ εἰ θεὸς εὔχεται εἶναι
χωόμενος Δαναοῖς, ἐπειή νύ μοι ἦτορ ἔολπεν
ἔμμεναι Ἀπόλλωνα λυγρῇ κεκαλυμμένον ὄρφνῃ.
Ὣς γάρ μοι τοπάροιθε φίλη διεπέφραδε μήτηρ,
κείνου ὑπαὶ βελέεσσιν ὀϊζυρῶς ἀπολέσθαι
Σκαιῇς ἀμφὶ πύλῃσι· τὸ δ' οὐκ ἀνεμώλιον ἦεν.
Ἦ, καὶ λυγρὸν ὀϊστὸν ἀμειλίκτοισι χέρεσσιν
ἕλκεος ἐξείρυσσεν ἀναλθέος, ἐκ δέ οἱ αἷμα
ἔσσυτο τειρομένου· πότμος δέ οἱ ἦτορ ἐδάμνα·
ἀσχαλόων δ' ἔῤῥιψε βέλος· τὸ δ' ἄρ' αἶψα κιοῦσαι
πνοιαὶ ἀνηρείψαντο, δόσαν δέ μιν Ἀπόλλωνι
ἐς Διὸς οἰχομένῳ ζάθεον πέδον· οὐ γὰρ ἐῴκει
ἄμβροτον ἰὸν ὀλέσθαι ἀπ' ἀθανάτοιο μολόντα.
Δεξάμενος δ' ὅγε κραιπνὸς ἀφίκετο μακρὸν Ὄλυμ-
ἄλλων ἀθανάτων ἐς ὁμήγυριν, ἧχι μάλιστα [πον,
πανσυδίῃ ἀγέροντο μάχην ἐσορώμενοι ἀνδρῶν·
οἱ μὲν γὰρ Τρώεσσι μενοίνεον εὖχος ὀρέξαι,
οἱ δ' ἄρ' Ἀχαιοῖσιν, τοὶ δ' αὖ δίχα μητιόωντες
δέρκοντο κτείνοντας ἀνὰ μόθον ὀλλυμένους τε.
Τὸν δ' ὁπότ' εἰσενόησε Διὸς πινυτὴ παράκοιτις,
αὐτίκα μιν νείκεσσεν ἀνιηροῖς ἐπέεσσιν·
Φοῖβε, τίη τόδ' ἔρεξας ἀτάσθαλον ἤματι τῷδε;
λησάμενος κείνοιο, τὸν ἀθάνατοι γάμον αὐτοὶ
ἀντιθέῳ Πηλῆϊ συνάρσαμεν, ἐν δὲ σὺ μέσσοις
δαινυμένοις ἤειδες, ὅπως Θέτιν ἀργυρόπεζαν
Πηλεὺς ἤγετ' ἄκοιτιν, ἁλὸς μέγα λαῖτμα λιποῦσαν,
καί σευ φορμίζοντος ἐπήϊεν ἀθρόα φῦλα,
θῆρές τ' οἰωνοί τε βαθυσκόπελοί τε κολῶναι
καὶ ποταμοί, καὶ πᾶσα βαθύσκιος ἤϊεν ὕλη·
ἀλλὰ τά γ' ἐξελάθου, καὶ ἀμείλιχον ἔργον ἔρεξας

Sic fatus seorsum deum liquit et tetendit in Trojanos,
qui adhuc fugiebant semper ante urbem:
hos itaque propulit. At excandescens in pectore
Phœbus, suum ad animum hæc verba locutus-est:
O Dii! quantum hic furit perpetuo mente: at eum minime,] nec ipse Juppiter deinceps sustinebit, nec quisquam alius,] adeo dum-luxuriat et adversatur diis.
Sic ait, et non-amplius-visus inter nubes erat,
aeraque prætendens inimicum emisit telum,
et eum continuo sauciavit in-malleolum-pedis; statimque
ægritudo] subiit cor, et subversus-est, velut turris,
quam violentia typhonis subterranea vertigine
evertit supra solum succussa alte tellure:
sic prostratum-fuit humi corpus pulcrum Æacidæ;
et circumspiciens misere et immoderate clamavit:
Quis in-me pestiferum jaculum contorsit occulte?
Stet mihi cominus et aperte aggrediatur,
ut ipsi ater cruor et viscera cuncta effundantur
nostra hasta, et ad-Orcum tristem migret:
scio enim, quod nemo me possit, cominus adortus,
hasta superare in-terris-degentium heroum,
ne si *quis* quidem in-pectore satis intrepidum cor habeat.
intrepidum cor habeat omnino, atque æreus sit.
At furtim imbelles semper fortiores insidiis-excipiunt:
ideo mihi procedat obviam, etiamsi deum glorietur se
-esse] infensum Danais: nam mihi animus auguratur
esse Apollinem, horrida involutum caligine.
Sic enim mihi olim dilecta prædixit mater,
illius jaculis calamitose me-periturum-esse
Scæam ad portam: neque hoc cassum fuit.
Dixit et letalem sagittam duris manibus
e-vulnere evulsit immedicabili, et ejus sanguis
erupit cruciati, letumque ejus cor subegit:
magna-indignatione igitur abjecit telum, quod illico advolantes] auræ corripuerunt reddideruntque Apollini,
in Jovis remeanti sacrum campum: non enim fas-erat,
ut-immortale jaculum interiret, a Deo profectum.
Quo accepto is festinus rediit in-spatiosum Olympum
aliorum deorum ad concionem, ubi potissimum
ad-unum-omnes coibant, pugnam spectatum mortalium:
alii enim Trojanis studebant gloriam præbere,
alii contra Achivis, alii etiam dubie sentientes
intuebantur trucidantes in acie et occumbentes.
Illum (*Phœbum*) vero ubi conspexit Jovis prudens uxor,
statim eum objurgavit molestis verbis:
Phœbe, quare istud patrasti scelus hoc die?
oblitus illius connubii, quod dii ipsi
semideo Peleo conciliavimus, tuque in medio
epulantium cantabas, quo-pacto Thetin argenteis-pedibus
Peleus duceret uxorem, maris vastum gurgitem cum-deseruisset,] et te citharam-feriente accurrebant densa agmina,
bestiæ volucresque et profundis-scopulis montes
et fluvii, et omnis opaca veniebat silva:
ed hæc oblitus-es, et crudele facinus peregisti

κτείνας ἀνέρα δῖον, ὅν, ἀθανάτοισι σὺν ἄλλοις
νέκταρ ἀποσπένδων, ἠρήσαο παῖδα γενέσθαι
ἐκ Θέτιδος Πηλῆϊ· τεῆς δ' ἐπελήσαο ἀρῆς,
ἦρα φέρων λαοῖσι κραταιοῦ Λαομέδοντος,
ᾧ πάρα βουκολέεσκες· ὁ δ' ἀθάνατόν περ ἐόντα,
θνητὸς ἐών, ἀκάχιζε· σὺ δ' ἀφρονέων ἐνὶ θυμῷ
ἦρα φέρεις Τρώεσσι, λελασμένος ὅσσ' ἐμόγησας.
Σχέτλιος, οὔ νύ τοι οἶδας ἐνὶ φρεσὶ λευγαλέῃσιν,
οὔθ' ὅτις ἀργαλέος καὶ ἐπάξιος ἄλγεα πάσχειν,
οὔθ' ὅτις ἀθανάτοισι τετιμένος· ἦ γὰρ Ἀχιλλεὺς
ἤπιος ἄμμι τέτυκτο καὶ ἐξ ἡμέων γένος ἦεν.
Ἀλλ' οὐ μὰν Τρώεσσιν ἐλαφρότερον πόνον οἴω
ἔσσεσθ' Αἰακίδαο δεδουπότος· οὕνεκ' ἄρ' αὐτοῦ
υἱὸς ἀπὸ Σκύροιο θοῶς ἐς ἀπηνέα δῆριν
Ἀργείοις ἐπαρωγὸς ἐλεύσεται, εἴκελος ἀλκὴν
πατρὶ ἑῷ· πολέεσιν δὲ κακὸν δηΐοισι πελάσσει.
Ἦ νύ σοι οὐ Τρώων ἐπιμέμβλεται, ἀλλ' Ἀχιλῆϊ
ἀμφ' ἀρετῆς ἐμέγηρας, ἐπεὶ πέλε φέρτατος ἀνδρῶν.
Νήπιε, πῶς ἔτι σοῖσιν ἐν ὄμμασι Νηρηΐνην
ὄψει ἐν ἀθανάτοισι Διὸς ποτὶ δώματ' ἰοῦσαν,
ἥ σε πάρος κύδαινε καὶ ὡς φίλον ἔδρακεν υἷα;
Ἦ, μέγα νεικείουσα πολυσθενέος Διὸς υἷα,
Ἥρη ἀκηχεμένη· ὁ δ' ἄρ' οὐχ ἀπαμείβετο μύθῳ·
ἅζετο γὰρ παράκοιτιν ἑοῦ πατρὸς ἀκαμάτοιο·
οὐδέ οἱ ὀφθαλμοῖσι καταντίον εἰσοράασθαι
ἔσθενεν, ἀλλ' ἀπάνευθε θεῶν ἄλληκτον ἐόντων
ἧστο κατωπιόων· ἄμοτον δέ οἱ ἐσκύζοντο
ἀθάνατοι κατ' Ὄλυμπον, ὅσοι Δαναοῖσιν ἄμυνον·
ὅσσοι δ' αὖ Τρώεσσι μενοίνεον εὖχος ὀρέξαι,
κεῖνοί μιν κύδαινον, ἐνὶ φρεσὶ καγχαλόωντες,
κρύβδ' Ἥρης· πάντες γὰρ ἐναντίον Οὐρανίωνες
ἅζοντ' ἀσχαλόωσαν. Ὁ δ' οὔπω λήθετο θυμοῦ
Πηλείδης· ἔτι γάρ οἱ ἀμαιμακέτοις ἐνὶ γυίοις
ἔζεεν αἷμα κελαινὸν ἐελδομένοιο μάχεσθαι·
οὐδ' ἄρα οἱ Τρώων τις ἐτόλμα ἐγγὺς ἱκέσθαι
βλημένου, ἀλλ' ἀπάνευθεν ἀφέστασαν, εὖτε λέοντος
ἀγρόται ἐν ξυλόχοισι τεθηπότες, ὅν τε βάλῃσι
θηρητήρ· ὁ δ' ἄρ' οὔτι, πεπαρμένος ἦτορ ἄκοντι,
λήθεται ἠνορέης, ἀλλὰ στρέφετ' ἄγριον ὄμμα,
σμερδαλέον βλοσυρῇσιν ὑπαὶ γενύεσσι βεβρυχώς·
ὣς ἄρα Πηλείδαο χόλος καὶ λοίγιον ἕλκος
θυμὸν ἄδην ὀρόθυνε· θεοῦ δέ μιν ἰὸς ἐδάμνα·
ἀλλὰ καὶ ὣς ἀνόρουσε καὶ ἔνθορε δυσμενέεσσι
πάλλων ὄβριμον ἔγχος· ἕλεν δ' Ὀρυθάονα δῖον,
Ἕκτορος ἐσθλὸν ἑταῖρον, ἐπὶ κροτάφοιο τυχήσας·
οὐ γάρ οἱ κόρυς ἔσχε μακρὸν δόρυ, καὶ μεμαῶτος,
ἀλλὰ δι' αὐτῆς αἶψα καὶ ὀστέου ἔνδον ἵκανεν
ἶνας ἐς ἐγκεφάλοιο· κέασσε δέ οἱ θαλερὸν κῆρ.
Ἱππόνοον δ' ἐδάμασσε, κατ' ὀφρύος ἔνδον ἐρείσας
ἐς θέμεθλ' ὀφθαλμοῖο· χαμαὶ δέ οἱ ἔκπεσε γλήνη
ἐκ βλεφάρων· ψυχὴ δὲ κατ' Ἄϊδος ἐξεποτήθη.
Ἀλκιθόου δ' ἄρ' ἔπειτα διὰ γναθμοῖο περήσας
γλῶσσαν ὅλην ἀπέκερσεν· ὁ δ' ἐς πέδον ἤριπε γαίης
ἐκπνείων· αἰχμὴ δὲ δι' οὔατος ἐξεφαάνθη.

interficiens hominem divinum, quem, Diis cum aliis
nectar libans, precatus-es filium nasci
ex Thetide Peleo, tuique oblitus-es voti,
opem dum-fers populis validi Laomedontis,
apud quem armenta-pavisti, isque *te* immortalem
mortalis ærumnis-affecit; tu tamen insipiens animo
opem fers Trojanis, oblitus quanta perpessus-sis.
Improbe, nondum cognitum-habes mente vesana,
neque quis impius et dignus tristia pati,
neque quis apud Deos honorabilis *sit:* enim vero Achilles
benignus in-nos erat, et a nobis genus ducebat.
Attamen non propterea Trojanis levius negotium arbitror
fore, Æacida occiso: nam hujus
natus e Scyro propediem ad immite bellum
Argivis præsidio veniet, æquiparans robore
patrem suum, et plurimis malum hostibus afferet.
Nec adeo tibi Trojanorum cura-est, verum Achilli
virtutem invidisti, quod esset præstantissimus hominum
Stulte, quomodo in-posterum tuis oculis Thetin
aspicies, inter immortales Jovis ad ædes euntem,
quæ te prius coluit et tanquam carum suspexit filium?
Dixit, magnis probris-incessens præpotentis Jovis natum,
Juno animi-cruciata. At is nullo respondit verbo,
reverebatur enim uxorem sui patris invicti,
nec eam oculis exadversum obtueri
potuit, sed seorsum a-Diis æternis
resedit, dejectis-humi-oculis. Graviter vero illi succensebant] dii in Olympo, qui Danaos tutabantur;
qui vero Trojanis cupiebant palmam tradere,
ii ipsum laudabant, intimo pectore lætantes,
clam Junone: cuncti enim palam Cœlites
formidabant iratam. At nondum remiserat ferociam
Pelides; nam adhuc ejus vastis in membris
fervebat sanguis ater, cupientis pugnare:
nec ad-ipsum Trojanorum ullus audebat propius accedere
prostratum, sed procul absistebant, velut a-leone
rustici in silva perplexi, quem perculit
venator; isque nequaquam, transfixus cor venabulo,
obliviscitur fortitudinis, sed torquet truculentos oculos,
tremendum immani rictu infrendens:
ita Pelidæ et ira et exitiale vulnus
animum acriter stimulabant, sed Dei eum sagitta deprimebat;] nihilominus tamen raptim-surrexit et incurrit in hostes] quassans validam hastam; confoditque Orythaona eximium,]Hectoris probatum socium, ad tempora forte-ictum:
non enim ipsius cassis impediit oblongam hastam quamlibet
cupientis,] sed per eam subito etiam trans ossa penetravit
in fibras cerebri, et diffidit ei floridum cor.
Hipponoum dein profligavit, circa supercilium *hasta* infixa] in fundamenta oculi, humique ipsi decidit pupula
e palpebris, et anima ad Orcum evolavit.
Alcithoi posthac mala transverberata
linguam totam præcidit, qui in solum procubuit terræ
exspirans; mucroque per aurem eminebat.

Καὶ τοὺς μὲν κατέπεφνε, καταντίον ἀΐσσοντας,
δῖος ἀνήρ· πολλῶν δὲ καὶ ἄλλων θυμὸν ἔλυσε
φευγόντων· ἔτι γάρ οἱ ἐνὶ φρεσὶν ἔζεεν αἷμα.
Ἀλλ' ὅτε οἱ ψύχοντο μέλη, καὶ ἀπῄϊε θυμὸς,
ἔστη ἐρεισάμενος μελίῃ ἔπι. Τοὶ δ' ἐφέβοντο
πανσυδίῃ τρομέοντες, ὁ δέ σφισι τοῖον ὁμόκλα·
Ἆ δειλοὶ Τρῶες καὶ Δάρδανοι, οὐδὲ θανόντος
ἔγχος ἐμὸν φεύξεσθε ἀμείλιχον, ἀλλ' ἅμα πάντες
... τίσετ' ὄλεθρον Ἐριννύσιν ἡμετέρῃσιν.
Ὣς φάτο· τοὶ δ' ἀΐοντες ὑπέτρεσαν, εὖτ' ἐν ὄρεσσι
φθόγγον ἐριβρύχοιο νεβροὶ τρομέωσι λέοντος,
δείλαιοι, μέγα θῆρα πεφυζότες· ὣς ἄρα λαοὶ
Τρώων ἱπποπόλων ἠδ' ἀλλοδαπῶν ἐπικούρων
ὑστατίην Ἀχιλῆος ὑποτρομέεσκον ὁμοκλὴν,
ἐλπόμενοί μιν ἔτ' ἔμμεν' ἀνούτατον· ὃς δ' ὑπὸ πότμῳ
θυμὸν τολμήεντα καὶ ὄβριμα γυῖα βαρυνθεὶς
ἤριπεν ἀμφὶ νέκυσσιν, ἀλίγκιος οὔρεϊ μακρῷ·
γαῖα δ' ὑπεπλατάγησε, καὶ ἄσπετον ἔβραχε τεύχη,
Πηλεΐδαο πεσόντος ἀμύμονος. Οἱ δ' ἔτι θυμῷ,
δήϊον εἰσορόωντες, ἀπειρέσιον τρομέεσκον.
Ὡς δ' ὅτε θῆρα δαφοινὸν, ὑπ' αἰζηοῖσι δαμέντα,
μῆλα περιτρομέουσι, περὶ σταθμὸν ἀθρήσαντα
βλημένον, οὐδέ οἱ ἄγχι παρελθέμεναι μεμάασιν,
ἀλλὰ καὶ ὡς ζώοντα, νέκυν περιπεφρίκασιν·
ὣς Τρῶες φοβέοντο καὶ οὐκ ἔτ' ἐόντ' Ἀχιλῆα.
Ἀλλὰ καὶ ὣς ἐπέεσσι Πάρις μέγα θαρσύνεσκε
λαὸν, ἐπεὶ φρεσὶν ᾗσιν ἐγήθεεν· ἦ γὰρ ἐώλπει
Ἀργείους παύσασθαι ἀμαιμακέτοιο κυδοιμοῦ,
Πηλεΐδαο πεσόντος· ὁ γὰρ Δαναοῖς πέλεν ἀλκή·
Ὦ φίλοι, εἰ ἐτεόν μοι ἀρήγοιτ' εὐμενέοντες,
σήμερον ἠὲ θάνωμεν ὑπ' Ἀργείοισι δαμέντες,
ἠὲ σαωθέντες ποτὶ Ἴλιον εὐρύσωμεν
ἵπποις Ἑκτορέοισι δεδουπότα Πηλείωνα,
οἵ μ' ἐς δηϊοτῆτα, κασιγνήτοιο θανόντος,
ἀχνύμενοι φορέουσιν, ἑὸν ποθέοντες ἄνακτα.
Τοῖς εἴ πως ἐρύσαιμεν Ἀχιλλέα δῃωθέντα,
ἵπποις μὲν μέγα κῦδος ὀρέξομεν, ἠδὲ καὶ αὐτῷ
Ἕκτορι, εἴ γε τὶς ἐστὶ κατ' Ἄϊδος ἀνθρώποισιν
ἢ νόος, ἠὲ θέμιστες· ὁ γὰρ κακὰ μήσατο Τρωσὰς·
καί μιν Τρωϊάδες, μεγάλα φρεσὶ καγχαλόωσαι,
ἀμφιπεριστήσονται ἀνὰ πτόλιν, ἠΰτε λυγραὶ
παρδάλιες τεκέων κεχολωμέναι, ἠὲ λέαιναι,
ἀνδρὶ πολυκμήτῳ μογερῆς ἐπιίστορι θήρης·
ὣς Τρωαὶ περὶ νεκρὸν ἀποκταμένου Ἀχιλῆος
ἀθρόαι ἀΐξουσιν, ἀπειρέσιον κοτέουσαι·
αἱ μὲν ὑπὲρ τοκέων κεχολωμέναι, αἱ δὲ καὶ ἀνδρῶν,
αἱ δ' ἄρ' ὑπὲρ παίδων, αἱ δὲ γνωτῶν ἐριτίμων.
Γηθήσει δὲ μάλιστα πατὴρ ἐμὸς, ἠδὲ γέροντες,
ὅσσους οὐκ ἐθέλοντας ἐν ἄστεϊ γῆρας ἐρύκει,
τὸν δ' ἡμεῖς εἴπερ τε ποτὶ πτόλιν εἰρύσαντες
θήσομεν οἰωνοῖσιν ἀερσιπέτῃσιν ἐδωδήν.
Ὣς φάτο· τοὶ δὲ νέκυν κρατερόφρονος Αἰακίδαο
ἀμφέβαν ἐσσυμένως, οἵ μιν φοβέοντο πάροιθεν,
Γλαῦκος τ' Αἰνείας τε καὶ ὀβριμόθυμος Ἀγήνωρ

Et hos quidem occidit, ex-adverso irruentes,
divinus vir; sed multorum etiam aliorum vitam solvit
fugientium: adhuc enim ipsi in pectore fervebat sanguis.
At cum ejus frigescerent artus, et abscederet spiritus,
constitit innixus fraxino. Illi (*hostes*) interim fugerunt
confertim trementes; is vero ipsos ita increpuit:
Vah timidi Troes et Dardani! ne exstincti quidem
hastam meam evadetis immitem, sed simul omnes
persolvetis atrocem interitum Furiis nostris.
Sic aiebat; at illi audientes pavitabant, perinde-ac-si
in monte] rugitum frementis hinnuli tremiscant leonis
imbelles, immanem belluam fugientes: sic agmina
Trojanorum equestrium et alienigenarum sociorum
ultimum Achillis expavescebant clamorem,
rati ipsum adhuc non-vulneratum esse, qui fato
animum audacem et fortia membra gravatus,
procubuit inter cadavera, similis monti magno;
tellusque intremuit, magnumque fragorem-dederunt arma,
Pelida cadente eximio. Illi autem adhuc animo,
hostem respicientes, vehementer trepidabant.
Perinde-ac-si belluam cruentam, a juvenibus confectam,
oves circumtrepidant, juxta ovilia ubi-viderint
stratam, nec ad-eam prope accedere audent,
sed etiam tanquam vivam, mortuam exhorrent;
ita Trojani formidabant, etiam non superstitem, Achillem.
Attamen nihilominus dictis Paris non-parum acuebat
exercitum, cum animo suo exultaret; namque sperabat
Argivos quieturos-esse a cruento bello,
Pelida everso. Hic enim Danaum erat columen.
Amici, si vere mihi auxilium-præstatis benevolentes,
hodie aut moriamur ab Argivis debellati,
aut sospites versus Ilium raptemus
equis Hectoreis interemptum Pelidam,
qui me ad certamen, fratre exstincto,
mœsti ferunt, suum desiderantes herum.
Quibus si forte abstraxerimus Achillem cæsum,
equis grande decus conciliabimus, et ipsi
Hectori, si ullus est in Orco mortalibus
sensus jurisve-respectus. Ille enim dira meditatus-fuit
in-Trojanos;] et ipsum Troades, magna animos lætitia-perfusæ,] circumstabunt in urbe, ceu feroces
pantheræ ob-catulos sævientes, vel leænæ,
virum exercitatum, operosæ peritum venationis:
sic Trojanæ circa cadaver confossi Achillis
magna-frequentia confluent ingenti ira-percitæ,
aliæ propter parentes indignatæ, aliæ *propter* maritos,
aliæ etiam super filiis, aliæ *super* honoratis fratribus.
Gaudebit vero maxime pater meus, et seniores,
quos nolentes in urbe senectus retinet.
hunc si nos in urbem tractum
proponemus avibus altivolantibus escam.
Sic ait: illi igitur cadaver fortis Æacidæ
corona-cinxerunt repente, qui eum horruerant antea,
Glaucus et Æneas et firmo-pectore Agenor

ἄλλοι τ' οὐλομένοιο δαήμονες ἰωχμοῖο,
εἰρῦσαι μεμαῶτες ἐς Ἰλίου ἱερὸν ἄστυ.
Ἀλλά οἱ οὐκ ἀμέλησε θεοῖς ἐναλίγκιος Αἴας,
ἀλλὰ θοῶς περίβη· πάντας δ' ἀπὸ δούρατι μακρῷ
ὦθει ἀπὸ νέκυος· τοὶ δ' οὐκ ἀπέληγον ὁμοκλῆς,
ἀλλά οἱ ἀμφεμάχοντο περισταδὸν, ἀΐσσοντες
αἰὲν ἐπασσύτεροι, τανυχειλέες εὖτε μέλισσαι,
αἵ ῥά θ' ἑὸν περὶ σίμβλον ἀπειρέσιαι ποτέονται,
ἄνδρ' ἀπαμυνόμεναι, ὁ δ' ἄρ' οὐκ ἀλέγων ἐπιούσας,
κηροὺς ἐκτάμνησι μελίχροας, αἱ δ' ἀκάχονται
καπνοῦ ὑπὸ ῥιπῆς ἠδ' ἀνέρος, ἀλλ' ἄρα καὶ ὣς
ἀντίαι ἀΐσσουσιν, ὁ δ' οὐκ ὄθετ', οὐδ' ἄρα βαιόν·
ὣς Αἴας τῶν οὔτι μάλ' ἐσσυμένων ἀλέγιζεν,
ἀλλ' ἄρα πρῶτον ἐνήρατ', ὑπὲρ μαζοῖο τυχήσας,
Μαιονίδην Ἀγέλαον, ἔπειτα δὲ Θέστορα δῖον·
εἷλε δ' ἄρ' Ἀρκύθοον καὶ Ἀγέστρατον ἠδ' Ἀγάνιππον,
Ζωρόν τε Νίσσον τε περικλειτόν τ' Ἐρύμαντα,
ὃς Λυκίηθεν ἵκανεν ὑπαὶ μεγαλήτορι Γλαύκῳ·
ναῖε δ' ὅγ' αἰπεινὸν Μελανίππιον, ἱρὸν Ἀθήνης,
ἀντία Μασσικύτοιο, Χελιδονίης σχεδὸν ἄκρης,
τὴν μέγ' ὑποτρομέουσι τεθηπότες εἰν ἁλὶ ναῦται,
εὖτε περιγνάμπτωσι μάλα στυφελὰς περὶ πέτρας·
τοῦ δ' ἄρ' ἀποφθιμένοιο κλυτὸς πάϊς Ἱππολόχοιο
παχνώθη κατὰ θυμὸν, ἐπεί ῥά οἱ ἔσκεν ἑταῖρος·
καί ῥα θοῶς Αἴαντα κατ' ἀσπίδα πουλυβόειαν
οὔτασεν· ἀλλά οἱ οὔτι διήλασεν ἐς χρόα καλόν·
ῥινοὶ γάρ μιν ἔρυντο βοῶν, καὶ ὑπ' ἀσπίδι θώρηξ,
ὅς ῥά οἱ ἀκαμάτοισι περὶ μελέεσσιν ἀρήρει·
Γλαῦκος δ' οὐκ ἀπέληγεν ἀταρτηροῖο κυδοιμοῦ,
Αἰακίδην Αἴαντα δαμασσέμεναι μενεαίνων,
καί οἱ ἐπευχόμενος μέγ' ἀπείλεεν ἄφρονι θυμῷ·
Αἶαν, ἐπεὶ νύ σε φασὶ μέγ' ἔξοχον ἔμμεναι ἄλλων
Ἀργείων, σοὶ δ' αἰὲν ἔπι φρονέουσι μάλιστα
ἄσπετον, ὡς Ἀχιλῆϊ δαΐφρονι, τῷ σε θανόντι
ποιῶ συνθανέεσθαι ἐπ' ἤματι τῷδε καὶ αὐτόν.
Ὣς ἔφατ' ἀκράαντον ἱεὶς ἔπος· οὐδέ τι ᾔδη,
ὅσσον ἀμείνονος ἀνδρὸς ἐναντίον ἔγχος ἐνώμα.
Τὸν δ' ὑποδερκόμενος προσέφη μενεδήϊος Αἴας·
Ἆ δειλ', οὔτοι οἶδας, ὅσον σέο φέρτερος Ἕκτωρ
ἔπλετ' ἐνὶ πτολέμοισι; μένος δ' ἀλέεινε καὶ ἔγχος
ἡμέτερον· πινυτὸν γὰρ ὁμῶς ἔχε κάρτεϊ θυμόν·
σοὶ δ' ἤτοι νόος ἐστὶ ποτὶ ζόφον, ὅς ῥά μοι ἔτλης
ἐς μόθον ἐλθέμεναι, μέγ' ἀμείνονί περ γεγαῶτι.
Οὐ γάρ μευ ξεῖνος πατρώϊος εὔχεαι εἶναι,
οὐδέ με δωτίνῃσι παραιφάμενος πολέμοιο
νόσφιν ἀποστρέψεις, ὡς Τυδέος ὄβριμον υἷα·
ἀλλὰ καὶ εἰ κείνοιο φύγες μένος, οὔ σέ τ' ἔγω γε
ζωὸν ἀπὸ πτολέμοιο μεθήσομαι ἀπονέεσθαι.
Ἦ ἄλλοισι πέποιθας ἀνὰ κλόνον, οἳ μετὰ σεῖο,
μυίαις οὐτιδανῇσιν ἐοικότες, ἀΐσσουσιν
ἀμφὶ νέκυν Ἀχιλῆος ἀμύμονος; ἀλλ' ἄρα καὶ τοῖς
δώσω ἐπεσσυμένοις θάνατον καὶ κῆρας ἐρεμνάς.
Ὣς εἰπὼν Τρώεσσιν ἐνεστρωφᾶτο, λέων ὣς
ἐν κυσὶν ἀγρευτῇσι κατ' ἄγκεα μακρὰ καὶ ὕλην·

atque alii pernicialis periti belli,
abripere *eum* conantes ad Ilii augustam urbem.
Verum eum non neglexit diis æquiparandus Ajax,
quin subito propugnaret: omnes igitur hasta longa
repulit a cadavere, qui tamen non intermiserunt impressionem,] sed ipsum impugnarunt circumquaque, irruentes
subinde densiores, veluti protensis-labiis apes,
quæ suum circa alveare innumeræ volitant,
virum ut-arceant, qui tamen non magnifaciens invadentes,
favos castrat mellitos, atque illæ cruciantur
fumi impetu et viri; tamen nihilominus
contra tendunt; is vero nullam *ipsarum* rationem-habet, ne
minimam quidem:] sic Ajax hos irruentes nihili fecit:
sed primum necavit, supra mammam contingens,
Mæonidem Agelaum, et deinceps Thestora divum,
stravitque Arcythoum et Agestratum atque Aganippum,
Zorumque et Nissum prælustremque Erymantem,
qui ex-Lycia venerat sub (*duce*) magnanimo Glauco;
accolebat autem is celsum Melanippium, fanum Minervæ,
e-regione Masicyti, Chelidonium juxta promontorium,
quod magnopere formidant attoniti in mari nautæ,
quando inflectunt *naves* asperrimas circum petras:
hoc itaque extincto, illustris filius Hippolochi
mœrore-diriguit animi; nam ejus erat contubernalis;
et protinus Ajacis scutum e-multis-boum-coriis-confectum
verberavit, sed non impegit ejus in corpus venustum;
tergora enim illum tutabantur boum et sub clypeo thorax,
qui ejus indefessis membris circumhærebat.
Glaucus vero non destitit a-nocivo conflictu,
Æacidam Ajacem debellare contendens,
et ipsi glorians admodum minabatur insipienti animo:
Ajax, quandoquidem te ferunt valde excellere præ-aliis
Argivis, et ob te semper superbiunt potissimum
supra-modum, non-minus-quam Achillem bella-edoctum,
cum-quo mortuo te] faciam mori hoc die et ipsum.
Sic loquebatur irritum edens verbum, nec perpendebat,
quanto superiorem contra virum hastam vibraret.
Quem limis-intuitus-oculis, *sic* compellavit fortis Ajax:
O miser, nonne cognitum-habes, quanto te potior Hector
fuerit in bello? et-tamen vim subterfugit et hastam
nostram; prudentem enim conjunxerat cum virtute mentem;] at tibi sane animus tendit ad tenebras, qui mihi non
-vereris] in certamen venire, quamvis longe præstantior
sim.] Non enim mei hospes patris jactas te-esse,
nec me muneribus demulsum a-bello
procul avertes, ut Tydei fortem natum:
sed, etsi illius effugisti vim, non tamen te ego
vivum ex prælio sinam redire.
An aliis confidis in acie, qui tecum,
muscis vilibus comparandi, vagantur
circa cadaver Achillis laudati? sed et hos
donabo, si-appropinquent, morte et Parcis nigris.
Sic fatus inter Trojanos se-vertebat, tanquam leo
inter canes venaticos per convalles longas et silvam;

πολλοὺς δ' αἶψ' ἐδάμασσε, μεμαότας εὖχος ἀρέσθαι,
Τρῶας ὁμῶς Λυκίοισι· περιτρομέοντο δὲ λαοὶ,
ἰχθύες ὡς ἀνὰ πόντον, ἐπερχομένου ἀλεγεινοῦ
κήτεος ἢ δελφῖνος ἁλιτρεφέος μεγάλοιο·
ὣς Τρῶες φοβέοντο βίην Τελαμωνιάδαο,
αἰὲν ἐπεσσυμένοιο κατὰ κλόνον· ἀλλ' ἄρα καὶ ὣς
μάρναντ', ἀμφὶ δὲ νεκρὸν Ἀχιλλέος ἄλλοθεν ἄλλοι
μυρίοι ἐν κονίῃσιν, ὅπως σύες ἀμφὶ λέοντα,
κτείνοντ'· οὐλομένη δὲ περὶ σφίσι δῆρις ὀρώρει.
Ἔνθα καὶ Ἱππολόχοιο δαΐφρονα δάμνατο παῖδα
Αἴας ὀβριμόθυμος· ὁ δ' ὕπτιος ἀμφ' Ἀχιλῆα
κάππεσεν, εὖτ' ἐν ὄρεσσι περὶ στερεὴν δρύα-θάμνος·
ὣς ὅγε δουρὶ δαμεὶς, περικάππεσε Πηλείωνι
βλήμενος· ἀμφὶ δέ οἱ κρατερὸς πάϊς Ἀγχίσαο
πολλὰ πονησάμενος, σὺν ἀρηϊφίλοις ἑτάροισιν
εἴρυσεν εἰς Τρῶας, καὶ ἐς Ἰλίου ἱερὸν ἄστυ
δῶκε φέρειν ἑτάροισι, μέγ' ἀχνυμένοις περὶ θυμῷ·
αὐτὸς δ' ἀμφ' Ἀχιλῆϊ μαχέσκετο· τὸν δ' ἄρα δουρὶ
μυῶνος καθύπερθεν ἀρήϊος οὔτασεν Αἴας
χειρὸς δεξιτερῆς· ὁ δ' ἄρ' ἐσσυμένως ἀπόρουσεν
ἐξ ὀλοοῦ πολέμοιο, κίεν δ' ἄφαρ ἄστεος εἴσω·
ἀμφὶ δέ οἱ πονέοντο περίφρονες ἰητῆρες,
οἵ ῥά οἱ αἷμα κάθηραν ἀφ' ἕλκεος, ἀλλά τε πάντα
τεῦχον, ὅσ' οὐταμένων ὀλοὰς ἀκέονται ἀνίας.
Αἴας δ' αἰὲν ἐμάρνατ', ἀλίγκιος ἀστεροπῇσι,
κτείνων ἄλλοθεν ἄλλον, ἐπεὶ μέγα τείρετο θυμῷ,
ἀχνύμενος κῆρ αἰὲν ἀνεψιοῖο δαμέντος.
Ἄγχι δὲ Λαέρταο δαΐφρονος υἱὸς ἀμύμων
μάρνατο δυσμενέεσσι· φοβοῦντο δέ μιν μέγα λαοί·
κτεῖνε δὲ Πείσανδρόν τε θοὸν, καὶ Ἀρήϊον υἷα
Μαινάλου, ὃς ναίεσκε περικλυτὸν οὖδας Ἀβύδου·
τῷ δ' ἔπι δῖον ἔπεφνεν Ἀτύμνιον, ὅν ποτε Νύμφη
Πηγασὶς ἠΰκομος σθεναρῷ τέκεν Ἠμαλίωνι,
Γρηνίκου ποταμοῖο παρὰ ῥόον· ἀμφὶ δ' ἄρ' αὐτῷ
Πρωτέος υἷα δάϊξεν Ὀρέσβιον, ὅς τε μακεδνῆς
Ἴδης ναιετάασκεν ὑπὸ πτύχας, οὐδέ ἑ μήτηρ
δέξατο νοστήσαντα περικλειτὴ Πανάκεια,
ἀλλ' ἐδάμη παλάμῃσιν Ὀδυσσέος, ὅς τε καὶ ἄλλων
πολλῶν θυμὸν ἔλυσεν ὑπ' ἔγχεϊ μαιμώωντι,
κτείνων ὅν κε κίχῃσι περὶ νέκυν· ἀλλά μιν Ἄλκων,
υἱὸς ἀρηϊθόοιο Μεγακλέος, ἔγχεϊ τύψε
πὰρ γόνυ δεξιτερὸν, περὶ δὲ κνημῖδα φαεινὴν
ἔβλυσεν αἷμα κελαινόν· ὁ δ' ἕλκεος οὐκ ἀλέγιζεν,
ἀλλ' ἄφαρ οὐτήσαντι κακὸν γένεθ', οὕνεκ' ἄρ' αὐτὸν,
ἱέμενον πολέμοιο, δι' ἀσπίδος οὔτασε δουρί·
ὦσε δέ μιν μεγάλῃ τε βίῃ καὶ κάρτεϊ χειρὸς
ὕπτιον ἐς γαῖαν· κανάχησε δέ οἱ περὶ τεύχη,
βλημένου ἐν κονίῃσι· περὶ μελέεσσι δὲ θώρηξ
δεύετο φοινήεντι λύθρῳ· ὁ δὲ λοίγιον ἔγχος
ἐκ χροὸς ἐξείρυσσε καὶ ἀσπίδος· ἕσπετο δ' αἰχμῇ
θυμὸς ἀπὸ μελέων, ἔλιπεν δέ μιν ἄμβροτος αἰών·
τοῦ δ' ἑτάροις ἐπόρουσε καὶ οὐταμενός περ Ὀδυσσεύς,
οὐδ' ἀπέληγε μόθοιο δυσηχέος. Ὣς δὲ καὶ ἄλλοι
πάντες ὁμῶς ἐπιμὶξ Δαναοὶ μέγαν ἀμφ' Ἀχιλῆα

et plurimos statim prostravit, cupidos gloriam reportandi,
tam Troas quam Lycios; et contremuerunt cohortes,
ut pisces in ponto, adveniente tristi
ceto aut delphino maris-alumno grandi:
ita Troes metuebant robur Telamoniadæ,
pertinaciter instantis in conflictu; sed tamen etiam sic
pugnam-capessebant, et circa cadaver Achillis alibi alii,
sine-numero, in pulvere, velut sues circa leonem,
trucidabantur, ac funesta inter eos contentio existebat.
Ibi etiam Hippolochi pugnacem stravit natum
Ajax magnanimus, qui supinus prope Achillem
procubuit, sicut in silvis juxta duram quercum virgultum:
ita is hasta ictus lapsus-est-juxta Pelidam:
confossus; proque illo validus filius Anchisæ
multis laboribus-exhaustis, Mavortiorum ope commilitonum] traxit *cadaver* ad Trojanos, et in Ilii sacram urbem
dedit asportandum amicis, magno cruciatu-affectis animi:
ipse vero pro Achille propugnabat; sed illum hasta
supra musculum martius percussit Ajax
manus dexteræ; quare continuo abscessit
e perniciali bello, ac se-recepit mox in urbem:
circaque ipsum occupati-erant periti medici,
qui sanguinem exterserunt ex vulnere, et alia cuncta
peregerunt, quæ vulneratorum sævas sanant ægritudines.
Ajax autem semper pugnabat, similis fulgetro,
interficiens alibi alium: nam valde angebatur animi,
dolens in-corde perpetuo ob-patruelem cæsum.
Et prope Laertæ prudentis filius egregius
contendebat cum-hostibus, eumque formidabant valde agmina:] interemit autem Pisandrum celerem et Areium,
natum] Mænali, qui incolebat nobile solum Abydi:
post quem præstantem morte-affecit Atymnium, quem olim
Nympha] Pegasis pulcricoma forti enixa-est Emalioni,
Granici amnis ad fluentum; juxtaque illum
Protei natum tranfixit Oresbium, qui altæ
Idæ habitabat sub striis; nec eum mater
excepit reducem præclara Panacea,
sed succubuit palmis Ulyssis, qui et aliorum
complurium vitam rupit hasta sæviente,
trucidans quemcumque offendit prope cadaver. Sed ipsum
Alcon,] filius bello-expediti Megaclis, pilo percussit
in genu dextrum: circa igitur splendidam ocream
effluxit sanguis niger: verum hic vulneris nullam curam
-habuit,] quin subito vulneris-autori perniciem creavit;
nam ipsum,] avidum pugnæ, per scutum vulneravit hasta,
et impulit eum magna vi ac robore manus
supinum ad terram, strepueruntque circa ipsum arma
stratum in pulvere, et circum membra lorica
maduit puniceo cruore. Ille autem feralem hastam
ex corpore evellit et scuto, et secuta-est cuspidem
anima ex artubus, et deseruit illum divina vita.
Inde ejus socios invasit, quamvis saucius, Ulysses,
nec finem-fecit pugnæ turbulentæ. Ita vero et alii
omnes simul promiscue Danai magno pro Achille

προφρονέως ἐμάχοντο, πολὺν δ' ὑπὸ χείρεσι λαὸν
ἐσσυμένως ἐδάϊζον ἐϋξέστης μελίῃσιν.
Εὖτ' ἄνεμοι θοὰ φύλλα κατὰ χθονὸς ἀμφιχέωνται,
λάβρον ἐπιβρίσαντες ἐπ' ἄλσεα ὑλήεντα,
ἀρχομένου λυκάβαντος, ὅτε φθινύθουσιν ὀπῶραι·
ὣς τοὺς ἐγχείῃσι βάλον Δαναοὶ μενεχάρμαι·
μέμβλετο γὰρ πάντεσσιν Ἀχιλλέος ἀμφὶ θανόντος,
ἐκπάγλως δ' Αἴαντι δαΐφρονι· τοὔνεκ' ἄρ' ἔμπης
Τρῶας ἄδην ἐδάϊζε, κακῇ ἐναλίγκιος αἴσῃ.
Τῷ δ' ἐπὶ τόξ' ἐτίταινε Πάρις· τὸν δ' αἶψα νοήσας
κάββαλε χερμαδίῳ κατὰ κράατος· ἐν δ' ἄρα θλάσσεν
ἀμφίφαλον κυνέην ὀλοὸς λίθος· ἀμφὶ δέ μιν νὺξ
μάρψεν· ὁ δ' ἐν κονίῃσι κατήριπεν, οὐδέ οἱ ἰοὶ
ἤρκεσαν ἱεμένῳ· ἐκέχυντο δ' ἄρ' ἄλλυδις ἄλλοι
ἐν κονίῃ· κενεὴ δὲ παρεκτετάνυστο φαρέτρη·
τόξον δ' ἔκφυγε χεῖρε· φίλοι δέ μιν ἁρπάξαντες,
ἵπποις Ἑκτορέοισι φέρον ποτὶ Τρώϊον ἄστυ
βαιὸν ἔτ' ἀμπνείοντα καὶ ἀργαλέον στενάχοντα·
οὐδὲ μὲν ἔντε' ἄνακτος ἑκὰς λίπον, ἀλλὰ καὶ αὐτὰ
ἐκ πεδίοιο κόμισσαν ἑῷ βασιλῆϊ φέροντες.
Τῷ δ' Αἴας ἐπὶ μακρὸν ἀΰτεεν ἀσχαλόων κῆρ·
Ὦ κύον, ὡς θανάτοιο βαρὺ σθένος ἐξυπάλυξας
σήμερον· ἀλλά σοι εἶθαρ ἐλεύσεται ὕστατον ἦμαρ,
ἤ τινος Ἀργείων ὑπὸ χείρεσιν, ἢ ἐμεῦ αὐτοῦ·
νῦν δ' ἐμοὶ ἄλλα μέμηλε περὶ φρεσίν, ὡς Ἀχιλῆος
ἐκ φόνου ἀργαλέοιο νέκυν Δαναοῖσι σαώσω.
Ὣς εἰπὼν, δηΐοισι κακὰς ἐπὶ κῆρας ἴαλλεν,
οἵ τ' ἔτι δηριόωντο νέκυν πέρι Πηλείωνος.
Οἱ δέ οἱ ὡς ἄθρησαν ὑπὸ σθεναρῇσι χέρεσσι
πολλοὺς ἐκπνείοντας, ὑπέτρεσαν, οὐδ' ἔτι μίμνον,
οὐτιδανοῖς γύπεσσιν ἐοικότες, οὕς τε φοβήσῃ
αἰετὸς οἰωνῶν προφερέστατος, εὖτ' ἐν ὄρεσσι
πώεα δαρδάπτωσι λύκοις ὑποδμηθέντα·
ὣς τοὺς, ἄλλυδις ἄλλον, ἀπεσκέδασε θρασὺς Αἴας
χερμαδίοισι θοοῖσι καὶ ἄορι καὶ μένεϊ ᾧ·
οἱ δὲ μέγα τρομέοντες ἀπὸ πτολέμοιο φέβοντο
πανσυδίῃ, ψήρεσσιν ἐοικότες, οὕς τε δαΐζων
κίρκος ἐπισσεύει· τοὶ δ' ἰλαδὸν ἄλλος ἐπ' ἄλλῳ
ταρφέες ἀΐσσουσιν, ἀλευόμενοι μέγα πῆμα·
ὣς οἵγ' ἐκ πολέμοιο ποτὶ Πριάμοιο πόληα
φεῦγον ὀϊζυρῶς ἐπιειμένοι ἀκλέα φύζαν,
Αἴαντος μεγάλοιο περιτρομέοντες ὁμοκλὴν,
ὅς ῥ' ἕπετ' ἀνδρομέῳ πεπαλαγμένος αἵματι χεῖρας.
Καί νύ κε δὴ μάλα πάντας ἐπασσυτέρους ἀπόλεσσεν,
εἰ μὴ πεπταμένῃσι πύλῃς ἐσέχυντο πόληα,
βαιὸν ἀναπνείοντες, ἐπεὶ φόβος ἦτορ ἵκανεν.
Τοὺς δ' ἔλσας ἀνὰ ἄστυ, νομεὺς ὡς αἰόλα μῆλα,
ἤϊεν ἐς πεδίον, χθόνα δ' οὐ ποσὶ μάρπτεν ἑοῖσιν,
ἐμβαίνων τεύχεσσι καὶ αἵματι καὶ κταμένοισι·
κεῖτο γὰρ εὐρὺς ὅμιλος ἀπειρεσίη ἐπὶ γαίῃ
ἄγρις ἐφ' Ἑλλήσποντον ἀπ' εὐρυχόροιο πόληος
αἰζηῶν κταμένων, ὁπόσους λάχε δαίμονος αἶσα.
Ὡς δ' ὅτε λήϊον αὖον ὑπ' ἀμητῆρσι πέσῃσι,
πυκνὸν ἐὸν, τὰ δὲ πολλὰ καταυτόθι δράγματα κεῖται

studiose propugnarunt, et numerosam manibus turbam
rapide trucidarunt lævibus fraxinis.
Sicut venti levia folia humi dispergunt,
magno-impetu incumbentes in nemora silvosa,
incipiente anno, quando exit autumnus:
ita illos hastis straverunt Danai martipotentes:
solicitudo enim-erat omnibus de Achille defuncto,
insigniter autem Ajaci belli-gnaro; ideo acriter
Trojanos pro-libitu cædebat, letali assimilis fato.
In hunc vero arcum tetendit Paris, quem subito, re-animadversa,] percussit lapide in caput, et fregit
cristatam galeam tristis silex: statim igitur illum nox
corripuit, qui in pulverem collapsus-est, neque ipsi sagittæ
succurrerunt pro-votis; disjectæ-vero fuerant alio aliæ
in pulverem, et inanis prope-extensa-erat pharetra:
arcus etiam exciderat e-manibus. Amici igitur eum abreptum] equis Hectoreis asportabant ad Trojanam urbem,
modice adhuc spirantem et tristia suspiria-ducentem:
nec tamen arma domini posthabuerunt; sed et ipsa
e campo retulerunt ad-suum principem (portantes).
Quem Ajax magnopere increpuit indignans animo:
O canis, quomodo mortis grave robur evasisti
hodie! sed tibi statim adferetur novissima dies,
aut alicujus Argivum manibus, aut meis ipsius.
Nunc autem mihi alia curæ-sunt apud animum: quomodo
Achillis] corpus e strage funesta Danais servem.
Hæc locutus, hostibus sævum fatum injecit,
qui adhuc certabant circa cadaver Achillis.
Sed ut ipsius viderunt robustis manibus
multos exspirare, tremebant nec amplius resistebant,
ignavis vulturibus similes, quos terret
aquila volucrum præstantissima, quando in collibus
oves dilacerant a-lupis occisas:
sic illos, alio alium, dissipavit animosus Ajax
lapidibus rapidis et ense et fortitudine sua:
quare valde consternati ex acie fugiebant
turmatim, sturnis similes, quos infestans
accipiter persequitur; hi gregatim alius post alium
frequentes avolant, devitantes grave exitium:
non-aliter illi e pugna ad Priami urbem
fugiebant misere induti turpem timorem,
Ajacis*que* magni expavescentes minas,
qui sectabatur humano pollutus cruore manus.
Ac tum jam omnino omnes, unum-post-alium, delevisset,
nisi per-apertas portas infusi-essent in-urbem,
vix spiritum-ducentes, quod metus cor circumvenerat.
Hos igitur cum-propulisset in urbem, ut pastor varias oves,
rediit in campum, nec solum pedibus attigit suis,
incedens per-arma et sanguinem et cadavera.
Jacebat enim diffusa turba spatiosa in terra,
usque ad Hellespontum ab latipatente oppido,
juvenum cæsorum, quibus obvenerat dæmonis fatum.
Ut, cum seges arida a messoribus dejicitur,
densa quæ-est, multique illic manipuli jacent

βριθόμενα σταχύεσσι, γέγηθε δὲ θυμὸς ἐπ' ἔργῳ
ἀνέρος εἰσορόωντος, ὅ τις κλυτὸν οὖδας ἔχῃσιν·
ὥς οἵγ' ἀμφοτέρωθε κακῷ δμηθέντος ὀλέθρῳ
κεῖντο, πολυκλαύτοιο λελασμένοι ἰωχμοῖο,
πρηνέες· οὐδέ τι Τρῶας Ἀχαιῶν φέρτατοι υἷες
σύλεον ἐν κονίῃσι καὶ αἵματι δῃωθέντας,
πρὶν Πηλήϊον υἷα πυρῇ δόμεν, ὅς σφιν ὄνειαρ
ἔπλετ' ἐνὶ πτολέμοισιν, ἑῷ μέγα κάρτεϊ θύων.
Τοὔνεκά μιν βασιλῆες ἀπὸ πτολέμου ἐρύσαντες,
ἀμφὶ νέκυν πονέοντο ἀπείριτον, εὖ τε φέροντες
κάτθεσαν ἐν κλισίῃσι, νεῶν προπάροιθε θοάων·
ἀμφὶ δέ μιν μάλα πάντες ἀγειράμενοι στενάχοντο,
ἀχνύμενοι κατὰ θυμόν· ὁ γὰρ πέλε κάρτος Ἀχαιῶν·
δὴ τότ' ἐνὶ κλισίῃσι λελασμένος ἐγχειάων,
κεῖτο βαρυγδούποιο παρ' ἠόσιν Ἑλλησπόντου·
οἷος ὑπερφίαλος Τιτυὸς πέσεν, ὁππότε Λητὼ
ἐρχομένην Πυθῶδε βιάζετο, καί ἑ χολωθεὶς,
ἀκάματόν περ ἐόντα, θοῶς ὑπεδάμνατ' Ἀπόλλων
λαιψηροῖς βελέεσσιν, ὁ δ' ἀργαλέῳ ἐνὶ λύθρῳ
πουλυπέλεθρος ἔκειτο κατὰ χθονὸς εὐρυπέδοιο
μητρὸς ἑῆς· ἡ δ' υἷα περιστονάχησε πεσόντα,
ἐχθόμενον μακάρεσσι, γέλασσε δὲ πότνια Λητώ·
τοῖος ἄρ' Αἰακίδης δηΐων ἐπικάππεσε γαίῃ,
χάρμα φέρων Τρώεσσι, γόον δ' ἀλίαστον Ἀχαιοῖς,
λαῶν μυρομένων· περὶ δ' ἔβρεμε βένθεα πόντου·
θυμὸς δ' αὐτίκα πᾶσι κατεκλάσθη φίλος ἔνδον,
ἐλπομένων κατὰ δῆριν ὑπὸ Τρώεσσιν ὀλέσθαι·
μνησάμενοι δ' ἄρα τοίγε φίλων παρὰ νηυσὶ τοκήων,
τοὺς λίπον ἐν μεγάροισι, νεοδμήτων τε γυναικῶν,
αἵ που ὀδυρόμεναι μίνυθον κενεοῖς λεχέεσσιν,
νηπιάχοις σὺν παισὶ, φίλους ποτιδέγμεναι ἄνδρας,
μᾶλλον ἀνεστενάχοντο· γόου δ' ἔρος ἔμπεσε θυμῷ·
κλαῖον δ' αὖτ' ἀλίαστον, ἐπὶ ψαμάθοισι βαθείαις
πρηνέες ἐκχύμενοι, μεγάλῳ παρὰ Πηλείωνι,
χαίτας ἐκ κεφαλῆς προθελύμνους δηϊόωντες·
χευάμενοι δ' ᾔσχυναν ἅδην ψαμάθοισι κάρηνα.
Οἵη δ', ἐκ πολέμοιο βροτῶν ἐς τεῖχος ἀλέντων,
οἰμωγὴ πέλεται, ὅτε δήϊοι ἐμμεμαῶτες
καίωσιν μέγα ἄστυ, κατακτείνωσι δὲ λαοὺς
πανσυδίῃ, πάντη δὲ διὰ κτῆσιν φορέωνται·
τοίη τις παρὰ νηυσὶν Ἀχαιῶν ἔπλετ' ἀϋτὴ,
οὕνεκ' ἀοσσητὴρ Δαναῶν, πάϊς Αἰακίδαο,
κεῖτο μέγας παρὰ νηυσὶ θεοκμήτοισι βελέμνοις,
οἷος Ἄρης, ὅτε μιν δεινὴ θεὸς ὀβριμοπάτρη
Τρώων ἐν πεδίῳ πολυαχθέϊ κάββαλε πέτρῃ.
Μυρμιδόνες δ' ἄλληκτον ἀνεστενάχοντ' Ἀχιλῆα,
εἰλόμενοι περὶ νεκρὸν ἀμύμονος οἷο ἄνακτος,
ἠπίου, ὃς πάντεσσιν ἴσος πάρος ἦεν ἑταῖρος·
οὐ γὰρ ὑπερφίαλος πέλεν ἀνδράσιν, οὐδ' ὀλοόφρων,
ἀλλὰ σαοφροσύνῃ καὶ κάρτεϊ πάντ' ἐκέκαστο.
Αἴας δ' ἐν πρώτοισι, μέγα στενάχων, ἐγεγώνει,
πατροκασιγνήτοιο φίλον ποθέων ἅμα παῖδα,
βλήμενον ἐκ θεόφιν· θνητῶν γε μὲν οὔ τινι βλητὸς
ἦεν, ὅσοι ναίουσιν ἐπὶ χθονὸς εὐρυπέδοιο·

gravati spicis, oblectaturque animus opere
viri contuentis, quicunque præclarum arvum tenet
ita illi utrobique funesta subacti morte
jacebant, flebilis obliti pugnæ,
proni. Nec tamen Troas Græcorum fortissima pubes
spoliabat in pulvere et cruore stratos,
priusquam Pelei natum rogo tradidissent, qui ipsius præ-
sidium] fuerat in bellis, suo strenue robore grassans.
Ideo eum principes e bello extrahentes,
circa cadaver occupati-erant procerum, beneque portatum
deposuerunt in tentorio, naves ante festinas:
circumque eum graviter omnes cœtu-facto planxerunt,
dolentes ex animo: is enim fuerat robur Græcorum;
tunc in castris oblitus hastarum
jacebat, horrisoni prope littora Hellesponti.
Qualis superbus Tityus procubuit, quando Latonæ,
iter-facienti Pythonem-versus, vim-intentavit, ipsumque
exardescens-ira] quamlibet indomitum, subito edomuit
Apollo] rapidis sagittis; funesto igitur in tabo
ad-multa-jugera-porrectus jacebat per campum spaciosum
matris suæ, quæ filium ingemuit cæsum
invisum superis; risit autem veneranda Latona:
talis Æacides hostium procubuerat in terra,
gaudium afferens Trojanis, et luctum perpetuum Achæis,
populis *eum* deplorantibus. Infremuerunt gurgites ponti;
et animus statim cunctis infractus-erat carus intus,
augurantibus, in acie a Trojanis se-occisum-iri:
cumque-meminissent dulcium ad naves parentum,
quos reliquissent domi, et recens-ductarum uxorum,
quæ tunc mœrore contabescerent in-vacuis thalamis,
parvulis cum natis, dilectos expectantes viros,
eo-magis suspirabant: nam luctus amor illapsus-fuerat
animis:] flebant igitur continue, per arenas profundas
in-ora effusi, magnum iuxta Peliden,
pilos e capite radicitus evellentes,
infusoque turpabant valde pulvere vertices.
Qualis autem, a pugna hominibus in mœnia inclusis,
ploratus existit, ubi hostes concitati
incendunt magnum oppidum et trucidant populum
ad-internecionem, et undique facultates diripiunt:
talis apud naves Achivum erat vociferatus,
quod opifer Danaum, filius Æacidæ,
stratus-esset ingens ante naves divinis telis,
non-secus-atque Mars, cum ipsum potens Dea, forti-patre-
nata (*Minerva*)] Troum in campo ponderoso profligasset
saxo.] Myrmidones vero indesinenter deflebant Achillem,
se-volutantes circa cadaver eximii sui principis,
benigni, qui omnibus æqualis antea fuerat socius.
Non enim superbus erat erga-homines, nec crudelis,
sed prudentia ac fortitudine in-omnibus-rebus pollebat.
Cæterum Ajax in primis, valde ingemiscens, vocifera-
tus-est,] patrui carum se-perdidisse mœrens simul filium,
percussum a Deo: mortalium enim nemini vulnerabilis
erat, quicunque inhabitant terram latepatentem:

τὸν τότε κῆρ ἀχέων ὀλοφύρετο φαίδιμος Αἴας,
ἄλλοτε μὲν κλισίας Πηληϊάδαο δαμέντος
ἐσφοιτῶν, ὅτε δ' αὖτε παρὰ ψαμάθοισι θαλάσσης
ἐκχύμενος μάλα πουλὺς, ἔπος δ' ὀλοφύρατο τοῖον·
Ὦ Ἀχιλεῦ, μέγα ἕρκος ἐϋσθενέων Ἀργείων,
κάτθανες ἐν Τροίῃ Φθίης ἑκὰς εὐρυπέδοιο,
ἔκποθεν ἀπροφάτοιο λυγρῷ βεβλημένος ἰῷ,
τόν ῥα ποτὶ κλόνον ἄνδρες ἀνάλκιδες ἰθύνουσιν.
Οὐ γάρ τις πισυνός γε σάκος μέγα νωμήσασθαι,
ἠδὲ περὶ κροτάφοισιν ἐπισταμένως ἐς Ἄρηα
εὖ θέσθαι πήληκα, καὶ ἐν παλάμῃ δόρυ πῆλαι,
καὶ χαλκὸν δηΐοισι περὶ στέρνοισι δαΐξαι,
ἰοῖσιν γ' ἀπάνευθεν ἀφιστάμενος πολεμίζει.
Εἰ γάρ σευ κατέναντα τότ' ἤλυθεν, ὅς σ' ἔβαλέν περ,
οὐκ ἂν ἀνουτητί γε τεοῦ φύγεν ἔγχεος ὁρμήν.
Ἀλλὰ Ζεὺς τάχα που τάδε μήδετο πάντ' ἀπολέσσαι,
ἡμέων δ' ἐν καμάτοισιν ἐτώσια ἔργα τίθησιν·
ἤδη γὰρ Τρώεσσι κατ' Ἀργείων τάχα νίκην
νεύσει, ἐπεὶ τόσσον περ' Ἀχαιῶν ἕρκος ἀπηύρα.
Ὢ πόποι, ὡς ἄρα πάγχυ γέρων ἐν δώμασι Πηλεὺς
ὀχθήσει μέγα πένθος ἀτερπέϊ γήραϊ κύρσας·
αὐτῇ ὃ συν φήμῃ μιν ἀποῤῥαίσει τάχα θυμόν·
ὧδε δέ οἱ καὶ ἄμεινον ὀϊζύος αἶψα λαθέσθαι·
εἰ δέ κεν οὐ φθίσει ἑ κακὴ περὶ υἷεος ὄσσα,
ἆ δειλὸς, χαλεποῖς ἐνὶ πένθεσι γῆρας ἰάψει,
αἰὲν ἐπ' ἐσχαρόφιν βίοτον κατέδων ὀδύνῃσι,
Πηλεὺς, ὃς μακάρεσσι φίλος περιώσιον ἦεν·
ἀλλ' οὐ πάντα τελοῦσι θεοὶ μογεροῖσι βροτοῖσιν.
Ὣς ὁ μὲν ἀσχαλόων ὀλοφύρετο Πηλείωνα.
Φοῖνιξ δ' αὖθ' ὁ γεραιὸς ἀάσπετα κωκύεσκεν,
ἀμφιχυθεὶς δέμας ἠΰ θρασύφρονος Αἰακίδαο·
καί ῥ' ὀλοφυδνὸν ἄϋσε μέγ' ἀχνύμενος πινυτὸν κῆρ·
Ὤλεό μοι, φίλε τέκνον, ἐμοὶ δ' ἄχος αἰὲν ἄφυκτον
κάλλιπες· ὡς ὄφελόν με χυτὴ κατὰ γαῖα καχεύθει,
πρὶν σέο πότμον ἰδέσθαι ἀμείλιχον· οὐ γάρ ἔμοι γε
ἄλλο χερειότερόν ποτ' ἐσήλυθεν ἐς φρένα πῆμα,
οὐδ' ὅτε πατρίδ' ἐμὴν λιπόμην γεραρούς τε τοκῆας,
φεύγων ἐς Πηλῆα δι' Ἑλλάδος, ὅς μ' ὑπέδεκτο,
καί μοι δῶρα πόρεν, Δολόπεσσι δὲ θῆκεν ἀνάσσειν·
καὶ σέ γ' ἐν ἀγκοίνῃσι φορεύμενος ἀμφὶ μέλαθρον,
κόλπῳ ἐμῷ κατέθηκε, καὶ ἐνδυκέως ἐπέτελλεν
νηπίαχον κομέειν, ὡσεὶ φίλον υἷα γεγῶτα.
Τῷ πιθόμην· σὺ δ' ἐμοῖσι περὶ στέρνοισι γεγηθὼς,
πολλάκι παππάζεσκες, ἔτ' ἄκριτα χείλεσι βάζων,
καί μευ νηπιέῃσιν ὑπ' ἀλγεινῇσι δίηνας
στήθεά τ' ἠδὲ χιτῶνας· ἔχον δέ σε χερσὶν ἐμῇσι
πολλὸν καγχαλόων, ἐπειή νύ μοι ἦτορ ἐώλπει
θρέψειν κηδεμονῆα βίου καὶ γήραος ἄλκαρ.
Καὶ τὰ μὲν ἐλπομένῳ βαιὸν χρόνον ἔπλετο πάντα·
νῦν δ' οἴχῃ μὲν ἄϊστος ὑπὸ ζόφον· ἀμφὶ δ' ἐμόν κῆρ
ἄχνυτ' οἰζυρῶς, ἐπειή νύ με θυμὸν ἰάπτει
πένθος λευγαλέον· το καταφθίσειε γοῶντα,
πρὶν Πηλῆα πυθέσθαι ἀμύμονα, τόν περ ὀΐω
κωκύσειν ἀλίαστον, ὅτ' ἀμφί ἑ φῆμις ἵκηται·

hunc tum ex-animo cum-gemitu plangebat nobilis Ajax,
nunc tabernaculum Pelidæ exanimis
intrans, nunc rursus in arena maris
stratus procerus, verbaque singultans-edidit hæc:
Heu Achilles, ingens columen fortium Argivorum,
occubuisti ad Trojam, a-Phthia procul late-patente,
ex improviso ferali confixus sagitta,
qualem in conflictu homines ignavi ejaculantur.
Nemo enim, qui-confidit scutum grande se-versare-posse,
et temporibus perite ad bellum
accommodare cassidem, inque manu pilum vibrare,
et æs hostico in pectore transadigere,
sagittis eminus stans pugnat.
Si enim tibi cominus tunc se-obtulisset, qui tibi vulnus-inflixit,]non sane sine-vulnere tuæ effugisset hastæ impetum.
Sed Juppiter forte hæc in-animo-habuit omnia perdere,
nostrisque in conatibus vana opera reddit.
Jam enim Trojanis contra Græcos fortassis victoriam
annuet, cum tantum Achivis propugnaculum abstulerit.
Eheu, quam graviter senex in aula Peleus
affligetur, immanem luctum in-molesta senectute sortitus,
qui ipso cum nuncio ei auferet fortasse vitam.
Sic ipsi etiam consultius, ut-calamitatis repente obliviscatur;] nisi vero conficiet ipsum mala de nato fama,
heu miser molestis in luctibus senium afflictabit
perpetuo, ad focum vitam depascens cruciatibus,
Peleus, qui Diis amicus admodum fuit.
Sed non cuncta ad-finem-perducunt dii ægris hominibus.
Ita quidem ille stomachabundus deflebat Pelidam.
At Phœnix grandævus supra-modum lamentabatur,
amplexus corpus insigne magnanimi Æacidæ
et lugubre exclamavit ingenti mœrore-excrucians sapiens cor:]Occidisti mihi, care fili, mihique luctum usque inevitabilem] reliquisti. Utinam me super-injecta humus occuluisset,]priusquam tuum fatum vidissem crudele! Non enim mihi] ulla atrocior unquam incessit animum calamitas,
ne quidem cum-patriam meam desererem venerandosque parentes,] confugiens ad Pelea per Helladem, qui me suscepit,] et mihi munera dedit, Dolopibusque *me* præfecit regem,] atque te in ulnis gestans per aulam,
gremio meo reposuit, et solicite jussit
infantis curam-agere, tanquam dilecti filii.
Cui obtemperavi: tu vero meo in sinu lætus,
crebro patrem-*me*-vocitabas, adhuc indistincta labiis balbutiens,] et meum pueritia molesta madefactabas
pectus et tunicam; tenebam vero te manibus meis
valde gavisus, nam meum cor sperabat
me educaturum curatorem vitæ et senectutis præsidium.
Et hæc quidem speranti exiguo tempore durabant cuncta:
nunc enim abiisti ex-conspectu ad tenebras, et meum cor
angitur miseris-modis, siquidem meum animum confecit
luctus funestus: qui *utinam me* extinguat lamentantem,
antequam Peleus *hoc* resciscat præclarus, quem existimo
lacrimaturum supra-modum, cum ad ipsum rumor perfe-

οἴκτιστον γὰρ νῶϊν ὑπὲρ σέθεν ἔσσεται ἄλγος,
πατρί τε σῷ καὶ ἐμοί, τοί περ μέγα σεῖο θανόντος
ἀχνύμενοι τάχα γαῖαν ὑπὲρ Διὸς ἄσπετον αἶσαν
δυσόμεθ' ἐσσυμένως· καί κεν πολὺ λώϊον εἴη,
ἢ ζώειν ἀπάνευθεν ἀοσσητῆρος ἑοῖο.
Ἦ ῥ' ὁ γέρων, ἀλίαστον ἐνὶ φρεσὶ πένθος ἀέξων·
πὰρ δέ οἱ Ἀτρείδης ὀλοφύρετο δάκρυα χεύων·
ὤμωξεν δ' ὀδύνῃσι μέγ' αἰθόμενος κέαρ ἔνδον·
Ὤλεο, Πηλείδη, Δαναῶν μέγα φέρτατε πάντων,
ὤλεο, καὶ στρατὸν εὐρὺν ἀνερκέα θῆκας Ἀχαιῶν·
ῥηΐτεροι δ' ἄρα σεῖο καταφθιμένου πελόμεσθα
δυσμενέσιν· σὺ δὲ χάρμα πεσὼν Τρώεσσιν ἔθηκας,
οἵ σε πάρος φοβέοντο, λέονθ' ὡς αἰόλα μῆλα·
νῦν δ' ἐπὶ νηυσὶ θοῇσι λιλαιόμενοι μαχέονται.
Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ βροτοὺς ψευδέσσι λόγοισι
θέλγεις, ὃς κατένευσας ἐμοὶ Πριάμοιο ἄνακτος
ἄστυ διαπραθέειν· νῦν δ' οὐ τελέεις ὅσ' ὑπέστης,
ἀλλὰ λίην ἀπάφησας ἐμὰς φρένας· οὐ γὰρ ὀΐω
εὑρέμεναι πολέμοιο τέκμωρ φθιμένου Ἀχιλῆος.
Ὣς ἔφατ', ἀχνύμενος κέαρ ἔνδοθεν· ἀμφὶ δὲ λαοὶ
κώκυον ἐκ θυμοῖο θρασὺν περὶ Πηλείωνα·
τοῖς δ' ἄρ' ἐπεβρόμεον νῆες παρὰ μυρομένοισιν·
ἠχὴ δ' ἄσπετος ὦρτο δι' αἰθέρος ἀκαμάτοιο.
Ὡς δ' ὅτε κύματα μακρὰ βίῃ μεγάλου ἀνέμοιο
ὀρνύμεν' ἐκ πόντοιο, πρὸς ἠϊόνας φορέονται
σμερδαλέον, πάντῃ δὲ, προσαγνυμένης ἁλὸς αἰεὶ,
ἀκταὶ ὁμῶς ῥηγμῖσιν ἀπειρέσιαι βοόωσι·
τοῖος ἄρ' ἀμφὶ νέκυν Δαναῶν στόνος αἰνὸς ὀρώρει,
μυρομένων ἄλληκτον ἀταρβέα Πηλείωνα.
Καί σφιν ὀδυρομένοισι τάχ' ἤλυθε κυανέη νὺξ,
εἰ μὴ ἄρ' Ἀτρείδην προσεφώνεε Νηλέος υἱὸς
Νέστωρ, ὅς ῥά τ' ἔχεσκεν ἐνὶ φρεσὶ μυρίον ἄλγος,
μνησάμενος σφοῦ παιδὸς ἐΰφρονος Ἀντιλόχοιο·
Ἀργείων σκηπτοῦχε μέγα κρατέων Ἀγάμεμνον,
νῦν μὲν ἀποσχώμεσθα δυσηχέος αἶψα γόοιο
σήμερον· οὐ γὰρ ἔτ' αὖθις ἐρωήσει τις Ἀχαιοὺς
κλαυθμοῦ ἄδην κορέσασθαι ἐπ' ἤματα πολλὰ γοῶν-[τας·
ἀλλ' ἄγε δὴ βρότον αἰνὸν ἀταρβέος Αἰακίδαο
λούσαντες, λεχέεσσ' ἐνὶ θείομεν· οὐ γὰρ ἔοικεν
αἰσχύνειν ἐπὶ δηρὸν ἀκηδείῃσι θανόντας.
Καὶ τὰ μὲν ὣς ἐπέτελλε περίφρων Νηλέος υἱός·
αὐτὰρ ὅγ' οἷς ἑτάροισιν ἐπισπέρχων ἐκέλευεν,
ὕδατος ἐν πυρὶ θέντας ἄφαρ κρυεροῖο λέβητας
θερμῆναι, λοῦσαί τε νέκυν, περί θ' εἵματα ἕσσαι
καλὰ, τά οἱ πόρε παιδὶ φίλῳ ἁλιπόρφυρα μήτηρ
ἐς Τροίην ἀνιόντι· θοῶς δ' ἐπίθησαν ἄνακτι·
ἐνδυκέως δ' ἄρα πάντα πονησάμενοι κατὰ κόσμον,
κάτθεσαν ἐν κλισίῃσι δεδουπότα Πηλείωνα.
Τὸν δ' ἐσιδοῦσ' ἐλέησε περίφρων Τριτογένεια·
στάζε δ' ἄρ' ἀμβροσίην κατὰ κράατος, ἥν ῥά τε φασὶ
δηρὸν ἐρυκακέειν νεαρὸν χρόα χηρὶ δαμέντων·
θῆκε δ' ἄρ' ἑρσήεντα καὶ εἴκελον ἀμπνείοντι·
σμερδαλέον δ' ἄρα τεῦξεν ἐπισκύνιον περὶ νεκρῷ,
οἷόν τ' ἀμφ' ἑτάροιο δαϊκταμένου Πατρόκλοιο

retur.] Miserrimus enim nobis propter te erit cruciatus, patri tuo et mihi, qui nimio tui defuncti *causa* mœrore-confecti forte terram, Jovis immutabili fato, subibimus repente: et quidem multo satius fuerit, quam vivere sine protectore nostro.

Dixerat senior, infinitum in pectore luctum cumulans: juxta quem Atrides plangebat lacrimas profundens, singultusque-edebat, dolore valde succensus cor penitus:

Interiisti, Pelida, inter-Danaos longe præstantissime omnes!] interiisti, et castra lata sine-munimento reliquisti Græcorum] faciliores (*superatu*) sane te extincto sumus hostibus; tuque lætitiam succumbens Trojanis conciliasti, qui te antea fugerunt, ut leonem discolores oves, et nunc ad naves subitas cupidi inibunt-prælia. Juppiter pater, sane tu etiam mortales mendacibus verbis decipis, qui annuisti mihi, Priami *te* regis urbem excisurum. Nunc vero non præstas, quæ recepisti, sed valde fefellisti meam mentem: non enim arbitror me-inventurum belli finem, defuncto Achille.

Sic ait perturbatus corde intimo. Tum undique populus deplorabat ex animo fortem Pelidam, hisque naves fremitu-respondebant plangentibus, clamorque ingens surgebat per æthera indefessum. Ut cum fluctus vasti, vi magni venti commoti, e mari ad littora feruntur horrendum-in-modum, passimque, alliso mari semper, promontoria simul cum-crepidinibus immensa reboant: tam circa cadaver Danaum lamentatio horrenda excitabatur,] dum deplorant sine-fine imperterritum Pelidam.

Et plorantes forte oppressisset fusca nox, nisi Atriden allocutus-fuisset Nelei filius, Nestor, qui tamen gerebat in animo infinitum luctum, reminiscens sui filii, cordati Antilochi:

Argivum imperator potentia excellens Agamemnon, nunc desistamus a-lamentoso confestim planctu, hodie. Nemo enim posthac inhibebit Achivos, quominus-fletu se-exsatient, per multos dies lamentantes. Sed agedum, cruore fœdo intrepidi Æacidæ abluto, lecto *eum* imponamus; non enim decet dehonestare diuturna neglectione mortuos.

Et hæc quidem ita præcepit prudens Nelei filius. At ille (*Agamemnon*) familiares suos sine-mora jussit, aquæ igni appositas frigidæ ollas mox calefacere, et abluere cadaver vestibusque amicire pulcris, quas dederat filio caro purpura-tinctas mater, Trojam proficiscenti. Celeriter itaque paruerunt regi: cumque studiose omnia administrassent, ut decebat, deposuerunt in tabernaculo cæsum Pelidam. Cujus visi miserta-est solers Pallas, stillavitque ambrosiam in caput, quam perhibent diu servare recens corpus morte extinctorum, fecitque rorulentum et similem spiranti; truculenta etiam reddidit supercilia in mortuo, qualia *ei*, ob sodalem interfectum Patroclum

χωομένῳ ἐπέκειτο κατὰ βλοσυροῖο προσώπου·
βριθύτερον δ' ἄρα θῆκε δέμας καὶ ἄρειον ἰδέσθαι·
Ἀργείους δ' ἕλε θάμβος ὁμιλαδὸν ἀθρήσαντας
Πηλείδην ζώοντι πανείκελον· ὅς ῥ' ἐπὶ λέκτροις
ἐκχύμενος μάλα πουλὺς ἄδην εὕδοντι ἐῴκει.
Ἀμφὶ δέ μιν μογεραὶ ληΐτιδες, ἅς ῥά ποτ' αὐτὸς
Λῆμνόν τε ζαθέην Κιλίκων τ' αἰπὺ πτολίεθρον,
Θήβην Ἠετίωνος, ἑλὼν ληΐσσατο κούρας,
ἱστάμεναι γοάασκον, ἀμύσσουσαι χρόα καλόν·
στήθεά τ' ἀμφοτέρῃσι πεπληγυῖαι παλάμῃσιν
ἐκ θυμοῦ στενάχεσκον ἐΰφρονα Πηλείωνα·
τὰς γὰρ δὴ τίεσκε, καὶ ἐκ δηΐων περ ἐούσας.
Πασάων δ' ἔκπαγλον ἀκηχεμένη κέαρ ἔνδον
Βρισηῒς, παράκοιτις ἐϋπτολέμου Ἀχιλῆος,
ἀμφὶ νέκυν στρωφᾶτο, καὶ ἀμφοτέρῃς παλάμῃσι
δρυπτομένη χρόα καλὸν, ἀΰτεεν· ἐκ δ' ἁπαλοῖο
στήθεος αἱματόεσσαι ἀνὰ σμώδιγγες ἄερθεν
θεινομένης· φαίης κεν ἐπὶ γλάγος αἷμα χέασθαι
φοίνιον· ἀγλαΐη δὲ καὶ ἀχνυμένης ἀλεγεινῶς
ἱμερόεν μάρμαιρε· χάρις δέ οἱ ἄμπεχεν εἶδος·
τοῖον δ' ἔκφατο μῦθον ὀϊζυρὸν γοόωσα·
Ὤ μοι ἐγὼ πάντων περιώσιον αἰνὰ παθοῦσα·
οὐ γάρ μοι τόσσον περ ἐπήλυθεν ἄλλοτε πῆμα,
οὔτε κασιγνήτων οὔτ' εὐρυχόρου περὶ πάτρης,
ὅσσον σεῖο θανόντος· ἐπεὶ σύ μοι ἱερὸν ἦμαρ
καὶ φάος ἠελίοιο πέλες καὶ μείλιχος αἰὼν
ἐλπωρή τ' ἀγαθοῖο καὶ ἄσπετον ἄλκαρ ἀνίης·
πάσης τ' ἀγλαΐης πολὺ φέρτερος ἠδὲ τοκήων
ἔπλεο· πάντα γὰρ οἷος ἔης δμωῇ περ ἐούσῃ·
καί ῥά μ' ἔθηκας ἄκοιτιν ἑλὼν ἀπὸ δούλια ἔργα·
νῦν δέ τις ἐν νήεσσιν Ἀχαιῶν ἄξεται ἄλλος
Σπάρτην εἰς ἐρίβωλον, ἢ ἐς πολυδίψιον Ἄργος·
καί νύ κεν ἀμφιπολεῦσα, κακὰς ὑποτλήσομ' ἀνίας
σεῦ ἀπονοσφισθεῖσα, δυσάμμορος· ὡς ὄφελόν με
γαῖα χυτὴ ἐκάλυψε, πάρος σέο πότμον ἰδέσθαι.
Ὣς ἡ μὲν δμηθέντ' ὀλοφύρετο Πηλείωνα
δμωῇς σὺν μογερῇσι καὶ ἀχνυμένοισιν Ἀχαιοῖς,
μυρομένη καὶ ἄνακτα καὶ ἀνέρα· τῆς δ' ἀλεγεινὸν
οὔ ποτ' ἐτέρσετο δάκρυ, κατείβετο δ' ἄχρις ἐπ' οὖδας
ἐκ βλεφάρων, ὡσεί τε μέλαν κατὰ πίδακος ὕδωρ
πετραίης, ἧς πουλὺς ὕπερ παγετός τε χίων τε
ἐκκέχυται στυφελοῖο κατ' οὔδεος, ἀμφὶ δὲ πάχνη
τήκεθ' ὁμῶς Εὔρῳ τε καὶ ἠελίοιο βολῇσι.
Καὶ τότε δή ῥ' ἐσάκουσαν ὀρινομένοιο γόοιο
θυγατέρες Νηρῆος, ὅσαι μέγα βένθος ἔχουσι·
πάσῃσιν δ' ἀλεγεινὸν ὑπὸ κραδίην πέσεν ἄλγος·
οἰκτρὸν δ' ἐστονάχησαν, ἐπίαχε δ' Ἑλλήσποντος·
ἀμφὶ δὲ κυανέοισι καλυψάμεναι χρόα πέπλοις,
ἐσσυμένως οἴμησαν, ὅπη στόλος ἔπλετ' Ἀχαιῶν,
πανσυδίῃ πολιοῖο δι' οἴδματος· ἀμφὶ δ' ἄρα σφιν
νισσομένῃσι θάλασσα διίστατο· ταὶ δ' ἐφέροντο
κλαγγηδὸν, κραιπνῇσιν ἐειδόμεναι γεράνοισιν,
ὀσσομένῃς μέγα χεῖμα· περιστενάχοντο δὲ λυγρὸν
κήτεα μυρομένῃσιν· ἔβαν δ' ἄφαρ ἧχι νέοντο,

irato, residebant in atroci vultu;
ac magnificentius exhibuit corpus et præstabilius visu.
Argivos igitur subiit stupor catervatim spectantes
Pelidam viventi similem, qui in lecto
experrectus admodum procerus, omnino dormienti similis
-erat.] Et circa illum laboriosæ ancillæ, quas quondam ipse
Lemnum sacram et Cilicum altam urbem,
Theben Eetionis, expugnans ceperat puellas,
stantes lugebant, lacerantes corpus formosum,
et pectora utraque tundentes palma
ex animo deflebant benevolum Pelidam:
has enim honestaverat, quamvis ex hostibus natas.
Ante-omnes autem mirifice conturbata pectore intimo
Briseis, uxor bello-probati Achillis,
circa cadaver versabatur, et utrinque manibus
lancinans corpus honestum vociferabatur, eque tenero
pectore cruentæ vibices turgescebant
plangentis-se: diceres in lac sanguinem infusum-esse
rubrum: venustas verum *ejus*, quamvis excruciatæ mi-
sere,] amabiliter elucebat, et gratia ipsius amplectebatur
vultum.] Hæc autem edidit verba, miserabiliter ingemi-
scens:] Heu mihi, quæ-omnium longe tristissima perpessa
-sum;] non enim me tanta invasit unquam calamitas,
nec germanorum nec amplæ causa patriæ,
quanta te mortuo. Nam tu mihi festa dies
et lumen solis eras jucundumque ævum,
spes etiam boni et ingens levamen curarum,
omnique splendore multo optabilior ac parentibus
eras: omnia enim mihi solus fuisti, licet serva essem,
ac me habuisti uxorem exemptam servilibus ministeriis:
at nunc in navibus quispiam Achivum *me* abducet alius,
Spartam in fertilem, aut in siticulosum Argos,
atque ancillæ-officio-fungens tristes perferam dolores,
te orbata, infelix. Utinam me
terra effossa obtexisset, antequam tuum fatum vidissem.
Ita hæc cæsum deplorabat Peliden
ancillis cum miseris et mœstis Achivis,
plangens et dominum et virum; ejusque acerba
nunquam siccabatur lacrima, sed destillabat usque ad so-
lum] e palpebris, veluti nigra de fonte unda,
qui-ex-petra-scaturit, supra quem multa glacies et nix
effunditur duram ad terram, et circumquaque humor
-concretus] liquefactatur pariter Euro et solis radiis.
Tunc vero exaudierunt increbrescentem planctum
filiæ Nerei, quæ vastum maris-gurgitem tenent,
omnibusque amarus in pectus incubuit dolor,
et miserabiliter ingemuerunt, resonuitque Hellespontus:
cæruleis igitur velatæ corpora peplis,
raptim contenderunt, ubi classis stabat Achivum,
toto-agmine canos per fluctus, circumque illas
viam-facientes mare discessit; ipsæque latæ-sunt
cum-clangore, citarum instar gruum,
quæ-præsentiscunt duram hyemem, ac gemuerunt triste
balenæ circum plorantes: veneruntque statim quo conten-

παῖδα κασιγνήτης κρατερόφρονα κωκύουσαι
ἐκπάγλως. Μοῦσαι δὲ θοῶς Ἑλικῶνα λιποῦσαι
ἤλυθον, ἄλγος ἄλαστον ἐνὶ στέρνοισιν ἔχουσαι,
ἀρνύμεναι τιμὴν ἑλικώπιδι Νηρηΐνῃ.
Ζεὺς δὲ μέγ' Ἀργείοισι καὶ ἄτρομον ἔμβαλε θάρσος,
ὄφρα μὴ ἐσθλὸν ὅμιλον ὑποδδείσωσι θεάων,
ἀμφαδὸν ἀθρήσαντες ἀνὰ στρατόν· αἱ δ' Ἀχιλῆος
ἀμφὶ νέκυν στενάχοντο καὶ ἀθάνατοί περ ἐοῦσαι,
πᾶσαι ὁμῶς· ἀκταὶ δὲ περίαχον Ἑλλησπόντου·
δεύετο δὲ χθὼν πᾶσα περὶ νέκυν Αἰακίδαο
δάκρυσι, καὶ μέγα βένθος ἀνέστενεν· ἀμφὶ δὲ λαῶν
μυρομένων, δάκρυσσι φορύνετο τεύχεα πάντα
καὶ κλισίαι καὶ νῆες, ἐπεὶ μέγα πένθος ὀρώρει.
Μήτηρ δ' ἀμφιχυθεῖσα κύσε στόμα Πηλείωνος,
παιδὸς ἑοῦ, καὶ τοῖον ἔπος φάτο δακρυχέουσα·
Γηθείτω ῥοδόπεπλος ἀν' οὐρανὸν Ἠριγένεια,
γηθείτω φρεσὶν ᾗσι, μεθεὶς χόλον Ἀστεροπαίου,
Ἄξιος εὐρυρέεθρος, ἰδὲ Πριάμοιο γενέθλη·
αὐτὰρ ἐγὼ πρὸς Ὄλυμπον ἀφίξομαι· ἀμφὶ δὲ ποσσὶ
κείσομαι ἀθανάτοιο Διὸς μεγάλα στενάχουσα,
οὕνεκά μ' οὐκ ἐθέλουσαν ὑπ' ἀνέρι δῶκε δαμῆναι,
ἀνέρι, τὸν τάχα γῆρας ἀμείλιχον ἀμφιμέμαρφε,
Κῆρές τ' ἐγγὺς ἔασι, τέλος θανάτοιο φέρουσαι.
Ἀλλά μοι οὐ κείνοιο μέλει τόσον, ὡς Ἀχιλῆος,
ὅν μοι Ζεὺς κατένευσεν ἐν Αἰακίδαο δόμοισιν
ἴφθιμον θήσειν, ἐπεὶ οὔτι μοι ἥνδανεν εὐνή·
ἀλλ' ὁτὲ μὲν ζαὴς ἄνεμος πέλον, ἄλλοτε δ' ὕδωρ,
ἄλλοτε δ' οἰωνῷ ἐναλίγκιος, ἢ πυρὸς ὁρμῇ·
οὐ μοι θνητὸς ἀνὴρ δύνατ' ἐν λεχέεσσι μιγῆναι
γιγνομένῃ, ὅσα γαῖα καὶ οὐρανὸς ἐντὸς ἐέργει,
μέσφ' ὅτε μοι κατένευσεν Ὀλύμπιος, υἷεα δῖον
ἔκπαγλον θήσειν καὶ ἀρήϊον· ἀλλὰ τὰ μέν που
ἀτρεκέως ἐτέλεσσεν· ὁ γὰρ πέλε φέρτατος ἀνδρῶν·
ἀλλά μιν ὠκύμορον ποιήσατο, καί μ' ἀκάχησεν.
Τοὔνεκ' ἐς οὐρανὸν εἶμι· Διὸς δ' ἐς δώματ' ἰοῦσα,
κωκύσω φίλον υἷα, καὶ, ὁππόσα πρόσθ' ἐμόγησα
ἀμφ' αὐτῷ καὶ παισὶν ἀεικέα τειρομένοισιν,
μνήσω ἀκηχεμένη, ἵνα οἱ σὺν θυμὸν ὀρίνω.
Ὣς ἔφατ' αἰνὰ γοῶσ' ἁλίη Θέτις· ἡ δέ οἱ αὐτὴ
Καλλιόπη φάτο μῦθον ἀρηραμένη φρεσὶ θυμόν·
Ἴσχεο κωκυτοῖο, θεὰ Θέτι, μηδ' ἀλύουσα
εἵνεκα παιδὸς ἑοῖο θεῶν μεδέοντι καὶ ἀνδρῶν
σκύζεο· καὶ γὰρ Ζηνὸς ἐριβρεμέταο ἄνακτος
υἷες ὁμῶς ἀπόλοντο κακῇ περὶ κηρὶ δαμέντες·
κάτθανε δ' υἱὸς ἐμεῖο, καὶ αὐτῆς ἀθανάτοιο,
Ὀρφεὺς, οὗ μολπῇσιν ἐφέσπετο πᾶσα μὲν ὕλη,
πᾶσα δ' ἄρ' ὀκρυόεσσα πέτρη ποταμῶν τε ῥέεθρα,
πνοιαί τε λιγέων ἀνέμων ἀμέγαρτον ἀέντων,
οἰωνοί τε θοῇσι διεσσύμενοι πτερύγεσσιν.
Ἀλλ' ἔτλην μέγα πένθος, ἐπεὶ θεὸν οὔτιν' ἔοικεν
πένθεσι λευγαλέοισι καὶ ἄλγεϊ θυμὸν ἀχεύειν.
Τῷ σε καὶ ἀχνυμένην μεθέτω γόος υἷεος ἐσθλοῦ·
καὶ γάρ οἱ κλέος αἰὲν ἐπιχθονίοισιν ἀοιδοὶ
καὶ μένος ἀείσουσιν, ἐμῇ ἰότητι καὶ ἄλλων

debant,] filium sororis fortem lugentes
admodum. Musæ etiam, subito Helicone relicto,
accesserunt, dolorem magnum in corde gestantes,
ut-deferrent honorem Thetidi teretibus-oculis.
Juppiter vero magnam Argivis et securam indidit fiduciam,
ut ne insigne agmen formidarent Dearum,
aperte visum in castris: quæ Achillis
circa cadaver suspirabant, quamvis immortales essent,
omnes simul; littoraque circum-fremebant Hellesponti.
Immaduit vero solum omne circa cadaver Æacidæ
lacrimis, et valde pontus ingemuit; ac populi circumqua-
que] lugentis lacrimis fœdabantur arma tota
et papiliones et naves, siquidem ingens luctus commotus
-erat.] Porro mater amplexa, osculata-est os Pelidæ,
filii sui, et hunc sermonem dixit lacrymans:
Lætetur rosco-insignis-peplo per cœlum Aurora,
lætetur animo suo, valedicens iræ propter-Asteropæum,
Axius latifluus, et Priami genus.
At ego ad Olympum me-conferam, et ad pedes
procidam immortalis Jovis magno cum-gemitu,
quod me invitam viro dedit comprimendam,
viro, quem subito senectus tristis corripuit,
fataque pro-foribus adstant finem mortis adducentia.
Verumtamen non hujus cura-afficior tam, quam Achillis,
quem mihi Juppiter promisit in Æacidæ aula
fortem se-redditurum, cum mihi displiceret connubium
Sed nunc nimbosus ventus eram, nunc aqua,
modo volucri similis, aut ignis æstui;
nec mihi mortalis vir poterat thoro jungi,
transformatæ in omnia, quæ tellus et cœlum in-se com-
plectuntur,] donec mihi nutu-confirmavit Olympius filium
meum divinum] admirabilem se-redditurum et belli-poten-
tem. Atque hæc quidem] vere præstitit: nam evasit præstan-
tissimus virorum.] At illum subito fato-obnoxium fecit,
meque luctu-affecit.] Ideo cœlum peto, Jovisque palatium
ingressa] deplorabo carum natum, et quanta antea susti-
nuerim] pro ipso filiisque indigna sorte-vexatis,
memorabo mœstissima, ut ipsius etiam animum moveam.
Sic ait, graviter queritans æquore-nata Thetis. Tum ei
ipsa] Calliope reddidit *hæc* verba, suffultum-habens sa-
pientia animum:]Cohibe ejulatum, Diva Thetis, nec dolo-
ris-impatiens] propter filium tuum, in Deum regem homi-
numque] exacerbare. Nam et Jovis altitonantis domini
filii non-minus interiere iniquo fato exstincti.
Mortuus-est etiam filius meus, et ipsius Deæ immortalis,
Orpheus, cujus carmina insecuta-est omnis silva,
et omnis horrida petra, amniumque fluenta,
atque auræ stridulorum ventorum, violenter flantium,
et volucres subitis *aera* trajicientes pennis.
Sed fortiter-sustinui ingentem luctum, quoniam Deorum
nulli fas-est] luctu tristi et mœrore animum excarnificare.
Ideo a-te, quantumvis perturbata, facessat mœror super
-filio strenuo.]Nam ipsius gloriam perpetuo inter-mortales
poetæ] et virtutem celebrabunt meo instinctu et aliarum

Πιερίδων· σὺ δὲ μή τι κελαινῷ πένθεϊ θυμὸν
δάμνασο, θηλυτέρῃσιν ἶσον γοόωσα γυναιξίν·
ἢ οὐχ ἀΐεις ὅτι πάντας, ὅσοι χθονὶ ναιετάουσιν,
ἀνθρώπους, ὀλοὴ περιπέπταται ἄσχετος Αἶσα,
οὐδὲ θεῶν ἀλέγουσα; τόσον σθένος ἔλλαχε μούνη·
ἣ καὶ νῦν Πριάμοιο πολυχρύσοιο πόληα
ἐκπέρσει, Τρώων τε καὶ Ἀργείων ὀλέσασα
ἀνέρας, ὅττε θέλῃσι· θεῶν δ' οὔτις μιν ἐρύξει.
Ὣς φάτο Καλλιόπη, πινυτὰ φρεσὶ μητιόωσα·
ἠέλιος δ' ἀπόρουσεν ἐς ὠκεανοῖο ῥέεθρα·
ὤρτο δὲ νὺξ μεγάλοιο κατ' ἠέρος ὀρφνήεσσα,
ἥ τε καὶ ἀχνυμένοισι πέλει θνητοῖσιν ὄνειαρ.
Αὐτοῦ δ' ἐν ψαμάθοισιν Ἀχαιῶν ἔδραθον υἷες
ἰλαδὸν ἀμφὶ νέκυν, μεγάλῃ βεβαρηότες ἄτῃ·
ἀλλ' οὐχ ὕπνος ἔμαρπτε θεὰν Θέτιν· ἄγχι δὲ παιδὸς
ἧστο σὺν ἀθανάτῃς Νηρηΐσιν· ἀμφὶ δὲ Μοῦσαι
ἀχνυμένην ἀνὰ θυμὸν ἀμοιβαδὶς, ἄλλοθεν ἄλλη,
πολλὰ παρηγορέεσκον, ὅπως λελάθοιτο γόοιο.
Ἀλλ' ὅτε καγχαλόωσα δι' αἰθέρος ἤλυθεν Ἠὼς,
λαμπρότατον πάντεσσι φάος Τρώεσσι φέρουσα,
καὶ Πριάμῳ· Δαναοὶ δὲ μέγ' ἀχνύμενοι Ἀχιλῆα
κλαῖον ἐπ' ἤματα πολλὰ, περιστενάχοντο δὲ μακραὶ
ἠϊόνες πόντοιο, μέγας δ' ὀλοφύρετο Νηρεὺς,
ἦρα φέρων κούρῃ Νηρηΐδι, σὺν δέ οἱ ἄλλοι
εἰνάλιοι μύροντο θεοὶ, φθιμένου Ἀχιλῆος·
καὶ τότε δὴ μεγάλοιο νέκυν Πηληϊάδαο
Ἀργεῖοι πυρὶ δῶκαν, ἀάσπετα νηήσαντες
δοῦρα, τά οἱ φορέοντες ἀπ' οὔρεος Ἰδαίοιο
πάντες ὁμῶς ἐμόγησαν, ἐπεὶ σφέας ὀτρύνοντες
Ἀτρεΐδαι προέηκαν ἀπείριτον οἰσέμεν ὕλην,
ὄφρα θοῶς καίοιτο νέκυς κταμένου Ἀχιλῆος.
Ἀμφὶ δὲ τεύχεα πολλὰ πυρῇ περινηήσαντο
αἰζηῶν κταμένων· πολλοὺς δ' ἐφύπερθε βάλοντο
Τρώων δῃώσαντες ὁμῶς περικαλλέας υἷας,
ἵππους τε χρεμέθοντας ἐϋσθενέας θ' ἅμα ταύρους,
σὺν δ' ὄϊάς τε σύας τ' ἔβαλον βρίθοντας ἀλοιφῇ·
φάρεα δ' ἐκ χηλῶν φέρον ἄσπετα κωκύουσαι
δμωϊάδες, καὶ πάντα πυρῆς καθύπερθε βάλοντο·
χρυσόν τ' ἤλεκτρόν τ' ἐπενήνεον· ἀμφὶ δὲ χαίτας
Μυρμιδόνες κείραντο, νέκυν δ' ἐκάλυψαν ἄνακτος·
καὶ δ' αὐτὴ Βρισηῒς, ἀκηχεμένη περὶ νεκρῷ,
κειραμένη πλοκάμους πύματον πόρε δῶρον ἄνακτι.
Πολλοὺς δ' ἀμφιφορῆας ἀλείφατος ἀμφιχέοντο·
ἄλλους δ' ἀμφὶ πυρῇ μέλιτος θέσαν, ἠδὲ καὶ οἴνου
ἡδέος, οὗ μέθυ λαρὸν ὀδώδεε νέκταρι ἶσον·
ἄλλα δὲ πολλὰ βάλοντο θυώδεα, θαῦμα βροτοῖσιν,
ὅσσα χθὼν φέρει ἐσθλὰ, καὶ ὁππόσα δῖα θάλασσα.
Ἀλλ' ὅτε δὴ περὶ πάγχυ πυρὴν διεκοσμήσαντο,
πεζοὶ ἅμ' ἱππήεσσι, σὺν ἔντεσιν, ἐῤῥώσαντο
ἀμφὶ πυρὴν πολύδακρυν· ὁ δ' ἔκποθεν Οὐλύμποιο
Ζεὺς ψεκάδας κατέχευεν ὑπὲρ νέκυν Αἰακίδαο
ἀμβροσίας, δίῃ τε φέρων Νηρηΐδι τιμὴν
Ἑρμείην προέηκεν ἐς Αἴολον, ὄφρα καλέσσῃ
λαιψηρῶν ἀνέμων ἱερὸν μένος· ἦ γὰρ ἔμελλεν

Pieridum. Tu vero nequaquam atro luctui animum
submittas, mortalium exemplo ejulans feminarum.
Nonne audis, quod omnes, quotquot in-terra habitant,
homines, sæva circumdet et invicta Necessitas,
ne Deos quidem observans? tantum virium sortita-est sola:
quæ et propediem Priami divitis urbem
exscindet, ubi-Troum et Argivum exitio-dederit
juvenes, quando voluerit; Deorumque nullus eam remo-
rabitur.] Sic dixit Calliope, prudentissima animo consilia
-tractans.] Interim sol deproperaverat in Oceani gurgitem,
et ingruebat nox spaciosum per aera opaca,
quæ etiam anxiis est mortalibus levamen.
Illic igitur in arenis Achivum somnum-capiebant nati
gregatim circa cadaver, magna lassati calamitate:
nec vero somnus complexus-est divam Thetin; sed juxta
natum] sedit cum immortalibus Nereidibus; circumque
Musæ] se-discruciantem animi per-vices, aliunde alia,
multum consolatæ-sunt, ut oblivisceretur ægritudinis.
At ubi ridens per æthera venit Aurora,
serenissimam omnibus lucem Trojanis afferens
et Priamo: (Danai autem magno mœrore-perculsi Achillem
deplorabant per dies multos, circumque gemitus-reddebant
longa] littora ponti; et magnus lamentabatur Nereus
obsequium præstans filiæ Nereidi; cumque ipso cæteri
marini lugebant Dii, ob-interemtum Achillem:)
ac tunc quidem grandis cadaver Pelidæ
Argivi igni tradiderunt, permultis congestis
lignis, quibus ad-ipsum advehendis ex monte Idæo
omnes simul laborabant, cum illos instigantes
Atridæ emisissent, copiosam allatum materiem,
ut statim cremaretur cadaver cæsi Achillis.
Arma ergo multa rogo accumularunt
juvenum interfectorum, multosque super injecerunt
Troum quos obtruncaverant una forma-insignes natos,
equosque hinnientes fortesque simul tauros
simulque oves et porcos adjecerunt onustos pinguedine·
vestes præterea ex capsis attulerunt inumeras plorantes
ancillæ, omniaque pyræ desuper immiserunt:
aurumque et electrum coacervarunt: capillos autem
Myrmidones abraserunt, et cadaver *his* cooperuerunt regis
atque ipsa Briseis, dum-mœret mortuum,
detonsam cæsariem ultimum exhibuit munus domino.
Hinc multas amphoras adipis affuderunt,
alias insuper rogo apposuerunt mellis et vini
suavis, cujus dulce merum olebat nectaris instar;
aliaque multa addiderunt fragrantia, admiranda homini-
bus,] quæ tellus producit eximia, et quæ divinum mare.
Cum itaque satis superque rogum adornassent,
pedites cum equitibus armati circumierunt
pyram lacrimosam. Tunc ex Olympo
Juppiter guttas effudit super corpus Æacidæ
ambrosias, divæque deferens Nereidi honorem
Mercurium amandavit ad Æolum, ut exciret
præpetum ventorum sacrum robur. Nam prope-erat,

χαίεσθ' Αἰακίδαο νέκυς· τοῦ δ' αἶψα μολόντος,
Αἴολος οὐκ ἀπίθησε· καλεσσάμενος δ' ἀλεγεινὸν
καρπαλίμως Βορέην Ζεφύροιό τε λάβρον ἀήτην
ἐς Τροίην προέηκε, θοῇ θύοντας ἀέλλῃ·
οἱ δὲ θοῶς οἴμησαν ὑπὲρ πόντοιο φέρεσθαι
ῥιπῇ ἀπειρεσίῃ· περὶ δ' ἴαχεν ἐσσυμένοισι
πόντος ὁμοῦ καὶ γαῖα· περικλονέοντο δ' ὕπερθε
πάντα νέφη, μεγάλοιο δι' αἰθέρος ἀΐσσοντα·
οἱ δὲ, Διὸς βουλῇσι, δαϊκταμένου Ἀχιλῆος
αἶψα πυρῇ ἐνόρουσαν ἀολλέες· ὦρτο δ' ἀϋτμὴ
Ἡφαίστου μαλεροῖο· γόος δ' ἀλίαστος ὀρώρει
Μυρμιδόνων· ἄνεμοι δὲ, καὶ ἐσσύμενοί περ ἀέλλῃ,
πανῆμαρ καὶ νύκτα νέκυν περιποιπνύοντες,
καῖον ἐϋπνείοντες ὅμως· ἀνὰ δ' ἔγρετο πουλὺς
καπνὸς ἐς ἠέρα δῖον, ἐπέστενε δ' ἄσπετος ὕλη
δαμναμένη πυρὶ πᾶσα, μέλαινα δὲ γίγνετο τέφρη.
Οἱ δὲ μέγ' ἐκτελέσαντες ἀτειρέες ἔργον ἆηται,
εἰς ἑὸν ἄντρον ἕκαστος ὁμοῦ νεφέεσσι φέροντο.
Μυρμιδόνες δ', ὅτ' ἄνακτα πελώριον ὕστατον ἄλ-[λων
ἤνυσε πῦρ ἀΐδηλον ἀποκταμένων περὶ νεκρῷ,
ἵππων τ' αἰζηῶν τε καὶ ἄλλ' ὅσα δακρυχέοντες
ὄβριμον ἀμφὶ νέκυν κειμήλια θῆκαν Ἀχαιοὶ,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν· ὀστέα δ' αὐτοῦ
φαίνετ' ἀριφραδέως, ἐπεὶ οὐχ ἑτέροισιν ὁμοῖα
ἦν, ἀλλ' οἷα γίγαντος ἀτειρέος· οὐδὲ μὲν ἄλλα
σὺν κείνοις ἐμέμικτ', ἐπεὶ βόες ἠδὲ καὶ ἵπποι
καὶ παῖδες Τρώων μίγδα κταμένοισι καὶ ἄλλοις
βαιὸν ἄπωθε κέοντο περὶ νέκυν· ὃς δ' ἐνὶ μέσσοις,
ῥιπῇ ὑφ' Ἡφαίστοιο δεδμημένος, οἶος ἔκειτο·
τοῦ δὲ καὶ ὀστέα πάντα περιστενάχοντες ἑταῖροι
ἄλλεγον ἐς χηλὸν πολυχανδέα τε βριαρήν τε,
ἀργυρέην· χρυσῷ δὲ διαυγέϊ πᾶσ' ἐκέκαστο·
καὶ τὰ μὲν ἀμβροσίῃ καὶ ἀλείφασι πάγχυ δίηναν
κοῦραι Νηρῆος, μέγ' Ἀχιλλέα κυδαίνουσαι·
ἐς δὲ βοῶν δημὸν θέσαν ἀθρόον ἐγχρίσασαι
σὺν μέλιτι λιαρῷ· μήτηρ δέ οἱ ἀμφιφορῆα
ὤπασε, τόν ῥα πάροιθε Διώνυσος πόρε δῶρον,
Ἡφαίστου κλυτὸν ἔργον ἐΰφρονος· ᾧ ἔνι θῆκαν
ὀστέ' Ἀχιλλῆος μεγαλήτορος· ἀμφὶ δὲ τύμβον
Ἀργεῖοι καὶ σῆμα πελώριον ἀμφεβάλοντο
ἀκτῇ ἐπ' ἀκροτάτῃ παρὰ βένθεσιν Ἑλλησπόντου,
Μυρμιδόνων βασιλῆα θρασὺν περικωκύοντες.
Οὐδὲ μὲν ἄμβροτοι ἵπποι ἀταρβέος Αἰακίδαο
μίμνον ἀδάκρυτοι παρὰ νήεσιν, ἀλλὰ καὶ αὐτοὶ
μύροντο σφετέροιο δαϊκταμένου βασιλῆος·
οὐδ' ἔθελον μογεροῖσιν ἔτ' ἀνδράσιν, οὐδὲ μὲν ἵπποις
μίσγεσθ' Ἀργείων, ὀλοὸν πέρι πένθος ἔχοντες,
ἀλλ' ὑπὲρ ὠκεανοῖο ῥοὰς καὶ Τηθύος ἄντρα,
ἀνθρώπων ἀπάτερθεν ὀϊζυρῶν, φορέεσθαι,
ἧχι σφέας τοπάροιθεν ἐγείνατο δῖα Ποδάργη,
ἄμφω ἀελλόποδας, Ζεφύρῳ κελάδοντι μιγεῖσα.
Καί νύ κεν αἶψ' ἐτέλεσσαν ὅσα σφίσι μήδετο θυμὸς,
εἰ μὴ σφέας κατέρυξε θεῶν νόος, ὄφρ' Ἀχιλῆος
ἔλθοι ἀπὸ Σκύροιο θοὸς πάϊς, ὅν ῥα καὶ αὐτοὶ

ut-combureretur Æacidæ cadaver; illo igitur statim adventante,] Æolus non difficilem-se-præbuit, sed advocatos asperum] continuo Aquilonem et Zephyri rapidum flatum
ad Trojam misit, subita bacchantes procella;
qui mox arripuere-viam, super mare ut-ferrentur
impetu magno, et *his* infremuit accelerantibus
pontus simul terraque, glomerabanturque in alto
cunctæ nubes, per magnum æthera volitantes.
Illi igitur, Jove sic-volente, cæsi Achillis
celeriter in-rogum involarunt conjuncti; attollebatur vero flamma] Vulcani ardentis, planctusque infinitus se-commovit] Myrmidonum. At venti, quamvis irruentes turbine,
integrum-diem et noctem cadaver sedulo-obeuntes,
urebant validis-flatibus nihilominus. Surgebat ergo densus
fumus in aera divinum, crepitabatque ingens materia,
dum-absumitur igni tota, et nigra *inde* fiebat favilla.
Cum vero magnum confecissent indefatigabiles negotium venti,]in suum quisque antrum cum nubibus se-receperunt.

Porro Myrmidones, ubi regem vasti-corporis ultimum post-alios] consumpserat ignis funestus, qui-necati-erant circa mortuum,] equos virosque et quæcunque alia lacrimantes] augusto cadaveri pretiosa adjecerant Achivi,
tandem pyram vino restinxerunt. Ossa autem illius
exstabant insigniter, quia cæteris non æqualia
erant, sed tanquam gigantis invicti; nec alia
cum his permixta erant; nam boves et equi
et filii Troum promiscue mortuis cum aliis
paululum seorsum jacebant circa cadaver, quod in mediis *illis*] æstu Vulcani consumptum, separatim jacebat:
illius autem ossa omnia, cum-gemitu, amici
collegerunt in urnam capacem et ponderosam,
argenteam, quæ auro fulgido tota insignita-erat;
et hæc ambrosia atque unguento penitus humectarunt
filiæ Nerei, magno Achillem honore-afficientes,
boumque arvinam indiderunt, multam illinentes
cum melle dulci: mater autem ipsius amphoram
præbuit, quam olim Bacchus dederat dono,
Vulcani insigne opus benevoli, in qua recondiderunt
ossa Achillis magnamini: circumque *eam* bustum
Græci et monimentum ingens aggerarunt
littore in summo juxta profunda Hellesponti,
Myrmidonum regem audacem deplorantes.

Neque immortales equi impavidi Æacidæ
manserunt lacrimarum-expertes juxta naves, sed etiam ipsi] flebant ob-suum in-bello-peremtum dominum,
nec volebant amplius laboriosos inter-homines, aut equos
versari Argivum, immani luctu affecti,
sed trans Oceani fluxus et Tethyos antra,
ab hominibus procul ærumnosis, se-transferre,
ubi eos quondam pepererat divina Podarge,
utrumque procellam-cursu-æquantem, Zephyro sonoro mista.] Atque sine mora perfecissent, quæ ipsis destinabat animus,]nisi eos retraxisset Deorum decretum, donec Achillis] veniret e Scyro impiger filius, quem ipsi etiam

δέχνυνθ', ὁππόθ' ἵκοιτο ποτὶ στρατόν· οὕνεκ' ἄρα
θέσφατα γιγνομένοισι Χάους ἱεροῖο θύγατρες [σφιν
Μοῖραι ἐπεκλώσαντο, καὶ ἀθανάτοις περ ἐοῦσι,
πρῶτα Ποσειδάωνι δαμήμεναι· αὐτὰρ ἔπειτα
θαρσαλέῳ Πηλῆϊ, καὶ ἀκαμάτῳ Ἀχιλῆϊ·
τέτρατον αὖτ' ἐπὶ τοῖσι Νεοπτολέμῳ μεγαθύμῳ,
τὸν καὶ ἐς Ἠλύσιον πεδίον μετόπισθεν ἔμελλον
Ζηνὸς ὑπ' ἐννεσίῃσι φέρειν, μακάρων ἐπὶ γαῖαν·
τοὔνεκα, καὶ στυγερῇ βεβολημένοι ἦτορ ἀνίῃ,
μίμνον πὰρ νήεσσιν, ἑὸν κατὰ θυμὸν ἄνακτα
τὸν μὲν ἀκηχέμενοι, τὸν δ' αὖ ποθέοντες ἰδέσθαι.
Καὶ τότ' ἐριγδούποιο λιπὼν ἁλὸς ὄβριμον οἶδμα,
ἤλυθεν Ἐννοσίγαιος ἐπ' ἠόνας· οὐδέ μιν ἄνδρες
ἔδρακον, ἀλλὰ θεῇσι παρίστατο Νηρηΐνῃς·
καί ῥα Θέτιν προσέειπεν ἔτ' ἀχνυμένην Ἀχιλῆος·
Ἴσχεο νῦν περὶ παιδὸς ἀπειρέσιον γοόωσα·
οὐ γὰρ ὅγε φθιμένοισι μετέσσεται, ἀλλὰ θεοῖσιν,
ὡς ἠΰς Διόνυσος ἰδὲ σθένος Ἡρακλῆος.
Οὐ γάρ μιν μόρος αἰνὸς ὑπὸ ζόφον αἰὲν ἐρύξει,
οὐδ' Ἀΐδης, ἀλλ' αἶψα καὶ ἐς Διὸς ἵξεται αὐγάς·
καί οἱ δῶρον ἐγώ γε θεουδέα νῆσον ὀπάσσω
Εὔξεινον κατὰ πόντον, ὅπη θεὸς ἔσσεται αἰὲν
σὸς πάϊς· ἀμφὶ δὲ φῦλα περικτιόνων μέγα λαῶν
κεῖνον, κυδαίνοντα θυηπολίῃς ἐρατεινῇς
ἶσον ἐμοὶ τίσουσι· σὺ δ' ἴσχεο κωκύουσα
ἐσσυμένως, καὶ μή τι χαλέπτεο πένθεϊ θυμόν.
Ὣς εἰπὼν ἐπὶ πόντον ἀπήϊεν εἴκελος αὔρῃ,
παρφάμενος μύθοισι Θέτιν· τῆς δ' ἐν φρεσὶ θυμὸς
βαιὸν ἀνέπνευσεν· τὰ δέ οἱ θεὸς ἐξετέλεσσεν·
Ἀργεῖοι δὲ γοῶντες ἀπήϊον, ᾗχι ἑκάστῳ
νῆες ἔσαν, τὰς ἦγον ἀφ' Ἑλλάδος· αἱ δ' Ἑλικῶνα
Πιερίδες νίσσοντο, καὶ εἰς ἅλα Νηρηΐναι
δῦσαν, ἑὸν στενάχουσαι ἐΰφρονα Πηλείωνα.

exspectabant, si-quando veniret ad exercitum. Nam illis
hoc fatum nascentibus Chai sacri natæ,
Parcæ, agglomerarant, licet immortales essent,
ut-primum a-Neptuno domarentur, atque deinde
a-forti Peleo, et *tertio* invicto ab-Achille,
quarto autem post hos a-Neoptolemo magnanimo,
quem etiam in Elysium campum posthac erant
Jovis consilio deportaturi, beatorum ad-terram;
quamobrem acerbo sauciati cor mærore,
manebant apud naves, suum in animo dominum,
alterum quidem deplorantes, alterum vero cupientes videre.
Et tunc horrisoni linquens æquoris tumidam undam
venit Neptunus ad littus, nec ipsum homines
viderunt, sed deabus adstitit Nereo-satis,
et Thetin allocutus-est, adhuc mœrentem ob-Achillem:
Desine tandem ob natum nimio indulgere-luctui:
non enim hic cum inferis deget, sed cum-Diis;
ut mitis Bacchus et robur Herculis.
Non enim eum fatum lugubre tenebris perpetuis præpediet,
nec Pluto, sed mox ad Jovis evehetur lucidas-sedes;
atque ipsi dono ego divam insulam dabo
Euxinum ad pontum, ubi deus erit perpetuo
tuus natus; et circumquaque gentes finitimorum hominum
insigniter] illum venerantes sacrificiis gratis
non minus quam-me colent. Tu igitur desine lamentari
confestim, nec conficito luctu animum.
Sic fatus in æquor discessit, similis auræ,
consolatus *his* verbis Thetidem, cujus in pectore animus
nonnihil respiravit; illa autem ei Deus adimplevit.
Argivi autem gementes se-retulerunt, ubi cujusque
naves erant, quas adduxerant e Græcia; ad-Heliconem
etiam] Pierides redierunt, et mare Nereides
subiere, suum deflentes cordatum Peliden.

ΛΟΓΟΣ Δ.

Οὐδὲ μὲν Ἱππολόχοιο δαΐφρονος ὄβριμον υἱὸν
Τρῶες ἀδάκρυτον δειλοὶ λίπον, ἀλλὰ καὶ αὐτοὶ
Δαρδανίης προπάροιθε πύλης ἐρικυδέα φῶτα
πυρκαϊῆς καθύπερθε βάλον· τὸν δ' αὐτὸς Ἀπόλλων
ἐκ πυρὸς αἰθομένοιο μάλ' ἐσσυμένως ἀναείρας
δῶκε θοοῖς Ἀνέμοισι φέρειν Λυκίης σχεδὸν αἴης.
οἱ δέ μιν αἶψ' ἀπένειχαν ὑπ' ἄγκεα Τηλάνδροιο
χῶρον ἐς ἱμερόεντα, πέτρην δ' ἐφύπερθε βάλοντο
ἄῤῥηκτον· Νύμφαι δὲ περίβλυσαν ἱερὸν ὕδωρ
ἀενάου ποταμοῖο, τὸν εἰσέτι φῦλ' ἀνθρώπων
Γλαῦκον ἐπικλείουσιν ἐΰῤῥοον· ἀλλὰ τὰ μέν που
ἀθάνατοι τεύξαντο γέρας Λυκίων βασιλῆϊ·
Ἀργεῖοι δ' ἐρίθυμον ἀνεστενάχοντ' Ἀχιλῆα
νηυσὶ παρ' ὠκυπόροισιν· ἔτειρε δὲ πάντας ἀνίη
λευγαλέη καὶ πένθος, ἐπεί ῥά μιν ὡς ἑὸν υἷα
δίζοντ', οὐδέ τις ἦεν ἀνὰ στρατὸν εὐρὺν ἄδακρυς·
Τρῶες δ' αὖτ' ἀλίαστον ἐγήθεον, εἰσορόωντες
τοὺς μὲν ἀχηχεμένους, τὸν δ' ἐν πυρὶ δῃωθέντα·

LIBER IV.

Interim nec Hippolochi bellicosi fortem filium
Troes indeploratum miseri reliquerunt; verum et ipsi
Dardaniam ante portam præclarum virum
rogo imposuerunt. Hunc vero ipse Apollo,
ex flamma ardente præpropere sublatum,
dedit rapidis Ventis portandum Lyciam ad terram:
qui eum protinus abstulerunt, sub valles Telandri,
locum in amœnum, et saxum super imposuerunt
durissimum. Nymphæ autem elicuerunt sacrum liquorem
perennis fluvii, quem etiamnum gentes hominum
Glaucum appellant largifluum. Hoc itaque
Dii effecerunt in-honorem Lyciorum regi.
Argivi autem animosum deflebant Achillem,
ad naves cito-meantes, vexabatque omnes ægrimonia
acerba et luctus, quoniam ipsum ut suum filium
requirebant, nec quisquam fuit in castris latis sine-lacrimis.] Troes contra ingenti afficiebantur-gaudio, ubi-viderunt] hos mœrore-se-affligtantes, illum igni consumptum;

καί τις ἐπευχόμενος μῦθον ποτὶ τοῖον ἔειπεν·
Νῦν πάντεσσιν ἄελπτον ἀπ' Οὐλύμποιο Κρονίων
ἡμῖν ὤπασε χάρμα, λιλαιομένοισιν ἰδέσθαι
ἐν Τροίῃ Ἀχιλῆα δεδουπότα· τοῦ γὰρ ὀΐω
βλημένου ἀμπνεύσειν Τρώων ἐρικυδέα φῦλα,
αἵματος ἐξ ὀλοοῖο καὶ ἀνδροφόνου ὑσμίνης·
αἰεὶ γάρ οἱ χερσὶν ἐμαίνετο λοίγιον ἔγχος,
λύθρῳ ὑπ' ἀργαλέῳ πεπαλαγμένον· οὐδέ τις ἡμέων
κείνῳ ἔναντα κιὼν, ἔτ' ἐσέδρακεν Ἠριγένειαν·
νῦν δ' ὀΐω φεύξεσθαι Ἀχαιῶν ὄβριμα τέκνα
νηυσὶν ἐϋπρώροισι, δαϊκταμένου Ἀχιλῆος·
ὡς ὄφελον μένος ἦεν ἔθ' Ἕκτορος, ὄφρ' ἅμα πάντας
Ἀργείους σφετέρῃσιν ἐνὶ κλισίῃσιν ὀλέσσῃ.
Ὣς ἄρ' ἔφη Τρώων τις ἐνὶ φρεσὶ πάγχυ γεγηθώς·
ἄλλος δ' αὖθ' ἑτέρωθε, πύκα φρονέων, φάτο μῦθον·
Φῇσθα σὺ μὲν Δαναῶν ὀλοὸν στρατὸν ἔνδοθι νηῶν
πόντον ἐπ' ἠερόεντα πεφυζότας αἶψα νέεσθαι·
ἀλλ' οὐ μὰν δείσουσι, λιλαιόμενοι μέγα χάρμης·
εἰσὶν γὰρ κρατεροί τε καὶ ὄβριμοι ἀνέρες ἄλλοι,
Τυδείδης Αἴας τε καὶ Ἀτρέος ὄβριμοι υἷες·
τοὺς ἔτ' ἐγὼ δείδοικα, κατακταμένου Ἀχιλῆος.
Τοὺς εἴθ' ἀργυρότοξος ἀναιρήσειεν Ἀπόλλων,
καί κεν ἀνάπνευσις πολέμου καὶ ἀεικέος οἴτου
ἡμῖν εὐχομένοισιν ἐλεύσεται ἤματι κείνῳ.
Ὣς ἔφατ'· ἀθάνατοι δὲ κατ' οὐρανὸν ἐστενάχοντο,
ὅσσοι ἔσαν Δαναοῖσιν ἐϋσθενέεσσιν ἀρωγοί·
ἀμφὶ δὲ κρᾶτ' ἐκάλυψαν ἀπειρεσίοις νεφέεσσι,
θυμὸν ἀκηχέμενοι· ἑτέρωθε δὲ γήθεον ἄλλοι,
εὐχόμενοι Τρώεσσι πέρας θυμηδὲς ὀρέξαι.
Καὶ τότε δὴ Κρονίωνα κλυτὴ προσεφώνεεν Ἥρη·
Ζεῦ πάτερ ἀργικέραυνε, τίη Τρώεσσιν ἀρήγεις,
κούρης ἠϋκόμοιο λελασμένος, ἥν ῥα πάροιθεν
ἀντιθέῳ Πηλῆϊ πόρες θυμήρε' ἄκοιτιν
Πηλίου ἐν βήσσῃσι; γάμον δέ οἱ αὐτὸς ἔτευξας
ἄμβροτον· οἱ δέ νυ πάντες ἐδαινύμεθ' ἤματι κείνῳ
ἀθάνατοι, καὶ πολλὰ δόμεν περικαλλέα δῶρα·
ἀλλὰ τά γ' ἐξελάθου· μέγα δ' Ἑλλάδι μήσαο πένθος·
Ὣς ἄρ' ἔφη· τὴν δ' οὔτι προσέννεπεν ἀκάματος Ζεύς·
ἧστο γὰρ ἀχνύμενος κραδίην καὶ πολλὰ μενοινῶν,
οὕνεκεν ἤμελλον Πριάμου πόλιν ἐξαλαπάξειν
Ἀργεῖοι, τοῖς αἰνὸν ἐμήδετο λοιγὸν ὀπάσσαι
ἐν πολέμῳ στονόεντι καὶ ἐν βαρυηχέϊ πόντῳ·
καὶ τὰ μὲν ὡς ὥρμαινε, τὰ δὴ μετόπισθε τέλεσσεν.
Ἠὼς δ' ὠκεανοῖο βαθὺν ῥόον εἰσαφίκανεν·
κυανέην δ' ἄρα γαῖαν ἐπήϊεν ἄσπετος ὄρφνη,
ἦμος ἀναπνείουσι βροτοὶ βαιὸν καμάτοιο·
Ἀργεῖοι δ' ἐπὶ νηυσὶν ἐδόρπεον, ἀχνύμενοί περ.
Οὐ γὰρ νηδύος ἐστὶν ἀπωσέμεναι μεμαυίης
λιμὸν ἀταρτηρὸν, ὁπόταν στέρνοισιν ἵκηται,
ἀλλ' εἶθαρ θοὰ γυῖα βαρύνεται, οὐδέ τι μῆχος
γίγνεται, ἢν μή τις κορέσῃ θυμαλγέα νηδύν·
τοὔνεκα δαῖτ' ἐπάσαντο, καὶ ἀχνύμενοι Ἀχιλῆος·
αἰνὴ γὰρ μάλα πάντας ἐποτρύνεσκεν ἀνάγκη.
Τοῖσι δὲ πασσαμένοισιν ἐπήλυθε νήδυμος ὕπνος,

et quispiam vota-concipiens verba talia edidit:
Nunc omnibus insperatum cœlitus Saturni-filius
nobis exhibuit gaudium, cupidis videndi
ad Trojam Achillem interfectum. Hoc enim spero
extincto respiraturas Trojanorum nobiles gentes
nece a crudeli et mortifero prœlio.
Semper enim ejus in-manibus furebat pestilens hasta,
cruore tristi polluta, nec ullus e-nobis
illi obviam factus amplius vidit Auroram.
Ergo nunc puto fugam-arrepturos Achivum fortes natos
navibus rostratis, in-pugna-confosso Achille.
O utinam robur esset superstes Hectoris, ut simul omnes
Argivos ipsorum in castris internecioni-daret!
Sic dixit Troum quispiam pectore toto lætus;
alius autem aliunde, *rem* penitus considerans, *his* disseruit
verbis:] Putas tu quidem, Danaum infestas copias in navibus] mare per cæruleum arrepta-fuga statim vela-daturas.
At nequaquam fugient, cum-cupiant valde bellum;
sunt enim validi et constantes viri alii,
Tydides Ajaxque et Atrei strenui filii,
quos adhuc ego pertimesco, occiso Achille.
Hos utinam argenteo-decorus-arcu e-medio-tollat Apollo,
forte quies a-bello indignaque cæde
nobis pro-votis continget die illo.
Sic ait. At Dii in cœlo ingemuerunt,
qui erant Danais præpotentibus fautores,
et capita velarunt immensis nubibus,
animum contristati: contra autem lætati-sunt alii,
qui-optabant Trojanis finem *belli* gratum afferre.
Atque tunc Jovem inclyta allocuta-est Juno:
Juppiter pater fulminator, cur Troum partes-tueris,
puellæ pulcricomæ oblitus, quam superiori-tempore
generoso Peleo sociasti optatam uxorem
Pelii in vallibus? et nuptias ei ipse instruxisti
divinas; cuncti sane epulo-interfuimus die illo
immortales, multaque obtulimus insignia munera.
Sed horum oblitus-es, magnumque Græciæ destinasti luctum.] Sic ait; huic vero nihil respondit invictus Juppiter;
sedebat enim se-excrucians animi et multa secum-volutans,
quod essent Priami urbem eversuri
Argivi, quibus triste cogitabat exitium inferre
in bello luctifico et in horrisono mari:
atque hæc quidem ita meditabatur, quæ deinde peregit.
Interea Aurora Oceani ad-altum gurgitem pervenerat,
et nigram terram invaserant densæ tenebræ,
cum respirant homines nonnihil a-labore:
tunc Argivi in navibus cænam-sumpserunt, quamvis mœsti.
Non enim a-ventre licet propulsare avido
famem diram, quando viscera subit;
sed mox velocia membra gravantur, nec ullum remedium
occurrit, nisi quis satiaverit ægrificam alvum:
propterea escam carpserunt, tametsi lugerent Achillem;
prædura enim omnes urgebat necessitas.
Hos igitur saturatos oppressit dulcis sopor,

λῦσε δ' ἀπὸ μελέων ὀδύνας, ἐπὶ δὲ σθένος ὦρσεν.
Ἀλλ' ὅτε δὴ κεφαλὰς μὲν ἐπ' ἀντολίην ἔχον ἄρκτοι,
δέγμεναι ἠελίοιο θοὸν φάος, ἔγρετο δ' Ἠώς,
δὴ τότ' ἀνέγρετο λαὸς ἐϋσθενέων Ἀργείων,
πορφύρων Τρώεσσι φόνον καὶ κῆρ' ἀΐδηλον,
κίνυτο δ' ἠΰτε πόντος ἀπείριτος Ἰκαρίοιο,
ἠὲ καὶ αὐαλέον βαθὺ λήϊον, ὁππόθ' ἵκηται
ῥιπὴ ἀπειρεσίη νεφεληγερέος Ζεφύροιο·
ὣς ἄρα κίνυτο λαὸς ἐπ' ἠόσιν Ἑλλησπόντου.
Καὶ τότε Τυδέος υἱὸς ἐελδομένοισιν ἔειπεν·
Ὦ φίλοι, εἰ ἐτεόν γε μενεπτόλεμοι πελόμεσθα,
νῦν μᾶλλον στυγεροῖσι μαχώμεθα δυσμενέεσσι,
μή πως θαρσήσωσιν, Ἀχιλλέος οὐκ ἔτ' ἐόντος·
ἀλλ' ἄγε σὺν τεύχεσσι καὶ ἅρμασιν ἠδὲ καὶ ἵπποις
ἴομεν ἀμφὶ πόληα· πόνος δ' ἄρα κῦδος ὀρέξει.
Ὣς ἔφατ' ἐν Δαναοῖσιν· ἀμείβετο δ' ὄβριμος Αἴας·
Τυδείδη, σὺ μὲν ἐσθλὰ καὶ οὐκ ἀνεμώλια βάζεις,
ὀτρύνων Τρώεσσιν ἐϋπτολέμοισι μάχεσθαι
ἀγχεμάχους Δαναούς, οἵπερ μεμάασι καὶ αὐτοί·
ἀλλὰ χρὴ ἐν νήεσσι μένειν, ἄχρις ἐξ ἁλὸς ἔλθῃ
δῖα Θέτις· μάλα γάρ οἱ ἐνὶ φρεσὶν ἔλδεται ἦτορ
υἷεος ἀμφὶ τάφῳ περικαλλέα θεῖναι ἄεθλα·
ὥς χθιζή μοι ἔειπεν, ὅτ' εἰς ἁλὸς ἤϊε βένθος,
νόσφ' ἄλλων Δαναῶν· καί ἑ σχεδὸν ἔλπομαι εἶναι
ἐσσυμένην. Τρῶες δὲ, καὶ εἰ θάνε Πηλέος υἱὸς,
οὐ μάλα θαρσήσουσιν, ἔτι ζώοντος ἐμεῖο,
καὶ σέθεν ἠδὲ καὶ αὐτοῦ ἀμύμονος Ἀτρείδαο.
Ὣς ἄρ' ἔφη Τελαμῶνος ἐῢς πάϊς, οὐδέ τι ἤδη
ὅττι ῥά οἱ μετ' ἄεθλα κακὸν μόρον ἔντυε δαίμων
ἀργαλέον· τὸν δ' αὖθις ἀμείβετο Τυδέος υἱός·
Ὦ φίλος, εἰ ἐτεὸν Θέτις ἔρχεται ἤματι τῷδε
υἷεος ἀμφὶ τάφῳ περικαλλέα θεῖναι ἄεθλα,
πὰρ νήεσσι μένωμεν, ἐρυκανόωντε καὶ ἄλλους·
καὶ γὰρ δὴ μακάρεσσι θεοῖς πείθεσθαι ἔοικε·
καὶ δ' ἄλλως Ἀχιλῆϊ, καὶ ἀθανάτων ἀέκητι,
αὐτοὶ φραζώμεσθα δόμεν θυμηδέα τιμήν.
Ὣς φάτο Τυδείδαο δαΐφρονος ὄβριμον ἦτορ·
καὶ τότ' ἄρ' ἐκ πόντοιο κίεν Πηλῆος ἄκοιτις,
αὔρῃ ὑπηώῃ ἐναλίγκιος· αἶψα δ' ἵκανεν
Ἀργείων ἐς ὅμιλον, ὅπῃ μεμαῶτες ἔμιμνον,
οἱ μὲν ἀεθλεύσοντες ἀπειρεσίῳ ἐν ἀγῶνι,
οἱ δὲ φρένας καὶ θυμὸν ἀεθλητῆρσιν ἰῆναι·
τοῖσι δ' ἅμ' ἀγρομένοισι Θέτις κυανοκρήδεμνος
θῆκεν ἄεθλα φέρουσα, καὶ ὀτρύνεσκεν Ἀχαιοὺς
αὐτίκ' ἀεθλεύειν· τοὶ δ' ἀθανάτῃ πεπίθοντο.
Πρῶτος δ' ἐν μέσσοισιν ἀνίστατο Νηλέος υἱός,
οὐ μὲν πυγμαχίῃσι λιλαιόμενος πονέεσθαι,
οὔτε παλαισμοσύνῃ πολυτειρέϊ· τοῦ γὰρ ὕπερθε
γυῖα καὶ ἄψεα πάντα λυγρὸν κατεδάμνατο γῆρας·
ἀλλά οἱ ἐν στέρνοισιν ἔτ' ἔμπεδος ἔπλετο θυμὸς
καὶ νόος· οὐδέ τις ἄλλος ἐριδμαίνεσκεν Ἀχαιῶν
κείνῳ, ὅτ' εἰν ἀγορῇ ἐπέων πέρι δῆρις ἐτύχθη·
τῷ καὶ Λαέρταο κλυτὸς πάϊς εἵνεκα μύθων
εἰν ἀγορῇ ὑπόεικε, καὶ ὃς βασιλεύτατος ἦεν

laxavitque membra curis, vigoremque renovavit.
At cum capita ad ortum vertissent ursæ,
exspectantes solis rapidum jubar, et surgeret Aurora;
tunc etiam se-commovit exercitus præpotentum Argivorum,] meditans Trojanis cædem et perniciem funestam,
et fluctuavit non-aliter-quam mare vastum Icarii,
aut etiam arida *et* profunda seges, ubi ingruit
flatus immodicus nubes-cogentis Zephyri:
sic etiam movebatur exercitus ad littora Hellesponti.
Et tunc Tydei filius ad-*Græcos hujus rei* cupidos dixit:
Amici, si revera bellica-virtute præstamus,
nunc acrius cum-infestis pugnemus hostibus,
ne unquam animum-recipiant, Achille non amplius superstite.] Ergo agite instructi armis et curribus atque equis,
cingamus urbem. Labor enim gloriam exhibebit.
Sic ait inter Danaos; sed *ita eum* excepit procerus Ajax:
Tydida, tu quidem bene et non incassum mones,
instigans cum Trojanis Marte-valentibus pugnare
pugnaces Danaos, qui illuc-feruntur sponte-sua.
Verum est in navibus commorandum, dum e mari venerit
diva Thetis, cujus magnopere in pectore cupit animus
nati ad tumulum pulcerrima proponere præmia,
ut heri mihi retulit, cum maris subiret profundum,
seorsum a-cæteris Danais; eamque prope auguror esse
properantem. Troes autem, etiamsi obiit Pelei natus,
non multum fiduciæ-habebunt, adhuc superstite me,
et te, atque etiam ipso inculpato Agamemnone.
Ita dixit Telamonis egregius filius, nec præscivit,
quod sibi post certamina atrocem mortem pararet fatum
crudelem: eique respondit Tydei natus.
Amice, si haud-dubie Thetis veniet hoc die,
ut-nati ad bustum pulcra instituat certamina,
ad naves præstolemur, inhibentes etiam alios.
Etenim æternis Divis parere decet;
et alioquin Achilli, etiam Deorum sine-monitu,
ipsi constituamus, ut deferamus gratum honorem.
Talia verba-dabat Diomedis belliscii animosum cor.
Et tunc ex ponto sese-extulit Pelei uxor,
auræ matutinæ similis, et statim venit
Argivum in cœtum, ubi promti remanserant,
alii, ut-decertarent frequenti in ludo,
alii, ut mentem et animum athletis *spectandis* oblectarent.
Quibus in-unum coactis Thetis cærulea-redimita-vitta
deposuit præmia allata, et hortata-est Argivos,
ut-protinus certamen-inirent: et hi Divæ paruerunt.
Princeps igitur in medium prodiit Nelei filius,
non pugillatu cupiens contendere,
nec lucta plurimum-defatigante: desuper enim
membra et artus cunctos molesta gravabat senectus;
sed ei in pectore adhuc vegetus erat animus
et intellectus, nec quisquam alius contendebat Achivum
cum-ipso, si in concione de facundia certamen motum-esset.
Idcirco et Laertæ clarus natus eloquentia
in concione *illi* cedebat, et qui summo-imperio-præditus

πάντων Ἀργείων, μέγ' ἐϋμμελίης Ἀγαμέμνων·
τοὔνεκ' ἐνὶ μέσσοισιν ἐΰφρονα Νηρηΐνην
ὕμνεεν, ὡς πάσῃσι μετέπρεπεν εἰναλίῃσιν,
εἵνεκ' ἐϋφροσύνης καὶ εἴδεος· ἡ δ' ἀΐουσα
τέρπεθ'· ὁ δ' ἱμερόεντα γάμον Πηλῆος ἔνισπε,
τόν ῥά οἱ ἀθάνατοι μάκαρες συνετεκτήναντο
Πηλίου ἀμφὶ κάρηνα· καὶ ἄμβροτον ὡς ἐπάσαντο
δαῖτα παρ' εἰλαπίνῃσιν, ὅτ' εἴδατα θεῖα φέρουσαι
χερσὶν ὑπ' ἀμβροσίῃσι θεαὶ παρενήνεον Ὧραι
χρυσείοις κανέοισι, Θέμις δ' ἄρα καγχαλόωσα
ἀργυρέας ἐτίταινεν ἐπισπέρχουσα τραπέζας,
πῦρ δ' Ἥφαιστος ἔκαιεν ἀκήρατον, ἀμφὶ δὲ Νύμφαι
ἀμβροσίην ἐκέραιρον ἐνὶ χρυσέοισι κυπέλλοις,
αἳ δ' ἄρ' ἐς ὀρχηθμὸν Χάριτες τράπεν ἱμερόεντα,
Μοῦσαι δ' ἐς μολπήν, ἐπετέρπετο δ' οὔρεα πάντα,
καὶ ποταμοὶ καὶ θῆρες, ἰαίνετο δ' ἄφθιτος αἰθήρ,
ἄντρα τε Χείρωνος περικαλλέα καὶ θεοὶ αὐτοί.
Καὶ τὰ μὲν ἂρ Νηλῆος ἐῢς πάϊς Ἀργείοισι
πάντα μάλ' ἱεμένοις κατελέξατο· τοὶ δ' ἀΐοντες
τέρπονθ'· ὃς δ' Ἀχιλῆος ἀμύμονος ἄφθιτα ἔργα
μέλπε μέσῳ ἐν ἀγῶνι· πολὺς δ' ἀμφίαχε λαὸς
ἀσπασίως· ὁ δ' ἄρ' ἔνθεν ἑλὼν ἐρικύδεα φῶτα
ἐκπάγλως κύδαινεν ἀρηραμένοις ἐπέεσσιν·
δώδεχ' ὅπως διέπερσε κατὰ πλόον ἄστεα φωτῶν,
ἕνδεκα δ' αὖ κατὰ γαῖαν ἀπείριτον· ὡς δ' ἐδάϊξεν
Τήλεφον, ἠδὲ βίην ἐρικυδέος Ἠετίωνος
Θήβης ἐν δαπέδοισι, καὶ ὡς Κύκνον ἔκτανε δουρὶ,
υἷα Ποσειδάωνος, ἰδ' ἀντίθεον Πολύδωρον
καὶ Τρωΐλον θηητὸν ἀμύμονά τ' Ἀστεροπαῖον·
αἵματι δ' ὡς ἐρύθηνεν ἅδην ποταμοῖο ῥέεθρα
Ξάνθου, καὶ νεκύεσσιν ἀπειρεσίοισι κάλυψεν
πάντα ῥόον κελάδοντα, Λυκάονος ὁππότε θυμὸν
νοσφίσατ' ἐκ μελέων, ποταμοῦ σχεδὸν ἠχήεντος·
Ἕκτορά θ' ὡς ἐδάμασσε, καὶ ὡς ἕλε Πενθεσίλειαν,
ἠδὲ καὶ υἷεα δῖον ἐϋθρόνου Ἠριγενείης.
Καὶ τὰ μὲν Ἀργείοισιν ἐπισταμένοισι καὶ αὐτοῖς
μέλπε, καὶ ὡς ἐτέτυκτο πελώριος, ὥς τέ οἱ οὔτις
ἔσθενε δηριάασθαι ἐναντίον, οὔτ' ἐν ἀέθλοις
αἰζηῶν, ὅτε ποσσὶ νέοι περιδηριόωνται,
οὐδὲ μὲν ἱππασίῃ, οὐδὲ σταδίῃ ἐνὶ χάρμῃ·
κάλλεΐ θ' ὡς Δαναοὺς μέγ' ὑπείρεχεν, ὥς τέ οἱ ἀλκὴ
ἔπλετ' ἀπειρεσίη, ὁπότ' Ἄρεος ἵστατο δῆρις·
εὔχετο δ' ἀθανάτοισι, καὶ υἷεα τοῖον ἰδέσθαι
κείνου, ἀπὸ Σκύροιο πολυκλύστοιο μολόντα.
Ἀργεῖοι δ' ἄρα πᾶσιν ἐπευφήμησαν ἔπεσσιν,
αὐτή τ' ἀργυρόπεζα Θέτις, καί οἱ πόρεν ἵππους
ὠκύποδας, τοὺς πρόσθεν ἐϋμμελίῃ Ἀχιλῆϊ
Τήλεφος ὤπασε δῶρον ἐπὶ προχοῇσι Καΐκου,
εὖτέ ἑ μοχθίζοντα κακῷ περὶ ἕλκεϊ θυμὸν
ἠκέσατ' ἐγχείῃ, τῇ μιν βάλε δηριόωντα
αὐτὸς ἔσω μηροῖο· διήλασε δ' ὄβριμον αἰχμήν.
Καὶ τοὺς μὲν Νέστωρ Νηλήϊος οἷς ἑτάροισιν
ὤπασεν· οἱ δ' ἐς νῆας ἄγον μέγα κυδαίνοντες
ἀντίθεον βασιλῆα. Θέτις δ' ἐς μέσσον ἀγῶνα

erat] inter-omnes Argivos, hasta-præstans Agamemnon.
Ideo in medio-agmine sapientem Nerei-filiam
celebrabat, quod omnes præcelleret Deas-maris,
animi-virtute et formæ-decore. Quæ cum-audiret,
lætabatur. Ille autem de gratis nuptiis Pelei verba-fecit,
quas immortales Dii confecissent
Pelii in jugis, et ut ambrosium sumpsissent
cibum in conviviis, ubi escas divinas afferentes
palmis cœlestibus divæ accumularunt Horæ
aureis canistris, et Themis lætabunda
argenteas posuit sine-cunctatione mensas,
ignemque Vulcanus accendit purum, et juxta Nymphæ
ambrosiam miscuerunt in aureis scyphis,
atque ad saltationem Gratiæ se-converterunt amabilem,
et Musæ ad cantum, unde oblectabantur cuncti montes,
et amnes et bestiæ, et exultavit æternus æther,
antraque Chironis amœna et Dii ipsi.
Et hæc quidem Nelei egregius filius Argivis
omnia pro-votis-ipsorum memoravit, qui *hæc* audientes
oblectabantur. Item Achillis præstantis immortalia facta
celebravit medio in circo, numerosusque acclamavit ex-
ercitus] benevolenter. Inde igitur exordio-ducto, illustrem
virum] mirum-in-modum laudavit convenientibus verbis:
ut duodecim exscidisset inter navigandum oppida homi-
num,] et undecim in continente spaciosa; ut percussisset
Telephum, et robur nobilis Eetionis
Thebes in solo; et ut Cycnum peremisset hasta
ortum Neptuno, atque Diis-similem Polydorum,
Troilum etiam speciosum et fortem Asteropæum;
et ut sanguine rubefecisset prorsus fluminis undam
Xanthi, et cadaveribus innumeris obtexisset
totum fluvium strepitantem, quando Lycaonis animum
exterminavit e corpore, amnem prope sonorum:
et ut Hectora stravisset, et vicisset Penthesileam,
atque etiam filium divum pulcrithronæ Auroræ.
Atque hæc Argivis, qui-non-ignorabant et ipsi,
memoravit, et quam fuisset procerus, utque cum-ipso nemo
valuisset contendere cominus, neque in certamine
juvenum, cum pedibus (*cursu*) juniores disceptant,
neque in ludo-equestri, neque stataria in pugna;
et ut forma Danaos longe superasset; et quæ ipsi fortitudo
fuisset excellens, cum Martis exorta-esset contentio.
Orabat igitur immortales, ut-etiam filius talis videretur
illius, e Scyro fluctuosa profectus.
Argivi autem singula secundo-rumore-exceperunt verba,
ipsa etiam argentipes Thetis: et ipsi obtulit equos
alipedes, quos olim hasta-valenti Achilli
Telephus dederat dono apud ostia Caici,
cum eum ægrum, malum propter vulnus, animi,
curasset hasta, qua eum percusserat in-conflictu
ipse in femur, infixeratque validam cuspidem.
Atque hos quidem Nestor Neleius suis sociis
tradidit, qui ad naves deduxerunt honorifice prædicantes
similem-Diis regem. Thetis autem in mediam arenam

θῆκεν ἄρ' ἀμφὶ δρόμοιο βόας δέκα· τῇσι δὲ πάσῃς
χαλαὶ πόρτιες ἦσαν ὑπὸ μαζοῖσιν ἰοῦσαι·
τάς ποτε Πηλείδαο θρασὺ σθένος ἀκαμάτοιο
ἤλασεν ἐξ Ἴδης, μεγάλῳ περὶ δουρὶ πεποιθώς.
Τῶν πέρι δοιοὶ ἀνέσταν, ἐελδόμενοι μέγα νίκης·
Τεῦκρος μὲν πρῶτος Τελαμώνιος, ἠδὲ καὶ Αἴας,
Αἴας, ὅς τε Λοκροῖσι μετέπρεπεν ἰοβόλοισιν·
ἀμφὶ δ' ἄρα ζώσαντο θοῶς περὶ μήδεα χερσὶν
φάρεα· πάντα δ' ἔνερθεν, ἅπερ θέμις, ἐκρύψαντο,
αἰδόμενοι Πηλῆος ἐϋσθενέος παράκοιτιν
ἄλλας τ' εἰναλίας Νηρηΐδας, ὅσσαι ἅμ' αὐτῇ
ἤλυθον Ἀργείων κρατεροὺς ἐσιδέσθαι ἀέθλους.
Τοῖσι δὲ σημαίνεσκε δρόμου τέλος ὠκυτάτοιο
Ἀτρεΐδης, ὃς πᾶσι μετ' Ἀργείοισιν ἄνασσε·
τοὺς δ' Ἔρις ὠτρύνεσκεν ἀκήρατος· οἱ δ' ἀπὸ νύσσης
καρπαλίμως οἴμησαν, ἐοικότες ἰρήκεσσιν·
τῶν δὲ καὶ ἀμφήριστος ἔην δρόμος· οἱ δ' ἑκάτερθεν
Ἀργεῖοι λεύσσοντες ἐπίαχον, ἄλλυδις ἄλλος.
Ἀλλ' ὅτε τέρματ' ἔμελλον ἱκανέμεναι μεμαῶτες,
δὴ τότε που Τεύκροιο μένος καὶ γυῖα πέδησαν
ἀθάνατοι· τὸν γάρ ῥα θεὸς βάλεν, ἠέ τις ἄτη,
ὄζον ἐς ἀλγινόεντα βαθυῤῥίζοιο μυρίκης· [νῶς
τῷ δ' ἄρ' ἐνιχριμφθεὶς χαμάδις πέσε· τοῦ δ' ἀλεγει-
ἄκρον ἀνεγνάμφθη λαιοῦ ποδός, αἱ δ' ὑπανέσταν
οἰδαλέαι ἑκάτερθε περὶ φλέβες· οἱ δ' ἰάχησαν
Ἀργεῖοι κατ' ἀγῶνα· παρήϊξεν δέ μιν Αἴας
γηθόσυνος· λαοὶ δὲ συνέδραμον, οἵ οἱ ἕποντο,
Λοκροί· αἶψα δὲ χάρμα περὶ φρένας ἤλυθε πάντων·
ἐκ δ' ἔλασαν μετὰ νῆας ἄγειν βόας, ὄφρα νέμωνται.
Τεῦκρον δ' ἐσσυμένως ἕταροι περιποιπνύοντες,
ἦγον ἐπισκάζοντα· θοῶς δέ οἱ ἰητῆρες
ἐκ ποδὸς αἷμ' ἀφέλοντο, θέσαν δ' ἐφύπερθε μοτάων
εἴρια, συνδεύσαντες ἀλείφασιν· ἀμφὶ δὲ μίτρην
δῆσαντ' ἐνδυκέως· ὀλοὰς δ' ἐκέδασσαν ἀνίας.
Ἄλλω δ' αὖθ' ἑτέρωθε παλαισμοσύνης ὑπερόπλου
καρπαλίμως μνώοντο δύω κρατερόφρονε φῶτε,
Τυδέος ἱπποδάμοιο πάϊς καὶ ὑπέρβιος Αἴας,
οἵ ῥ' ἴσαν ἐς μέσσον· θάμβος δ' ἔχεν ἀθρήσαντας
Ἀργείους· ἄμφω γὰρ ἔσαν μακάρεσσιν ὁμοῖοι·
σὺν δ' ἔβαλον θήρεσσιν ἐοικότες, οἵ τ' ἐν ὄρεσσιν
ἀμφ' ἐλάφοιο μάχονται, ἐδητύος ἰσχανόωντες·
ἶσον δ' ἀμφοτέροισι πέλει σθένος· οὐδέ τις αὐτῶν
λείπεται οὐδ' ἠβαιόν, ἀταρτηρῶν μάλ' ἐόντων·
ὣς οἵγ' ἶσον ἔχον κρατερὸν μένος· ὀψὲ δ' ἄρ' Αἴας
Τυδείδην συνέμαρψεν ἐνὶ στιβαρῇσι χέρεσσι
ἄγξαι ἐπειγόμενος· ὁ δ' ἄρ' ἰδρείῃ τε καὶ ἀλκῇ
πλευρὸν ὑποκλίνας Τελαμώνιον ὄβριμον υἷα
ἐσσυμένως ἀνάειρεν, ὑπὲρ μυῶνος ἐρείσας
ὦμον καὶ ποδὶ μηρὸν ὑποπλήξας ἑτέρωσε, [τῷ
κάββαλεν ὄβριμον ἄνδρα κατὰ χθονός· ἀμφὶ δ' ἄρ' αὐ-
ἕζετο· τοὶ δ' ὁμάδησαν· ὁ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Αἴας ὀβριμόθυμος ἀνίστατο, δεύτερον αὖτις
ὁρμαίνων ἐς δῆριν ἀμείλιχον· αἶψα δὲ χερσὶ
σμερδαλέῃσι κόνιν κατεχεύατο· καὶ μέγα θύων,

statuit in-præmium cursus vaccas decem, quibus omnibus
insignes vitulæ erant, ubera *adhuc* subeuntes;
quas olim Pelidæ animosa vis invicti
abegerat ex Ida, magna in hasta fiduciam-habens.
Propter quas duo surrexerunt, magna cupidine-accensi
palmæ,] Teucer primus Telamonius, atque Ajax,
Ajax, qui Locros eminebat inter sagittarios.
Itaque religarunt mox circum inguina manibus
feminalia, omniaque subtus, quæ *velari* decet, velarunt,
verecundia-dignantes Pelei potentis uxorem
cæterasque marinas Nereides, quæ cum ipsa
venerant Argivum fortia spectatum certamina.
His igitur statuit cursus metam velocissimi
Atrides, qui omnes in Græcos imperium-tenebat:
eosque lis impulit incruenta. Quare a carceribus
rapide evolarunt, similes accipitribus;
eorum vero etiam ambiguus erat cursus; utrinque autem
Argivi spectatores acclamabant, aliunde alius.
Ast ubi metam erant attacturi magno-nixu,
tunc Teucri vires et membra impedierunt
dii: hunc enim Deus impegit aut quædam sors-noxia
ramum in tristem alta-radice-hærentis myricæ;
huic implicitus humi cecidit, magnoque dolore
extremum luxatum-est lævi pedis, atque intumuerunt
turgidæ utrinque venæ. Tum clamorem-extulerunt
Argivi in circo, et antevertit eum Ajax
lætus, militesque concurrerunt, qui eum sequuti-erant,
Locri, et mox lætitia animos incessit omnium.
Abegerunt autem ad naves ducendas vaccas, ut pasceren-
tur.] Teucrum vero subito amici circumsatagentes
abduxerunt claudicantem, ac protinus medici
ex planta sanguinem exterserunt, et imposuerunt penicu-
lorum] lanas illitas unguento, circumque fasciam
ligarunt diligenter sævosque dispulerunt cruciatus.
Alii dehinc ex-alio-loco prævalidæ luctæ
non-segniter animum-adjecerunt duo fortes viri,
Tydei equum-domitoris filius et præstans-viribus Ajax,
qui processerunt in medium; stuporque tenuit spectantes
Argivos: ambo enim erant Diis similes.
Congressi-sunt igitur ferarum more, quæ in monte
de cervo pugnant, victus cupidæ;
et par utrique vis est, neutraque ipsarum
concedit ne-minimum quidem, ferocissimæ quum-sint:
sic hi par habebant validum robur; tandem vero Ajax
Tydiden corripuit robustis manibus
angere studens: sed hic peritia ac robore
coxendicem retrahens Telamonis fortem filium
continuo elevavit, supraque *brachiorum* pulpam connixus
humero et genu femur impellens altrinsecus,
prostravit fortem virum humi, eique
insedit. Illi (*Græci*) igitur conclamarunt: at iniquo ferens
-animo] Ajax cordatus surrexit, denuo
festinans ad certamen implacabile, ac subito manibus
tremendis pulverem dispersit, et magna rabie-percitus

Τυδείδην ἐς μέσσον ἀΰτεεν· ὃς δέ μιν οὔτι
ταρβήσας οἴμησε καταντίον· ἀμφὶ δὲ πολλὴ
ποσσὶν ὑπ' ἀμφοτέρων κόνις ὤρνυτο· τοὶ δ' ἑκάτερθεν
ταῦροι ὅπως συνόρουσαν ἀταρβέες, οἵ τ' ἐν ὄρεσσι
θαρσαλέου μένεος πειρώμενοι εἰς ἓν ἵκωνται,
ποσσὶ κονιόμενοι· περὶ δὲ βρομέουσι κολῶναι
βρυχμῇ ὑπ' ἀμφοτέρων· τοὶ δ' ἄσχετα μαιμώοντες,
κράατα συμφορέουσιν ἀτειρέα καὶ μέγα κάρτος,
θυμῷ ἐπ' ἀλλήλοισι πονεύμενοι· ἐκ δὲ μόγοιο
λάβρον ἀνασθμαίνοντες ἀμείλιχα δηϊόωνται·
πουλὺς δ' ἐκ στομάτων χαμάδις καταχεύεται ἀφρός·
ὣς οἵγε στιβαρῇσιν ἄδην πονέοντο χέρεσσιν·
ἀμφοτέρων δ' ἄρα νῶτα καὶ αὐχένες ἀλκήεντες
χερσὶ περικτυπέοντο τετριγότες, εὖτ' ἐν ὄρεσσι
δένδρε' ἐπ' ἀλλήλοισι βάλωντ' ἐριθηλέας ὄζους.
Πολλάκι δ' Αἴαντος μεγάλου στιβαροὺς ὑπὸ μηροὺς
χάββαλε Τυδείδης κρατερὰς χέρας· ἀλλά μιν οὔτι
ἂψ ὦσαι δύνατο στιβαροῖς ποσὶν ἐμβεβαῶτα·
τὸν δ' Αἴας καθύπερθεν ἐπεσσύμενος ποτὶ γαῖαν
ἐξ ὤμων ἐτίνασσε, κατὰ χθονὸς οὖδας ἐρείδων·
ἄλλοτε δ' ἀλλοίως ὑπὸ χείρεσι δηριόωντο.
Λαοὶ δ' ἔνθα καὶ ἔνθα μέγ' ἴαχον εἰσορόωντες,
οἱ μὲν Τυδείδην ἐρικυδέα θαρσύνοντες,
οἱ δὲ βίην Αἴαντος· ὁ δ' ἄλκιμον ἄνδρα τινάξας
ἐξ ὤμων ἑκάτερθε, βαλὼν δ' ὑπὸ νηδύα χεῖρα,
ἐσσυμένως ἐφέηκε κατὰ χθονὸς, ἠΰτε πέτρην,
ἀλκῇ ὑπὸ σθεναρῇ· μέγα δ' ἴαχε Τρώϊον οὖδας
Τυδείδαο πεσόντος· ἐπηΰτησε δὲ λαός.
Ἀλλὰ καὶ ὣς ἀνόρουσεν ἐελδόμενος πονέεσθαι
τὸ τρίτον ἀμφ' Αἴαντα πελώριον· ἀλλ' ἄρα Νέστωρ
ἔστη ἐνὶ μέσσοισι καὶ ἀμφοτέροισ' μετηύδα·
Ἴσχεσθ', ἀγλαὰ τέκνα, παλαισμοσύνης ὑπερόπλου·
ἴδμεν γὰρ δὴ πάντες, ὅσον προφερέστεροί ἐστε
Ἀργείων, μεγάλοιο καταφθιμένου Ἀχιλῆος. [πων
Ὣς φάτο· τοὶ δ' ἔσχοντο πονεύμενοι· ἐκ δὲ μετώ-
χερσὶν ἄδην μόρξαντο κατεσσύμενόν περ ἱδρῶτα·
κύσσαν δ' ἀλλήλους, φιλότητι δὲ δῆριν ἔθεντο.
Τοῖς δ' ἄρα ληϊάδας πίσυρας πόρε πότνα θεάων
δῖα Θέτις· τὰς δ' αὐτοὶ ἐθηήσαντο ἰδόντες
ἥρωες κρατεροὶ καὶ ἀταρβέες, οὕνεκα πασέων
ληϊάδων προφέρεσκον ἐϋφροσύνῃ τε καὶ ἔργοις
νόσφιν ἐϋπλοκάμου Βρισηΐδος· ἅς ποτ' Ἀχιλλεὺς
ληΐσατ' ἐκ Λέσβοιο, νόον δ' ἐπετέρπετο τῇσι·
καί ῥ' ἡ μὲν δόρποιο πέλεν ταμίη καὶ ἐδωδῆς·
ἡ δ' ἄρα δαινυμένοισι παροινοχόει μέθυ λαρόν·
ἄλλη δ' αὖ μετὰ δόρπον ὕδωρ ἐπέχευε χέρεσσι·
ἡ δ' ἑτέρη ἀπὸ δαιτὸς ἀεὶ φορέεσκε τράπεζαν·
τὰς δ' ἄρα Τυδείδαο μένος καὶ ὑπέρβιος Αἴας
δασσάμενοι προέηκαν ἐϋπρώρους ἐπὶ νῆας.
Ἀμφὶ δὲ πυγμαχίης πρῶτον σθένος Ἰδομενῆος
ὤρνυτ', ἐπεί οἱ θυμὸς ἴδρις πέλε παντὸς ἀέθλου·
τῷ δ' οὔτις κατέναντα κίεν· μάλα γάρ μιν ἅπαντες
αἰδόμενοι ὑπόειξαν, ἐπεὶ ῥα γεραίτερος ἦεν·
τῷ δ' ἄρ' ἐνὶ μέσσοισι Θέτις πόρεν ἅρμα καὶ ἵππους

Tydidem in medium provocavit, qui eum nihil
expavescens ruit adversum, circumque multum
pedibus amborum pulveris excitatum-est. Hi igitur utrinque
ut tauri concurrerunt intrepidi, qui in montibus
audacis roboris facturi-periculum congrediuntur,
pedibus arenam-spargentes; et undique reboant scopuli
mugitu amborum; illi vero truci connixu
capita committunt indomita et magnas vires,
cum-furore in se-invicem certantes, præque labore
valde anhelantes crudeliter belligerantur;
multum etiam ex ore ad-terram profunditur spumæ:
similiter illi validis decertabant manibus,
amborumque terga et cervices firmæ
manibus *ictæ* resonabant stridentes, ut-cum in silvis
arbores inter se concutiunt floridos ramos.
Sæpe Ajacis proceri valida in femora
injecit Tydides fortes manus; sed eum nullo-modo
retro movere potuit firmis pedibus insistentem.
Hunc vero Ajax superne irruens ad terram
ex humeris (*humeris incumbens*) quassavit, in terræ solo
nixus;] et alias aliter manibus certabant.
Hominesque hic et illic valde acclamabant spectantes,
alii Tydiden gloria-insignem exhortantes,
alii robustum Ajacem, qui tandem fortem virum quatiens
ex humeris utrinque, admotaque ventri manu,
repente dejecit humi, non-secus-ac saxum,
viribus prævalidis, et valde immugiit Trojanus campus
Tydida cadente, acclamavitque populus.
Sed nihilominus surrexit cupiens certare
tertium in Ajacem magnum. At Nestor
prodiit in medium et utrumque affatus-est:
Compescite, illustres filii, luctam nimis-violentam;
scimus enim cuncti, quanto præstantiores sitis
Argivis, magno defuncto Achille.
Sic ait: ast illi destiterunt a-labore, deque frontibus
manibus crebro absterserunt destillantem sudorem,
osculaque-dederunt mutua et amice certamen deposuerunt.
His ergo captivas quatuor dedit veneranda inter-Deas,
sancta Thetis, quas ipsi stupuere intuentes
heroes validi et intrepidi, quod inter-omnes
captivas præstabant hilaritate et operibus
præter conspicuam-crine Briseiden. Has olim Achilles
rapuerat ex Lesbo, animumque oblectarat eis:
et una quidem convivii erat procuratrix et ferculorum,
altera epulantibus infundebat vinum dulce,
alia (*tertia*) in convivio aquam affundebat manibus
alia (*quarta*) a convivio semper tollebat mensam:
has igitur fortis Tydides et violento-corpore Ajax
partiti præmisere rostratas ad naves.
Ad pugilatum deinceps primum robur Idomenei
surrexit, nam illi animus peritus erat omnis certaminis.
Sed nemo hunc contra venit; namque illi omnes
reverentiam-præstantes cesserunt, quia annis-grandior erat.
Propterea ei in media-corona Thetis dedit currum et equos

ὠκύποδας, τοὺς πρόσθε βίη μεγάλου Πατρόκλοιο
ἤλασεν ἐκ Τρώων, Σαρπηδόνα δῖον ὀλέσσας·
καὶ τοὺς μὲν θεράποντι πόρεν ποτὶ νῆας ἄγεσθαι
Ἰδομενεύς· αὐτὸς δὲ κλυτῷ ἐν ἀγῶνι μένεσκε.
Φοῖνιξ δ' Ἀργείοισιν ἐϋσθενέεσσι μετηύδα·
Νῦν μὲν ἄρ' Ἰδομενῆϊ θεοὶ δόσαν ἐσθλὸν ἄεθλον
αὔτως, οὐ κάμνοντι βίῃ καὶ χερσὶ καὶ ὤμοις,
ἀλλ' ἄρ' ἀναιμωτὶ, προγενέστερον ἄνδρα τίοντες·
ἀλλ' ἄλλοι νέοι ἄνδρες ἐπεντύνεσθε ἄεθλον,
χεῖρας ἐπ' ἀλλήλοισι δαήμονας ἰθύνοντες
πυγμαχίης, καὶ θυμὸν ἰήνατε Πηλείωνος.
Ὣς φάτο· τοὶ δ' αἴοντες ἐπέδρακον ἀλλήλοισιν·
ἦκα δὲ πάντες ἔμιμνον ἀναινόμενοι τὸν ἄεθλον,
εἰ μὴ σφέας ἐνένιπεν ἀγαυοῦ Νηλέος υἱός·
Ὦ φίλοι, οὔτι ἔοικε δαήμονας ἄνδρας ἀϋτῆς,
πυγμαχίην ἀλέασθαι ἐπήρατον, ἥ τε νέοισι
τερπωλὴ πέλεται, καμάτῳ δ' ἐπὶ κῦδος ἀγινεῖ.
Ὡς εἴθ' ἐν γυίοισιν ἐμοῖς ἔτι κάρτος ἔκειτο,
οἷον ὅτ' ἀντίθεον Πελίην κατεθάπτομεν ἡμεῖς,
αὐτὸς ἐγὼ καὶ Ἄκαστος ἀνεψιοὶ, εἰς ἓν ἰόντες,
ὁππότ' ἄρ' ἀμφήριστος ἐγὼ Πολυδεύκεϊ δίῳ
πυγμαχίῃ γενόμην, ἔλαβον δέ οἱ ἶσον ἄεθλον·
ἐν δὲ παλαισμοσύνῃ με καὶ ὁ κρατερώτατος ἄλλων
Ἀγκαῖος θάμβησε καὶ ἔτρεσεν· οὐδέ μοι ἔτλη
ἀντίον ἐλθέμεναι νίκης ὕπερ, οὕνεκ' ἄρ' αὐτὸν
ἤδη που τοπάροιθε παρ' ἀγχεμάχοισιν Ἐπειοῖς
νίκησ' ἠῢν ἐόντα· πεσὼν δ' ἐκονίσσατο νῶτα
σῆμα πάρα φθιμένου Ἀμαρυγκέος, ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλοὶ θηήσαντο βίην καὶ κάρτος ἐμεῖο·
τῷ νύ μοι οὐκ ἔτι κεῖνος ἐναντίον ἤρατο χεῖρας,
καὶ κρατερός περ ἐών· ἔλαβον δ' ἀκόνιτος ἄεθλον.
Νῦν δέ με γῆρας ἔπεισι καὶ ἄλγεα· τοὔνεκ' ἄνωγα
ὑμέας, οἷσιν ἔοικεν, ἀέθλια χερσὶ φέρεσθαι·
κῦδος γὰρ νέῳ ἀνδρὶ φέρειν ἀπ' ἀγῶνος ἄεθλον.
Ὣς φαμένοιο γέροντος ἀνίστατο θαρσαλέος φὼς,
υἱὸς ὑπερθύμοιο καὶ ἀντιθέου Πανοπῆος,
ὅς τε καὶ ἵππον ἔτευξε κακὸν Πριάμοιο πόληϊ
ὕστερον· ἀλλ' οὐθ' οἵ τις ἐτόλμα ἐγγὺς ἱκέσθαι
εἵνεκα πυγμαχίης· πολέμου δ' οὐ πάγχυ δαήμων
ἔπλετο λευγαλέου, ὁπότ' Ἄρεος ἔσσυτο δῆρις.
Καί κεν ἀνιδρωτὶ περικαλλέα δῖος Ἐπειὸς
ἤμελλεν τότ' ἄεθλα φέρειν ποτὶ νῆας Ἀχαιῶν,
εἰ μή οἱ σχεδὸν ἦλθεν ἀγαυοῦ Θησέος υἱὸς,
αἰχμητὴς Ἀκάμας· μέγα δ' ἐν φρεσὶ κάρτος ἀέξων
ἀζαλέους ἱμάντας ἔχεν περὶ χερσὶ θοῇσι,
τούς οἱ ἐπισταμένως Εὐηνορίδης Ἀγέλαος
ἀμφέβαλεν παλάμῃσιν, ἐποτρύνων βασιλῆα·
ὡς δ' αὔτως ἕταροι Πανοπηϊάδαο ἄνακτος
θαρσύνεσκον Ἐπειόν· ὁ δ' ἐν μέσσοισι, λέων ὣς,
εἱστήκει, περὶ χερσὶν ἔχων βοὸς ἶφι δαμέντος
ῥινοὺς ἀζαλέας· μέγα δ' ἴαχον ἔνθα καὶ ἔνθα
λαοὶ, ἐποτρύνοντες ἐρισθενέων μένος ἀνδρῶν
μῖξαι ἐν αἵματι χεῖρας ἀτειρέας· οἱ δὲ καὶ αὐτοὶ
ἕσταν μαιμώωντες ἐνὶ ξυνοχῇσιν ἀγῶνος,

celeripedes, quos ante vis magni Patrocli
abegerat ex Troibus, Sarpedone divo peremto.
Hos igitur famulo tradidit ad naves ducendos
Idomoneus; ipse vero in celebri ludorum-consessu mansit.
Tum Phœnix ad Argivos strenuos *ita* disseruit
Nunc Idomeneo Dii tribuerunt egregium præmium
gratis, non laboranti vi et manibus atque humeris,
sed citra-sanguinem, ætate-provectiorem virum honorantes.] Verum alii juniores viri vos-accingite ad-certamen,
manus vobis-mutuo intentantes gnaras
pugillatus, et manes exhilarate Pelidæ.
Sic ait: at illi, *his* auditis, aspiciebant se-mutuo,
et intra-silentium omnes se-tenuissent detrectantes certamen,] nisi eos objurgasset illustris Nelei filius:
O amici, non decet viros peritos belli
pugillatum defugere amabilem, qui juvenibus
delectamento est, et post laborem gloriam affert.
O si in membris meis adhuc vis inesset,
qualis *erat*, ubi eximio Peliæ justa-fecimus nos,
ipse ego et Acastus patrueles, in unum-locum congressi;
quando ancipiti-victoria ego cum-Polluce divo
pugillatu decertavi, et accepi par, atque-ipse, præmium;
adhæc in palæstra me validissimus etiam aliorum
Ancæus stupuit et formidavit, nec mihi ausus-fuit
obviam ire victoriæ spe; namque ipsum
jam antea inter pugnaces Epeos
superaveram, quamvis-fortis esset, et cadens pulvere-fœdaverat tergum,] juxta tumulum defuncti Amaryncei, inque eo *sternendo*] multi admirabantur vim et robur meum;
ideo posthac ille contra me non sustulit manus
quamlibet viribus excellens, et accepi citra-pulverem præmium:] at nunc me senectus opprimunt et ærumnæ. Ideo adhortor] vos, quibus *id* congruit, ut-præmia manibus vindicetis:] decus enim *est* juveni viro referre ex certamine palmam.
Hæc loquente sene prodiit audax vir,
filius magnanimi et dei-instar-habentis Panopei,
qui et equum fabricatus-est in-pernitiem Priami urbi
postea. Sed nemo ei ausus-fuit prope accedere
ad pugillandum: belli autem non ita solers
erat cruenti, quando Martis sæviret contentio.
Et absque-sudore pulcerrima excellens Epeus
erat tunc præmia ablaturus ad naves Achivum;
nisi ad-eum prope accessisset prælustris Thesei filius
hasta-strenuus Acamas, et magno animi robore aucto
sicca lora habuit circa manus agiles,
quibus ei scite Euenorides Agelaus
evinxerat palmas, instigans dominum.
Eodem etiam modo socii Panopidæ principis
adhortabantur Epeum, qui in medio, ceu leo,
stabat, circa manus gerens bovis violenter cæsi
tergora arida: magno igitur clamore-fremebat hinc atque illinc] exercitus, incitans fortium vim virorum,
ut-tingerent sanguine manus invictas. Qui tamen perstabant ferociam-spirantes intra septa ludorum,

ἄμφω χεῖρας ἑὰς πειρώμενοι, εἴπερ ἔασιν
ὡς ποτ' εὔτρόχαλοι, μήδ' ἐκ πολέμου βαρύθοιεν·
αἶψα δ' ἄρ' ἀλλήλοισι καταντία χεῖρας ἄειραν
ταρφέα παπταίνοντες· ἐπ' ἀκροτάτοις δὲ πόδεσσι
βαίνοντες, κατὰ βαιὸν ἑὸν γόνυ γουνὸς ἄμειβον,
ἀλλήλων ἐπὶ δηρὸν ἀλευόμενοι μέγα κάρτος·
σὺν δ' ἔβαλον νεφέλῃσιν ἐοικότες αἰψηρῇσιν,
αἵτ' ἀνέμων ῥιπῇσιν ἐπ' ἀλλήλῃσι θοροῦσαι,
ἀστεροπὴν προϊᾶσι, μέγας δ' ὀροθύνεται αἰθὴρ
θεινομένων νεφέων, βαρὺ δὲ κτυπέουσιν ἄελλαι·
ὣς τῶν ἀζαλέῃσι περικτυπέοντο γένεια
ῥινοῖς· αἷμα δὲ πουλὺ κατέρρεεν· ἐκ δὲ μετώπων
ἱδρὼς αἱματόεις θαλερὰς ἐρύθαινε παρειάς·
οἱ δ' ἄμοτον πονέοντο μεμαότες· οὐδ' ἄρ' Ἐπειὸς
λῆγεν, ἐπέσσυτο δ' αἰὲν ἑῷ περὶ κάρτεϊ θύων·
τὸν δ' ἄρα Θησέος υἱὸς, εὖ φρονέων ἐν ἀέθλῳ,
πολλάκις ἐς κενεὸν κρατερὰς χέρας ἰθύνεσθαι
θῆκε· καὶ ἰδρείῃσι διατμήξας ἑκάτερθε
χεῖρας, ἐς ὀφρύα τύψεν ἐπάλμενος, ἄχρις ἱκέσθαι
ὀστέον· ἐκ δέ οἱ αἷμα κατέρρεεν ὀφθαλμοῖο·
ἀλλὰ καὶ ὣς Ἀκάμαντα βαρείῃ χειρὶ τυχήσας
τύψε κατὰ κροτάφοιο· χαμαὶ δέ οἱ ὤκλασε γυῖα·
αὐτὰρ ὅγ' αἶψ' ἀνόρουσε καὶ ἔνθορε φωτὶ κραταιῷ·
πλῆξε δέ οἱ κεφαλήν· ὁ δ' ἄρ' ἔμπαλιν ἀΐσσοντος,
βαιὸν ὑποκλίνας, σκαιῇ χερὶ τύψε μέτωπον,
ἄλλῃ δ' ἤλασε ῥῖνας ἐπάλμενος· ὣς δὲ καὶ αὐτὸς
μήτι παντοίῃ χέρας ὤρεγε· τοὺς δ' ἄρ' Ἀχαιοὶ
ἀλλήλων ἀπέρυξαν ἐελδομένους πονέεσθαι
νίκης ἀμφ' ἐρατῆς· τῶν δ' ἐσσυμένων θεράποντες
ῥινοὺς αἱματόεντας ἄφαρ σθεναρῶν ἀπὸ χειρῶν
λῦσαν· τοὶ δ' ἄρα τυτθὸν ἀνέπνευσαν καμάτοιο,
μορξάμενοι σπόγγοισι πολυτρήτοισι μέτωπα·
τοὺς δ' ἕταροί τε φίλοι τε παρηγορέοντες ἄγεσκον
ἄντικρυς ἀλλήλων, ὥς κεν χόλου ἀλγινόεντος
ἐσσυμένως λελάθωνται, ἀρεσσάμενοι φιλότητι·
ἀλλ' οἱ μὲν πεπίθοντο παραιφασίῃσιν ἑταίρων·
ἀνδράσι γὰρ πινυτοῖσι πέλει νόος ἤπιος αἰεί·
κύσσαν δ' ἀλλήλους· ἔριδος δ' ἐπελήθετο θυμὸς
λευγαλέης. Τοῖς δ' αἶψα Θέτις κυανοκρήδεμνος
ἀργυρέους κρητῆρας ἐελδομένοισιν ὄπασσεν
δοιὼ, τοὺς Εὔνηος Ἰήσονος ὄβριμος υἱὸς
ὦνον ὑπὲρ κρατεροῖο Λυκάονος ἐγγυάλιξεν
ἀντιθέῳ Ἀχιλῆϊ περικλύστῳ ἐνὶ Λήμνῳ·
τοὺς Ἥφαιστος ἔτευξεν ἀριπρεπέϊ Διονύσῳ
δῶρον, ὅτ' εἰς Οὔλυμπον ἀνήγαγε δῖαν ἄκοιτιν,
Μίνωος κούρην ἐρικυδέα, τήν ποτε Θησεὺς
κάλλιπεν οὐκ ἐθέλων γε περικλύστῳ ἐνὶ Δίῃ·
τοὺς δ' ἠῢς Διόνυσος ἑῷ πόρεν υἱέϊ δῶρον
νέκταρος ἐμπλήσας· ὁ δ' ἄρ' ὤπασεν Ὑψιπυλείῃ
πολλοῖς σὺν κτεάτεσσι Θόας· ἡ δ' υἱέϊ δίῳ
κάλλιπεν· ὃς δ' Ἀχιλῆϊ Λυκάονος εἵνεκα δῶκε.
Τῶν δ' ἕτερον μὲν ἔχεσκεν ἀγαυοῦ Θησέος υἱὸς,
ἄλλον δ' ἠῢς Ἐπειὸς ἑὰς ἐπὶ νῆας ἴαλλεν
γηθόσυνος· τῶν δ' αἶψα τεθρυμμένα τύμματα πάντα

ambo manus suas periclitantes, an essent,
ut olim, flexibiles, nec bello segniores:
extemplo igitur contra se-mutuo palmas extulerunt
acute se-observantes; et in digitos pedum
arrecti, sensim genu suum genu commutarunt,
alter alterius diu evitans magnam vim;
concurrerunt tandem nubium instar velocissimarum,
quæ ventorum agitatione inter se commissæ,
fulgur elidunt; et vastus se-commovet æther
collisione nubium, graviterque strepant procellæ:
ita horum rigidis crepitabant malæ
cæstibus, et sanguis ubertim profluebat, deque frontibus
manans] sudor cruentus floridas colorabat genas;
jugi tamen decertabant nixu, neque Epeus
desistebat, sed irruebat semper suo robore furens;
at huic Thesei natus, imprimis-callens certamen,
sæpe in vanum ut-robustas manus dirigeret,
effecit, et arte divisis utrinque
manibus, supercilio ictum-intulit irruens, ut-penetraret
usque] ad ossa; ejusque cruor manavit de oculo:
nihilominus *ille* Acamantem dura manu contingens,
plagam-inflixit temporibus, humique ejus consederunt
membra:] verum hic continuo se-levavit et impetum-fecit
in-virum fortem,] pulsavitque ejus caput, qui vicissim irruentis,] paulum declinans, læva manu percussit frontem,
alteram impegit in-nares assiliens: ita et *Acamas* ipse
industria omni manus jactabat. Sed hos tandem Achivi
a-se-mutuo diremerunt, volentes *ulterius* certare
de victoria dulci: quibus cupidis (*certaminis*) famuli
lora cruenta sine-mora robustis de manibus
relaxarunt; ipsique pauxillum sese-recreabant a-labore,
abstergentes spongiis foraminosis facies.
Hos igitur socii et amici verbis-mulcentes ducebant
obviam alterum-alteri, ut iræ acerbæ
statim obliviscerentur, resarta *inter se* gratia:
hi itaque obsecuti-sunt monitis amicorum;
viris enim cordatis est mens placida semper;
osculaque-dederunt mutua, et litis oblitus-est animus
funestæ. Illisque subito Thetis cæruleo-redimiculo
argenteos crateras pro-desiderio-ipsorum dedit
duos, quos Euneus, Jasonis acer filius,
pretium pro forti Lycaone obtulerat
semideo Achilli circumflua in Lemno:
hos Vulcanus fabricarat spectabili Baccho
donum, cum ad Olympum eveheret divam uxorem,
Minois natam nobilem, quam pridem Theseus
destituerat præter voluntatem-suam circumflua in Dia:
eos autem strenuus Bacchus suo dederat filio dono
nectare repletos, concessitque Hypsipylæ
multis cum opibus Thoas, hæc vero filio divo
reliquit, qui *eos* Achilli pro Lycaone tradidit.
Horum igitur alterum obtinuit illustris Thesei proles,
alterum præstans Epeus suas ad naves misit
lætus: quorum statim inflicta vulnera cuncta

ἠκέσατ' ἐνδυκέως Ποδαλείριος, οὕνεκ' ἄρ' αὐτὸς
πρῶτα μὲν ἐκμύζησεν, ἔπειτα δὲ χερσὶν ἑῇσιν
ῥάψεν ἐπισταμένως· καθύπερθε δὲ φάρμακα θῆκε
κεῖνα, τά οἱ τοπάροιθε πατὴρ ἑὸς ἐγγυάλιξε·
τοῖσι δ' ἄρ' ἐσσυμένως καὶ ἀναλθέα τύμματα φωτῶν
αὐτῆμαρ μορόεντος ὑπὲκ κακοῦ ἰαίνονται·
τῶν δ' ἄφαρ ἀμφὶ πρόσωπα καὶ εὐκομόωντα κάρηνα
τύμματ' ἀπαλθαίνοντο· κατηπιόωντο δ' ἀνίαι.
Ἀμφὶ δὲ τοξοσύνης Τεῦκρος καὶ Ὀϊλέος υἱὸς
ἔστασαν, οἳ καὶ πρόσθε δρόμου πέρι πειρήσαντο·
τῶν δ' ἄρα τηλόσε θῆκεν ἐϋμμελίης Ἀγαμέμνων
ἱππόκομον τρυφάλειαν· ἔφη δέ κε πολλὸν ἀμείνω
ἔσσεσθ', ὃς κέρσειεν ἀπὸ τρίχας ὀξεῖ χαλκῷ
Αἴας δ' αὐτίκα πρῶτος ἑὸν προέηκε βέλεμνον·
πλῆξε δ' ἄρα τρυφάλειαν· ἐπηΰτησε δὲ χαλκὸς
ὀξύτατον· Τεῦκρος δὲ μέγ' ἐγκονέων ἐνὶ θυμῷ
δεύτερος ἧκεν ὀϊστόν· ἄφαρ δ' ἀπέκερσεν ἐθείρας
ὀξὺ βέλος· λαοὶ δὲ μέγ' ἴαχον ἀθρήσαντες·
καί μιν κυδαίνεσκον ἀπείριτον, οὕνεκ' ἄρ' αὐτὸν
πληγὴ ἔτ' ἀλγύνεσκε θοοῦ ποδός· ἀλλά μιν οὔτι
βλάψεν ὑπαὶ παλάμῃσι θοὸν βέλος ἰθύνοντα.
Καί οἱ τεύχεα καλὰ πόρεν Πηλῆος ἄκοιτις
ἀντιθέου Τρωΐλοιο, τὸν ἠϊθέων μέγ' ἄριστον
Τροίῃ ἐν ἠγαθέῃ Ἑκάβη τέκετ', οὐδ' ἀπόνητο
ἀγλαΐης· δὴ γάρ μιν ἀταρτηροῦ Ἀχιλῆος
ἔγχος ὁμοῦ καὶ κάρτος ἀπήμερσαν βιότοιο·
ὡς δ' ὁπόθ', ἑρσήεντα καὶ εὐθαλέοντ' ἀνὰ κῆπον
ὑδρηλῆς καπέτοιο μάλ' ἀγχόθι τηλεθάοντα
ἢ στάχυν ἢ μήκωνα, πάρος καρποῖο τυχῆσαι,
κέρσῃ τις δρεπάνῳ νεοθηγέϊ, μηδ' ἄρ' ἐάσῃ
ἐς τέλος ἡδὺ μολεῖν, μηδ' ἐς σπόρον ἄλλον ἱκέσθαι,
ἀμήσας κενεόν τε καὶ ἄσπορον αἴθοπι χαλκῷ,
μελλονθ' ἑρσήεντος ὑπ' εἴαρος ἀλδαίνεσθαι·
ὣς υἱὸν Πριάμοιο, θεοῖς ἐναλίγκιον εἶδος,
Πηλείδης κατέπεφνεν ἔτ' ἄχνοον, εἰσέτι νύμφης
νήϊδα, νηπιάχοισιν ὁμῶς ἔτι κουρίζοντα·
ἀλλά μιν εἰς πόλεμον φθισίμβροτον ἤγαγε Μοῖρα
ἥβης ἀρχόμενον πολυγηθέος, ὁππότε φῶτες
θαρσαλέοι τελέθουσιν, ὅτ' οὐκέτι δεύεται ἦτορ.
Αὐτίκα δ' αὖτε σόλον περιμήκεά τε βριαρόν τε
πολλοὶ πειρήσαντο θοῆς ἀπὸ χειρὸς ἰῆλαι·
τὸν δ' οὔτις βαλέειν δύνατο στιβαρὸν μάλ' ἐόντα
Ἀργείων· οἶος δ' ἔβαλεν μενεδήϊος Αἴας
χειρὸς ἀπὸ κρατερῆς, ὡσεὶ δρυὸς ἀγρονόμοιο
ὄζον ἀπαυανθέντα, θέρευς εὐθαλπέος ὥρῃ,
ὁππότε λήϊα πάντα κατὰ χθονὸς αὐαίνηται·
θάμβησαν δ' ἄρα πάντες, ὅσον χερὸς ἐξεποτήθη
χαλκὸς, ὃν ἀνέρε χερσὶ δύω μογέοντες ἄειραν·
τόν ῥά μιν Ἀνταίοιο βίη ῥίπτασκε πάροιθεν
ῥηϊδίως ἀπὸ χειρὸς, ἑῆς πειρώμενος ἀλκῆς,
πρὶν κρατερῇσι χέρεσσι δαμήμεναι Ἡρακλῆος·
Ἡρακλέης δέ μιν ἠΰς ἑλὼν σὺν ληΐδι πολλῇ
ἀκαμάτης ἔχε χειρὸς ἀέθλιον· ἀλλά μιν ἐσθλῷ
ὕστερον Αἰακίδῃ δῶρον πόρεν, ὁππότ' ἄρ' αὐτῷ

curavit accurate Podalirius; nam ipse *ea*
primum exsuxit, postea manibus suis
consuit solerter, et medicamenta imposuit
illa, quæ ipsi olim parens suppeditarat,
quibus continuo etiam insanabiles plagæ hominum
uno-die ægrifico ab malo relevantur.
Horum igitur statim in facie et crinitis capitibus
vulnera sanabantur, et mitius-habebant dolores.
Cæterum ad sagittarum-certamen Teucer et Oilei natus
se-obtulerunt, qui et antea cursu inter-se-contenderant.
A quibus procul statuit hasta-bonus Agamemnon
equinis-setis-insignem galeam, et edixit longe superiorem
fore *eum*, qui resecaret cristam acuto ære.
Ajax ergo statim prior suum ejaculatus-est telum,
et percussit galeam, tinnitumque-reddidit æs
acutissimum: Teucer vero valde promptus animi
posterior emisit sagittam, et protinus abscidit pilos
acutum telum: ac populi valde acclamarunt spectatores,
et illum laudarunt supra-modum, quod eum
plaga adhuc dolore-afficeret velocis pedis, et tamen ipsi
nihil] officeret, manibus volucrem sagittam dirigenti.
Quare ei arma pulcra dedit Pelei conjux
præstantis Troili, quem juvenum longe optimum
in Troja sacra Hecuba peperit, nec fructum-cepit
formæ; jam enim eum sævi Achillis
hasta simul ac robur spoliarant vita:
ceu roscido et florenti in horto
aquosam juxta fossam crescentem
vel spicam vel papaver, antequam fructum consequatur,
resecat quispiam falce recens-acuta, nec sinit
ad finem dulcem pervenire, nec ad sementem alteram durare]
metens inanem et seminis-expertem splendido ære,
quæ esset rorifluo a vere nutrimentum captura:
sic natum Priami, Deos æquiparantem forma,
Pelides obtruncaverat adhuc impubem, adhuc sponsæ
ignarum, cum pueris adhuc ludentem;
sed eum ad bellum perniciale-hominibus abstraxerat Parca
pubertatem ingredientem lætam, quando virilis-sexus
audacior fit, nec amplius *viribus* destituitur cor.
Protinus etiam discum amplum et gravem
multi tentarunt agili ex manu projicere,
quem nemo mittere potterat, valde ponderosus cum-esset,
Argivum: sed solus rotabat hostes-sustinens Ajax
manu e valida, velut quercus silvestris
ramum arefactum, æstatis calidæ tempore,
quando fruges cunctæ in agro siccescunt.
Stupebant igitur omnes, quam-longe e-manu evolasset
discus-æreus, quem viri manibus duo magno-labore
tulissent.] Hunc Antæus violentus jaculabatur olim
sine-negotio e manu, sui periculum-faciens roboris,
priusquam inter-validas manus elisus-fuit Herculis;
Hercules autem hunc strenuus adeptus cum multa præda
invictæ obtinuerat manus præmium; sed eum forti
postea Æacidæ (*Telamoni*) munus tribuit, quando cum

Ἰλίου εὐπύργοιο συνέπραθε κύδιμον ἄστυ·
κεῖνος δ' υἱεῖ δῶκεν· ὁ δ' ὠκυπόροις ἐνὶ νηυσὶν
ἐς Τροίην μιν ἔνειχεν, ἵνα σφετέροιο τοκῆος
μνωόμενος Τρώεσσιν ἐϋσθενέεσσι μάχοιτο
προφρονέως, εἴη δὲ πόνος πειρωμένῳ ἀλκῆς·
τόν ῥ' Αἴας μάλα πολλὸν ἀπὸ στιβαρῆς βάλε χειρός.
Καὶ τότε οἱ Νηρηῒς ἀγακλυτὰ τεύχεα δῶκεν
Μέμνονος ἀντιθέοιο, τὰ καὶ μέγα θηήσαντο
Ἀργεῖοι· λίην γὰρ ἔσαν περιμήκεα πάντα·
καὶ τάγε καγχαλόων ὑπεδέξατο κύδιμος ἀνήρ·
οἴῳ γὰρ κείνῳ γε περὶ βριαροῖσι μέλεσσιν
ἥρμοσεν ἀπλήτοιο κατὰ χροὸς ἀμφιτεθέντα·
αὐτὸς δ' αὖτ' ἀνάειρε μέγαν σόλον, ὄφρα οἱ εἴη
τερπωλή, μένος ἠῢ λιλαιομένῳ πονέεσθαι.
Οἳ δ' ἄρα δηριόωντες ἐφ' ἅλματι πολλοὶ ἀνέσταν·
τῶν ἄρ' ὑπέρθορε πολλὸν ἐϋμμελίης Ἀγαπήνωρ
σήματα· τοὶ δ' ὁμάδησαν ἐπ' ἀνέρι μακρὰ θορόντι·
καί οἱ τεύχεα καλὰ πόρε μεγάλοιο Κύκνοιο
δῖα Θέτις· τὸν γάρ ῥα φόνῳ ἔπι Πρωτεσιλάου
πολλῶν θυμὸν ἑλόντα, κατέκτανε Πηλέος υἱὸς
πρῶτον ἀριστήων· Τρῶας δ' ἄχος ἀμφεκάλυψεν.
Αἰγανέῃ δ' ἄρα πολλὸν ὑπέρβαλε δηριόωντας
Εὐρύαλος· λαοὶ δὲ μέγ' ἴαχον· οὐ γὰρ ἔφαντο
κεῖνον ὑπερβαλέειν, οὐδὲ πτερόεντι βελέμνῳ·
τοὔνεκά οἱ φιάλην πολυχανδέα δῶκε φέρεσθαι
μήτηρ Αἰακίδαο δαΐφρονος, ἣν ποτ' Ἀχιλλεὺς
ἀργυρέην κτεάτισσε βαλὼν ὑπὸ δουρὶ Μύνητα,
ὁππότε Λυρνησσοῖο διέπραθε Τρώϊον ἄστυ.
Αἴας δ' ὀβριμόθυμος, ἐελδόμενος πονέεσθαι
χερσὶν ὁμῶς καὶ ποσσὶν, ἀνιστάμενος καλέεσκεν
ἐς μέσον ἡρώων τὸν ὑπέρτατον· οἱ δ' ὁρόωντες
θάμβεον ὄβριμον ἄνδρα καὶ ἄλκιμον· οὐδέ τις ἔτλη
ἄντα μολεῖν· πάντων γὰρ ὑπέκλασε δεῖμ' ἀλεγεινὸν
ἠνορέην· φοβέοντο δ' ἀνὰ φρένα, μή τινα χερσὶ
τύψας ἀκαμάτῃσιν, ὑπὸ πληγῇσι πρόσωπον
συγχέῃ ἐσσυμένως, μέγα δ' ἀνέρι πῆμα γένηται·
ὀψὲ δὲ πάντες ἔνευσαν ἐπ' Εὐρυάλῳ μενεχάρμῃ,
ἴδμονι παμμαχίης, εὖ εἰδότες· ὃς δ' ἐνὶ μέσσοις
τοῖον ἔπος προέηκεν, ὑποτρομέων θρασὺν ἄνδρα·
Ὦ φίλοι, ἄλλον μέν τιν' Ἀχαιῶν, ὅν κε θέλητε,
τλήσομαι ἀντιόωντα, μέγαν δ' Αἴαντα τέθηπα·
πολλὸν γὰρ προβέβηκε· διαρραίσει δέ μοι ἦτορ,
ἤν μιν ἐπιβρίσαντα λάβῃ χόλος· οὐ γὰρ ὀΐω
ἀνδρὸς ἀπ' ἀκαμάτοιο σόος ποτὶ νῆας ἱκέσθαι.
Ὣς φαμένοιο γέλασσαν· ὁ δ' ἐν φρεσὶ πάμπαν
Αἴας ὀβριμόθυμος· ἄειρε δὲ δοιὰ τάλαντα [ἰάνθη
ἀργύρου αἰγλήεντος, ἅ οἱ Θέτις εἵνεκ' ἀέθλου
δῶκεν ἄτερ καμάτοιο· φίλου δ' ἐμνήσατο παιδὸς
Αἴαντ' εἰσορόωσα· γόος δέ οἱ ἔμπεσε θυμῷ.
Οἳ δ' αὖθ' ἱππασίῃ μεμελημένον ἦτορ ἔχοντες,
ἐσσυμένως ἀνόρουσαν ἐποτρύνοντος ἀέθλου·
πρῶτος μὲν Μενέλαος, ἰδ' Εὐρύπυλος θρασυχάρμης
Εὔμηλός τε Θόας τε καὶ ἰσόθεος Πολυποίτης. [σαν
Ἵπποις δ' ἀμφὶ λέπαδνα βάλον καὶ ὑφ' ἅρματ' ἔρυσ-

-ipso] Ilii turrigeri expugnaverat famigeratam urbem;
ille filio dedit, qui citis in navibus
ad Trojam eum attulit, ut sui parentis
monimentum-habens cum-Trojanis robustis pugnaret
alacrius, essetque exercitamentum periclitanti vires:
hunc ergo Ajax longissime e valida torquebat manu.
Et tunc ei Thetis insignia arma tradidit
Memnonis præclari, quæ etiam multum admirabantur
Argivi: valde enim erant magna cuncta:
illa ergo gaudio-exultans suscepit inclytus vir;
solius enim hujus crassis membris
congruebant, enormi corpori cum-applicarentur.
Ipse vero rursus sustulit ingentem discum, ut sibi foret
oblectamento, vim strenuam si-cuperet exerceri.
Tum certaturi saltu multi surrexerunt,
quorum transiliit longe hasta-fortis Agapenor
signa: illi (*Græci*) igitur acclamarunt viro longe salienti:
et ei arma pulcra dedit ingentis Cycni
diva Thetis. Hunc enim, post cædem Protesilai
multis vitam cum-eriperet, interemit Pelei natus
primum heroum, Troasque luctus cooperuit.
Tragula deinceps longe superavit certantes
Euryalus, populusque valde acclamavit: non enim ajebant
illum *quenquam* superaturum-esse vel pennigera sagitta.
Ideo ei phialam capacissimam dedit auferendam
mater Æacidæ pugnarum-periti; quam olim Achilles
argenteam acquisivit, cum-stravisset hasta Mynetem,
quo-tempore Lyrnessum evastavit, Trojanum oppidum.
Porro Ajax magnanimus, cupiens decertare
manibus simul et pedibus, surrexit-et provocavit
in medium heroum excellentissimum quemque, qui ut
-viderunt,] stupuere immanem virum et robustum; nec
quisquam ausus-est] obviam *illi* procedere; omnium enim
infregerat metus tristis] vires, et verebantur apud animum,
ne si-quem manibus] percuteret indefessis, ictibus faciem
contunderet repente magnoque *ei* viro nocumento esset:
tandem vero omnes innuerunt Euryalo pugnaci,
perito pancratii, bene gnari; is vero in media-corona
hujusmodi verba emisit, formidans audacem hominem:
Amici, alium quem Achivum, quemcunque volueritis,
excipiam occurrentem, sed magnum Ajacem exhorresco;
longe enim antecellit; eripiet mihi vitam,
si eum mole-incumbentem-vasta ceperit ira; non enim arbitror] viro ab invicto *me* salvum ad naves rediturum.
Sic dicente *eo* riserunt, et pectore toto lætatus-est
Ajax animo-pollens; accepit igitur duo talenta
argenti lucidi, quæ ipsi Thetis præmii loco
dedit citra laborem; et cari recordata-est filii,
Ajacem dum-intuetur, ac mœror ejus incidit animo.
Alii deinceps equestri-studio addictum animum habentes] sine-cunctatione surrexerunt, instigante præmio.
Primus Menelaus, deinde Eurypylus, audax-pugnator,
tum Eumelus Thoasque et par-Diis Polypœtes.
Et equis lora-jugalia injecerunt atque sub currus traxerunt

πάντες ἐπειγόμενοι, πολυγηθέος εἵνεκα νίκης·
αἶψα δ' ἄρ' εἰς δῆριν ξύνισαν βεβαῶτ' ἐνὶ δίφροις
χῶρον ἀν' ἠμαθόεντ'· ἐπὶ νύσσης δ' ἔσταν ἕκαστοι·
καρπαλίμως δ' εὔληρα λάβον κρατερῇς παλάμῃσιν·
ἵπποι δ' ἐγχριμφθέντες ἐν ἅρμασι ποιπνύεσκον,
ὅππως τις προάλοιτο· πόδας δ' ὑπεκίνυον αὔτως·
οὔατα δ' ὀρθώσαντο καὶ ἄμπυκα δεύεσαν ἀφρῷ·
οἱ δ' ἄφαρ ἐγκονέοντες ἐλαφροπόδων μένος ἵππων
μάστιον· οἱ δὲ, θοῇσιν ἐοικότες Ἁρπυίῃσιν,
καρπαλίμως ζεύγλῃσι μέγ' ἔκθορον ἀσχαλόωντες·
ἅρματα δ' ὦκα φέρεσκον ἀπὸ χθονὸς ἀΐσσοντα·
οὐ δ' ἁρματροχίας ἰδέειν ἦν, οὐδὲ ποδοῖιν
ἐν χθονὶ σήματα· τόσσον ὑπεξέφερον δρόμον ἵπποι·
πουλὺς δ' αἰθέρ' ἵκανε κονίσσαλος ἐκ πεδίοιο,
καπνῷ ἢ ὀμίχλῃ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσιν
ἀμφιχέῃ πρώνεσσι Νότου μένος ἢ Ζεφύροιο,
χείματος ἐγρομένου, ὁπότ' οὔρεα δεύεται ὄμβρῳ.
Ἵπποι δ' Εὐμήλοιο μέγ' ἔκθορον· αἱ δ' ἐφέποντο
ἀντιθέοιο Θόαντος· ἐπ' ἄλλῳ δ' ἄλλος ἀΰτει
ἅρματι· τοὶ δ' ἐφέροντο δι' εὐρυχόρου πεδίοιο.
* * * * * * * * * * * *
* * * * * * * * * * * *
ὄντινα δήϊοι ἄνδρες ὑποτρομέουσι μάλιστα
* * * * * * * * * * * *
Ἤλιδος ἐκ δίης, ἐπειὴ μέγα ἔργον ἔρεξεν
παρφθάμενος θοὸν ἅρμα κακόφρονος Οἰνομάοιο,
ὅς ῥα τότ' ἠϊθέοισιν ἀνηλέα τεῦχεν ὄλεθρον,
κούρης ἀμφὶ γάμοιο, περίφρονος Ἱπποδαμείης·
ἀλλ' οὐ μὲν κεῖνός γε καὶ ἱππασίῃσι μεμηλὼς,
ἵππους ὠκύποδας τοίους ἔχεν, ἀλλ' ἄρα πολλὸν
ποσσὶν ἀφαυροτέρους· οἱ γάρ τ' εἴδοντ' ἀνέμοισιν.
Ἦ, μέγα κυδαίνων ἵππων μένος ἠδὲ καὶ αὐτὸν
Ἀτρείδην· ὁ δ' ἄρ' ᾗσι περὶ φρεσὶ γήθεε θυμῷ·
τοὺς δὲ μέγ' ἀσθμαίνοντας ἄφαρ θεράποντες ἔλυσαν
ζεύγλης. οἱ δὲ καὶ αὐτοὶ ἀελλόποδας λύον ἵππους
πάντες, ὅσοις ἐν ἀγῶνι δρόμου πέρι δῆρις ἐτύχθη.
Ἀντίθεον δὲ Θόαντα καὶ Εὐρύπυλον μενεχάρμην
ἠκέσατ' ἐσσυμένως Ποδαλείριος ἕλκεα πάντα,
ὅσσα περιδρύφθησαν ἀπὲκ δίφροιο πεσόντες.
Ἀτρείδης δ' ἀλίαστον ἐγήθεεν εἵνεκα νίκης·
καί οἱ ἐϋπλόκαμος Θέτις ὤπασε καλὸν ἄλεισον
χρύσεον, ἀντιθέοιο μέγα κτέαρ Ἠετίωνος,
πρὶν Θήβης κλυτὸν ἄστυ διαπραθέειν Ἀχιλῆα.
Ἄλλοι δ' αὖθ' ἑτέρωθε μονάμπυκας ἔντυον ἵππους
ἐς δρόμον ἰθύνοντες· ἕλοντο δὲ χερσὶ βοείας
μάστιγας· καὶ πάντες ἀναΐξαντες ἐφ' ἵππων
ἕζοντ'· οἱ δὲ χαλινὰ γενειάσιν ἀφρίζοντες
δάπτον καὶ ποσὶ γαῖαν ἐπέκτυπον, ἐγκονέοντες
ἐκθορέειν· τοῖς δ' αἶψα δρόμος τέταθ'· οἱ δ' ἀπὸ νύσσης
καρπαλίμως οἴμησαν ἐριδμαίνειν μεμαῶτες,
εἴκελοι ἢ Βορέαο μέγα πνείοντος ἀέλλῃς,
ἠὲ Νότου κελάδοντος, ὅτ' εὐρέα πόντον ὄρινεν
λαίλαπι καὶ ῥιπῇσι, θυτήριον εὖτ' ἀλεγεινὸν
ἀντέλλῃ, ναύτῃσι φέρον πολύδακρυν ὀϊζύν·

cuncti festinantes lætificæ gratia victoriæ.
Mox igitur ad certamen convenerunt conscensis curribus
loco arenoso, et intra carceres se-continuerunt quisque;
ac protinus habenas sumpserunt validis manibus:
equi autem adjuncti curribus, *id* operam-dabant,
quo-pacto quis ante-*alios*-exsiliret, et pedes movebant interim,] auresque arrigebant et phaleras rigabant spuma.
Illi(*certatores*) extemplo impetu-facto pernicium vim equorum] flagris-incitarunt; qui volucribus similes Harpyiis,
raptim cum-jugis excurrerunt valde indignantes,
et currus velociter abstulerunt a tellure subsultantes,
nec rotarum-vestigia conspicere licuit, nec pedum
humi notas; adeo abripuerunt cursum equi,
densusque ad-auras surgebat pulvis e campo,
fumi aut nebulæ instar, quam in montibus
spargit-circum juga Austri vis aut Zephyri,
hieme exorta, cum montes permadescunt imbre.
Equi autem Eumeli longe antevolabant; et insequebantur
divini Thoantis *equæ*: tum alii alius clamore-favebat
currui. Ipsi interim ferebantur per latum campum.
* * * * * * * * * * * * * * *
* * * * * * * * * * * * * * *
quem hostici viri formidant maxime
* * * * * * * * * * * * * * *
Elide e sacra, siquidem ingens facinus edidit
prævertens volucrem currum maligni Œnomai
qui tunc juvenibus crudelem parabat necem,
filiæ ob nuptias, prudentis Hippodamiæ:
sed tamen nec ille, quamvis rei-equestris studiosissimus
equos tam veloces habebat, sed longe
pedibus infirmiores; hi enim æquabant ventos.
Dixit, valde collaudans equorum virtutem atque ipsum
Menelaum, qui suo in pectore lætum-habebat animum.
Illos itaque vehementer anhelantes statim famuli exsolvebant] jugo: tum cæteri etiam procellipedes laxabant equos
omnes, quibus in circo de cursu contentio fuerat.
Eximio autem Thoanti et Eurypylo forti-in-præliis
medicabatur mox Podalirius vulnera omnia,
quibus attriti-fuerant, e curru dum-prolaberentur.
Cæterum Atrides immensum gaudebat propter victoriam:
et ei pulcricoma Thetis tradidit elegans poculum
aureum, nobilis non-vulgare peculium Eetionis,
antequam Thebæ celebrem urbem exscinderet Achilles.
Tum alii ex-alia-parte singulos instruxerunt equos,
ad cursum dirigentes, et corripuerunt manibus bubulas
scuticas, atque omnes conscensis equis
sedebant; hi autem frena mandibulis spumantes
mordebant et ungulis terram tundebant properantes
excurrere: quibus extemplo cursus intendebatur. Ex carceribus igitur]raptim evolabant, contentionis cupidissimi,
similes aut Boreæ acriter flantis procellis,
aut Noti sibilantis, quando latum mare ciet
turbine et æstu, cum thuribulum horrificum
oritur, nautis afferens flebilem calamitatem:

ὥς οἵ γ' ἐσσεύοντο κόνιν ποσὶ καρπαλίμοισιν
ἐν πεδίῳ κλονέοντες ἀπείριτον· οἱ δ' ἐλατῆρες
ἵπποις οἷσιν ἕκαστος ἐκέκλετο, τῇ μὲν ἱμάσθλην
ταρφέα πεπληγὼς, ἑτέρῃ δ' ἐνὶ χειρὶ τινάσσων
νωλεμὲς ἀμφὶ γένυσσι μέγα κτυπέοντα χαλινόν·
ἵπποι δ' ἐῤῥώοντο· βοὴ δ' ἀνὰ λαὸν ὀρώρει
ἄσπετος· οἱ δ' ἐπέτοντο διὰ πλατέος πεδίοιο.
Καί νύ κεν ἐσσυμένως ἐξ Ἄργεος αἰόλος ἵππος
νίκησεν μάλα πολλὸν, ἐφεζομένου Σθενέλοιο,
εἰ μὴ ἄρ' ἐξήρπαξε δρόμον, πεδίον δ' ἀφίκανε
πολλάκις· οὐδέ μιν ἐσθλὸς ἐὼν Καπανήϊος υἱὸς
κάμψαι ἐπέσθενε χερσὶν, ἐπεί ῥ' ἔτι νῆϊς ἀέθλων
ἵππος ἔην· γενεῇ δὲ μάλ' οὐ κακὸς, ἀλλὰ θοοῖο
θεσπέσιον γένος ἔσχεν Ἀρίονος, ὃν τέκεν ἵππων
Ἅρπυια Ζεφύρῳ πολυηχέϊ φέρτατον ἄλλων
πολλὸν, ἐπεὶ ταχέεσσιν ἐριδμαίνεσκε πόδεσσι
πατρὸς ἑοῖο θοῇσι καταιγίσι· καί μιν Ἄδρηστος
ἐκ μακάρων ἔχε δῶρον, ὅθεν γένος ἔπλετο κείνου·
* * * * * * * * * * * * * *
καί μιν Τυδέος υἱὸς ἑῷ πόρε δῶρον ἑταίρῳ
Τροίῃ ἐνὶ ζαθέῃ· ὁ δέ οἱ μέγα ποσσὶ πεποιθὼς,
ὠκὺν ἐόντ' ἐς ἀγῶνα καὶ εἰς ἔριν ἤγαγεν ἵππων,
αὐτὸς ἐνὶ πρώτοισιν ὀϊόμενος μέγα κῦδος
ἱππασίης ἀνελέσθαι· ὁ δ' οὔτι οἱ ἦτορ ἴηνεν
ἀμφ' Ἀχιλῆος ἄεθλα πονεύμενος· ἦ γὰρ ἵκανεν
δεύτερος· Ἀτρείδης δὲ παρήλασεν ὠκὺν ἐόντα
ἰδρείῃ· λαοὶ δ' Ἀγαμέμνονα κυδαίνεσκον
ἵππον τε Σθενελοῖο θρασύφρονος ἠδὲ καὶ αὐτὸν,
οὕνεκα δεύτερος ἦλθε, καὶ εἰ μάλα πολλάκι νύσσης
ἐξέθορεν, μεγάλῳ περὶ κάρτεϊ οἷς ποσὶ θύων.
Καὶ τότ' ἄρ' Ἀτρείδῃ Θέτις ὤπασε καγχαλόωντι
ἀργύρεον θώρηκα θεηγενέος Πολυδώρου·
δῶκε δ' ἄρα Σθενέλῳ βριαρὴν κόρυν Ἀστεροπαίου
χαλκείην καὶ δοῦρε δύω καὶ ἀτειρέα μίτρην·
ἄλλοις δ' ἱππήεσσι, καὶ ὁππόσοι ἤματι κείνῳ
ἦλθον ἀεθλήσοντες Ἀχιλλῆος ποτὶ τύμβῳ,
δῶρα πόρεν πάντεσσιν. Ἐπὶ σφίσι δ' ἄχνυτο θυμὸν
υἱὸς Λαέρταο δαΐφρονος, οὕνεκ' ἄρ' αὐτὸν,
ἀλκῆς ἱέμενον, κρατερῶν ἀπέρυξεν ἀέθλων
ἕλκος ἀνιηρὸν, τό μιν οὔτασεν ὄβριμος Ἄλκων,
ἀμφὶ νέκυν κρατεροῖο πονεύμενον Αἰακίδαο.

ita illi ruebant, pulverem pedibus rapidis
in campo glomerantes infinitum. Rectorum autem
equos suos quisque hortabatur, altera scuticam
crebro agitans, altera manu agitans
indefesso circa mandibulas valde crepitans frenum :
equi interim ruebant, ac clamor in populo exortus-est
vehemens, illis volitantibus per latum campum.
Et continuo velocissimus ex Argis equus
vicisset longe *alios*, insidente Sthenelo;
nisi abripuisset cursum, et in-campum evagatus-esset
crebro; neque eum, fortis quanvis-esset, Capanei filius
flectere potuit manibus; namque adhuc rudis certaminum
equus erat, origine vero nequaquam vitiosus, sed celeri
divinum genus trahebat ab-Arione, quem edidit equorum
Harpyia Zephyro multisono optimum aliorum
multo, siquidem rapidis contendebat pedibus
cum-patris sui velocibus procellis; atque hunc Adrastus
a superis accepit dono, unde ortus erat illius :
* * * * * * * * * * * * * *
atque eum Tydei natus suo dedit dono amico (*Sthenelo*)
in Troja diis-cara : qui ejus pedibus magnopere confisus,
pernix quod-esset, in circum et certamen *eum* adduxerat
equorum,] ipse in primis sperans insignem palmam
de-equorum-cursu *se*-relaturum: verum is nihil ipsius animum oblectavit,] in Achillis funebribus certans; rediit enim
secundus, Atridesque *eum* prævertit quamlibet velocem
arte. Spectatores igitur Agamemnonem collaudabant
equumque Stheneli pugnacis et simul ipsum,
quod secundus venisset, etsi sæpenumero extra-terminos
exiliisset, ingens propter robur pedibus dum-ferociret.
Et tunc Atridæ Thetis tribuit exsultanti
argenteum thoracem a-diis-oriundi Polydori;
deditque Sthenelo gravem cassidem Asteropæi
æream et hastilia duo et durabilem balteum.
Reliquis vero equitibus, et quotquot die illo
convenerant certatum Achillis ad bustum,
dona præbuit omnibus. Inter hos vero tristis-erat animo
filius Laertæ prudentis, quod se,
fortitudinis studiosum, a-strenuis prohibuisset ludis
vulnus mœstificum, quod ipsi inflixerat acer Alcon,
pro cadavere validi propugnanti Æacidæ.

ΛΟΓΟΣ Ε.

Ἀλλ' ὅτε δή ῥ' ἄλλοι μὲν ἀπηνύσθησαν ἄεθλοι,
δὴ τότ' Ἀχιλλῆος μεγαλήτορος ἄμβροτα τεύχη
θῆκεν ἐνὶ μέσσοισι θεὰ Θέτις· ἀμφὶ δὲ πάντη
δαίδαλα μαρμαίρεσκεν, ὅσα σθένος Ἡφαίστοιο
ἀμφὶ σάκος ποιήσε θρασύφρονος Αἰακίδαο.
Καὶ τὰ μὲν εὖ ἤσκητο θεοκμήτῳ ἐπὶ ἔργῳ·
οὐρανὸς ἠδ' αἰθὴρ, γαίῃ δ' ἅμα κεῖτο θάλασσα·
ἐν δ' ἄνεμοι νεφέλαι τε σελήνη τ' ἠέλιός τε,
κεκριμέν' ἄλλυδις ἄλλα· τέτυκτο δὲ τείρεα πάντα,

LIBER V.

Sed cum cetera confecta-essent certamina,
tandem Achillis magnanimi cœlestia arma
collocavit in medium diva Thetis. Undique autem
variæ-effigies renidebant, quas ingenium Vulcani
in clypeo fecerat audacis Æacidæ.
Hæc vero egregie efficta-erant divino in opere :
cœlum et æther, cumque terra inerat pontus,
inerant etiam venti nubesque ac luna et sol,
distincta alibi alia; et exsculpta-erant signa omnia,

ὁππόσα δινήεντα κατ' οὐρανὸν ἀμφιφέρονται.
Τῶν δ' ἄρ' ὁμῶς ὑπένερθεν ἀπειρέσιος κέχυτ' ἀήρ·
ἐν τῷ δ' ὄρνιθες τανυχειλέες ἀμφεποτῶντο·
φαίης κεν ζώοντας ἅμα πνοιῇσι φέρεσθαι.
Τηθὺς δ' ἀμφετέτυκτο, καὶ ὠκεανοῦ βαθὺ χεῦμα·
τῶν δ' ἄφαρ ἐξεχέοντο ῥοαὶ ποταμῶν κελαδεινῶν,
κυκλόθεν ἄλλυδις ἄλλη ἑλισσομένων διὰ γαίης.
Ἀμφὶ δ' ἄρ' εὖ ἤσκηντο κατ' οὔρεα μακρὰ λέοντες
σμερδαλέοι καὶ θῶες ἀναιδέες· ἐν δ' ἀλεγειναὶ
ἄρκτοι παρδάλιές τε, σύες δ' ἅμα τῇσι πέλοντο
ὄβριμοι, ἀλγινόεντας ὑπὸ βλοσυρῇσι γένυσσι
θήγοντες καναχηδὸν ἐϋκτυπέοντας ὀδόντας·
ἐν δ' ἀγρόται μετόπισθε κυνῶν μένος ἰθύνοντες·
ἄλλοι δ' αὖ, λάεσσι καὶ αἰγανέῃσι θοῇσι
βάλλοντες, πονέοντο καταντίον, ὡς ἐτεόν περ.
Ἐν δ' ἄρα καὶ πόλεμοι φθισήνορες· ἐν δὲ κυδοιμοὶ
ἀργαλέοι ἐνέκειντο· περικτείνοντο δὲ λαοὶ
μίγδην οἷς ἵπποισι· πέδον δ' ἅπαν αἵματι πολλῷ
δευομένῳ ἤϊκτο κατ' ἀσπίδος ἀκαμάτοιο·
ἐν δὲ Φόβος καὶ Δεῖμος ἔσαν στονόεσσά τ' Ἐνυώ,
αἵματι λευγαλέῳ πεπαλαγμένη ἅψεα πάντα·
ἐν δ' Ἔρις οὐλομένη καὶ Ἐριννύες ὀβριμόθυμοι,
ἡ μὲν ἐποτρύνουσα ποτὶ κλόνον ἄσχετον ἄνδρας
ἐλθέμεν, αἱ δ' ὀλοοῖο πυρὸς πνείουσαι ἀϋτμήν·
ἀμφὶ δὲ Κῆρες ἔθυνον ἀμείλιχοι· ἐν δ' ἄρα τῇσι
φοίτα λευγαλέου Θανάτου μένος· ἀμφὶ δ' ἄρ' αὐτῷ
Ὑσμῖναι ἐνέκειντο δυσηχέες· ὧν πέρι πάντη
ἐκ μελέων εἰς οὖδας ἀπέρρεεν αἷμα καὶ ἱδρώς·
ἐν δ' ἄρα Γοργόνες ἔσκον ἀναιδέες· ἀμφὶ δ' ἄρα σφὶν
σμερδαλέοι πεπόνηντο περὶ πλοχμοῖσι δράκοντες,
αἰνὸν λιχμώωντες· ἀπειρέσιον δ' ἄρα θαῦμα
δαίδαλα κεῖνα πέλοντο, μέγ' ἀνδράσι δεῖμα φέροντα,
οὕνεκ' ἔσαν ζωοῖσιν ἐοικότα κινυμένοισι.
Καὶ τὰ μὲν ἂρ πολέμοιο τεράατα πάντα τέτυκτο·
εἰρήνης δ' ἀπάνευθεν ἔσαν περικαλλέος ἔργα·
ἀμφὶ δὲ μυρία φῦλα πολυτλήτων ἀνθρώπων
ἄστεα καλὰ νέμοντο· Δίκη δ' ἐπιίκετο πάντα·
ἄλλοι δ' ἄλλ' ἐπὶ ἔργα χέρας φέρον· ἀμφὶ δ' ἀλωαὶ
καρποῖσι βρίθοντο· μέλαινα δὲ γαῖα τεθήλει·
αἰπύτατον δὲ τέτυκτο θεοδμήτῳ ἐπὶ ἔργῳ
καὶ τρηχὺ ζαθέης Ἀρετῆς ὄρος· ἐν δὲ καὶ αὐτὴ
εἱστήκει φοίνικος ἐπεμβεβαυῖα κατ' ἄκρης,
ὑψηλή, ψαύουσα πρὸς οὐρανόν· ἀμφὶ δὲ πάντη
ἀτραπιτοὶ θαμέεσσι διειργόμενοι σκοπέλοισι
ἀνθρώπων ἀπέρυκον ἐὺν πάτον· οὕνεκα πολλοὶ
εἰσοπίσω χάζοντο, τεθηπότες αἰπὰ κέλευθα,
παῦροι δ' ἱερὸν οἶμον ἀνήϊον ἱδρώοντες.
Ἐν δ' ἔσαν ἀμητῆρες ἀνὰ πλατὺν ὄγμον ἰόντες,
σπεύδοντες δρεπάνῃσι νεηκέσι· τῶν δ' ὑπὸ χερσὶ
πολλοὶ ἀμαλλοδετῆρες· ἀέξετο δ' ἐς μέγα ἔργον·
ἐν δὲ βόες ζεύγλῃσιν ὑπ' αὐχένας αἰὲν ἔχοντες·
οἱ μὲν ἀπήνας εἷλκον ἐϋσταχύεσσιν ἀμάλλαις
βριθομένας· οἱ δ' αὖθις ἀροτρεύεσκον ἀρούρας·
τῶν δὲ πέδον μετόπισθε μελαίνετο· τοὶ δ' ἐφέποντο

quotquot versatile per cœlum circumferuntur.
Infra quæ simul infinitus diffusus-erat aer,
inque eo alites rostris-porrectis circumvolitabant:
dixisses, vivas una cum-flaminibus *ventorum* ferri.
Tethys circum-expressa-erat, et oceani profundus æstus,
e-quibus celeriter effundebantur fluxus amnium susurrantium,] in-orbem, alio alius, se-volventium per terram.
Passim etiam fabrefacti-erant in montibus altis leones
terrifici et thoes audaces; atque truces
ursæ pardalesque et apri cum illis inerant
feroces, qui-vulnificos sub noxiis genis
acuebant cum-stridore frementes dentes:
inerant etiam venatores a-tergo canum vim regentes,
alii autem lapidibus et venabulis citatis
jaculando rem-gerebant contra *feras*, tanquam vere:
inerant præterea bella homicidalia, et pugnæ
difficiles insculptæ-erant, ac trucidabantur homines
promiscue suis-cum equis; et campus omnis cruore largo
imbuti speciem-referebat in scuto firmissimo:
porro Metus et Timor inerant et luctifera Bellona,
tabo funesto fœdata membra omnia:
inerant Lis pernicialis et Erinnyes feroces,
illa incitans ad prœlium violentum viros
ut-coirent, hæ exitialis incendii exspirantes flammam:
et circum Parcæ cursitabant implacabiles, inter quas
incedebat pestiferæ Mortis vis; et prope illam
Pugnæ elaboratæ-erant horrisonæ, quarum undique
e membris ad solum destillabat sanguis et sudor:
præterea Gorgones inerant efferæ, et undique ipsis
tremendi excusi-erant circa cincinnos dracones,
horrendum linguas-exsertantes: incredibile autem miraculum] simulacra illa præbebant, magnum hominibus pavorem injicientia,] quia erant animantibus similia motu-præditis.
Et hæc quidem belli monstra omnia erant.
Pacis autem separatim erant pulcræ opera:
passim enim innumeræ nationes calamitosorum hominum
urbes insignes incolebant, et Justitia obibat cuncta:
alii autem aliis officiis manus adhibebant; et passim agri
fructibus gravescebant, nigraque tellus florescebat ·
celsissimus porro formatus-erat divino in opere
et asper sanctæ Virtutis mons, in quo ipsa
stabat palmæ pedibus-innitens vertici,
ardua, pertingens ad cœlum, circumque undique
viæ, crebris interclusæ scopulis,
hominum arcebant facilem accessum; nam plurimi
retro cedebant, absterriti arduo itinere,
et pauci per-sacram viam adscendebant sudantes:
inerant messores, secundum latum ordinem procedentes,
properantes falcibus recens-acutis, eisque ad manus *erant*
multi mergitum-ligatores, et promovebatur maxime opus:
inerant boves, sub jugis colla continenter habentes;
alii plaustra trahebant spiciferis fascibus
onusta, alii contra aratris-invertebant rura,
quorum a-tergo ager nigrescebat; et insequebantur

αἰζηοὶ μετὰ τοῖσι, βοοσσόα κέντρα φέροντες
χερσὶν ἀμοιβαδίης· ἀνεφαίνετο δ' ἄσπετον ἔργον.
Ἐν δ' αὐλοὶ κιθάραι τε παρ' εἰλαπίνῃσι πέλοντο·
ἐν δὲ χοροὶ ἵσταντο νέων παρὰ ποσσὶ γυναικῶν·
αἳ δ' ἄρ' ἔσαν ζωῇσιν ἀλίγκια ποιπνύουσαι·
ἄγχι δ' ἄρ' ὀρχηθμοῦ τε καὶ εὐφροσύνης ἐρατεινῆς,
ἀφρὸν ἔτ' ἀμφὶ κόμῃσιν ἔχουσ', ἀνεδύετο πόντου
Κύπρις ἐϋστέφανος, τὴν δ' Ἵμερος ἀμφεποτᾶτο,
μειδιόων ἐρατεινὰ σὺν ἠϋκόμοις Χαρίτεσσιν.
Ἐν δ' ἄρ' ἔσαν Νηρῆος ὑπερθύμοιο θύγατρες,
ἐξ ἁλὸς εὐρυπόροιο κασιγνήτην ἀνάγουσαι
ἐς γάμον Αἰακίδαο δαΐφρονος· ἀμφὶ δὲ πάντες
ἀθάνατοι δαίνυντο μακρὴν ἀνὰ Πηλίου ἄκρην·
ἀμφὶ δ' ἄρ' ὑδρηλοί τε καὶ εὐθαλέες λειμῶνες
ἔσκον, ἀπειρεσίοισι κεκασμένοι ἄνθεσι ποίης·
ἄλσεά τε κρῆναί τε διειδέες ὕδατι καλῷ.
Νῆες δὲ στονόεσσαι ὑπὲρ πόντοιο φέροντο,
αἱ μὲν ἄρ' ἐσσύμεναι ἐπικάρσιαι, αἱ δὲ κατ' ἰθὺ
νισσόμεναι· περὶ δέ σφιν ἀέξετο κῦμ' ἀλεγεινὸν,
ὀρνύμενον· ναῦται δὲ τεθηπότες ἄλλοθεν ἄλλος
ἐσσυμένας φοβέοντο καταιγίδας, ὡς ἐτεόν περ,
λαίφεα λεύκ' ἐρύοντες, ἵν' ἐκ θανάτοιο φύγωσιν·
οἱ δ' ἕζοντ' ἐπ' ἐρετμὰ πονεύμενοι· ἀμφὶ δὲ νηυσὶ
πυκνὸν ἐρεσσομένῃσι μέλας λευκαίνετο πόντος·
τοῖς δ' ἔπι κυδιόων μετὰ κήτεσιν εἰναλίοισιν
ἤσκητ' Ἐννοσίγαιος· ἀελλόποδες δέ μιν ἵπποι,
ὡς ἐτεὸν, σπεύδοντες ὑπὲρ πόντοιο φέρεσκον,
χρυσείῃ μάστιγι πεπληγότες· ἀμφὶ δὲ κῦμα
στόρνυτ' ἐπεσσυμένων· ὁμαλὴ δ' ἄρα πρόσθε γαλήνη
ἔπλετο· τοὶ δ' ἑκάτερθεν ἀολλέες ἀμφὶς ἄνακτα
ἀγρόμενοι δελφῖνες ἀπειρέσιον κεχάροντο,
σαίνοντες βασιλῆα· κατ' ἠερόεν δ' ἁλὸς οἶδμα
νηχομένοις εἴδοντο, καὶ ἀργύρεοί περ ἐόντες.
Ἄλλα δὲ μυρία κεῖτο κατ' ἀσπίδα τεχνηέντως
χερσὶν ὑπ' ἀθανάτῃς πυκινόφρονος Ἡφαίστοιο.
Πάντα δ' ἄρ' ἐστεφάνωτο βαθὺς ῥόος ὠκεανοῖο·
οὕνεκ' ἔην ἔκτοσθε κατ' ἄντυγος· ᾗ ἔνι πᾶσα
ἀσπὶς ἐνεστήρικτο, δέδεντο δὲ δαίδαλα πάντα.
Τῇ δ' ἄρα πὰρ κατέκειτο κόρυς μέγα βεβριθυῖα·
Ζεὺς δέ οἱ ἀμφετέτυκτο, μέγ' ἀσχαλόωντι ἐοικὼς,
οὐρανῷ ἐμβεβαώς· περὶ δ' ἀθάνατοι πονέοντο,
Τιτήνων ἐριδαινομένων, Διῒ συμμεμαῶτες·
τοὺς δ' ἤδη κρατερὸν πῦρ ἄμφεχεν· ἐκ δὲ κεραυνοὶ
ἄλληκτοι, νιφάδεσσιν ἐοικότες, ἐξεχέοντο
οὐρανόθεν· Ζηνὸς γὰρ ἀάσπετον ὤρνυτο κάρτος·
οἱ δ' ἄρ' ἔτ', αἰθομένοισιν ἐοικότες, ἀμπνείεσκον.
Ἀμφὶ δὲ θώρηκος γύαλον παρεκέκλιτο καλὸν,
ἄρρηκτον βριαρόν τε, τὸ χάνδανε Πηλείωνα.
Κνημῖδες δ' ἤσκηντο πελώριαι· ἀμφὶ δ' ἐλαφραὶ
μούνῳ ἔσαν Ἀχιλῆϊ, μάλα στιβαραί περ ἐοῦσαι.
Ἀγχόθι δ' ἄσχετον ἆορ ἄδην περιμαρμαίρεσκε,
χρυσείῳ τελαμῶνι κεκασμένον ἀργυρέῳ τε
κουλεῷ· ᾧ ἔπι κώπη ἀρηραμένη ἐλέφαντος
θεσπεσίοις τεύχεσσι μετέπρεπε παμφανόωσα.

juvenes pone, boum-agitatores gerentes stimulos
manibus alternis; et apparebat ingens opus.
Illic tibiæ citharæque conviviis adhibebantur;
illic choreæ instituebantur juvenum sub pedibus mulierum,
quæ erant vivarum instar sese-exercentes;
et prope saltationem et lætitiam festivam
spumam adhuc in capillis habens, emergebat salo
Venus corolligera, quam Cupido circumvolabat,
ridens suaviter cum pulcricomis Gratiis.
Inerant etiam Nerei magnanimi natæ,
ex ponto lativago germanam deducentes
ad connubia Pelei belliscii; et una omnes
dii epulabantur in longis Pelei cacuminibus:
ac passim irrigua et florida prata
erant, innumeris consita floribus graminis,
saltusque et fontes perspicui aqua pulcra.
Naves præterea gemebundæ super mare ferebantur,
aliæ properantes in-obliquum, aliæ in directum
procedentes, et circa illas tumescebat fluctus asper
dum-sese-commovet; nautæ autem consternati hic illic
imminentes formidabant procellas, tanquam vere,
vela candida dimittentes, ut mortem effugerent;
alii sedebant ad remos occupati, et circa naves
crebro remis-agitatas nigrum albescebat mare:
quibus super exultans cum monstris pontivagis
elaboratus-erat Neptunus, et procellipedes eum equi,
tanquam vere, properantes super mare vehebant,
aurea scutica stimulati, et fluctus
sternebatur circa-ruentes, et æquabilis ante *eos* tranquillitas
erat: utrinque autem frequentes circa regem
congregati delphines effuse lætabantur,
blandientes regi, et per nigram maris undam
natantium speciem-habebant, argentei quamquam erant.
Alia præterea innumera impressa-erant scuto artificiose
manibus divinis solertis Vulcani.
Cuncta autem coronabat altus fluxus Oceani;
nam erat extimus in ora, qua totus
clypeus obfirmabatur, et concludebantur artificiosa-opera
omnia.] Juxta illum jacebat galea magnæ molis,
in qua Juppiter effictus-erat, valde irascenti similis,
cœlo insistens; et undique Dii occupati-erant,
Titanibus litem-moventibus, Jovi auxilium-ferendo:
hos jam vehemens flamma cinxerat, et fulmina
sine-fine, nubium instar, erumpebant
cœlitus; Jovis enim insuperabile se-exserebat robur;
at illi conflagrantibus similes adhuc anhelitum-ducebant.
Prope etiam thoracis sinus reclinatus-erat pulcer,
infragilis ac firmus, qui capax-erat Pelidæ.
Ocreæ etiam efformatæ-erant grandes, et utrinque leves
soli erant Achilli, gravissimæ quamvis essent.
Nec-procul invictus ensis magnum fulgorem-reddebat,
aureo cingulo ornatus et argentea
vagina: in quo manubrium constans eboris
preciosis segmentis excellebat insigni-nitore.

Τοῖς δὲ παρεκτετάνυστο κατὰ χθονὸς ὄβριμον ἔγχος,
Πηλιάς, ὑψικόμῃσιν ἐειδομένη ἐλάτῃσι,
λύθρου ἔτι πνείουσα καὶ αἵματος Ἑκτορέοιο.
Καὶ τότ' ἐν Ἀργείοισι Θέτις κυανοκρήδεμνος·
θεσπέσιον φάτο μῦθον, ἀκηχεμένη Ἀχιλῆος·
Νῦν μὲν δὴ κατ' ἀγῶνος ἀέθλια πάντα τελέσθη,
ὅσσ' ἐπὶ παιδὶ θανόντι μέγ' ἀχνυμένη κατέθηκα·
ἀλλ' ἴτω ὅς τ' ἐσάωσε νέκυν καὶ ἄριστος Ἀχαιῶν,
καί νύ κέ οἱ θηητὰ καὶ ἄμβροτα τεύχε' ἕεσθαι
δώσω, ἃ καὶ μακάρεσσι μέγ' εὔαδεν ἀθανάτοισιν.
Ὣς φάτο· τοὶ δ' ἀνόρουσαν ἐριδμαίνοντ' ἐπέεσσιν,
υἱὸς Λαέρταο, καὶ ἀντιθέου Τελαμῶνος
Αἴας, ὃς μέγα πάντας ὑπείρεχεν ἐν Δαναοῖσιν·
ἀστὴρ ὡς ἀρίδηλος ἀν' οὐρανὸν αἰγλήεντα
Ἕσπερος, ὃς μέγα πᾶσι μετ' ἀστράσι παμφαίνῃσι·
τῷ εἰκὼς τεύχεσσι παρίστατο Πηλείδαο·
ᾔτεε δ' Ἰδομενῆα κλυτὸν καὶ Νηλέος υἷα
ἠδ' ἄρα μητιόεντ' Ἀγαμέμνονα· τοὺς γὰρ ἐώλπει
ἴδμεναι ἀτρεκέως ἐρικυδέος ἔργα μόθοιο.
Ὣς δ' αὔτως Ὀδυσεὺς κείνοις ἔπι πάγχυ πεποίθει·
οἱ γὰρ ἔσαν πινυτοὶ καὶ ἀμύμονες ἐν Δαναοῖσι.
Νέστωρ δ' Ἰδομενῆϊ καὶ Ἀτρέος υἱέϊ δίῳ,
ἄμφω ἐελδομένοισιν, ἔπος φάτο νόσφιν ἀπ' ἄλλων·
Ὦ φίλοι, ἦ μέγα πῆμα καὶ ἄσχετον ἤματι τῷδε
ἡμῖν συμφορέουσιν ἀκηδέες Οὐρανίωνες,
Αἴαντος μεγάλοιο περιφραδέος τ' Ὀδυσῆος
ἐσσυμένων ἐπὶ δῆριν ἀάσχετον ἀργαλέην τε·
τῶν γὰρ θ' ὁπποτέρῳ δώῃ θεὸς εὖχος ἀρέσθαι,
γηθήσει κατὰ θυμόν· ὁ δ' αὖ μέγα πένθος ἀέξει,
πάντας ἀτεμβόμενος Δαναούς· περὶ δ' ἔξοχα πάντων
ἡμέας· οὐδ' ἔτι κεῖνος ἐν ἡμῖν ὡς τὸ πάροιθε
στήσεται ἐν πολέμῳ· μέγα δ' ἔσσεται ἄλγος Ἀχαιοῖς,
κείνων ὅντινα δεινὸς ἕλῃ χόλος· οὕνεκα πάντων
ἡρώων προφέρουσιν, ὁ μὲν πολέμῳ, ὁ δὲ βουλῇ.
Ἀλλ' ἄγ' ἐμοὶ πείθεσθον, ἐπεί ῥα γεραίτερός εἰμι
λίην, οὐκ ὀλίγον περ· ἔχω δ' ἐπὶ γήραϊ πολλῷ
καὶ νόον, οὕνεκεν ἐσθλὰ καὶ ἄλγεα πολλὰ μόγησα·
αἰεὶ δ' ἐν βουλῇσι γέρων πολύϊδρις ἀμείνων
ὁπλοτέρου πέλει ἀνδρός, ἐπεὶ μάλα μυρία οἶδε·
τοὔνεκα Τρωσὶν ἐφῶμεν ἐΰφροσι τήνδε δικάσσαι
ἀντιθέῳ τ' Αἴαντι φιλοπτολέμῳ τ' Ὀδυσῆϊ,
ἠδ' ὅτις ἐξεσάωσε νέκυν Πηληϊάδαο
ἐξ ὀλοοῦ πολέμοιο· δορύκτητοι γὰρ ἐν ἡμῖν
πολλοὶ Τρῶες ἔασι νεοδμήτῳ ὑπ' ἀνάγκῃ·
οἵ ῥα δίκην ἰθεῖαν ἐπί σφισι ποιήσονται,
οὔτινι ἦρα φέροντες, ἐπεὶ μάλα πάντας Ἀχαιοὺς
ἶσον ἀπεχθαίρουσι, κακῆς μεμνημένοι ἄτης.
Ὣς φάμενον προσέειπεν ἐϋμμελίης Ἀγαμέμνων·
Ὦ γέρον, ὡς οὔτις πινυτώτερος ἄλλος ἐν ἡμῖν
σεῖο πέλει Δαναῶν, οὔτ' ἂρ νέος, οὔτε παλαιός,
ὃς φῇς Ἀργείοισιν ἀνηλεγέως χαλεπῆναι,
ὅντινά κεν τῶνδ' ἄνδρα θεοὶ μετόπισθε βάλωνται
νίκης· οἱ γὰρ ἄριστοι ἐνί σφισι δηριόωνται·
καί ῥά μοι ἔνδοθεν ἦτορ ἐνὶ φρεσὶ ταῦτα μενοινᾷ,

Et juxta hæc porrecta-erat humi valida hasta,
Pelias, alticomantium referens-magnitudinem abietum,
cruorem adhuc exhalans et sanguinem Hectoreum.
Atque tunc inter Argivos Thetis cæruleo-reticulo
divina protulit verba, mœrens super-Achille :
Nunc equidem ludorum munera cuncta finem-habent,
quæ pro nato defuncto, graviter dolens, exhibui.
At procedat, qui servavit cadaver et optimus *est* Achivum,
et illi spectabilia et cœlestia arma induenda
tradam, quæ etiam immortalibus valde arrident diis.
Sic ait : at surrexerunt disceptaturi verbis
filius Laertæ, et eximii Telamonis
Ajax, qui longe omnes superabat inter Danaos,
ut sidus conspicuum in cœlo splendido,
Hesperus, qui maximo omnes inter stellas fulgore-præstat:
hunc referens, armis adstitit Pelidæ,
et petiit *ea* ab-Idomeneo claro et Nelei filio
consultoque Agamemnone : hos enim persuasum-habebat
cognitas-habere certo gloriosæ res pugnæ.
Nec minus Ulysses his omnino confidebat :
erant enim sapientes et integri inter Danaos.
Nestor igitur cum-Idomeneo et Atrei filio nobilissimo,
ut-ambo cupiebant, *hæc* verba communicavit, seorsum ab
aliis :] Amici, profecto ingens malum et intollerabile hodie
nobis conciliant curarum-expertes Cœlites,
Ajace magno prudentique Ulysse
ruentibus ad certamen vehemens et difficile :
horum enim utricunque dederit deus palma potiri,
gaudebit *is* apud animum, alter vero magnum *sibi* luctum
cumulabit,]omnes incusans Græcos, maxime vero omnium
nos; nec amplius ille nobiscum, ut prius,
stabit in pugna : sed ingens erit dolor Achivis,
illorum utrumvis sæva subegerit ira, quoniam præ-cæteris
heroibus pollent, alter virtute-bellica, alter consilio.
Agitedum, mihi obsequimini, cum ætate-provectior sim
multo, non exiguo-spatio, et habeam cum senio prolixo
peritiam quoque, siquidem secundas et adversas-res multas
expertus-sum :] semper autem in conciliis senex peritus
potior] juniore est homine, cum plurima noverit :
idcirco Trojanis permittamus prudentibus hanc *litem* disceptandam,]inter-diis-comparandum Ajacem et belli-amantem Ulyssem,]uter nimirum eripuerit cadaver Pelidæ
ex funesta dimicatione; captivi enim inter nos
multi Trojani sunt, recens-subacti necessitate,
qui sententiam justam de illis pronunciabunt,
nullius gratiam captantes, cum simul universos Achivos
æquali odio-prosequantur, diræ memores calamitatis.
Taliter orantem affatus-est hasta-pollens Agamemnon :
O senex, quam nemo consultior alius inter nos
te est Danaum, neque juvenis, neque ætate-provectus,
qui præsagis Argivis atrociter offensum-iri,
utrumcunque virum ex-his dii postposuerint
victoriæ : nam præstantissimi inter sese litigant;
et sane mihi intus mens in pectore eadem suadet,

ὄφρα δορυκτήτοισι δικασπολίην ὀπάσωμεν·
τοὺς καὶ ἀτεμβόμενός τις ὀλέθρια μήσεται ἔργα
Τρωσὶν ἐϋπτολέμοισι, χόλον δ' οὐκ ἄμμιν ὀπάσσει.
Ὣς φάτο· τοὶ δ' ἕνα θυμὸν ἐνὶ στέρνοισιν ἔχοντες,
ἀμφαδὸν ἠνήναντο δικασπολίην ἀλεγεινήν·
τῶν δ' ἄρ' ἀναινομένων, Τρώων ἐρικυδέες υἷες
ἕζοντ' ἐν μέσσοισι, δορύκτητοί περ ἐόντες,
ὄφρα θέμιν καὶ νεῖκος ἀρήϊον ἰθύνωσιν·
Αἴας δ' ἐν μέσσοισι, μέγ' ἀσχαλόων, φάτο μῦθον·
Ὦ Ὀδυσεῦ φρένας αἰνὲ, τί τοι νόον ἤπαφε δαίμων
ἶσον ἐμοὶ φρονέειν περὶ κάρτεος ἀκμήτοιο;
ἦ φῂς αἰνὸν ὅμιλον ἐρυκακέειν Ἀχιλῆος
βλημένου ἐν κονίῃσιν, ὅτ' ἀμφί ἑ Τρῶες ἔβησαν,
ὁππότ' ἐγὼ κείνοισι φόνον στονοέντ' ἐφέηκα
σεῖο καταπτώσσοντος; ἐπεί νύ σε γείνατο μήτηρ
δείλαιον καὶ ἄναλκιν, ἀφαυρότερόν περ ἐμεῖο,
ὅσσον τίς τε κύων μεγαλοβρύχοιο λέοντος·
οὐ γάρ τοι στέρνοισι πέλει μενεδήϊον ἦτορ,
ἀλλά σοι ἀμφιμέμηλε τρόμος καὶ ἀτάσθαλα ἔργα.
Ἦε τόδ' ἐξελάθου, ὅτ' ἐς Ἰλίου ἱερὸν ἄστυ
ἐλθέμεναι ἀλέεινες ἅμ' ἀγρομένοισιν Ἀχαιοῖς,
καί σε καταπτώσσοντα καὶ οὐκ ἐθέλοντ' ἐφέπεσθαι
ἤγαγον Ἀτρεΐδαι; ὡς μὴ ὤφειλες ἱκέσθαι·
σῇς γὰρ ὑπ' ἐννεσίῃσι κλυτὸν Ποιάντιον υἷα
Λήμνῳ ἐν ἠγαθέῃ λίπομεν μεγάλα στενάχοντα.
Οὐκ οἴῳ δ' ἄρα τῷγε λυγρὴν ἐπεμήσαο λώβην,
ἀλλὰ καὶ ἀντιθέῳ Παλαμήδεϊ θῆκας ὄλεθρον,
ὃς σέο φέρτερος ἔσκε βίῃ καὶ ἐΰφρονι βουλῇ·
νῦν δ' ἤδη καὶ ἐμεῖο καταντίον ἐλθέμεν ἔτλης,
οὔτ' εὐεργεσίης μεμνημένος, οὔτε τι θυμῷ
ἀζόμενος σέο πολλὸν ὑπέρτερον· ὅς σ' ἐνὶ χάρμῃ
ἐξεσάωσα πάροιθεν, ὑποτρομέοντα κυδοιμὸν
δυσμενέων, ὅτε σ' ἄλλοι ἀνὰ μόθον οἰωθέντα
κάλλιπον ἐν δηΐων ὁμάδῳ, φεύγοντα καὶ αὐτόν.
Ὡς ὄφελον καὶ ἐμεῖο θρασὺ σθένος ἐν δαῒ κείνῃ
αὐτὸς Ζεὺς ἐφόβησεν ἀπ' αἰθέρος, ὄφρα σε Τρῶες
ἀμφιτόμοις ξιφέεσσι διαμελεϊστὶ κέδασσαν
δαῖτα κυσὶ σφετέροισι· καὶ οὐκ ἂν ἐμεῖο μενοίνας
ἐλθέμεναι κατέναντα, δολοφροσύνῃσι πεποιθώς.
Σχέτλιε, τίπτε βίῃ πολὺ φέρτατος ἔμμεναι ἄλλων
εὐχόμενος μέσσοισιν ἔχεις νέας, οὐδέ τι θυμῷ
ἔτλης, ὥσπερ ἔγωγε, θοὰς ἔκτοσθεν ἐρύσσαι
νῆας; ἐπεί νύ σε τάρβος ἐπήϊεν· οὐδὲ μὲν αἰνὸν
πῦρ νηῶν ἀπάλαλκες· ἐγὼ δ' ὑπ' ἀταρβέϊ θυμῷ
ἔστην καὶ πυρὸς ἄντα καὶ Ἕκτορος, ὅς μοι ὕπεικε
πάντῃ ἐν ὑσμίνῃ· σὺ δέ μιν περιδείδιες αἰεί·
ὡς ὄφελον τόδε νῶϊν ἐνὶ πτολέμῳ τις ἄεθλον
θῆκεν, ὅτ' ἀμφ' Ἀχιλῆϊ δεδουπότι δῆρις ὀρώρει,
ὄφρ' ἐκ δυσμενέων με καὶ ἀργαλέοιο κυδοιμοῦ
ἔδρακες ἔντεα καλὰ ποτὶ κλισίας φορέοντα
αὐτῷ ὁμῶς Ἀχιλῆϊ δαΐφρονι· νῦν δ' ἄρα μύθων
ἰδρείῃ πίσυνος μεγάλων ἐπιμαίεαι ἔργων·
οὐ γάρ τοι σθένος ἐστὶν ἐν ἔντεσιν ἀκαμάτοισιν
δύμεναι Αἰακίδαο δαΐφρονος, οὐδὲ μὲν ἔγχος

ut captivis dijudicandi-arbitrium tradamus:
a-quibus injuria-affectus alteruter pernicialem parabit cladem] Trojanis bellacibus, nec bilem in-nos effundet.
Sic dixit: illi igitur unam sententiam in animis habentes
publice detrectabant dijudicationem molestam:
quibus recusantibus, Troum præclari nati
consederunt in medio, bello-capti quamvis essent,
ut jus in controversia militari recte-administrarent.
Ajax igitur in medio-consessu, valde indignatus, *hanc* habuit orationem:]Hei Ulysses mentis improbæ, cur tuum animum seduxit dæmon,] ut-pariter mecum contendas de robore invicto?] num jactas, hostium globum te-repulisse ab
Achille]projecto in pulverem, cum undique ei Troes imminerent,] quo-tempore ego illis necem luctificam intuli,
te pavitante? quoniam te edidit mater
timidum et invalidum, *tanto* quidem debiliorem me,
quanto canis aliquis horrendum-frementi leone *deterior est*:
non enim tibi in-pectore est intrepidus animus,
sed tibi cordi-sunt metus et sceleratæ res.
An hoc oblitus-es, quod ad Ilii sacram urbem
proficisci verebaris cum consociatis Achivis,
et te fugitantem et recusantem comitari
adduxerunt Atridæ? utinam vero non venisses:
tuis enim consiliis celebrem Pœantis filium
Lemno in grata-Diis reliquimus magnos edentem-gemitus.
Nec soli huic tristem machinatus-es injuriam,
verum etiam divino Palamedi auctor-fuisti interitus,
qui te superior erat fortitudine et prudenti consilio.
Nunc jam etiam mihi adversus tendere audes,
nec beneficii memor, nec quicquam apud-animum
honoris-tribuens te multo superiori, qui te in pugna
servavi olim, consternatum impressione
hostium, cum te alii in conflictu desertum
reliquissent in hostium globo, fugientem et ipsum.
O utinam etiam meam audacem vim in discrimine illo
ipse Juppiter consternasset ex cœlo, ut te Troes
ancipitibus gladiis lancinatum disjecissent
escam canibus suis! ita non mecum auderes
descendere in-certamen, subdola-calliditate fretus.
Improbe, quare viribus te longe præpollere aliis
jactans in-medio tenes navigia, nec tanta animi
es-fiducia, ut, quemadmodum ego, celeres ad-extrema subducas] naves? quippe te pavor invasit: at nec hosticum
ignem a-navibus prohibuisti; ego autem impavido animo
me-objeci et incendio et Hectori, qui mihi cedebat
ubique in prœlio, quem tu exhorruisti perpetuo.
Utinam quis hoc nobis in pugna præmium
proposuisset, quando circa Achillem prostratum certamen
gliscebat,] ut ex hostibus me et difficili pugnæ-tumultu
vidisses arma *hæc* pulcra ad papiliones referentem
cum-ipso una Achille pugnaci. At nunc verborum
solertia confidens ad-magnas adspiras res:
non enim tibi vis est, arma invicta
ut-induas Æacidæ bellicosi, aut hastam

νωμῆσαι παλάμῃσιν· ἐμοὶ δ' ἄρα πάντα τέτυκται
ἄρτια, καί μοι ἔοικε φορήμεναι ἀγλαὰ τεύχη,
οὔτι καταισχύνοντι θεοῦ περικαλλέα δῶρα.
Ἀλλὰ τίη μύθοισιν ἐριδμαίνοντε κακοῖσιν
ἕσταμεν ἀμφ' Ἀχιλῆος ἀμύμονος ἀγλαὰ τεύχη;
* * * * * * * * * * * * * * *
ὅς τις φέρτερός ἐστιν ἐνὶ φθισήνορι χάρμῃ·
ἀλκῆς γὰρ τόδ' ἄεθλον ἀρήϊον, οὐκ ἀλεγεινῶν
θῆκεν ἐνὶ μέσσοις ἐπέων Θέτις ἀργυρόπεζα·
μύθων δ' εἰν ἀγορῇ χρειὼ πέλει ἀνθρώποισιν·
οἶδα γὰρ ὡς σέο πολλὸν ἀγαυότερος καὶ ἀρείων
εἰμί· γένος δέ μοι ἐστὶν, ὅθεν μεγάλῳ Ἀχιλῆϊ.
Ὣς φάτο· τὸν δ' ἀλεγεινὰ παραβλήδην ἐνένισπεν
υἱὸς Λαέρταο, πολύτροπα μήδεα νωμῶν·
Αἶαν ἀμετροεπὲς, τί νύ μοι τόσα μὰψ ἀγορεύεις;
ταρβαλέον τε μ' ἔφησθα καὶ οὐτιδανὸν καὶ ἄναλκιν
ἔμμεναι, ὅς σέο πολλὸν ὑπέρτερος εὔχομαι εἶναι
μήδεσι καὶ μύθοισι, τά τ' ἀνδράσι κάρτος ἀέξει·
καὶ γάρ τ' ἠλίβατον πέτρην, ἀῤῥηκτον ἐοῦσαν,
μήτι ὑποτμήγουσιν ἐν οὔρεσι λατόμοι ἄνδρες
ῥηϊδίως, μήτι δὲ μέγαν βαρυηχέα πόντον
ναῦται ὑπεκπερόωσιν, ὅτ' ἄσπετα κυμαίνηται·
τέχνῃσι δ' ἀγρόται κρατεροὺς δαμόωσι λέοντας
παρδάλιάς τε σύας τε καὶ ἄλλων ἔθνεα θηρῶν·
ταῦροι δ' ὀβριμόθυμοι ὑπὸ ζεύγλῃς δαμόωνται
ἀνθρώπων ἰότητι· νόῳ δέ τε πάντα τελεῖται·
αἰεὶ δ' ἀφραδέος πέλει ἀνέρος ἀμφὶ πόνοισι
πᾶσι καὶ ἐν βουλῇσιν ἀνὴρ πολυΐδρις ἀμείνων.
Τοὔνεκ' ἐϋφρονέοντα θρασὺς πάϊς Οἰνείδαο
λέξατό μ' ἐκ πάντων ἐπιτάῤῥοθον, ὄφρ' ἀφίκωμαι
ἐς φύλακας· μέγα δ' ἔργον ὁμῶς ἐτελέσσαμεν ἄμφω.
Καὶ δ' αὐτὸν Πηλῆος ἐϋσθενέος κλυτὸν υἷα
ἤγαγον Ἀτρείδῃσιν ἐπίῤῥοθον· ἢν δὲ καὶ ἄλλου
ἥρωος χρειώ τις ἐν Ἀργείοισι πέληται,
οὐδ' ὅγε χερσὶ τεῇσιν ἐλεύσεται, οὐδὲ μὲν ἄλλων
Ἀργείων βουλῇσιν· ἐγὼ δέ ἑ μοῦνος Ἀχαιῶν
ἄξω, μειλιχίοισι παραυδήσας ἐπέεσσι,
δῆριν ἐς αἰζηῶν· μέγα γὰρ κράτος ἀνδράσι μῦθος
γίγνεται εὐφροσύνῃσι μεμιγμένος· ἠνορέη δὲ
ἄπρηκτος τελέθει, μέγεθος τ' εἰς οὐδὲν ἀέξει
ἀνέρος, εἰ μή οἱ πινυτὴ ἐπὶ μῆτις ἕπηται.
Αὐτὰρ ἐμοὶ καὶ κάρτος ὁμῶς καὶ μῆτιν ὄπασσαν
ἀθάνατοι· τεῦξαν δὲ μέγ' Ἀργείοισιν ὄνειαρ.
Οὐδὲ μὲν, ὡς σύ μ' ἔφησθα, πάρος φεύγοντα σάωσας
δηΐου ἐξ ἐνοπῆς· οὐ γὰρ φύγον, ἀλλ' ἅμα πάντας
Τρῶας ἐπεσσυμένους μένον ἔμπεδον· οἱ δ' ἐπέχυντο
ἀλκῇ μαιμώωντες· ἐγὼ δ' ὑπὸ κάρτεϊ χειρῶν
πολλῶν θυμὸν ἔλυσα· σὺ δ' οὐκ ἄρ ἐτήτυμα βάζεις·
οὐ γὰρ ἔμοιγ' ἐπάμυνας ἀνὰ μόθον, ἀλλὰ σοὶ αὐτῷ
ἔστης ἦρα φέρων, μή τίς νύ σε δουρὶ δαμάσσῃ
φεύγοντ' ἐκ πολέμοιο· νέας δ' ἐς μέσσον ἔρυσσα,
οὔ τι περιτρομέων δηΐων μένος, ἀλλ' ἵνα μῆχος
αἰὲν ἅμ' Ἀτρείδῃσιν ὑπὲρ πολέμοιο φέρωμαι·
καὶ σὺ μὲν ἔκτοσθε στήσας νέας· αὐτὰρ ἔγωγε,

vibres manibus; mihi vero omnia sunt
apta, et me decet gestare splendida *hæc* arma
qui-neutiquam dedecorem Dei pulcerrima munera.
Sed quid verbis altercantes ignavis
stamus de Achillis generosi nitidis armis?
* * * * * * * * * * * * * * * *
uter *nostrum* melior sit in exitiali pugna:
fortitudinis enim hoc præmium militare, non molestæ
deposuit in medium garrulitatis Thetis argentipes:
verbis autem in foro opus est hominibus.
Scio equidem, quod te longe nobilior et fortior
sim, siquidem genus *inde* mihi est, unde magno Achilli.
Sic ait: hunc vero amaris-verbis e-regione adortus-
filius Laertæ, versuta consilia agitans.
Ajax nugator, cur mihi tantum temere peroras?
timidum me dicis et nullius-pretii atque imbellem
esse, quem te longe superiorem ausim-dicere esse
consilio et eloquio, quæ hominibus vires augent:
etenim excelsam petram, quæ frangi nequit,
ingenio succidunt in montibus lapidum-sectores viri
facile, ingenioque magnum horrisonum mare
nautæ transmittunt, cum magno æstu-fluctuat;
arte venatores validos domant leones,
pardalesque et apros et aliarum genera bestiarum;
tauri fortes jugo subjiciuntur
hominum industria; ratione denique omnia perficiuntur,
et semper inconsulto est homine in negotiis
cunctis et in deliberationibus homo peritus præstabilior.
Ideo ingenio-valentem audax filius Œnidæ
delegit me ex omnibus socium, ut accederem
ad vigiles, ubi ingens facinus conjunctim peregimus ambo.
Adhæc ipsum Pelei fortis inclytum natum
adjunxi Atridis socium: quodsi etiam alio
heroe opus inter Græcos fuerit
neque ille manibus tuis *adactus* veniet, neque aliorum
Argivorum consiliis, sed ego ipsum solus Achivum
adduxero, blandis adhortatus verbis,
ad certamen juvenum; magno enim præsidio hominibus
oratio] est cum-sapientia temperata: at robur-virile
inefficax est, et proceritas ad nihil conducit
viri, nisi eum prudens consilium comitetur.
Atqui mihi juxta robur ac consilium suppeditarunt
immortales, et fecerunt insigne *me* Græcis emolumentum.
Nec vero, ut tu affirmas, me nuper fugientem servasti
hostili ab fremitu; non enim fugi, sed simul omnes
Trojanos irruentes sustinui fortiter: qui licet irruerent
violento impetu, ego tamen robore manuum
multis animum dissolvi: tu igitur non vera jactitas:
non enim me protegebas in acie, sed tibi ipsi
stabas opem ferens, ne quis te hasta configeret
fugientem ex conflictu. Naves autem in medium subtraxi,
non quod-extimescam hostium vim, sed ut ingeniosam-ope-
ram]assidue una cum-Atridis *huic* bello impendam:
tu sane extremo-loco statuisti naves; at ego

αὐτὸν ἀεικίσσας πληγῇς ὕπο λευγαλέῃσιν,
ἐς Τρώων πτολίεθρον ἐσήλυθον, ὄφρα πύθωμαι
ὁππόσα μητιόωνται ὑπὲρ πολέμου ἀλεγεινοῦ·
οὐδὲ μὲν Ἕκτορος ἔγχος ἐδείδιον, ἀλλὰ καὶ αὐτὸς
ἐν πρώτοις ἀνόρουσα, μαχέσσασθαι μενεαίνων
κείνῳ, ὅτ' ἠνορέῃ πίσυνος προκαλέσσατο πάντας.
Νῦν δέ σευ ἀμφ' Ἀχιλῆϊ πολὺ πλέονας κτάνον ἄνδρας
δυσμενέων· ἐσάωσα δ' ὁμῶς τεύχεσσι θανόντα.
Οὐδὲ μὲν ἐγχείην τρομέω σέθεν, ἀλλά με λυγρὸν
ἕλκος ἔτ' ἀμφ' ὀδύνῃς περινίσσεται, εἵνεκα τευχέων
τῶνδέ περ οὐτηθέντα, δαϊκταμένου Ἀχιλῆος.
Καὶ δέ μοι, ὡς Ἀχιλῆϊ, πέλει Διὸς ἔξοχον αἷμα.
Ὣς ἄρ' ἔφη· τὸν δ' αὖθις ἀμείβετο καρτερὸς Αἴας·
Ὦ Ὀδυσεῦ δολομῆτα καὶ ἀργαλεώτατε πάντων,
οὔ νύ σ' ἐκεῖσ' ἐνόησα πονεύμενον, οὐδέ τις ἄλλος
Ἀργείων, ὅτε Τρῶες Ἀχιλλέα δῃωθέντα
ἑλκέμεναι μενέαινον· ἐγὼ δ' ὑπὸ δουρὶ καὶ ἀλκῇ
τῶν μὲν γούνατ' ἔλυσα κατὰ μόθον, οὓς δ' ἐφόβησα
αἰὲν ἐπεσσύμενος· τοὶ δ' ἀργαλέως φοβέοντο,
χήνεσιν ἢ γεράνοισιν ἐοικότες, οἷς ἐπορούσῃ
αἰετὸς ἠϊόεν πεδίον κάτα βοσκομένοισιν·
ὣς Τρῶες, πτώσσοντες ἐμὸν δόρυ καὶ θοὸν ἄορ,
Ἴλιον ἐς κατέδυσαν, ἀλευάμενοι μέγα πῆμα·
σοὶ δὲ καὶ εἰ τότε κάρτος ἐπήλυθεν, οὔτι μευ ἄγχι
μάρναο δυσμενέεσσιν· ἑκὰς δέ που ἦσθα, καὶ αὐτὸς
ἀμφ' ἄλλῃσι φάλαγξι πονεύμενος, οὐ περὶ νεκρῷ
ἀντιθέου Ἀχιλῆος, ὅπου μάλα δῆρις ὀρώρει.
Ὣς φάτο· τὸν δ' Ὀδυσῆος ἀμείβετο κερδαλέον κῆρ·
Αἶαν, ἐγὼν οὐ σεῖο κακώτερος ἔλπομαι εἶναι
οὐ νόον, οὐδὲ βίην, εἰ καὶ μάλα φαίδιμός ἐσσι·
ἀλλὰ νόον μὲν ἔγωγε πολὺ προφερέστερός εἰμι
σεῖο μετ' Ἀργείοισι, βίῃ δέ κεν ἀμφήριστος,
ἢ καὶ ἀγαυότερος· τὸ δέ που καὶ Τρῶες ἴσασιν,
οἵ με μέγα τρομέουσι, καὶ ἢν ἀπάτερθεν ἴδωνται.
Καὶ δ' αὐτὸς σάφα οἶδας ἐμὸν μένος, ἠδὲ καὶ ἄλλοι,
ἀμφὶ παλαισμοσύνῃ πολυτειρέϊ πολλὰ μογήσας,
ὁππότε δὴ περὶ σῆμα δαϊκταμένου Πατρόκλοιο
Πηλείδης ἐρίθυμος ἀγακλυτὰ θῆκεν ἄεθλα.
Ὣς φάτο Λαέρταο κλυτὸς πάϊς ἀντιθέοιο·
καὶ τότε Τρώϊοι υἷες ἔριν δικάσαντ' ἀλεγεινὴν
αἰζηῶν· νίκην δὲ καὶ ἄμβροτα τεύχεα δῶκαν
πάντες ὁμοφρονέοντες ἐϋπτολέμῳ Ὀδυσῆϊ·
τοῦ δ' ἄμοτον γήθησε νόος· στονάχησε δὲ λαός·
παχνώθη δ' Αἴαντος εὐ σθένος· αἶψα δ' ἄρ' αὐτῷ
ἄτη ἀνιηρὴ περικάππεσε· πᾶν δέ οἱ εἴσω
ἔζεσε φοίνιον αἷμα· χολὴ δ' ὑπερέβλυσεν αἰνή·
ἥπατι δ' ἔγκατ' ἔμικτο· περὶ κραδίῃ δ' ἀλεγεινὸν
ἷξεν ἄχος, καὶ δριμὺ δι' ἐγκεφάλοιο θεμέθλων
ἐσσύμενον μήνιγγας ἄδην ἀμφήλυθεν ἄλγος·
σὺν δ' ἔχεεν νόον ἀνδρός· ἐπὶ χθονὶ δ' ὄμματα πήξας
ἔστη ἀκινήτῳ ἐναλίγκιος· ἀμφὶ δ' ἑταῖροι
ἀχνύμενοί μιν ἄγεσκον ἐϋπρώρους ἐπὶ νῆας,
πολλὰ παρηγορέοντες· ὁ δ' ὑστατίην ποσὶν οἶμον
ἤϊεν οὐκ ἐθέλων· σχεδόθεν δέ οἱ ἕσπετο Μοῖρα.

me-ipsum cum-deformassem plagis fœdis,
Troum urbem ingressus-sum, ut explorarem
quæ consilia-tractarent de bello tristi.
Neque Hectoris hastam pertimui; quin etiam ipse
inter primos me-accinxi, ad-pugnandum promtus
cum-illo, quando virium fiducia provocabat omnes.
Jam vero propter Achillem multo plures quam-tu peremi
viros] de-hostibus, et eripui una cum-armis exstinctum.
Nec hastam reformido tuam; sed me tabificum
vulnus adhuc doloribus angit, propter arma
hæc percussum, cæso Achille.
Denique etiam in-me, ut in-Achille, est Jovis excellens sanguis.] Sic dixit: cui *hæc* contra reddidit fortis **Ajax**:
O Ulysses dolose et nequissime omnium,
nequaquam te isthic vidi dimicantem, nec quisquam alius
Argivum, ubi Troes Achillem peremtum
abstrahere nitebantur: ego vero hasta ac viribus
aliorum genua enervavi in *eo* conflictu, alios in-fugam-egi
pertinaciter urgens. Qui turpiter fugiebant,
anseribus aut gruibus similes, in-quos impetum-fecit
aquila, in campo juxta-ripas pascentes:
ita Troes, metuentes meam hastam et rapidum ensem,
in Ilium sese-receperunt, sibi-caventes a-magna clade:
te vero licet tum fortitudo incesserit, tamen-non prope me
contendisti cum-hostibus, sed longe alicubi aberas, et ipse
inter alios ordines pugnans, non pro cadavere
præclari Achillis, ubi maxime certamen incrudescebat.
Sic inquit: cui Ulysses *ita* respondit astuto animo:
Ajax, ego non te inferiorem *me* confido esse,
neque mente, neque viribus, etiamsi valde clarus existas:
imo ingenio ego longe præponendus sum
tibi inter Argivos, et robore par,
aut etiam insignior; id-quod etiam Trojani norunt,
qui me valde trepidant, si vel procul conspexerint.
Atque ipse probe expertus-es meas vires, æque ac alii,
qui-lucta laboriosa multum *mecum* certabas
quum ad monimentum trucidati Patrocli
Pelides fortis magnifica statuisset præmia.
Ita dixit Laertæ nobilis natus egregii:
et tunc Trojani litem dijudicarunt acerbam
heroum, palmamque ac cœlestia arma tribuerunt
omnes unanimi bellaci Ulyssi:
cujus immense lætata-est mens; sed ingemuit populus,
et congelatus-est Ajacis strenuus vigor: statim igitur ipsum
noxa ægra circumplexa-est; omnisque in eo
efferbuit puniceus sanguis, bilisque exuberavit atra,
cum-epate visceribus commixtis; circumque cor sævus
subsedit mœror, et acerbus per cerebri fundamenta
penetrans meninges etiam incessit dolor,
ac conturbavit mentem viri: humi igitur oculis fixis
stabat tanquam immotus. Sed contubernales
anxii eum deducebant rostratas ad naves,
multum consolantes. Ipse vero ultimam pedibus viam
calcabat invitus: nam proxime eum subsequebatur Mœra.

Ἀλλ' ὅτε δὴ μετὰ νῆας ἔβαν καὶ ἀτειρέα πόντον
Ἀργεῖοι, δόρποιο μεμαότες ἠδὲ καὶ ὕπνου,
δὴ τότ' ἔσω μεγάλοιο Θέτις κατεδύσετο πόντου·
σὺν δέ οἱ ἄλλαι ἴσαν Νηρηΐδες· ἀμφὶ δ' ἄρα σφιν
νήχετο κήτεα πολλὰ, τά τε τρέφει ἁλμυρὸν οἶδμα.
Αἱ δὲ μέγα σκύζοντο Προμηθέϊ μητιόεντι,
μνώμεναι, ὡς κείνοιο θεοπροπίῃσι Κρονίων
δῶκε Θέτιν Πηλῆϊ, καὶ οὐκ ἐθέλουσαν, ἄγεσθαι.
Κυμοθόη δ' ἐνὶ τῇσι μέγ' ἀσχαλόωσ' ἀγόρευεν·
Ὢ πόποι, ὡς ὅγε λυγρὸς ἐπάξια πήμαθ' ὑπέτλη
δεσμῷ ἐν ἀῤῥήκτῳ, ὅτε οἱ μέγας αἰετὸς ἧπαρ
κεῖρεν ἀεξόμενον κατὰ νηδύος, ἐγγύθι βαίνων.
Ὣς φάτο Κυμοθόη κυανοπλοκάμοις ἁλίῃσιν·
ἠέλιος δ' ἀπόρουσεν, ἐπεσκιόωντο δ' ἀλωαὶ
νυκτὸς ἐπεσσυμένης, ἐπεκίδνατο δ' οὐρανὸν ἄστρα:
Ἀργεῖοι δ' ἐπὶ νηυσὶ τανυπρώροισιν ἴαυον,
ὕπνῳ ὑπ' ἀμβροσίῳ δεδμημένοι ἠδὲ καὶ οἴνῳ
ἡδεῖ, τὸν Κρήτηθε παρ' Ἰδομενῆος ἀγαυοῦ
ναῦται ὑπὲρ πόντοιο πολυκλύστοιο φέρεσκον.
Αἴας δ' Ἀργείοισι χολούμενος, οὔτ' ἄρα δόρπου
μνήσατ' ἐνὶ κλισίῃ μελιηδέος, οὔτε μιν ὕπνος
ἄμφεχεν, ἀλλ' ὅγ' ἑοῖσιν ἐν ἔντεσι δύσατο θύων·
εἵλετο δὲ ξίφος ὀξὺ καὶ ἄσπετα πορφύρεσκεν,
ἤ ὅγ' ἐνιπρήσῃ νῆας καὶ πάντας ὀλέσσῃ
Ἀργείους, ἦ μοῦνον ὑπὸ ξίφεϊ στονόεντι
δηώσῃ μελεϊστὶ θοῶς δολόεντ' Ὀδυσῆα.
Καὶ τὰ μὲν ὣς ὥρμαινε, τὰ δὴ τάχα πάντ' ἐτέλεσσεν,
εἰ μή οἱ Τριτωνὶς ἀάσχετον ἔμβαλε λύσσαν·
κήδετο γὰρ φρεσὶν ᾗσι πολυτλήτου Ὀδυσῆος,
ἱρῶν μνωομένη, τά οἱ ἔμπεδα κεῖνος ἔρεξεν·
τοὔνεκα δὴ μεγάλοιο μένος Τελαμωνιάδαο
τρέψεν ἀπ' Ἀργείων· ὁ δ' ἄρ' ἤϊε λαίλαπι ἶσος
σμερδαλέῃ, στυγερῇσι καταιγίσι βεβριθυίῃ,
ἥτε φέρει ναύτῃσι τέρας κρυεροῖο φόβοιο,
Πληϊὰς εὖτ' ἀκάμαντος ἐς ὠκεανοῖο ῥέεθρα
δύεθ', ὑποπτώσσουσα περικλυτὸν Ὠρίωνα,
ἠέρα συγκλονέουσα, μέμηνε δὲ χείματι πόντος·
τῇ εἰκὼς οἴμησεν, ὅπη μιν γυῖα φέρεσκον·
πάντη δ' ἀμφιθέεσκεν, ἀναιδέϊ θηρὶ ἐοικὼς,
ὅς τε βαθυσκοπέλοιο διέσσυται ἄγκεα βήσσης,
ἀφριόων γενύεσσι καὶ ἄλγεα πολλὰ μενοινῶν
ἢ κυσὶν ἢ ἀγρόταις, οἵ οἱ τέκνα δῃώσωνται
ἄντρων ἐξερύσαντες· ὁ δ' ἀμφιθέῃσι βεβρυχὼς,
εἴπου ἔτ' ἐν ξυλόχοισιν ἴδοι θυμήρεα τέκνα·
τῷ δ' εἴ τις κύρσειε, μεμηνότα θυμὸν ἔχοντι,
αὐτοῦ οἱ βιότοιο λυγρὸν περιτέλλεται ἦμαρ·
ὣς ὅγ' ἀμείλιχα θῦνε, μέλαν δέ οἱ ἔζεεν ἦτορ,
εὖτε λέβης ἀλίαστον ἐπ' ἐσχάρῃ Ἡφαίστοιο
ῥοιβδηδὸν μαίνηται ὑπαὶ πυρὸς αἰθομένοιο,
γάστρην ἀμφί γε πᾶσαν ὅτε ξύλα πολλὰ θέρηται,
ἐννεσίῃς δρηστῆρος, ἐπειγομένου ἐνὶ θυμῷ,
εὐτραφέος σιάλοιο περὶ τρίχας ὥς κεν ἀμέρσῃ·
ὣς τοῦ ὑπὸ στέρνοισι πελώριος ἔζεε θυμός·
μαίνετο δ' ἠύτε πόντος ἀπείριτος ἠὲ θύελλα,

Porro cum ad naves se-recepissent et indomitum mare
Argivi, cibi appetentes atque somni
tunc in vastum Thetis se-demisit pontum,
cumque ea cæteræ abierunt Nereides : et circa illas
natabant balænæ multæ, quas alit salsus æstus.
Illæ autem valde iratæ-erant Prometheo sagaci,
recordantes, quod ejus oraculis *motus* Saturnius
dedisset Thetin Peleo, quamvis recusantem, ducendam.
Quare Cymothoe inter illas magna cum-indignatione locuta
-est :]O Dii ! quam hic sceleratus dignum supplicium luit
vinculis in tenacissimis, quando ei ingens aquila jecur
laniabat renascens in ventre, prope accedens.
Hæc dixit Cymothoe cæruleo-capillamento-decoris *Nymphis* marinis.] Interea sol abscessit, et umbras-induerunt
agri,] nocte accelerante, ac dispergebantur per cælum sidera.] Argivi autem in navibus longiproris cubabant,
somno dulci superati atque vino
jucundo, quod ex-Creta ab Idomeneo illustri
nautæ trans mare fluctisonum advexerant.
Sed Ajax in-Græcos exacerbatus, neque cœnæ
memor-erat in tabernaculo gratæ, neque ipsum somnus
amplectebatur, sed suis armis se-induit furiatus,
arripuitque ensem acutum et atrocia deliberavit,
utrum ipse incenderet naves et omnes exitio-traderet
Argivos, an solum gladio tristifico
concideret membratim sine-mora dolosum Ulyssem.
Hoc ita secum-agitabat, quæ e-vestigio omnia perfecisset,
nisi ei Minerva rapidum immisisset furorem :
solicita enim-erat in-pectore suo de-patienti Ulysse,
sacrorum memor, quæ ipsi perpetuo ille faciebat.
Ideo proceri robur Telamoniadæ
avertit ab Argivis : is vero ibat turbini similis
horrifico, tristibus procellis gravato,
qui affert nautis prodigium gelidi pavoris,
Plejas quando indefatigabilis in Oceani gurgitem
mergitur, fugiens celebratum Oriona,
aera perturbans, furitque hieme pontus :
huic similis ruit, quocunque ipsum membra ferebant
et circumquaque cursitavit, impudenti feræ comparandus,
quæ per scopulosæ grassatur anfractus vallis,
spumans rictu et tristia multa destinans
aut canibus aut venatoribus, qui ei catulos infestarunt
e-fovea extractos; ideo circumcursat infrendens,
sicubi adhuc in silvis cernat caros fœtus :
cui si quis occurrat, rabie-percitum animum habenti,
tunc ei vitæ funestus circumvertit dies :
tam ille ferociter cursitabat, et atrum ipsi fervebat cor,
sicut ahenum graviter ad focum Vulcani
magno-sonore furit igne ardenti,
ventrem circa totum cum ligna multa uruntur,
industria ministri, *id* agentis in animo,
saginati porcelli undique setas ut evellat :
ita illius in pectore magnum æstuabat cor,
et sæviebat tanquam mare latifluum aut procella,

ἢ πυρὸς ἀκαμάτοιο θοὸν μένος, εὖτ' ἀλίαστον
μαίνηται κατ' ὄρεσφι βίῃ μεγάλου ἀνέμοιο,
πίπτῃ δ' αἰθομένη πυρὶ πάντοθεν ἄσπετος ὕλη·
ὣς Αἴας ὀδύνῃσι πεπαρμένος ὄβριμον ἦτορ
μαίνετο λευγαλέως· ἄπλετος δέ οἱ ἔρρεεν ἀφρὸς
ἐκ στόματος· βρυχὴ δὲ περὶ γναθμοῖσιν ὀρώρει·
τεύχεα δ' ἀμφ' ὤμοισιν ἐπέβραχε· τοὶ δ' ὁρόωντες
πάντες ὁμῶς ἑνὸς ἀνδρὸς ὑποτρομέεσκον ὁμοκλήν.
Καὶ τότ' ἀπ' ὠκεανοῖο κίεν χρυσήνιος Ἠώς·
Ὕπνος δ' οὐρανὸν εὐρὺν ἀνήϊεν εἴκελος αὔρῃ·
Ἥρῃ δὲ ξύμβλητο νέον πρὸς Ὄλυμπον ἰούσῃ
Τηθύος ἐξ ἱερῆς, ὅθι που προτέρῃ μόλεν ἠοῖ·
ἡ δέ ἑ κύσσεν ἑλοῦσ', ὅτι οἱ πέλε γαμβρὸς ἀμύμων,
ἐξ οὗ οἱ Κρονίωνα κατεύνασεν ἐν λεχέεσσιν
Ἴδης ἀμφὶ κάρηνα, χολούμενον Ἀργείοισιν·
αἶψα δ' ἄρ' ἡ μὲν ἔβη Ζηνὸς δόμον, ὃς δ' ἐπὶ λέκτρα
Πασιθέης οἴμησεν· ἀνέγρετο δ' ἔθνεα φωτῶν.
Αἴας δ' ἀκαμάτῳ ἐναλίγκιος Ὠρίωνι
φοίτα, ἐνὶ στέρνοισιν ἔχων ὀλοόφρονα λύσσαν·
ἐν δ' ἔθορε μήλοισι, λέων ὣς ὀβριμόθυμος,
λιμῷ ὑπ' ἀργαλέῳ δεδμημένος ἄγριον ἦτορ·
καὶ τὰ μὲν ἐν κονίῃσιν ἐπασσύτερ' ἄλλοθεν ἄλλα
κάββαλεν, ἠύτε φύλλα μένος κρατεροῦ Βορέαο
χεύῃ, ὅτ' ἀνομένου θέρεος μετὰ χεῖμα τράπηται·
ὣς Αἴας μήλοισι μέγ' ἀσχαλόων ἐνόρουσεν,
ἐλπόμενος Δαναοῖσι κακὰς ἐπὶ κῆρας ἰάλλειν.
Καὶ τότε δὴ Μενέλαος ἀδελφεῷ ἄγχι παραστὰς,
κρύβδ' ἄλλων Δαναῶν, τοῖον ποτὶ μῦθον ἔειπεν·
Σήμερον ἢ τάχα πᾶσιν ὀλέθριον ἔσσεται ἦμαρ,
Αἴαντος μεγάλοιο περὶ φρεσὶ μαινομένοιο,
ὃς τάχα νῆας ἐνιπρήσει, κτανέει δὲ καὶ ἡμᾶς
πάντας ἐνὶ κλισίῃσι, κοτεσσάμενος περὶ τευχέων.
Ὡς ὄφελον μὴ τῶνδε Θέτις πέρι δῆριν ἔθηκε,
μηδ' ἄρα Λαέρταο πάϊς μέγ' ἀμείνονι φωτὶ
ἔτλη δηριάασθαι ἐναντίον ἄφρονι θυμῷ·
νῦν δὲ μέγ' ἀασάμεσθα, κακὸς δέ τις ἤκαχε δαίμων·
ἕρκος γὰρ πολέμοιο, δεδουπότος Αἰακίδαο,
μοῦνον ἔτ' ἦν Αἴαντος ἐῢ σθένος· ἀλλ' ἄρα καὶ τὸν
ἡμῖν ἐξολέσουσι θεοὶ, κακὰ νῶϊν ἄγοντες,
ὥς κεν πάντες ἄϊστον ἀναπλήσωμεν ὄλεθρον.
Ὣς φάμενον προσέειπεν ἐϋμμελίης Ἀγαμέμνων·
Μὴ νῦν, ὦ Μενέλαε, μέγ' ἀχνύμενος περὶ θυμῷ,
σκύζεο μητιόεντι Κεφαλλήνων βασιλῆϊ·
οὐ γὰρ ὅ γ' αἴτιός ἐστιν, ἐπεὶ μάλα πολλάκις ἡμῖν
γίγνεται ἐσθλὸν ὄνειαρ, ἄχος δ' ἄρα δυσμενέεσσιν.
Ὣς οἱ μὲν, Δαναῶν ἀκαχήμενοι, ἠγορόωντο.
Μηλονόμοι δ' ἀπάνευθε παρὰ Ξάνθοιο ῥεέθροις
πτῶσσον ὑπαὶ μυρίκῃσιν, ἀλευάμενοι βαρὺ πῆμα.
Ὡς δ' ὅταν αἰετὸν ὠκὺν ὑποπτώσσωσι λαγωοὶ
θάμνοις ἐν λασίοισιν, ὁ δ' ἐγγύθεν ὀξὺ κεκληγὼς
πωτᾶτ' ἔνθα καὶ ἔνθα, τανυσσάμενος πτερύγεσσιν·
ὥς οἵγ' ἄλλοθεν ἄλλος ὑπέτρεσαν ὄβριμον ἄνδρα.
Ὀψὲ δ' ὅ γ' ἀρνειοῖο κατακταμένου σχεδὸν ἔστη,
καὶ ῥ' ὀλοὸν γελάσας, τοῖον ποτὶ μῦθον ἔειπε·

aut ignis violenti rapida vis, quando acriter
furit in monte vis magni venti,
et sternitur combusta flammis undique densa silva:
ita Ajax, doloribus sauciatus ingens cor,
furore-agitabatur letali, et larga ei fluxit spuma
ex ore, ac stridor inter dentes ortus-est;
arma etiam in humeris résonabant: illi (*Græci*) autem vi-
dentes] cuncti simul unius viri exhorrescebant fremitum.
Et tunc ab Oceano prodiit aurifrenis Aurora,
et Somnus in-cœlum altum abiit similis auræ,
Junonique occurrit denuo ad Olympum revertenti
Tethye a sacra, quo pridie profecta-erat:
hæc igitur illum osculo excepit, quod ipsi esset gener
bonus,] ex quo Jovem sopiverat in lecto
Idæ super vertice, irascentem Argivis:
statim vero hæc concessit Jovis in-ædes, at ille ad torum
Pasitheæ volavit, et expergiscebantur gentes hominum.
Ajax interim, invicto similis Orioni,
ibat, in pectore gestans crudelem rabiem:
tandem impetum-fecit in oves, ceu leo ferox,
fame malesuada subactus efferum cor,
atque eas in pulverem confertim alibi alias
dejecit, ut frondes impetus validi Boreæ
decutit, cum finita æstate hiems revertitur:
sic Ajax in-oves magna indignatione incurrit,
putans Danais triste exitium *se* inferre.
Atqui tunc Menelaus ad fratrem accedens,
clam aliis Græcis, his *eum* verbis affatus-est:
Hodie procul dubio omnibus funesta aderit dies,
Ajace magno mentem lymphatam-habente,
qui mox naves succendet trucidabitque etiam nos
omnes in tentoriis, dum-iratus-est ob arma.
O utinam non de his Thetis certamen instituisset,
nec Laertæ filius longe præstantiori viro
ausus-esset litem-movere insipiente animo!
nunc igitur magno malo-obnoxii-sumus, et malus quis nos
afflixit Genius;] propugnaculum enim belli, cæso Achille,
solum restabat Ajacis præstans virtus: sed et hunc
nobis interiment Dii, mala nobis accumulantes,
ut cuncti ignobili pœnas-luamus exitio.
Ita dicentem allocutus-est hastatus Agamemnon
Ne jam, mi Menelae, nimis mœrori-submittens animum,
succenseas prudenti Cephalenum regi:
non enim hic in-culpa est, cum sæpenumero nobis
sit insigni emolumento, damno contra hostibus.
Talia hi, de-Danais mœsti, inter-se-conferebant.
Pastores autem procul ad Xanthi alveum
præ-metu-delitescebant sub myricis, ut-evitarent grave
exitium.] Ceu *fit*, ubi aquilam celerem formidant lepores
fructices inter densos, is vero prope acutum clangens
volitat huc illuc expansis alis;
ita illi alio alius fugitantes-extimuere immanem virum.
Tandem is prope arietem cæsum adstitit,
et funestum ridens, his dictis allocutus-est:

Κεῖσό νυν ἐν κονίῃσι, κυνῶν βόσις ἠδ' οἰωνῶν·
οὐ γάρ σ' οὔτ' Ἀχιλῆος ἐρύσσατο κύδιμα τεύχη,
ὧν ἕνεκ' ἀφραδέων μέγ' ἀμείνονι δηριάασκες·
κεῖσο, κύον· σὲ γὰρ οὔτι γοήσεται ἀμφιπεσοῦσα
κουριδίη μετὰ παιδὸς ἀάσχετον ἀσχαλόωσα,
οὐ τοκέες· τοῖς οὔτι μετέσσεαι ἐλδομένοισι
γήραος ἐσθλὸν ὄνειαρ, ἐπεί νύ σε τῆλ' ἀπὸ πάτρης
οἰωνοί τε κύνες τε δεδουπότα δαρδάψουσιν.
Ὣς ἄρ' ἔφη, δολόεντα μετὰ κταμένοις Ὀδυσῆα
κεῖσθαι ὀϊόμενος, μεμορυγμένον αἵματι πολλῷ.
Καὶ τότε οἱ Τριτωνὶς ἀπὸ φρενὸς ἠδὲ καὶ ὄσσων
ἐσκέδασεν Μανίην, βλοσυρὸν πνείουσαν ὄλεθρον·
ἡ δὲ θοῶς ἵκανε ποτὶ Στυγὸς αἰνὰ ῥέεθρα,
ἧχι θοαὶ ναίουσιν Ἐριννύες, αἵ τε βροτοῖσιν
αἰὲν ὑπερφιάλοισι κακὰς ἐφιᾶσιν ἀνίας.
Αἴας δ', ὡς ἴδε μῆλα κατὰ χθονὸς ἀσπαίροντα,
θάμβεεν ἐν φρεσὶ πάμπαν· ὀΐσσατο γὰρ δόλον εἶναι
ἐκ μακάρων· πάντεσσι δ' ὑπεκλάσθη μελέεσσι,
βλήμενος ἄλγεσι θυμὸν ἀρήϊον· οὐδ' ἄρα πρόσσω
ἔσθενεν ἀσχαλόων ἔτι βήμεναι, οὔτ' ἄρ' ὀπίσσω,
ἀλλ' ἔστη σκοπιῇ ἐναλίγκιος, ἥ τ' ἐν ὄρεσσι
πασάων μάλα πολλὸν ὑπερτέρη ἐρρίζωται.
Ἀλλ' ὅτε οἱ πάλι θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη,
λυγρὸν ἀνεστονάχησεν· ἔπος δ' ὀλοφύρετο τοῖον·
Ὤ μοι ἐγών, τί νυ τόσσον ἀπέχθομαι ἀθανάτοισιν,
οἵ με φρένας βλάψαντο, κακὴν δ' ἐπὶ λύσσαν ἔθεντο,
μῆλα κατακτεῖναι, τά μοι οὐκ ἔσαν αἴτια θυμῷ;
ὡς ὄφελον τίσασθαι Ὀδυσσέος ἀργαλέον κῆρ
χερσὶν ἐμαῖς, ἐπειή με κακῇ περικάββαλεν ἄτῃ,
λυγρὸς ἐὼν μάλα πάγχυ· πάθοι δὲ καὶ ἄλγεα θυμῷ,
ὁππόσα μητιόωνται Ἐριννύες ἀνθρώποισιν
ἀργαλέοις· δοῖεν δὲ καὶ ἄλλοις Ἀργείοισιν
ὑσμίνας ὀλοὰς καὶ πένθεα δακρυόεντα
αὐτῷ τ' Ἀτρεΐδῃ Ἀγαμέμνονι· μηδ' ὅς ἀπήμων
ἔλθοι ἑὸν ποτὶ δῶμα, λιλαιόμενός περ ἱκέσθαι.
Ἀλλὰ τί μοι στυγεροῖσι μετέμμεναι, ἐσθλὸν ἐόντα;
ἐῤῥέτω Ἀργείων ὀλοὸς στρατός· ἐῤῥέτω αἰὼν
ἄσχετος· οὐ γὰρ ἔτ' ἐσθλὸς ἔχει γέρας, ἀλλὰ χερείων
τιμήεις τε πέλει καὶ φίλτερος· ἢ γὰρ Ὀδυσσεὺς
τίετ' ἐν Ἀργείοισιν, ἐμεῦ δ' ἐπὶ πάγχυ λάθοντο
ἔργων, ὁππόσ' ἔρεξα καὶ ἔτλην εἵνεκα λαῶν.
Ὣς εἰπὼν παῖς ἐσθλὸς ἐϋσθενέος Τελαμῶνος
Ἑκτόρεον ξίφος ὦσε δι' αὐχένος· ἐκ δέ οἱ αἷμα
ἐσσύμενον κελάρυζεν· ὁ δ' ἐν κονίῃσι τανύσθη
Τυφὼν ὥς, τὸν Ζηνὸς ἐνεπρήσαντο κεραυνοί·
ἀμφὶ δὲ γαῖα μέλαινα μέγα στονάχησε πεσόντος.
Καὶ τότε δὴ Δαναοὶ κίον ἀθρόοι, ὡς ἐσίδοντο
κείμενον ἐν κονίῃσι· πάρος δέ οἱ οὔτις ἵκανεν
ἐγγύς, ἐπεὶ μάλα πάντας ἔχεν δέος εἰσορόωντας·
αἶψα δ' ἄρα κταμένου περικάππεσον· ἀμφὶ δὲ κρᾶτα
πρηνέες ἐχύμενοι κόνιν ἄσπετον ἀμφεχέοντο,
καί σφιν ὀδυρομένων γόος αἰθέρα δῖαν ἵκανεν.
Ὡς δ' ὅταν εἰροπόκων ὀΐων ἄπο νήπια τέκνα
ἀνέρες ἐξελάσωσιν, ἵνα σφίσι δαῖτα κάμωνται,

Jaceto nunc in pulvere, canum cibus et volucrum;
nec enim te ipsius Achillis defenderunt præclara arma
quorum causa fatuus cum-multo fortiori contendisti;
jaceto, canis : te enim non lugebit amplexa
uxor cum filio immoderate dolens,
neque parentes, quibus nequaquam aderis, cupientibus
senectutis commodum levamen, cum te procul a patria
aves et canes obtruncatum sint-devoraturi.
Sic dixit, veteratorem inter cadavera Ulyssem
jacere autumans, fœdatum sanguine multo.
Et tunc ipsi Minerva a mente et oculis
discussit Rabiem, sævum spirantem exitium,
quæ confestim se-recepit ad Stygis dirum amnem
ubi rapidæ versantur Furiæ, quæ mortalibus
perpetuo superbis diros immittunt angores.
Ajax igitur, ut vidit oves humi palpitantes,
obstupuit pectore toto: sensit enim fraudem esse
a superis, et omnibus elanguit membris,
perculsus doloribus cor Martium, neque igitur antevorsum
potuit indignatus adhuc incedere nec retrorsum;
sed constitit speculæ similis, quæ in montibus
cunctis longe altior radicibus-hæret.
Cum vero ejus iterum animus in pectore se-collegisset,
miseris-modis ingemuit, et verbis lamentatus-est his :
Hei mihi! cur adeo exosus-sum superis,
qui me ratione privarunt et tristi rabie affecerunt,
oves ut-interficerem, quæ mihi non erant in-culpa iræ
utinam vindictam-sumpsissem de Ulyssis maligno pectore
manibus meis, quod me in-atrocem conjecit calamitatem,
pestifer cum-sit omnino: patiatur autem cruciatus animi,
quos decernunt Furiæ hominibus
flagitiosis, dentque *hæ* etiam cæteris Argivis
pugnas exitiales et luctus lacrimarum-plenos
ipsique Atridæ Agamemnoni, neque is incolumis
redeat suam domum, ut-cupit redire.
Sed quid me *juvat* sceleratis interesse virtute præstantem?
male-pereat Argivum pestilens exercitus, valeat ævum
irrevocabile: non enim amplius *vir* bonus fert præmium,
sed deterior]et honoratus-est et amatior, siquidem Ulysses
in-pretio-est apud Græcos, meorum vero prorsus obliti
-sunt]facinorum, quæ gessi et toleravi pro popularibus.
Hæc ubi-dixerat filius præstans strenui Telamonis,
Hectoreum ensem adegit per jugulum: illique sanguis
erupit cum-sibilo, et ipse in pulverem extensus-est,
ut Typhon, quem Jovis adusserunt fulmina,
et circum terra nigra valde ingemuit, *eo* cadente.
Atque tunc Græci accesserunt frequentes, ut conspicati
-sunt] jacentem in pulvere: antea vero ad-ipsum nemo accesserat] prope, quod ad-unum omnes cepit metus *eum* videntes;] extemplo autem circum-cadaver se-prostraverunt
et capitibus] pronis *in terram* effusi pulverem densum inspergebant,]et horum lamentantium ploratus ad-æthera divinum ascendit.] Sicut ubi a lanigeris ovibus teneros agnos
pastores abigunt, ut sibi epulum parent,

αἱ δὲ μέγ' ἀσκαίρουσι διηνεκέως μεμακυῖαι
μητέρες ἐκ τεκέων συχοὺς πέρι χηρωθέντας·
ὥς οἵ γ' ἀμφ' Αἴαντα μέγα στένον ἤματι κείνῳ
πανσυδίῃ· μέγα δέ σφιν ἐπέβραχε δάσκιος Ἴδη,
καὶ πεδίον καὶ νῆες ἀπειρεσίη τε θάλασσα.
Τεῦκρος δ' ἀμφ' αὐτῷ μάλα μήδετο κῆρας ἐπισπεῖν
ἀργαλέας· τὸν δ' ἄλλοι ἀπὸ ξίφεος μεγάλοιο
εἶργον· ὁ δ' ἀσχαλόων περικάππεσε τεθνειῶτι
δάκρυα πολλὰ χέων, ἀδινώτερα νηπιάχοιο,
ὅς τε παρ' ἐσχαρεῶνι τέφρην περιειμένος ὤμοις
κακκεφαλῆς, μάλα πάμπαν ὀδύρεται ὀρφανὸν ἦμαρ,
μητρὸς ἀποφθιμένης, ἥ μιν τρέφε νηΐδα πατρός·
ὣς ὅγε κωκύεσκε, κασιγνήτοιο δαμέντος,
ἑρπύζων περὶ νεκρὸν, ἔπος δ' ὀλοφύρετο τοῖον·
Αἶαν καρτερόθυμε, τίη νύ σοι ἐβλάβη ἦτορ,
οἱ αὐτῷ στονόεντα φόνον καὶ πῆμα βαλέσθαι;
ἦ ἵνα Τρώϊοι υἷες ὀϊζύος ἀμπνεύσωσιν,
Ἀργείους δ' ὀλέσωσι σέθεν κταμένοιο κιόντες;
οὐ γὰρ τοῖς δ' ἔτι θάρσος, ὅσον πάρος, ὀλλυμένοισιν
ἔσσεται ἐν πολέμῳ· σὺ γὰρ ἔπλεο πήματος ἄλκαρ·
οὐδέ τ' ἐμοὶ νόστοιο τέλος σέο δεῦρο θανόντος
ἁνδάνει, ἀλλὰ καὶ αὐτὸς ὀΐομαι ἐνθάδ' ὀλέσθαι,
ὄφρ' ἐμὲ σὺν σοὶ γαῖα φερέσβιος ἀμφικαλύπτῃ·
οὐ γάρ μοι τοκέων τόσσον μέλει, εἴ που ἔτ' εἰσὶν,
εἴ που ἔτ' ἀμφινέμονται ἔτι ζωοὶ Σαλαμῖνα,
ὅσσον σεῖο θανόντος, ἐπεί σύ μοι ἔπλεο κῦδος.
Ἦ ῥα μέγα στενάχων· ἐπὶ δ' ἔστενε δῖα Τέκμησσα,
Αἴαντος παράκοιτις ἀμύμονος, ἥν περ ἐοῦσαν
ληϊδίην, σφετέρην ἄλοχον θέτο, καί μιν ἄνασσαν
τεῦξεν ἁπάντων ἔμμεν, ὅσων ἀνὰ δῶμα γυναῖκες
ἕδνωταὶ μεδέουσι, παρ' ἀνδράσι κουριδίοισιν·
ἡ δέ οἱ ἀκαμάτῃσιν ὑπ' ἀγκοίνῃσι δαμεῖσα
Εὐρυσάκην τέκεθ' υἱὸν, ἐοικότα πάντα τοκῆϊ·
ἀλλ' ὁ μὲν οὖν ἔτι τυτθὸς ἐνὶ λεχέεσσι λέλειπτο·
ἡ δὲ μέγα στενάχουσα φίλῳ περικάππεσε νεκρῷ
ἐντυπὰς ἐν κονίῃσι καλὸν δέμας αἰσχύνουσα·
καί ῥ' ὀλοφυδνὸν ἄϋσε, μέγ' ἀχνυμένη κέαρ ἔνδον·
Ὤ μοι ἐγὼ δύστηνος, ἐπεὶ θάνες, οὔτι δαϊχθεὶς
δυσμενέων παλάμῃσιν ἀνὰ μόθον, ἀλλά οἱ αὐτῷ·
τῷ μοι πένθος ἄλαστον ἐποίχεται· οὐ γὰρ ἐώλπειν
σεῖο καταφθιμένοιο πολύστονον ἦμαρ ἰδέσθαι
ἐν Τροίῃ· τὰ δὲ πάντα κακαὶ διὰ Κῆρες ἔχευαν.
Ὡς μ' ὄφελον τοπάροιθ' ἀμφὶ τραφερὴ χάνε γαῖα,
πρὶν σέο πότμον ἰδέσθαι ἀμείλιχον· οὐ γὰρ ἔμοιγε
ἄλλο χερειότερόν ποτ' ἐσήλυθεν εἰς φρένα πῆμα,
οὐδ' ὅτε με πρώτιστον ἐμῆς ἀποτηλόθι πάτρης
καὶ τοκέων εἴρυσσας ἅμ' ἄλλης ληϊάδεσσι,
πολλ' ὀλοφυρομένην, ἐπειή νύ με, τοπρὶν ἄνασσαν
αἰδοίην περ ἐοῦσαν, ἐπήϊε δούλιον ἦμαρ.
Ἀλλά μοι οὔτε πάτρης θυμηδέος, οὔτε τοκήων
μέμβλεται οἰχομένων, ὁπόσον σέο δηωθέντος,
οὕνεκά μοι δειλῇ θυμήρεα πάντα μενοίνας,
καί ῥά μ' ἔθηκας ἄκοιτιν ὁμόφρονα· καὶ γὰρ ἔφησθα
τεύξειν αὐτίκ' ἄνασσαν ἐϋκτιμένης Σαλαμῖνος,

valde subsiliunt continuo cum-balatu
matres propter parvulos caulis in orbatis
ita illi (*Græci*) circa Ajacem valde plangebant die illo,
totis-castris, magnumque ipsis remittebat-sonitum umbrosa
Ida,] et campus atque naves ac lativagum mare.
Teucer vero propter ipsum volebat mortem sibi-consciscere] funestam, sed eum alii ab gladio ingenti
prohibebant; is igitur præ-dolore se-prostravit in-mortuum
lacrimas multas fundens, largiores quam-infans,
qui juxta focum cinere conspersus humeros
desuper-a-capite, vehementer deplorat orbitatis tempus,
matre defuncta, quæ eum educavit orbatum patre:
sic ille ejulabat, fratre confosso,
reptans circa cadaver, et verba lugens-emisit hæc:
Ajax magnanime, cur tibi *ita* corrupta-est mens,
ut-tibi ipsi lamentabilem mortem et exitium afferres?
ideone, ut Trojugenæ a-calamitate respirarent,
et Argivos pessumdarent te sublato irruentes?
non enim his ultra fiducia, ut prius, pereuntibus
erit in prælio: tu enim eras adversus-cladem præsidium.
Ac nec mihi reditus maturatio te hic extincto
grata-est, sed etiam me-ipsum spero hic interiturum-esse,
ut me tecum tellus frugifera operiat:
non enim de-parentibus tam solicitus-sum, si forte adhuc
supersunt,] si forte potiuntur adhuc vivi Salamine,
quam de-te mortuo; nam tu mihi eras ornamento.
Dixit *hæc* magno gemitu: et simul suspirabat nobilis
Tecmessa,] Ajacis conjux strenui, quam, licet esset
captiva, suam uxorem duxit, ipsamque dominam
fecit omnium-rerum esse, quas in ædibus matronæ
dotatæ gubernant, cum maritis in-virginitate-desponsatis:
hæc autem ejus fortibus brachiis compressa
Eurysacem peperit filium, similem omnia patri;
verum hic tum adhuc tener in cunabulis relictus-erat;
sed illa valde ingemiscens prope amicum se-prostravit cadaver,] membris-impressis pulveri, elegans corpus deformans,] atque lugubrem extulit-vocem, valde mœsta corde
intimo:] Heu me infelicem, postquam occidisti, non-quidem
confectus] hostium manibus in prœlio, sed a-te ipso.
Ideo me luctus intolerabilis invadit: non enim sperassem,
te exstincto *me* lugubrem diem visuram-esse
ad Trojam; sed hæc omnia malignæ Parcæ dissipaverunt.
Utinam me olim penitus alma deglutiisset tellus,
antequam tuum fatum spectassem atrox; non enim mihi
alia acerbior unquam invasit pectus miseria,
ne-*tum*-quidem, quum me primum longe mea patria
et parentibus raptares inter alias captivas,
valde plangentem, quod-me, quæ-prius regina
magnifica fuissem, oppressisset servilis dies.
Sed-tamen nec propter-patriam jucundam, nec propter
-parentes] *tam* curis-afficior amissos, quam ob-tuum interitum,] quod mihi miseræ grata-animo omnia cupiebas,
et me constituisti uxorem unanimem; ac pollicebaris,
te-facturum esse propediem reginam cultæ Salaminis,

νοστήσας Τροίηθε· τὰ δ' οὐ θεὸς ἄμμι τέλεσσεν·
ἀλλὰ σὺ μέν μοι ἄϊστος ἀποίχεαι, οὐδέ νύ σοί περ
μέμβλετ' ἐμεῦ καὶ παιδὸς, ὃς οὐ πατρὶ τέρψεται ἦτορ,
οὐ σέο κοιρανίης ἐπιβήσεται, ἀλλά μιν ἄλλοι
δμῶα λυγρὸν τεύξουσιν, ἐπεὶ πατρὸς οὐκ ἔτ' ἐόντος,
νηπίαχοι κομέονται ὑπ' ἀνδράσι οἱ μάλα πολλὸν
χειροτέροις· ὀλοῇ γὰρ ὑπ' ὀρφανίῃ βαρὺς αἰὼν
παισὶ πέλει, καὶ πήματ' ἐπ' ἄλλοθεν ἄλλα χέονται.
Καὶ δέ με δειλαίην τάχα δούλιον ἵξεται ἦμαρ,
οἰχομένου σέο πρόσθεν, ὅ μοι θεὸς ὣς ἐτέτυξο.
Ὣς φαμένην προσέειπε φίλα φρονέων Ἀγαμέμνων·
Ὦ γύναι, οὐ νύ σέ τις δμωὴν ἔτι θήσεται ἄλλος,
Τεύκρου ἔτι ζώοντος ἀμύμονος, ἠδ' ἐμεῦ αὐτοῦ,
ἀλλά σε τίσομεν αἰὲν ἀπειρεσίοις γεράεσσι,
τίσομεν ὥς τε θεὰν, καὶ σὸν τέκος, ὡς ἔτ' ἐόντος
ἀντιθέου Αἴαντος, ὃς ἔπλετο κάρτος Ἀχαιῶν.
Αἴθ' ὄφελον μηδ' ἄλγος Ἀχαΐδι θήκατο πάσῃ
αὐτὸς ἑῇ ὑπὸ χειρὶ δαμείς· οὐ γάρ μιν ἀπείρων
δυσμενέων σθένε λαὸς ὑπ' Ἄρεϊ δῃώσασθαι.
Ὣς ἔφατ' ἀχνύμενος κέαρ ἔνδοθεν· ἀμφὶ δὲ λαοὶ
οἰκτρὸν ἀνεστονάχησαν, ἐπίαχε δ' Ἑλλήσποντος
μυρομένων, ὀλοὴ δὲ περί σφισι πέπτατ' ἀνίη·
καὶ δ' αὐτὸν λάβε πένθος Ὀδυσσέα μητιόεντα
κείνου ἀποκταμένοιο· καὶ ἀχνύμενος κατὰ θυμὸν
τοῖον ἔπος μετέειπεν ἀκηχεμένοισιν Ἀχαιοῖς·
Ὦ φίλοι, ὡς οὐ πώ τι κακώτερον ἄλλο χόλοιο
γίγνεται, ὅς τε βροτοῖσι κακὴν ἐπὶ δῆριν ἀέξει·
ὃς καὶ νῦν Αἴαντα πελώριον ἐξορόθυνεν,
ἀμφ' ἐμοὶ ἐν φρεσὶν ἧσι χολούμενον. Ὡς ὄφελόν μοι
μή ποτε Τρώϊοι υἷες Ἀχιλλέος εἵνεκα τευχέων
νίκην ἀμφεβάλοντ' ἐρικυδέα, τῆς πέρι θυμὸν
ἀχνύμενος παῖς ἐσθλὸς ἐϋσθενέος Τελαμῶνος
ὤλετο χερσὶν ἑῇσι· χόλου δέ οἱ οὔτι ἔγωγε
αἴτιος, ἀλλά τις αἶσα πολύστονος, ἥ μιν ἐδάμνα·
εἰ γάρ μοι κέαρ ἔνδον ἐνὶ στέρνοισιν ἐώλπει
κεῖνον ἀλαστήσειν καθ' ἑὸν νόον, οὔτ' ἂν ἔγωγε
ἦλθον ἐριδμαίνων νίκης ὕπερ, οὔτε τιν' ἄλλον
ἐν Δαναοῖσιν ἔασα, μεμαότα δηριάασθαι·
ἀλλά οἱ αὐτὸς ἔγωγε θεουδέα τεύχε' ἀείρας
προφρονέως ἂν ὄπασσα, καὶ εἴ τι περ ἄλλο μενοίνα.
νῦν δέ μιν οὔτι ἔγωγε μέγ' ἀχνύμενον χαλεπῆναι
ὠϊσάμην μετόπισθεν, ἐπεὶ ῥά οἱ οὔτε γυναικὸς,
οὔτε περὶ πτόλιος μαχόμην, οὔτ' εὐρέος ὄλβου,
ἀλλά μοι ἀμφ' ἀρετῆς νεῖκος πέλεν, ἧς πέρι δῆρις
τερπνὴ γίγνεται αἰὲν ἐΰφροσιν ἀνθρώποισι·
κεῖνος δ' ἐσθλὸς ἐὼν στυγερῇ ὑπὸ δαίμονος αἴσῃ
ἤλιτεν· οὐ γὰρ ἔοικε μέγ' ἀσχαλάαν ἐνὶ θυμῷ·
ἀνδρὸς γὰρ πινυτοῖο καὶ ἄλγεα πόλλ' ἐπιόντα
τλῆναι ὑπὸ κραδίῃ στερεῇ φρενὶ, μηδ' ἀκάχησθαι.
Ὣς φάτο Λαέρταο κλυτὸς πάϊς ἀντιθέοιο·
ἀλλ' ὅτε δὴ κορέσαντο γόου καὶ πένθεος αἰνοῦ,
δὴ τότε Νηλέος υἱὸς ἔτ' ἀχνυμένοισιν ἔειπεν·
Ὦ φίλοι, ὡς ἄρα Κῆρες ἀνηλέα θυμὸν ἔχουσαι
ἡμῖν αἶψα βάλοντο λυγρὸν ἐπὶ πένθεϊ πένθος,

reversum a-Troja; quæ deus nobis haud perfecta-dedit:
sed tu meo e-conspectu discedis, nec te
cura-tangit mei et pueri, qui patri non exhilarabit animum,
nec tuum in-regnum succedet, sed ipsum alii
mancipium vile facient: nam patre non amplius superstite
infantes subjecti-sunt-curæ hominum illo proh longe
deteriorum; funesta enim orbitate molesta vita
infantibus existit, et ærumnæ aliunde aliæ accumulantur.
Quin et mihi miseræ mox servilis eveniet dies,
abrepto te ante, qui mihi Dei instar eras.
Ita dicentem affatus-est amice affectus Agamemnon:
Heus puella, non te ullus servam deinceps addicet alius,
Teucro adhuc superstite forti et me ipso;
sed te prosequemur assidue multis muneribus,
et honorabimus divæ loco, tuamque sobolem, acsi adhuc
supersit] semideus Ajax, qui erat robur Græcorum.
Utinam non luctum Græciæ creasset toti,
dum-ipse sua manu se-peremit: nec enim eum innumerabile] hostium valuisset agmen Marte profligare.
Sic ait anxius pectore intimo; et passim milites
misere plangebant, repercutiebatque Hellespontus
planctus, sæva enim inter eos grassabatur ægritudo;
ipsumque etiam prehendit luctus Ulyssem consultum,
illius trucidati-causa, tristitiaque gravatus animum
hujusmodi verbis disseruit ad-mœrentes Argivos.
Commilitones, quam nihil unquam pernitiosius aliud ira
est! quæ inter homines turpem litem excitat,
quæ etiam nunc Ajacem procerum ad-furorem-impulit,
in me animo suo exacerbatum. Utinam mihi
nunquam Trojani captivi Achillis de armis
victoriam tribuissent insignem, propter quam animo
perturbatus natus fortis robusti Telamonis
periit manibus suis: iræ autem ipsius nequaquam ego
in-culpa *sum*, sed fatum quodpiam triste, quod eum evertit.
Si enim mihi mens intus in pectore præsagiisset,
ipsum *id* laturum-tam-immoderato animo, non certe ego
suscepissem certamen de victoria, nec quemquam alium
inter Danaos passus-essem, qui-voluisset litigare,
sed illi ipse ego divina arma sublata
ultro permisissem, et si quid aliud expetivisset:
jam vero ipsum nunquam ego adeo dolori succubiturum
existimavi deinceps, quando cum ipso nec de-uxore,
nec de urbe controversarer, nec de-ampla possessione;
sed mihi de virtute contentio erat, cujus nomine certamen
jucundum exsistit perpetuo inter-cordatos homines.
Ideo ille quamvis virtute-præstans iniqua Dei sorte
peccavit: non enim decet nimis iræ-submittere animum;
nam viri prudentis *est* res-adversas etiam confertim ingruentes] tolerare animo forti in-pectore, nec mœrori succumbere.] Sic ait Laertæ celeber filius præstantis.
Ubi vero satietas-eos-ceperat gemitus luctusque queruli,
tandem Neleo satus adhuc contristatis verba-fecit:
O amici, quam Parcæ immisericordem animum habentes
nobis repente cumularunt funesto luctui luctum,

Αἴαντος φθιμένοιο πολυσθενέος τ' Ἀχιλῆος,
ἄλλων τ' Ἀργείων ἠδ' υἷεος ἡμετέροιο
Ἀντιλόχου· ἀλλ' οὔτι θέμις κταμένους ἐνὶ χάρμῃ
κλαίειν ἤματα πάντα καὶ ἀσχαλάαν ἐνὶ θυμῷ,
ἀλλὰ γόου λήσασθαι ἀεικέος· οὕνεκ' ἄμεινον
ἔρδειν, ὅσσα βροτοῖσιν ἐπὶ φθιμένοισιν ἔοικεν,
πυρκαϊὴν καὶ σῆμα, καὶ ὀστέα ταρχύσασθαι·
νεκρὸς δ' οὔτι γόοισιν ἀνέγρεται, οὐδέ τι οἶδε
φράσσασθ', εὖτέ ἑ Κῆρες ἀμείλιχοι ἀμφιχάνωσιν.
Ἦ ῥὰ παρηγορέων· περὶ δ' ἀντίθεοι βασιλῆες
ἀθρόοι αἶψ' ἀγέροντο μέγ' ἀχνύμενοι κέαρ ἔνδον,
καί ἑ, μέγαν περ ἐόντα, θοὰς ποτὶ νῆας ἔνεικαν
πολλοὶ ἀείραντες· κατὰ δὲ σπείροισι κάλυψαν
αἷμ' ἀποφαιδρύναντες, ὅ οἱ βριαροῖς μελέεσσι
τερσόμενον περίκειτο σὺν ἔντεσι καὶ κονίῃσι·
καὶ τότ' ἀπ' Ἰδαίων ὀρέων φέρον ἄσπετον ὕλην
αἰζηοί· πάντη δὲ νέκυν περινηήσαντο·
πολλὰ δ' ἄρ' ἀμφ' αὐτῷ θῆκαν ξύλα, πολλὰ δὲ μῆλα
φάρεά τ' εὐποίητα βοῶν τ' ἐρικυδέα φῦλα,
ἠδέ οἱ ὠκυτάτοισιν ἀγαλλομένους ποσὶν ἵππους,
χρυσόν τ' αἰγλήεντα καὶ ἄσπετα τεύχεα φωτῶν,
ὅσσα πάρος κταμένων ἀποαίνυτο φαίδιμος ἀνήρ·
ἤλεκτρόν τ' ἐπὶ τοῖσι διειδέα, τόν ῥά τε φασὶν
ἔμμεναι Ἠελίοιο πανομφαίοιο θυγατρῶν
δάκρυ· τὸ δὴ Φαέθοντος ὕπερ κταμένοιο χέαντο
μυρόμεναι μεγάλοιο παρὰ ῥόον Ἠριδάνοιο·
καὶ τὸ μὲν Ἠέλιος γέρας ἄφθιτον υἷεϊ τεύχων
ἤλεκτρον ποίησε, μέγα κτέαρ ἀνθρώποισιν·
τόν ῥα τότ' εὐρυπέδοιο πυρῆς καθύπερθε βάλοντο
Ἀργεῖοι, κλυτὸν ἄνδρα δεδουπότα κυδαίνοντες
Αἴαντ'· ἀμφὶ δέ οἱ μέγαλα στενάχοντες ἔθεντο
τιμήεντ' ἐλέφαντα καὶ ἄργυρον ἱμερόεντα,
ἠδὲ καὶ ἀμφιφορῆας ἀλείφατος ἄλλα τε πάντα,
ὁππόσα κυδήεντα καὶ ἀγλαὸν ὄλβον ὀφέλλει.
Ἐν δ' ἔβαλον κρατεροῖο πυρὸς μένος· ἦλθε δὲ πνοιὴ
ἐξ ἁλὸς, ἣν προέηκε θεὰ Θέτις, ὄφρα θέροιτο
Αἴαντος μεγάλοιο βίῃ· ὁ δὲ νύκτα καὶ ἠῶ
καίετο πὰρ νήεσσιν ἐπειγομένου ἀνέμοιο·
οἷός που τοπάροιθε Διὸς στονόεντι κεραυνῷ
Ἐγκέλαδος δέδμητο κατ' ἀκαμάτοιο θαλάσσης
Θρινακίης ὑπένερθεν, ὅλη δ' ὑπετύφετο νῆσος·
ἢ οἷος ζώοντα μέλη πυρὶ δῶκε θέρεσθαι
Ἡρακλέης Νέσσοιο δολοφροσύνῃσι χαλεφθεὶς,
ὁππότ' ἔτλη μέγα ἔργον, ὅλη δ' ἀμφέστενεν Οἴτη
ζωοῦ καιομένοιο, μίγη δέ οἱ αἰθέρι θυμὸς
ἄνδρα λιπὼν ἀρίδηλον, ἐνεκρίνθη δὲ θεοῖσιν
αὐτὸς, ἐπεί οἱ σῶμα πολύκμητον χάδε γαῖα·
τοῖος ἄρ' ἐν πυρὶ κεῖτο λελασμένος ἰωχμοῖο
Αἴας σὺν τεύχεσσι· πολὺς δ' ἐστείνετο λαὸς
αἰγιαλοῖς· Τρῶες δὲ γάνυντ', ἀκάχοντο δ' Ἀχαιοί.
Ἀλλ' ὅτε δὴ δέμας ἠΰ κατήνυσε πῦρ ἀΐδηλον,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν· ὀστέα δ' αὐτοῦ
χηλῷ ἐνὶ χρυσέῃ θῆκαν· περὶ δέ σφισι γαῖαν
χεῦαν ἀπειρεσίην Ῥοιτηΐδος οὐχ ἑκὰς ἀκτῆς·

quando Ajax interiit et prævalidus Achilles,
aliique Argivi ac filius meus
Antilochus! at neutiquam fas cæsos in bello
deplorare in-tempus omne et impatienti-esse animo
sed fletus oblivisci indecori : nam satius *est*
facere *ea*, quæ hominibus defunctis debentur,
pyram et tumulum, et ossa terræ-mandare :
mortuus enim nunquam lamentis revocatur, nec quidquam
novit] ad-rationem-exigere, simulac eum Parcæ immites
absorbuerunt.] Dixit consolans *eos*. Divini ergo reges
frequentes statim convenerunt valde mœrentes in animis,
et illum (*Ajacem*), quamlibet magnum, citas ad naves portarunt]
multi levantes, linteisque involverunt
cruore abluto, qui ejus validis membris
siccus adhærebat una-cum armis et pulvere.
Et tunc ex Idæis montibus detulerunt multum materiæ
juvenes, et undique circa cadaver aggesserunt:
multa igitur circa eum posuerunt ligna, multasque oves
et vestes bene-contextas boumque eximia genera,
atque ejus citissimis exultantes pedibus equos,
aurumque lucidum et innumera arma virorum,
quæ quondam trucidatis detraxerat illustris vir,
et electrum post hæc translucidum, quod ajunt
esse Solis omnia-præsagientis filiarum
lacrimam, quam Phaethonte super extincto fuderunt
lugentes magni apud amnem Eridani :
et hanc Sol in-honorem immortalem filii transmutans
electrum fecit, preciosam rem inter-homines :
quale tunc spacioso rogo super injecerunt
Argivi, præclarum virum post-necem honorantes,
Ajacem : ipsi etiam magnis cum-suspiriis apposuerunt
preciosum ebur et argentum optabile,
porro etiam amphoras adipis cæteraque omnia,
quæ magnifica *sunt* et splendidas opes augent.
Tandem subdiderunt rapidi ignis vim; et venit flatus
e mari, quem excivit diva Thetis, ut cremaretur
Ajacis magni robur, qui per-noctem atque diem
conflagrabat juxta naves accelerante vento,
qualiter olim Jovis tristifico fulmine
Enceladus conficiebatur in indefesso mari
subter Trinacriam, et tota succendebatur insula;
aut qualis viventia membra igni dedit torrenda
Hercules Nessi dolo oppressus,
ubi admisit ingens facinus, totaque ingemiscebat Œta,
dum-vivus arderet, et immiscuit-seætheri ejus animus
virum relinquens insignem, insertusque-fuit Diis
ipse, cum ejus corpus laboriosum excepisset tellus :
taliter in pyra jacebat oblitus pugnæ
Ajax cum armis; multus autem se-urgebat populus
in-littore, et Troes lætabantur, at mœsti-erant Græci.
Cæterum ubi corpus grande consumpsisset ignis funestus,
tandem rogum vino restinxerunt, ossa autem ipsius
urna in aurea condiderunt, ipsisque aggerem
circumfuderunt immensum a-Rhœteo non procul promon-

αὐτίκα δ' ἐσκίδναντο πολυσκάρθμους ἐπὶ νῆας,
θυμὸν ἀκηχεμένοι· τὸν γὰρ τίον ἶσον Ἀχιλλεῖ.
Νὺξ δ' ἐπόρουσε μέλαινα μετ' ἀνέρας ὕπνον ἄγουσα·
οἱ δ' ἄρα δαῖτα πάσαντο, καὶ ἠριγένειαν ἔμιμνον
βαιὸν ἀποβρίξαντες ἀραιοῖσιν βλεφάροισιν·
αἰνῶς γὰρ φοβέοντο κατὰ φρένα, μή σφισι Τρῶες
νυκτὸς ἐπέλθωσιν Τελαμωνιάδαο θανόντος.

ΛΟΓΟΣ ΣΤ.

Ἠὼς δ' ὠκεανοῖο ῥόον καὶ λέκτρα λιποῦσα
Τιθωνοῦ, προσέβη μέγαν οὐρανόν· ἀμφὶ δὲ πάντη
κίδνατο παμφανόωσα· γέλασσε δὲ γαῖα καὶ αἰθήρ.
Τοὶ δ' εἰς ἔργα τράποντο βροτοὶ ῥεῖα φθινύθοντες·
ἄλλοι δ' ἀλλοίοισιν ἐπώχοντ'· αὐτὰρ Ἀχαιοὶ
εἰς ἀγορὴν ἐχέοντο καλεσσαμένου Μενελάου.
Καί ῥ' ὅτε δὴ μάλα πάντες ἀνὰ στρατὸν ἠγερέθοντο,
δὴ τότ' ἐνὶ μέσσοισιν ἀγειρομένοισι μετηύδα·
Κέκλυτε μῦθον ἐμεῖο, θεηγενέες βασιλῆες,
ὡς ἐρέω· μέγα γάρ μοι ἐνὶ φρεσὶ τείρεται ἦτορ
λαῶν ὀλλυμένων, οἵ ῥ' ἤλυθον εἵνεκ' ἐμεῖο
δῆριν ἐς ἀργαλέην· τοὺς οὐχ' ὑποδέξεται οἶκος,
οὐ τοκέες· πολέας γὰρ ὑπέκλασε δαίμονος αἶσα.
Ὡς ὄφελον θανάτοιο βαρὺ σθένος ἀτλήτοιο
αὐτῷ μοι ἐπόρουσε, πρὶν ἐνθάδε λαὸν ἀγεῖραι·
νῦν δέ μοι ἀλλήκτους ὀδύνας ἐνεθήκατο δαίμων,
ὄφρ' ὁρόω κακὰ πολλά· τίς ἂν φρεσὶ γηθήσειεν,
εἰσορόων ἐπὶ δηρὸν ἀμήχανα ἔργα μόθοιο;
ἀλλ' ἄγεθ' ὅσσοι ἔτ' εἰμὲν, ἐπ' ὠκυπόροισι νέεσσι
καρπαλίμως φεύγωμεν ἑὴν ἐπὶ γαῖαν ἕκαστος,
Αἴαντος φθιμένοιο πολυσθενέος τ' Ἀχιλῆος,
τῶν ἐγὼ οὐχ ὀίω κταμένων ὑπαλύξαι ὄλεθρον
ἡμέας, ἀλλ' ὑπὸ Τρωσὶ δαμήμεναι ἀργαλέοισιν,
εἵνεκ' ἐμεῦ Ἑλένης τε κυνώπιδος, ἧς νύ μοι οὔτι
μέμβλεται, ὡς ὑμέων, ὁπότε κταμένους ἐσίδωμαι
ἐν πολέμῳ· κείνη δ' ἀλαπαδνοτάτῳ σὺν ἀκοίτῃ
ἐρρέτω· ἐκ γάρ οἱ πινυτὰς φρένας εἵλετο δαίμων
ἐκ κραδίης, ὅτ' ἐμεῖο λίπεν δόμον ἠδὲ καὶ εὐνήν.
Ἀλλὰ τὰ μὲν κείνης Πριάμῳ καὶ Τρωσὶ μελήσει·
ἡμεῖς δ' αἶψα νεώμεθ', ἐπεὶ πολὺ λώϊόν ἐστιν
ἐκφυγέειν πολέμοιο δυσηχέος, ἢ ἀπολέσθαι·
Ὣς ἔφατ', Ἀργείων πειρώμενος· ἄλλα δέ οἱ κῆρ
καὶ κραδίη πόρφυρε περὶ ζηλήμονι θυμῷ,
Τρῶας ὅπως ὀλέσῃ καὶ τείχεα μακρὰ πόληος
ῥήξῃ ὑπὲκ θεμέθλων, μάλα δ' αἵματος ἄσῃ Ἄρηα,
δίου Ἀλεξάνδροιο μετὰ φθιμένοισι πεσόντος·
οὐ γάρ τοι ζήλοιο πέλει στυγερώτερον ἄλλο.
Καὶ τὰ μὲν ὣς ὥρμαινεν· ἕῃ δ' ἐπιίζανεν ἕδρῃ·
καὶ τότε Τυδείδης ἐγχέσπαλος ὦρτ' ἐνὶ μέσσοις
καί ῥα θοῶς νείκεσσεν ἀρηΐφιλον Μενέλαον·
Ἆ δειλ' Ἀτρέος υἱὲ, τίη νύ σε δεῖμα κιχάνει
ἀργαλέον, καὶ τοῖα μετ' Ἀργείοις ἀγορεύεις,
ὡς πάϊς ἠὲ γυνὴ, τῶν περ σθένος ἔστ' ἀλαπαδνόν·
ἀλλά σοι οὐ πείσονται Ἀχαιῶν φέρτατοι υἷες,

torio.] Et protinus dilabebantur agiles ad naves,
animo perturbati: illum enim coluerant juxta-atque Achillem.]
Tunc nox ingruebat atra hominibus somnum afferens:
illi igitur cœnam sumebant, diemque expectabant
modicum nictantes fessis palpebris;
graviter enim metuebant in animis, ne in-ipsos Troes
noctu impressionem-facerent Telamoniade mortuo.

LIBER VI.

AURORA autem, Oceani fluxu et lecto relicto
Tithoni, ascendit spaciosum cœlum, et circumquaque
se-diffudit omnibus-illucescens, risitque tellus et æther.
Atque ad opera sese-convertebant homines facile intereuntes]
aliique alia aggrediebantur; verum Achivi
in concionem sese-effundebant vocante Menelao.
Cum igitur universi in castris coiissent,
ibi in medio-cœtu congregatorum *ita* verba-facit.
Audite orationem meam, Diis-nati principes,
ut dicturus-sum: valde enim mihi in pectore affligitur cor
ob-milites pereuntes, qui venerunt mea causa
ad certamen arduum; nec eos recipiet domus *sua,*
nec parentes; multos enim infregit Dei fatum.
Utinam mortis grave robur intolerandæ
ipsum me invasisset, priusquam huc exercitum contraherem:]
nunc vero mihi perpetuos dolores imposuit sors-fatalis,]
ut videam adversa multa. Quis animo-esset læto
intuens tam diu ineluctabiles labores belli?
sed agite quotquot adhuc sumus, in velocigradis navibus
raptim fugiamus suam in terram quisque,
Ajace extincto et præpotente Achille,
quibus interfectis ego non arbitror subterfugituros exitium
nos, sed Trojanis succubituros-esse bellicosis,
propter me et Helenam impudentem, cujus ego neutiquam
cura-afficior, ut vestri, quando interfectos video
in bello. Illa igitur effeminatissimo cum adultero
male-pereat, quoniam ei sanam mentem abstulit Dæmon
e corde, ubi meam deseruit domum et torum.
Atqui res illius Priamo et Troibus cordi-erunt:
nos vero subito revertamur, quoniam multo satius est
fugere-ex-bello horrisono, quam *in eo* perire.
Sic dixit Græcos tentans; alia vero ipsi ratio
et cor versabat apud zelotypum animum,
Trojanos quomodo perdat et muros ingentes urbis
eruat ex fundamentis, et plane sanguine exsaturet Martem,
si-nobilis Alexander inter cæsos occubaret:
non enim profecto zelotypia infestius est quicquam.
Et hæc quidem ita *secum* agitabat, suaque residebat
sella:] atque tunc Tydides vibrator-hastæ surrexit in medio]
et continuo objurgavit bellicosum Menelaum.
Proh meticulose Atrei fili! quid-ita te timor corripit
anxius, et talia inter Argivos concionaris,
ut puer aut femina, quorum vires sunt imbecillæ?
verum tibi non parebunt Achivum præstantissimi filii,

πρὶν Τροίης κρήδεμνα ποτὶ χθόνα πάντα βαλέσθαι·
θάρσος γὰρ μερόπεσσι κλέος μέγα, φύζα δ' ὄνειδος.
Εἰ δ' ἄρα τις καὶ τῶνδ' ἐπιπείσεται, ὡς ἐπιτέλλεις,
αὐτίκα οἱ κεφαλὴν τεμέω ἰόεντι σιδήρῳ,
ῥίψω δ' οἰωνοῖσιν ἀερσιπέτῃσιν ἐδωδήν.
Ἀλλ' ἄγεθ' οἷσι μέμηλεν ὀρινέμεναι μένε' ἀνδρῶν,
λαοὺς αὐτίκα πάντας ὀτρυνάντων κατὰ νῆας
δούρατα θηγέμεναι, παρά τ' ἀσπίδας ἄλλα τε πάντα
εὖ θέσθαι, καὶ δεῖπνον ἐφοπλίσσασθαι ἅπαντας
αὐτοῖς ἠδ' ἵπποις, οἵ τ' ἐς πόλεμον μεμάασιν·
ἐν πεδίῳ δ' ὤκιστα διακρινέει μένος Ἄρης.
Ὣς φάτο Τυδείδης· κατὰ δ' ἕζετο, ἧχι πάρος περ·
τοῖσι δὲ Θέστορος υἱὸς ἔπος ποτὶ τοῖον ἔειπεν,
ἀνστὰς ἐν μέσσοισιν, ὅπῃ θέμις ἐστ' ἀγορεύειν.
Κέκλυτε μευ, φίλα τέκνα μενεπτολέμων Ἀργείων·
ἴστε γάρ, ὡς σάφα οἶδα θεοπροπίας ἀγορεύειν·
ἤδη μὲν καὶ πρόσθ' ἐφάμην δεκάτῳ λυκάβαντι
πέρσειν Ἴλιον αἰπύ· τόδε δὴ νῦν ἐκτελέουσιν
ἀθάνατοι· νίκη δὲ πέλει παρὰ ποσσὶν Ἀχαιῶν.
Ἀλλ' ἄγε Τυδέος υἷα μενεπτόλεμόν τ' Ὀδυσῆα
πέμψωμεν Σκύρονδε θοῶς ἐνὶ νηῒ μελαίνῃ,
οἵ ῥα παραιπεπίθοντες Ἀχιλλέος ὄβριμον υἷα
ἄξουσιν· μέγα δ' ἄμμι φάος πάντεσσι πελάσσει.
Ὣς φάτο Θέστορος υἱὸς ἐΰφρονος· ἀμφὶ δὲ λαοὶ
γηθόσυνοι κελάδησαν, ἐπεί σφισιν ἦτορ ἐώλπει
Κάλχαντος φάτιν ἔμμεν ἐτήτυμον, ὡς ἀγόρευε.
Καὶ τότε Λαέρταο πάϊς μετέειπεν Ἀχαιοῖς·
Ὦ φίλοι, οὐκ ἔτ' ἔοικε μεθ' ὑμῖν πόλλ' ἀγορεύειν
σήμερον· ἐν γὰρ δὴ κάματος πέλει ἀχνυμένοισιν·
οἶδα γὰρ ὡς λαοῖσι κεκμηκόσιν οὐδ' ἀγορητὴς
ἁνδάνει, οὔτ' ἄρ' ἀοιδός, ὃν ἀθάνατοι φιλέουσι
Πιερίδες· παύρων δ' ἐπέων ἔρος ἀνθρώποισι·
νῦν δ', ὅπερ εὔαδε πᾶσι κατὰ στρατὸν Ἀργείοισι,
Τυδείδαο μάλιστα συνεσπομένου τελέσαιμεν·
ἄμφω γάρ κεν ἰόντε φιλοπτολέμου Ἀχιλῆος
ἄξομεν ὄβριμον υἷα παρακλίναντ' ἐπέεσσιν,
εἴ καί μιν μάλα πολλὰ κινυρομένη κατερύκει
μήτηρ ἐν μεγάροισιν· ἐπεὶ κρατεροῖο τοκῆος
ἔλπομ' ἐμὸν κατὰ θυμὸν ἀρήϊον ἔμμεναι υἷα.
Ὣς φάμενον προσέειπε πύκα φρονέων Μενέλαος·
Ὦ Ὀδυσεῦ, μέγ' ὄνειαρ ἐϋσθενέων Ἀργείων,
ἤνπερ Ἀχιλλῆος μεγαλόφρονος ὄβριμος υἱὸς
ἔλθοι ἀπὸ Σκύροιο, πόροι δέ τις οὐρανιώνων
νίκην εὐχομένοισι καὶ Ἑλλάδα γαῖαν ἱκέσθαι·
δώσω οἱ παράκοιτιν ἐμὴν ἐρικυδέα κούρην,
Ἑρμιόνην, καὶ πολλὰ καὶ ὄλβια δῶρα σὺν αὐτῇ
προφρονέως· οὐ γάρ μιν ὀΐομαι οὔτε γυναῖκα,
οὔτ' ἄρα πενθερὸν ἐσθλὸν ὑπερφιάλως ὀνόσασθαι.
Ὣς ἄρ' ἔφη· Δαναοὶ δὲ συνευφήμησαν ἔπεσσι·
Καὶ τότε λῦτ' ἀγορή· τοὶ δ' ἐσκίδναντ' ἐπὶ νῆας,
ἱέμενοι δείπνοιο, τὸ δὴ πέλει ἀνδράσιν ἀλκή.
Καί ῥ' ὅτε δὴ παύσαντο κορεσσάμενοι μέγ' ἐδωδῆς,
δὴ τόθ' ὁμῶς Ὀδυσῆϊ περίφρονι Τυδέος υἱὸς
νῆα θοὴν εἴρυσσεν ἀπειρεσίης ἁλὸς εἴσω·

antequam Trojæ pinnacula ad terram cuncta dejecerint :
fortitudo enim hominibus gloria ingens, sed fuga dedecus.
Quod si quis etiam horum morem-gesserit, ut imperas,
mox ei caput præcidam nigricante ferro,
ac projiciam *illum* avibus altivagis escam.
Verum agite, quibus curæ-est stimulare animos virorum,
milites mox omnes jubetote in navibus
hastas acuere, et juxta clypeos aliaque omnia *arma*
bene collocare, et prandium apparare cunctos
sibi et equis, qui ad bellum promptis-sunt-animis :
in campo autem quamprimum discernet fortitudinem Mars.
Sic fatus-est Tydides, et resedit, ubi antea *sederat*;
illis autem Thestoris filius sermonem talem habuit,
exsurgens in medium, ubi fas est concionari :
Auscultate me, cari nati bellipotentium Argivorum,
nostis enim, quod perspicue sciam Deum-monita effari,
siquidem jam etiam olim prædixi decimo anno *vos*
expugnaturos-esse Ilium altum, quod quidem ad exitum
-perducunt]Dii, et victoria ante pedes (*in propinquo*) est
Achivum.] Sed agite Tydei filium belloque-fortem Ulyssem
mittamus ad-Scyrum continuo in navi nigra,
qui persuasum-hortationibus Achillis strenuum filium
adducant; ingens enim nobis lumen universis exhibebit.
Sic locutus-est Thestoris natus sapientis, circumque po-
pulus]lætabundus acclamabat; ipsorum enim animi confi-
debant] Calchantis effatum esse verum, uti disseruerat.
Et tunc Laertæ filius *sic* verba-fecit Achivis :
Amici, non amplius decet apud vos multa verba facere
hodie : namque lassitudo subiit mœrentes;
novi autem, quod hominibus defessis neque orator
volupe-sit, neque poeta, quem immortales amant
Pierides; sed paucorum *tunc* verborum cupido *est* homi-
nibus.]Nunc autem, quod placet omnibus in castris Achi-
vis,] maxime si-Tydides itineris-comes-sit, perficiamus :
ambo (*simul*) enim profecti bellicosi Achillis
adducemus strenuum natum inflexum verbis,
etiamsi ipsum multis querelis remoratur
mater in aula, quandoquidem fortis parentis
persuasum-habeo meo animo mavortium esse natum.
Ita disserenti respondit *rem* probe perpendens Menelaus:
Ulysses, ingens emolumentum validorum Argivum,
si Achillis magnanimi strenuus filius
venerit a Scyro, et dederit quispiam cœlitum
victoriam exoptantibus et in terram Græcam reditum,
dabo ei uxorem meam nobilissimam filiam,
Hermionen, multaque ac preciosa munera cum illa
propenso-animo : non enim ipsum arbitror tum uxorem,
tum socerum bonum superbe repudiaturum-esse.
Sic ait, ac Danai fausta-acclamatione-consenserunt in
hæc-verba.]Atque tunc dimissa-fuit concio : illi autem dis-
gregabantur ad naves,] appetentes cibum, qui est hominum
robur.]Postquam vero finem-fecissent bene saturati edendi,
tunc cum Ulysse solerti Tydei filius
navem velocem protraxit infinitum in mare,

καρπαλίμως δ' ᾔϊα καὶ ἄρμενα πάντα βάλοντο,
ἐν δὲ καὶ αὐτοὶ ἔβαν, μετὰ δέ σφισιν εἴκοσι φῶτες,
ἴδμονες εἰρεσίης, ὁπότ' ἀντιόωσιν ἄελλαι,
ἠδ' ὁπότ' εὐρέα πόντον ὑποστορέῃσι γαλήνη.
Καί ῥ' ὅτε δὴ κληῖσιν ἐπ' εὐτύκτοισι κάθισσαν,
τύπτον ἁλὸς μέγα χῦμα· πολὺς δ' ἀμφέζεεν ἀφρός·
ὑγραὶ δ' ἀμφ' ἐλάτῃσι διεπρήσσοντο κέλευθοι
νηὸς ἐπεσσυμένης· τοὶ δ' ἱδρώοντες ἔρεσσον.
Ὡς δ' ὅθ' ὑπὸ ζεύγλῃσι βόες μέγα κεκμηῶτες
δουρατέην ἐρύσωσι πρόσω μεμαῶτες ἀπήνην
ἄχθεϊ τετριγυῖαν ὑπ' ἄξονι δινήεντι,
τειρόμενοι, πουλὺς δὲ κατ' αὐχένας ἠδὲ καὶ ὤμους
ἱδρὼς ἀμφοτέροισι κατέσσυται ἄχρις ἐπ' οὖδας·
ὣς τῆμος μογέεσκον ὑπὸ στιβαρῇς ἐλάτῃσιν
αἰζηοί· μάλα δ' ὦκα διήνυον εὐρέα πόντον·
τοὺς δ' ἄλλοι μὲν Ἀχαιοὶ ἀπὸ σκοπίαζον ἰόντας·
θῆγον δ' αἰνὰ βέλεμνα καὶ ἔγχεα, τοῖσι μάχοιντο.
Τρῶες δ' ἄστεος ἐντὸς ἀταρβέες ἐντύνοντο
ἐς πόλεμον μεμαῶτες, ἰδ' εὐχόμενοι μακάρεσσι
λωφῆσαί τε φόνοιο καὶ ἀμπνεῦσαι καμάτοιο.
Τοῖσι δ' ἐελδομένοισι θεοὶ μέγα πήματος ἄλκαρ
ἤγαγον, Εὐρύπυλον, κρατεροῦ γένος Ἡρακλῆος·
καί οἱ λαοὶ ἕποντο δαήμονες ἰωχμοῖο
πολλοὶ, ὅσοι δολιχοῖο παρὰ προχοῇσι Καΐκου
ναίεσκον, κρατερῇσι πεποιθότες ἐγχείῃσιν.
Ἀμφὶ δέ οἱ κεχάροντο μέγα φρεσὶ Τρώϊοι υἷες.
Ὡς δ', ὁπόθ' ἕρκεος ἐντὸς ἐεργμένοι ἀθρήσωσιν
ἥμεροι ἀνέρα χῆνες, ὅτις σφίσιν εἴδατα βάλλοι,
σαίνουσιν, τοῦ δ' ἦτορ ἰαίνεται εἰσορόωντος·
ὣς ἄρα Τρώϊοι υἷες ἐγήθεον, εὖτ' ἐσίδοντο
ὄβριμον Εὐρύπυλον· τοῦ δ' ἐν φρεσὶ θαρσαλέον κῆρ
τέρπετ' ἀγειρομένοισιν· ἀπὸ προθύρων δὲ γυναῖκες
θάμβεον ἀνέρα δῖον· ὁ δ' ἔξοχος ἔπλετο λαῶν,
ἠΰτε τις θώεσσι λέων ἐν ὄρεσσι μετελθών.
Τὸν δὲ Πάρις δείδεκτο, τίεν δέ μιν Ἕκτορι ἶσον·
τοῦ γὰρ ἀνεψιὸς ἔσκεν, ἰῆς δ' ἐτέτυκτο γενέθλης·
τὸν γὰρ δὴ τέκε δῖα κασιγνήτη Πριάμοιο
Ἀστυόχη, κρατερῇσιν ὑπ' ἀγκοίνῃσι μιγεῖσα
Τηλέφου, ὅν ῥα καὶ αὐτὸν ἀταρβέϊ Ἡρακλῆϊ
λάθρῃ ἑοῖο τοκῆος ἐϋπλόκαμος τέκεν Αὔγη·
καί μιν τυτθὸν ἐόντα καὶ ἰσχανόωντα γάλακτος,
θρέψε θοή ποτε κεμμὰς, ἑῷ δ' ἶσα φίλατο νεβρῷ,
μαζὸν ὑποσχομένη, βουλῇ Διός· οὐ γὰρ ἐῴκει
ἔκγονον Ἡρακλῆος ὀϊζυρῶς ἀπολέσθαι.
Τοῦ δ' ἄρα κύδιμον υἷα Πάρις μάλα πρόφρονι θυμῷ
ἦγεν ἑὸν ποτὶ δῶμα δι' εὐρυχόροιο πόληος,
σῆμα παρ' Ἀσσαράκοιο καὶ Ἕκτορος αἰπὰ μέλαθρα
νηόν τε ζάθεον Τριτωνίδος, ἔνθα οἱ ἄγχι
δώματ' ἔσαν καὶ βωμὸς ἀκήρατος Ἑρκείοιο·
καί μιν ἀδελφειῶν πηῶν θ' ὕπερ ἠδὲ τοκήων
εἴρετο προφρονέως· ὁ δέ οἱ μάλα πάντ' ἀγόρευεν·
ἄμφω δ' ὣς ὀάριζον ἅμ' ἀλλήλοισι κιόντες,
ἦλθον δ' ἐς μέγα δῶμα καὶ ὄλβιον, ἔνθα δ' ἄρ' ἧστο
ἀντιθέη Ἑλένη Χαρίτων ἐπιειμένη εἶδος·

et e-vestigio commeatum et necessaria omnia imposuerunt,
et ipsi ingressi-sunt, cumque ipsis viginti viri
gnari remigationis, quando adversæ-flant procellæ,
et quando amplum mare sternit tranquillitas.
Atque ubi in transtris bene-fabricatis consederant,
pulsabant maris vastos fluctus; multaque circumfervebat
spuma,]humidæque utrimque abiegnis-remis sulcabantur
viæ] navi deproperante; ipsi vero sudantes remigabant.
Veluti si sub jugo boves valde laborantes
ligneum trahunt porro nitendo plaustrum
præ-onere stridens sub axe circumvolubili,
dum-vexantur, largusque per vertices et armos
sudor utrique defluit usque ad terram :
ita tunc laborabant ad validos remos
juvenes, et valde properanter transmeabant latum mare:
quos reliqui Græci visu-prosequebantur abeuntes,
acuebantque noxia jacula et hastas, quibus pugnarent.
Contra Trojani in urbe intrepidi armabantur
ad pugnam properantes, et vota-facientes Diis,
ut-quiescerent a-cæde et respirarent a-labore.
Quibus, ut-desiderabant, Dii ingens cladis præsidium
adduxerunt, Eurypylum, fortissimi de-prosapia Herculis.
Atque ipsum homines secuti-sunt scientes belli
multi, quotquot longi fluenta Caici
accolebant, validis confidentes hastis
Quem propter lætabatur magnopere animis Troica pubes.
Ut, quando caveæ inclusi viderint
mansueti virum anseres, qui eis pabulum projicit,
abblandiuntur, ejusque animus oblectatur videntis :
sic et Troum nati gaudebant, cum viderent
fortem Eurypylum, cujus in pectore fiduciæ-plenus animus
oblectabatur confluxu-illorum: a vestibulis etiam feminæ
suspiciebant virum nobilem, qui eminebat in-exercitu,
veluti cum-thoibus leo quispiam in montibus congressus.
Hunc autem Paris excepit, et coluit pariter-atque Hectorem:
ejus enim consobrinus erat, et ex-eadem natus stirpe :
nam illum peperit generosa soror Priami
Astyocha, fortibus brachiis conserta
Telephi, quem et ipsum ex-imperterrito Hercule
clam suo patre crine-decora suscepit Auge;
et hunc, parvulus cum-esset et indigens lactis,
nutriit velox olim cerva, et suum tanquam amavit hinnulum,] ubera præbens, decreto Jovis. Nec enim fas-erat,
ut-prognatus Hercule misere interiret.
Hujus ergo magnificum filium Paris cupidissimo animo
deduxit suas ad ædes per amplam urbem,
prope monumentum Assaraci et Hectoris celsam domum
fanumque sacrum Minervæ, ubi ei in-vicinia
palatium erat et ara intaminata Hercei (*Jovis*);
et ipsum super germanis cognatisque ac parentibus
rogitabat studiose, is vero ei cuncta narrabat;
ita vero ambo confabulantur inter se procedentes,
venerunt autem in magnum palatium ac fortunatum, ubi
sedebat] deabus-similis Helena Gratiarum induta formam :

καί ῥά μιν ἀμφίπολοι πίσυρες περιποιπνύεσχον,
ἄλλαι δ' αὖτ' ἀπάνευθεν ἔσαν κλειτοῦ θαλάμοιο,
ἔργα τιτυσκόμεναι, ὁπόσα δμωῇσιν ἔοικεν.
Εὐρύπυλον δ' Ἑλένη μέγ' ἐθάμβεεν εἰσορόωσα,
κεῖνος δ' αὖθ' Ἑλένην· μετὰ δ' ἀλλήλους ἐπέεσσιν
ἄμφω δεικανόωντο δόμῳ ἐνὶ κηώεντι·
δμῶες δ' αὖτε θρόνους δοιὼ θέσαν ἐγγὺς ἀνάσσης·
αἶψα δ' Ἀλέξανδρος κατ' ἄρ' ἕζετο, πὰρ δ' ἄρα τῷγε
Εὐρύπυλος· λαοὶ δὲ πρὸ ἄστεος αὖλιν ἔθεντο,
ἧχι φυλακτῆρες Τρώων ἔσαν ὀβριμόθυμοι·
αἶψα δὲ τεύχεα θῆκαν ἐπὶ χθόνα, πὰρ δὲ καὶ ἵππους
στῆσαν ἔτι πνείοντας ὀϊζυροῖο μόγοιο·
ἐν δὲ φάτνῃσι βάλοντο, τά τ' ὠκέες ἵπποι ἔδουσι.
Καὶ τότε νὺξ ἐπόρουσε, μελαίνετό τ' αἶα καὶ αἰθήρ·
οἱ δ' ἄρα δαῖτ' ἐπάσαντο πρὸ τείχεος αἰπεινοῖο
Κήτειοι Τρῶές τε· πολὺς δ' ἐνὶ μῦθος ὀρώρει
δαινυμένων· πάντη δὲ πυρὸς μένος αἰθαλόεντος
δαίετο πὰρ κλισίῃσιν· ἐπίαχε δ' ἠπύτα σύριγξ,
αὐλοί τε λιγυροῖσιν ἀρηράμενοι καλάμοισιν,
ἀμφὶ δὲ φορμίγγων ἰαχὴ πέλεν ἱμερόεσσα.
Ἀργεῖοι δ' ἀπάνευθεν ἐθάμβεον εἰσαΐοντες
αὐλῶν φορμίγγων τ' ἰαχὴν, αὐτῶν τε καὶ ἵππων,
σύριγγός θ', ἣ δαιτὶ μεταπρέπει ἠδὲ νομεῦσι·
τοὔνεκ' ἄρ' οἷσιν ἕκαστος ἐπὶ κλισίῃσι κέλευσε
νῆας ἀμοιβαίῃσι φυλασσέμεν ἄχρις ἐς ἠῶ,
μὴ σφέας Τρῶες ἀγαυοὶ ἐνιπρήσωσι κιόντες,
οἵ ῥα τότ' αἰπεινοῖο πρὸ τείχεος εἰλαπίναζον.
Ὣς δ' αὔτως κατὰ δώματ' Ἀλεξάνδροιο δαΐφρων
δαίνυτο Τηλεφίδης μετ' ἀγακλειτῶν βασιλήων·
πολλὰ δ' ἄρα Πρίαμός τε καὶ ἄλλοι Τρώϊοι υἷες
ἑξείης εὔχοντο μιγήμεναι Ἀργείοισιν
αἴσῃ ἐν ἀργαλέῃ· ὁ δ' ὑπέσχετο πάντα τελέσσειν.
Αὐτὰρ ἐπεὶ δόρπησαν, ἔβαν ποτὶ δώμαθ' ἕκαστος·
Εὐρύπυλος δ' αὐτοῦ κατελέξατο βαιὸν ἄπωθεν
ἐς τέγος εὐποίητον, ὅπη πάρος αὐτὸς ἴαυεν
ἠῢς Ἀλέξανδρος μετ' ἀγακλειτῆς ἀλόχοιο·
κεῖνο γὰρ ἔκπαγλόν τε καὶ ἔξοχον ἔπλετο πάντων·
ἔνθ' ὅγε λέξατ' ἰών· τοὶ δ' ἄλλοσε κοῖτον ἕλοντο
μέχρις ἐπ' Ἠριγένειαν ἐΰθρονον· αὐτὰρ ἅμ' ἠοῖ
Τηλεφίδης ἀνόρουσε καὶ ἐς στρατὸν εὐρὺν ἵκανεν
σύν τ' ἄλλοις βασιλεῦσιν, ὅσοι κατὰ Ἴλιον ἦσαν·
λαοὶ δ' αὐτίκα δῦσαν ἐν ἔντεσι μαιμώωντες,
πάντες ἐνὶ πρώτοισι λιλαιόμενοι πονέεσθαι·
ὣς δὲ καὶ Εὐρύπυλος μεγάλοις περὶ κάτθετο γυίοις
τεύχεα μαρμαρέῃσιν ἐειδόμενα στεροπῇσι·
καί οἱ δαίδαλα πολλὰ κατ' ἀσπίδα δῖαν ἔκειτο,
ὁππόσα πρόσθεν ἔρεξε θρασὺ σθένος Ἡρακλῆος·
ἐν μὲν ἔσαν βλοσυρῇσι γενειάσι λιχμώωντες
δοιὼ κινυμένοισιν ἐοικότες οἶμα δράκοντες,
σμερδαλέον μεμαῶτες· ὁ δέ σφεας ἄλλοθεν ἄλλον,
νηπιαχός περ ἐὼν, ὑπεδάμνατο· καί οἱ ἀταρβὴς
ἔσκε νόος καὶ θυμὸς, ἐπεὶ Διῒ κάρτος ἐῴκει
ἐξ ἀρχῆς· οὐ γάρ τι θεῶν γένος οὐρανιώνων
ἄπρηκτον τελέθει καὶ ἀμήχανον, ἀλλά οἱ ἀλκὴ

ac circa illam famulæ quatuor in-opere-erant,
cæteræ vero extra magnificum erant thalamum,
operibus intentæ, quæ ancillas decent.
Eurypylum autem Helena valde admirabatur intuens,
et ille contra Helenam, mutuoque sese verbis
ambo excipiebant in thalamo suaveolenti.
Servæ autem thronos duos posuere prope dominam,
moxque Alexander resedit et juxta illum
Eurypylus. Milites interim ante urbem castra metabantur,
ubi vigiles Troum erant magnanimi;
et statim arma deposuerunt ad terram, ac prope equos
statuerunt adhuc anhelantes ex-tristi labore,
et præsepibus injecerunt *ea*, quibus celeres equi vescuntur.
Atque tunc nox appetebat, nigrescebatque tellus et æther:
cibum igitur sumebant ante mœnia ardua
Cetei Troesque, et prolixa sermocinatio orta-est
inter-cœnantes; ac passim ignis vis ardentis
accendebatur juxta tentoria, resonabatque canora fistula,
tibiæque stridulis compactæ cannis,
ac passim cithararum strepitus erat jucundus.
Argivi itaque procul stupescebant audientes
tibiarum cithararumque vocem, ipsorum etiam et equorum,] ac fistulæ, quæ inter convivia excellit et pastores:
propterea suos quisque apud castra jussit
naves alternis tutari usque ad lucem,
ne eas Troes incenderent irrumpentes,
qui tunc excelsum ante murum genio-indulgebant.
Eodem tempore in ædibus Alexandri bellicosus
epulabatur Telephides cum inclytis regibus,
et multum sane Priamus et alii Troum filii
suo-quisque-loco exoptabant, ut-manum-consereret cum
-Argivis] fortuna in adversa. Is vero promisit omnia-se confecturum.] Porro cum cænati-fuissent, se-contulerunt domum singuli:]Eurypylusque ibidem cubuit paulo seorsum
in conclavi affabre-facto, ubi prius ipse dormiebat
insignis Alexander cum famigeratissima uxore:
illud enim admirabile et excellens erat præ-omnibus:
huc ille se-conferens requievit. Alii vero alibi cubile sumpserunt] usque ad Auroram pulcrithronam; at prima luce
Telephides surrexit et ad exercitum late-diffusum pervenit
cum aliis proceribus, qui intra Ilium erant:
milites autem continuo induerunt arma magna-alacritate,
omnes inter primores percupidi rem-gerendi.
Ita et Eurypylus vastis circumdedit membris
arma, splendidis adspectu-similia fulgetris.
Cæterum varie-efficta multa ipsius in clypeo divino inerant,
quæcunque olim effecerat audax robur Herculis:
inibi erant noxiis maxillis lambentes
duo se-moventibus assimiles ferocia dracones,
truculentum *quippiam* conantes; verum ille alibi alium,
infans quantumlibet, elidebat, et illi intrepidus
erat mens et animus, namque Jovi viribus par-erat
ab ineunte-ætate: nequaquam enim deorum suboles cœlestium] inefficax est et ignava, sed ei robur

ἔσπετ' ἀπειρεσίη, καὶ νηδύος ἔνδον ἐόντι.
Ἐν δὲ Νεμειαίοιο βίη ἐτέτυκτο λέοντος,
ὀβρίμου Ἡρακλῆος ὑπὸ στιβαρῇσι χέρεσσι
τειρομένου κρατερῶς· βλοσυρῆς δέ οἱ ἀμφὶ γένυσσιν
αἱματόεις ἀφρὸς ἔσκεν· ἀποπνείοντι δ' ἐῴκει.
Ἄγχι δέ οἱ πεπόνητο μένος πολυδειράδος Ὕδρης,
αἰνὸν λιχμώωσα· καρήατα δ' ἀλγινόεντα
ἄλλα ῥά οἱ δέδμητο κατὰ χθονὸς, ἄλλα δ' ἄεξεν
ἐξ ὀλίγων μάλα πολλά· πόνος δ' ἔχεν Ἡρακλῆα
θαρσαλέον τ' Ἰόλαον· ἐπεὶ κρατερὰ φρονέοντε
ἄμφω, ὁ μὲν τέμνεσκε καρήατα μαιμώωντα
ἅρπῃ ὑπ' ἀγκυλόδοντι θοῶς, ὁ δὲ καῖε σιδήρῳ
αἰθομένῳ· κρατερὴ δὲ κατήνυτο θηρὸς ὁμοκλή.
Ἑξείης δ' ἐτέτυκτο βίη συὸς ἀκαμάτοιο
ἀφριόων γενύεσσι· φέρεν δέ μιν, ὡς ἐτεόν περ,
ζωὸν ἐς Εὐρυσθῆα μέγα σθένος Ἀλκείδαο·
κεμμὰς δ' εὖ ἤσκητο θοὴ πόδας, ἥτ' ἀλεγεινῶν
ἀμφὶ περικτιόνων μέγ' ἐσίνετο πᾶσαν ἀλωήν·
καὶ τὴν μὲν χρυσέοιο κεράατος ὄβριμος ἥρως
ἀμφέχεν οὐλομένοιο πυρὸς πνείουσαν ἀϋτμήν.
Ἀμφὶ δ' ἄρα στυγεραὶ Στυμφηλίδες, αἱ μὲν ὀϊστοῖς
βλήμεναι ἐν κονίῃσιν ἀπέπνεον, αἱ δ' ἔτι φύζης
μνωόμεναι πολιοῖο δι' ἠέρος ἐσσεύοντο·
τῇσι δ' ἐφ' Ἡρακλέης κεχολωμένος ἄλλον ἐπ' ἄλλῳ
ἰὸν ἐπιπροΐαλλε, μάλα σπεύδοντι ἐοικώς.
Ἐν δὲ καὶ Αὐγείαο μέγας σταθμὸς ἀντιθέοιο
τεχνήεις ἤσκητο κατ' ἀκαμάτοιο βοείης·
τῷ δ' ἄρα θεσπεσίοιο βαθὺν ῥόον Ἀλφειοῖο
ὄβριμος Ἡρακλέης ἐπαγίνεεν· ἀμφὶ δὲ Νύμφαι
θάμβεον ἄσπετον ἔργον. Ἀπόπροθι δ' ἔπλετο ταῦρος
πυρπνόος, ὅν ῥα καὶ αὐτὸν, ἀμαιμάκετόν περ ἐόντα,
γνάμπτε βίῃ, κρατεροῖο κεράατος· οἱ δέ οἱ ἄμφω
ἀκάματοι μυῶνες ἐρειδομένοιο τέταντο·
καί ῥ' ὁ μὲν ὡς μυκηθμὸν ἱεὶς πέλεν· ἄγχι δ' ἄρ' αὐτοῦ
ἀμφὶ σάκος πεπόνητο θεῶν ἐπιειμένη εἶδος
Ἱππολύτη· καὶ τὴν μὲν ὑπὸ κρατερῇσι χέρεσσι,
δαιδαλέου ζωστῆρος ἀμερσέμεναι μενεαίνων,
εἷλκε κόμης ἵπποιο κατ' ὠκέος· αἱ δ' ἀπάτερθεν
ἄλλαι ὑποτρομέεσκον Ἀμαζόνες. Ἀμφὶ δὲ λυγραὶ
Θρηϊκίην ἀνὰ γαῖαν ἔσαν Διομήδεος ἵπποι
ἀνδροβόροι· καὶ τὰς μὲν ἐπὶ στυγερῇσι φάτνῃσι
αὐτῷ σὺν βασιλῆϊ κακὰ φρονέοντι δάϊξεν.
Ἐν δὲ καὶ ἀκαματοιο δέμας πέλε Γηρυονῆος
τεθνειῶτος παρὰ βουσί· κάρη δέ οἱ ἐν κονίῃσιν
αἱματόεντα κέχυντο βίῃ ῥοπάλοιο δαμέντα·
πρόσθε δέ οἱ δέδμητο κύων ὀλοώτατος ἄλλων,
Ὄρθρος, ἀνιηρῷ ἐναλίγκιος, ὄβριμος ἀλκὴν,
Κερβέρῳ, ὅς ῥά οἱ ἔσκεν ἀδελφεός· ἀμφὶ δ' ἔκειτο
βουκόλος Εὐρυτίων μεμορυγμένος αἵματι πολλῷ.
Ἀμφὶ δὲ χρύσεα μῆλα τετεύχατο μαρμαίροντα
Ἑσπερίδων ἀνὰ πρέμνον ἀκήρατον· ἀμφὶ δ' ἄρ' αὐτῷ
σμερδαλέος δέδμητο δράκων· ταὶ δ' ἄλλοθεν ἄλλαι
πτώσσουσαι θρασὺν υἷα Διὸς μεγάλοιο φέβοντο.
Ἐν δ' ἄρ' ἔην, μέγα δεῖμα καὶ ἀθανάτοισιν ἰδέσθαι,

adjunctum-est ingens etiam in utero *adhuc* latenti.
In *eo* etiam Nemeæi vis expressa-erat leonis,
strenui Herculis validis manibus
afflicti duriter, sævasque ejus circum maxill
cruenta spuma erat, et expirantis formam-habebat.
Prope hunc elaborata-erat vis multicipitis Hydræ
truculenter linguas-exsertans, capitaque dolorifica
partim ei decussa-erant ad terram, partim renascebantur
ex paucis admodum multa; et labor tenebat Herculem
audacemque Iolaum, quoniam forti-animo
ambo, alter detruncabat capita dirum-quid-molientia
falce adunca celeriter, alter urebat ferro
candenti; validæ ergo conficiebantur belluæ minæ.
Deinde fabricata-erat violentia suis indomiti,
spumans genis; et portabat hunc, ceu reapse
vivum ad Eurystheum ingens robur Alcidæ:
cerva etiam bene elaborata-erat cita pedibus, quæ miserorum
vicinorum valde infestabat totum agrum:
et hanc aureo cornu fortis heros
tenebat, perniciosi ignis efflantem vaporem.
Prope *quam* invisæ Stymphalides, quædam sagittis
confixæ in pulvere animam-exhalabant, quædam adhuc de
-fuga] cogitantes incanum per aera volabant,
in quas Hercules iratus aliam post aliam
arundinem ejaculabatur, valde properanti similis.
Inibi etiam Augeæ ingens stabulum præstantis
artificiosum efformatum-erat in invicto scuto,
cui divini profundum amnem Alphei
fortis Hercules derivabat; et passim Nymphæ
stupebant ingens opus. Seorsumque erat taurus
ignem-spirans, quem et ipsum, licet insuperabilis esset,
fregit violenter valido cornu *comprehensum*; amboque
ipsius]invicti brachiorum-musculi connitentis intendebantur,] et hic quidem tanquam mugitum edens erat. At juxta
eum] in clypeo fabricata-erat dearum vestita specie
Hippolyte; et hanc validis manibus
varie-texto cingulo spoliare dum-cupit
detrahebat coma *arreptam* equo ex celeri; seorsum vero
aliæ pavitabant Amazones. Ibi etiam sævæ
Thracia in terra erant Diomedis equæ
virivoræ, quas ad detestanda præsepia
ipso cum rege maligne affecto trucidavit.
Etiam invicti corpus inerat Geryonis
extincti juxta boves, capitaque ejus in pulvere
cruenta hic-illic-jacebant vi clavæ subacta:
ante quem domitus-fuerat canis exitiosissimus aliorum,
Orthrus, tristem æquiparans, vasto robore,
Cerberum, qui ejus erat frater; ac prope jacebat
bubulcus Eurytion fœdatus cruore multo.
Passimque aurea mala effecta-erant rutilantia
Hesperidum per stipitem intactum, ad quem
horrendus prostratus-erat draco: illæ autem huc illuc
trepidantes audacem natum Jovis magni fugiebant.
Adhæc inerat, ingens terror etiam deorum in-oculis,

Κέρβερος, ὅν ῥ' ἀκάμαντι Τυφωέϊ γείνατ' Ἔχιδνα
ἄντρῳ ὑπ' ὀκρυόεντι, μελαίνης ἀγχόθι Νυκτὸς,
ἀμφ' ὀλοῇσι πύλῃσι πολυκλαύτου Ἀΐδαο
εἴργων νεκρὸν ὅμιλον ὑπ' ἠερόεντι βερέθρῳ·
ῥεῖα δέ μιν Διὸς υἱὸς ὑπὸ πληγῇσι δαμάσσας
ἦγε καρηβαρέοντα παρὰ Στυγὸς αἰπὰ ῥέεθρα,
ἕλκων οὐκ ἐθέλοντα βίῃ πρὸς ἀήθεα χῶρον
θαρσαλέως. Ἐτέτυκτο δ' ἀπόπροθεν ἄγκεα μακρὰ
Καυκάσου· ἀμφὶ δὲ δεσμὰ Προμηθέος ἄλλυδις ἄλλα
αὐτῇς σὺν πέτρῃσιν ἀναῤῥήξας ἅμα γυίοις
λῦε μέγαν Τιτῆνα· λυγρὸς δέ οἱ ἀγχόθι κεῖτο
αἰετὸς ἀλγινόεντι δέμας βεβλημένος ἰῷ.
Κενταύρων δ' ἐτέτυκτο πολυσθενέων μέγα κάρτος
ἀμφὶ Φόλοιο μέλαθρον· ἔρις δ' ὀρόθυνε καὶ οἶνος
ἀντίον Ἡρακλῆϊ τεράατα κεῖνα μάχεσθαι·
καί ῥ' οἱ μὲν πεύκῃσι περὶ δμηθέντες ἔκειντο,
τὰς ἔχον ἐν χείρεσσι μάχης ἄκος· οἱ δ' ἔτι μακρῇς
δηριόωντ' ἐλάτῃσι μεμαότες, οὐδ' ἀπέληγον
ὑσμίνης· πάντων δὲ καρήατα δεύετο λύθρῳ
θεινομένων ἀνὰ δῆριν ἀμείλιχον, ὡς ἐτεόν περ·
οἴνῳ δ' αἷμα μέμικτο, συνηλλοίωτο δὲ πάντα
εἴδατα, καὶ κρητῆρες ἐΰξεστοί τε τράπεζαι·
Νέσσον δ' αὖθ' ἑτέρωθε παρὰ ῥόον Εὐήνοιο,
κείνης ἐκπροφυγόντα μάχης, ὑπεδάμνατ' ὀϊστῷ,
ἀμφ' ἐρατῆς ἀλόχοιο χολούμενος. Ἐν δ' ἐτέτυκτο
ὀβρίμου Ἀνταίοιο μέγα σθένος, ὅν ῥα καὶ αὐτὸν,
ἀμφὶ παλαισμοσύνης ἄμοτον περιδηριόωντα,
ὑψοῦ ἀειράμενος κρατερῇς συνέαξε χέρεσσι.
Κεῖτο δ' ἐπὶ προχοῇσιν ἐϋῤῥόου Ἑλλησπόντου
ἀργαλέον μέγα κῆτος ἀμειλίκτοισιν ὀϊστοῖς
βλήμενον· Ἡσιόνης δὲ κακοὺς ἀπελύετο δεσμούς.
Ἄλλα δ' ἄρ' Ἀλκείδαο θρασύφρονος ἄσπετα ἔργα
ἀμφέχεν Εὐρυπύλοιο διοτρεφέος σάκος εὐρύ.
Φαίνετο δ' ἶσος Ἄρηϊ μετὰ στίχας ἀΐσσοντι·
Τρῶες δ' ἀμφιέποντες ἐγήθεον, εὖτ' ἐσίδοντο
τεύχεα τ' ἠδὲ καὶ ἄνδρα θεῶν ἐπιειμένον εἶδος·
τὸν δὲ Πάρις ποτὶ δῆριν ἐποτρύνων προσέειπε·
Χαίρω σεῖο κιόντος, ἐπεί νύ μοι ἦτορ ἔολπεν
Ἀργείους μάλα πάντας ὀϊζυρῶς ἀπολέσθαι
αὐτῇς σὺν νήεσσιν, ἐπεὶ βροτὸν οὔποτε τοῖον
ἔδρακον ἐν Τρώεσσιν ἐϋπτολέμοισί τ' Ἀχαιοῖς·
ἀλλὰ σὺ, πρὸς μεγάλοιο καὶ ὀβρίμου Ἡρακλῆος,
τῷ μέγεθός τε βίην τε καὶ ἀγλαὸν εἶδος ἔοικας,
κείνου μνωόμενος φρονέων τ' ἀντάξια ἔργα
θαρσαλέως Τρώεσσι δαϊζομένοις ἐπάμυνον,
ἤν πως ἀμπνεύσωμεν· ἐπεὶ σέ γε μοῦνον ὀΐω
ἄστεος ὀλλυμένοιο κακὰς ἀπὸ κῆρας ἀλέξαι.
Ἦ μέγ' ἐποτρύνων· ὁ δέ μιν προσεφώνεε μύθῳ·
Πριαμίδη μεγάθυμε, δέμας μακάρεσσιν ἐοικὼς,
ταῦτα μὲν ἀθανάτων ἐνὶ γούνασιν ἐστήρικται,
ὅς τε θάνῃ κατὰ δῆριν ὑπέρβιον ἠὲ σαωθῇ·
ἡμεῖς δ', ὥσπερ ἔοικε, καὶ ὡς σθένος ἐστὶ μάχεσθαι,
στησόμεθα πρὸ πόληος· ἔπειτα δὲ καὶ τόδ' ὀμοῦμαι,
μὴ πρὶν ὑποστρέψειν, πρὶν ἢ κτάμεν ἢ ἀπολέσθαι·

Cerberus, quem indefesso Typhoeo edidit Echidna
sub antro horribili, nigram prope Noctem,
ad exitiales portas lamentosi Orci
coercens exanimem turbam in tenebricoso barathro:
sed facile cum Jovis filius plagis subactum
duxit ægro-capite-nutantem præter Stygis vasta fluenta,
trahens nolentem vi ad insuetum locum
fortiter. Excusæ-erant etiam procul convalles longæ
Caucasi; et *Hercules* vincula Promethei hinc et illinc
ipsis cum scopulis abrumpens simul et membris
solvit magnum Titanem; infestaque prope illum jacebat
aquila vulnifico corpus transfixa jaculo.
Centaurorum etiam efficta-erat prævalidorum magna vis,
ad Pholi ædes; lisque incitabat et merum
monstra illa adversus Herculem ut-pugnarent:
et pars quidem inter piceas prostrati jacebant,
quas tenuerant in manibus *ut* pugnæ remedium, pars adhuc longis] certabant abietibus connitentes, nec desistebant] prœlio, omniumque capita humectabantur cruore
sauciatorum in conflictu crudeli, tanquam reapse;
vinoque sanguis miscebatur, et alterabantur-simul cuncta
fercula crateresque et politæ mensæ.
Nessum autem alibi ad undam Eveni
fuga-elapsum-ex hac pugna, conficiebat sagitta,
ob venustam conjugem succensus. Porro insculptum-erat
violenti Antæi ingens robur, quem etiam ipsum,
secum lucta ferociter contendentem,
alte sublatum validis confregerat manibus
Jacebat porro ad ostia undosi Hellesponti
sæva *et* immanis balæna rigidis sagittis
confixa, Hesionesque dura resolvebat vincula *Hercules*.
Alia insuper Alcidæ magnanimi ardua facinora
continebantur Eurypyli, a-Jove-nutriti, scuto amplo
Videbatur autem par Marti ad ordines *militum* festinanti:
Trojani vero stipantes *eum* lætabantur, cum viderent
arma et virum Deorum indutum forma.
Quem Paris ad certamen instigans *ita* affatus-est:
Gaudeo te abeunte, quoniam mihi animus sperat *fore*
ut-Argivi universi miserrima internecione-deleantur
ipsis cum navibus, quandoquidem virum nunquam talem
vidi inter Trojanos et bellicosos Achivos:
sed tu, per magnum et fortem Herculem,
quem magnitudine viribusque et spectabili forma refers,
illius memor et animo-concipiens digna *illo* facinora
fortiter Trojanis bello-attritis succurrito,
si forte respirare-possimus; siquidem te solum confido
urbis pessum-euntis triste fatum avertere-posse.
Dixit non-leve calcar-*ipsi*-addens. Is vero eum *tali* allocutus-est sermone:] Priamide animose, corpore diis similis,]hæc nempe Deorum in genubus firmiter-reposita-sunt
quis occubiturus-sit in prælio violento vel salvus-evasurus:
nos vero, ut decet et ut possumus pugnare,
stabimus pro civitate. Deinde et hoc juro,
non prius me-reversurum, quam aut cædem-fecerim aut

Ὣς φάτο θαρσαλέως· Τρῶες δ' ἐπὶ μακρὰ χάροντο·
καὶ τοτ' Ἀλέξανδρόν τε καὶ Αἰνείαν ἐρίθυμον,
Πουλυδάμαντά τ' ἐϋμμελίην καὶ Πάμμονα δῖον,
Δηΐφοβόν τ' ἐπὶ τοῖσι καὶ Αἴθικον, ὃς περὶ πάντων
Παφλαγόνων ἐκέκαστο μάχῃ ἔνι τλῆναι ὅμιλον,
τοὺς ἅμα λέξατο πάντας ἐπισταμένους πονέεσθαι,
ὅππως δυσμενέεσσιν ἐνὶ πρώτοισι μάχωνται
ἐν πολέμῳ· μάλα δ' ὦκα κίον προπάροιθεν ὁμίλου·
προφρονέως δ' οἴμησαν ἀπ' ἄστεος· ἀμφὶ δὲ λαοὶ
πολλοὶ ἕπονθ', ὡσεί τε μελισσάων κλυτὰ φῦλα
ἡγεμόνεσσιν ἑοῖσι διηρεφέος σίμβλοιο
ἐκχύμεναι καναχηδὸν, ὅτ' εἴαρος ἦμαρ ἵκηται·
ὣς ἄρα τοῖσιν ἕποντο βροτοὶ ποτὶ δῆριν ἰοῦσι·
τῶν δ' ἄρα νισσομένων πολὺς αἰθέρα δοῦπος ὀρώρει,
αὐτῶν τ' ἠδ' ἵππων· περὶ δ' ἔβρεμεν ἄσπετα τεύχη.
Ὡς δ' ὁπόταν μεγάλοιο βίη ἀνέμοιο θοροῦσα
κινήσῃ προθέλυμνον ἁλὸς βυθὸν ἀτρυγέτοιο,
κύματα δ' ὦκα κελαινὰ πρὸς ἠϊόνας βοόωντα
φῦκος ἀποπτύωσιν, ἐρευγομένοιο κλύδωνος,
ἠχὴ δ' ἀτρυγέτοισι παρ' αἰγιαλοῖσιν ὄρωρεν·
ὣς τῶν ἐσσυμένων μέγ' ὑπέβραχε γαῖα πελώρη.
Ἀργεῖοι δ' ἀπάνευθε πρὸ τείχεος ἐξεχέοντο
ἀμφ' Ἀγαμέμνονα δῖον· ἀϋτὴ δ' ἔπλετο λαῶν,
ἀλλήλοις ἐπικεκλομένων ὀλοοῦ πολέμοιο
ἀντιάαν καὶ μή τι καταπτώσσοντας ἐνιπὴν
μίμνειν πὰρ νήεσσιν ἐπειγομένων μαχέεσθαι.
Τρωσὶ δ' ἄρ' ἐσσυμένοισι συνήντεον, εὖτε βόεσσι
πόρτιες, ἐκ ξυλόχοιο ποτὶ σταθμὸν ἐρχομένῃσιν
ἐκ νομοῦ εἰαρινοῖο κατ' οὔρεος, ὁππότ' ἄρουραι
πυκνὸν τηλεθάουσι, βρύει δ' ἅλις ἄνθεσι γαῖα,
πλήθει δ' αὖτε κύπελλα βοῶν γλάγος ἠδὲ καὶ οἰῶν,
μυκηθμός τε πολὺς μάλ' ὀρίνεται ἔνθα καὶ ἔνθα
μισγομένων, γάνυται δὲ μετά σφισι βουκόλος ἀνήρ·
ὣς τῶν ἀλλήλοισι μετεσσυμένων ὀρυμαγδὸς
ὠρώρει· δεινὸν γὰρ ἀΰτεον ἀμφοτέρωθεν.
Σὺν δὲ μάχην ἐτάνυσσαν ἀπείριτον· ἐν δὲ κυδοιμὸς
στρωφᾶτ' ἐν μέσσοισι μετ' ἀργαλέοιο φόνοιο·
σὺν δ' ἔπεσον ῥινοί τε καὶ ἔγχεα καὶ τρυφάλειαι
πλησίον· ἀμφὶ δὲ χαλκὸς ἴσον πυρὶ μαρμαίρεσκεν·
φρίξε δ' ἄρ' ἐγχείῃσι μάχη· περὶ δ' αἵματι πάντῃ
δεύετο γαῖα μέλαινα δαϊζομένων ἡρώων
ἵππων τ' ὠκυπόδων, οἵ θ' ἅρμασιν ἀμφεκέχυντο,
οἱ μὲν ἔτ' ἀσπαίροντες ὑπ' ἔγχεσιν, οἱ δ' ἐφύπερθεν
πίπτοντες· στυγερὴ δὲ δι' ἠέρος ἔσσυτ' ἀϋτή·
ἐν γὰρ δὴ χάλκειος ἔρις πέσεν ἀμφοτέροισι.
Καί ῥ' οἱ μὲν λάεσσιν ἀταρτηρῶς ἐμάχοντο·
οἱ δ' αὖτ' αἰγανέῃσι νεηκέσιν ἠδὲ βέλεσσιν·
ἄλλοι δ' ἀξίνῃσι καὶ ἀμφιτόμοις πελέκεσσι
καὶ κρατεροῖς ξιφέεσσι καὶ ἀγχεμάχοις δοράτεσσιν·
ἄλλος δ' ἄλλο χέρεσσι μάχης ἀλκτήριον εἶχε.
Πρῶτοι δ' Ἀργεῖοι Τρώων ὤσαντο φάλαγγας
βαιὸν ἀπὸ σφείων· τοὶ δ' ἔμπαλιν ὁρμήσαντες
αἵματι δεῦον Ἄρηα, μετ' Ἀργείοισι θορόντες·
Εὐρύπυλος δ' ἐν τοῖσι, μελαίνῃ λαίλαπι ἶσος,

mortem-oppetierim.] Sic ait fidenter, Troesque super *hoc*
valde gaudebant.] Et tunc Alexandrum et Æneam cordatum
ac Polydamantem hasta-bonum Pammonaque clarum,
et Deiphobum cum his Æthicumque, qui præ omnibus
Paphlagonibus pollens-erat in pugna sustinere agmen *hostile*,] hos simul legit omnes gnaros pugnandi,
ut hostium cum primoribus dimicarent
in pugna: citato igitur præcesserunt in-primam aciem,
promptisque-animis eruperunt ex urbe, ac cohortes
plurimæ secutæ-sunt, ceu apum nobiles gentes
reges suos *sequuntur* ex bene-tectis alvearibus
effusæ cum-strepitu, ubi veris tempus advenit
ita illos secuti-sunt viri ad conflictum egressos.
Quorum incessu ingens ad-æthera fragor surgebat,
ab-ipsis et equis, circumque strepitabant firmissima arma.
Ut, cum magni vis venti ingruens
moverit ex-imo maris gurgitem infrugiferi,
fluctusque subito nigri ad littora cum-sonore
fucum-marinum exspuunt, eructante fluctuum-æstu,
fremitusque *undarum* inculta juxta littora oritur:
sic illis imminentibus valde resonabat tellus vasta.
Argivi autem alibi ante murum confluebant
circa Agamemnonem præclarum, clamorque erat hominum
sese-invicem exhortantium, sævum belli-conflictum
ut-capesserent et ne trementes minas
manerent apud naves impellentium ad-pugnam.
Trojanis igitur irruentibus occursarunt, ceu vaccis
vituli, e silva ad stabulum redeuntibus
ex pascuis vernis de monte, quando arva
confertim germinant, et scatet copiose floribus terra,
plena-reddit etiam cymbia vaccarum lac atque ovium,
mugitusque ingens oritur hic et illic,
dum-coeunt; exultat igitur inter illas armentarius vir:
ita illis inter-se congredientibus fremitus
excitatus-est; horrendum enim vociferabantur utrinque.
Pugnam itaque conserebant ingentem, et tumultus
versabatur in medio cum atroci cæde,
concursabantque clypei et hastæ et galeæ
cominus, et undequaque æs velut ignis fulgebat,
inhorrebatque lanceis pugna, et sanguine circumquaque
rigabatur tellus nigra trucidatorum heroum
equorumque velocipedum, qui curribus circumfusi-jacebant,] alii adhuc palpitantes sub hastis, alii super
strati, fœdusque per aera circumferebatur vapor
nam ænea lis invaserat utrosque.
Pars equidem lapidibus ferociter pugnabant,
pars rursus jaculis acutis et sagittis,
alii asciis et quæ-utrinque-feriunt securibus,
validisque gladiis ac cominus-pugnam-cientibus hastis:
aliusque aliud manibus pugnæ tutamen tenebat.
Primi autem Argivi Troum repulerunt phalanges
pauxillum a sese: verum hi vicissim impetu-facto
sanguine madefecerunt Martem, in Argivos cum-irruissent
Eurypylus autem inter hos, nigro turbini similis,

λαὸν ἐπῴχετο πάντα καὶ Ἀργείους ἐνάριζε
θαρσαλέως· μάλα γάρ οἱ ἀάσχετον ὤπασε κάρτος
Ζεὺς ἐπίηρα φέρων ἐρικυδέϊ Ἡρακλῆϊ.
Ἔνθ' ὅγε καὶ Νιρῆα, θεοῖς ἐναλίγκιον ἄνδρα,
μαρνάμενον Τρώεσσι βάλεν περιμήκεϊ δουρὶ
βαιὸν ὑπὲρ πρότμησιν· ὁ δ' ἐς πέδον ἤριπε γαίης·
ἐκ δέ οἱ αἷμ' ἐχύθη, δεύοντο δέ οἱ κλυτὰ τεύχη·
δεύετο δ' ἀγλαὸν εἶδος ἅμ' εὐθαλέεσσι κόμῃσι·
κεῖτο γὰρ ἐν κονίῃσι καὶ αἵματι σὺν κταμένοισιν,
ἔρνος ὅπως ἐριθηλὲς ἐλαίης εὐκεάτοιο,
ἥν τε βίη ποταμοῖο κατὰ ῥόον ἠχήεντα
σύν τ' ὄχθῃς ἐλάσῃσι, βόθρον διὰ πάντα κεδάσσας
ῥιζόθεν· ἡ δ' ἄρα κεῖται ὑπ' ἄνθεσι βεβριθυῖα·
ὣς τῆμος Νιρῆος ἐπὶ χθονὸς ἄσπετον οὖδας
ἐξεχύθη δέμας ἠὺ καὶ ἀγλαΐη ἐρατεινή·
τῷ δ' ἄρ' ἔπ' Εὐρύπυλος μεγάλ' εὔχετο δηωθέντι·
Κεῖσό νυν ἐν κονίῃσιν, ἐπεί νύ τοι εἶδος ἀγητὸν
οὔτι λιλαιομένῳ περ ἐπήρκεσεν, ἀλλά σ' ἔγωγε
νοσφισάμην βιότοιο, λιλαιόμενόν περ ἀλύξαι·
σχέτλιος, οὐδ' ἐνόησας ἀμείνονος ἀντίον ἐλθών·
οὐ γὰρ κάρτεϊ κάλλος ἀνὰ κλόνον ἰσοφαρίζει.
Ὣς εἰπὼν κταμένοιο περικλυτὰ τεύχε' ἑλέσθαι
μήδετ' ἐπεσσύμενος· τοῦ δ' ἀντίος ἦλθε Μαχάων,
χωόμενος Νιρῆος, ὅ οἱ σχεδὸν αἶσαν ἀνέτλη·
δουρὶ δέ μιν στονόεντι κατ' εὐρέος ἤλασεν ὤμου
δεξιτεροῦ, σύτο δ' αἷμα, πολυσθενέος περ ἐόντος·
ἀλλ' οὐδ' ὣς ἀπόρουσεν ἀταρτηροῖο κυδοιμοῦ,
ἀλλ' ὥς τίς τε λέων ἢ ἄγριος οὔρεσι κάπρος
μαίνετ' ἐνὶ μέσσοισιν, ἕως κ' ἐπιόντα δαμάσσῃ,
ὅς ῥά μιν οὔτασε πρῶτος ὑποφθάμενος δι' ὁμίλου·
τὰ φρονέων ἐπόρουσε Μαχάονι· καί ῥά μιν ὦκα
οὔτασεν ἐγχείῃ περιμήκεΐ τε στιβαρῇ τε,
δεξιτερὸν κατὰ γλουτόν. Ὁ δ' οὐκ ἀνεχάζετ' ὀπίσσω,
οὐδ' ἐπιόντ' ἀλέεινε, καὶ αἵματος ἐσσυμένοιο·
ἀλλ' ἄρα καρπαλίμως περιμήκεα λᾶαν ἀείρας
κάββαλε κὰκ κεφαλὴν μεγαθύμου Τηλεφίδαο·
τοῦ δὲ κόρυς στονόεντα φόνον καὶ κῆρ' ἀπάλαλκεν
ἐσσυμένως. Ὁ δ' ἔπειτα κραταιῷ χώσατο φωτὶ
Εὐρύπυλος μεγάθυμος, ἰδ' ἀσχαλόων ἐνὶ θυμῷ
ὠκὺ διὰ στέρνοιο Μαχάονος ἤλασεν ἔγχος·
αἰχμὴ δ' αἱματόεσσα μετάφρενον ἄχρις ἵκανεν·
ἤριπε δ' ὡς ὅτε ταῦρος ὑπὸ γναθμοῖο λέοντος·
ἀμφὶ δέ οἱ μελέεσσι μέγ' ἔβραχεν αἰόλα τεύχη.
Εὐρύπυλος δέ οἱ αἶψα πολύστονον εἰρύσατ' αἰχμὴν
ἐκ χροὸς οὐταμένοιο· καὶ εὐχόμενος μέγ' ἄϋτει·
Ἆ δεῖλ', οὔ νύ τοι ἦτορ ἀρηράμενον φρεσὶ πάμπαν
ἔπλετ', ὃς οὐτιδανός περ ἐών, μέγ' ἀμείνονι φωτὶ
ἄντα κίες· τῷ καί σε κακὴ λάχε δαίμονος αἶσα·
ἀλλά σοι ἔσσετ' ὄνειαρ, ὅτ' οἰωνοὶ δατέονται
σάρκα τεὴν κταμένοιο κατὰ μόθον· ἢ ἔτ' ἔλπῃ
νοστήσειν καὶ ἐμεῖο μένος καὶ χεῖρας ἀλύξειν;
ἐσσὶ μὲν ἰητήρ, μάλα δ' ἤπια φάρμακα οἶδας·
τοῖς πίσυνος τάχ' ἔολπας ὑπεκφυγέειν κακὸν ἦμαρ·
ἀλλ' οὐ μὰν οὐδ' αὐτὸς ἀπ' ἠερόεντος Ὀλύμπου

exercitum aggrediebatur totum et Argivos trucidabat
strenue: valde enim ei concitatum dederat robur
Juppiter, gratum-officium præstans nobilissimo Herculi.
Hic idem etiam Nirea, Diis similem virum,
dimicantem cum-Trojanis trajecit longa hasta
paululum supra umbilicum: qui ad solum procubuit terræ;
eique sanguis effusus-est, et conspersa-sunt insignia arma;
maduit etiam splendida facies cum florida cæsarie;
jacebat enim in pulvere et sanguine inter mortuos,
planta ceu florida oleæ fissilis,
quam impetus fluvii vortice sonoro
una-cum ripa abripit, scrobem totam dissipans
radicitus, illaque jacet floribus onusta:
non-aliter tunc Nirei ad telluris vastum solum
prostratum-erat corpus insigne, et pulcritudo amabilis
cui Eurypylus admodum insultabat cæso:

Jaceto nunc in pulvere, siquidem tibi forma suspicienda
nihil, quamlibet exoptanti, profuit; sed te ego
spoliavi vita, utut cuperes elabi.
Improbe, non animadvertisti *te* cum præstantiore congressum:] non enim cum-robore pulcritudo in conflictu paria
-facit.] Ita fatus cæsi præclara arma auferre
destinabat irruens: sed contra eum venit Machaon
ira-commotus ob-Nireum, qui illum proxime fato concesserat:] hasta igitur eum luctifica in lato perculit humero
dextro, emanavitque cruor *ejus*, quamvis fortissimus esset;
sed-tamen ne-sic quidem profugit ex-prœlio atroci;
imo, ut leo quispiam aut agrestis in montibus aper
sævit inter medios *venatores*, donec invadentem straverit,
qui eum vulneravit princeps prævertens in turba:
ita affectus irruit in-Machaonem, atque eum subito
sauciavit hasta prælonga gravique
dextera in clune. Neque is tamen pedem-tulit retro,
nec adorientem declinavit, tametsi sanguis copiose-proflueret;] sed extemplo grandem lapidem sublatum
rotavit in caput magnanimi Telephidæ,
cujus galea luctuosam necem et pestem repuli
continuo. Inde forti succensuit viro
Eurypylus magnanimus, graviterque-commotus animo
statim per pectus Machaonis adegit hastam;
et cuspis cruenta ad-dorsum usque pervenit,
ac stratus-est veluti taurus maxilla leonis,
circumque ejus membra valde crepitarunt varia arma.
Eurypylus autem illi statim luctificam extraxit hastam
e corpore sauciato, et jactabundus magna voce-exclamavit:

Infelix! nequaquam tibi animus firma ratione
constitit, qui invalidus cum sis, longe fortiori viro
occurristi: ideo et te infelix sibi-vendicavit genii fatum.
Sed *hic* tibi erit fructus, quod alites devorabunt
carnem tuam cæsi in acie; an adhuc speras
te-reversurum et meam vim atque manus effugiturum?
es quidem medicus, et mitissima remedia novisti,
quibus fretus forte speras te-evasurum exitialem diem:
verum profecto nec ipse ab aerio Olympo

σεῖο πατὴρ τεὸν ἦτορ ἔτ' ἐκ θανάτοιο σαώσει,
οὐδ' εἴ τοι νέκταρ τε καὶ ἀμβροσίην καταχεύῃ.
Ὣς φάτο· τὸν δ' ὅγε βαιὸν ἀναπνείων προσέειπεν·
Εὐρύπυλ', οὐδ' ἄρα σοί γε πολὺν χρόνον αἴσιμόν
ζώειν, ἀλλά σοι ἄγχι παρίσταται οὐλομένη Κὴρ [ἐστι
Τρώϊον ἂμ πεδίον, τῷ περ νῦν αἴσυλα ῥέζεις.
Ὣς φάμενον λίπε θυμός· ἔβη δ' ἄφαρ Ἄϊδος εἴσω.
Τὸν δὲ, καὶ οὐκ ἔτ' ἐόντα, προσηύδα κύδιμος ἀνήρ·
Νῦν μὲν δὴ σύ γε κεῖσο κατὰ χθονός· αὐτάρ ἔγωγε
ὕστερον οὐκ ἀλέγω, καὶ εἰ παρὰ ποσσὶν ὄλεθρος
σήμερον ἡμετέροισι πέλει λυγρός· οὔτι γὰρ ἄνδρες
ζώομεν ἤματα πάντα· πότμος δ' ἐπὶ πᾶσι τέτυκται.
Ὣς εἰπὼν οὔταζε νέκυν· μέγα δ' ἴαχε Τεῦκρος,
ὡς ἴδεν ἐν κονίῃσι Μαχάονα· τοῦ γὰρ ἄπωθεν
εἱστήκει μάλα πάγχυ πονεύμενος. Ἐν γὰρ ἔκειτο
δῆρις ἐνὶ μέσσοισιν· ἐπ' ἄλλῳ δ' ἄλλος ὀρώρει·
ἀλλ' οὐδ' ὣς ἀμέλησε δεδουπότος ἀνδρὸς ἀγαυοῦ,
Νιρῆός τ', ὃς κεῖτο παρ' αὐτόθι· τὸν δ' ἐνόησεν
ὕστερον ἀντιθέοιο Μαχάονος ἐν κονίῃσιν.
Αἶψα δ' ὅγ' Ἀργείοισιν ἐκέκλετο μακρὰ βοήσας·
Ἔσσυσθ' Ἀργεῖοι, μηδ' εἴκετε δυσμενέεσσιν
ἐσσυμένοις· νῶϊν γὰρ ἀάσπετον ἔσσετ' ὄνειδος,
αἴκε Μαχάονα δῖον ἅμ' ἀντιθέῳ Νιρῆϊ
Τρῶες ἐρυσσάμενοι ποτὶ Ἴλιον ἀπονέωνται.
Ἀλλ' ἄγε δυσμενέεσσι μαχώμεθα πρόφρονι θυμῷ,
ὄφρα δαϊκταμένους εἰρύσομεν, ἢ ῥα καὶ αὐτοὶ
κείνοις ἀμφὶ θάνωμεν, ἐπεὶ θέμις ἀνδράσιν αὕτη,
οἷσιν ἀμυνέμεναι, μηδ' ἄλλοις κύρμα γενέσθαι·
οὐ γὰρ ἀνιδρωτί γε μετ' ἀνδράσι κῦδος ἀέξει.
Ὣς ἄρ' ἔφη· Δαναοῖσι δ' ἄχος γένετ'· ἀμφὶ δ' ἄρ'
πολλοὶ γαῖαν ἔρευθον ὑπ' Ἄρεϊ δῃωθέντες [αὐτοῖς
μαρναμένων ἑκάτερθεν· ἴση δ' ἐπὶ δῆρις ὀρώρει.
Ὀψὲ δ' ἀδελφειοῖο φόνον στονόεντα νόησεν
βλημένου ἐν κονίῃ Ποδαλείριος, οὕνεκα νηυσὶν
ἧστο παρ' ὠκυπόροισι, τετυμμένα δούρατι φωτῶν
ἕλκη ἀκειόμενος· περὶ δ' ἔντεα δύσατο πάντα
θυμὸν ἀδελφειοῖο χολούμενος· ἐν δέ οἱ ἀλκὴ
σμερδαλέον στέρνοισιν ἀέξετο μαιμώωντι
ἐς πόλεμον στονόεντα· μέλαν δέ οἱ ἔζεεν αἷμα
λάβρον ὑπὸ κραδίῃ· τάχα δ' ἔνθορε δυσμενέεσσι,
χερσὶ θοῇσιν ἄκοντα τανυγλώχινα τινάσσων.
Εἷλε δ' ἄρ' ἐσσυμένως Ἀγαμήστορος υἷεα δῖον
Κλεῖτον, ὃν ἠΰκομος Νύμφη τέκεν ἀμφὶ ῥεέθροις
Παρθενίου, ὅς τ' εἶσι διὰ χθονὸς, ἠΰτ' ἔλαιον,
πόντον ἐπ' Εὔξεινον προχέων καλλίρροον ὕδωρ·
ἄλλον δ' ἀμφὶ κασιγνήτῳ κτάνε δήϊον ἄνδρα
Λάσσον, ὃν ἀντίθεος Προνόη τέκεν ἀμφὶ ῥεέθροις
Νυμφαίου ποταμοῖο, μάλα σχεδὸν εὐρέος ἄντρου,
ἄντρου θηητοῖο, τὸ δὴ φάτις ἔμμεναι αὐτῶν
ἱρὸν Νυμφάων, ὁπόσαι περὶ μακρὰ νέμονται
οὔρεα Παφλαγόνων, καὶ ὅσαι περὶ βοτρυόεσσαν
ναίουσ' Ἡράκλειαν· ἔοικε δὲ κεῖνο θεοῖσιν
ἄντρον, ἐπεί ῥα τέτυκται ἀπειρέσιον μὲν ἰδέσθαι
λάϊνεον, ψυχρὸν δὲ διὰ σπέος ἔρχεται ὕδωρ,

tuus pater (*Æsculapius*) tuum cor amplius a morte servabit,] etiamsi tibi nectar et ambrosiam affundat.
Sic ait. Huic vero ille *adhuc* modicum spirans respondit:
Eurypyle, nec tibi longum tempus a-fatis-concessum est
vivere, sed tibi prope adstat letalis Mors
Trojano in campo, in-quo nunc nefaria committis
Ita fantem deseruit animus, et migravit subito in Orcum.
Quem, licet non jam superstitem, compellavit præclarus vir:
Nunc tu quidem jaceas in terra; ego vero
de-futuris non sum-anxius, etiamsi ante pedes exitium
nostros hodie sit funestum: non enim *nos* homines
vivimus omni tempore, sed mors cunctis destinata-est.
Sic locutus vulnus-intulit cadaveri. Exclamavit autem
Teucer,] ut vidit in pulvere Machaonem, a quo procul
stabat admodum strenue rem-gerens. Incumbebat enim
contentio in-media-acie-versantibus, et in alium alius inferebatur:] at nec ita neglexit interfectum virum nobilem,
Nireumque, qui jacebat prope, quem cognovit
post egregium Machaonem in pulvere.
Statim igitur Argivos exstimulavit magno clamore:
Properate Argivi, neve cedite hostibus
ingruentibus; nobis enim enormi erit probro,
si Machaonem divum cum formosissimo Nireo
Troes abstraxerint-et ad Ilium redierint.
Verum agite cum hostibus pugnemus impenso studio
ut cæsos eripiamus, aut ipsi etiam
pro illis occumbamus, quia lex hominibus hæc *est*,
ut-suos defendant, ne aliis prædæ fiant:
non enim absque-sudore inter homines gloria paratur.
Sic ait. At Danai ægre tulerunt, et circum illos
multi terram *sanguine* tinxerunt Marte (*in bello*) trucidati
pugnantium utrobique, et æqua pugna fuit.
Tandem fratris necem luctificam rescivit
dejecti in pulverem Podalirius, quia naves
residebat ad veloces, inflicta hastis militum
vulnera medicans. Quare arma induit omnia
ira propter-fratrem inflammatus; et ei robur
immane in-pectore crevit festinanti
ad bellum triste, nigerque ipsi æstuavit sanguis
vehementer in corde, subitoque irruit in-hostes,
palmis agilibus pilum longa-cuspide crispans.
Atque necavit statim Agamestoris filium nobilem,
Clitum, quem pulcricoma Nympha peperit ad fluenta
Parthenii, qui labitur per terram, tanquam oleum,
in pontum Euxinum exonerans pulcrifluam undam;
alterum etiam prope fratrem trucidavit inimicum virum,
Lassum, quem deæ-similis Pronoe edidit juxta alveum
Nymphæi amnis, proxime capacem specum,
specum *illam* mirabilem, quam fama *refert* esse ipsarum
templum Nympharum, quotquot in arduis versantur
montibus Paphlagonum, et quæ circum racemosam
degunt Heracleam; et convenit illud diis
antrum, quia est vasto adspectu,
lapideum*que*, et frigida per speluncam labitur unda,

κρυστάλλῳ ἀτάλαντον, ἐνὶ μυχάτοισι δὲ πάντη
λαίνεοι κρητῆρες ἐπὶ στυφελῇσι πέτρῃσιν,
αἰζηῶν ὡς χερσὶ τετυγμένοι, ἰνδάλλονται·
ἀμφ' αὐτοῖσι δὲ Πᾶνες ὁμῶς Νύμφαι τ' ἐρατειναί,
ἱστοί τ' ἠλακάται τε καὶ ἄλλ' ὅσα τεχνήεντα
ἔργα πέλει θνητοῖσι, τὰ καὶ πέρι θαῦμα βροτοῖσιν
εἴδεται ἐρχομένοισιν ἔσω ἱεροῖο μυχοῖο·
τῷ ἔνι δοιαὶ ἔνεισι καταιβασίαι τ' ἄνοδοί τε,
ἡ μὲν πρὸς Βορέαο τετραμμένη ἠχήεντος
πνοιάς, ἡ δὲ Νότοιο κατ' ἀντίον ὑγρὸν ἀέντος·
τῇ θνητοὶ νίσσονται ὑπὸ σπέος εὐρὺ θεάων,
ἡ δ' ἑτέρη μακάρων πέλεται ὁδὸς, οὐδέ μιν ἄνδρες
ῥηϊδίως πατέουσιν, ἐπεὶ χάος εὐρὺ τέτυκται
μέχρις ἐπ' Ἀϊδονῆος ὑπερθύμοιο βέρεθρον·
ἀλλὰ τὰ μὲν μακάρεσσι πέλει θέμις εἰσοράασθαι.
Ἀμφὶ Μαχάονα δ' ἐσθλὸν ἰδ' Ἀγλαΐης κλυτὸν υἷα
μαρναμένων ἑκάτερθεν ἀπέφθιτο πουλὺς ὅμιλος·
ὀψὲ δὲ δὴ Δαναοί σφεας εἴρυσαν, ἀθλήσαντες
πολλά περ· αἶψα δὲ νῆας ἐπὶ σφετέρας ἐκόμισσαν
παῦροι· ἐπεὶ πλεόνεσσι κακὴ περιπέπτατ' ὀϊζὺς
ἀργαλέου πολέμοιο· πόνῳ δ' ἐνέμιμνον ἀνάγκῃ.
Ἀλλ' ὅτε δὴ μάλα πολλοὶ ἐνεπλήσαντο κελαινὰς
Κῆρας ἀν' αἱματόεντα καὶ ἀλγινόεντα κυδοιμὸν,
δή ῥα τότ' Ἀργείων πολέες φύγον ἔνδοθι νηῶν,
ὅσσους Εὐρύπυλος μέγ' ἐπῴχετο πῆμα κυλίνδων·
παῦροι δ' ἀμφ' Αἴαντα καὶ Ἀτρέος υἷε κραταιὼ
μίμνον ἐν ὑσμίνῃ. Καὶ δὴ τάχα πάντες ὄλοντο
δυσμενέων παλάμῃσι περιστροφέοντες ὁμίλῳ,
εἰ μὴ Ὀϊλέος υἱὸς ἐΰφρονα Πουλυδάμαντα
ἔγχεϊ τύψε παρ' ὦμον ἀριστερὸν ἀγχόθι μαζοῦ·
ἐκ δέ οἱ αἷμ' ἐχύθη· ὁ δ' ἐχάσσατο τυτθὸν ὀπίσσω.
Δηΐφοβον δ' οὔταζε περικλειτὸς Μενέλαος
δεξιτερὸν παρὰ μαζόν· ὁ δ' ἔκφυγε ποσσὶ θοοῖσιν.
Ἔνθ' Ἀγαμέμνων δῖος ἐνήρατο πουλὺν ὅμιλον
πληθύος ἐξ ὀλοῆς· μετὰ δ' Αἴθικον ᾤχετο δῖον
θύων ἐγχείῃσιν· ὁ δ' εἰς ἑτάρους ἀλέεινε.
Τοὺς δ' ὁπότ' Εὐρύπυλος λαοσσόος εἰσενόησε
χαζομένους ἅμα πάντας ἀπὸ στυγεροῖο κυδοιμοῦ,
αὐτίκα κάλλιπε λαὸν, ὅσον κατὰ νῆας ἔλασσεν·
καί ῥα θοῶς οἴμησεν ἐπ' Ἀτρέος υἷε κραταιὼ
παῖδά τε καρτερόθυμον Ὀϊλέος, ὃς περὶ μὲν θεῖν
ἔσκε θοὸς, πέρι δ' αὖτε μάχῃ ἔνι φέρτατος ἦεν.
Τοῖς ἔπι καρπνὸν ὄρουσεν ἔχων περιμήκετον ἔγ-
χος· σὺν δέ οἱ ἦλθε Πάρις τε καὶ Αἰνείας ἐρίθυμος,
ὅς ῥα θοῶς Αἴαντα βάλεν περιμηκεϊ πέτρῃ
κὰκ κόρυθα κρατερήν· ὁ δ' ἄρ' ἐν κονίῃσι τανυσθεὶς
ψυχὴν οὔτι κάπυσσεν, ἐπεί νύ οἱ αἴσιμον ἦμαρ
ἐν νόστῳ ἐτέτυκτο Καφηρίσιν ἀμφὶ πέτρῃσι·
καί ῥά μιν ἁρπάξαντες ἀρηΐφιλοι θεράποντες
βαιὸν ἔτ' ἀμπνείοντα φέρον ποτὶ νῆας Ἀχαιῶν.
Καὶ τότ' ἄρ' οἰώθησαν ἀγακλειτοὶ βασιλῆες
Ἀτρεΐδαι· πὰρ δέ σφιν ὀλέθριος ἵσταθ' ὅμιλος
βαλλόντων ἑκάτερθεν, ὅ τι σθένε χερσὶν ἑλέσθαι·
οἱ μὲν γὰρ στονόεντα βέλη χέον, οἱ δέ νυ λᾶας,

glaciei comparanda, inque penetralibus passim
saxei crateres super rigidis scopulis,
hominum tanquam manibus facti, conspiciuntur;
et prope hos Panes simul Nymphæque amabiles,
fusique colique et si-quæ alia fabrefacta
opera sunt mortalibus, quæ magnum miraculum hominibus
videntur descendentibus in sacrum penetrale,
in quo duo sunt descensus et ascensus,
alter ad Aquilonis spectans sonori
flatum, alter Austro obversus humide spiranti,
ubi mortales subeunt lustrum latipatens Divarum,
alter autem Deorum est via, nec illum homines
facile calcant, cum vorago profunda *illic* sit
usque ad Plutonis severi barathrum:
hoc igitur Divis *tantum* est fas contemplari.
Circa Machaonem autem bonum et Aglaiæ clarum natum
pugnantium utrobique occumbebat magna caterva:
sero tandem Danai ipsos extorserunt, luctati
multum, et statim ad naves suas transtulerunt
pauci; nam plerosque improba circumvolabat ærumna
difficilis conflictus, inque labore persistebant necessitate
adacti.] Cum igitur permulti exsatiassent atras
Deas-fatales in sanguinolento et luctifico prœlio
tum Argivum multi fugam-ceperunt in naves,
quos Eurypylus valde urgebat cladem advolvens,
paucique circa Ajacem et Atrei natos fortes
manserunt in acie. Et sane omnes periissent
hostium manibus, versantes in-turba *illa*,
nisi Oilei filius consultum Polydamantem
hasta percussisset in humerum dextrum juxta papillam,
ita-ut ejus sanguis erumperet, ipseque cederet paululum
retro.] Deiphobum etiam vulneravit gloria-præstans Me-
nelaus] dexteram circa mammam, qui effugit pedibus cita-
tis.] Ibi Agamemnon illustris trucidavit magnam catervam
de multitudine hostili, et Æthicum adortus-est nobilem
ferociens hasta; sed is inter socios se-abscondidit.
Quos ubi Eurypylus populi-servator vidit
excedere simul universos infelici conflictu,
repente reliquit agmen, quod ad naves depulerat,
et subito impetum-fecit in Atrei natos fortes
prolemque animosam Oilei, qui imprimis ad-currendum
erat velox, longeque etiam in pugna præstantissimus erat.
In hos rapide incurrit gerens prælongam hastam;
cumque eo venerunt Paris et Æneas acer,
qui statim Ajacem perculit grandi saxo
in galea firmata; is igitur in pulverem extentus
animam nondum efflavit, quia ipsi fatalis dies
in reditu destinata-erat Caphareas juxta rupes:
atque ipsum tollentes Mavortii satellites
modice adhuc spirantem portarunt ad naves Achivum.
Et tunc præsidio-nudabantur illustres imperatores
Atridæ, eisque pernicialis instabat globus
jaculantium utrinque, quodcunque poterat manibus com-
prehendi:]pars enim stridentia tela fundebant, pars lapides,

ἄλλοι δ' αἰγανέας· τοὶ δ' ἐν μέσσοισιν ἐόντες
στρωφῶντ', εὖτε σύες μέσῳ ἕρκεϊ ἠὲ λέοντες
ἤματι τῷ, ὅτ' ἄνακτες ἀολλίσσωσ' ἀνθρώπους
ἀργαλέως τ' εἴλωσι, κακὸν τεύχοντες ὄλεθρον
θηρσὶν ὑπὸ κρατεροῖς· οἱ δ' ἕρκεος ἐντὸς ἐόντες
δμῶας δαρδάπτουσιν, ὅ τις σφίσιν ἐγγὺς ἵκηται·
ὣς οἵγ' ἐν μέσσοισιν ἐπεσσυμένους ἐδάϊζον.
Ἀλλ' οὐδ' ὣς μένος εἶχον, ἐελδόμενοί περ, ἀλύξαι,
εἰ μὴ Τεῦκρος ἵκανε, καὶ Ἰδομενεὺς ἐρίθυμος
Μηριόνης τε Θόας τε καὶ ἰσόθεος Θρασυμήδης·
οἵ ῥα πάρος φοβέοντο θρασὺ σθένος Εὐρυπύλοιο,
καί κε φύγον κατὰ νῆας, ἀλευάμενοι βαρὺ πῆμα,
εἰ μὴ ἄρ' Ἀτρείδῃσι περιδδείσαντες ἵκοντο
ἄντην Εὐρυπύλοιο· μάχη δ' ἀΐδηλος ἐτύχθη.
Ἔνθα τότ' Αἰνείαο κατ' ἀσπίδος ἔγχος ἔρεισε
Τεῦκρος ἐϋμμελίης· τοῦ δ' οὐ χρόα καλὸν ἴαψεν·
ἤρκεσε γάρ οἱ πῆμα σάκος μέγα τετραβόειον·
ἀλλὰ καὶ ὣς δείσας ἀνεχάσσατο τυτθὸν ὀπίσσω.
Μηριόνης δ' ἐπόρουσεν ἀμύμονι Λαοφόωντι
Παιονίδῃ, τὸν ἐγείνατ' ἐϋπλόκαμος Κλεομήδη
Ἀξιοῦ ἀμφὶ ῥέεθρα· κίεν δ' ὅγ' ἐς Ἴλιον ἱρὴν
Τρωσὶν ἀρηξέμεναι μετ' ἀμύμονος Ἀστεροπαίου·
τὸν δ' ἄρα Μηριόνης νύξ' ἔγχεϊ ὀκριόεντι
αἰδοίων ἐφύπερθε· θοῶς δέ οἱ εἴρυσεν αἰχμὴ
ἔγκατα· τοῦ δ' ὤκιστα ποτὶ ζόφον ἔσσυτο θυμός.
Αἴαντος δ' ἄρ' ἑταῖρος Ὀϊλιάδαο δαΐφρων,
Ἀλκιμέδης, ἐς ὅμιλον ἐϋσθενέων βάλε Τρώων·
ἧκε δ' ἐπευξάμενος δηΐων ἐς φύλοπιν αἰνὴν
σφενδόνῃ ἀλγινόεντα λίθον· διὰ δ' ἔτρεσαν ἄνδρες,
ῥοῖζον ὁμῶς καὶ λᾶα περιδδείσαντες ἰόντα·
τὸν δ' ὀλοὴ φέρε Μοῖρα ποτὶ θρασὺν ἡνιοχῆα
Πάμμονος Ἱππασίδην· τὸν δ' ἡνία χερσὶν ἔχοντα
πλῆξε κατὰ κροτάφοιο· θοῶς δέ μιν ἔκβαλε δίφρου
πρόσθεν ἑοῖο τροχοῖο, θοὸν δέ οἱ ἅρμα πεσόντος
λυγρὸν ἐπισσώτροισι δέμας διελίσσετ', ὀπίσσω
ἵππων ἱεμένων· θάνατος δέ μιν αἰνὸς ἐδάμνα
ἐσσυμένως, μάστιγα καὶ ἡνία νόσφι λιπόντα.
Πάμμονι δ' ἔμπεσε πένθος· ἄφαρ δέ ἑ θῆκεν ἀνάγκη
ἄμφω, καὶ βασιλῆα, καὶ ἡνιοχεῖν θοὸν ἅρμα·
καὶ νύ κεν αὐτοῦ κῆρα καὶ ὕστατον ἦμαρ ἀνέτλη,
εἰ μή οἱ Τρώων τις ἀνὰ κλόνον αἱματόεντα
ἡνία δέξατο χερσὶ καὶ ἐξεσάωσεν ἄνακτα,
ἤδη τειρόμενον δηΐων ὀλοῇσι χέρεσσιν.
Ἀντίθεον δ' Ἀκάμαντα κατάντιον ἀΐσσοντα
Νέστορος ὄβριμος υἱὸς ὑπὲρ γόνυ δούρατι τύψεν·
ἕλκεϊ δ' οὐλομένῳ στυγερὰς ὑπεδύσατ' ἀνίας·
χάσσατο δ' ἐκ πολέμοιο· λίπεν δ' ἑτάροισι κυδοιμὸν
δακρυόεντ'· οὐ γάρ οἱ ἔτι πτολέμοιο μεμήλει.
Καὶ τότε δὴ θεράπων ἐρικυδέος Εὐρυπύλοιο
τύψε Θόαντος ἑταῖρον, Ἐχέμμονα δηριόωντα,
ὤμου τυτθὸν ἔνερθε· περὶ κραδίην δέ οἱ ἔγχος
ἷξεν ἀνιηρόν· σὺν δ' αἵματι κήκιεν ἱδρὼς
ψυχρὸς ἀπὸ μελέων· καί μιν στρεφθέντα φέρεσθαι
εἰς ὀπίσω, κατέμαρψε μέγα σθένος Εὐρυπύλοιο.

nonnulli tragulas. Ipsi igitur in medio inclusi
obversabantur, ut apri in-medio circo vel leones
die illo, quo principes congregant homines
sæviterque includunt, dirum *illis* apparantes exitium
inter bestias validas, quæ in septo versantes
servos dilaniant, quicunque eis propinquarit:
ita illi in media-corona invadentes trucidabant.
At neque sic facultas erat, quamlibet cupientibus, evadendi,
nisi Teucer venisset, et Idomeneus animosus
Merionesque Thoasque et diis-par Thrasymedes:
qui prius horrebant audax robur Eurypyli,
et fugissent ad naves, declinantes grave nocumentum,
nisi Atridis metuentes venissent
adversus Eurypylum. Pugna igitur exitialis excitata-est.
Ibi tunc Æneæ in scutum hastam impegit
Teucer lancea-præstans: nec tamen ejus pulchrum corpus
læsit;] depulit enim ab-eo noxam clypeus ingens quadruplex-bubulus:] sed sic etiam terrore-injecto, cessit aliquantulum retro.]Meriones autem aggressus-est probatum Laophontem] Pæoniden, quem enixa-est insignis-capillo Cleomede,] Axii ad fluenta: profectusque-erat hic in Ilion sacram,] Trojanis ad-opitulandum cum strenuo Asteropæo:
hunc igitur Meriones pupugit hasta aspera
supra genitalia, et mox illi extraxit cuspis
intestina, celerrimeque ad tenebras avolavit ejus anima.
Ajacis etiam comes Oilidæ bellicosus,
Alcimedes, in agmen fortium jaculatus-est Troum,
et torsit facta-prece hostium in aciem sævam
funda tristificum lapidem: diffugiebant igitur viri,
stridorem pariter et saxum expavescentes adveniens,
quod letalis tulit Parca in audacem aurigam
Pammonis Hippasiden: quem habenas manu tenentem
perculit secundum tempora, subitoque eum exturbavit
curru] ante suam rotam, et velox ejus currus prolapsi
per exsangue corpus canthis volvebatur, retro
equis properantibus, et mors eum lugubris confecit
extemplo, scuticam et frenos procul linquentem.
Quare Pammona invasit mœror: et subito ipsum fecit necessitas] utrumque, et dominum et aurigam rapidi currus:
atque ibi mortem et novissimum diem expertus-fuisset,
nisi ei Troum quisquam in conflictu cruento
frena suscepisset manibus et servasset principem,
qui-jam vexabatur hostium sævis manibus.
Egregium porro Acamantem, ex-adverso se-inferentem,
Nestoris acer filius supra genu hasta verberavit;
a-quo vulnere noxio acerbos subiit dolores,
et excessit acie, reliquitque sociis pugnam
lacrimosam: non enim ei amplius bellum cordi-erat.
Et tunc satelles celebris Eurypyli
feriit Thoantis commilitonem Echemmona prœliantem,
infra humerum paulum, et ad cor ejus hasta
penetravit tristifica, cumque sanguine ebulliit sudor
frigidus e membris, ipsumque aversum ut-fugeret
retro, comprehendit ingens vis Eurypyli,

κόψε δέ οἱ θοὰ νεῦρα· πόδες δ' ἀέκοντες ἔμιμνον
αὐτοῦ, ὅπῃ μιν τύψε· λίπεν δέ μιν ἄμβροτος αἰών.
Ἐσσυμένως δὲ Θόας νύξεν Πάριν ὀξέϊ δουρὶ
δεξιτερὸν κατὰ μηρόν· ὁ δ' ᾤχετο τυτθὸν ὀπίσσω
οἰσόμενος θοὰ τόξα, τά οἱ μετόπισθε λέλειπτο.
Ἰδομενεὺς δ' ἄρα λᾶαν, ὅσον σθένε, χερσὶν ἀείρας,
κάββαλεν Εὐρυπύλοιο βραχίονα· τοῦ δὲ χαμάζε
κάππεσε λοίγιον ἔγχος· ἄφαρ δ' ἀνεχάσσατ' ὀπίσσω
[οἰσέμεν ἐγχείην· τὴν γάρ ῥ' ἔχεν, ἔκβαλε χειρός.]
Ἀτρεῖδαι δ' ἄρα τυτθὸν ἀνέπνευσαν πολέμοιο.
Τῷ δὲ θοῶς θεράποντες ἔβαν σχεδὸν, οἵ οἱ ἔνεγκαν
ἀαγὲς δόρυ μακρὸν, ὃ πολλῶν γούνατ' ἔλυσε·
δεξάμενος δ' ὅγε λαὸν ἐπῴχετο κάρτεϊ θύων,
κτείνων ὅν κε κίχησε· πολὺν δ' ὑπεδάμναθ' ὅμιλον.
Ἔνθ' οὔτ' Ἀτρεῖδαι μένον ἔμπεδον, οὔτε τις ἄλλος
ἀγχεμάχων Δαναῶν· μάλα γὰρ δέος ἔλλαβε πάντας
ἀργαλέον· πᾶσιν γὰρ ἐπέσσυτο πῆμα κορύσσων
Εὐρύπυλος· μετόπισθε δ' ἐπισπόμενος κεράϊζε·
κέκλετο δ' αὖ Τρώεσσι καὶ ἱπποδάμοις ἑτάροισιν·
Ὦ φίλοι, εἰ δ' ἄγε θυμὸν ἐνὶ στέρνοισι βαλόντες
τεύξωμεν Δαναοῖσι φόνον καὶ κῆρ' ἀΐδηλον,
οἳ δὴ νῦν, μήλοισιν ἐοικότες, ἀπονέονται
νῆας ἐπὶ σφετέρας· ἀλλὰ μνησώμεθα πάντες
ὑσμίνης ὀλοῆς, ἧς παιδόθεν ἴδμονες εἰμέν.
Ὣς φάτο· τοὶ δ' ἐπόρουσαν ἀολλέες Ἀργείοισιν·
οἱ δὲ μέγα τρομέοντες ἀπ' ἀργαλέοιο κυδοιμοῦ
φεῦγον· τοὶ δ' ἐφέποντο, κύνες ὡς ἀργιόδοντες
κεμμάσιν ἀγροτέρῃσιν ἐπ' ἄγκεα μακρὰ καὶ ὕλην·
πολλοὺς δ' ἐν κονίῃσι βάλον, μάλα περ μεμαῶτας
ἐκφυγέειν ὀλοοῖο φόνου στονόεσσαν ὁμοκλήν.
Εὐρύπυλος μὲν ἔπεφνεν ἀμύμονα Βουκολίωνα
Νῆσόν τε Χρόμιόν τε καὶ Ἄντιφον· οἱ δὲ Μυκήνην
ᾤκεον εὐκτέανον, τοὶ δ' ἐν Λακεδαίμονι ναῖον·
τοὺς ἄρ' ὅγ' ἐξενάριξεν, ἀριγνώτους περ ἐόντας.
Ἐκ δ' ἄρα πληθύος εἷλεν ἀάσπετα φῦλ' ἀνθρώπων,
ὅσσα μοι οὐ σθένος ἐστὶ λιλαιομένῳ περ ἀεῖσαι,
οὐδ' εἴ μοι στέρνοισι σιδήρεον ἦτορ ἐνείη.
Αἰνείας δὲ Φέρητα καὶ Ἀντίμαχον κατέπεφνεν,
ἀμφοτέρους Κρήτηθεν ἅμ' Ἰδομενῆϊ κιόντας.
Αὐτὰρ Ἀγήνωρ δῖος ἀμύμονα Μῶλον ἔπεφνεν,
ὅσπερ ἀπ' Ἄργεος ἦλθεν ὑπὸ Σθενέλῳ βασιλῆϊ·
τὸν βάλεν αἰγανέῃ νεοθηγέϊ πολλὸν ὀπίσσω
φεύγοντ' ἐκ πολέμοιο, τυχὼν ὑπὸ νείατα κνήμης
δεξιτερῆς· αἰχμὴ δὲ διὰ πλατὺ νεῦρον ἔκερσεν
ἀντικρὺ ἱεμένη· παρὰ δ' ἔθρισεν ὀστέα φωτὸς
ἀργαλέως· ὀδύνῃ δ' ἐμίγη μόρος, ἔφθιτο δ' ἀνήρ.
Ἔνθα Πάρις Μόσυνόν τ' ἔβαλεν καὶ ἀγήνορα Φόρκυν,
ἄμφω ἀδελφειοὺς, οἵ τ' ἐκ Σαλαμῖνος ἵκοντο
Αἴαντος νήεσσι, καὶ οὐκέτι νόστον ἕλοντο.
Τοῖσι δ' ἔπι Κλεόλαον ἑὺν, θεράποντα Μέγητος,
εἷλε βαλὼν κατὰ μαζὸν ἀριστερόν· ἀμφὶ δέ μιν νὺξ
μάρψε κακὴ, καὶ θυμὸς ἀπέπτατο· τοῦ δὲ δαμέντος
ἔνδον ὑπὸ στέρνοισιν ἔτι κραδίη ἀλεγεινὴ
ταρφέα παλλομένη πτερόεν πελέμιξε βέλεμνον.

ac dissecavit ei agiles nervos, et pedes inviti hæserunt
illic, ubi eum perculerat, ac defecit illum divina vita
Hinc subito Thoas sauciavit Parin acuta hasta,
dexterum in femur, qui cessit paululum retro
allaturus levem arcum, quem a-tergo liquerat.
Cæterum Idomeneus lapidem, quantum poterat, manibus
tollens,] pulsavit Eurypyli brachium; cujus humi
decidit pestifera hasta, statimque vestigia-torsit retro,
[allaturus hastam *novam*: quam enim habuerat, *ea* exciderat manu.] Atridæ igitur paulum respirarunt a-pugna.
Ad illum vero mox famuli accesserunt, qui ei attulerunt
non-fragilem hastam *et* longam, quæ multorum genua
enervavit:] qua accepta copias invadebat robore concitatus,
cædens quemcunque prehendit; magnamque subigebat catervam.] Ibi nec Atridæ locum-tuebantur firme, nec quisquam alius] bellacium Danaorum. Ingens enim terror cepit
omnes] anxius; nam omnibus imminebat cladem excitans
Eurypylus, et pone insequens percutiebat;
adhortabatur etiam Trojanos et equum-domitores socios:
Amici! agite quæso, audacia præcordiis injecta
creemus Danais stragem ac perniciem atram,
qui nunc ovium more discedunt
ad naves suas. Ideo memores-simus omnes
pugnæ exitiosæ, cujus a-pueris gnari sumus.
Sic inquit. At hi irruerunt globo-facto in-Argivos;
illi autem (*Græci*) magna trepidatione ex infelici pugna
fugiebant, et hi (*Troes*) instabant, ut canes albis-dentibus
cervis agrestibus, in vallibus porrectis et nemore;
multosque in pulvere profligabant, quantumvis conantes
effugere funestæ occidionis tristes minas.
Eurypylus ergo neci-dedit honestum Bucolionem,
Nesumque Chromiumque et Antiphum, quorum illi Mycenas] incolebant opulentas, hi vero Lacedæmone habitabant:] quos ille vita-et-armis-spoliavit, nobiles quantumvis
essent.] Ex grege autem *militum* leto-dedit infinitum agmen hominum,] quos mihi facultas haud suppetit quamlibet
cupienti canendi,] etiamsi mihi pectori ferreum cor inesset.
Æneas autem Pheretem et Antimachum sustulit,
qui-ambo ex-Creta cum Idomeneo venerant.
Cæterum Agenor eximius Molum haud-vituperabilem peremit,] qui ab Argis venerat sub Sthenelo principe:
hunc feriit venabulo recens-cote-subacto, longe retro
fugientem ex acie, contactum in infimis-partibus suræ
dexteræ, cuspisque latum nervum dirupit
in-adversum penetrans, simulque diffregit ossa hominis
atrociter, et cum-dolore conjuncta-erat mors, atque interiit
vir.] Ibi Paris Mosynum transfixit et virtute-insignem Phorcyn,] duos germanos, qui ex Salamine advecti-erant
Ajacis navibus, nec reditu potiebantur.
Et super his Cleolaum probatum, ministrum Megetis,
stravit ictum circa mammam sinistram; eum igitur nox
corripuit dira, et animus avolavit, ejusque exspirantis
in pectore adhuc cor cum-dolore-luctans
crebro motu volatile vibrabat telum.

Ἄλλον δ' ἰὸν ἄρ ἧκεν ἐπὶ θρασὺν Ἠετίωνα
ἐσσυμένως· τοῦ δ' αἶψα διὰ γναθμοῖο πέρησε
χαλκός· ὁ δὲ στονάχησε· μίγη δέ οἱ αἵματι δάκρυ.
Ἄλλος δ' ἄλλον ἔπεφνε· πολὺς δ' ἐστείνετο χῶρος
Ἀργείων ἰληδὸν ἐπ' ἀλλήλοισι πεσόντων.
Καί νύ κε δὴ τότε Τρῶες ἐνέπρησαν πυρὶ νῆας,
εἰ μὴ νὺξ ἐπόρουσε θοὴ βαθὺν ἠέρ' ἄγουσα.
Χάσσατο δ' Εὐρύπυλος, σὺν δ' ἄλλοι Τρώϊοι υἷες
νηῶν βαιὸν ἄπωθε, ποτὶ προχοὰς Σιμόεντος,
ἦχί περ αὖλιν ἔθεντο γεγηθότες· οἱ δ' ἐνὶ νηυσὶν
Ἀργεῖοι γοάασκον, ἐπὶ ψαμάθοισι πεσόντες, [τῶν
πολλὰ μάλ' ἀχνύμενοι κταμένων ὕπερ, οὕνεκ' ἄρ' αὐ-
πολλοὺς ἐν κονίῃσι μέλας ἐκιχήσατο πότμος.

Alium dehinc calamum elisit in temerarium Eetionem
derepente, ejusque subito mandibulam perrupit
æs: ille vero ingemuit, et permiscebatur ejus cum-sanguine
lacrima.] Alius itaque alium necabat, et spaciosus coarctabatur locus] Argivis catervatim inter se collapsis.
Et jam tunc Trojani incendissent igni naves,
nisi nox ingruisset subita spissum aera afferens.
Abscessit igitur Eurypylus, cumque *eo* cætera Trojana pubes] a-navibus non-ita longe, ad ostia Simoentis,
ubi castra metabantur læti. Sed in navibus
Argivi lamentabantur super arenis strati,
maximo se-mœrore-affligentes propter cæsos, quod eorum
plurimos in pulvere nigrum comprehendisset fatum.

ΛΟΓΟΣ Ζ.

Ἦμος δ' οὐρανὸς ἄστρα κατέκρυψεν, ἔγρετο δ' ἠὼς
λαμπρὸν παμφανόωσα, κνέφας δ' ἀνεχάσσατο νυ-
δὴ τότ' ἀρήϊοι υἷες ἐϋσθενέων Ἀργείων, [κτὸς,
οἱ μὲν ἔβαν προπάροιθε νεῶν κρατερὴν ἐπὶ δῆριν,
ἀντίον Εὐρυπύλοιο μεμαότες, οἱ δ' ἀπάτερθεν
αὐτοῦ πὰρ νήεσσι Μαχάονα ταρχύσαντο,
Νιρέα θ', ὃς μακάρεσσιν ἀειγενέεσσιν ἐώκει
κάλλεϊ τ' ἀγλαΐῃ τε· βίῃ δ' οὐκ ἄλκιμος ἦεν·
οὐ γὰρ ἅμ' ἀνθρώποισι θεοὶ τελέουσιν ἅπαντα·
ἀλλ' ἐσθλῷ κακὸν ἄγχι παρίσταται ἔκ τινος αἴσης.
Ὣς Νιρῆϊ ἄνακτι παρ' ἀγλαΐῃ ἐρατεινῇ
κεῖτ' ἀλαπαδνοσύνη. Δαναοὶ δέ οἱ οὐκ ἀμέλησαν,
ἀλλά ἑ ταρχύσαντο καὶ ὠδύραντ' ἐπὶ τύμβῳ,
ὅσσα Μαχάονα δῖον, ὃν ἀθανάτοισι θεοῖσιν
ἶσον ἀεὶ τίεσκον, ἐπεὶ πυκνὰ μήδεα ᾔδει·
ἀλλὰ γὰρ ἀμφοτέροις ταὐτὸν πέρι σῆμ' ἐβάλοντο·
Καὶ τότ' ἄρ' ἐν πεδίῳ ἔτι μαίνετο λοίγιος Ἄρης·
ὦρτο δ' ἄρ' ἀμφοτέρωθε μέγας κόναβος καὶ ἀϋτὴ,
ῥηγνυμένων λάεσσι καὶ ἐγχείῃσι βοειῶν.
Καί ῥ' οἱ μὲν πονέοντο πολυκμήτῳ ὑπ' Ἄρηϊ·
νωλεμέως δ' ἄρ' ἄπαστος ἐδητύος ἐν κονίῃσι
κεῖτο μέγα στενάχων Ποδαλείριος· οὐδ' ὅγε σῆμα
λεῖπε κασιγνήτοιο· νόος δέ οἱ ὡρμαίνεσκε
χερσὶν ὑπὸ σφετέρῃσιν ἀνηλεγέως ἀπολέσθαι·
καί ῥ' ὅτε μὲν βάλε χεῖρας ἐπὶ ξίφος, ἄλλοτε δ' αὖτε
δίζετο φάρμακον αἰνόν· ἑοὶ δέ μιν εἶργον ἑταῖροι,
πολλὰ παρηγορέοντες· ὁ δ' οὐκ ἀπέληγεν ἀνίης,
καί νύ κε θυμὸν ἑῇσιν ὑπαὶ παλάμῃσιν ὄλεσσεν,
ἐσθλοῦ ἀδελφειοῖο νεοκμήτῳ ἐπὶ τύμβῳ,
εἰ μὴ Νηλέος υἱὸς ἐπέκλυεν, οὐδ' ἀμέλησεν
αἰνῶς τειρομένοιο· κίχεν δέ μιν ἄλλοτε μέν που
ἐκχύμενον περὶ σῆμα πολύστονον, ἄλλοτε δ' αὖτε
ἀμφὶ κάρη χεύοντα κόνιν καὶ στήθεα χερσὶ
θεινόμενον κρατερῇσι καὶ οὔνομα κικλήσκοντα
οἷο κασιγνήτοιο· περιστενάχοντο δ' ἄνακτα
δμῶες ὁμῶς ἑτάροισι· κακὴ δ' ἔχε πάντας ὀϊζύς.
Καί ῥ' ὅγε μειλιχίοισι μέγ' ἀχνύμενον προσέειπεν·
Ἴσχεο λευγαλέοιο γόου καὶ πένθεος αἰνοῦ,

LIBER VII.

Cum vero cœlum astra occultasset, et orta-esset Eos
clare omnibus-illucescens, tenebræque discessissent noctis;
tunc Martii nati strenuorum Argivorum
partim processerunt ante naves validum ad certamen,
contra Eurypylum tendentes, partim sejunctim
ibi juxta naves Machaoni exsequias-peregerunt,
Nireoque, qui diis æternis similis-erat
formæ-honestate et nitore; sed vi pollens non erat:
non enim hominibus dii simul perfecte-donant omnia,
sed bono malum prope adstat fato quodam.
Sic in-Nireo principe cum formæ-splendore amabili
erat imbecillitas. Danai tamen eum non neglexerunt,
sed ei funebria-persolverunt et deplorarunt *ipsum* ad tumulum,] non-minus-quam Machaona divinum, quem immortalibus deis] pariter semper honorabant, quod prudentia consilia sciret.] Sedenim ambobus unum monimentum
circumdederunt.] Atque tunc in campo adhuc furebat letalis Mars,] excitabatur vero utrinque ingens strepitus et
clamor,] cum-frangerentur lapidibus et hastis clypei.
Et hi quidem *ita* rem-gerebant difficili Marte
at continenter expers cibi in pulvere
volvebatur, magno cum-gemitu, Podalirius, neque sepulcrum] relinquebat fratris, animoque suo moliebatur
manibus suis crudeliter semet-interficere;
et nunc quidem injiciebat manus ensi, nunc vero
quærebat venenum letale; verum ejus ipsum inhibebant
familiares] multum consolantes; attamen non-sibi temperabat ab angore] et vitam suis manibus perdidisset
strenui fratris recenti super tumulo,
nisi Nelei proles *id* cognovisset; quare-non post-habuit
efflictim se-excruciantem; atque offendit ipsum alias
prostratum circa monimentum lugubre, alias rursus
caput conspergentem cineribus et pectus manibus
plangentem validis ac nomen vocantem
sui germani: at suspiria-ciebant-circum dominum
servi una cum-amicis, et iniqua tenebat omnes calamitas.
Ille (*Nestor*) ergo lenibus-verbis lugentem compellavit:
Cohibe funestum planctum et luctum molestum,

ὦ τέκος· οὐ γὰρ ἔοικε περίφρονα φῶτα γεγῶτα
μύρεσθ' οἷα γυναῖκα, παρ' οὐκ ἔτ' ἐόντι πεσόντα·
οὐ γὰρ ἀναστήσεις μιν ἔτ' ἐς φάος, οὕνεκ' ἄϊστος
ψυχή οἱ πεπότηται ἐς ἠέρα, σῶμα δ' ἄνευθεν
πῦρ ὀλοὸν κατέδαψε, και ὀστέα δέξατο γαῖα·
αὔτως δ', ὡς ἀνέθηλε, καὶ ἔφθιτο· τέτλαθι δ' ἄλγος
ἄσπετον, ὥσπερ ἔγωγε Μαχάονος οὔτι χερείω
παῖδ' ὀλέσας δηΐοισιν ὑπ' ἀνδράσιν, εὖ μὲν ἄκοντι,
εὖ δὲ σαοφροσύνῃσι κεκασμένον· οὐδέ τις ἄλλος
αἰζηῶν φιλέεσκεν ἑὸν πατέρ', ὡς ἐμὲ κεῖνος·
κάτθανε δ' εἵνεκ' ἐμεῖο, σαωσέμεναι μενεαίνων
ὃν πατέρ'· ἀλλά οἱ εἶθαρ ἀποκταμένοιο πάσασθαι
σῖτον ἔτλην καὶ ζωὸς ἔτ' ἠριγένειαν ἰδέσθαι,
εὖ εἰδὼς, ὅτι πάντες ὁμὴν Ἀΐδαο κέλευθον
νισσόμεθ' ἄνθρωποι, πᾶσιν τ' ἐπὶ τέρματα κεῖται
λυγρὰ μόρου στονόεντος· ἔοικε δὲ θνητὸν ἐόντα
πάντα φέρειν, ὁπότ' ἐσθλὰ διδοῖ θεὸς ἠδ' ἀλεγεινά.
Ὣς φάθ'. Ὁ δ' ἀχνύμενός μιν ἀμείβετο· τοῦ δ' ἀλε-
ἔῤῥεεν εἰσέτι δάκρυ καὶ ἀγλαὰ δεῦε γένεια· [γεινὸν
Ὦ πάτερ, ἄσχετον ἄλγος ἐμὸν καταδάμναται ἦτορ
ἀμφὶ κασιγνήτοιο περίφρονος, ὅς μ' ἀτίταλλεν,
οἰχομένοιο τοκῆος ἐς οὐρανὸν, ὡς ἑὸν υἷα
σφῇσιν ἐν ἀγκοίνῃσι, καὶ ἰητήρια νούσων
ἐκ θυμοῖο δίδαξε· μιῇ δ' ἐνὶ δαιτὶ καὶ εὐνῇ
τερπόμεθα, ξυνοῖσιν ἰαινόμενοι κτεάτεσσι.
Τῷ μοι πένθος ἄλαστον ἐποίχεται· οὐδέ τι κείνου
τεθνεῶτος φάος ἐσθλὸν ἐέλδομαι εἰσοράασθαι.
Ὣς φάτο· τὸν δ' ὁ γεραιὸς ἀκηχέμενον προσέειπεν·
Πᾶσι μὲν ἀνθρώποισιν ἴσον κακὸν ὤπασε δαίμων,
ὀρφανίην, πάντας δὲ καὶ ἡμέας αἶα καλύψει,
οὐ μὲν ἀρ' ἐκτελέσαντας ὁμὴν βιότοιο κέλευθον,
οὐδ' ἣν εἷς τις ἕκαστος ἐέλδεται· οὕνεχ' ὕπερθεν
ἐσθλά τε καὶ τὰ χέρεια θεῶν ἐνὶ γούνασι κεῖται
Μοίρῃ γ' εἰς ἓν πάντα μεμιγμένα· καὶ τὰ μὲν οὔτις
δέρκεται ἀθανάτων, ἀλλ' ἀπροτίοπτα τέτυκται
ἀχλύϊ θεσπεσίῃ κεκαλυμμένα, τοῖς δ' ἐπὶ χεῖρας
οἴη Μοῖρα τίθησι, καὶ οὐχ ὁρόωσ' ἀπ' Ὀλύμπου
ἐς γαῖαν προΐησι· τὰ δ' ἄλλυδις ἄλλα φέρονται
πνοιῇ ὁμῶς ἀνέμοιο· καὶ ἀνέρι πολλάκις ἐσθλῷ
ἀμφεχύθη μέγα πῆμα, λυγρῷ δ' ἐπὶ κάππεσεν ὄλβος
οὔτι ἑκών· ἀλαὸς δὲ πέλει βίος ἀνθρώποισι·
τοὔνεκ' ἄρ' ἀσφαλέως οὐ νίσσεται, ἀλλὰ πόδεσσι
πυκνὰ ποτιπταίει· τρέπεται δέ οἱ αἰόλον ἴχνος,
ἄλλοτε μὲν ποτὶ πῆμα πολύστονον, ἄλλοτε δ' αὖτε
εἰς ἀγαθόν· μερόπων δὲ πανόλβιος οὔτις ἐτύχθη
ἐς τέλος ἐξ ἀρχῆς· ἑτέρῳ δ' ἕτερ' ἀντιόωσι.
Παῦρον δὲ ζώοντας ἐν ἄλγεσιν οὔτι ἔοικε
ζωέμεν· ἔλπειν δ' αἰὲν ἀρείονα, μηδ' ἐπὶ λυγρῷ
θυμὸν ἔχειν. Καὶ γάρ ῥα πέλει φάτις ἀνθρώποισιν,
ἐσθλὸν μὲν νίσσεσθαι ἐς οὐρανὸν ἄφθιτον αἰεὶ,
ἀργαλέον δὲ ποτὶ στυγερὸν ζόφον· ἔπλετο δ' ἄμφω
σεῖο κασιγνήτῳ· καὶ μείλιχος ἔσκε βροτοῖσι,
καὶ πάϊς ἀθανάτοιο· θεῶν δ' ἐς φῦλον ὀΐω

mi fili; non enim convenit, ut qui-cordatus vir est,
ejulet ut mulier, juxta defunctum prostratus:
nec enim revocabis ipsum in lucem, cum non-apparens
anima ipsius avolarit in aera, et cadaver seorsum
flamma rapax depasta-sit, et ossa exceperit humus
ita autem, ut effloruit, etiam periit. Quare toleres dolorem
immensum, quemadmodum ego, Machaone nihil inferio-
rem]filium qui-amisi hostiles inter viros, insigniter jaculo,
insigniter etiam prudentia ornatum. Nec alius quisquam
juvenum dilexit suum patrem, ut me ille;
et occubuit mea causa, servare enitens
suum patrem: at statim illo extincto capere
cibum non-detrectavi vivusque etiam-deinceps lucem in-
tueri,] bene perspectum-habens, quod omnes communem
Orci viam] ingrediamur *nos* homines, et omnibus metæ
fixæ-sint] tristes fati acerbi: sed par est mortalis qui-sit,
-cum]cuncta tolerare, quæ prospera det Deus et adversa.
Sic ait: ille vero animi-cruciatus huic respondit; illique
tristes] manabant adhuc lacrimæ splendidasque hume-
ctabant genas:] Mi pater, vehemens cruciatus meum subi-
git cor] propter germanum prudentem, qui me educavit,
translato patre in cœlum, tanquam suum filium,
suo in sinu, et remedia morborum
fideliter docuit, unaque in mensa et cubili
nos-recreavimus, communibus fruentes bonis.
Ideo me luctus intolerabilis invadit, nec illo
mortuo lucem benignam cupio videre.
Sic dixit; quem senex mœrentem *ita* affatus-est:
Universis hominibus idem malum tribuit deus.
orbitatem, et omnes quoque nos terra operiet,
non quidem ita-ut-confecerimus eundem vitæ cursum,
nec quem unusquilibet sibi exoptat: namque supra
tum bona tum mala deorum in genubus recondita-sunt
Fato in unum omnia permixta, atque ea nemo
contuetur immortalium, sed ex-improviso adsunt
caligine profunda obtecta, quibus manus
solum Fatum admovet et ne prospiciens-quidem de cœlo
in terram demittit, eaque alio alia deferuntur
cum flatu venti: ideo viro sæpe bono
circumfunditur ingens damnum, et misero accidit felicitas
haud sponte-sua, cæcaque est vita hominum:
quare sine-offensione non procedit, sed pedibus
crebro impingit, et alteratur varium ejus vestigium,
interdum in calamitatem lacrimosam, interdum vero
in prosperitatem. Mortalium enim ab-omni-parte-beatus
nemo est] ad-usque exitum a-primordiis *vitæ*, aliique alia
obveniunt.] *Homines* itaque exiguo-tempore cum-vivant, in
mœrore non par-est] vitam-transigere, sed sperare semper
meliora, nec tristitiæ]animum deditum-habere. Etenim fama
est inter-homines,] virtute-præditum migrare in cœlum du-
rans perpetuo,] sceleratum vero ad invisas tenebras. Conti-
git autem utrumque]tuo fratri: et benignus erat erga-homi-
nes,] et soboles dei: quocirca deum in familiam spero

κεῖνον ἀνελθέμεναι σφετέρου πατρὸς ἐννεσίῃσιν.
  Ὣς εἰπών μιν ἔγειρεν ἀπὸ χθονὸς, οὐκ ἐθέλοντα,
παρφάμενος μύθοισιν, ἄγεν δ' ἀπὸ σήματος αἰνοῦ
εντροπαλιζόμενον, καὶ ἔτ' ἀργαλέα στενάχοντα.
Ἐς δ' ἄρα νῆας ἵκοντο· πόνον δ' ἔχον ἄλλοι Ἀχαιοὶ
ἀργαλέον, καὶ Τρῶες, ὀρινομένου πολέμοιο.
  Εὐρύπυλος δ', ἀτάλαντος ἀτειρέα θυμὸν Ἄρηϊ,
χερσὶν ὑπ' ἀκαμάτῃσι καὶ ἔγχεϊ μαιμώωντι
δάμνατο δήϊα φῦλα· νεκρῶν δ' ἐστείνετο γαῖα
κτεινομένων ἑκάτερθεν· ὁ δ' ἐν νεκύεσσι βεβηκὼς
μάρνατο θαρσαλέως, πεπαλαγμένος αἵματι χεῖρας
καὶ πόδας· οὐδ' ἀπέληγεν ἀταρτηροῖο κυδοιμοῦ·
ἀλλ' ὅγε Πηνέλεων κρατερόφρονα δουρὶ δάμασσεν
ἀντιόωντ' ἀνὰ δῆριν ἀμείλιχον· ἀμφὶ δὲ πολλοὺς
ἔκτανεν. Οὐδ' ὅγε χεῖρας ἀπέτρεπε δηϊοτῆτος,
ἀλλ' ἔπετ' Ἀργείοισι χολούμενος, εὖτε πάροιθεν
ὄβριμος Ἡρακλέης Φολόης ἀνὰ μακρὰ κάρηνα
Κενταύροις ἐπόρουσεν, ἑῷ μέγα κάρτεϊ θύων, [τας
τοὺς ἅμα πάντας ἔπεφνε, καὶ ὠκυτάτους περ ἐόν-
καὶ κρατεροὺς ὀλοοῦ τε δαήμονας ἰωχμοῖο.
Ὣς ὅγ' ἐπασσύτερον Δαναῶν στρατὸν αἰχμητάων
δάμνατ' ἐπεσσύμενος· τοὶ δ' ἰλαδὸν, ἄλλοθεν ἄλλος,
ἀθρόοι ἐν κονίῃσι δεδουπότες ἐξεχέοντο.
  Ὡς δ' ὅτ' ἐπιβρίσαντος ἀπειρεσίου ποταμοῖο
ὄχθαι ἀποτμήγονται ἐπὶ ψαμμώδεϊ χώρῳ
μυρίαι ἀμφοτέρωθεν, ὁ δ' εἰς ἁλὸς ἔσσυται οἶδμα,
παφλάζων ἀλεγεινὸν ἀνὰ ῥόον, ἀμφὶ δὲ πάντη
κρημνοὶ ἐπικτυπέουσι, βρέμει δ' ἄρα μακρὰ ῥέε-
αἰὲν ἐρειπομένων, εἴκει δέ οἱ ἕρκεα πάντα· [θρα
ὡς ἄρα κύδιμοι υἷες ἐϋπτολέμων Ἀργείων
πολλοὶ ὑπ' Εὐρυπύλοιο κατήριπον ἐν κονίῃσι,
τοὺς κίχεν αἱματόεντα κατὰ μόθον· οἳ δ' ὑπάλυξαν
ὅσσους ἐξεσάωσε ποδῶν μένος· ἀλλ' ἄρα καὶ ὣς
Πηνέλεων ἐρύσαντο δυσηχέος ἐξ ὁμάδοιο
νῆας ἐπὶ σφετέρας, καί περ ποσὶ καρπαλίμοισι
Κῆρας ἀλευόμενοι στυγερὰς καὶ ἀνηλέα πότμον·
πανσυδίῃ δ' ἔντοσθε νεῶν φύγον· οὐδέ τι θυμῷ
ἔσθενον Εὐρυπύλοιο καταντία δηριάασθαι,
οὕνεκ' ἄρα σφίσι φύζαν ὀϊζυρὴν ἐφέηκεν
Ἡρακλέης, υἱωνὸν ἀτειρέα πάμπαν ἀέξων.
  Οἱ δ' ἄρα τείχεος ἐντὸς ὑποπτώσσοντες ἔμιμνον,
αἶγες ὅπως ὑπὸ πρῶνα φοβεύμεναι αἰνὸν ἀήτην,
ὅς τε φέρει νιφετόν τε πολὺν κρυερήν τε χάλαζαν
ψυχρὸς ἐπαΐσσων, ταὶ δ' ἐς νομὸν ἐσσύμεναί περ,
ῥιπῆς οὔτι κατιθὺς ὑπερκύπτουσι κολώνης, [γος
ἀλλ' ἄρα χεῖμα μένουσιν ὑπὸ σκέπας, ἠδὲ φάραγ-
ἀγρόμεναι θάμνοισιν ὑπὸ σκιεροῖσι νέμονται
ἰλαδὸν, ὄφρ' ἀνέμοιο κακαὶ λήξωσιν ἄελλαι·
ὣς Δαναοὶ πύργοισιν ὑπὸ σφετέροισιν ἔμιμνον,
Τηλέφου ὄβριμον υἷα μετεσσύμενον τρομέοντες.
  Αὐτὰρ ὁ νῆας ἔμελλε θοὰς καὶ λαὸν ὀλέσσειν,
εἰ μὴ Τριτογένεια θράσος βάλεν Ἀργείοισιν
ὀψέ περ. Οἱ δ' ἄλληκτον ἀφ' ἕρκεος αἰπεινοῖο
δυσμενέας βάλλοντες ἀνιηροῖς βελέεσσι

illum esse-evectum vestri patris monitis.
  Ita fatus illum levavit humo nolentem,
demulsum verbis, duxitque a monimento tristi
aversum, et adhuc misere suspirantem.
Atque ad naves venerunt: negotium autem habebant alii
Achivi] arduum, itidemque Troes, incrudescente pugna.
  Eurypylusque, comparandus indomito animo Marti
manibus indefessis et hasta immaniter-grassante
sternebat hostica agmina, ita-ut corporibus arctaretur tellus
cæsis utrobique. Ipse vero per cadavera incedens
pugnabat fortiter, contaminatus cruore manus
et pedes, nec finem-statuebat calamitosæ grassationis:
sed Peneleum fortem hasta confodit
obviam-factum in pugna crudeli, et passim multos *alios*
cecidit, nec manus avertit a-conflictu;
sed urgebat Argivos bile-tumens, ut quondam
acer Hercules Pholoes per longa cacumina
in-Centauros impressionem-fecit, suo robore furens,
quos ad-unum omnes trucidavit, quamvis velocissimos
ac robustos pernicialisque peritos belli.
Sic is confertum Danaum agmen hastipotentum
confecit irruens, qui gregatim, aliunde alius,
magno-numero in pulverem cæsi sternebantur.
  Ut *fit*, cum exundante immenso fluvio
ripæ avelluntur in arenoso loco,
innumeræ utrinque, ille vero in maris præcipitatur æstum
exæstuans horrendo fluxu, ac circumquaque
prærupta dant-fragorem, infremuntque longa fluenta
subinde ruentibus *illis*, ceduntque ei septa cuncta:
non-aliter celebres filii bellipotentum Argivum
multi ab Eurypylo profligabantur ad terram,
quos consequebatur sanguinolenta in acie; elabebantur
autem,] quos servabat pedum vis: sed tamen nihilominus
Peneleum abripuerunt clamosa ex turba
ad naves suas, quanquam *ægre* pedibus citis
Parcas evitarent inimicas et crudele fatum.
Tum præcipiti-cursu in naves fugiebant, nec animo *illo-
rum*] vires suppetebant, ut Eurypylo resisterent,
quia videlicet ipsis fugam calamitosam immiserat
Hercules, nepotem invictum eximio robore-mactans.
  Quare intra murum trepidantes se-continuerunt,
ut capellæ sub scopulo formidantes gravem ventum,
qui affert nivem densam et frigidam grandinem
gelido afflatu, illæ igitur ad pascua quamvis properent,
tamen adversus turbinem non attollunt-se-supra jugum,
sed tempestatem (*tempestatis finem*) expectant sub te-
gmine, et vallis] conglomeratæ sub virgultis umbrosis pa-
scuntur]gregatim; donec venti iniquæ transierint procellæ:
sic Danai in turribus suis manebant,
Telephi fortem natum jamjam-irrupturum formidantes.
  Et-sane is naves constituerat veloces exercitumque pes-
sundare,] nisi Minerva fiduciam adjecisset Argivis
quamvis sero. Hi ergo sine-intermissione ab propugnacu-
lis altis hostes impetentes luctificis telis

κτεινον ἐπασσυτέρους· δεύοντο δὲ τείχεα λύθρῳ
λευγαλέῳ· στοναχὴ δὲ δαϊκταμένων πέλε φωτῶν.
Αὔτως δ' αὖ νύκτας τε καὶ ἤματα δηριόωντο
Κήτειοι Τρῶές τε καὶ Ἀργεῖοι μενεχάρμαι,
ἄλλοτε μὲν προπάροιθε νεῶν, ὁτὲ δ' ἀμφὶ μακεδνὸν
τεῖχος, ἐπεὶ πέλε μῶλος ἀάσχετος. Ἀλλ' ἄρα καὶ ὣς,
ἤματα δοιὰ φόνοιο καὶ ἀργαλέης ὑσμίνης
παύσανθ', οὕνεχ' ἵκανεν ἐς Εὐρύπυλον βασιλῆα
ἀγγελίη Δαναῶν, ὥς κεν πολέμοιο μεθέντες
πυρκαϊῇ δώωσι δαϊκταμένους ἐνὶ χάρμῃ.
Αὐτὰρ ὅγ' αἶψ' ἐπίθησε, καὶ ἀργαλέοιο κυδοιμοῦ
παυσάμενοι ἑκάτερθε νεκροὺς περιταρχύσαντο
ἐν κονίῃ ἐριπόντας. Ἀχαιοὶ δ' ἔξοχα πάντων
Πηνέλεων μύροντο· βάλον δ' ἐπὶ σῆμα θανόντι
εὐρὺ μάλ' ὑψηλόν τε, καὶ ἐσσομένοις ἀρίδηλον.
Πληθὺν δ' αὖτ' ἀπάνευθε δαϊκταμένων ἡρώων
θάψαν, ἀκηχέμενοι μεγάλῳ περὶ πένθεϊ θυμὸν,
πυρκαϊὴν ἅμα πᾶσι μίαν περινηήσαντες
καὶ τάφον. Ὣς δὲ καὶ αὐτοὶ ἀπόπροθι Τρώϊοι υἷες
τάρχυσαν κταμένους. Ὀλοὴ δ' Ἔρις οὐκ ἀπέληγεν,
ἀλλ' ἔτ' ἐποτρύνεσκε θρασὺ σθένος Εὐρυπύλοιο
ἀντιάαν δηΐοισιν· ὁ δ' οὔπω χάζετο νηῶν,
ἀλλ' ἔμενεν, Δαναοῖσι κακὴν ἔπι δῆριν ἀέξων.
Τοὶ δ' ἐς Σκῦρον ἵκοντο, μελαίνῃ νηῒ θέοντες·
εὗρον δ' υἷ' Ἀχιλῆος ἑοῦ προπάροιθε δόμοιο,
ἄλλοτε μὲν βελέεσσι καὶ ἐγχείῃσιν ἵεντα,
ἄλλοτε δ' αὖθ' ἵπποισι πονεύμενον ὠκυπόδεσσι.
Γήθησαν δ' ἐσιδόντες ἀταρτηροῦ πολέμοιο
ἔργα μετοιχόμενον, καί περ μέγα τειρόμενον κῆρ
ἀμφὶ πατρὸς κταμένοιο· τὸ γὰρ τοπάροιθε πέπυστο.
Αἶψα δέ οἱ κίον ἄντα τεθηπότες, οὕνεχ' ὁρῶντο
θαρσαλέῳ Ἀχιλῆϊ δέμας περικαλλὲς ὁμοῖον·
τοὺς δ' ἄρ' ὑποφθάμενος τοῖον ποτὶ μῦθον ἔειπεν·
Ὦ ξεῖνοι, μέγα χαίρετ', ἐμὸν ποτὶ δῶμα κιόντες·
εἴπατε δ' ὁππόθεν ἐστὲ καὶ οἵ τινες ἠδ' ὅ τι χρειὼ
ἤλθετ' ἔχοντες ἐμεῖο δι' οἴδματος ἀτρυγέτοιο.
Ὣς ἔφατ' εἰρόμενος· ὁ δ' ἀμείβετο δῖος Ὀδυσσεύς·
Ἡμεῖς τοι φίλοι εἰμὲν ἐϋπτολέμου Ἀχιλῆος·
τῷ νύ σε φασὶ τεκέσθαι ἐΰφρονα Δηϊδάμειαν·
καὶ δ' αὐτοὶ τεὸν εἶδος ἐΐσκομεν ἀνέρι κείνῳ
πάμπαν· ὁ δ' ἀθανάτοισιν ἐϋσθενέεσσιν ἐῴκει.
Εἰμὶ δ' ἐγὼν Ἰθάκηθεν, ὁ δ' Ἄργεος ἱπποβότοιο,
εἴ ποτε Τυδείδαο δαΐφρονος οὔνομ' ἄκουσας,
ἢ καὶ Ὀδυσσῆος πυκιμήδεος, ὅς νύ σοι ἄγχι
αὐτὸς ἐγὼν ἕστηκα θεοπροπίης ἕνεκ' ἐλθών.
Ἀλλ' ἐλέαιρε τάχιστα, καὶ Ἀργείοις ἐπάμυνον
ἐλθὼν ἐς Τροίην· ὣς γὰρ τέλος ἔσσετ' Ἄρηϊ.
Καί τοι δῶρ' ὀπάσουσιν ἀάσπετα δῖοι Ἀχαιοί·
τεύχεα δ' αὐτὸς ἔγωγε τεοῦ πατρὸς ἀντιθέοιο
δώσω, ἅπερ φορέων μέγα τέρψεαι. Οὐ γὰρ ἔοικε
θνητοῖς τεύχεα κεῖνα· θεοῦ δέ που Ἄρεος ὅπλοις
ἶσα πέλει· πουλὺς δὲ περί σφισι πάμπαν ἄρηρε
χρυσὸς δαιδαλέοισι κεκασμέ- νος· οἷσι καὶ αὐτὸς
Ἥφαιστος μέγα θυμὸν ἐν ἀθανάτοισιν ἰάνθη,

necabant confertos, adeo-ut aspergerentur muri tabo funesto, gemitusque occumbentium existeret hominum.
Sic igitur noctes atque dies certamen-agebant
Cetei Troesque et Argivi pugnipotentes,
interdum ante naves, interdum circa longe-ductum
murum, quandoquidem erat bellum irrequietum. Nihilominus tamen] per-dies duos a-cæde et laborioso conflictu
feriati-sunt: nam venerat ad Eurypylum regem
legatio Danaum, ut bello intermisso
rogo traderent occisos in acie.
Ipse igitur statim annuit, et a-duro conflictu
abstinentes utrobique mortuis justa-fecerunt
humi profligatis. Achivi autem præ omnibus
Peneleum lugebant, et aggesserunt monimentum defuncto
amplissimum editumque, posteris etiam conspicuum.
Turbam contra separatim interfectorum heroum
sepelierunt, conficientes ingenti luctu animum,
pyram simul omnibus unam construentes
ac bustum. Sic etiam ipsi seorsum Trojugenæ
funerarunt interfectos. At sæva Lis non cessabat,
sed porro incitabat audax robur Eurypyli
ad-occursandum adversariis: ideo nusquam abscedebat a -navibus,]sed perseverabat in-Danaos infestum certamen instaurans.]Illi interim (*legati*) in Scyrum appulerunt nigræ navis cursu,] offenderuntque filium Achillis suum ante palatium,] nunc quidem sagittas et pila ejaculantem,
nunc vero equis sese exercitantem citatis.
Et lætabantur, ubi-viderunt *eum* terribilis belli
studia tractare, licet supra-modum excruciaretur animi
propter patris interitum: hoc enim jam-pridem cognoverat.
Statim igitur illi processerunt obviam admirabundi, quod viderent] cordato Achilli corpus formosum simile.
Quos præveniens tali oratione excepit:
Hospites, plurimum salvete, meas ad ædes profecti,
ac significate cujates et qui sitis, et qua-in-re operam
veneritis requirentes meam per sterile salum.
Sic aiebat sciscitans; respondit autem divinus Ulysses:
Nos amici sumus belligeri Achillis,
cui te aiunt edidisse prudentem Deidamiam.
Atque ipsi tuam formam comparamus viro isti
per-omnia, qui diis præpotentibus similis-erat.
Sum ego ex-Ithaca, hic vero ex-Argis equorum-altrice,
si quando Tydidæ pugnacis nomen audiisti,
atque Ulyssis prudentis, qui nunc prope tibi
egomet adsto oraculi monitu huc-profectus.
Quare miserere quamprimum, et Achivis succurre
profectus ad Trojam: sic enim finis erit bello.
Atque tibi munera largientur inæstimabilia nobiles Achivi;
armaque ipse ego tui parentis divini
reddam, quibus gestandis valde oblectaberis. Non enim conferenda-sunt] humanis arma illa, sed dei fere Martis armaturæ] paria sunt, et multum circumquaque illis adaptatum-est] auri variis-simulacris insigniti: quibus et ipse
Vulcanus magnopere animum inter cœlites exhilarabit,

τεύχων ἄμβροτα κεῖνα, τά σοι μέγα θαῦμα ἰδόντι
ἔσσεται, οὕνεκα γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα
ἀμφὶ σάκος πεπόνηται ἀπειρεσίῳ περὶ κύκλῳ·
ζῶα πέριξ ἤσκηνται, ἐοικότα κινυμένοισι,
θαῦμα καὶ ἀθανάτοισι· βροτῶν δ' οὔ πώποτε τοῖα
οὔτε τις ἔδρακε πρόσθεν ἐν ἀνδράσιν, οὔτ' ἐφόρη-
εἰ μὴ σός γε πατήρ, τὸν ἶσον Διὶ τῖον Ἀχαιοὶ [σεν,
πάντες· ἐγὼ δὲ μάλιστα φίλα φρονέων ἀγάπαζον,
καί οἱ ἀποκταμένοιο νέκυν ποτὶ νῆας ἔνεικα,
πολλοῖς δυσμενέεσσιν ἀνηλέα πότμον ὀπάσσας.
Τοὔνεκά μοι κείνοιο περικλυτὰ τεύχεα δῶκε
δῖα Θέτις· τὰ δ' ἄρ' αὖθις, ἐελδόμενός περ, ἔγωγε
δώσω προφρονέως, ὁπότ' Ἴλιον εἰσαφίκηαι.
Καί νύ σε καὶ Μενέλαος, ἐπὴν Πριάμοιο πόληα
πέρσαντες νήεσσιν ἐς Ἑλλάδα νοστήσωμεν,
αὐτίκα οἱ γαμβρὸν ποιήσεται, ἤν κ' ἐθέλῃσθα,
ἀμφ' εὐεργεσίης· δώσει δέ τοι ἄσπετ' ἄγεσθαι
κτήματά τε χρυσόν τε μετ' ἠϋκόμοιο θυγατρὸς,
ὅσσ' ἐπέοικεν ἕπεσθαι ἐϋκτεάνῳ βασιλῆϊ.
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Εἰ μὲν δὴ καλέουσι θεοπροπίῃσιν Ἀχαιοὶ,
αὔριον αἶψα νεώμεθ' ἐπ' εὐρέα βένθεα πόντου,
ἤν τι φάος Δαναοῖσι λιλαιομένοισι γένωμαι·
νῦν δ' ἴομεν ποτὶ δώματ' ἐΰξεινόν τε τράπεζαν,
οἵην περ ξείνοισι θέμις προπάροιθε τανύσσαι·
ἀμφὶ δ' ἐμοῖο γάμοιο θεοῖς μετόπισθε μελήσει.
Ὣς εἰπὼν ἡγεῖθ'· οἱ δ' ἑσπόμενοι μέγα χαῖρον·
καὶ δὴ ὅτ' ἐς μέγα δῶμα κίον καὶ κάλλιμον αὐλὴν,
εὗρον Δηϊδάμειαν ἀκηχεμένην ἐνὶ θυμῷ,
τηκομένην θ', ὡσεί τε χιὼν κατατήκετ' ὄρεσσιν
Εὔρου ὕπαι λιγέος καὶ ἀτειρέος ἠελίοιο·
ὣς ἥ γε φθινύθεσκε δεδουπότος ἀνδρὸς ἀγαυοῦ.
Καί μιν, ἔτ' ἀχνυμένην περ, ἀγακλειτοὶ βασιλῆες
ἀσπάζοντ' ἐπέεσσι· πάϊς δέ οἱ ἐγγύθεν ἐλθὼν
μυθεῖτ' ἀτρεκέως γενεὴν καὶ οὔνομ' ἑκάστου·
χρειὼ δ', ἥν τιν' ἵκανον, ἐπέκρυφε μέχρις ἐς ἠῶ,
ὄφρα μὴ ἀχνυμένην μιν ἕλῃ πολύδακρυς ἀνίη,
καί μιν ἀπεσσύμενον μάλα λισσομένη κατερύκῃ.
Αἶψα δὲ δαῖτ' ἐπάσαντο, καὶ ὕπνῳ θυμὸν ἴηναν
πάντες, ὅσοι Σκύροιο πέδον περιναιετάασκον
εἰναλίης, τὴν μακρὰ περιβρομέουσι θαλάσσης
κύματα, ῥηγνυμένοιο πρὸς ἠόνας Αἰγαίοιο.
Ἀλλ' οὐ Δηϊδάμειαν ἐπήρατον ὕπνος ἔμαρπτεν,
οὔνομα κερδαλέου μιμνησκομένην Ὀδυσῆος,
ἠδὲ καὶ ἀντιθέου Διομήδεος, οἵ ῥά μιν ἄμφω
εὔνιν ποιήσαντο φιλοπτολέμου Ἀχιλῆος,
παρφάμενοι κείνοιο θρασὺν νόον, ὄφρ' ἀφίκηται
δήϊον εἰς ἐνοπήν· τῷ δ' ἄτροπος ἤντετο Μοῖρα,
ἥ οἱ ὑπέκλασε νόστον· ἀπειρέσιον δ' ἄρα πένθος
πατρὶ πόρεν Πηλῆϊ καὶ αὐτῇ Δηϊδαμείῃ.
Τοὔνεκά μιν κατὰ θυμὸν ἀάσπετον ἄμφεχε δεῖμα,
παιδὸς ἐπεσσυμένοιο ποτὶ πτολέμοιο κυδοιμὸν,
μή οἱ λευγαλέῳ ἐπὶ πένθεϊ πένθος ἵκηται.
Ἠὼς δ' εἰσανέβη μέγαν οὐρανόν· οἱ δ' ἀπὸ λέκτρων

qui-cudit divina illa : quæ tibi magno miraculo intuenti
erunt: nam tellus et cœlum atque mare
in scuto elaborata-sunt immensum circa orbem
et animalia undique expressa-sunt perinde-ac-si moveant
-sese,]miraculum ipsis diis; nec hominum unquam talia
aliquis vel vidit antea inter viros, vel gestavit,
nisi tuus pater, quem perinde-ac Jovem coluerunt Achivi
universi, ego autem imprimis, bene ei cupiens, amore
-prosecutus-sum,]et cæsi ejus cadaver ad naves portavi,
multis hostibus sævam necem cum-intulissem.
Quamobrem mihi ejus præclara arma concessit
diva Thetis, quæ rursus, quamvis exoptata-mihi, ego
tradam lubens, quando Ilium veneris.
Adhæc te Menelaus, posteaquam Priami urbe
eversa navibus in Græciam remeaverimus,
statim suum generum faciet, si modo volueris,
pro *his* meritis, et dabit tibi magnas asportandas
opes aurumque una-cum pulcricoma nata,
quantas *dotis loco* par-est comitari opulentum regem.
Sic locuto respondit Achillis strenuus filius:
Si ergo *me* advocant deum-responsis *moniti* Achivi,
cras sine-mora abeamus super latum gurgitem ponti,
si quid lucis Græcis exoptantibus afferam:
nunc vero conferamus-nos domum et ad hospitalem mensam,] qualem hospitibus decet apponere:
de meo autem matrimonio Diis in-posterum cura-erit.
Hæc fatus præcessit: illi autem subsequentes valde gaudebant,] et cum in magnificas ædes venissent ac pulcerrimam aulam,]invenerunt Deidamiam sese-angentem animi,
et liquescentem, veluti nix liquitur in-montibus
Euri vi striduli et indefessi solis:
ita hæc contabescebat post-casum mariti illustris.
Eamque adhuc mœrentem famigerati principes
salutarunt-amicis verbis, et filius ad-ipsam accedens
retulit non-dissimulanter familiam et nomen singulorum:
causam autem, quare venissent, suppressit usque ad Auroram,] ne tristem eam corriperet flebilis solicitudo,
ipsumque properantem multis precibus retardaret.
Mox cœnam sumpserunt, et somno animum refecerunt
omnes, qui Scyri solum incolebant
in-mari-sitæ, quam magnæ circumfremunt maris
undæ, alliso ad littora Ægæo.
Verum non Deidamiam pulcram somnus cepit,
nomen fraudulenti recordantem Ulyssis,
atque etiam semidei Diomedis, qui ipsam duo
viduassent bellorum-studioso Achille,
adhortati illius intrepidum animum, ut abiret
hostile ad bellum: cui inevitabilis obvenisset Parca,
quæ ejus interrupisset reditum; unde infinitum luctum
genitori conciliaverat Peleo et ipsi Deidamiæ.
Ideo ejus animum incredibilis tenebat metus,
filio festinante ad belli discrimen,
ne sibi ferali luctu luctus cumularetur.
Aurora interim ascendit in-magnum cœlum, illique

καρπαλίμως ὤρνυντο· νόησε δὲ Δηϊδάμεια·
αἶψα δ' υἱοῦ στέρνοισι περὶ πλατέεσσι χυθεῖσα,
ἀργαλέως γοάασκεν ἐς αἰθέρα, μακρὰ βοῶσα.
Ἠΰτε βοῦς ἐν ὄρεσσιν ἀπειρέσιον μεμακυῖα
πόρτιν ἑὴν δίζηται ἐν ἄγκεσιν, ἀμφὶ δὲ μακρὰ
οὔρεος αἰπεινοῖο περιβρομέουσι κολῶναι·
ὣς ἄρα μυρομένης ἀμφίαχεν αἰπὺ μέλαθρον
πάντοθεν ἐκ μυχάτων, μέγα δ' ἀσχαλόωσ' ἀγόρευε·
Τέκνον, ποῖ δὴ νῦν σοι ἐῢς νόος ἐκπεπότηται,
Ἴλιον ἐς πολύδακρυ μετὰ ξείνοισιν ἕπεσθαι,
ἧχι πολεῖς ὀλέκοντο κατ' ἀργαλέας ὑσμίνας,
καί περ ἐπιστάμενοι πόλεμον καὶ ἀεικέα χάρμην;
νῦν δὲ σὺ μὲν νέος ἐσσὶ, καὶ οὔπω δήϊα ἔργα
οἶδας, ἅ τ' ἀνθρώποισιν ἀλάλκουσιν κακὸν ἦμαρ.
Ἀλλὰ σὺ μέν μευ ἄκουσον, ἑοῖς δ' ἐνὶ μίμνε δόμοισι,
μή δή μοι Τροίηθε κακὴ φάτις οὖαθ' ἵκηται
σεῖο καταφθιμένοιο κατὰ μόθον· οὐ γὰρ ὀΐω
ἐλθέμεναί σ' ἔτι δεῦρο μετάτροπον ἐξ ὁμάδοιο.
Οὐδὲ γὰρ οὐδὲ πατὴρ τεὸς ἔκφυγε κῆρ' ἀΐδηλον,
ἀλλ' ἐδάμη κατὰ δῆριν, ὅπερ καὶ σεῖο καὶ ἄλλων
ἡρώων προφέρεσκε, θεὰ δέ οἱ ἔπλετο μήτηρ,
τῶνδε δολοφροσύνῃ καὶ μήδεσιν, οἵ σε καὶ αὐτὸν
δῆριν ἐπὶ στονόεσσαν ἐποτρύνουσι νέεσθαι.
Τοὔνεκ' ἐγὼ δείδοικα περὶ κραδίῃ τρομέουσα,
μή μοι καὶ σέο, τέκνον, ἀποφθιμένοιο πέληται
εὖνιν καλλειφθεῖσαν ἀεικέα πήματα πάσχειν.
Οὐ γάρ πώ τι γυναικὶ κακώτερον ἄλγος ἔπεισιν,
ἢ ὅτε παῖδες ὄλωνται, ἀποφθιμένοιο καὶ ἀνδρὸς,
χηρωθῇ δὲ μέλαθρον ὑπ' ἀργαλέου θανάτοιο.
Αὐτίκα γὰρ πέρι φῶτες ἀποτμήγουσιν ἀρούρας,
κείρουσιν δέ τε πάντα καὶ οὐκ ἀλέγουσι θέμιστας·
τοὔνεκεν οὔτι τέτυκται ὀϊζυρώτερον ἄλλο
χήρης ἐν μεγάροισιν ἀκιδνότερόν τε γυναικός.
Ἦ μέγα κωκύουσα· πάϊς δέ μιν ἀντίον ηὔδα·
Θάρσει, μῆτερ ἐμεῖο, κακὴν δ' ἀποπέμπεο φήμην·
οὐ γὰρ ὑπὲρ Κῆράς τις ὑπ' Ἄρεϊ δάμναται ἀνήρ·
εἰ δέ μοι αἴσιμόν ἐστι δαμήμεναι, εἵνεκ' Ἀχαιῶν
τεθναίην ῥέξας τι καὶ ἄξιον Αἰακίδῃσιν.
Ὣς φάτο· τῷ δ' ἄγχιστα κίεν γεραρὸς Λυκομήδης,
καί ῥά μιν ἰωχμοῖο λιλαιόμενον προσέειπεν·
Ὦ τέκος ὀβριμόθυμον, ἑῷ πατρὶ κάρτος ἐοικὼς,
οἶδ' ὅτι καρτερὸς ἐσσὶ καὶ ὄβριμος· ἀλλ' ἄρα καὶ ὣς
καὶ πόλεμον δείδοικα πικρὸν καὶ κῦμα θαλάσσης
λευγαλέον· ναῦται γὰρ ἀεὶ σχεδὸν εἰσὶν ὀλέθρου.
Ἀλλὰ σὺ δείδιε, τέκνον, ἐπὴν πλόον εἰσαφίκηαι
ὕστερον ἢ Τροίηθεν ἢ ἄλλοθεν, οἷά τε πολλὰ

lectis] propere surrexerunt, *id*que animadvertit Deidamia·
confestim igitur filii pectoribus latis circumfusa
miseris-modis lamentata-est ad cœlum, alte vociferans
Sicut vacca in montibus indesinenti mugitu
vitulam suam quærit per convalles, et passim longa
montis editi circumfremunt juga :
ita *illa* plangente circumsonuit ardua domus
undique ex penetralibus, valdeque indignata dixit :
Fili, quo nunc tibi sana mens avolavit,
ut-Ilion ad lacrymosum hospites comitari-velis,
ubi multi perierunt in infelicibus prœliis,
quamvis edocti bellum et tetrum conflictum?
adhuc vero tu adolescens es, nec dum bellicas res
nosti, quæ ab-hominibus propulsant exitialem diem.
Quare tu mihi auscultato, tuisque maneto in ædibus,
ne mihi a-Troja funestum nuncium aures feriat,
te exstinctum-esse in acie : nec enim spero
reversurum-esse te amplius huc reducem e bello.
Nec enim ipse parens tuus effugit pestem exitiosam,
sed occubuit in certamine, qui et te et alios
heroas longe-antecellebat, et Dea ejus erat mater,
idque horum dolo et consiliis, qui te etiam ipsum
bellum luctificum urgent adire.
Ideo ego trepido corde-anxio metuens,
ne mihi te quoque, fili, extincto contingat,
ut-orba relicta indignissimas calamitates perpetiar.
Non enim unquam feminæ pejor luctus accidit,
quam si liberi intereunt, mortuo etiam marito,
et viduatur domus funesta nece.
Statim enim vicini resecant agros,
abraduntque omnia, nec reverentur leges :
idcirco non est miserius quicquam,
quam vidua in ædibus mulier, atque infirmius.
Dixit vehementer ejulans; filius contra *hæc* ipsi retulit:
Bono-animo-esto, mater mea, et malum mitte omen;
non enim præter Fata ullus in bello occumbit vir:
quod si mihi fatale est occumbere, pro Achivis
moriar edito facinore aliquo digno Æacidis
Sic ait: at ad-eum proxime accessit senex Lycomedes
atque eum belli cupidum *ita* compellavit:
Fili cordate, tuum patrem fortitudine repræsentans
scio quod fortis sis et validus; sed tamen etiam sic
et bellum metuo acerbum, et fluctum maris
periculosum: nautæ enim semper vicini sunt morti.
Ideo tu cave-tibi, fili, cum navigationem institues
postmodo vel a-Troja vel aliunde, ut multa

τῆμος, ὅτ' αἰγοκερῆϊ συνέρχεται ἠερόεντι
ἠέλιος, μετόπισθε βαλὼν ῥυτῆρα βελέμνων,
τοξευτὴν, ὅτε χεῖμα λυγρὸν κλονέουσιν ἄελλαι,
ἠδ' ὁπότ' ὠκεανοῖο κατὰ πλατὺ χεῦμα φέρονται
ἄστρα, κατερχομένοιο ποτὶ κνέφας Ὠρίωνος·
δείδιε δ' ἐν φρεσὶν ᾗσιν ἰσημερίην ἀλεγεινὴν,
ᾗ ἔνι συμφορέονται ἀν' εὐρέα βένθεα πόντου

tum, quando cum Capricorno congreditur nebulosc
sol, post-tergum rejecto ejaculatore sagittarum,
arcitenente, cum hyemem sævam concitant nimbi
et quando Oceani in latam undam rapiuntur
sidera, descendente ad occasum Orione :
reformida etiam in animo tuo æquinoctium triste,
in quo committuntur per latum fundum ponti

ἔκποθεν ἀΐσσουσαι ὑπὲρ μέγα λαῖτμα θύελλαι,
ἢ ὅτε Πληιάδων πέλεται δύσις, ἥν ῥα καὶ αὐτὴν
δείδιθι μαιμώωσαν ἔσω ἁλός· ἐν δὲ καὶ ἄλλα
ἄστρα, τά που μογεροῖσι πέλει δέος ἀνθρώποισι
δυόμεν' ἠδ' ἀνιόντα κατὰ πλατὺ χεῦμα θαλάσσης.
Ὣς εἰπὼν κύσε παῖδα, καὶ οὐκ ἀνέεργε κελεύθου
ἱμείροντα μόθοιο δυσηχέος· ὃς δ' ἐρατεινὸν
μειδιόων ἐπὶ νῆα θοῶς ὥρμαινε νέεσθαι.
Ἀλλά μιν εἰσέτι μητρὸς ἐνὶ μεγάροισιν ἔρυκε
δακρυόεις ὀαρισμὸς, ἐπισπεύδοντα πόδεσσιν.
Ὡς δ' ὅτε τις θοὸν ἵππον ἐπὶ δρόμον ἰσχανόωντα
εἴργει ἐφεζόμενος, ὁ δ' ἐρυκανόωντα χαλινὸν
δάπτει ἐπιχρεμέθων, στέρνον δέ οἱ ἀφριόωντος
δεύεται, οὐδ' ἵστανται ἐελδόμενοι πόδες οἴμης,
πουλὺς δ' ἀμφοτέρωθεν ἐλαφροτάτοις ὑπὸ πόσσι
ταρφέα κινυμένοιο πέλει κτύπος, ἀμφὶ δὲ χαῖται
ῥώοντ' ἐσσυμένοιο, κάρη δ' εἰς ὕψος ἀείρει
φυσιόων μάλα πολλὰ, νόος δ' ἐπιτέρπετ' ἄνακτος·
ὣς ἄρα κύδιμον υἷα μενεπτολέμου Ἀχιλῆος
μήτηρ μὲν κατέρυκε, πόδες δέ οἱ ἐγκονέεσκον·
ἡ δὲ, καὶ ἀχνυμένη περ, ἑῷ ἐπαγάλλετο παιδί.
Ὃς δέ μιν ἀμφικύσας μάλα μυρία κάλλιπε μούνην
μυρομένην ἀλεγεινὰ φίλου κατὰ δώματα πατρός.
Οἵη δ' ἀμφὶ μέλαθρα μέγ' ἀσχαλόωσα χελιδὼν
μύρεται αἰόλα τέκνα, τά που μάλα τετριγῶτα
αἰνὸς ὄφις κατέδαψε, καὶ ἤκαχε μητέρα κεδνὴν,
ἡ δ' ὁτὲ μὲν χήρην περιπέπταται ἀμφὶ καλίην,
ἄλλοτε δ' εὐτύκτοισι περὶ προθύροισι ποτᾶται,
αἰνὰ κινυρομένη τεκέων ὕπερ· ὣς ἄρα κεῖνον
μύρετο Δηϊδάμεια· καὶ υἷεος ἄλλοτε μέν που
εὐνὴν ἀμφιχυθεῖσα μέγ' ἴαχεν, ἄλλοτε δ' αὖτε
κλαῖεν ἐπὶ φλιῇσι· φίλῳ δ' ἐγκάτθετο κόλπῳ,
εἴ τι ἐνὶ μεγάροισι τετυγμένον ἦεν ἄθυρμα,
ᾧ ἔπι, τυτθὸς ἐὼν, ἀταλὰς φρένας ἰαίνεσκεν·
ἀμφὶ δέ οἱ καὶ ἄκοντα λελειμμένον εἴ που ἴδοιτο,
ταρφέα μιν φιλέεσκε, καὶ εἴ τι περ ἄλλο γοῶσα
ἔδρακε παιδὸς ἑοῖο δαΐφρονος. Οὐ δ' ὅγε μητρὸς
ἄσπετ' ὀδυρομένης ἔτ' ἐπέκλυεν, ἀλλ' ἀπάτερθε
βαῖνε θοὴν ἐπὶ νῆα, φέρον δέ μιν ὠκέα γυῖα
ἀστέρι παμφανόωντι πανείκελον· ἀμφὶ δ' ἄρ' αὐτῷ
ἕσπεθ' ὁμῶς Ὀδυσῆϊ δαΐφρονι Τυδέος υἱός,
ἄλλοι δ' εἴκοσι φῶτες, ἀρηράμενοι φρεσὶ θυμὸν,
τοὺς ἔχε κεδνοτάτους ἐνὶ δώμασι Δηϊδάμεια·
καί σφεας ᾧ πόρε παιδὶ θοοὺς ἔμεναι θεράποντας,
οἳ τότ' Ἀχιλλέος υἷα θρασὺν περιποιπνύεσκον
ἐσσύμενον ποτὶ νῆα δι' ἄστεος· ὃς δ' ἐνὶ μέσσοις
ἤϊε καγχαλόων· κεχάροντο δὲ Νηρηΐναι
ἀμφὶ Θέτιν· καὶ δ' αὐτὸς ἐγήθεε Κυανοχαίτης,
εἰσορόων Ἀχιλῆος ἀμύμονος ὄβριμον υἷα·
ὃς δ' ἤδη πολέμοιο λιλαίετο δακρυόεντος,
καίπερ ἐὼν ἔτι παιδνὸς, ἔτ' ἄχνοος· ἀλλά μιν ἀλκὴ
καὶ μένος ὀτρύνεσκεν· ἑῆς δ' ἐξέσσυτο πάτρης,
οἷος Ἄρης, ὅτε μῶλον ἐπέρχεται αἱματόεντα
χωόμενος δηΐοισι, μέμηνε δέ οἱ μέγα θυμὸς,

undecunque exortæ in vasto æquore procellæ,
aut cum Pleiadum est occasus, quem et ipsum
suspectum-habe concitatum in mare, ibique etiam alia
astra, quæ ærumnosis incutiunt terrorem mortalibus,
dum-occidunt vel oriuntur circa spaciosum gurgitem maris.
Sic fatus osculum-dedit nepoti, nec retraxit ab itinere
cupidum belli clamosi: is igitur festivum
ridens ad navem statim festinabat ire.
Sed ipsum adhuc matris in ædibus moratus-est
lacrimabilis sermo, properantem pedibus.
Ut cum quis celerem equum ad cursum tendentem
cohibet insidens, is, quo-detinetur, frenum
mordet adhinniens, et pectus spumantis
rigatur, nec consistunt pedes promti ad-erumpendum,
atque ingens utrinque dum-levissimis pedibus
subinde se-agitat, existit strepitus, circumque jubæ
fluctuant concitati, et caput in altum effert
anhelans identidem, animus vero oblectatur domini:
sic igitur nobilem filium bellipotentis Achillis
mater quidem detinebat, sed pedes ei accelerabant.
Illa igitur, quamvis anxia, suo lætabatur super-filio.
Qui eam osculatus plus millies reliquit solam,
se-adflictantem-luctu acerbo cari in aula patris.
Non-secus-ac circum ædes ingenti mœstitia hirundo
luget picturatos pullos, quos misere stridentes
trux serpens devoravit, et contristavit matrem solicitam,
quæ nunc vacuum se-expandit circa nidum,
nunc bene-fabricatum circa vestibulum volat,
miseros ploratus-ciens natorum causa: sic illum
deplorabat Deidamia, ac filii modo
lecto circumfusa alta-voce lamentabatur, modo
flebat ad postes, caroque imposuit gremio,
si quod in domo reliquum-erat ludicrum,
quo, infans cum-esset, tenellam mentem oblectaverat,
sive ejus etiam jaculum relictum alicubi videbat,
crebro osculabatur, sive quidquam aliud inter-lugendum
conspexit filii sui animosi. Non vero is matris
graviter ejulantis amplius dicto-audiens-erat, sed procul
abiit citam ad navem, ferebantque eum festina membra,
stellæ lucidissimæ persimilem; utrimque autem ipsum
comitatus-est simul cum-Ulysse bellaci Tydei natus,
aliique viginti viri, instructi prudentia animum,
quos habebat maxime-industrios in ædibus Deidamia;
et illos suo dederat nato expediti ut-essent ministri,
qui tunc Achillis filium audacem stipabant
properantem ad navem per urbem: qui in medio-illorum
incedebat lætus; lætabantur vero Nereides
circa Thetin, atque ipse gaudebat Nereus,
conspiciens Achillis probati strenuum natum,
qui jam belli percupidus-erat lamentabilis,
quamvis esset adhuc adolescentulus, adhuc imberbis; sed
ipsum robur] ac vis incitabant, et e-sua discedebat patria
instar Martis, cum ad-pugnam se-confert cruentam
succensens hostibus, et furit ejus valde animus,

καί οἱ ἐπισκύνιον βλοσυρὸν πέλει· ἀμφὶ δ' ἄρ' αὐτῷ
ὄμματα μαρμαίρουσιν ἴσον πυρὶ, τοῦ δὲ παρειαὶ
κάλλος ὁμοῦ κρυόεντι φόβῳ καταειμέναι αἰεὶ
φαίνοντ' ἐσσυμένου· τρομέουσι δὲ καὶ θεοὶ αὐτοί·
τοῖος ἔην Ἀχιλῆος ἐῢς πάϊς. Οἱ δ' ἀνὰ ἄστυ
εὔχοντ' ἀθανάτοισι σαωσέμεν ἐσθλὸν ἄνακτα,
ἀργαλέου παλίνορσον ἀπ' Ἄρεος· οἱ δ' ἐσάκουσαν
εὐχομένων· ὁ δὲ πάντας ὑπείρεχεν, οἵ οἱ ἕποντο.
Ἐλθόντες δ' ἐπὶ θῖνα βαρυγδούποιο θαλάσσης,
εὗρον ἔπειτ' ἐλατῆρας ἐϋξόου ἔνδοθι νηὸς
ἱστία τ' ἐντείνοντας ἐπειγομένους τ' ἀνὰ νῆα.
Αἶψα δ' ἀν' αὐτὸς ἔβη· οἱ δ' ἔκτοθι πείσματ' ἔλυσαν
εὐνάς θ', αἳ νήεσσι μέγα σθένος αἰὲν ἕπονται.
Τοῖσι δ' ἄρ' εὐπλοΐην πόσις ὤπασεν Ἀμφιτρίτης
προφρονέως· μάλα γάρ οἱ ἐνὶ φρεσὶ μέμβλετ' Ἀχαιῶν
τειρομένων ὑπὸ Τρωσὶ καὶ Εὐρυπύλῳ μεγαθύμῳ.
Οἱ δ' Ἀχιλήϊον υἷα, παρεζόμενοι ἑκάτερθεν,
τέρπεσκον μύθοισιν, ἑοῦ πατρὸς ἔργ' ἐνέποντες,
ὅσσα τ' ἀνὰ πλόον εὐρὺν ἐμήσατο καὶ ποτὶ γαίῃ
Τηλέφου ἀγχεμάχοιο, καὶ ὁππόσα Τρῶας ἔρεξεν
ἀμφὶ πόλιν Πριάμοιο, φέρων κλέος Ἀτρείδῃσι.
Τοῦ δ' ἰαίνετο θυμὸς ἐελδομένοιο καὶ αὐτοῦ
πατρὸς ἀταρβήτοιο μένος καὶ κῦδος ἀρέσθαι.
Ἡ δέ που ἐν θαλάμοισιν ἀκηχεμένη περὶ παιδὶ
ἐσθλὴ Δηϊδάμεια πολύστονα δάκρυα χεῦεν·
καί οἱ ἐνὶ φρεσὶ θυμὸς ὑπ' ἀργαλέῃσιν ἀνίῃς
τήκεθ', ὅπως ἀλαπαδνὸς ἐπ' ἀνθρακιῇσι μόλιβδος
ἠὲ τρύφος κηροῖο· γόος δέ μιν οὔποτ' ἔλειπε
δερκομένην ἐπὶ πόντον ἀπείριτον· οὕνεκα μήτηρ
ἄχνυθ' ἑῷ περὶ παιδὶ, καὶ ἢν ἐπὶ δαῖτ' ἀφίκηται·
καί ῥά οἱ ἱστία νηὸς ἀπόπροθι πολλὸν ἰούσης
ἤδη ἀπεκρύπτοντο καὶ ἠέρι φαίνεθ' ὁμοῖα.
Ἀλλ' ἡ μὲν στονάχιζε πανημερίη γοόωσα·
νηῦς δ' ἔθεεν κατὰ πόντον ἐπισπομένου ἀνέμοιο
τυτθὸν ἐπιψαύουσα πολυρρόθιοιο θαλάσσης,
πορφύρεον δ' ἑκάτερθε περὶ τρόπιν ἔβραχε κῦμα.
Αἶψα δὲ νηῦς μέγα λαῖτμα διήνυσε ποντοποροῦσα·
ἀμφὶ δέ οἱ πέσε νυκτὸς ἔπι κνέφας· ἡ δ' ὑπ' ἀήτῃ
πλῶε κυβερνήτῃ τε διαπρήσσουσα θαλάσσης
βένθεα. Θεσπεσίη δὲ πρὸς οὐρανὸν ἤλυθεν ἠώς·
τοῖσι δ' ἄρ' Ἰδαίων ὀρέων φαίνοντο κολῶναι
Χρύσα τε καὶ Σμίνθειον ἕδος καὶ Σιγιὰς ἄκρη
τύμβος τ' Αἰακίδαο δαΐφρονος· ἀλλά μιν οὔτι
υἱὸς Λαέρταο πύκα φρονέων ἐνὶ θυμῷ
δεῖξε Νεοπτολέμῳ, ἵνα οἱ μὴ πένθος ἀέξῃ
θυμὸς ἐνὶ στήθεσσι. Παρημείβοντο δὲ νήσους
αἶψα Καλυδναίας· Τένεδος δ' ἀπελείπετ' ὀπίσσω·
φαίνετο δ' αὖθ' Ἐλεοῦντος ἕδος, οὗ Πρωτεσιλάου
σῆμα πέλει πτελέῃσι κατάσκιον αἰπεινῇσιν·
αἵ ῥ' ὁπότ' ἀθρήσωσιν, ἀνερχόμεναι δαπέδοιο,
Ἴλιον, αὐτίκα τῇσι θοῶς αὐαίνεται ἄκρα.
Νῆα δ' ἐρεσσομένην ἄνεμος φέρεν ἀγχόθι Τροίης·
ἵκετο δ' ἧχι καὶ ἄλλα ἔσαν παρὰ θίνεσι νῆες
Ἀργείων, οἳ τῆμος ὀϊζυρῶς πονέοντο

atque ipsi supercilium truculentum existit, et utrinque ei
oculi fulgent non-aliter-quam ignis, illiusque genæ
pulcritudine simul horrificoque terrore vestitæ perpetuo
videntur, dum-ruit, horrentque etiam Dii ipsi:
talis erat Achillis egregius filius. Illi (*cives*) autem in urbe
vota-faciebant superis, ut servarent bonum principem
a difficili reducem bello: qui exaudierunt
precantes. Ille vero supra omnes eminuit, qui eum seque-
bantur.] Hinc progressi ad littus acrisoni maris,
offenderunt tum remiges navem intra politam
carbasa explicantes et impigre occupatos in navi.
Statim igitur ipse conscendit; illi autem extrinsecus reti-
nacula laxarunt]et ancoras, quæ naves, ingens robur, per-
petuo comitantur.] His igitur secundum-cursum maritus
dedit Amphitritæ] benigne: magna enim ipsi in animo cu-
ra-erat Achivum,]qui premebantur a Trojanis et Eurypylo
magnanimo.] Cæterum illi Achillis filium, assidentes hinc
inde,]mulcebant colloquio, patris ipsius facinora memo-
rantes,] quæ in navigatione longa edidisset et in ditione
Telephi pugnacis, et quæ in-Trojanos designasset,
circa urbem Priami, ferens gloriam Atridis.
Illius itaque oblectabatur animus, cum-speraret et ipse
patris intrepidi fortitudinem et gloriam se-adepturum.
At in thalamo anxia de filio
præstans Deidamia cum-multis-suspiriis lacrimas funde-
bat,] et ejus in visceribus cor molestis curis
liquescebat, ut molle super prunis plumbum
aut frustum ceræ; mœrorque illam nunquam deserebat
prospectantem in mare vastum: namque mater
solicita-est suo de filio, si vel ad epulum se-contulerit.
Et ipsi lintea navis nimis longe abeuntis
jam abscondebantur aerique apparebant similia.
Atqui hæc mœrebat, totum-diem lamentans:
navis autem currebat per pontum secundo vento,
leviter perstringens fluctuosum mare,
purpureusque utrinque carinam circumstrepuit fluctus.
Statim igitur navis magnum æquor emensa-est pontigrada;
eique circumfundebantur noctis tenebræ; tum ductu venti
navit et magistri transmissura maris
profundum. Hinc alma ad cœlum conscendit Aurora,
illisque Idæorum montium apparebant vertices
Chrysaque et Sminthium delubrum ac Sigeum promonto-
rium] tumulusque Achillis strenui. At hunc nondum
filius Laertæ, *rem* altius considerans apud animum,
ostendit Neoptolemo, ne ipsi luctum conciperet
animus in pectore. Præterierunt etiam insulas
subito Calydnæas, et Tenedos relicta-est a-tergo,
apparebat porro Eleuntis sedes, ubi Protesilai
monimentum exstat ulmis opacum proceris:
quæ ubi viderint, promissæ a-tellure,
Ilium, mox illis subito arescunt cacumina.
Tandem navem remis-promotam ventus appulit ad Trojam,
pervenitque, ubi etiam aliæ erant in littore naves
Argivum, qui tunc infeliciter bellum-gerebant

μαρνάμενοι περὶ τεῖχος, ὅπερ πάρος αὐτοὶ ἔδειμαν
νηῶν ἔμμεναι ἕρκος ἐϋσθενέων θ' ἅμα λαῶν
ἐν πολέμῳ· Τὸ δ' ἄρ' ἤδη ὑπ' Εὐρυπύλοιο χέρεσσι
μέλλεν ἀμαλδύνεσθαι ἐρειπόμενον ποτὶ γαίῃ·
εἰ μὴ ἄρ' αἶψ' ἐνόησε κραταιοῦ Τυδέος υἱὸς
βαλλόμεν' ἕρκεα μακρὰ, θοῆς δ' ἄφαρ ἔκθορε νηὸς,
θαρσαλέως δ' ἐβόησεν, ὅσον χάδε οἱ κέαρ ἔνδον·
Ὦ φίλοι, ἦ μέγα πῆμα κυλίνδεται Ἀργείοισι
σήμερον· ἀλλ' ἄγε θᾶσσον ἐς αἰόλα τεύχεα δύντες
ἴομεν ἐς πολέμοιο πολυκμήτοιο κυδοιμόν·
ἤδη γὰρ πύργοισιν ἐφ' ἡμετέροισι μάχονται
Τρῶες ἐϋπτόλεμοι, τοὶ δὴ τάχα τείχεα μακρὰ
ῥηξάμενοι πυρὶ νῆας ἐνιπρήσουσι μάλ' αἰνῶς·
νῶϊν δ' οὐκ ἔτι νόστος ἐελδομένοις ἀνὰ θυμὸν
ἔσσεται· ἀλλὰ καὶ αὐτοὶ ὑπὲρ μόρον αἶψα δαμέντες
κεισόμεθ' ἐν Τροίῃ τεκέων ἑκὰς ἠδὲ γυναικῶν.
Ὣς φάτο· τοὶ δ' ὤκιστα θοῆς ἐκ νηὸς ὄρουσαν
πανσυδίῃ· πάντας γὰρ ἕλε τρόμος εἰσαΐοντας
νόσφι Νεοπτολέμοιο δαΐφρονος, οὕνεκ' ἐῴκει
πατρὶ φίλῳ μέγα κάρτος· ἔρως δέ οἱ ἔμπεσε χάρμης.
Καρπαλίμως δ' ἵκοντο ποτὶ κλισίην Ὀδυσῆος·
ἡ γὰρ ἔην ἄγχιστα νεὸς κυανοπρώροιο·
πολλὰ δ' ἄρ' ἐξημοιβὰ παρ' αὐτόθι τεύχεα κεῖτο,
ἠμὲν Ὀδυσσῆος πυκιμήδεος, ἠδὲ καὶ ἄλλων
ἀντιθέων ἑτάρων, ὁπόσα κταμένων ἀφέλοντο.
Ἔνθ' ἐσθλὸς μὲν ἔδυ καλὰ τεύχεα, τοὶ δὲ χέρεια
δῦσαν, ὅσοις ἀλαπαδνὸν ὑπὸ κραδίῃ πέλεν ἦτορ·
αὐτὰρ Ὀδυσσεὺς δύσαθ' ἅ οἱ Ἰθάκηθεν ἕποντο·
δῶκε δὲ Τυδείδῃ Διομήδεϊ κάλλιμα τεύχη
κεῖνα, τὰ δὴ Σώκοιο βίην εἴρυσσε πάροιθεν.
Υἱὸς δ' αὖτ' Ἀχιλῆος ἐδύσατο τεύχεα πατρὸς,
καί οἱ φαίνετο πάμπαν ἀλίγκιος· ἀμφὶ δ' ἐλαφρὰ
Ἡφαίστου παλάμῃσι περὶ μελέεσσιν ἀρήρει,
καίπερ ἐόνθ' ἑτέροισι πελώρια· τῷ δ' ἅμα πάντα
φαίνετο τεύχεα κοῦφα· κάρη δέ μιν οὔτι βάρυνε
πο[illegible] * * * * * * * * * * * * * * *
* * ἀλλά ἑ χερσὶ, καὶ ἠλίβατόν περ ἐοῦσαν,
ῥηϊδίως ἀνάειρεν, ἔθ' αἵματος ἰσχανόωσαν.
Ἀργείων δέ μιν ὅσσοι ἐπέδρακον, οὔτι δύναντο,
καίπερ ἐελδόμενοι, σχεδὸν ἐλθέμεν, οὕνεκ' ἄρ' αὐτοὺς
πᾶν περὶ τεῖχος ἔτειρε βαρὺς πολέμοιο κυδοιμός.
Ὡς δ' ὅτ' ἀν' εὐρέα πόντον ἐρημαίῃ περὶ νήσῳ
ἀνθρώπων ἀπάτερθεν ἐεργμένοι ἀσχαλόωσιν
ἀνέρες, οὓς τ' ἀνέμοιο καταιγίδες ἀντιόωσαι
εἴργουσιν μάλα πολλὸν ἐπὶ χρόνον, οἱ δ' ἀλεγεινοὶ
νηῒ περιτρωχῶσι, καταφθινύθει δ' ἄρα πάντα
ἦϊα, τειρομένοισι δ' ἐπιπνεύσῃ λιγὺς οὖρος·
ὣς ἄρ' Ἀχαιῶν ἔθνος, ἀχηχέμενον τοπάροιθεν,
ἀμφὶ Νεοπτολέμοιο βίῃ κεχάροντο μολόντι,
ἐλπόμενοι στονόεντος ἀναπνεύσειν καμάτοιο.
Ὄσσε δέ οἱ μάρμαιρεν ἀναίδεος εὖτε λέοντος,
ὅς τε κατ' οὔρεα μακρὰ μέγ' ἀσχαλόων ἐνὶ θυμῷ
ἔσσυται ἀγρευτῆρσιν ἐναντίον, οἵ τε οἱ ἤδη
ἄντρῳ ἐπεμβαίνωσιν ἐρύσσασθαι μεμαῶτες

propugnantes pro muro, quem antea ipsi eduxerant,
navium ut-esset munimentum et fortium simul militum
in bello. Sed jam Eurypyli manibus
futurum-erat, ut-destrueretur æquatus solo,
nisi propere animadvertisset fortis Tydei natus
dejici propugnacula ardua, et volucri repente exiluisset e
-navi :]animosam igitur vocem-sustulit, quantam capiebant
ejus præcordia intus :] Commilitones, certe ingens clades
advolvitur Archivis]hodie; quare agite ocyus variis armis
indutis] ineamus belli laboriosi conflictum :
jam enim sub turribus nostris prœliantur
Troes belligeri, qui sane mox mœnibus longis
perfractis igni naves succendent immaniter:
tum nobis haud amplius reditus pro-desiderio animi
continget ; quin etiam ipsi præter fatum subito victi
jacebimus ad Trojam, a-liberis procul et uxoribus.
Hæc ait : ast illi celerrime cita ex navi eruperunt
toto-agmine ; omnes enim cœperat pavor audientes
excepto Neoptolemo forti, quia similis-erat
patri caro magna vi ; quin cupido illum incessit pugnæ.
Confestim igitur venerunt ad papilionem Ulyssis ;
is enim erat proxime navem cærulea-prora-insignem,
multaque ac varia inibi arma posita-erant,
cum Ulyssis solertis, tum et aliorum
diis-similium sociorum, quibus cæsos exuerant.
Tunc strenuus induit pulcra arma, deteriora autem
sumpserunt, quibus infirmus in pectore erat animus :
Ulysses vero se-accinxit *illis*, quæ eum ex-Ithaca secuta
-erant,] et tradidit Tydidæ Diomedi pulcra arma
illa, quæ Soco violento detraxerat olim.
Filius porro Achillis munivit-se armis patris,
eique videbatur omnino similis; undique enim *illa* levia
per-Vulcani manus membris *ejus* conveniebant,
quamvis essent aliis grandia ; huic tamen simul omnia
videbantur arma levia : caput enim ejus nihil gravabat
galea, * * * * * * * * * * * * * * * *
* * sed hanc manibus, quamvis ardua esset,
facillime sustulit, adhuc sanguini inhiantem.
Argivum autem quotquot eum conspexerunt, non poterant,] quanquam cuperent, procul accedere, quod ipsos
omnem circa murum vexaret gravis pugnæ perplexitas.
Sicut in late-patenti mari desertam ad insulam
ab-hominibus procul interclusi ægro-sunt-animo
nautæ, quos ventorum turbines adversi
detinent nimis longo tempore, miserique
per navem cursitant, ac deficiunt interim omnia
alimenta, afflictis vero *tandem* aspirat secundus ventus
non-secus Achivum gens, mœrore-adfecta antea,
ob Neoptolemi virtutem gaudebant adventantis,
sperantes, molestissimo fore-ut-respirent a-labore.
Oculi autem ipsi fulgebant pervicaci tanquam leoni,
qui in montibus arduis valde indignatus in animo
ruit contra venatores, qui ipsius jam
antrum subeunt, abstrahere conantes

σκύμνους οἰωθέντας ἑῶν ἀπὸ τῆλε τοκήων
βήσσῃ ἐνὶ σκιερῇ· ὁ δ' ἄρ' ὑψόθεν ἔκ τινος ἄκρης
ἀθρήσας ὀλοοῖσιν ἐπέσσυται ἀγρευτῆρσι,
σμερδαλέον βλοσυρῇσιν ὑπαὶ γενύεσσι βεβρυχώς·
ὣς ἄρα φαίδιμος υἱὸς ἀταρβέος Αἰακίδαο
θυμὸν ἐπὶ Τρώεσσιν ἐϋπτολέμοισιν ὄρινεν.
Οἴμησεν δ' ἄρα πρῶτον, ὅπῃ μάλα δῆρις ὀρώρει
ἂμ πεδίον· τῇ γάρ σφίσιν ἔπλετο τεῖχος Ἀχαιῶν
ῥηΐτερον δηΐοισι μετὰ κλόνον ἐσσυμένοισιν,
οὕνεκ' ἀκιδνοτέρῃσιν ἐπάλξεσιν ἠρήρειστο.
Σὺν δέ οἱ ἄλλοι ἔβαν μέγα μαιμώωντες Ἄρηϊ· [ρους
εὗρον δ' Εὐρύπυλον κρατερόφρονα· τῷ δ' ἅμ' ἑταί-
πύργῳ ἐπεμβεβαῶτας, ὀϊομένους περὶ θυμῷ
ῥήξειν τείχεα μακρὰ καὶ Ἀργείους ἀπολέσσειν
πανσυδίῃ. Τοῖς δ' οὔτι θεοὶ τελέεσκον ἐέλδωρ·
ἀλλὰ σφέας Ὀδυσεύς τ' ἠδὲ σθεναρὸς Διομήδης
ἰσόθεός τε Νεοπτόλεμος δῖός τε Λεοντεὺς
ἂψ ἀπὸ τείχεος ὦσαν ἀπειρεσίοις βελέεσσιν.
Ὡς δ' ὅτ' ἀπὸ σταθμοῖο κύνες μογεροί τε νομῆες
κάρτεϊ καὶ φωνῇ κρατεροὺς σεύουσι λέοντας
πάντοθεν ἐσσύμενοι· τοὶ δ' ὄμμασι γλαυκιόωντες
στρωφῶντ' ἔνθα καὶ ἔνθα, λιλαιόμενοι μέγα θυμῷ
πόρτιας ἠδὲ βόας μετὰ γαμφηλῇσι λαφύξαι,
ἀλλὰ καὶ ὣς εἴκουσι κυνῶν ὕπο καρτεροθύμων
σευόμενοι· μάλα γάρ σφιν ἐπαΐσσουσι νομῆες·
* * * * * * * * * * * * * * * * * *
βαιόν, ὅσον τις ἵησι χερὸς περιμήκεα λᾶαν·
οὐ γὰρ Τρῶας ἔα νηῶν ἀπὸ νόσφι φέβεσθαι
Εὐρύπυλος, δηΐων δὲ μάλα σχεδὸν ὀτρύνεσκε
μίμνειν, εἰσόκε νῆας ἕλῃ καὶ πάντας ὀλέσσῃ
Ἀργείους. Ζεὺς γάρ οἱ ἀπειρέσιον βάλε κάρτος.
Αὐτίκα δ' ὀκριόεσσαν ἑλὼν καὶ ἀτειρέα πέτρην
ἧκεν ἐπεσσυμένως κατὰ τεῖχεος ἠλιβάτοιο·
σμερδαλέον δ' ἄρα πάντα περιπλατάγησε θέμεθλα
ἕρκεος αἰπεινοῖο· δέος δ' ἕλε πάντας Ἀχαιούς,
τείχεος ὡς ἤδη συνοχωκότος ἐν κονίῃσιν.
Ἀλλ' οὐδ' ὣς ἀπόρουσαν ἀταρτηροῖο κυδοιμοῦ,
ἀλλ' ἔμενον θώεσσιν ἐοικότες ἠὲ λύκοισι,
μήλων ληϊστῆρσιν ἀναιδέσιν, εὖτ' ἐν ὄρεσσι
ἄντρων ἐξελάσωσιν ὁμῶς κυσὶν ἀγροιῶται
ἱέμενοι σκύμνοισι φόνον στονόεντα βαλέσθαι
ἐσσυμένως, τοὶ δ' οὔτι βιαζόμενοι βελέεσσι
χάζοντ', ἀλλὰ μένοντες ἀμύνουσιν τεκέεσσιν·
ὣς ἄρ' ἀμυνόμενοι νηῶν ὕπερ ἠδὲ καὶ αὐτῶν
μίμνον ἐν ὑσμίνῃ· τοῖς δ' Εὐρύπυλος θρασυχάρμης
ἠπείλει μέγα πᾶσι νηῶν προπάροιθε θοάων·
Ἆ δειλοὶ καὶ ἄναλκιν ἐνὶ φρεσὶ θυμὸν ἔχοντες,
οὐκ ἂν δή με βέλεσσι νεῶν ἄπο ταρβήσαντα
ἠλάσατ', εἰ μὴ τεῖχος ἐμὴν ἀπέρυκεν ὁμοκλήν·
νῦν δέ μοι, εὖτε λέοντι κύνες πτώσσοντες ἐν ὕλῃ,
μάρνασθ' ἔνδον ἐόντες, ἀλευόμενοι φόνον αἰπύν.
Ἢν δέ ποτ' ἐκ νηῶν ἐς Τρώϊον οὖδας ἵκησθε,
ὡς τὸ πάρος, μεμαῶτες ἐπὶ μόθον, οὔ νύ τις ὑμέας
ῥύσεται ἐκ θανάτοιο δυσηχέος, ἀλλ' ἅμα πάντες

catulos desertos onge ipsorum a parentibus
in valle umbrosa; ille igitur alte e quapiam specula
prospiciens in-crudeles impetum-facit venatores,
immanem exitiali rictu rugitum-edens:
sic igitur alacer filius interriti Æacidæ
iram in Trojanos Martipotentes acuit.
Properabat igitur primum *eo*, ubi maxime pugna exasperata-erat] in campo: ibi enim ipsis imminebat murus Achivum] facilior *expugnatu* hostibus ad oppugnationem concitatis,] quod minus-validis propugnaculis fultus-esset.
Cumque eo alii accesserunt valde cupidi belli,
et deprehenderunt Eurypylum fortem, cumque eo amicos
turrim conscendentes, qui-sperabant apud animum
fore-ut-frangant murum spaciosum et Argivos delerent
ad-internecionem. Sed illis minime Dii explerunt votum:
quin ipsos Ulysses et validus Diomedes
divinusque Neoptolemus eximiusque Leonteus
retro a muro pepulerunt innumeris jaculis.
Haud-secus-ac quando a caula canes operosique pastores
vi et clamore validos abigunt leones
undique incurrentes; illi igitur oculis glaucis-rutilantes
obversantur huc et illuc, cupientes valde in-animis
vitulos et boves maxillis *suis* discerpere,
at nihilominus cedunt a canibus magnanimis
depulsi; acriter enim ipsis instant pastores:
* * * * * * * * * * * * * * * * * * *
ad-exiguum-spatium, quo quis jaciat manu grandem lapidem.] Non enim Troas patiebatur a navibus fugari
Eurypylus, sed apud-hostes quam proxime jubebat
consistere, donec navibus potiretur omnesque interimeret
Argivos: Juppiter enim ei infinitum suppeditarat robur.
Statim igitur asperum corripiens solidumque saxum
rotavit magno-impetu in murum excelsum;
unde horrendum omnia circum-strepuerunt fundamenta
munitionis arduæ, et pavor ingruit omnibus Achivis,
ceu muro jam considente in pulverem.
Nec tamen idcirco excessere *Græci* adversa pugna,
sed restiterunt thoes imitantes aut lupos,
ovium prædones impudentes, quando in montibus
e-lustris *eos* exigunt canum ope agrestes
conantes catulis necem tristem inferre
e-vestigio, illi autem minime, *quamvis* obruti jaculis,
cedunt, sed resistentes defendunt parvulos:
ita et *Græci* propugnantes pro navibus et *se* ipsis,
manebant in acie. Quibus Eurypylus audax-pugnator
minatus-est atrociter universis ante naves subitas:
Vah timidi et imbellem in animis spiritum habentes,
nequaquam me telis a navibus perterrefactum
repulissetis, nisi murus meæ obstitisset impressioni:
nunc igitur mecum, ut cum-leone canes trepidantes in silva,
dimicatis intus vos-continentes, subterfugientes stragem
funestam.] Quod si aliquando e navibus in Trojanum campum prodieritis,] ut prius, tendentes ad pugnam, nemo vos
defendet a morte querula, sed simul omnes

κείσεσθ' ἐν κονίησιν ἐμοῦ ὕπο δῃωθέντες.
Ὣς ἔφατ' ἀκράαντον ἱεὶς ἔπος· οὐδέ τι ᾔδει
ὅττι ῥά οἱ μέγα πῆμα κυλίνδετο βαιὸν ἄπωθεν
χερσὶ Νεοπτολέμοιο θρασύφρονος, ὅς μιν ἔμελλε
δάμνασθ' οὐ μετὰ δηρὸν ὑπ' ἔγχεϊ μαιμώωντι.
Οὐδὲ μὲν οὐδὲ τότ' ἔσκεν ἄτερ κρατεροῖο πόνοιο,
ἀλλὰ Τρῶας ἔναιρεν ἀφ' ἕρκεος· οἱ δ' ἐφέβοντο
βαλλόμενοι καθύπερθε· περικλονέοντο δ' ἀνάγκῃ
Εὐρυπύλῳ· πάντας γὰρ ἀνιηρὸν δέος ᾕρει.
Ὡς δ' ὅτε νηπίαχοι περὶ γούνασι πατρὸς ἑοῖο
πτώσσουσι βροντὴν μεγάλου Διὸς ἀμφὶ νέφεσσι
ῥηγνυμένην, ὅτε δεινὸν ἐπιστοναχίζεται αἰθήρ·
ὣς ἄρα Τρώϊοι υἷες ἐν ἀνδράσι Κητείοισιν,
ἀμφὶ μέγαν βασιλῆα, Νεοπτολέμου φοβέοντο
πᾶν, ὅ,τι χερσὶν ἔηχεν· ἐς ἰθὺ γὰρ ἔπτατο πῆμα
δυσμενέων κεφαλῇσι φέρον πολύδακρυν Ἄρηα·
οἱ δ' ἄρ' ἀμηχανίῃ βεβολημένοι ἔνδοθεν ἦτορ
Τρῶες ἔφαντ' Ἀχιλῆα πελώριον εἰσοράασθαι
αὐτὸν ὁμῶς τεύχεσσι· καὶ ἀμφασίην ἀλεγεινὴν
κεῦθον ὑπὸ κραδίῃ, ἵνα μὴ δέος αἰνὸν ἵκηται
ἐς φρένα Κητείων, μηδ' Εὐρυπύλοιο ἄνακτος·
αὐτοὶ δ' ἄλλοθεν ἄλλος ἀπειρέσιον τρομέοντες
μεσσηγὺς κακότητος ἔσαν κρυεροῦ τε φόβοιο·
αἰδὼς γὰρ κατέρυκεν ὁμῶς καὶ δεῖμ' ἀλεγεινόν.
Ὡς δ' ὅτε παιπαλόεσσαν ὁδὸν κάτα ποσσὶν ἰόντες
ἀνέρες ἀθρήσωσιν ἀπ' οὔρεος ἀΐσσοντα
χείμαῤῥον, καναχῇ δὲ περιβρομέει πέρι πέτρη,
οὐδέ τί οἱ μεμάασιν ἀνὰ ῥόον ἠχήεντα
δύμεναι ἐγκονέοντες, ἐπεὶ παρὰ ποσσὶν ὄλεθρον
δερκόμενοι τρομέουσι καὶ οὐκ ἀλέγουσι κελεύθου·
ὣς ἄρα Τρῶες ἔμιμνον, ἐελδόμενοί περ ἀϋτῆς,
τεῖχος ὑπ' Ἀργείων. Τοὺς δ' Εὐρύπυλος θεοειδὴς
αἰὲν ἐποτρύνεσκε ποτὶ κλόνον· ἦ γὰρ ἐώλπει
πολλοὺς δηϊόωντα πελώριον ἐν δαῒ φῶτα
χεῖρα καμεῖν καὶ κάρτος· ὁ δ' οὐκ ἀπέληγε μόθοιο.
Τῶν δ' ἄρ' Ἀθηναίη κρατερὸν πόνον εἰσορόωσα
κάλλιπεν Οὐλύμποιο θυώδεος αἰπὰ μέλαθρα·
βῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς ὀρέων· οὐδ' ἴχνεσι γαίης
ψαῦε μέγ' ἐγκονέουσα· φέρεν δέ μιν ἱερὸς ἀήρ,
εἰδομένην νεφέεσσιν, ἐλαφροτέρην δ' ἀνέμοιο.
Τροίην δ' αἶψ' ἐκίχανε, πόδας δ' ἐπέθηκε κολώνῃ
Σιγέου ἠνεμόεντος· ἐδέρκετο δ' ἔνθεν ἀϋτὴν
ἀγχεμάχων ἀνδρῶν· κύδαινε δὲ πολλὸν Ἀχαιούς.
Υἱὸς δ' αὖτ' Ἀχιλῆος ἔχεν πολὺ φέρτατον ἄλλων
θάρσος ὁμοῦ καὶ κάρτος, ἅ τ' ἀνδράσιν εἰς ἓν ἰόντα
τεύχουσιν μέγα κῦδος· ὁ δ' ἀμφοτέροισι κέκαστο,
οὕνεκ' ἔην Διὸς αἷμα, φίλῳ δ' ᾔϊκτο τοκῆϊ·
τῷ καὶ ἄτρεστος ἐὼν πολέας κτάνεν ἀγχόθι πύργων.
Ὡς δ' ἁλιεὺς κατὰ πόντον ἀνὴρ λελιημένος ἄγρης,
τεύχων ἰχθύσι πῆμα, φέρει μένος Ἡφαίστοιο
νηὸς ἑῆς ἔντοσθε, διεγρομένη δ' ὑπ' ἀϋτμῇ
μαρμαίρει περὶ νῆα πυρὸς σέλας, οἱ δὲ κελαινῆς
ἐξ ἁλὸς ἀΐσσουσι μεμαότες ὕστατον αἴγλην
εἰσιδέειν· τοὺς γάρ ῥα τανυγλώχινι τριαίνῃ

jacebitis in pulvere a me contrucidati.
Sic ait vanum effutiens verbum, nec sciebat
quod sibi funesta calamitas volveretur non-tam longe
manibus Neoptolemi fortis, qui ipsum erat
transfixurus non multo post hasta prompta.
Nec vero tum *is* erat absque forti labore
sed Troas cædebat de muro, qui fugitabant
icti desuper, et glomerabantur necessitate *urgente*
circa Eurypylum : omnes enim anxius timor incesserat.
Ac veluti puernli circa genua patris sui
horrescunt tonitru magni Jovis e nubibus
elisum, cum terrificum reboat æther :
hoc-modo Trojana pubes inter milites Ceteos
circa magnum regem, Neoptolemi extimuerunt
quicquid manibus torsit, recta enim in perniciem volavit
hostium capitibus afferens lacrimosam belli-stragem;
itaque angustia-rerum perculsi penitus cor
Troes putarunt Achillem immanem se-conspicari
ipsum cum armis; sed *hanc* perplexitatem mœstam
premebant animo, ut ne formido gravis subiret
pectus Ceteorum atque Eurypyli principis.
Ipsi interim, aliunde alius, supra-modum trepidantes
inter cladem *conclusi* erant horridumque metum;
verecundia enim detinebat *eos* et simul consternatio anxia.
Non-aliter, quam-si scrupulosam viam pedibus calcantes
homines vident de monte præcipitari
torrentem, strepituque circumsonat undique scopulus,
neque ejus audent fluxum sonorum
subire festinantes, siquidem ante pedes exitium
videntes contremiscunt, nec ullam rationem-habent viæ :
ita Trojani subsistebant, quamvis cupidi irruptionis,
sub muro Argivum. Quos tamen Eurypylus divinus
semper incitabat ad conflictum : sane enim sperabat
multis trucidatis immanem in pugna virum
manibus fatigatum-iri et viribus : sed is non desistebat a
-prælio.] Horum itaque Minerva strenuum laborem con-
spicata] reliquit Olympi fragrantis sublimes ædes,
venitque super cacumen montium, nec vestigiis terram
attigit valde festinans, portavitque ipsam sacer aer,
assimilem nubibus et leviorem vento.
Trojam itaque cito pervenit et pedes imposuit colli
Sigei ventosi, unde spectabat conflictum
cominus-pugnantium virorum, sed decorabat insigniter
Achivos.] Cæterum filius Achillis habebat longe-præstan-
tissimam inter alios]audaciam simul et vim, quæ viris, si
jungantur,] conciliant magnam gloriam: ipseque utraque
præditus-erat,] quia erat Jovis propago, et cari instar-ha-
bebat parentis :] quare etiam imperterritus multos interfe-
cit prope turres.]Veluti piscator in mari vir cupidus prædæ,
dum-struit piscibus exitium, defert vim Vulcani
in navem suam; tum excitato flatu
coruscat circa navem ignis fulgor; illi *(pisces)* igitur nigro
e salo properant gestientes ultimam lucem
intueri; hos enim protensæ-cuspidis tridente

κτείνει ἐπεσσυμένους, γάνυται δέ οἱ ἦτορ ἐπ' ἄγρῃ·
ὡς ἄρα κύδιμος υἱὸς ἐϋπτολέμου Ἀχιλῆος
λαίνεον περὶ τεῖχος ἐδάμνατο δήϊα φῦλα
ἀντί' ἐπεσσυμένων· πονέοντο δὲ πάντες Ἀχαιοὶ
ἄλλοι δμῶς ἄλλῃσιν ἐπάλξεσιν· ἔβραχε δ' εὐρὺς
αἰγιαλὸς καὶ νῆες· ἐπεστενάχοντο δὲ μακρὰ
τείχεα βαλλομένων· κάματος δ' ὑπεδάμνατο λαοὺς
ἄσπετος ἀμφοτέρωθε· λύοντο δὲ γυῖα καὶ ἀλκὴ
αἰζηῶν· ἀλλ' οὔτι κόρος πολέμου Ἀχιλῆος
ἄμφεχεν υἱέα δῖον, ἐπεί ῥά οἱ ὄβριμον ἦτορ
πάμπαν ἔην ἄτρυτον· ἀνιηρὸν δέ οἱ οὔτι
ἥψατο μαρναμένοιο· μένος δ' ἀκάμαντι ἐοικὼς
ἀενάῳ ποταμῷ, τὸν ἀπειρεσίη πυρὸς ὁρμὴ
οὔ ποτ' ἰοῦσ' ἐφόβησε, καὶ ἢν μέγα μαίνετ' ἀήτης
Ἡφαίστου κλονέων ἱερὸν μένος· ἢν γὰρ ἵκηται
ἐγγὺς ἐπὶ προχοῇσι, μαραίνεται, οὐδέ οἱ ἀλκὴ
ἅψασθ' ἀργαλέη σθένει ὕδατος ἀκαμάτοιο·
ὡς ἄρα Πηλείδαο δαΐφρονος υἱέος ἐσθλοῦ
οὔτε μόγος στονόεις, οὔτ' ἂρ δέος ἥψατο γούνων
αἰὲν ἐρειδομένοιο καὶ ὀτρύνοντος ἑταίρους.
Οὐ μὴν οὐδὲ βέλος κείνου χρόα καλὸν ἵκανε
πολλῶν βαλλομένων· ἀλλ', ὡς νιφάδες περὶ πέτρην
πολλάκις ἠΰτησαν ἐτώσια· πάντα γὰρ εὐρὺ
εἶργε σάκος βριαρή τε κόρυς, κλυτὰ δῶρα θεοῖο.
Τοῖς ἐπικαγχαλόων κρατερὸς πάϊς Αἰακίδαο
φοίτα μακρὰ βοῶν περὶ τείχεϊ, πολλὰ κελεύων
ἐς μόθον Ἀργείοισιν ἀταρβέα· οὕνεκα πάντων
πολλὸν ἔην ὄχ' ἄριστος, ἔχεν δ' ἔτι θυμὸν ὁμοκλῆς
λευγαλέης ἀκόρητον· ἑοῦ δ' ἄρα μήδετο πατρὸς
τίσεσθ' ἀλγινόεντα φόνον. Κεχάροντο δ' ἄνακτι
Μυρμιδόνες· στυγερὴ δὲ πέλεν περὶ τεῖχος ἀϋτή.
Ἔνθα δύω κτάνε παῖδε πολυχρύσοιο Μέγητος,
ὃς γόνος ἔσκε Δύμαντος, ἔχεν δ' ἐρικυδέας υἷας
εἰδότας εὖ μὲν ἄκοντα βαλεῖν, εὖ δ' ἵππον ἐλάσσαι
ἐν πολέμῳ καὶ μακρὸν ἐπισταμένως δόρυ πῆλαι·
τοὺς τέκε οἱ Περίβοια μιῇ ὠδῖνι παρ' ὄχθῃς
Σαγγαρίου, Κέλτον τε καὶ Εὔβιον· οὐδ' ἀπόναντο
ὄλβου ἀπειρεσίοιο πολὺν χρόνον, οὕνεκα Μοῖραι
παῦρον ἐπὶ σφίσι πάγχυ τέλος βιότοιο βάλοντο.
Ἄμφω δ' ὡς ἴδον ἦμαρ ὁμοῦ, ὣς κάτθανον ἄμφω
χερσὶ Νεοπτολέμοιο θρασύφρονος, ὃς μὲν ἄκοντι
βλήμενος ἐς κραδίην, ὁ δὲ χερμαδίῳ ἀλεγεινῷ
κὰκ κεφαλῆς· βριαρὴ δὲ περιθρυφθεῖσα καρήνῳ
ἐθραύσθη τρυφάλεια καὶ ἐγκέφαλον συνέχευεν.
Ἀμφὶ δ' ἄρα σφίσι φῦλα περικτείνοντο καὶ ἄλλων
μυρία δυσμενέων· μέγα δ' Ἄρεος ἔργον ὀρώρει,
μέσφ' ὅτε δὴ βουλυτὸς ἐπήλυθεν, ἤνυτο δ' ἠὼς
ἀμβροσίη, καὶ λαὸς ἀταρβέος Εὐρυπύλοιο
χάσσατο τυτθὸν ἄπωθε νεῶν· οἱ δ' ἔνδοθι πύργων
βαιὸν ἀνέπνευσαν· καὶ δ' αὐτοὶ Τρώϊοι υἷες
ἀμπαύοντο μόθοιο δυσαλγέος, οὕνεκ' ἐτύχθη
φύλοπις ἀργαλέη περὶ τείχεϊ· καί νύ κ' ἅπαντες
Ἀργεῖοι τότε νηυσὶν ἐπὶ σφετέρῃσιν ὄλοντο,
εἰ μὴ Ἀχιλλῆος κρατερὸς πάϊς ἤματι κείνῳ

conficit assultantes, et lætatur ipsius cor super captura:
ita et nobilis filius feliciter-belligerati Achillis
lapideum circa murum prostravit hostium agmina
obviam ruentium. At occupati-erant omnes Achivi
alii simul circa-alia propugnacula; hinc remugiebat spacio-
sum] littus, atque naves, et resonabant-gemitu longa
mœnia vulneratorum, laborque delassabat homines
indesinens utrobique; resolvebantur denique membra et
vires] juvenum, sed nullo-modo satietas belli Achillis
complexus-est filium divum, nam ejus strenuum cor
prorsus erat indefatigabile, molestiæque eum nihil
attigit pugnantem. Quin impetu indefessum æquabat
et perennem fluvium, quem rapida ignis violentia
nunquam territat imminens, etiamsi graviter insaniat ven-
tus] Vulcani agitans sacrum robur; quando enim accesserit
propius ad alveum, extinguitur, nec ejus vires
contingere vehementes valent aquam indomitam:
sic etiam Pelidæ pugnacis nato generoso
neque labor tristis, neque metus apprehendit genua,
semper connitenti et instiganti socios
Nec vero telum illius corpus pulcrum perstringebat,
multa quamvis-jacerentur: verum, ut nives circa petram
crebro strepitabant incassum; omnia enim latus
arcebat clypeus firmaque galea, præclara munera dei.
Quibus exultans validus filius Æacidæ
obibat magno clamore murum, multis-*verbis* cohortans
in pugna Argivos intrepidis; nam inter-omnes
longe erat præstantissimus, habebatque adhuc animum
belli] tristis inexsatiabilem: sui etiam cogitabat patris
vindicare dolendam cædem. Lætabantur igitur de-principe
Myrmidones. Horrendus interim erat circa murum conflic-
tus.] Ibi duos peremit filios auro-ditissimi Megetis,
qui soboles erat Dymantis, et habebat illustres natos,
scientes perite jaculum torquere, perite etiam equum agi-
tare] in bello et longam solerter hastam vibrare,
quos edidit ipsi Peribœa uno partu in ripis
Sangarii, Celtum et Eubium; nec fructum-ceperunt
fortunæ immensæ ad-longum tempus, quod Parcæ
plane brevem ipsis terminum vitæ præstituissent.
Amboque uti conspexerant lucem simul, ita oppetierunt
ambo] manibus Neoptolemi audacis, alter pilo
ictus in cor, alter lapide tristi
in caput; gravisque illisa cranio
diffracta-est galea ac cerebrum confudit.

Juxtaque hos cohortes cæsi-sunt etiam aliorum
innumeræ hostium, et ingens Martis negocium ortum-est,
donec vespera ingruit, et finem-habuit dies
almus, ac manus imperterriti Eurypyli
recessit modicum a navibus. Illi (*Græci*) autem intra tur-
res] paulum recreabantur; atque etiam ipsi Troum nati
requiescebant a-pugna tristi, quia fuerat
certamen operosum circa murum. Ac sane omnes
Argivi tunc cum navibus suis interiissent,
nisi Achillis fortissimus filius die illo

δυσμενέων ἀπάλαλκε πολὺν στρατὸν ἠδὲ καὶ αὐτὸν
Εὐρύπυλον. Τῷ δ' αἶψα γέρων σχεδὸν ἤλυθε Φοῖνιξ
καί μιν ἰδὼν θάμβησεν ἐοικότα Πηλείωνι·
ἀμφὶ δέ οἱ μέγα χάρμα καὶ ἄσπετον ἄλγος ἵκανεν·
ἄλγος μὲν μνησθέντι ποδώκεος ἀντ' Ἀχιλῆος,
χάρμα δ' ἄρ, οὕνεκά οἱ κρατερὸν παῖδ' εἰσενόησε·
κλαῖε δ' ὅγ' ἀσπασίως, ἐπεὶ οὔποτε φῦλ' ἀνθρώπων
νόσφι γόου ζώουσι, καὶ εἴ ποτε χάρμα φέρονται·
ἀμφεχύθη δέ οἱ, εὖτε πατὴρ περὶ παιδὶ χυθείη,
ὅς τε θεῶν ἰότητι πολὺν χρόνον ἄλγε' ἀνατλὰς
ἔλθοι ἐὸν ποτὶ δῶμα, φίλῳ μέγα χάρμα τοκῆϊ·
ὣς ὁ Νεοπτολέμοιο κάρη καὶ στήθεα κύσσεν
ἀμφιχυθείς· καὶ τοῖον ἀγαζόμενος φάτο μῦθον·
Χαῖρέ μοι, ὦ τέκος ἐσθλὸν Ἀχιλλέος, ὅν ποτ' ἔγωγε
τυτθὸν ἐόντ' ἀτίταλλον ἐν ἀγκοίνῃσιν ἐμῇσι
προφρονέως· ὁ δ' ἄρ' ὦκα θεῶν ἐρικυδέϊ βουλῇ
ἔρνος ὅπως ἐριθηλὲς ἀέξετο· καί οἱ ἔγωγε
γήθεον εἰσορόων ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
ἔσκε δέ μοι μέγ' ὄνειαρ· ἶσον δέ ἑ παιδὶ τίεσκον
τηλυγέτῳ· ὁ δ' ἄρ' ἶσον ἑῷ πατρὶ τῖεν ἐμὸν κῆρ·
κείνῳ μὲν γὰρ ἔγωγε πατὴρ, ὁ δ' ἄρ' υἱὸς ἔμοιγε
ἔσκεν, ὅπως φαίης κεν ἰδὼν ἑνὸς αἵματος εἶναι
εἵνεχ' ὁμοφροσύνης· ἀρετῇ δ' ὅγε φέρτερος ἦεν
πολλὸν, ἐπεὶ μακάρεσσι δέμας καὶ κάρτος ἐῴκει.
Τῷ σύγε πάμπαν ἔοικας· ἐγὼ δ' ἄρα κεῖνον ὀΐω
ζωὸν ἔτ' Ἀργείοισι μετέμμεναι· οὗ μ' ἄχος ὀξὺ
ἀμφέχει ἤματα πάντα, λυγρῷ δ' ἐπὶ γήραϊ θυμὸν
τείρομαι· ὡς ὄφελόν με χυτὴ κατὰ γαῖα κεκεύθει
κείνου ἔτι ζώοντος· ὃ γὰρ πέλει ἀνέρι κῦδος
κηδεμονῆος ἑοῦ ὑπὸ χείρεσι ταρχυθῆναι.
Ἀλλὰ, τέκος, κείνου μὲν ἐγὼ οὐ λήσομαι, ἦτορ
ἀχνύμενος· σὺ δὲ μή τι χαλέπτεο πένθεϊ θυμόν·
ἀλλ' ἄγε Μυρμιδόνεσσι καὶ ἱπποδάμοισιν Ἀχαιοῖς
τειρομένοις ἐπάμυνε, μέγ' ἀμφ' ἀγαθοῖο τοκῆος
χωόμενος δηΐοισι· κλέος δέ τοι ἔσσεται ἐσθλὸν
Εὐρύπυλον δαμάσαντι, μάχης ἀκόρητον ἐόντα·
τοῦ γὰρ ὑπέρτερος ἐσσὶ καὶ ἔσσεαι, ὅσσον ἀρείων
σεῖο πατὴρ κείνοιο πέλεν μογεροῖο τοκῆος.
Ὣς φάμενον προσέειπε πάϊς ξανθοῦ Ἀχιλῆος·
Ὦ γέρον, ἡμετέρην ἀρετὴν ἀνὰ δηϊοτῆτα
Αἶσα διακρινέει κρατερὴ καὶ ὑπέρβιος Ἄρης.
Ὣς εἰπὼν αὐτῆμαρ ἐέλδετο τείχεος ἐκτὸς
σεύεσθ' ἐν τεύχεσσιν ἑοῦ πατρός· ἀλλά μιν ἔσχε
νὺξ, ἥ τ' ἀνθρώποισι λύσιν καμάτοιο φέρουσα
ἔσσυτ' ἀπ' ὠκεανοῖο, καλυψαμένη δέμας ὄρφνῃ.
Ἀργείων δέ μιν υἷες ἶσον κρατερῷ Ἀχιλῆϊ
κύδαινον παρὰ νηυσὶ γεγηθότες· οὕνεκ' ἄρ' αὐτοὺς
θαρσαλέους κατέτευξεν ἰὼν ἐπὶ δῆριν ἑτοίμως·
τοὔνεκά μιν τίεσκον ἀγακλειτοῖς γεράεσσιν,
[ἄσπετα δῶρα διδόντες, ἅ τ' ἀνέρι πλοῦτον ὀφέλλει·]
οἱ μὲν γὰρ χρυσόν τε καὶ ἄργυρον, οἱ δὲ γυναῖκας
δμωΐδας, οἱ δ' ἄρα χαλκὸν ἀάσπετον, οἱ δὲ σίδηρον,
ἄλλοι δ' οἶνον ἐρυθρὸν ἐν ἀμφιφορεῦσιν ὄπασσαν
ἵππους τ' ὠκύποδας καὶ ἀρήϊα τεύχεα φωτῶν

hostium repulisset numerosas copias atque ipsum
Eurypylum. Ad illum igitur statim senex accessit Phœnix
eumque videns obstupuit similem Pelidæ,
et ipsum magnum gaudium atque ingens dolor occupavit,
dolor recordantem citissimi Achillis,
gaudium vero, quod ipsius fortem filium agnosceret.
Flevit itaque non-illubenter: nam nunquam genus hominum] absque luctu vivit, etiamsi quandoque gaudio fruitur:] complexusque-est eum, tanquam pater filium amplectatur,] qui deum voluntate longo tempore dolores passus] redit suam domum, caro magnum gaudium parenti:
ita ille Neoptolemi caput et pectus osculatus-est
amplexus, et hæc admirabundus edidit verba:
Salve mihi, proles præclara Achillis! quem aliquando
ego,] tenellus cum-esset, educavi in ulnis meis
sedulo, quique subito deorum magnifico consilio,
planta tanquam florida, succrevit; et illius ego
gaudebam respiciens tum corpus tum loquelam,
et erat magno mihi emolumento. Nam parem ipsum colebam filio] unico, et ipse loco sui parentis colebat meum cor (*me*).] Illi enim ego pater, et ipse filius mihi
erat, ut dixisses *hæc* intuitus *nos* ejusdem sanguinis esse
propter concordiam: virtute autem ille præstantior erat
longe, quoniam diis corpore ac robore par-erat.
Huic vero tu prorsus similis-es, ita ut ego illum opinor
vivum adhuc inter Argivos versari, propter-quem me dolor acutus] angit perpetuo, et misera insuper senectute animum] confectum-habeo: utinam me infusa humus obruisset] eo adhuc vivente! hoc enim est homini decus,
curatoris sui manibus sepeliri.
Propterea, fili, ejus ego non obliviscar, cor
dolore-afflictus. Tu vero ne conficias luctu animum;
sed age Myrmidonibus et equum-domitoribus Achivis
infractis *bello* succurre, valde ob egregium parentem
iratus hostibus. Gloria vero tibi erit singularis
Eurypylum vincenti, qui-pugnæ inexaturabilis est:
hoc enim superior es et eris, quanto præstantior
tuus pater illius erat ærumnoso parente.
Hæc dicentem interpellavit filius rufi Achillis:
O senex! nostram virtutem in acie
Fatum dijudicabit præpotens et violentus Mars.
Ita fatus eodem-die gestiebat ante murum
excurrere in armis sui patris: sed ipsum impediit
nox, quæ hominibus relaxationem a-labore afferens
ruit ab Oceano, obvelata corpus tenebris.
Cæterum Argivum nati illum æque-ac-strenuum Achillem] honorabant apud naves læti, quia ipsis
fiduciam injecerat procedendo ad certamen alacriter;
idcirco illum condecorarunt magnificis præmiis,
[infinita munera dantes, quæ homini divitias accumulant:]
alii enim aurum et argentum, alii feminas
servas, alii etiam æs plurimum, alii ferrum,
alii vinum rubrum in amphoris donarunt
equosque volucripedes et Martia arma virorum

φάρεά τ' εὐποίητα, γυναικῶν κάλλιμα ἔργα·
τοῖς ἐπι θυμὸν ἴαινε Νεοπτολέμοιο φίλον κῆρ.
Καί ῥ' οἱ μὲν δόρποιο ποτὶ κλισίῃσι μέλοντο
υἱὸν Ἀχιλλῆος θεοειδέα κυδαίνοντες
ἶσον ἐπουρανίοισιν ἀτειρέσι· τῷ δ' Ἀγαμέμνων
πόλλ' ἐπικαγχαλόων τοῖον ποτὶ μῦθον ἔειπεν·
Ἀτρεκέως πάϊς ἐσσὶ θρασύφρονος Αἰακίδαο,
ὦ τέκος, οὕνεκά οἱ κρατερὸν μένος ἠδὲ καὶ εἶδος
καὶ μέγεθος καὶ θάρσος ἰδὲ φρένας ἔνδον ἔοικας·
τῷ σοι ἐγὼ μέγα θυμὸν ἰαίνομαι· ἦ γὰρ ἔολπα
σῇσιν ὑπαὶ παλάμῃσι καὶ ἔγχεϊ δήϊα φῦλα
καὶ Πριάμοιο πόληα περικλειτὴν ἐναρίξαι,
οὕνεκα πατρὶ ἔοικας· ἐγὼ δ' ἄρα κεῖνον ὀΐω
εἰσοράαν παρὰ νηυσὶν, ὅτε Τρώεσσιν ὁμόκλα
χωόμενος Πατρόκλοιο δεδουπότος· ἀλλ' ὁ μὲν ἤδη
ἐστὶ σὺν ἀθανάτοισι· σὲ δ' ἐκ μακάρων προέηκε
σήμερον Ἀργείοισιν ἀπολλυμένοις ἐπαμῦναι.
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Εἴθε μιν, ὦ Ἀγαμέμνον, ἔτι ζώοντα κίχανον,
ὄφρα καὶ αὐτὸς ἄθρησεν ἑὸν θυμήρεα παῖδα
οὔτι καταισχύνοντα βίην πατρὸς, ὥσπερ ὀΐω
ἔσσεσθ', ἤν με σάωσιν ἀκηδέες Οὐρανίωνες.
Ὣς ἄρ' ἔφη πινυτῇσιν ἀρηράμενος φρεσὶ θυμὸν
λαοὶ δ' ἀμφιέποντες ἐθάμβεον ἀνέρα δῖον.
Ἀλλ' ὅτε δὴ δόρποιο καὶ εἰλαπίνης κορέσαντο,
δὴ τότ' ἄρ' Αἰακίδαο θρασύφρονος ὄβριμος υἱὸς
ἀνστὰς ἐκ δόρποιο ποτὶ κλισίην ἀφίκανεν
πατρὸς ἑοῦ· τὰ δὲ πολλὰ δαϊκταμένων ἡρώων
ἔντεά οἱ παρέκειντ'· αἱ δ' ἀμφί μιν ἄλλοθεν ἄλλαι
χήρην ληϊάδες κλισίην ἐπιπορσύνεσκον,
ὡς ζώοντος ἄνακτος. Ὁ δ' ὡς ἴδεν ἔντεα Τρώων
καὶ δμωὰς, στονάχησεν· ἔρως δέ μιν εἷλε τοκῆος.
Ὡς δ' ὅτ' ἀνὰ δρυμὰ πυκνὰ καὶ ἄγκεα ῥωπήεντα
σμερδαλέοιο λέοντος ὑπ' ἀγρευτῆρσι δαμέντος
σκύμνος ἐς ἄντρον ἵκηται εὔσκιον, ἀμφὶ δὲ πάντη
ταρφέα παπταίνει κενεὸν σπέος, ἀθρόα δ' αὖτε
ὀστέα δερκόμενος κταμένων πάρος οὐκ ὀλίγων περ
ἵππων ἠδὲ βοῶν μεγάλ' ἄχνυται ἀμφὶ τοκῆος·
ὣς ἄρα θαρσαλέοιο πάϊς τότε Πηλείδαο
θυμὸν ἐπαχνώθη. Δμωαὶ δέ μιν ἀμφ' ἀγάσαντο·
καὶ δ' αὐτὴ Βρισηὶς, ὅτ' ἔδρακεν υἷ' Ἀχιλῆος,
ἄλλοτε μὲν θυμῷ μέγ' ἐγήθεεν, ἄλλοτε δ' αὖτε
ἄχνυτ' Ἀχιλλῆος μεμνημένη· ἐν δέ οἱ ἦτορ
ἀμφασίῃ βεβόλητο κατὰ φρένας, ὡς ἐτεόν περ
αὐτοῦ ἔτι ζώοντος ἀταρβέος Αἰακίδαο.
Τρῶες δ' αὖτ' ἀπάνευθε γεγηθότες ὄβριμον ἄνδρα
Εὐρύπυλον κύδαινον ἐνὶ κλισίῃσι καὶ αὐτοὶ,
ὁππόσον Ἕκτορα δῖον, ὅτ' Ἀργείους ἐδάϊξε
ῥυόμενος πτολίεθρον ἑὸν καὶ κτῆσιν ἅπασαν.
Ἀλλ' ὅτε δὴ μερόπεσσιν ἐπὶ γλυκὺς ἤλυθεν ὕπνος,
δὴ τότε Τρώϊοι υἷες ἰδ' Ἀργεῖοι μενεχάρμαι
νόσφι φυλακτήρων εὗδον βεβαρηότες ὕπνῳ.

ac vestes elaboratas, mulierum pulcra opera.
Quibus animum oblectavit Neoptolemi benevolum cor.
Hi itaque cœnæ in papilionibus operam-dederunt
filium Achillis divinum celebrantes
æque-ac cœlites immortales. Quem Agamemnon
magna voluptate-perfusus his verbis compellavit :
Haud-dubie proles es audacis Æacidæ,
mi fili, quia hunc valido robore et forma
ac statura-procera fiduciaque et animo intus refers.
Ideo de-te magnam animi voluptatem-capio: namque spero
tuis manibus et hasta hostium agmina
et Priami urbem famosam me-dispoliaturum,
quoniam patrem æquas : ego enim illum mihi-videor
cernere apud naves, quomodo Trojanis minabatur,
ardens-ira propter-Patroclum necatum. Verum hic jam
versatur cum diis, et te e superum-cœtu misit,
hodie Argivis pereuntibus opem-ut-feras.
Hæc oranti respondit Achillis acer natus :
Utinam illum, mi Agamemnon, adhuc vivum offendissem,] quo et ipse conspexisset suum dilectum filium
nihil dedecorantem virtutem patris, ut spero
futurum-esse, si me salvum-præstent securi Cœlites.
Sic dixit prudentibus confirmatus consiliis animum,
populus autem circumfusus admirabatur virum divinum.
Postquam vero cœnæ et convivii satiati-sunt,
tunc Achillis animosi strenuus natus
surgens ex epulo ad tabernaculum se-contulit
patris sui, ubi multa bello-interfectorum heroum
arma juxta illum reposita-erant, circaque eum alibi aliæ
viduum captivæ tentorium adornabant,
ceu vivo rege. Ille vero ubi conspexit arma Troum
et servas, ingemuit, et desiderium eum cepit parentis.
Veluti cum in quercetis densis per valles fruticosas
truculenti leonis a venatoribus occisi
catulus in antrum venerit opacum, circumquaque vero
diligenter lustrat viduam speluncam, congesta vero
ossa videns dilaniatorum quondam non paucorum
equorum et boum magno dolore-afficitur ob parentem :
ita magnanimi tunc filius Pelidæ
animo diriguit. Famulæ vero ipsum admirabantur :
etiam ipsa Briseis, ubi aspexit natum Achillis,
nunc animo ingens gaudium-sensit, nunc vicissim
dolebat Achillis memor, illique animus
stupore percellebatur in pectore, quasi revera
ipso adhuc superstite intrepido Achille.
Troes autem separatim exultantes strenuum virum
Eurypylum honorabant in castris etiam ipsi,
non-minus-quam Hectorem divinum, ubi Argivos profligasset] servans civitatem suam et possessiones cunctas.
Sed cum mortalibus dulcis adventasset somnus,
tunc Trojana pubes et Argivi bello-fortes
præter excubitores quiescebant gravati sopore.

ΛΟΓΟΣ Η.

Ἦμος δ' ἠελίοιο φάος περικίδνατο γαῖαν
ἐκ περάτων ἀνιόντος, ὅθι σπέος Ἠριγενείης,
δὴ τότε που Τρῶες καὶ Ἀχαιῶν ὄβριμοι υἷες
θωρήσσονθ' ἑκάτερθεν ἐπειγόμενοι ποτὶ δῆριν.
Τοὺς μὲν δὴ πάϊς ἐσθλὸς Ἀχιλλέος ὀτρύνεσκεν
ἀντιάαν Τρώεσσιν ἀταρβέα θυμὸν ἔχοντας·
τοὺς δ' ἄρα Τηλεφίδαο μέγα σθένος· ἦ γὰρ ἐώλπει
τεῖχος μὲν χαμάδις βαλέειν νῆάς τ' ἀμαθύνειν
ἐν πυρὶ λευγαλέῳ, λαοὺς δ' ὑπὸ χερσὶ δαΐξαι.
Ἀλλά οἱ ἐλπωρὴ μὲν ἔην ἐναλίγκιος αὔρῃ
μαψιδίῃ· Κῆρες δὲ μάλα σχεδὸν ἑστηκυῖαι
πολλὸν καγχαλάασκον ἐτώσια μητιόωντι.
Καὶ τότε Μυρμιδόνεσσιν Ἀχιλλέος ἄτρομος υἱὸς
θαρσαλέον φάτο μῦθον ἐποτρύνων πονέεσθαι·
Κέκλυτέ μευ θεράποντες ἀρήϊον ἐν φρεσὶ θυμὸν
θέντες, ἵν' Ἀργείοισιν ἄκος πολέμου ἀλεγεινοῦ,
δυσμενέεσσι δὲ πῆμα γενώμεθα· μηδέ τις ἡμέων
ταρβείτω· κρατερὴ γὰρ ἄδην ἐκ θάρσεος ἀλκὴ
γίγνεται ἀνθρώποισι· δέος δὲ βίην ἀμαθύνει
καὶ νόον. Ἀλλ' ἄγε πάντες ἐς Ἄρεα καρτύνεσθε,
ὄφρα μὴ ἀμπνεύσῃ Τρώων στρατὸς, ἀλλ' Ἀχιλῆα
φαίη ἔτι ζώοντα μετέμμεναι Ἀργείοισιν.
Ὣς εἰπὼν ὤμοισι πατρώϊα δύσατο τεύχη
πάντοθε μαρμαίροντα· Θέτις δ' ἠγάλλετο θυμῷ
ἐξ ἁλὸς εἰσορόωσα μέγα σθένος υἱωνοῖο.
Καί ῥα θοῶς οἴμησε πρὸ τείχεος αἰπεινοῖο
ἐμβεβαὼς ἵπποισιν ἑοῦ πατρὸς ἀθανάτοισιν.
Οἷος δ' ἐκ περάτων ἀμφαίνεται ὠκεανοῖο
Ἠέλιος θηητὸν ἐπὶ χθόνα πῦρ ἀμαρύσσων,
πῦρ, ὅτε οἱ πώλοισι καὶ ἅρματι συμφέρετ' ἀστὴρ
Σείριος, ὅς τε βροτοῖσι φέρει πολυκηδέα νοῦσον·
τοῖος ἐπὶ Τρώων στρατὸν ἤϊεν ὄβριμος ἥρως,
υἱὸς Ἀχιλλῆος· φόρεον δέ μιν ἄμβροτοι ἵπποι,
τούς οἱ ἐελδομένῳ νηῶν ἄπο λαὸν ἐλάσσαι
ὤπασεν Αὐτομέδων· ὃς γὰρ σφέας ἡνιόχευεν·
ἵπποι δ' αὖτ' ἐχάρησαν ἑὸν φορέοντες ἄνακτα
εἴκελον Αἰακίδῃ· τῶν δ' ἄφθιτον ἦτορ ἐώλπει
ἔμμεναι ἀνέρα κεῖνον Ἀχιλλέος οὔτι χερείω.
Ὣς δὲ καὶ Ἀργεῖοι μέγα καγχαλόωντες ἄγερθεν
ἀμφὶ Νεοπτολέμοιο βίην, ἄμοτον μεμαῶτες,
λευγαλέοις σφήκεσσιν ἐοικότες, οἵτε κλονήσει
χηραμοῦ ἐκποτέονται ἐελδόμενοι χρόα θείνειν
ἀνδρόμεον, πάντες δὲ περὶ στένος ὁρμαίνοντες
τεύχουσιν μέγα πῆμα παρεσσυμένοισι βροτοῖσιν·
ὣς οἵγ' ἐκ νηῶν καὶ τείχεος ἐξεχέοντο
μαιμώωντες Ἄρηϊ· πολὺς δ' ἐστείνετο χῶρος·
πᾶν πεδίον δ' ἀπάνευθεν ἐλάμπετο τεύχεσι φωτῶν,
ἠελίου καθύπερθεν ὑπ' αἰθέρι μαρμαίροντος·
οἷον δὲ νέφος εἶσι δι' ἠέρος ἀπλήτοιο
πνοιῇσιν μεγάλῃσιν ἐλαυνόμενον Βορέαο,
ἦμος δὴ νιφετός τε πέλει καὶ χείματος ὥρη

LIBER VIII.

Porro cum solis jubar diffunderetur per-terram,
ex finibus regressi, ubi antrum *est* Auroræ,
tunc Trojani et Achivum acres filii
armabantur utrobique properantes ad certamen.
Hos quidem filius fortis Achillis stimulabat
ad-occurrendum Trojanis, intrepidos animos habentes,
illos autem Telephidæ magna vis : sperabat enim
murum terræ se-afflicturum et naves aboliturum
igni exitioso populosque manibus *suis* trucidaturum.
Verum ei spes erat similis auræ
vana, et Parcæ quam proxime adstantes
effuse cachinnabantur, quod-vana sibi-proponeret.
Et tunc ad-Myrmidones Achillis imperterritus filius
animosam habuit orationem exhortans ad-pugnandum :
Attendite me, clientes, Mavortio pectoribus animo
indito, ut Argivis remedium belli tristifici
et hostibus noxam præbeamus: nec quis nostrum
pavitet; nam pervalidum ex fiducia robur
nascitur hominibus, sed timiditas vires attenuat
et mentem. Verum agite omnes ad bellum roboramini,
ut ne respiret Troum exercitus, sed Achillem
existimet adhuc vivum versari-inter Argivos.
Sic fatus humeris paterna induit arma
undique fulgentia. At Thetis exultavit animo,
e mari prospiciens magnam fortitudinem nepotis.
Atque mox erupit extra murum præcelsum
conscensis equis sui parentis immortalibus.
Qualis vero ex terminis apparet oceani
Sol admirando super terra igni radians,
igni, quando cum illius equis et curru circumfertur sidus
Sirii, qui hominibus affert sollicitum morbum :
talis in Trojanorum copias tendebat fortis heros,
filius Achillis, et ferebant illum immortales equi,
quos ipsi, cupienti a navibus hostes repellere,
adduxerat Automedon : is enim illos gubernabat
equi autem rursus gaudebant suum ferentes dominum
similem Æacidæ, horumque immortale cor sperabat
fore virum illum Achille nihilo inferiorem.
Ita etiam Argivi magna lætitia-affecti conglomerabantur
circa Neoptolemi vim, immense cupidi *pugnæ*
trucibus vespis non-absimiles, quæ agitatione
caverna evolant, dum-cupiunt corpus pungere
humanum, et omnes circa angustum-locum ruentes
inferunt magnam cladem prætereuntibus hominibus :
sic illi ex navibus et propugnaculis effundebantur
concitati ad-bellum, et spaciosus arctabatur locus,
totusque campus procul coruscabat armis virorum,
sole desuper ab æthere rutilante.
Qualiter nubes fertur per aera vastum
flatibus magnis agitata Boreæ,
cum nix existit et hiemis tempus

ἀργαλέη, πάντη δὲ περιστέφει οὐρανὸν ὄρφνη·
ὣς τῶν πλήθετο γαῖα συνερχομένων ἑκάτερθεν
νηῶν βαιὸν ἄπωθε· κόνις δ' εἰς οὐρανὸν εὐρὺν
πέπτατ' ἀειρομένη· κανάχιζε δὲ τεύχεα φωτῶν,
σὺν δὲ καὶ ἅρματα πολλά· διεσσύμενοι δ' ἐπὶ μῶλον
ἵπποι ὑπεχρεμέτιζον· ἑὴ δ' ἐκέλευεν ἕκαστον
ἀλκὴ ἀνιηρὴν ἐς φύλοπιν ὀτρύνουσα.
Ὡς δ' ὅτε κύματα μακρὰ δύο κλονέουσιν ἀῆται
σμερδαλέον βρομέοντες ἀνὰ πλατὺ χεῦμα θαλάσσης,
ἔκποθεν ἀλλήλοισι περιρρηγνύντες ἀέλλας,
ὁππότε χεῖμ' ἀλεγεινὸν ἀν' εὐρέα βένθεα πόντου
μαίνετ', ἀμαιμακέτη δὲ περιστένει Ἀμφιτρίτη
κύμασι λευγαλέοισι, τὰ δ' ἄλλοθεν ἄλλα φέρονται
οὔρεσιν ἠλιβάτοισιν ἐοικότα, τῶν δ' ἀλεγεινὴ
ὀρνυμένων ἑκάτερθε πέλει κατὰ πόντον ἰωή·
ὣς οἵγ' ἀμφοτέρωθεν ἐπ' Ἄρεα συμφορέοντο
σμερδαλέον μεμαῶτες· Ἔρις δ' ὀρόθυνε καὶ αὐτή·
σὺν δ' ἔβαλον βροντῇσιν ἐοικότες ἢ στεροπῇσιν,
αἵ τε μέγα κτυπέουσι δι' ἠέρος, ὁππότ' ἀῆται
λάβροι ἐριδμαίνωσι, καὶ ὁππότε λάβρον ἄεντες
σὺν νέφεα ῥήξωσι Διὸς μέγα χωομένοιο
ἀνδράσιν, οἵ τ' ἐρίθυμον ὑπὲρ Θέμιν ἔργα κάμωνται·
ὣς οἵγ' ἀλλήλοισιν ἐπέχραον· ἔγχεϊ δ' ἔγχος
συμφέρετ', ἀσπίδι δ' ἀσπίς· ἐπ' ἀνέρα δ' ἤϊεν ἀνήρ.
Πρῶτος δ' ὄβριμος υἱὸς ἐϋπτολέμου Ἀχιλῆος
δάμνατ' ἐῢν Μελανῆα καὶ ἀγλαὸν Ἀλκιδάμαντα,
υἷας Ἀλεξινόμοιο δαΐφρονος, ὅς τ' ἐνὶ κοίλῃ
Καύνῳ ναιετάασκε διειδέος ἀγχόθι λίμνης
Ἴμβρῳ ὑπαὶ νιφόεντι παραὶ ποσὶ Ταρβήλοιο·
κτεῖνε δὲ Κασσάνδροιο θοὸν ποσὶ παῖδα Μένητα,
ὃν τέκε δῖα Κρέουσα παρὰ προχοῇς ποταμοῖο
Λίνδου ἐϋρρείταο, μενεπτολέμων ὅθι Καρῶν
πείρατα καὶ Λυκίης ἐρικύδεος ἄκρα πέλονται·
εἷλε δ' ἄρ αἰχμητῆρα Μόρυν Φρυγίηθε μολόντα·
τῷ δ' ἄρ' ὁμῶς Πόλυνόν τε καὶ Ἱππομέδοντα κατέκτα,
τὸν μὲν ὑπὸ κραδίην, τὸν δὲ κληῗδα τυχήσας·
δάμνατο δ' ἄλλοθεν ἄλλον· ἐπέστενε δ' αἶα νέκυσσι
Τρώων· οἱ δ' ὑπέκειντο ἐοικότες αὐαλέοισι
θάμνοις, οὓς ὀλοοῖο πυρὸς κατεδάμνατ' ἀϋτμὴ
ῥηϊδίως ἐπιόντος ὀπωρινοῦ Βορέαο,
ὣς τοῦ ἐπεσσυμένοιο κατηρείποντο φάλαγγες.
Αἰνείας δ' ἐδάμασσεν Ἀριστόλοχον μενεχάρμην
πλήξας χερμαδίῳ κατὰ κράατος· ἐν δ' ἀνέθλασσεν
ὀστέα σὺν πήληκι· λίπεν δ' ἄφαρ ὀστέα θυμός.
Τυδείδης δ' Εὔμαιον ἕλεν θοόν, ὅς ποτ' ἔναιεν
Δάρδανον αἰπήεσσαν, ἵν' Ἀγχίσαο πέλονται
εὐναί, ὅπου Κυθέρειαν ἐν ἀγκοίνῃσι δάμασσεν. [χην
Ἐν δ' Ἀγαμέμνων κτεῖνεν ἐῢν Στράτον· οὐδ' ὅγε Θρή-
ἵκετ' ἀπὸ πτολέμοιο, φίλης δ' ἑκὰς ἔφθιτο πάτρης.
Μηριόνης δ' ἐδάμασσε Χλέμον Πεισήνορος υἷα,
ἀντιθέου Γλαύκοιο φίλον καὶ πιστὸν ἑταῖρον,
ὅς ῥά τε ναιετάασκε παρὰ προχοῇς Λιμυροῖο,
καί ῥά μιν ὡς βασιλῆα περικτίονες τῖον ἄνδρες,
Γλαύκου ἀποκταμένοιο καὶ οὐκ ἔτι κοιρανέοντος,

iniquum, et ubique coronant cœlum tenebræ:
ita illis repleta-est tellus coeuntibus utrinque
a-navibus non-ita procul, et pulvis ad cœlum latum
volavit sublatus, ac strepuerunt arma virorum
simulque currus multi: et ruentes ad prœlium
equi hinniebant, et sua exhortabatur quemque
virtus curis-plenam ad aciem exstimulans.
Ut cum fluctus vastos duo conturbant venti
horrendum frementes in lato stagno maris,
undecunque inter-se collidentes procellas,
quando hiems tristifica in spacioso profundo ponti
furit, et immensa circum-gemit Amphitrite
fluctibus sævis, qui aliunde alii feruntur
montibus arduis pares, horridusque illis
commotis utrinque existit in ponto fremitus:
ita illi utrinque ad bellum concurrebant
horrendo motu-perciti. Eris autem stimulabat et ipsa:
conflixerunt autem tonitruum instar aut fulgurum,
quæ magnum fragorem-excitant per aerem, ubi venti
rapidi colluctantur, et quando impetuose flando
nubes perfringunt Jove graviter irascente
hominibus, qui severam contra Justitiam facinora patrant:
ita illi se-invicem aggrediebantur, et hastæ hasta
committebatur, scuto scutum, ac virum invadebat vir.
Primus igitur strenuus natus belligeri Achillis
subegit fortem Melanea et formosum Alcidamantem,
filios Alexinomi pugnacis, qui in depressa
Cauno habitabat pellucidum juxta lacum
infra Imbrum nivosum ad radices Tarbeli
interemit etiam Cassandri celerem pedibus filium Menetem,
quem edidit nobilis Creusa juxta alveum fluvii
Lindi pulcriflui, bellipotentium ubi Carum
fines et Lyciæ illustris promontoria existunt.
Sustulit etiam hasta-pugnacem Moryn e-Phrygia profectum,
et cum hoc Polynum et Hippomedontem leto-dedit,
illum in cor, hunc in jugulum saucians;
et prostravit alibi alium, ingemuitque tellus cadaveribus
Troum, qui succumbebant more aridorum
virgultorum, quæ rapidi ignis conficit æstus
facile, cum-grassatur autumnalis Boreas:
ita hoc irruente profligabantur phalanges.
Æneas autem subegit Aristolochum pugnacem
ictum lapide in caput, et confregit
ossa cum casside, reliquitque statim ossa animus.
Tydides porro Eumæum interfecit acrem, qui quondam
incolebat]Dardanum sublimem, ubi Anchisæ exstant
cubilia, qua Cythercam brachiis *suis* domuit.
Porro Agamemnon occidit egregium Stratum; nec is
in-Thraciam] rediit a bello, sed procul a-cara interiit patria.
Meriones vero superavit Chlemum Pisenoris filium,
egregii Glauci dilectum et fidum sodalem
qui habitabat prope undas Limyri,
eumque juxta-ac regem finitimi colebant homines,
Glauco cæso nec amplius regnante

πάντες, ὅσοι Φοίνικος ἕδος περὶ πάγχυ νέμονται
αἰπύ τε Μασσικύτοιο ῥίον βωμόν τε Χιμαίρης.
Ἄλλος δ' ἄλλον ἔπεφνε κατὰ μόθον· ἐν δ' ἄρα τοῖσιν
Εὐρύπυλος πολέεσσι κακὰς ἐπὶ Κῆρας ἴαλλε
δυσμενέσιν· πρῶτον δὲ μενεπτόλεμον κατέπεφνε
Εὔρυτον, αὐτὰρ ἔπειτα Μενοίτιον αἰολομίτρην,
ἀντιθέους ἑτάρους Ἐλεφήνορος· ἀμφὶ δ' ἄρα σφιν
Ἅρπαλον, ὅς ῥ' Ὀδυσῆος ἐχέφρονος ἔσκεν ἑταῖρος·
ἀλλ' ὁ μὲν οὖν ἀπάτερθεν ἔχεν πόνον οὐδ' ἐπαμύνειν
ἔσθενεν ᾧ θεράποντι δεδουπότι· τοῦ δ' ἄρ' ἑταῖρος
Ἄντιφος ὀβριμόθυμος ἀποκταμένοιο χολώθη
καὶ βάλεν Εὐρυπύλοιο καταντίον· ἀλλά μιν οὔτι
οὔτασεν, οὕνεκά οἱ κρατερὸν δόρυ τυτθὸν ἄπωθεν
ἔμπεσε Μειλανίωνι δαΐφρονι, τόν ποτε μήτηρ
γείνατο πὰρ προχοῇσιν ἐϋρρείταο Καΐκου,
Κλειτὴ καλλιπάρῃος, ὑποδμηθεῖσ' Ἐρυλάῳ.
Εὐρύπυλος δ' ἑτάροιο χολωσάμενος κταμένοιο
Ἀντίφῳ αἶψ' ἐπόρουσεν· ὁ δ' ἔκφυγε ποσσὶ θοοῖσιν
ἐς πληθὺν ἑτάρων· κρατερὸν δέ μιν οὔτι δάμασσεν
ἔγχος Τηλεφίδαο δαΐφρονος, οὕνεκ' ἔμελλεν
ἀργαλέως ὀλέεσθαι ὑπ' ἀνδροφόνοιο Κύκλωπος
ὕστερον· ὣς γάρ που στυγερῇ ἐπιήνδανε Μοίρῃ.
Εὐρύπυλος δ' ἑτέρωθεν ἐπῴχετο· τοῦ δ' ὑπὸ δουρὶ
αἰὲν ἐπεσσυμένοιο κατήριπε πουλὺς ὅμιλος.
Ἠΰτε δένδρεα μακρὰ βίῃ δμηθέντα σιδήρου
οὔρεσιν ἐν λασίοισιν ἀναπλήσωσι φάραγγας,
κεκλιμέν' ἄλλοθεν ἄλλα κατὰ χθονός· ὣς ἄρ' Ἀχαιοὶ
δάμναντ' Εὐρυπύλοιο δαΐφρονος ἐγχείῃσιν,
μέσφ' ὅτε οἱ κίεν ἄντα μέγα φρονέων ἐνὶ θυμῷ
υἱὸς Ἀχιλλῆος· τὼ δ' ἄμφω δούρατα μακρὰ
ἐν παλάμῃσι τίνασσον ἐπὶ σφίσι μαιμώωντες.
Εὐρύπυλος δέ ἑ πρῶτος ἀνειρόμενος προσέειπε·
Τίς; πόθεν εἰλήλουθας ἐναντίον ἄμμι μάχεσθαι;
ἦ σε πρὸς Ἀΐδα Κῆρες ἀμείλικτοι φορέουσιν·
οὐ γάρ τις μ' ὑπάλυξεν ἐν ἀργαλέῃ ὑσμίνῃ·
ἀλλά μοι ὅσσοι ἔναντα λιλαιόμενοι μαχέσασθαι
δεῦρο κίον, πάντεσσι φόνον στονόεντ' ἐφέηκα
ἀργαλέως· πάντων δὲ παρὰ Ξάνθοιο ῥέεθρα
ὀστέα τε σάρκας τε κύνες διὰ πάντ' ἐδάσαντο.
Ἀλλά μοι εἰπέ, τίς ἐσσί, τίνος δ' ἐπαγάλλεαι ἵπποις;
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Τίπτε μ' ἐπισπεύδοντα ποτὶ κλόνον αἱματόεντα,
ἐχθρὸς ἐών, ὡσεί τε φίλα φρονέων ἐρεείνεις
εἰπέμεναι γενεήν, ἥνπερ μάλα πολλοὶ ἴσασιν;
υἱὸς Ἀχιλλῆος κρατερόφρονος, ὅς τε τεκῆα
σεῖο πάροιθ' ἐφόβησε βαλὼν περιμήκεϊ δουρί·
καί νύ κέ μιν θανάτοιο κακαὶ περὶ Κῆρες ἔμαρψαν,
εἰ μή οἱ στονόεντα θοῶς ἰήσατ' ὄλεθρον·
ἵπποι δ', οἵ φορέουσιν, ἐμοῦ πατρὸς ἀντιθέοιο,
οὓς τέκεθ' Ἅρπυια Ζεφύρῳ πάρος εὐνηθεῖσα·
οἵ τε καὶ ἀτρύγετον πέλαγος διὰ ποσσὶ θέουσιν
ἀκρόνυχοι ψαύοντες, ἴσον δ' ἀνέμοισι φέρονται.
Νῦν δ' ἐπεὶ οὖν γενεὴν ἐδάης ἵππων τε καὶ αὐτοῦ,
καὶ δόρατος πείρησαι ἀτειρέος ἡμετέροιο

omnes, qui Phœnicis solum undique circumhabitant
et ardua Massicyti juga aramque Chimæræ.
Alius autem alium peremit in acie, inter quos
Eurypylus multis funestas Parcas immisit
hostibus. Primum itaque bello-acrem occidit
Eurytum, at deinde Menœtium vario-baltheo-ornatum,
eximios amicos Elephenoris, et juxta illos
Harpalum, qui Ulyssis prudentis erat socius :
verum ille alibi habebat negocium neque opitulari
poterat suo ministro occumbenti : at propter-hunc sodalis
Antiphus cordatus necatum ira-inflammatus-est
et emisit-telum in Eurypylum, sed eum neutiquam
sauciavit, quia valida hasta ab eo non-ita procul
incidit in-Milanionem belli-peritum, quem olim mater
peperit ad amnem pulcrifluì Caici,
Clite facie-insignis, compressa ab-Erylao.
Eurypylus autem propter-amicum iratus cæsum
Antiphum e-vestigio adortus-est; at hic effugit pedibus citis
in turbam sociorum, nec rigida eum confecit
hasta Telephidæ bellacis, quia erat
crudeliter interiturus per homicidam Cyclopem
postmodo : sic enim tristi placebat Parcæ.
Eurypylus autem ab-alia-parte se-inferebat, ejusque hasta
pertinaciter incumbentis fundebatur ingens caterva.
Veluti arbores proceræ violentia dejectæ ferri
montibus in densis implent valles,
prostratæ alibi aliæ humi : sic etiam Achivi
sternebantur Eurypyli bellicosi hastis,
donec contra eum venit ardua spirans in animo
filius Achillis. Hi igitur ambo hastas longas
in manibus quassabant ad se *mutuo* tendentes.
Eurypylus autem prior sciscitando compellavit *alterum* :
Quis *es*? unde venisti nobiscum pugnatum?
certo te ad orcum Parcæ implacabiles auferunt;
nemo enim me effugit in aspero conflictu,
sed quotquot mihi obviam prompti ad-pugnam
huc venerunt, *his* omnibus necem luctificam attuli
truciter, et omnium ad Xanthi fluenta
ossa et carnes canes omnino discerpserunt.
Verum mihi expone, quis sis, et cujus te-efferas equis.
Hæc locutum affatus-est Achillis strenuus filius :
Quare me festinantem ad conflictum cruentum,
hostis cum-sis, perinde-ac bene *mihi* cupiens interrogas,
ut-indicem genus, quod perquam plurimi norunt?
filius *sum* Achillis magnanimi, qui parentem
tuum quondam in-fugam-vertit ictum prælonga hasta;
ubi eum mortis diræ Parcæ corripuissent,
nisi ei funestam protinus sanasset plagam;
equi autem, qui *me* portant, *sunt* egregii mei patris,
quos peperit Harpyia cum-Zephyro olim lecto-commista,
qui etiam sterile pelagus pedibus transcurrunt
extremis-unguibus stringentes, et æque-ac venti feruntur.
Nunc autem postquam de-genere edoctus-es et equorum et
de meo ipsius,] etiam hastæ periclitare invictæ meæ

γνώμεναι ἄντα βίην· γενεὴ δέ οἱ ἐν κορυφῇσι
Πηλίου αἰπεινοῖο, τομὴν ὅθι λεῖπε καὶ εὐνήν.
Ἦ ῥα καὶ ἐξ ἵππων χαμάδις θόρε κύδιμος ἀνὴρ
πάλλων ἐγχείην περιμήκετον. Ὃς δ' ἑτέρωθεν
χερσὶν ὑπὸ κρατερῇσιν ἀπειρεσίην λάβε πέτρην
καί ῥα Νεοπτολέμοιο κατ' ἀσπίδος ἧκε φέρεσθαι
χρυσείης· τὸν δ' οὔτι προσεσσυμένη στυφέλιξεν,
ἀλλ' ἅτε πρὼν εἱστήκει ἀπείριτος οὔρεϊ μακρῷ,
τόν ῥα διϊπετέων ποταμῶν μένος, οὐδ' ἅμα πάντων,
ἂψ ὦσαι δύναται· ὃ γὰρ ἔμπεδον ἐρρίζωται·
ὣς μένεν ἄτρομος υἱὸς Ἀχιλλέος ὀβριμοθύμου.
Ἀλλ' οὐδ' ὣς τάρβησε θρασὺ σθένος Εὐρυπύλοιο
ἄσπετον υἷ' Ἀχιλῆος, ἐπεί ῥά μιν ὀτρύνεσκε
θάρσος ἑὸν καὶ Κῆρες· ὑπὸ κραδίῃσί τε θυμὸς
ἔζεεν ἀμφοτέροισι· περὶ σφίσι δ' αἰόλα τεύχη
ἔβραχεν· οἱ δ' ἅτε θῆρες ἐπήϊσαν ἀλλήλοισι
σμερδαλέοι, τοῖσίν τε κατ' οὔρεα δῆρις ἀέξει,
ὁππότε λευγαλέῳ λιμῷ βεβολημένοι ἦτορ
ἢ βοὸς ἢ ἐλάφοιο πέρι κταμένου πονέωνται,
ἄμφω παιφάσσοντες, ἐπικτυπέουσι δὲ βῆσσαι
μαρναμένων· ὣς οἵγε συνήϊσαν ἀλλήλοισι
δῆριν συμφορέοντες ἀμείλιχον· ἀμφὶ δὲ μακραὶ
λαῶν ἀμφοτέρωθεν ἄδην πονέοντο φάλαγγες
ἐς μόθον, ἀργαλέη δὲ περὶ σφίσι δῆρις ὀρώρει·
οἱ δ' ἀνέμων ῥιπῇσιν ἐοικότες αἰψηρῇσι
σὺν ῥ' ἔβαλον μελίῃσι μεμαότες αἷμα κεδάσσαι
ἀλλήλων· τοὺς δ' αἰὲν ἐποτρύνεσκεν Ἐνυὼ
ἐγγύθεν ἱσταμένη· τοὶ δ' οὐκ ἀπέληγον ὁμοκλῆς,
ἀλλά σφεας ἐδάϊζον ἐς ἀσπίδας· ἄλλοτε δ' αὖτε
οὔταζον κνημῖδας ἰδ' ὑψιλόφους τρυφαλείας·
καί τις καὶ χροὸς ἧψατ', ἐπεὶ πόνος αἰνὸς ἔπειγε
θαρσαλέους ἥρωας. Ἔρις δ' ἐπετέρπετο θυμῷ
κείνους εἰσορόωσα· πολὺς δ' ἐξέρρεεν ἱδρὼς
ἀμφοτέρων· οἱ δ' αἰὲν ἐκαρτύνοντο μένοντες·
ἄμφω γὰρ μακάρων ἔσαν αἵματος· οἱ δ' ἀπ' Ὀλύμπου

οἱ μὲν γὰρ κύδαινον Ἀχιλλέος ὄβριμον υἷα,
οἱ δ' αὖτ' Εὐρύπυλον θεοειδέα. Τοὶ δ' ἑκάτερθεν
μάρναντ', ἀκμήτοισιν ἐειδόμενοι σκοπέλοισιν
ἠλιβάτων ὀρέων· μέγα δ' ἔβραχον ἀμφοτέρωθεν
θεινόμεναι μελίῃσι τότ' ἀσπίδες. Ὀψὲ δὲ μακρὴ
Πηλιὰς Εὐρυπύλοιο διήλυθεν ἀνθερεῶνος
πολλὰ πονησαμένη· τοῦ δ' ἔκχυτο φοίνιον αἷμα
ἐσσυμένως· ψυχὴ δὲ δι' ἕλκεος ἐξεποτήθη
ἐκ μελέων, ὀλοὴ δὲ κατ' ὀφθαλμῶν πέσεν ὄρφνη.
Ἤριπε δ' ἐν τεύχεσσι κατὰ χθονὸς, ἠΰτε βλωθρὴ
ἢ πίτυς ἢ ἐλάτη κρυεροῦ Βορέαο βίηφι
ἐκ ῥιζῶν ἐριποῦσα· τόσην ἐπὶ κάππεσε γαῖαν
Εὐρυπύλοιο δέμας· μέγα δ' ἔβραχε Τρώϊον οὖδας
καὶ πεδίον· χλοερὴ δὲ θοῶς κατεχεύατο νεκρῷ
ἀχροίη καὶ καλὸν ἀπημάλδυνεν ἔρευθος.
Τῷ δ' ἐπικαγχαλόων μεγάλ' εὔχετο καρτερὸς ἥρως·
Εὐρύπυλ', ἦπου ἔφης Δαναῶν νέας ἠδὲ καὶ αὐτοὺς
δῃώσειν καὶ πάντας ὀϊζυρῶς ἀπολέσσειν

cognoscere ex-adverso vim. Origo autem ejus in vertice
Pelii excelsi, ubi truncum reliquit et stationem *suam*.
Inquit et ex equis ad-terram desiliit præclarus vir
vibrans hastam prolixam. Ille autem ex-altera-parte
manibus validis ingentem corripuit petram
et Neoptolemi in clypeum torsit ferendam
aureum, quem tamen irruens *lapis* neutiquam concussit,
sed veluti rupes stabat vasta in-monte arduo,
quam de-Jove-fluentium fluminum vis, nec simul omnium,
retro movere potest, siquidem firmissimis radicibus-hæret:
sic manebat intrepidus natus Achillis fortis.
Atqui nec hoc-pacto extimuit audax robur Eurypyli
rapidum filium Achillis, namque eum impellebant
temeritas ac Parcæ. In corde vero animus
fervebat utrique, et circum illos varia arma
sonabant. Ipsique ut bestiæ invehebantur in-sese-mutuo
truces, quibus in montibus certamen surgit,
quando tristi fame stimulatæ cor
aut de bove aut cervo interemto contendunt,
ambæ irruentes, ac fremitu-resultant valles
pugnantium: ita hi concurrerunt inter-sese
certamen committentes implacabile; circumque *illos* longæ
populorum utrinque strenue rem-gerebant acies
in conflictu, atroxque inter eos certamen incrudescebat.
Ipsi autem ventorum flatibus similes subitis,
conflictabantur hastis cupientes sanguinem dispergere
mutuum, eosque indesinenter exacuebat Bellona
prope adstans. Ideo non destitere a-conflictu,
sed suos *mutuo* tundebant clypeos, quandoque etiam
pulsabant ocreas celsisque-conis galeas,
et erat-qui etiam corpus stringeret; nam labor gravis ur-
gebat] magnanimos heroas. Discordia interim oblectabatur
animo] eos intuens, plurimusque manabat sudor
utrique, qui eo-magis confirmabantur *in pugna* durantes;
uterque enim deorum erat ex-sanguine. Hi vero de Olympo

alii enim honorari-volebant Achillis fortem filium,
alii Eurypylum divina-forma. At isti inter-se
dimicabant, præduris similes scopulis
celsorum montium, et ingentem strepitum-reddebant utrin-
que] pulsata hastis tunc scuta. Tandem vero longa
Pelias Eurypyli penetravit mentum
multo labore-connixa, unde erupit puniceus sanguis
continuo, animaque per vulnus evolavit
e membris, letalisque oculis offusa-est caligo
Prolapsus-est itaque cum armis in terram, ut viridis
vel picea vel abies horridi Boreæ vi
ex radicibus evulsa; tantum occupavit telluris
Eurypyli corpus, et magnum edidit-fragorem Trojana tellus
ac campus, lividusque statim circumfusus-est cadaveri
pallor et honestum extinxit ruborem.
Super-hoc exultans magnifice gloriabatur fortis heros:
Eurypyle, sane jactitasti Danaum naves atque ipsos
te-vastaturum et omnes misere perditurum-esse

ἡμέας· ἀλλά σοι οὔτι θεοὶ τελέεσκον ἐέλδωρ,
ἀλλ' ὑπ' ἐμοί σ' ἐδάμασσε, καὶ ἀκάματόν περ ἐόντα,
πατρὸς ἐμοῖο μέγ' ἔγχος, ὅπερ βροτὸς οὔτις ἄλυξεν
ἡμῖν ἄντα μολὼν, οὐδ' εἰ παγχάλκεος ἦεν.
Ἦ ῥα καὶ ἐκ νέκυος περιμήκετον εἴρυσεν αἰχμὴν
ἐσσυμένως· Τρῶες δὲ μέγ' ἔτρεσαν εἰσορόωντες
ἀνέρα καρτερόθυμον· ὁ δ' αὐτίκα τεύχε' ἀπούρας
δῶκε θοοῖς ἑτάροισι φέρειν ποτὶ νῆας Ἀχαιῶν·
αὐτὸς δ' εἰς θοὸν ἅρμα θορὼν καὶ ἀτειρέας ἵππους
ἤϊεν, οἷός τ' εἶσι δι' αἰθέρος ἀπλήτοιο
ἐκ Διὸς ἀκαμάτοιο σὺν ἀστεροπῇσι κεραυνὸς,
ὅν τε περιτρομέουσι καὶ ἀθάνατοι κατιόντα,
νόσφι Διὸς μεγάλοιο· ὁ δ' ἐσσυμένως ποτὶ γαῖαν
δένδρεά τε ῥήγνυσι καὶ οὔρεα παιπαλόεντα·
ὣς ὁ θοῶς Τρώεσσιν ἐπέσσυτο πῆμα κορύσσων· [ποι·
δάμνατο δ' ἄλλοθεν ἄλλος, ὅσους κίχον ἄμβροτοι ἵπ-
πλήθετο δὲ χθονὸς οὖδας, ἄδην δ' ἐρυθαίνετο λύθρῳ.
Ὡς δ' ὅτε μυρία φύλλα κατ' οὔρεος ἐν βήσσῃσι
ταρφέα πεπτηῶτα χύδην κατὰ γαῖαν ἐρέψῃ·
ὣς Τρώων τότε λαὸς ἀάσπετος ἐν χθονὶ κεῖτο
χερσὶ Νεοπτολέμοιο καὶ Ἀργείων ἐριθύμων,
ὧν ἄπλετον μετὰ χερσὶν ὑπέρρεεν αἷμα κελαινὸν
αὐτῶν ἠδ' ἵππων· μάλα δ' ἄντυγες ἀμφ' ὀχέεσσι
κινύμεναι δεύοντο περὶ στροφάλιγξιν ἑῇσι.
Καί νύ κε Τρώϊοι υἷες ἔσω πυλέων ἀφίκοντο,
πόρτιες εὖτε λέοντα φοβεύμεναι, ἢ σύες ὄμβρον,
εἰ μὴ Ἄρης ἀλεγεινὸς ἀρηγέμεναι μενεαίνων
Τρωσὶ φιλοπτολέμοισι κατήλυθεν Οὐλύμποιο
κρύβδ' ἄλλων μακάρων· φόρεον δέ μιν ἐς μόθον ἵπποι
Αἴθων καὶ Φλόγιος, Κόναβος δ' ἐπὶ τοῖσι Φόβος τε·
τοὺς Βορέῃ κελάδοντι τέκε βλοσυρῶπις Ἐριννὺς
πῦρ ὀλοὸν πνείοντας· ὑπέστενε δ' αἰόλος αἰθὴρ
ἐσσυμένων ποτὶ δῆριν. Ὁ δ' ὀτραλέως ἀφίκανεν
ἐς Τροίην· ὑπὸ δ' αἶα μέγ' ἔκτυπε θεσπεσίοισιν
ἵππων ἀμφὶ πόδεσσι. Μολὼν δ' ἄγχιστα κυδοιμοῦ
πῆλε δόρυ βριαρόν· μέγα δ' ἴαχε Τρωσὶ κελεύων
ἀντιάαν δηΐοισι κατὰ κλόνον. Οἱ δ' ἀΐοντες
θεσπεσίην ὄπα πάντες ἐθάμβεον· οὐ γὰρ ἴδοντο
ἄμβροτον ἀθανάτοιο θεοῦ δέμας, οὐδὲ μὲν ἵππους·
ἠέρι γὰρ κεκάλυπτο· νόησε δὲ θέσκελον αὐδὴν,
ἔκποθεν ἀΐσσουσαν ἄδην εἰς οὔατα Τρώων,
ἀντιθέου Ἑλένοιο κλυτὸς νόος· ἐν δ' ἄρα θυμῷ
γήθησεν καὶ λαὸν ἀπεσσύμενον μέγ' ἄϋτει·
Ἆ δειλοὶ, τί φέβεσθε φιλοπτολέμου Ἀχιλῆος
υἷεα θαρσαλέον; θνητός νύ τίς ἐστι καὶ αὐτός·
οὐδέ οἱ ἶσον Ἄρηϊ πέλει σθένος, ὃς μὲν ἀρήγει
ἧμιν ἐελδομένοισι· βοᾷ δ' ὅγε μακρὰ κελεύων
μάρνασθ' Ἀργείοισι κατὰ κλόνον. Ἀλλ' ἄγε θυμῷ
τλῆτε, φίλοι, καὶ θάρσος ἐνὶ στήθεσσι βάλεσθε·
οὐ γὰρ ἀμείνονα Τρωσὶν ὀΐομαι ἄλλον ἱκέσθαι
ἀλκτῆρα πτολέμοιο· τί γὰρ ποτὶ δῆριν Ἄρηος
λώϊον, εὖτε βροτοῖσι κορυσσομένοις ἐπαμύνει,
ὡς νῦν ἧμιν ἵκανεν ἐπίρροθος; ἀλλὰ καὶ αὐτοὶ
μνήσασθε πτολέμοιο, δέος δ' ἀπὸ νόσφι βάλεσθε.

nos: verum tibi nequaquam dii expleverunt cupidinem,
sed per me te profligavit, quamlibet indomitum,
patris mei ingens hasta, quam mortalis nullus evitavit
nobis obviam veniens, nec si totus-aheneus esset.
Dixit et e cadavere prælongam evulsit hastam
raptim: Troes autem valde expaverunt conspicati
virum fortis-animi. Qui mox arma *hosti* detracta
dedit expeditis sociis asportanda ad naves Achivum.
Ipse autem in celerem currum insiliens et indefessos equos
ferebatur, qualis ruit per æthera vastum
ab Jove invicto cum fulgetris fulmen,
quod exhorrescunt etiam dii delabens,
præter Jovem magnum; præcipitans autem ad terram
arbores perfringit et montes asperos:
sic ille celeriter in-Troas ferebatur exitium struens;
ac sternebatur alibi alius, quot assequebantur immortales
equi,] opplebaturque telluris solum multoque rubuit cruore.
Ut quando innumera folia de monte in valles
confertim delapsa cumulatim tellurem obtegunt:
sic Troum tunc multitudo innumerabilis strata-erat
manibus Neoptolemi et Argivum fortium,
quorum inter manus permultus demanabat sanguis niger
ipsorum et equorum, et abunde canthi ab-utroque-latere
curruum] moti rigabantur circa curvaturas suas.
Et sane Troum filii intra portas venissent,
ut vitulæ leonem fugientes, aut sues imbrem,
nisi Mars tristificus, auxiliari cupiens
Trojanis bellicosis, delapsus-esset Olympo
clam aliis diis; portabant autem illum ad prœlium equi
Æthon et Phlogius, et Conabus cum his Phobusque,
quos Boreæ gravisono peperit truci-vultu Erinnys
sævum ignem efflantes; et ingemuit varius æther
ruentibus *his* ad conflictum. Propere ergo devenit
ad Trojam, terra autem valde insonuit divinos
equorum circa pedes. Et provectus quam-proxime conflictum]
quassavit hastam validam, ac valde clamavit Trojanos
jubens] occurrere hostibus in conflictu. Qui audita
divina voce omnes stupuerunt: non enim contuebantur
ambrosium immortalis Dei corpus, neque equos;
aere enim obtectus-erat. [Animadvertit autem vocem divinam,]
undecunque delatam satis-clare ad aures Troum,
divini Heleni celebris mens: ex animo igitur
gravisus-est et populum diffugientem alta voce-revocavit.
Heu timidi, quid fugitis bellicosi Achillis
filium temerarium? mortalis certe est et ipse,
nec ipsi par Marti est robur, qui opitulatur
nobis desiderantibus, vociferatur enim is valde *nos* exhortans]
ad-dimicandum cum-Argivis acie. Verum agite animis
durate, amici, et fiduciam pectoribus injicite:
non enim meliorem Trojanis existimo alium affore
propulsatorem belli. Quid enim ad conflictum Marte
præstabilius, cum mortalibus armatis fert-suppetias,
ut nunc nobis venit opitulator? sed-tamen etiam ipsi
memores-estote belli, et formidinem procul abjicitote.

Ὣς φάτο· τοὶ δ' ἵσταντο καταντίον Ἀργείοισιν.
Ἠΰτ' ἐνὶ ξυλόχοισι κύνες κατέναντα λύκοιο,
φεύγοντες τοπάροιθε, βίην τρέψωσι μάχεσθαι,
ταρφέα μηλονόμοιο παροτρύνοντος ἔπεσσιν·
ὣς ἄρα Τρώϊοι υἷες ἀνὰ μόθον αἰνὸν Ἄρηος
δείματος ἐκτὸς ἔσαν· κατὰ δ' ἀντίον ἀνέρος ἀνὴρ
μάρνατο θαρσαλέως· περὶ δ' ἔκτυπεν ἔντεα φωτῶν
θεινόμενα ξιφέεσσι καὶ ἔγχεσι καὶ βελέεσσιν·
αἰχμαὶ δ' ἐς χρόα δῦνον· ἐδεύετο δ' αἵματι πολλῷ
δεινὸς Ἄρης· ὀλέκοντο δ' ἀνὰ μόθον ἄλλος ἐπ' ἄλλῳ
μαρναμένων ἑκάτερθε· μάχη δ' ἔχεν ἶσα τάλαντα.
Ὡς δ' ὁπότ' αἰζηοὶ μεγάλης ἀνὰ γουνὸν ἀλωῆς
ὄρχατον ἀμπελόεντα διατμήξωσι σιδήρῳ
σπερχόμενοι, τῶν δ' ἶσον ἀέξεται εἰς ἔριν ἔργον,
οὕνεκ' ἴσοι τελέθουσιν ὁμηλικίῃ τε βίῃ τε·
ὣς τῶν ἀμφοτέρωθε μάχης ἀλεγεινὰ τάλαντα
ἶσα πέλεν. Τρῶες γὰρ ὑπέρβιον ἐνθέμενοι κῆρ
μίμνον ἀταρβήτοιο πεποιθότες Ἄρεος ἀλκῇ,
Ἀργεῖοι δ' ἄρα παιδὶ μενεπτολέμου Ἀχιλῆος·
κτεῖνον δ' ἀλλήλους. Ὀλοὴ δ' ἀνὰ μέσσον Ἐνυὼ
στρωφᾶτ' ἀλγινόεντι λύθρῳ πεπαλαγμένη ὤμους
καὶ χέρας· ἐκ δέ οἱ αἰνὸς ἀπὸ μελέων ῥέεν ἱδρώς·
οὐδ' ἑτέροισιν ἄμυνεν, ἴση δ' ἐπετέρπετο χάρμῃ
ἀζομένη φρεσὶν ᾗσι Θέτιν καὶ δῖον Ἄρηα.
Ἔνθα Νεοπτόλεμος τηλέκλειτον Περιμήδεα
δάμναθ', ὃς οἰκί' ἔναιε παρὰ Σμινθήϊον ἄλσος·
τῷ δ' ἔπι Κέστρον ἔπεφνε μενεπτόλεμόν τε Φάληρον
καὶ κρατερὸν Περίλαον ἐϋμμελίην τε Μενάλκην,
ὃν τέκετ' Ἰφιάνασσα παρὰ ζάθεον πόδα Κίλλης
τεχνήεντι Μέδοντι, δαήμονι τεκτοσυνάων·
ἀλλ' ὁ μὲν οἴκοι ἔμιμνε φίλῃ ἐνὶ πατρίδι γαίῃ·
παιδὸς δ' οὐκ ἀπόνητο· πόνον δέ οἱ ἔργα τε πάντα
χηρωσταὶ μετόπισθεν ἀποφθιμένοιο δάσαντο.
Δηΐφοβος δὲ Λυκῶνα μενεπτόλεμόν κατέπεφνε
τυτθὸν ὑπὲρ βουβῶνα τυχών· περὶ δ' ἔγχεϊ μακρῷ
ἔγκατα πάντ' ἐχύθησαν· ὅλη δ' ἐξέσσυτο νηδύς.
Αἰνείας δὲ Δάμαντα κατέκτανεν, ὃς τοπάροιθεν
Αὐλίδα ναιετάασκε, συνέσπετο δ' Ἀρκεσιλάῳ
ἐς Τροίην· ἀλλ' οὔτι φίλην πάλιν ἔδρακε γαῖαν.
Εὐρύαλος δ' ἐδάμασσε βαλὼν ἀλεγεινὸν ἄκοντι
Ἀστραῖον· τοῦ δ' αἶψα διὰ στέρνοιο ποτήθη
αἰχμὴ ἀνιηρή, στομάχου δ' ἀπέκερσε κελεύθους
ἀνέρι κῆρα φέρουσα· μίγη δέ οἱ εἴδατα λύθρῳ.
Τοῦ δ' ἄρα βαιὸν ἄπωθεν ἕλεν μεγάθυμος Ἀγήνωρ
Ἱππομένην, Τεύκροιο δαΐφρονος ἐσθλὸν ἑταῖρον,
τύψας ἐς κληῗδα θοῶς· σὺν δ' αἵματι θυμὸς
ἔκθορεν ἐκ μελέων· ὀλοὴ δέ μιν ἀμφεχύθη νύξ.
Τεύκρῳ δ' ἔμπεσε πένθος ἀποκταμένου ἑτάροιο,
καὶ βάλεν ὠκὺν ὀϊστὸν Ἀγήνορος ἄντα τανύσσας·
ἀλλά οἱ οὔτι τύχησεν ἀλευαμένου μάλα τυτθόν·
ἔμπεσε δ' ἐγγὺς ἐόντι δαΐφρονι Δηϊοφόντῃ
λαιὸν ἐς ὀφθαλμὸν, διὰ δ' οὔατος ἐξεπέρησεν
δεξιτεροῦ, γλήνην δὲ διέτμαγεν· οὕνεκα Μοῖραι
ἀργαλέον βέλος ὦσαν ὅπῃ θέλον. Ὃς δ' ἔτι ποσσὶν

Sic dixit: at illi stabant adversus Argivos.
Veluti in silvis canes adversus lupum,
fugientes antea, vires convertunt ad-pugnandum,
identidem ovium-pastore exstimulante verbis:
sic igitur Trojugenæ in tumultu acerbo Martis
extra metum erant, et contra virum vir
pugnavit fidenter, increpueruntque arma virorum
pulsata gladiis et hastis ac jaculis;
at cuspides in corpus penetrabant, ac maduit multo cruore
acer Mars, dum trucidantur in conflictu alius post alium
dimicantium utrinque: nam pugna habebat æquas lances.
Ut cum juvenes ingentis in fertili-solo vineæ
ordines vitibus-consitos amputant ferro
festinantes, horumque æquale increscit certatim opus,
quandoquidem pares sunt ætate atque robore:
ita illorum utrobique pugnæ tristes lances
æquæ erant. Troes enim temerarium induti cor
resistebant, imperterriti confisi Martis ope,
Argivi contra filio bellipotentis Achillis *confisi*,
et trucidabant se-mutuos. Sævaque in medio Bellona
versabatur tristi sanie polluta humeros
ac manus, eique teter a membris defluebat sudor;
et neutros adjuvabat, sed ex-æqua voluptatem-capiebat
pugna,] dum-reveretur animo suo Thetin et divum Martem.
Ibi Neoptolemus celebrem Perimedem
dejecit, qui ædes tenebat juxta Smintheum lucum;
et post eum Cestrum obtruncavit bellacemque Phalerum
ac fortem Perilaum hastaque-bonum Menalcam,
quem edidit Iphianassa ad sacras radices Cillæ
artificioso Medonti, perito fabricaturæ.
Is quidem domi manserat dilecta in patria terra
de filio autem non cepit-fructum: nam laborem ejus operaque cuncta]alieni-hæredes postea, exstincti, diviserunt.
Deiphobus autem Lyconem bellicosum interemit,
paulum supra inguen feriens, et circa hastam longam
intestina cuncta effundebantur, totusque erupit venter.
Hinc Æneas Damantem occidit, qui olim
Aulidem incolebat, et comes-fuerat Arcesilai
ad Trojam. Sed minime carum denuo vidit solum.
Euryalus porro subegit ictum miserabiliter jaculo
Astræum, cujus subito trans pectus volaverat
hasta luctifica, et stomachi præciderat vias
homini mortem afferens; miscebanturque illi cibi cum-sanguine.] Ab-eo vero non-ita procul profligavit magnanimus
Agenor] Hippomenem, Teucri pugnacis bonum sodalem,
percussum in jugulum subito; cumque sanguine animus
exiliit e corpore, et letalis ei offusa-est nox.
Teucro itaque obortus-est mœror interfecto amico,
et emisit citum telum in Agenorem intendens:
verum hunc non contigit declinantem pauxillum,
sed cecidit prope stantis bellicosi Deiphontis
lævum in oculum, et per aurem penetravit
dexteram pupillamque diffidit; quia Fata
sævum telum impulerant quo volebant. Ille autem adhuc

ὀρθὸς ἀνεσκαίρεσκε· βαλὼν δ' ὅγε δεύτερον ἰὸν
λαιμῷ ἐπεῤῥοίβδησε· διέθρισε δ' αὐχένος ἶνας
ἀντικρὺς ἀΐξας· τὸν δ' ἀργαλέη κίχε μοῖρα.
Ἄλλος δ' ἄλλῳ τεῦχε μόρον· κεχάροντο δὲ Κῆρες
καὶ Μόρος· ἀλγινόεσσα δ' Ἔρις μέγα μαιμώωσα
ἤϋσεν μάλα μακρόν· Ἄρης δέ οἱ ἀντεβόησε
σμερδαλέον, Τρώεσσι δ' ἐνέπνευσεν μέγα θάρσος,
Ἀργείοισι δὲ φύζαν· ἄφαρ δ' ἐλέλιξε φάλαγγας.
Ἀλλ' οὐχ υἷα φόβησεν Ἀχιλλέος· ἀλλ' ὅγε μίμνων
μάρνατο θαρσαλέως, ἐπὶ δ' ἔκτανεν ἄλλον ἐπ' ἄλλῳ.
Ὡς δ' ὅτε τις μυίῃσι περὶ γλάγος ἐρχομένῃσι
χεῖρα περιῤῥίψῃ κοῦρος νέος, αἱ δ' ὑπὸ πληγῇ
τυτθῇ δαμνάμεναι σχεδὸν ἀθρόαι ἄλλοθεν ἄλλαι
θυμὸν ἀποπνείουσι, πάϊς δ' ἐπιτέρπεται ἔργῳ·
ὣς ἄρα φαίδιμος υἱὸς ἀμειλίκτου Ἀχιλῆος
γήθεεν ἀμφὶ νέκυσσι, καὶ οὐκ ἀλέγιζεν Ἄρηος
Τρωσὶν ἐποτρύνοντος· ἐτίνυτο δ' ἄλλοθεν ἄλλον
λαοῦ ἐπαΐσσοντος· ὅπως δ' ἀνέμοιο θύελλας
μίμνῃ ἐπεσσυμένας ὄρεος μεγάλοιο κολώνη,

ὣς ἄρα μίμνεν ἄτρεστος. Ἄρης δέ οἱ ἐμμεμαῶτι
χώετο, καί οἱ ἔμελλεν ἐναντία δηριάασθαι
αὐτὸς ἀποῤῥίψας ἱερὸν νέφος, εἰ μὴ Ἀθήνη
ἔκποθεν Οὐλύμποιο θόρεν ποτὶ δάσκιον Ἴδην·
ἔτρεμε δὲ χθὼν δῖα καὶ ἠχήεντα ῥέεθρα
Ξάνθου· τόσσον ἔσεισε· δέος δ' ἀμφέκλασε θυμὸν
Νυμφάων· φοβέοντο δ' ὑπὲρ Πριάμοιο πόληος·
τεύχεσι δ' ἀμβροσίοισι πέρι στεροπαὶ ποτέοντο·
σμερδαλέοι δὲ δράκοντες ἀπ' ἀσπίδος ἀκαμάτοιο
πῦρ ἄμοτον πνείεσκον· ἄνω δ' ἔψαυε νέφεσσι
θεσπεσίη τρυφάλεια· θοῷ δ' ἤμελλεν Ἄρηϊ
μάρνασθ' ἐσσυμένως, εἰ μὴ Διὸς ἠΰ νόημα
ἀμφοτέρους ἐφόβησεν, ἀπ' αἰθέρος αἰπεινοῖο
βροντήσας ἀλεγεινόν. Ἄρης δ' ἀπεχάζετο χάρμης,
δὴ γάρ οἱ μεγάλοιο Διὸς διεφαίνετο θυμός·
ἵκετο δ' ἐς Θρήκην δυσχείμερον, οὐδ' ἔτι Τρώων
μέμβλετό οἱ κατὰ θυμὸν ὑπέρβιον. Οὐδὲ μὲν ἐσθλὴ
Παλλὰς ἐνὶ πεδίῳ Τρώων μένεν, ἀλλὰ καὶ αὐτὴ
ἷξεν Ἀθηναίων ἱερὸν πέδον. Οὐδ' ἔτι χάρμης
μνώοντ' οὐλομένης, δεύοντο δὲ Τρώϊοι υἷες
ἀλκῆς· Ἀργεῖοι δὲ μέγ' ἱέμενοι πολέμοιο
χαζομένοισιν ἕποντο κατ' ἴχνιον, ἠΰτ' ἀῆται
νήεσσιν ἐσσυμένῃς ἅμα λαίφεσιν εἰς ἁλὸς οἶδμα,
ὄβριμον ἢ θάμνοισι πυρὸς μένος, ἢ κεμάδεσσιν
ὀτρηροὶ κατ' ὄρεσφι κύνες λελιημένοι ἄγρης·
ὣς Δαναοὶ δηΐοισιν ἐπήϊον, οὕνεκ' ἄρ' αὐτοὺς
υἱὸς Ἀχιλλῆος μεγάλῳ δορὶ θαρσύνεσκε,
κτείνων ὅν κε κίχησε κατὰ κλόνον· οἱ δ' ὑπὸ φύζαν
χασσάμενοι κατέδυσαν ἐς ὑψίπυλον πτολίεθρον.
Ἀργεῖοι δ' ἄρα τυτθὸν ἀνέπνευσαν πολέμοιο,
ἔλσαντες Πριάμοιο κατὰ πτόλιν ἔθνεα Τρώων,
ἄρνας ὅπως σταθμοῖσιν ἐπ' οἰοπόλοισι νομῆες.
Ὡς δ' ὁπότ' ἀμπνείωσι βόες μέγα κεκμηῶτες,
ἄχθος ἀνειρύσσαντες ἄνω ποτὶ δύσβατον ἄκρην,

in-pedes] erectus subsiliebat. Ejaculatus igitur alteram sagittam]in-faucem cum-stridore-infixit, et dissecuit cervicis nervos] ex-adverso irruens, eumque triste apprehendit fatum.]Porro alius alii creabat exitium. Ideo lætabanturParcæ ac Fatum, tristisque Discordia magno ardore-percita clamorem-tollebat immensum : cui Mars respondit horrendum, et Trojanis inspiravit magnam fiduciam Argivisque fugam, et subito retro-egit phalanges. Sed-tamen filium non consternavit Achillis; imo hic subsistens]pugnavit fortiter et interfecit alium post alium.
Ut si quispiam muscis lac obeuntibus
manum injiciat puer tenellus, ac plaga
exigua contritæ prope omnes alibi aliæ
animam exhalant, at puer delectatur studio *isto* :
sic etiam eximius filius implacabilis Achillis
gaudebat strage cadaverum, et nihili pendebat Martem
Trojanos incitantem; sed puniebat alibi alium
multitudinis ingruentis. Ceu venti procellis
resistit incumbentibus montis vasti jugum,

ita *ille* persistebat intrepidus. Quare Mars ei irruenti
succensebat, *jam*que erat contra ipsum certaturus
ipse abjecta sacra nube, nisi Minerva
ex Olympo desiliisset ad opacam Idam.
Intremuit autem tellus alma et sonorus alveus
Xanthi; adeo concussit; timorque infregit animum
Nympharum : timebant enim Priami civitati:
armaque divina fulgura circumvolabant,
ac horrendi dracones a scuto insuperabili
ignem rapidum spirabant, ac superne attingebat nubes
divina cassis : cum-veloci igitur erat Marte
certatura repente, nisi Jovis alma providentia
utrumque deterruisset, ab æthere excelso
intonans terrificum. Mars igitur abscessit prœlio,
jam enim ipsi magni Jovis apparebat animus,
et recepit-se in Thraciam brumalem, neque amplius Troum
cura-erat ei in animo temerario. Neque industria
Pallas in campo Troum mansit, sed etiam ipsa
se-contulit Athenlensium sacram in-terram.Nec amplius de -pugna]soliciti-erant perniciosa: destituti-sunt igitur Trojanorum nati]viribus. Argivi autem magna cupiditate-succensi belli] cedentibus instabant e vestigio, tanquam venti navibus, quæ-procurrunt cum (*erectis*) velis in maris fluctum,] aut validum virgultis ignis robur, aut cervis
impigri in montibus canes appetentes prædam :
ita Danai in-hostes invehebantur, quoniam ipsis
filius Achillis immani hasta fiduciam-addebat,
perimens quemcunque deprehendit in pugna. At hi in fugam] conversi subierunt altiportam urbem.
Interim Argivi paulisper respirabant a-prœlio,
cum-inclusissent Priami in urbe gentem Trojanorum,
ut agnos in caulis desertis pastores *includunt*.
Ac veluti boves respirant admodum defessi,
onere tracto sursum in difficilem-accessu arcem,

πυκνὸν ἀνασθμαίνοντες ὑπὸ ζυγόν· ὣς ἄρ' Ἀχαιοὶ
ἄμπνεον ἐν τεύχεσσι κεκμηκότες· ἀμφὶ δὲ πύργους
μάρνασθαι μεμαῶτες ἐκυκλώσαντο πόληα·
οἱ δ' ἄφαρ ᾗσι πύλῃσιν ἐπειρύσσαντες ὀχῆας
ἐν τείχεσσιν ἔμιμνον ἐπεσσυμένων μένος ἀνδρῶν.
Ὡς δ' ὅτε μηλοβοτῆρες ἐνὶ σταθμοῖσι μένωσι
λαίλαπα κυανέην, ὅτε χείματος ἦμαρ ἵκηται
λάβρον ὁμοῦ στεροπῆσι καὶ ὕδατι καὶ νιφάδεσσι
ταρφέσιν, οἱ δὲ μάλ' οὔτι, λιλαιόμενοί περ ἱκέσθαι,
ἐς νομὸν ἀΐσσουσιν, ἄχρις μέγα λωφήσειε
χεῖμα καὶ εὐρύποροι ποταμοὶ μεγάλα βρομέοντες·
ὣς οἵγ' ἐν τείχεσσι μένον τρομέοντες ὁμοκλὴν
δυσμενέων· λαοὶ δὲ θοῶς ἐπέχυντο πόληϊ.
Ὡς δ' ὁπότε ψῆρες τανυσίπτεροι ἠὲ κολοιοὶ
καρπῷ ἐλαϊνέῳ θαμέες περὶ πάγχυ πέσωσι,
βρώμης ἱέμενοι θυμηδέος, οὐδ' ἄρα τούς γε
αἰζηοὶ βοόωντες ἀποτρωπῶσι φέβεσθαι,
πρὶν φαγέειν, λιμὸς γὰρ ἀναιδέα θυμὸν ἀέξει·
ὣς Δαναοὶ Πριάμοιο τότ' ἀμφεχέοντο πόληϊ
ὄβριμοι· ἐν δὲ πύλῃσι πέσον μεμαῶτες ἐρύσσαι
ἔργον ἀπειρέσιον κρατερόφρονος Ἐννοσιγαίου.
Τρῶες δ' οὐ λήθοντο μάχης, μάλα περ δεδιῶτες,
ἀλλὰ καὶ ὣς πύργοισιν ἐφεστῶτες πονέοντο
νωλεμέως· ἰοὶ δὲ πολυκμήτων ἀπὸ τειχῶν
θρῶσκον ὁμῶς λάεσσι καὶ αἰγανέῃσι θοῇσι
δυσμενέων ἐς ὅμιλον, ἐπεί σφισι τλήμονα Φοῖβος
ἧκε βίην· δὴ γάρ οἱ ἀμύνειν ἤθελε θυμὸς
Τρωσὶν ἐϋπτολέμοισι, καὶ Ἕκτορος οἰχομένοιο.
Ἔνθ' ἄρα Μηριόνης στυγερὸν προέηκε βέλεμνον
καὶ βάλε Φυλοδάμαντα, φίλον κρατεροῖο Πολίτου,
τυτθὸν ὑπὸ γναθμοῖο· πάγη δ' ὑπὸ λαιμὸν ὀϊστός·
κάππεσε δ' αἰγυπιῷ ἐναλίγκιος, ὅν τ' ἀπὸ πέτρης
ἰῷ ἐϋγλώχινι βαλὼν αἰζηὸς ὀλέσσῃ·
ὣς ὁ θοῶς πύργοιο κατήριπεν αἰπεινοῖο·
γυῖα δέ οἱ λίπε θυμός· ἐπέβραχε δ' ἔντεα νεκροῦ.
Τῷ δ' ἐπικαγχαλόων υἱὸς κρατεροῖο Μόλοιο
ἄλλον ἐφῆκεν ὀϊστὸν, ἐελδόμενος μέγα θυμῷ
υἷα βαλεῖν Πριάμοιο πολυτλήτοιο Πολίτην·
ἀλλ' ὁ μὲν αἶψ' ἀλέεινε παρακλίνας ἑτέρωσε
ὃν δέμας, οὐδέ οἱ ἰὸς ἐπὶ χρόα καλὸν ἴαψεν.
Ὡς δ' ὅθ' ἁλὸς κατὰ πόντον ἐπειγομένης νεὸς οὔρῳ
ναύτης παιπαλόεσσαν ἰδὼν ἐνὶ χεύματι πέτρην
νῆα παρατρέψῃ, λελιημένος ἐξυπαλύξαι,
χειρὶ παρακλίνας οἰήϊον, ᾗχί ἑ θυμὸς
ὀτρύνει, τυτθὴ δὲ βίη μέγα πῆμ' ἀπερύκει·
ὣς ἄρ' ὅγε προϊδὼν ὀλοὸν βέλος ἔκφυγε πότμον.
Οἱ δ' αἰεὶ μάρναντο· λύθρῳ δ' ἐρυθαίνετο τείχη
πύργοι θ' ὑψηλοὶ καὶ ἐπάλξιες, ᾗχί τε Τρῶες
ἰοῖσι κτείνοντο πολυσθενέων ὑπ' Ἀχαιῶν.
Οὔτι μὲν οἵγ' ἀπάνευθε πόνων ἔσαν, ἀλλ' ἄρα καὶ τῶν
πολλοὶ γαῖαν ἔρευθον· ὀρώρει δ' αἰπὺς ὄλεθρος
βαλλομένων ἑκάτερθε· λυγρὴ δ' ἐπετέρπετ' Ἐνυὼ
δῆριν ἐπικλονέουσα, κασιγνήτη Πολέμοιο·
καί νύ κε δὴ ῥήξαντο πύλας καὶ τείχεα Τροίης

crebro anhelantes sub jugo : ita Achivi
respirabant in armis defatigati. Hinc circa turres
pugnare cupidi corona cinxerunt urbem.
Illi autem statim suis portis obdentes repagula
inter muros præstolabantur ingruentium impetum virorum.] Ut cum opiliones in stabulis remanent expectantes
turbinis cærulei *finem*, quando hiemis dies ingruit
vehemens simul cum-fulgetris et aqua ac nivibus
crebris, ipsique neutiquam, cupidi quamvis exeundi,
ad pascua procedunt, donec ingens desævierit
tempestas, et latiflui torrentes multum strepitantes :
ita illi intra muros se-continebant extimescentes impressionem] hostium, *quorum* catervæ subito circumfundebantur urbi.] Ac veluti sturni lativolantes aut graculi
fructui oleagino frequentes undique incumbunt,
escæ cupidi jucundæ, neque vero eos
juvenes clamando vertunt in-fugam,
priusquam comederint; esuries enim impudentem animum
auget :] ita Danai Priami tunc circumglomerabantur urbi
fortes, inque portas impetum fecerunt conantes evellere
opus immane magnanimi Neptuni.

Trojani contra non detrectabant pugnam, quamvis timore-perculsi,] sed nihilominus propugnaculis insistentes laborem-sustinebant] continuum; sagittæque operose-factis
de-mœnibus] exsiliebant simul-cum lapidibus atque hastilibus citis] hostium in agmen, quia ipsis fiduciæ-plenum
Phœbus] indidit robur. Namque ipsius opitulari cupiebat
animus] Trojanis bellicosis, etiam Hectore sublato.

Ibi igitur Meriones infestum emisit jaculum
et percussit Phylodamantem, amicum fortis Politæ,
paullum infra maxillam, et infixa-est jugulo sagitta;
ac decidit vulturis in-modum, quem de saxo
telo acuto dejectum juvenis exitio-mittit
ita ille cito de-turri delapsus-est ardua,
membraque ejus deseruit animus; et insonuerunt arma
super-cadavere.] De quo exultans filius fortis Moli
alteram ejaculatus-est arundinem, gestiens valde animo
filium ferire Priami ærumnosi Politen :
verum hic statim sibi cavit declinans alio
suum corpus, nec telum ejus cuti formosæ noxam-intulit.
Ac sicut maris in salo impulsa navi secundo-flatu
nauta asperum conspicatus in fluctu scopulum
navem avertit, cupiens evadere,
manu inclinans gubernaculum, quo ipsum animus
jubet, exiguaque vis ingens damnum avertit :
sic ille prævidens perniciale telum effugit letum.

Illi autem pertinaciter confligebant, ac cruore rubescebant mœnia] turresque celsæ et propugnacula, ubi Troes
jaculis conficiebantur prævalidis ab Achivis.
Nec tamen hi absque cladibus erant : sed enim eorum
multi terram cruentabant, et oriebatur dira strages
profligatorum utrinque, sævaque oblectabatur Bellona
contentionem concitans, soror Martis :
et certe perrupissent portas et mœnia Trojæ

Ἀργεῖοι, μάλα γάρ σφιν ἀάσπετον ἔπλετο κάρτος,
εἰ μὴ ἄρ' αἶψ' ἐβόησεν ἀγακλειτὸς Γανυμήδης,
οὐρανοῦ ἐκκατιδών· μάλα γὰρ περιδείδιε πάτρῃ·
Ζεῦ πάτερ, εἰ ἐτεόν γε τεῆς ἐξ εἰμὶ γενέθλης,
σῇσι δ' ὑπ' ἐννεσίῃσι λιπὼν ἐρικυδέα πάτρην
εἰμὶ μετ' ἀθανάτοισι, πέλει δέ μοι ἄμβροτος αἰών·
τῷ μευ νῦν ἐσάκουσον ἀκηχεμένου μέγα θυμῷ.
Οὐ γὰρ τλήσομαι ἄστυ καταιθόμενον προσιδέσθαι,
οὐδ' ἄρ' ἀπολλυμένην γενεὴν ἐνὶ δηϊοτῆτι
λευγαλέῃ, τῆς οὔτι χερειότερον πέλει ἄλγος.
Σοὶ δὲ καὶ εἰ μέμονε κραδίη τάδε μηχανάασθαι,
ἔρξον ἐμεῦ ἀπὸ νόσφιν· ἐλαφρότερον δέ μοι ἄλγος
ἔσσεται, ἤν μὴ ἔγωγε μετ' ὄμμασιν οἷσιν ἴδωμαι·
κεῖνο γὰρ οἴκτιστον καὶ κύντατον, ὁππότε πάτρην
δυσμενέων παλάμῃσιν ἐρειπομένην τις ἴδηται.
Ἦ ῥα μέγα στενάχων Γανυμήδεος ἀγλαὸν ἦτορ·
καὶ τότ' ἄρα Ζεὺς αὐτὸς ἀπειρεσίοις νεφέεσσι
νωλεμέως ἐκάλυψε κλυτὴν Πριάμοιο πόληα·
ἠχλύνθη δὲ μάχη φθισίμβροτος, οὐδέ τις αὐτῶν
ἐξιδέειν ἐπὶ τεῖχος ἔτ' ἔσθενεν, ἧχι τέτυκτο·
ταρφέσι γὰρ νεφέεσσι διηνεκέως κεκάλυπτο·
ἀμφὶ δ' ἄρα βρονταί τε καὶ ἀστεροπαὶ κτυπέοντο
οὐρανόθεν· Δαναοὶ δὲ Διὸς κτύπον εἰσαΐοντες
θάμβεον· ἐν δ' ἄρα τοῖσι μέγ' ἴαχε Νηλέος υἱός·
Ὦ κλυτοὶ Ἀργείων σημάντορες, οὐκ ἔτι νῶϊν
ἔσσεται ἔμπεδα γυῖα, Διὸς μέγα θαρσαλέοισι
Τρωσὶν ἀμύνοντος· μάλα γὰρ μέγα πῆμα κυλίνδει
ἡμῖν· ἀλλ' ἄγε θᾶττον ἐὰς ἐπὶ νῆας ἰόντες
παυσώμεσθα πόνοιο καὶ ἀργαλέοιο κυδοιμοῦ,
μὴ δὴ πάντας ἐνιπρήσῃ μάλα περ μενεαίνων.
Τοῖσιν μὲν τεράεσσι πιθώμεθα· τῷ γὰρ ἔοικεν
πάντ' ἐπιπείθεσθαι, ἐπειὴ μάλα φέρτατός ἐστιν
ἰφθίμων τε θεῶν ὀλιγοσθενέων τ' ἀνθρώπων·
καὶ γὰρ Τιτήνεσσιν ὑπερφιάλοισι χολωθεὶς
οὐρανόθεν κατέχευε πυρὸς μένος· ἡ δ' ὑπένερθεν
καίετο πάντοθε γαῖα· καὶ ὠκεανοῦ πλατὺ χεῦμα
ἔζεεν ἐκ βυσσοῖο, καὶ ἐς πέρατ' ἄχρις ἱκέσθαι·
καὶ ποταμῶν τέρσοντο ῥοαὶ μάλα μακρὰ ῥεόντων·
δάμνατο δ' ὁππόσα φῦλα φερέσβιος ἔτρεφε γαῖα,
ἠδ' ὅσα πόντος ἔφερβεν ἀπείριτος, ἠδ' ὁπόσ' ὕδωρ
ἀενάων ποταμῶν· ἐπὶ δέ σφισιν ἄσπετος αἰθὴρ
τέφρῃ ὑπεκρύφθη καὶ λιγνύϊ· τείρετο δὲ χθών.
Τοὔνεκ' ἐγὼ δείδοικα Διὸς μένος ἤματι τῷδε.
Ἀλλ' ἴομεν ποτὶ νῆας, ἐπεὶ Τρώεσσιν ἀρήγει
σήμερον· αὐτὰρ ἔπειτα καὶ ἡμῖν κῦδος ὀρέξει·
ἄλλοτε γάρ τε φίλη πέλει ἠώς, ἄλλοτε δ' ἐχθρή·
καὶ δ' οὔπω τοι μοῖρα διαπραθέειν κλυτὸν ἄστυ,
εἰ ἐτεὸν Κάλχαντος ἐτήτυμος ἔπλετο μῦθος,
τόν ῥα πάρος κατέλεξεν ὁμηγερέεσσιν Ἀχαιοῖς,
δηῶσαι Πριάμοιο πόλιν δεκάτῳ ἐνιαυτῷ. [τες
Ὣς φάτο· τοὶ δ' ἀπάνευθε περικλυτὸν ἄστυ λιπόν-
χάσσαντ' ἐκ πολέμοιο, Διὸς τρομέοντες ὁμοκλήν·
ἀνέρι γὰρ πεπίθοντο παλαιῶν ἵστορι μύθων.
Ἀλλ' οὐδ' ὣς ἀμέλησαν ἀποκταμένων ἐνὶ χάρμῃ·

Argivi: plane enim eis inexsuperabile erat robur:
nisi extemplo vocem-sustulisset percelebris Ganymedes
cœlo despiciens: valde enim timebat patriæ:
Juppiter pater, si vere ex tua *procreatus* sum stirpe,
et tuo consilio relicta nobilissima patria
versor inter Deos, et est mihi perennis vita;
nunc me exaudi affectum-ægritudine magna animi.
Nec enim sustineam urbem conflagrare intueri,
nec exstingui familiam *meam* in bello
funesto, quo nullus acerbior est cruciatus.
Tibi vero si cupit cor hæc moliri,
perficias a me procul: mitior enim mihi dolor
erit, si modo ego oculis meis non aspexero:
illud enim imprimis-miserabile et tetrum *est*, si patriam
hostium manibus exscindi quis viderit.
Dixit *hæc* valde suspirans Ganimedis nobile pectus
atque tunc Juppiter ipse densissimis nubibus
continenter occultabat inclytam Priami urbem,
et tenebris-involvebatur prœlium exitiale, nec ullus eorum
videre mœnia amplius poterat, ubi essent:
spissis enim nubibus perpetuo obducta-erant;
circumquaque etiam tonitrua et fulgura fremebant
e-cœlo. Danaique Jovis strepitum audientes
stupebant. Inter quos alta voce-clamavit Nelei filius:
O clari Argivum ductores, non amplius nobis
erunt firma membra, Jove potenter animosis
Trojanis opitulante; maximam enim cladem advolvit
nobis. Sed agite mox nostras ad naves reversi
supersedeamus labore et difficili prœlio,
ne universos igni-absumat vehementer iratus.
Atque his portentis fidem-habeamus: huic enim decet
omnia parere, siquidem longe præstantissimus est
et potentum deum et infirmorum hominum.
Etenim Titanibus perfidis iratus
cœlitus effudit ignis vim, infraque
exarsit undique tellus, et Oceani latus fluxus
efferbuit abimo, ut-vel ad extrema usque perveniret,
et amnium exaruerunt fluenta latissime undantium,
ac peribant quæcunque *animantium* genera alma nutri-
vit tellus,] et quæ pontus aluit immensus, et quæ unda
perennium fluminum, et super his spaciosus æther
favilla obtectus-erat et fuligine, ac vexabatur orbis-terra-
rum.] Ideo ego reformido Jovis potentiam hoc die.
Verum corripiamus-nos ad naves, cum Trojanos defendat
hodie; deinceps vero etiam nobis gloriam exhibebit:
quandoque enim amicus est dies, quandoque inimicus:
nec dum in-fatis *est*, ut-evertamus celebrem urbem,
si haud-dubie Calchantis verum-est oraculum,
quod olim prodidit congregatis Achivis,
nos-excisuros Priami urbem decimo anno.
Hæc memoravit. Ipsi igitur longe famigerata urbe relicta
recesserunt a pugna, Jovis contremiscentes fremitum:
viro enim parebant vetustorum perito sermonum.
Nec tamen propterea neglexerunt cæsos in conflictu,

ἀλλὰ σφέας τάρχυσαν ἀπὸ πτολέμου ἐρύσαντες.
Οὐ γὰρ δὴ κείνους νέφος ἄμφεχεν, ἀλλὰ πόληα
ὑψηλὴν καὶ τεῖχος ἀνάμβατον, ᾧ πέρι πολλοὶ
Τρώων υἷες Ἄρηϊ καὶ Ἀργείων ἐδάμησαν.
Ἐλθόντες δ' ἐπὶ νῆας ἀρήϊα τεύχε' ἔθεντο,
καί ῥα κόνιν καὶ ἱδρῶτα λύθρον τ' ἀποφαιδρύναντο
κύμασιν ἐμβεβαῶτες ἐϋῤῥόου Ἑλλησπόντου.
Ἠέλιος δ' ἀκάμαντας ὑπὸ ζόφον ἤλασεν ἵππους·
νὺξ δ' ἐχύθη περὶ γαῖαν, ἀπέτραπε δ' ἀνέρας ἔργων·
Ἀργεῖοι δ' Ἀχιλῆος ἐϋπτολέμου θρασὺν υἷα
ἶσα τοκῆϊ τίεσκον· ὁ δ' ἐν κλισίῃσιν ἀνάκτων
δαίνυτο καγχαλόων· κάματος δέ μιν οὔτι βάρυνεν,
οὕνεκά οἱ στονόεντα Θέτις μελεδήματα γυίων
ἐξέλετ', ἀκμήτῳ δ' ἐναλίγκιον εἰσοράασθαι
τεῦξεν. Ὁ δ' ἐκ δόρποιο, κορεσσάμενος κρατερὸν κῆρ,
ἐς κλισίην ἀφίκανεν ἑοῦ πατρὸς, ἔνθα οἱ ὕπνος
ἀμφεχύθη· Δαναοὶ δὲ νεῶν προπάροιθεν ἴαυον,
αἰὲν ἀμειβόμενοι φυλακάς· φοβέοντο γὰρ αἰνῶς
Τρώων μή ποτε λαὸς ἢ ἀγχεμάχων ἐπικούρων
νῆας ἐνιπρήσῃ, νόστου δ' ἀπὸ πάντας ἀμέρσῃ.
Ὣς δ' αὔτως Πριάμοιο κατὰ πτόλιν ἔθνεα Τρώων
ἀμφὶ πύλας καὶ τεῖχος ἀμοιβαδὸν ὑπνώεσκον
Ἀργείων στονόεσσαν ὑποτρομέοντες ὁμοκλήν.

ΛΟΓΟΣ Θ.

Ἦμος δ' ἤνυτο νυκτὸς ἀπὸ κνέφας, ἔγρετο δ' ἠὼς
ἐκ περάτων, μάρμαιρε δ' ἀπείριτον ἄσπετος αἰθήρ·
δὴ τότ' ἀτειρέες υἷες ἐϋσθενέων Ἀργείων
ἂμ πεδίον πάπταινον· ἴδοντο δὲ Ἰλίου ἄκρην
ἀννέφελον, χθιζὸν δὲ τέρας μέγα θαυμάζεσκον.
Τρῶες δ' οὐκ ἔτ' ἔφαντο πρὸ τείχεος αἰπεινοῖο
στήμεναι ἐν πολέμῳ· μάλα γὰρ δέος ἔλλαβε πάντας·
Ἀντήνωρ δ' ἐν τοῖσι θεῶν ἠρήσατ' ἄνακτι·
Ζεῦ, Ἴδης μεδέων ἠδ' οὐρανοῦ αἰγλήεντος,
κλῦθί μευ εὐχομένοιο, καὶ ὄβριμον ἄνδρα πόληος
τρέψον ἀφ' ἡμετέρης, ὀλοὰ φρεσὶ μητιόωντα·
εἴθ' ὅγ' Ἀχιλλεύς ἐστι καὶ οὐ κίε δῶμ' Ἀΐδαο,
εἴτε τις ἄλλος Ἀχαιὸς ἀλίγκιος ἀνέρι κείνῳ.
Λαοὶ γὰρ κατὰ ἄστυ θεηγενέος Πριάμοιο
πολλοὶ ἀποφθινύθουσι, κακοῦ δ' οὐ γίνετ' ἐρωή,
ἀλλὰ φόνος τε καὶ οἶτος ἐπὶ πλέον αἰὲν ἀέξει.
Ζεῦ πάτερ, οὐδέ νύ σοί τι δαϊζομένων ὑπ' Ἀχαιοῖς
μέμβλεται, ἀλλ' ἄρα καὶ σὺ λελασμένος υἷος ἑοῖο
Δαρδάνου ἀντιθέοιο μέγ' Ἀργείοισιν ἀρήγεις.
Ἀλλά σοι εἰ τόδε θυμὸς ἐνὶ κραδίῃ μενεαίνει,
Τρῶας ὑπ' Ἀργείοισιν ὀϊζυρῶς ἀπολέσσαι,
ἔρξον ἄφαρ, μηδ' ἄμμι πολὺν χρόνον ἄλγεα τεῦχε.
Ἦ ῥα μέγ' εὐχόμενος· τοῦ δ' ἔκλυεν οὐρανόθι Ζεύς·
καὶ τὸ μὲν αἶψ' ἐτέλεσσε· τὸ δ' οὐκ ἤμελλε τελέσσειν.
Δὴ γάρ οἱ κατένευσεν, ὅπως ἀπὸ πολλοὶ ὄλωνται
Τρῶες ὁμῶς τεκέεσσι· δαΐφρονα δ' υἷ' Ἀχιλῆος
τρεψέμεν οὐ κατένευσεν ἀπ' εὐρυχόροιο πόληος,

sed eos terræ-mandarunt, ex pugnæ-loco relatos.
Non enim eos nubes obtegebat, sed urbem
arduam et murum insuperabilem, juxta quem numerosa
Troum pubes et Argivum Marte profligata-erat.
Regressi itaque ad naves Martia arma deponebant,
tum pulverem et sudorem cruoremque eluebant
undas ingressi fluidi Hellesponti.

Sol autem infatigatos sub caliginem præcipitavit equos
et nox fusa-est circa terram avertitque homines ab-operibus.] Cæterum Argivi Achillis boni-bellatoris audacem natum] juxta-ac patrem honorabant, qui in tentoriis regum cibum-sumebat effuse-lætus. Nec labor eum gravarat, quia tristem Thetis curarum-molestiam ejus membris exemerat, et infatigabili similis ut-videretur effecerat. Is vero ex cœna, cum-explevisset fortem animum, in tabernaculum rediit sui patris, ubi eum somnus amplectebatur. Græci autem ante naves somnum-ceperunt subinde permutantes-vices excubiarum: verebantur enim anxie,] Troum ne forte exercitus aut pugnacium sociorum naves incenderet redituque universos privaret.
Sic etiam Priami per urbem gentes Trojanorum
circa portas et mœnia alternis-vicibus somno-vacabant
Argivum tristificam formidantes impressionem.

LIBER IX.

Cum autem exacta-esset noctis caligo, et se-excitaret Aurora] ex finibus *Oceani* ac resplendesceret per-infinitum vastus æther:] exin indefessi filii prævalidorum Argivum campum perlustrabant et conspiciebant Ilii verticem nube-destitutum hesternumque prodigium valde demirabantur.] Trojani vero decreverunt non amplius extra mœnia ardua] se-staturos in pugna; magnus enim timor corripuerat omnes.] Itaque Antenor inter eos deorum imploravit reg m] Juppiter, Idæ præsidens et cœlo lucido,
exaudi me precantem, et impetuosum virum urbe
averte nostra, pernicialia *nobis* animo destinantem,
sive hic Achilles est nec dum subiit aulam Plutonis,
sive quis alius Achivus similis viro illi.
Milites enim in civitate generosi Priami
multi intereunt, calamitatis vero non est modus,
sed cædes et strages magis subinde increscunt.
Juppiter pater! non te ulla *nostrum,* qui-trucidamur a Græcis,] cura-tangit, verum etiam tu oblitus filii tui,
Dardani deos-æquiparantis, magno Achivis auxilio-es.
Atqui si tibi hoc animus in pectore statuit,
ut-Troas per Achivos misere perdas,
perfice *id* sine-mora, neve nobis longo tempore ærumnas fabrica.] Dixit enixe supplicans; quem audivit cœlitus Juppiter,] et alterum quidem continuo perfecit, alterum vero non erat perfecturus.] Namque ei annuit ut plurimi pessumirent] Troes una-cum sobole; bellacem vero filium Achillis ut-averteret a spaciosa urbe, non annuit,

ἀλλά ἑ μᾶλλον ἔγειρεν, ἐπεί νύ ἑ θυμὸς ἀνώγει
ἦρα φέρειν καὶ κῦδος ἐΰφρονι Νηρηΐνῃ.
Καὶ τὰ μὲν ὣς ὥρμαινε θεῶν μέγα φέρτατος ἄλλων·
μεσσηγὺς δὲ πόληος ἰδ' εὐρέος Ἑλλησπόντου
Ἀργεῖοι καὶ Τρῶες ἀποκταμένους ἐνὶ χάρμῃ
καῖον ὁμῶς ἵπποισι· μάχη δ' ἐπέπαυτο φόνοιο,
οὕνεκα δὴ Πριάμοιο βίη κήρυκα Μενοίτην
εἰς Ἀγαμέμνονα πέμψε καὶ ἄλλους πάντας Ἀχαιοὺς,
λισσόμενος νέκυας πυρὶ καίεμεν· οἱ δ' ἐπίθοντο
αἰδόμενοι κταμένους· οὐ γάρ σφισι μῆνις ὀπήδει.
Ἦμος δὲ φθιμένοισι πυρὰς ἐκάμοντο θαμειὰς,
δή ῥα τότ' Ἀργεῖοι μὲν ἐπὶ κλισίας ἀφίκοντο·
Τρῶες δ' ἐς Πριάμοιο πολυχρύσοιο μελάθρα,
ἀχνύμενοι μάλα πολλὰ δεδουπότος Εὐρυπύλοιο·
τὸν γὰρ δὴ τίεσκον ἴσον Πριάμοιο τέκεσσι·
τοὔνεκά μιν τάρχυσαν ἀποκταμένων ἑκὰς ἄλλων
Δαρδανίης προπάροιθε πύλης, ὅθι μακρὰ ῥέεθρα
δινήεις προΐησιν, ἀεξόμενος Διὸς ὄμβρῳ.
Υἱὸς δ' αὖτ' Ἀχιλῆος ἀταρβέος ἵκετο πατρὸς
τύμβον ἐς εὐρώεντα· κύσεν δ' ὅγε δάκρυα χεύων
στήλην εὐποίητον ἀποφθιμένοιο τοκῆος·
καί ῥα περιστενάχων τοῖον ποτὶ μῦθον ἔειπε·
Χαῖρε πάτερ καὶ ἔνερθε κατὰ χθονός· οὐ γὰρ ἔγωγε
λήσομαι οἰχομένοιο σέθεν ποτὶ δῶμ' Ἀΐδαο.
Ὡς εἴθε ζωόν σε μετ' Ἀργείοισι κίχανον·
τῷ κε τάχ' ἀλλήλοισι φρένας τερφθέντ' ἐνὶ θυμῷ,
Ἰλίου ἐξ ἱερῆς ληϊσσάμεθ' ἄσπετον ὄλβον·
νῦν δ' οὔτ' ἄρ σύ γ' ἐσεῖδες ἑὸν τέκος, οὔτε σ' ἔγωγε
εἶδον ζωὸν ἐόντα, λιλαιόμενός περ ἰδέσθαι.
Ἀλλὰ καὶ ὥς, σέο νόσφι καὶ ἐν φθιμένοισιν ἐόντος,
σὸν δόρυ καὶ τεὸν υἷα μέγ' ἐν δαῒ πεφρίκασι
δυσμηνέες· Δαναοὶ δὲ γεγηθότες εἰσορόωσι
σοὶ δέμας ἠδὲ φυὴν ἐναλίγκιον ἠδὲ καὶ ἔργα.
Ὡς εἰπὼν ἀπὸ θερμὸν ὀμόρξατο δάκρυ παρειῶν·
βῆ δὲ θοῶς ἐπὶ νῆας ὑπερθύμοιο τοκῆος,
οὐχ οἶος· ἅμα γάρ οἱ ἴσαν δυοκαίδεκα φῶτες
Μυρμιδόνων· Φοῖνιξ δ' ὁ γέρων μετὰ τοῖσιν ὀπήδει
λυγρὸν ἀναστενάχων περικυδέος ἀμφ' Ἀχιλῆος.
Νὺξ δ' ἐπὶ γαῖαν ἵκανεν, ἐπέσσυτο δ' οὐρανὸν ἄστρα·
οἱ δ' ἄρα δορπήσαντες ἕλονθ' ὕπνον· ἔγρετο δ' ἠώς·
Ἀργεῖοι δ' ἄρα δῦσαν ἐν ἔντεσι· τῆλε δ' ἀπ' αὐτῶν
αἴγλη μαρμαίρεσκεν ἐς αἰθέρα μέχρις ἰοῦσα.
Καί ῥα θοῶς ἔκτοσθε πυλάων ἐσσεύοντο
πανσυδίῃ, νιφάδεσσιν ἐοικότες, αἵ τε φέρονται
ταρφέες ἐκ νεφέων κρυερῇ ὑπὸ χείματος ὥρῃ·
ὣς οἵγ' ἐξεχέοντο πρὸ τείχεος, ὦρτο δ' ἀϋτὴ
σμερδαλέη· μέγα δ' αἶα περιστεναχίζετ' ἰόντων.
Τρῶες δ' εὖτ' ἐπύθοντο βοὴν καὶ λαὸν ἴδοντο,
θάμβησαν· πᾶσιν δὲ κατεκλάσθη κέαρ ἔνδον,
πότμον ὀϊομένων· περὶ γὰρ, νέφος ὥς, ἐφαάνθη
λαὸς δυσμενέων· καναχίζε δὲ τεύχεα φωτῶν
κινυμένων· ἄμοτος δὲ κονίσσαλος ὦρτο ποδοῖϊν.
Καὶ τότ' ἄρ' ἠὲ θεῶν τις ὑπὸ φρένας ἔμβαλε θάρσος
Δηϊφόβῳ καὶ θῆκε μάλ' ἄτρομον, ἠὲ καὶ αὐτοῦ

sed illum magis excitavit, quandoquidem animus ipsum
jubebat] officium exhibere et honorem cordatæ Nereidi.
Atque hæc ita destinabat deorum potentissimus aliorum.
Cæterum inter urbem et longe-porrectum Hellespontum
Achivi et Troes cæsos in prœlio
cremabant una-cum equis, et pugna destitit a-cæde,
propterea-quod Priamus potens præconem Menœten
ad Agamemnonem legarat et cæteros universos Græcos,
petens, ut mortuos igni comburere-liceret. Qui concesserant
reverentes defunctos: non enim hos ira comitatur.
Cum itaque cæsis rogos adornassent frequentes,
tandem Achivi ad tabernacula redierunt,
Troesque ad Priami auro-abundantis ædes,
mœrore-affecti maximo propter-occisum Eurypylum.
Hunc enim in-pretio-habuerant æque-ut Priami filios:
ideo ipsum humarunt ab interfectis seorsum aliis
Dardaniam ante portam, ubi magna fluenta
Xanthus vorticosus promovet, augescens Jovis pluvia.
Cæterum filius Achillis interriti se-contulit parentis
ad sepulcrum spaciosum, et exosculabatur lacrimis pro-
fusis] columnam fabrefactam defuncti genitoris,
et juxta-edens-suspiria tali *eum* oratione allocutus-est:
Salve pater etiam subter terra. Non enim ego
obliviscar tui profecti ad domum Ditis.
Utinam vivum te inter Argivos offendissem,
quo confestim mutuo animis oblectatis in corde
Ilio ex sacro prædati-fuissemus immensas opes.
Jam vero neque tu vidisti tuam prolem, neque te ego
vidi superstitem, quamvis percupidus *tui* videndi.
Nihilominus etiam te procul et inter manes versante
tuam hastam et tuum filium acriter in conflictu exhorre-
scunt] hostes, Danaique cum-gaudio intuentur *me*,
tibi corpore et forma similem atque etiam facinoribus.
Ita fatus tepidas abstersit lacrimas a genis
et abiit cito ad naves animo-præstantis genitoris,
non solus, nam una cum-ipso ibant duodecim viri
ex-Myrmidonibus, et Phœnix senex inter hos secutus-est
flebiliter ingemiscens præclarum propter Achillem.
Nox autem super terram venit et invaserunt cœlum sidera:
illi itaque cœna-peracta ceperunt somnum. Hinc surgebat
Aurora:] tum Argivi induerunt arma, et longe ab illis
splendor radiabat ad æthera usque pertingens.
Ac continuo e portis eruperunt
omnibus-copiis, nivium in-morem, quæ feruntur
densæ e nubibus horrido brumæ tempore:
taliter hi sese-effuderunt extra murum, et ingruit clamor
horrendus, maximeque tellus gemuit eorum-incessu.
Trojani igitur ubi audierunt clamorem et viderunt exer-
citum,]obstupuere, et cunctis infractus-fuit animus penitus
fatum præsentientibus. Circumquaque enim, ut nubes,
apparebat] agmen hostium, et insonabant arma viris
se-moventibus, ingensque pulvis excitatus-est pedibus.
Atque tunc vel deorum quispiam animo injecit fiduciam
Deiphobi et fecit *eum* prorsus intrepidum, vel etiam *suus*

θυμὸς ἐποτρύνεσκε ποτὶ κλόνον, ὄφρ' ἀπὸ πάτρης
δυσμενέων ἀλεγεινὸν ὑπ' ἔγχεϊ λαὸν ἐλάσσῃ·
θαρσαλέον δ' ἄρα μῦθον ἐνὶ Τρώεσσιν ἔειπεν·
Ὦ φίλοι, εἰ δ' ἄγε θυμὸν ἀρήϊον ἐν φρεσὶ θέσθε,
μνησάμενοι, στονόεντος ὅσα πτολέμοιο τελευτὴ
ἄλγε' ἐπ' ἀνθρώποισι δορυκτήτοισι τίθησιν.
Οὐ γὰρ Ἀλεξάνδροιο πέλει πέρι μοῦνον ἄεθλος,
οὐδ' Ἑλένης, ἀλλ' ἔστι περὶ πτόλιός τε καὶ αὐτῶν
ἠδ' ἀλόχων τεκέων τε φίλων γεραρῶν τε τοκήων
πάσης τ' ἀγλαΐης καὶ κτήσιος ἠδ' ἐρατεινῆς
γαίης, ἥ με δαμέντα κατὰ κλόνον ἀμφικαλύψοι
μᾶλλον, ἢ ἀθρήσαιμι φίλην ὑπὸ δούρατι πάτρην
δυσμενέων· οὐ γάρ τι κακώτερον ἔλπομαι ἄλλο
πῆμα μετ' ἀνθρώποισι ὀϊζυροῖσι τετύχθαι.
Τοὔνεκ' ἀπωσάμενοι στυγερὸν δέος ἀμφ' ἐμὲ πάντες
καρτύνασθ' ἐπὶ δῆριν ἀμείλιχον· οὐ γὰρ Ἀχιλλεὺς
ζωὸς ἔθ' ἡμῖν ἄντα μαχήσεται, οὕνεκ' ἄρ' αὐτὸν
πῦρ ὀλοὸν κατέδαψε· πέλει δέ τις ἄλλος Ἀχαιῶν,
ὃς νῦν λαὸν ἄγειρεν. Ἔοικε δέ μήτ' Ἀχιλῆα
μήτε τιν' ἄλλον Ἀχαιὸν ὑποτρομέειν, περὶ πάτρης
μαρναμένους· τῷ μή τι φεβώμεθα μῶλον Ἄρηος,
εἰ καὶ πολλὰ πάροιθεν ἀνέτλημεν μογέοντες.
Ἦ οὔπω τόδε οἴδατ' ἀνὰ φρένας, ὡς ἀλεγεινοῖς
ἀνδράσιν ἐκ καμάτοιο πέλει θαλίη τε καὶ ὄλβος,
ἐκ δ' ἄρα λευγαλέων ἀνέμων καὶ χείματος αἰνοῦ
Ζεὺς ἐπάγει μερόπεσσι δι' ἠέρος εὔδιον ἦμαρ,
ἔκ τ' ὀλοῆς νούσοιο πέλει σθένος, ἔκ τε μόθοιο
εἰρήνη; τὰ δὲ πάντα χρόνῳ μεταμείβεται ἔργα.
Ὣς φάτο· τοὶ δ' ἐς Ἄρηα μεμαότες ἐντύνοντο
ἐσσυμένως· καναχὴ δὲ κατὰ πτόλιν ἔπλετο πάντη,
μῶλον ἐς ἀλγινόεντα κορυσσομένων αἰζηῶν.
Ἔνθ' ἄρα τῷ μὲν ἄκοιτις ὑποτρομέουσα κυδοιμὸν
ἔντε' ἀποιχομένῳ παρενήνεε δακρυχέουσα·
τῷ δ' ἄρα νήπιοι υἷες ἐπειγόμενοι περὶ πατρὶ
τεύχεα πάντα φέρεσκον· ὁ δέ σφισιν ἄλλοτε μέν που
ἄχνυτ' ὀδυρομένοις· ὁτὲ δ' ἔμπαλι μειδίαασκεν
παισὶν ἀγαλλόμενος· κραδίη δέ οἱ ἐν δαῒ μᾶλλον
ὥρμαινεν πονέεσθαι ὑπὲρ τεκέων τε καὶ αὐτοῦ.
Ἄλλῳ δ' αὖτε γεραιὸς ἐπισταμένῃς παλάμῃσιν
ἀμφετίθει μελέεσσι κακῆς ἀλκτήρια χάρμης,
πολλὰ παρηγορέων φίλον υἷεα, μηδενὶ εἴκειν
ἐν πολέμῳ· καὶ στέρνα τετυμμένα δείκνυε παιδὶ,
ταρφέα σήματ' ἔχοντα παλαιῆς δηϊοτῆτος.
Ἀλλ' ὅτε δὴ μάλα πάντες ἐν ἔντεσι θωρήχθησαν,
ἄστεος ἐξεχέοντο μέγ' ἱέμενοι πολέμοιο
λευγαλέου. ταχέεσσι δ' ἐφ' ἱππήεσσιν ὄρουσαν
ἱππῆες· πεζοῖσι δ' ἐπέχραον ἔθνεα φωτῶν·
ἅρμασι δ' ἅρμαθ' ἵκοντο καταντίον· ἔβραχε δὲ χθὼν
ἐς μόθον ἐσσυμένων. ἐπαΰτεε δ' οἷσιν ἕκαστος
κεκλόμενος· τοὶ δ' αἶψα συνήϊον· ἀμφὶ δ' ἄρα σφι
τεύχε' ἐπεσμαράγησε· μίγη δ' ἑκάτερθεν ἀϋτὴ
λευγαλέη· τὰ δὲ πολλὰ θοῶς ποτέοντο βέλεμνα,
βαλλόμεν' ἀμφοτέρωθεν· ὑπ' ἔγχεσι δ' ἀσπίδες ἀνδρῶν
θεινόμεναι κτυπέεσκον ἀάσχετον, αἱ δ' ὑπ' ἀκόντων

ipsius] animus incitavit ad pugnam, ut a patria
hostium sævas copias hasta repelleret:
animosam igitur orationem inter Trojanos habuit:
Amici, agedum fiduciam bellicam animis inserite,
memores, quantas funesti belli exitus
ærumnas hominibus captivis imponat.
Non enim de-Alexandro est solum certamen,
aut Helena, sed geritur pro urbe et *nobis* ipsis
atque uxoribus liberisque caris et venerandis parentibus
omnique splendore et opibus atque amabili
terra, quæ me cæsum in pugna operiat
potius, quam aspecturus-sim dilectam patriam sub jugo
hostium: nullum enim atrocius existimo aliud
malum inter homines miseros existere.
Ideo depulso tristi pavore, circum me omnes
confirmate-vos ad certamen infestum: nec enim Achilles
vivus deinceps contra nos pugnabit, siquidem ipsum
ignis funestus consumpsit. Sed est alius quispiam Achivum,
qui nunc exercitum coegit. Decet vero neque Achillem
nec quemquam alium Græcorum metuere *nos*, pro patria
propugnantes. Quocirca ne fugiamus laborem Martis,
etiamsi multa pridem toleravimus laborantes.
An nondum compertum-habetis animo, quod ærumnosis
viris ex labore oriantur florentes-res ac fortuna,
et post noxios ventos et tempestatem malignam
Juppiter afferat hominibus in aere serenum diem,
et e periculoso morbo prodeat vis, atque ex bello
pax? hæque omnes temporis-successu *ita* commutantur res.
Ita verba-fecit. Illi igitur ad bellum prompti armabantur
citissime, ac strepitus per urbem extitit ubique,
ad pugnam mœstificam se-accingentibus viris.
Hic alii uxor timens belli-discrimen
arma abeunti congessit lacrimans,
alii parvuli nati cursitantes circa patrem
instrumenta cuncta apportarunt: qui propter-illos nunc
doluit plorantes, nunc iterum risit
de filiis lætus; animusque eum in acie tanto-magis
impulit-ad labores-obeundos pro sobole et seipso:
alii pro senex doctis manibus
applicavit-circa membra diræ præsidia pugnæ
multis cohortans dilectum natum, ut-nemini cederet
in prœlio; et pectus vulneratum ostentavit filio,
plurima indicia repræsentans pristini conflictus.
Cum itaque universi armis se-communiissent,
ex-urbe eruperunt magna cupidine pugnæ
exitialis; inque celeres equites invecti-sunt
equites, in pedites vero irruerunt agmina virum *pedestrium*
et curribus currus tetenderunt obviam, insonuitque tellus,
ad-pugnam dum concitantur. Tum acclamavit suis quisque
exhortans. Qui statim pedes contulerunt, circumque illos
arma crepuerunt, et mixtus-est utrinque clamor
atrox, et multa subito evolarunt tela
emissa utrinque, hastisque scuta virorum *alia*
percussa fragorem-dederunt ingentem, alia pilis

καὶ ξιφέων· πολέες δὲ καὶ ἀξίνῃσι θοῇσιν
ἀνέρες οὐτάζοντο· φορύνετο δ' ἔντεα φωτῶν
αἵματι. Τρωϊάδες δ' ἀπὸ τείχεος ἐσκοπίαζον
αἰζηῶν στονόεντα μόθον· πάσῃσι δὲ γυῖα
ἔτρεμεν, εὐχομένῃσιν ὑπὲρ τεκέων τε καὶ ἀνδρῶν
ἠδὲ κασιγνήτων· πολιοὶ δ' ἅμα τῇσι γέροντες
ἕζοντ' εἰσορόωντες· ἔχον δ' ὑπὸ κήδεσι θυμὸν
παίδων ἀμφὶ φίλων· Ἑλένη δ' ἐνὶ δώμασι μίμνεν
οἴη ἅμ' ἀμφιπόλοισιν· ἔρυκε γὰρ ἄσπετος αἰδώς.
Οἱ δ' ἄμοτον πονέοντο πρὸ τείχεος· ἀμφὶ δὲ Κῆρες
γήθεον· οὐλομένη δ' ἐπαΰτεεν ἀμφοτέροισι
μακρὸν Ἔρις βοόωσα· κόνις δ' ἐρυθαίνετο λύθρῳ
κτεινομένων· ὀλέκοντο δ' ἀνὰ κλόνον ἄλλοθεν ἄλλος.
Ἔνθ' ἄρα Δηΐφοβος κρατερὸν κτάνεν ἡνιοχῆα
* * Ἱππασίδην· ὁ δ' ἀφ' ἅρματος αἰψηροῖο
ἤριπεν ἀμφὶ νέκυσσιν· ἄχος δέ οἱ ἔσχεν ἄνακτα·
δείδιε γὰρ μὴ δή μιν ἐφ' ἡνία χεῖρας ἔχοντα
υἱὸς ἐὺς Πριάμοιο κατακτείνῃσι καὶ αὐτόν·
ἀλλά οἱ οὐκ ἀμέλησε Μελάνθιος, ἀλλ' ἐπὶ δίφρον
ἆλτο θοῶς· ἵπποισι δ' ἐκέκλετο μακρά, τινάσσων
εὔληρ', οὐδ' ἔχε μάστιν· ἔλαυνε δὲ δούρατι θείνων.
Καὶ τοὺς μὲν Πριάμοιο πάϊς λίπεν· ἵκετο δ' ἄλλων
ἐς πληθύν· πολέεσσι δ' ὀλέθριον ὤπασεν ἦμαρ
ἐσσυμένως· ὀλοῇ γὰρ ἀλίγκιος αἰὲν ἀέλλῃ
θαρσαλέως δηΐοισιν ἐπῴχετο· τοῦ δ' ὑπὸ χερσὶ
μυρίοι ἐκτείνοντο· πέδον δ' ἐστείνετο νεκρῶν.
Ὡς δ' ὅτ' ἀν' οὔρεα μακρὰ θορὼν εἰς ἄγκεα βήσσης
δρυτόμος ἐγκονέων νεοθηλέα δάμναται ὕλην,
ἄνθρακας ὄφρα κάμῃσι, κατακρύψας ὑπὸ γαῖαν
σὺν πυρὶ δούρατα μακρά, τὰ δ' ἄλλοθεν ἄλλα πεσόντα
πρῶνας ὕπερθε κάλυψαν, ἀνὴρ δ' ἐπιτέρπεται ἔργῳ·
ὣς ἄρα Δηϊφόβοιο θοῇς ὑπὸ χερσὶν Ἀχαιοὶ
ἰλαδὸν ὀλλύμενοι περικάππεσον ἀλλήλοισι·
καί ῥ' οἱ μὲν Τρώεσσιν ὁμίλεον· οἱ δ' ἐφέβοντο
εὐρὺν ἐπὶ Ξάνθοιο ῥόον· τοὺς δ' ὕδατος εἴσω
Δηΐφοβος συνέλασσε, καὶ οὐκ ἀπέληγε φόνοιο.
Ὡς δ' ὁπότ' ἰχθυόεντος ἐπ' ἠόσιν Ἑλλησπόντου
δίκτυον ἐξερύωσι πολύκμητοι ἁλιῆες
κολπωθὲν ποτὶ γαῖαν, ἔσω δ' ἁλὸς εἰσέτ' ἐόντος,
ἐνθόρῃ αἰζηὸς γναμπτὸν δόρυ χερσὶ μεμαρπὼς,
αἰνὸν ἐπὶ ξιφίῃσι φέρων φόνον, ἄλλοθε δ' ἄλλον
δάμναται, ὅν κε κίχῃσι, φόνῳ δ' ἐρυθαίνεται ὕδωρ·
ὣς τοῦ ὑπαὶ παλάμῃσι περὶ Ξάνθοιο ῥέεθρα
αἵματι φοινίχθησαν· ἐνεστείνοντο δὲ νεκροί.
Οὐδὲ μὲν οὐδ' ἄρα Τρῶες ἀναιμωτὶ πονέοντο,
ἀλλὰ σφέας ἐδάϊζεν Ἀχιλλέος ὄβριμος υἱὸς
ἀμφ' ἄλλῃσι φάλαγξι· Θέτις δέ που εἰσορόωσα
τέρπετ' ἐφ' υἱωνῷ, ὅσον ἄχνυτο Πηλείωνι.
Τοῦ γὰρ ὑπὸ μελίῃ πουλὺς στρατὸς ἐν κονίῃσι
πίπτεν ὁμῶς ἵπποισιν· ὁ δ' ἑσπόμενος κεράϊζεν·
ἔνθ' Ἀμίδην ἐδάϊξε περικλυτόν, ὅς ῥά οἱ ἵππῳ
ἐζόμενος συνέκυρσε, καὶ οὐκ ἀπόνητ' ἐρατεινῆς
ἱππασίης· δὴ γάρ μιν ὑπ' ἔγχεϊ τύψε φαεινῷ
ἐς νηδύν· αἰχμὴ δὲ ποτὶ ῥάχιν ἐξεπέρησεν·

et gladiis; multi etiam bipennibus acutis
viri sauciati-sunt, fœdabanturque arma virorum
sanguine. Trojanæ autem de muro prospiciebant
juvenum mœstificum conflictum, unde omnibus membra
tremebant, vota-facientibus pro liberis et maritis
atque germanis: incanique inter illas senes
sedebant spectantes, et subjiciebant curis animum
caros propter filios. Helena vero intra ædes se-continebat
sola cum famulis: nam retrahebat ingens *eam* pudor.
Illi autem acriter in-opere-erant sub mœnibus, et circum
Parcæ] gaudebant, letalisque acclamabat utrisque
Discordia immane vociferans, ac pulvis rubescebat cruore
interfectorum, dum exitio-datur per aciem alibi alius.
Ibi Deiphobus fortem obtruncavit aurigam
* * Hippasiden, qui ex curru veloci
decidit in cadavera, mœstitia vero ejus occupavit dominum;
metuebat enim, ne se in habenis manus habentem
filius fortis Priami leto-daret etiam ipsum.
Verum eum non neglexit Melanthius, sed in currum
insiliit celeriter et equis acclamavit alta-voce concutiens
habenas, nec tenebat flagellum, sed *eos* agitabat hasta
feriens.] Hos itaque Priami filius reliquit et intulit-se aliorum]
in turbam et plurimis letiferum adduxit diem
derepente. Pernicioso enim semper turbini similis
animose in hostes invehebatur, adeo-ut illius manibus
innumeri trucidarentur, campusque arctaretur cadaveribus.]
Ac veluti per montes longos descendens in convalles
saltus] lignator festinus fruticantem prosternit silvam,
carbones ut faciat, ubi-condiderit terra
cum igni ligna prolixa, quæ hic illic prolapsa
juga desuper operiunt; vir autem *ille* delectatur opere:
sic etiam Deiphobi festinis manibus Achivi
gregatim cæsi procubuerunt inter-se.
Atque alii cum-Trojanis rem-gesserunt, alii fugerunt
ad latum Xanthi fluxum, quos in aquam
Deiphobus coegit; nec finem-fecit cædendi.
Non-secus-ac si pisciferi in littore Hellesponti
rete extrahunt multo-labore-exerciti piscatores
sinuatum ad terram: *quod* cum-in mari adhuc est,
insilit juvenis inflexo conto manibus comprehenso,
tristem xiphiis afferens necem, et alibi alium
interimit, quemcunque nactus-fuerit, strageque cruentatur
unda:] sic illius (*Deiphobi*) manibus passim Xanthi fluenta
sanguine rubescebant, arcteque-se-premebant cadavera.
At nec Troes incruentam gerebant-pugnam,
sed eos trucidabat Achillis violentus filius
inter alias phalanges. Thetis itaque procul conspiciens
tantum lætabatur de nepote, quantum lugebat de Achille.
Ejus enim hasta ingens-numerus exercitus in pulvere
occubuit una cum-equis, ipseque insequens strages-edidit.
Ibi Amiden obtruncavit nobilem, qui ipsi equo
insidens occurrit, nec fructum-cepit e-jucunda
arte-equestri; namque illum hasta perculit fulgida
in ventrem, ita-ut mucro per spinam-dorsi penetraret:

ἔγκατα δ' ἐξεχύθησαν· ἕλεν δέ μιν οὐλομένη Κὴρ
ἐσσυμένως, ἵπποιο θοοῦ παρὰ ποσσὶ πεσόντα.
Εἷλε δ' ἄρ' Ἀσκάνιόν τε καὶ Οἴνοπα, τὸν μὲν ἐλάσσας
δουρὶ μέγα στομάχοιο ποτὶ στόμα, τὸν δ' ὑπὸ λαιμὸν,
καίριος ἔνθα μάλιστα πέλει μόρος ἀνθρώποισιν.
Ἄλλους δ' ἔκτανεν αἰὲν, ὅσους κίχε. Τίς κεν ἐκείνους
ἀνδρῶν μυθήσαιτο, κατὰ κλόνον ὅσσοι ὄλοντο
χερσὶ Νεοπτολέμοιο; κάμεν δέ οἱ οὔποτε γυῖα.
Ὡς δ' ὁπότ' αἰζηῶν τις ἀγρῷ ἐνὶ τηλεθάοντι
πᾶν ἦμαρ κρατερῇσι πονησάμενος παλάμῃσιν
ἐς γαῖαν κατέχευεν ἀπείρονα καρπὸν ἐλαίης
ῥάβδῳ ἐπισπέρχων, ἐκάλυψε δὲ χῶρον ὕπερθεν·
ὡς τοῦ ὑπαὶ παλάμῃσι κατήριπε πουλὺς ὅμιλος.
Τυδείδης δ' ἑτέρωθεν ἐϋμμελίης τ' Ἀγαμέμνων
ἄλλοι τ' ἐν Δαναοῖσιν ἀριστῆες πονέοντο
προφρονέως ἀνὰ δῆριν ἀμείλιχον· οὐδὲ μὲν ἐσθλοῖς
Τρώων ἡγεμόνεσσι δέος πέλεν, ἀλλὰ καὶ αὐτοὶ
ἐκ θυμοῖο μάχοντο καὶ ἀνέρας αἰὲν ἔρυκον
χαζομένους· πολέες δὲ καὶ οὐκ ἀλέγοντες ἀνάκτων
ἐκ πολέμοιο φέβοντο, μένος τρομέοντες Ἀχαιῶν.
Ὀψὲ δ' ἄρ' εἰσενόησε περὶ προχοῇσι Σκαμάνδρου
ὀλλυμένους Δαναοὺς κρατερὸς πάϊς Αἰακίδαο
αἰὲν ἐπασσυτέρους· λίπε δ' οὓς πάρος αὐτὸς ἔναιρεν
φεύγοντας προτὶ ἄστυ, καὶ Αὐτομέδοντι κέλευεν
κεῖσ' ἐλάαν, ὅθι πουλὺς ἐδάμνατο λαὸς Ἀχαιῶν·
αὐτὰρ ὅγ' αἶψα πίθησε καὶ ἀθανάτων μένος ἵππων
σεύεσκεν μάστιγι ποτὶ κλόνον· οἱ δ' ἐπέτοντο
ῥίμφα διὰ κταμένων κρατερὸν φορέοντες ἄνακτα.
Οἷος δ' ἐς πόλεμον φθισίμβροτον ἔρχεται Ἄρης
ἐμβεβαὼς ἵπποισι, περιτρομέει δ' ἄρα γαῖα
ἐσσυμένου, καὶ θεῖα περὶ στέρνοισι θεοῖο
τεύχη ἐπιβρομέουσιν ἴσον πυρὶ μαρμαίροντα·
τοῖος Ἀχιλλῆος κρατεροῦ πάϊς ἤϊεν ἄντην
ἐσθλοῦ Δηϊφόβοιο· κόνις δ' ἐπαείρετο πολλὴ
ἵππων ἀμφὶ πόδεσσιν, ἰδὼν δέ μιν ἄλκιμος ἀνὴρ
Αὐτομέδων ἐνόησεν ὅτις πέλεν· αἶψα δ' ἄνακτι
τοῖον ἔπος κατέλεξε, περικλυτὸν ἄνδρα πιφαύσκων·
Ὦ ἄνα, Δηϊφόβοιο πέλει στρατὸς, ἠδὲ καὶ αὐτὸς,
σεῖο πάροιθε τοκῆ' ὃς ὑπέτρεμε· νῦν δέ οἱ ἐσθλὸν
ἢ θεὸς ἢ δαίμων τις ὑπὸ κραδίην βάλε θάρσος.
Ὣς ἄρ' ἔφη· τὸν δ' οὔτι προσέννεπεν, ἀλλ' ἔτι μᾶλλον
ἵππους ὠτρύνεσκεν ἐλαυνέμεν, ὄφρα τάχιστα
ὀλλυμένοις Δαναοῖσιν ἀεικέα πότμον ἀλάλκοι.
Ἀλλ' ὅτε δή ῥ' ἀφίκοντο μάλα σχεδὸν ἀλλήλοισι,
δὴ τότε Δηΐφοβος, μάλα περ χατέων πολέμοιο,
ἔστη, ὅπως πῦρ αἰνὸν, ὅθ' ὕδατος ἐγγὺς ἵκηται·
θάμβεε δ' εἰσορόων κρατερόφρονος Αἰακίδαο
ἵππους ἠδὲ καὶ υἷα πελώριον, οὔτι τοκῆος
μείονα· τοῦ δ' ἄρα θυμὸς ὑπὸ φρεσὶν ὡρμαίνεσκεν
ἄλλοτε μὲν φεύγειν, ὁτὲ δ' ἀνέρος ἄντα μάχεσθαι.
Ὡς δ' ὅτε σῦς ἐν ὄρεσσι νεηγενέων ἀπὸ τέκνων
θῶας ἀποσσεύῃσι, λέων δ' ἑτέρωθε φανείη
ἔκποθεν ἐσσύμενος, τοῦ δ' ἵσταται ἄσπετος ὁρμὴ,
οὔτε πρόσω μεμαῶτος ἔτ' ἐλθέμεν, οὔτ' ἄρ' ὀπίσσω,

ilia itaque effusa-sunt, cepitque eum letalis Parca confestim, velocis equi ad pedes delapsum. Peremit etiam Ascanium et Œnopem, illum feriens hasta patulum stomachi in orificium, hunc in gulam, certissima ubi est mors hominibus. Alios etiam interfecit semper, quoscunque assecutus-est. Ecqui illos] vir enumeret, in conflictu quot necati-fuerint manibus Neoptolemi? nec defatigabantur ejus unquam membra.] Veluti cum juvenum quispiam in agro florenti toto die validis laborans manibus ad terram decutit infinitum fructum oleæ pertica verberans, et operit loci superficiem ita illius manibus prostrata-est ingens turba.

Cæterum Tydides alia-parte, et hasta-pollens Agamemnon] aliique inter Danaos optimates negotium-obibant alacriter in certamine sævo, nec interim strenuis Trojanorum ducibus metus incidit, verum et ipsi ex animo pugnabant et viros semper retrahebant terga-dantes. Multi tamen sine respectu ducum ex prœlio refugiebant, robur formidantes Achivum.

Tandem cognovit ad alveum Scamandri profligari Danaos fortis natus Æacidæ subinde densiores. Ideo reliquit *eos*, quibus antea ipse instabat,]fugientes ad urbem, et Automedonti præcepit, illuc ut-impelleret *equos,* ubi magna sternebatur multitudo Achivum.] Is igitur mox paruit et immortalium robur equorum]concitavit scutica ad turbatam-aciem. Hi volabant subito per cadavera fortem ferentes dominum. Ac qualis ad bellum letiferum proficiscitur Mars conscensis equis, passimque-tremiscit tellus eo properante, et divina circum præcordia Dei arma intonant ignis instar fulgentia: talis Achillis robusti natus tendebat contra præstantem Deiphobum, et pulvis attollebatur frequens equorum circa pedes. Conspicatus igitur illum fortis vir Automedon sensit, quis esset, et statim ad-principem hunc sermonem edidit, insignem virum indicans:

Rex, Deiphobi *iste* est globus, atque etiam ipse, tuum antea parentem qui expavit; nunc vero ipsi egregiam aut deus aut genius quispiam in cor misit fiduciam.

Sic dixit: cui *is* nihil respondit, sed eo magis equos jussit incitari, ut quam-primum succumbentibus a-Danais indignum fatum propulsaret. Cum itaque coivissent quam proxime inter-se, exin Deiphobus, quamvis admodum cupidus belli, restitit, velut ignis rapidus, quando aquam contigerit, et obstupuit videns magnanimi Æacidæ equos et filium procerum, nihilo parente inferiorem: ejusque animus in pectore destinabat nunc fugere, nunc rursus cum viro dimicare. Ut quando sus in montibus recens-natis a catulis thoas abigit, leo autem ex-alia-parte se-ostendit alicunde irruens, illius itaque subsistit vehemens impetus, nec porro audentis pedem-movere, nec retro;

θήγει δ' ἀφριόωντας ὑπὸ γναθμοῖσιν ὀδόντας·
ὣς υἱὸς Πριάμοιο σὺν ἅρμασι μίμνε καὶ ἵπποις,
πορφύρων φρεσὶ πολλὰ καὶ ἀμφαφόων δόρυ χερσί.
Τὸν δ' υἱὸς προσέειπεν ἀμειλίκτου Ἀχιλῆος·
Πριαμίδη, τί νυ τόσσον ἐπ' Ἀργείοισι μέμηνας
χειροτέροις, οἵ σεῖο περιτρομέοντες ὁμοκλὴν
φεῦγον ἐπεσσυμένοιο, σὺ δ' ἤλπεο πολλὸν ἄριστος
ἔμμεναι; ἀλλά σοι εἴπερ ὑπὸ κραδίῃ μένος ἐστὶν,
ἡμετέρης πειρῆσαι ἀνὰ κλόνον ἀσχέτου αἰχμῆς.
Ὣς εἰπὼν οἴμησε λέων ὣς ἄντ' ἐλάφοιο,
ἐμβεβαὼς ἵπποισι καὶ ἅρμασι πατρὸς ἑοῖο·
καί νύ κέ μιν τάχα δουρὶ σὺν ἡνιόχῳ κατέπεφνεν,
εἰ μή οἱ μέλαν αἶψα νέφος κατέχευεν Ἀπόλλων
ἔκποθεν Οὐλύμποιο καὶ ἐξ ὀλοοῖο μόθοιο
ἥρπασε καί μιν ἔθηκε ποτὶ πτόλιν· ἧχι καὶ ἄλλοι
Τρῶες ἔσαν φεύγοντες· ὁ δ' ἐς κενεὴν δορὶ τύψας
Πηλείδαο πάϊς τοῖον ποτὶ μῦθον ἔειπεν·
Ὦ κύον, ἐξήλυξας ἐμὸν μένος· οὐδέ σοι ἀλκὴ
ἱεμένῳ περ ἄλαλκε· θεῶν δέ τις ὅσσ' ἐκάλυψε
νύκτα βαλὼν καθύπερθε καὶ ἐκ κακότητος ἐρύξας.
Ὣς ἄρ' ἔφη· δνοφερὸν δὲ νέφος καθύπερθε Κρονίων,
εὖτ' ὁμίχλην, διέχευε· λύθη δ' εἰς ἠέρα μακρήν·
αὐτίκα δ' ἐξεφάνη πεδίον καὶ πᾶσα περὶ χθών·
Τρῶας δ' εἰσενόησεν ἀπόπροθι πολλὸν ἐόντας
Σκαιῇς ἀμφὶ πύλῃσιν· ἔβη δ' ἄρα πατρὶ ἐοικὼς
ἀντία δυσμενέων, οἵ μιν φοβέοντο κιόντα.
Ἠΰτε κῦμ' ἀλεγεινὸν ἐπεσσύμενον τρομέουσι
ναῦται, ὅτ' ἐξ ἀνέμοιο διεγρόμενον φορέηται
εὐρὺ μάλ' ὑψηλόν τε, μέμηνε δὲ λαίλαπι πόντος·
ὣς τοῦ ἐπερχομένοιο κακὸν δέος ἄμφεχε Τρῶας·
τοῖον δ' ἔκφατο μῦθον ἐποτρύνων ἑτάροισι·
Κλῦτε, φίλοι, καὶ θάρσος ἐνὶ στήθεσσι βάλεσθε
ἄτρομον, οἷον ἔοικε φορήμεναι ἀνέρας ἐσθλούς,
νίκην ἱεμένους ἐρικυδέα χερσὶν ἀρέσθαι
καὶ κλέος ἐκ πολέμοιο δυσηχέος· ἀλλ' ἄγε θυμὸν
παρθέμενοι πονεώμεθ' ὑπὲρ μένος, εἰσόκε Τροίης
πέρσωμεν κλυτὸν ἄστυ καὶ ἐκτελέσωμεν ἐέλδωρ·
αἰδὼς γάρ, μάλα πολλὸν ἐπὶ χρόνον ἔνθα μένοντας
ἔμμεναι ἀπρήκτους καὶ ἀνάλκιδας, οἷα γυναῖκας·
τεθναίην γὰρ μᾶλλον, ἢ ἀπτόλεμος καλεοίμην.
Ὣς φάτο· τοὶ δ' ἔτι μᾶλλον ἐς Ἄρεος ἔργον ὄρουσαν
θαρσαλέως, Τρώεσσι δ' ἐπέδραμον· οἱ δὲ καὶ αὐτοὶ
προφρονέως μάρναντο περὶ πτόλιν· ἄλλοτε δ' αὖτε
ἔντοσθεν πυλέων ἀπὸ τείχεος· οὐδ' ἀπέληγε
δεινὸς Ἄρης, Τρώων μὲν ἐελδομένων ἀπερύξαι
δυσμενέων στρατὸν αἰνὸν, ἐϋσθενέων δ' Ἀργείων
ἄστυ διαπραθέειν· ὀλοὴ δ' ἔχε πάντας ὀϊζύς.
Καὶ τότε δὴ Τρώεσσιν ἀρηγέμεναι μενεαίνων
ἔκθορεν Οὐλύμποιο, καλυψάμενος νεφέεσσι,
Λητοΐδης· τὸν δ' αἶψα θοαὶ φορέεσκον ἄελλαι
τεύχεσι χρυσείοισι κεκασμένον· ἀμφὶ δὲ μακραὶ
μάρμαιρον κατιόντος ἴσον στεροπῇσι κέλευθοι·
ἀμφὶ δέ οἱ γωρυτὸς ἐπέκτυπεν· ἔβραχε δ' αἰθὴρ
θεσπέσιον, καὶ γαῖα μέγ' ἴαχεν, ἔνθ' ἀκάμαντας

sed acuit spumantes sub maxillis dentes :
ita filius Priami cum curru restitit et equis,
versans animo multa et tractans hastam manibus.
Eum igitur affatus-est natus ferocis Achillis :
Priamide, quid adeo in Argivos furis
imbecilliores, qui tuam reformidantes impressionem
irruentis fugiunt, tu ergo putasti longe præstantissimum
te-esse? verum si tibi in corde vires sunt,
nostræ periculum-fac in pugna invictæ hastæ.
Ita fatus irruit tanquam leo in cervum,
invectus equis et curru patris sui,
et sane eum mox hasta una-cum auriga confixisset,
nisi ei nigram statim nubem offudisset Apollo
desuper-ex Olympo et e perniciali conflictu
abreptum ipsum transtulisset ad urbem, quo etiam alii
Trojani se-subduxerant fuga : itaque in vacuum hasta feriens] *aera* Pelidæ filius hæc ad *illum* verba dixit :
Proh canis, evasisti meam vim; neque vero tibi fortitudo] quamlibet conanti opem-tulit, sed deorum aliquis
oculos *mihi* præstrinxit,] nocte missa desuper *te*que exitio subtracto.]
Sic dixit : nigram vero nubem desuper Saturnius
velut nebulam dissipavit, *ea*que resoluta-fuit in aera vastum,]
moxque apparuit campus et omnis circum tellus.
Trojanos vero *ille* cognovit valde procul abesse
Scæas ad portas; contendit igitur, patri similis,
adversum hostes, qui eum extimuerunt accedentem.
Ut undam mœstificam ingruentem exhorrescunt
nautæ, cum a vento excitata fertur
lata admodum et ardua, et sævit turbine pontus :
ita illo adventante improbus terror incessit Trojanos.
Talem vero edebat sermonem exhortans socios :
Audite, amici, et fiduciam animis immittite
intrepidam, qualem decet ferre viros strenuos,
qui-victoriam cupiunt celebrem manibus reportare
et gloriam ex bello turbulento. Ergo agite animis
promptis laboremus supra vires, donec Trojæ
capiamus inclytam urbem et compotes-fiamus voti.
Pudendum enim, longissimum ad tempus hic manentes
nos-esse inertes et imbelles, ut mulieres :
emoriar enim potius, quam ignavi nomen-geram.
Sic ait : ast illi tanto majori ad Martis opus ferebatur
fiducia, Trojanosque incursabant, qui tamen et ipsi
impenso-ardore pugnabant circa urbem, et quandoque
intra portas de muris. Nec finem-grassandi-fecit
impetuosus Mars, Trojanis interim cupientibus arcere
hostium exercitum infestum validisque Argivis
urbem expugnare : pernicialis itaque tenebat omnes ærumna.]
Exinde dum-Trojanis opem-ferre instituit,
desiliit ex-Olympo, velatus nubibus,
Apollo, quem celeriter præproperi ferebant turbines
armis aureis insignitum, et circumquaque latæ
micabant descendentis instar fulgurum viæ,
et circa illum pharetra strepebat, fragoremque-dabat æther
immensum, ac tellus valde resonabat, ubi infatigatos

θῆκε παρὰ Ξάνθοιο ῥόον πόδας· ἐκ δ' ἐβόησε [οἷς,
σμερδαλέον· Τρωσὶν δὲ θράσος βάλε, δεῖμα δ' Ἀχαι-
μίμνειν αἱματόεντα κατὰ κλόνον. Οὐδ' Ἐνοσίχθων
ὄβριμος ἠγνοίησε· μένος δ' ἐνέπνευσεν Ἀχαιοῖς
ἤδη τειρομένοισι· μάχη δ' ἀΐδηλος ἐτύχθη
ἀθανάτων βουλῇσιν· ὄλοντο δὲ μυρία φῦλα
αἰζηῶν ἑκάτερθε. Κοτεσσάμενος δ' ἄρ' Ἀπόλλων
Ἀργείοις ὥρμαινε βαλεῖν θρασὺν υἷ' Ἀχιλῆος
αὐτοῦ, ὅπου καὶ πρόσθεν Ἀχιλλέα· τοῦ δ' ἄρα θυμὸν
οἰωνοὶ κατέρυκον ἀριστερὰ κεκληγῶτες
ἄλλα τε σήματα πολλά· χόλος δέ οἱ οὐκ ἔτ' ἔμελλε
πείθεσθαι τεράεσσι. Τὸ δ' οὐ λάθε Κυανοχαίτην
ἠέρι θεσπεσίῃ κεκαλυμμένον· ἀμφὶ δὲ ποσσὶ
νισσομένοιο ἄνακτος ἐρεμνὴ κίνυτο γαῖα·
τοῖον δ' ἔκφατο μῦθον ἐελδόμενός μιν ἐρύξαι·
Ἴσχε, τέκος, καὶ μή τι πελώριον υἷ' Ἀχιλῆος
κτείνῃς· οὐδὲ γὰρ αὐτὸς Ὀλύμπιος ὀλλυμένοιο
γηθήσει· μέγα δ' ἄλγος ἐμοὶ καὶ πᾶσι θεοῖσιν
ἔσσεται εἰναλίοισιν, ὅπως πάρος ἀμφ' Ἀχιλῆα·
ἀλλ' ἀναχάζεο δῖον ἐς αἰθέρα, μή με χολώσῃς,
αἶψα δ' ἀναῤῥήξας μεγάλης χθονὸς εὐρὺ βέρεθρον,
αὐτὴν Ἴλιον εἶθαρ ἑοῖς ἅμα τείχεσι πᾶσαν
θήσω ὑπὸ ζόφον εὐρύν· ἄχος δέ τοι ἔσσεται αὐτῷ.
Ὣς φάθ'. Ὁ δ' ἀζόμενος μέγ' ἀδελφεὸν οἷο τοκῆος
δείσας τ' ἀμφὶ πόληος ἐϋσθενέων θ' ἅμα λαῶν
χάσσατ' ἐς οὐρανὸν εὐρὺν, ὁ δ' εἰς ἅλα· τοὶ δ' ἐμάχοντο
ἀλλήλους ὀλέκοντες· Ἔρις δ' ἐπετέρπετο χάρμῃ·
μέσφ' ὅτε δὴ Κάλχαντος ὑπ' ἐννεσίῃσιν Ἀχαιοὶ
ἐς νῆας χάσσαντο καὶ ἐξελάθοντο μόθοιο.
Οὐ γὰρ δὴ πέπρωτο δαμήμεναι Ἰλίου ἄστυ,
πρίν γε Φιλοκτήταο βίην ἐς ὅμιλον Ἀχαιῶν
ἐλθέμεναι, πολέμοιο δαήμονα δακρυόεντος·
καὶ τὸ μὲν ἢ ῥα θοοῖσιν ἐπεφράσατ' οἰωνοῖσιν,
ἠὲ καὶ ἐν σπλάγχνοισιν ἐπέδρακεν· οὐ γὰρ ἄϊδρις
μαντοσύνης ἐτέτυκτο· θεὸς δ' ὣς ἤδεε πάντα.
Τῷ πίσυνοι στονόεντος ἀποιχόμενοι πολέμοιο,
Ἀτρεΐδαι προέηκαν ἐϋκτιμένην ποτὶ Λῆμνον
Τυδέος ὄβριμον υἷα μενεπτόλεμόν τ' Ὀδυσῆα
νηῒ θοῇ. Τοὶ δ' αἶψα ποτὶ πτόλιν Ἡφαίστοιο
ἤλυθον Αἰγαίοιο διὰ πλατὺ χεῦμα θαλάσσης,
Λῆμνον ἐς ἀμπελόεσσαν, ὅπῃ πάρος αἰνὸν ὄλεθρον
ἀνδράσι κουριδίοισιν ἐμητίσαντο γυναῖκες,
ἔκπαγλον κοτέουσαι, ἐπεί σφεας οὔτι τίεσκον,
ἀλλὰ δμωϊάδεσσι παρευνάζοντο γυναιξὶ
Θρηϊκίῃς, τὰς δουρὶ καὶ ἠνορέῃ κτεάτισσαν
πέρθοντές ποτε γαῖαν ἀρηϊφίλων Θρῃκῶν·
αἱ δὲ μέγα ζήλοιο περὶ κραδίῃσι πεσόντος
θυμὸν ἀνοιδήσαντο, φίλους δ' ἀνὰ δώματ' ἀκοίτας
κτεῖνον ἀνηλεγέως ὑπὸ χείρεσιν· οὐδ' ἐλέησαν
κουριδίους περ ἐόντας· ἐπεί ῥ' ἀπαναίνεται ἦτορ
ἀνέρος ἠδὲ γυναικὸς, ὅτε ζηλήμονι νούσῳ
ἀμφιπέσῃ· κρατεραὶ γὰρ ἐποτρύνουσιν ἀνῖαι·
ἀλλ' αἵδε σφετέροισιν ἐπ' ἀνδράσι πῆμ' ἐβάλοντο
νυκτὶ μιῇ καὶ πᾶσαν ἐχηρώσαντο πόληα,

imposuit Xanthi ripæ pedes; tum vociferatus-est
immaniter, Trojanisque fiduciam adjecit, sed pavorem Achi-
vis,] persistendi cruenta in acie. Nec Neptunus
violentus *id* ignoravit; quin vires inspiravit Achivis
jam labascentibus. Hinc pugna exitialis commissa-est
immortalium consiliis, perieruntque innumeræ cohortes
juvenum utrobique. Iratus itaque Apollo
Argivis, animum-induxit trajicere ferocem filium Achillis
eo-loco, ubi et antea Achillem; sed ipsius propositum
præpetes destituebant a-sinistra clangorem-edentes
aliaque portenta multa. Attamen ira ejus non amplius erat
cessura prodigiis. Hoc autem non fefellit Neptunum,
aere divino obseptum, circumque pedes
adventantis domini obscura movebatur tellus.
Hunc igitur edidit sermonem, cupiens ipsum retrahere:
Desiste, fili, neve stupendum filium Achillis
neci-trade. Nec enim ipse Olympius occiso *illo*
lætabitur; ingens præterea luctus mihi et omnibus diis
futurus-est marinis, ut antehac propter Achillem.
Quapropter abscede divinum in æthera, ne mihi iram-mo-
veas,] et mox, ubi-diruperim magnæ telluris profundam
voraginem,] ipsum Ilium sine-mora suis cum mœnibus
totum] immergam tenebris vastis; dolorque te incesset i-
psum.] Ita fatus-erat: ille autem reveritus valde fratrem sui
patris] et metuens urbi validisque simul civibus
recessit in cœlum spatiosum, at hic in mare. Cæterum illi
dimicabant] se-mutuo cædentes, et Discordia oblectabatur
pugna,] donec tandem Calchantis monitu Achivi
in naves se-receperunt et obliti-sunt pugnæ
Non enim in-fatis-erat capi Ilii urbem,
priusquam Philoctetes violentus in castra Græcorum
venisset, belli peritus lacrimabilis.
Hoc enim aut ex velocibus observarat alitibus,
aut in extis perspexerat: non enim ignarus
artis-vaticinandi fuit; imo ut Deus prænovit cuncta.
Huic morigeri a-tristi digressi prœlio,
Atridæ ablegarunt bene-habitatam in Lemnum
Tydei fortem filium et bellipotentem Ulyssem
navi citata. Qui celeriter ad urbem Vulcani
appulerunt Ægæi per latum fluxum maris,
in Lemnum vitiferam, ubi olim funestum interitum
viris legitimis machinatæ-fuerant mulieres,
supra-modum iratæ, quod eas nullo honore-afficerent,
sed servis toro-commiscerentur mulieribus
Thraciis, quas armis ac fortitudine in-potestatem-vindica-
rant] populantes olim terram belli-studiosorum Thracum.
Illæ igitur atrociter zelotypia cordibus incumbente
ira intumuerunt, carosque in ædibus maritos
trucidarunt immaniter *suis* manibus, nec misertæ-sunt
horum] quamvis geniali-toro junctorum, quia alienatur
animus] viri et mulieris, quando in zelotypiæ morbum
inciderit: validissimæ enim impellunt ægritudines.
Quapropter illæ suis maritis mortem intulerunt
nocte una totamque viduarunt urbem,

παρθέμεναι φρεσὶ θυμὸν ἀταρβέα καὶ μέγα κάρτος.
Οἱ δ' ὅτε δὴ Λῆμνον κίον ἠδὲ καὶ ἄντρον ἔδυνον
λαΐνεον, τόθι κεῖτο πάϊς Ποίαντος ἀγαυοῦ,
δὴ τότ' ἄρα σφίσι θάμβος ἐπήλυθεν, εὖτ' ἐσίδοντο
ἀνέρα λευγαλέῃσιν ἐπιστενάχοντ' ὀδύνῃσι,
κεκλιμένον στυφελοῖο κατ' οὔδεος· ἀμφὶ δ' ἄρ' αὐτῷ
οἰωνῶν πτερὰ πολλὰ περὶ λεχέεσσι κέχυντο·
ἄλλα δέ οἱ συνέραπτο περὶ χροΐ, χείματος ἄλκαρ
λευγαλέου. Δὴ γάρ μιν ἐπὴν ἕλε λιμὸς ἀτερπής,
βάλλων ἄσχετον ἰόν, ὅπῃ νόος, ἰθύνεσκεν·
καὶ τὰ μὲν ἂρ κατέδαπτε, τὰ δ' ἕλκεος οὐλομένοιο
ἀμφετίθει καθύπερθε, μελαίνης ἄλκαρ ἀνίης·
αὐαλέαι δέ οἱ ἀμφὶ κόμαι περὶ κρατὶ κέχυντο
θηρὸς ὅπως ὀλοοῖο, τὸν ἀργαλέης δόλος ἄγρης
μάρψῃ νυκτὸς ἰόντα θοοῦ ποδός· ὃς δ' ὑπ' ἀνάγκης
τειρόμενος, ποδὸς ἄκρον ἀταρτηροῖσιν ὀδοῦσι
κόψας εἰς ἑὸν ἄντρον ἀφίκεται, ἀμφὶ δέ οἱ κῆρ
τείρει ὁμοῦ λιμός τε καὶ ἀργαλέαι μελεδῶναι·
ὣς τὸν ὑπὸ σπέος εὐρὺ κακὴ περιδάμνατ' ἀνίη·
καί οἱ πᾶν μεμάραντο δέμας, περὶ δ' ὀστέα μοῦνον
ῥινὸς ἔην, ὀλοὴ δὲ παρηΐδας ἀμφέχυτ' αὐχμὴ
λευγαλέον ῥυπόωντος· ἀνιηρὸν δέ μιν ἄλγος
δάμνατο· κοῖλαι δ' ἔσκον ὑπ' ὀφρύσιν ἀνδρὸς ὀπωπαὶ
αἰνῶς τειρομένοιο· γόος δέ μιν οὔποτε λεῖπεν,
οὕνεκά οἱ μέλαν ἕλκος ἐς ὀστέον ἄχρις ἵκανε
πυθόμενον καθύπερθε· λυγραὶ δ' ὑπερέπτον ἀνίαι.
Ὡς δ' ὅτ' ἐπὶ προβολῆσι πολυκλύστοιο θαλάσσης
πέτρην παιπαλόεσσαν ἀπειρεσίης ἁλὸς ἅλμη
δάμνατ' ὑποτμήγουσα μάλα στερεήν περ ἐοῦσαν,
θεινομένης δ' ἄρα τῆς ἀνέμῳ καὶ κύματι λάβρῳ
γηραμὰ κοιλαίνονται ὑποβρωθέντα θαλάσσῃ·
ὣς τοῦ ὑπίχνιον ἕλκος ἀέξετο πυθομένοιο
ἰοῦ ἄπο, στυφελοῖς τόν οἱ ἐνομόρξατ' ὀδοῦσι
λυγρὸς ὕδρος, τόν φασιν ἀναλθέα τε στυγερόν τε
ἔμμεναι, ὁππότε μιν τέρσῃ περὶ χέρσον ἰόντα
ἠελίοιο μένος· τῷ καὶ μέγα φέρτατον ἄνδρα
τεῖρε δυσαλθήτοισιν ὑποδμηθέντ' ὀδύνῃσιν·
ἐκ δέ οἱ ἕλκεος αἰὲν ἐπὶ χθόνα λειβομένοιο
ἰχῶρος πεπάλακτο πέδον πολυχανδέος ἄντρου,
θαῦμα μέγ' ἀνθρώποισι καὶ ὕστερον ἐσσομένοισι.
Καί οἱ πὰρ κλισίην φαρέτρη παρεκέκλιτο μακρὴ
ἰῶν πεπληθυῖα· πέλοντο δ' ἄρ' οἱ μὲν ἐπ' ἄγρην,
οἱ δ' ἐς δυσμενέας, τοὺς ἄμπεχε λοίγιον ὕδρου
φάρμακον αἰνομόροιο· πάροιθε δέ οἱ μέγα τόξον
κεῖτο πέλας, γναμπτοῖσιν ἀρηράμενον κεράεσσι,
χερσὶν ὑπ' ἀκαμάτῃσι τετυγμένον Ἡρακλῆος.
Τοὺς δ' ὁπότ' εἰσενόησε ποτὶ σπέος εὐρὺ κιόντας,
ἐσσυμένως οἴμησεν ἐπ' ἀμφοτέροισι τανύσσαι
ἀλγινόεντα βέλεμνα, χόλου μεμνημένος αἰνοῦ,
οὕνεκά μιν τοπάροιθε μέγα στενάχοντα λίποντο
μοῦνον ἐρημαίοισιν ἐπ' αἰγιαλοῖσι θαλάσσης.
Καί νύ κεν αἶψ' ἐτέλεσσεν ἅ οἱ θρασὺς ἤθελε θυμός,
εἰ μή οἱ στονόεντα χόλον διέχευεν Ἀθήνη,
ἀνέρας εἰσορόωντος ὁμήθεας. Οἱ δέ οἱ ἄγχι

concipientes animo spiritus intrepidos et ingens robur.
Illi itaque cum in-Lemnum venissent et antrum intrassent] saxeum, ubi decumbebat filius Pœantis clari;
exin eos stupor incessit, ubi viderunt
virum inter sævos suspiria-ducentem cruciatus,
reclinatum rigido in solo: circaque ipsum
avium plumæ multæ in toro stratæ-erant,
aliæ autem ejus concinnatæ-erant circa corpus contra hiemem præsidium] gelidam. Quando enim illum invadebat
fames ingrata,]ejaculans rapidum telum, quo mens *juberet*
direxit;]et illas quidem (*aves*) esitavit, has vero (*plumas*)
vulneri pernicioso] superimposuit, atri levamen doloris;
squalidæ vero illius utrimque comæ circa caput sparsæ
-erant,]ut feræ pernicialis, quam infestæ dolus venationis
comprehendit noctu accedentem veloci pede: hæc itaque
necessitudine] contrita, pede summo sævis dentibus
amputato, in suum lustrum redit, et ejus cor
conficit simul fames, et acerbi dolores:
ita illum in specu vasto maligna subigebat ægritudo.
Atque ei totum macie-confectum-erat corpus, adeo-ut in
ossibus sola] cutis hæreret; ac fœtidus genas ambibat
squalor] tetra illuvie-diffluentis, ægerque illum cruciatus
opprimebat; concavi igitur erant sub ciliis viri
oculi]graviter afflicti, nec gemitus eum unquam deserebat,
quia ipsi lividum vulnus ad ossa usque penetraverat
putrescens desuper; unde miserabiles *eum* arrodebant curæ.
Veluti cum in littore fluctuosi maris
cautem asperam immensi maris salsugo
vincit subsecando, ut ut dura exsistat,
cujus verberatæ a-vento et fluctu tempestuoso
foramina excavantur arrosa a-mari:
ita illius sub-planta vulnus serpebat putrescentis
ob virus, duris quod ipsi inflixerat dentibus
sævus natrix, quem ajunt incurabilem et funestum
esse, quando eum siccarit in terram egressum
solis vis; propterea et longe optimum virum
absumebat, immedicabili oppressum cruciatu.
Cujus e vulnere perpetuo ad terram destillante
sanie contaminatum-erat solum capacis antri,
miraculum ingens hominibus etiam posteris.
Et ei juxta tabernaculum pharetra adjacebat ampla
sagittis referta: erant autem aliæ ad venationem,
aliæ in hostes, quas amplectebatur exitiale hydræ
venenum pestiferæ: et ante ipsum immanis arcus
depositus-erat prope, inflexis cohærens cornibus,
manibus indefatigatis fabricatus Herculis.
Cæterum illos cum animadvertisset ad speluncam vastam accedere,]confestim properavit in utrumque torquere
vulnifica tela, ira affectus gravissima,
quod ipsum antea magnos inter-gemitus reliquissent
solum deserto in littore maris.
Et sine-mora perfecisset, quod ei ferox destinarat animus,
nisi ejus tristem iram diluisset Minerva,
viros videntis familiares. Qui ad-illum propius

ἤλυθον ἀχνυμένοισιν ἐοικότε· καί ῥά μιν ἄμφω
ἄντρου ἔσω κοίλοιο παρεζόμενοι ἑκάτερθεν
ἕλκεος ἀμφ' ὀλοοῖο καὶ ἀργαλέων ὀδυνάων
εἴροντ'· αὐτὰρ ὁ τοῖσιν ἑὰς διεπέφραδ' ἀνίας.
Οἱ δέ ἑ θαρσύνεσκον· ἔφαντο δέ οἱ λυγρὸν ἕλκος
ἐξ ὀλοοῖο μόγοιο καὶ ἄλγεος ἰήσασθαι,
ἢν στρατὸν εἰσαφίκηται Ἀχαϊκὸν, ὅν ῥα καὶ αὐτὸν
φάντο μέγ' ἀσχαλάαν παρὰ νήεσιν ἠδὲ καὶ αὐτοὺς
Ἀτρείδας ἅμα τοῖσι· κακοῦ δέ οἱ οὔτιν' Ἀχαιῶν
αἴτιον ἔμμεν' ἔφαντο κατὰ στρατὸν, ἀλλ' ἀλεγεινὰς
Μοίρας, ὧν ἐκὰς οὔτις ἀνὴρ ἐπινίσσεται αἶαν,
ἀλλ' αἰὲν μογεροῖσιν ἐπ' ἀνδράσιν ἀπροτίοπτοι [που
στρωφῶντ' ἤματα πάντα, βροτῶν μένος ἄλλοτε μέν
βλάπτουσαι κατὰ θυμὸν ἀμείλιχον, ἄλλοτε δ' αὖτε
ἔκποθε κυδαίνουσαι· ἐπεὶ μάλα πάντα βροτοῖσι
κεῖναι καὶ στονόεντα καὶ ἤπια μηχανόωνται,
αὐταὶ ὅπως ἐθέλουσιν. Ὁ δ' εἰσαΐων Ὀδυσῆος
ἠδὲ καὶ ἀντιθέου Διομήδεος αὐτίκα θυμὸν
ῥηϊδίως κατέπαυσεν ἀνιηροῖο χόλοιο,
ἔκπαγλον τοπάροιθε χολούμενος, ὅσσ' ἐπεπόνθει.
Οἱ δέ μιν αἶψ' ἐπὶ νῆα καὶ ἠϊόνας βαρυδούπους
καγχαλόωντες ἔνεικαν ὁμῶς σφετέροισι βελέμνοις·
καί ῥά οἱ ἀμφεμάσαντο δέμας καὶ ἀμείλιχον ἕλκος
σπόγγῳ εὐτρήτῳ, κατὰ δ' ἔκλυσαν ὕδατι πολλῷ·
ἀμπνύνθη δ' ἄρα τυτθόν. Ἄφαρ δέ οἱ ἐγκονέοντες
δόρπον ἐὺν τεύξαντο μεμαότι· σὺν δὲ καὶ αὐτοὶ
δαίνυντ' ἔνδοθι νηός. Ἐπήλυθε δ' ἀμβροσίη νύξ·
τοῖσι δ' ἐφ' ὕπνος ὄρουσε· μένον δ' ἄχρις ἠριγενείης
ἀμφιάλου Λήμνοιο παρ' ἠόσιν. Αὐτὰρ ἅμ' ἠοῖ
πείσματα θοῶς εὐνῇσιν εὐγνάμπτοισιν ἄειραν
ἔκτοθεν ἐγκονέοντες· ἐπιπροέηκε δ' Ἀθήνη
ἐξόπιθεν πνείοντα τανυπρώρου νεὸς οὖρον.
Ἱστία δ' αἶψ' ἐτάνυσσαν ὑπ' ἀμφοτέροισι πόδεσσι
νῆα κατιθύνοντες εὔζυγον· ἡ δ' ὑπ' ἰωῇ
ἔσσυτ' ἐπὶ πλατὺ χεῦμα· μέλαν δ' ἀμφέστενε κῦμα
ῥηγνύμενον, πολιὸς δὲ περίζεε πάντοθεν ἀφρός·
ἀμφὶ δέ οἱ δελφῖνες ἀολλέες ἐσσεύοντο
κῦμα διαπρήσσοντες, ἁλὸς πολιοῖο κέλευθα.
Οἱ δ' ἄφαρ Ἑλλήσποντον ἐπ' ἰχθυόεντ' ἀφίκοντο,
ἧχι καὶ ἄλλαι νῆες ἔσαν· κεχάροντο δ' Ἀχαιοί,
ὡς ἴδον οὓς ποθέεσκον ἀνὰ στρατόν. Οἱ δ' ἄρα νηὸς
ἀσπασίως ἀπέβησαν· ἔχεν δ' ἄρα χεῖρας ἀραιὰς
Ποίαντος θρασὺς υἱὸς ἐπ' ἀνέρας, οἵ ῥά μιν ἄμφω
λυγρὸν ἐπισκάζοντα ποτὶ χθόνα δῖαν ἄγεσκον
ἀμφοτέρων κρατερῇσιν ἐπικλινθέντα χέρεσσιν.
Ἠΰτ' ἐνὶ ξυλόχοισιν ἐς ἥμισυ μέχρι κοπεῖσαν
φηγὸν ὑφ' ὑλοτόμοιο βίης ἢ πίονα πεύκην
τυτθὸν ἐφεστηκυῖαν, ὅσον λίπε δρυτόμος ἀνὴρ
πρέμνον ὑποτμήγων λιπαρὸν, δάος ὄφρα πέληται
πίσσα πυρὶ δμηθεῖσα, κατ' οὔρεα, τὴν δ' ἀλεγεινῶς
ἀχθομένην ἄνεμός τε καὶ ἀδρανίη ποτικλίνῃ·
ὣς ἄρ' ὑπ' ἀτλήτῳ βεβαρημένον ἄλγεϊ φῶτα
θαρσαλέοι ἥρωες ἐπικλινθέντα φέρεσκον
Ἀργείων ἐς ὅμιλον ἀρήϊον. Οἱ δ' ἐσιδόντες

accesserunt mœrentibus similes, ipsumque ambo
in antro convexo assidentes utrinque
de vulnere pestifero et acerbissimis cruciatibus
percunctabantur: hic autem eis suas commemorabat ærumnas.] Qui ipsum bono-animo-esse-jubebat, promittebantque flebile vulnus]post funestam calamitatem et cruciatum
se-sanaturos,]si-modo ad-exercitum se-conferat Græcorum,
quem etiam ipsum] ajebant ægerrime-*id*-ferre apud classem
atque ipsos]Atridas una cum-illis. Infortunii vero ipsi neminem Achivum]in-causa esse confirmabant in castris, sed tristes]Parcas, sine quibus nemo vir venit-in orbem-terrarum:
sed semper laboriosos inter homines extra-conspectum
versantur per-dies omnes, mortalium vires interdum
deprimentes pro-arbritrio animi-immitis, quandoque rursus
alicunde efferentes, siquidem omnino omnia hominibus
hæ tum tristia tum læta fabricantur,
quomodo ipsæ volunt. Ille igitur auditis Ulysse
et diis-æquando Diomede statim animum
ac facile desistere-jussit ab-acerba ira,
supra modum *quamvis* antea iratus *ob ea*, quæ perpessus
erat.]Hi itaque eum mox ad navem et littus horrisonum
læti transtulerunt una-cum ejus telis,
ipsique absterserunt corpus ac sævum vulnus
spongia cavernosa, et eluerunt multa aqua:
hinc respiravit paulum. Mox illi properabundi
cœnam lautam apparabant esurienti, simulque ipsi quoque
cibum-capiebant in navi: tum appetebat ambrosia nox,
eosque sopor invasit; manebant itaque usque-ad auroram
salo-circumdatæ Lemni in littore. At prima luce
retinacula celeriter cum-ancoris aduncis sustulerunt,
extra *navem* sedulo-laborantes, et immittebat *illis* Minerva
a-puppi spirantem rostratæ navis ventum.
Vela igitur subito extendebant utroque ab pede
navem dirigentes bene-compactam, quæ flatu *impulsa*
ferebatur in latum mare, nigerque circumstridebat fluctus
sulcatus, et incana æstuabat undequaque spuma:
circumque eam delphines gregatim ruebant
undam secantes, maris cani vias

Hi igitur mox ad Hellespontum piscosum redierunt,
ubi etiam aliæ naves erant. Lætabantur igitur Argivi,
dum vident quos desideraverant in castris. Qui e navi
cupide exscensionem-fecerunt. Fulciebat autem manus macilentas] Pœantis audax filius in viris, qui eum ambo
misere claudicantem ad terram sacram deducebant,
utriusque validis innitentem manibus.
Ut in saltu ad medium usque succisam
fagum frondatoris robore, aut resinosam pinum
paulum subsistentem, quantum reliquit lignator homo
caudicem succidens pinguem, ut fax fiat
pix igni subacta, in montibus; illam (*arborem*) autem misere] gravatam ventus et infirmitas acclinant:
sic intolerabili depressum cruciatu virum
animosi heroes incumbentem-sibi deduxerunt
Argivum ad cœtum Martium. Qui ubi-viderunt,

ᾤκτειραν μάλα πάντες ἑκηβόλον ἀνέρα, λυγρῷ
ἕλκεϊ τειρόμενον· τὸν δὲ στερεὸν καὶ ἄνουσον
ὠκύτερον ποίησε νοήματος αἰψηροῖο
ἶσος ἐπουρανίοις Ποδαλείριος, εὖ μὲν ὕπερθεν
πάσσων φάρμακα πολλὰ καθ' ἕλκεος, εὖ δὲ κικλήσκων
οὔνομα πατρὸς ἑοῖο. Θοῶς δ' ἰάχησαν Ἀχαιοὶ
πάντες κυδαίνοντες ὁμῶς Ἀσκληπιοῦ υἷα·
καί μιν φαιδρύναντο καὶ ἀμφί ἑ χρῖσαν ἐλαίῳ
προφρονέως· ὀλοὴ δὲ κατηφείη καὶ ὀϊζὺς
ἀθανάτων ἰότητι κατέφθιτο· τοὶ δ' ἀνὰ θυμὸν
τέρποντ' εἰσορόωντες· ὁ δ' ἄμπνυεν ἐκ κακότητος·
ἀχροιῇ γὰρ ἔρευθος ἐπήλυθεν, ἀργαλέῃ δὲ
ἀδρανίῃ μέγα κάρτος· ἀέξετο δ' ἅψεα πάντα.
Ὡς δ' ὁπότ' ἀλδαίνηται ἐπὶ σταχύεσσιν ἄρουρα,
ἥν τοπάρος φθινύθουσαν ἐπέκλυσε χείματος αἰνοῦ
ὄμβρος ἐπιβρίσας, ἡ δ' ἀλθομένη ἀνέμοισι
μειδιάᾳ, τεθαλυῖα πολυκμήτῳ ἐν ἀλωῇ·
ὣς ἄρα τειρομένοιο Φιλοκτήταο πάροιθε
πᾶν δέμας αἶψ' ἀνέθηλεν· ἐϋτροχάλῳ δ' ἐνὶ κοίλῃ
κάλλιπε κήδεα πάντα, τά οἱ περιδάμνατο θυμόν.
Ἀτρεΐδαι δ' ὁρόωντες ἅτ' ἐκ θανάτου ἀνιόντα
ἀνέρα θαυμάζεσκον· ἔφαντο γὰρ ἔμμεναι ἔργον
ἀθανάτων· τὸ δ' ἄρ' ἦεν ἐτήτυμον, ὡς ἐνόησαν·
καὶ γάρ οἱ μέγεθός τε καὶ ἀγλαΐην κατέχευεν
ἐσθλὴ Τριτογένεια, φάνεν δέ ἑ, οἷος ἔην περ
τοπρὶν ἐν Ἀργείοισι, πάρος κακότητι δαμῆναι.
Καὶ τότ' ἄρ' ἐς κλισίην Ἀγαμέμνονος ἀφνειοῖο
πάντες ὁμῶς οἱ ἄριστοι ἄγον Ποιάντιον υἷα·
καί μιν κυδαίνοντες ἐπ' εἰλαπίνῃσι γέραιρον.
Ἀλλ' ὅτε δὴ κορέσαντο ποτοῦ καὶ ἐδητύος ἐσθλῆς,
δὴ τότε μιν προσέειπεν ἐϋμμελίης Ἀγαμέμνων·
Ὦ φίλ', ἐπειδήπερ σὲ θεῶν ἰότητι πάροιθεν
Λήμνῳ ἐν ἀμφιάλῳ λίπομεν βλαφθέντε νόημα,
μηδ' ἡμῖν χόλον αἰνὸν ἐνὶ φρεσὶ σῇσι βαλέσθαι·
οὐ γὰρ ἄνευ μακάρων τάδ' ἐρέξαμεν, ἀλλά που αὐτοὶ
ἤθελον ἀθάνατοι νῶϊν κακὰ πολλὰ βαλέσθαι
σεῦ ἀπὸ νόσφιν ἐόντος, ἐπεὶ περίοιδας ὀϊστοῖς
δυσμενέας δάμνασθαι, ὅτ' ἀντία σεῖο μάχονται.

πᾶσαν ἀν' ἤπειρον πέλαγός τ' ἀνὰ μακρὸν ἄϊστοι
Μοιράων ἰότητι πολυσχιδέες τε πέλονται,
πυκναί τε σκολιαί τε, τετραμμέναι ἄλλυδις ἄλλῃ·
τῶν δὲ δι' αἰζηοὶ φορέονθ' ὑπὸ δαίμονος αἴσῃ,
εἰδόμενοι φύλλοισιν ὑπὸ πνοιῆς ἀνέμοιο
σευομένοις· ἀγαθὸς δὲ κακῇ ἐνέκυρσε κελεύθῳ
πολλάκις, οὐκ ἐσθλὸς δ' ἀγαθῇ· τὰς δ' οὔτ' ἀλέασθαι
οὔτ' ἄρ' ἑκών τις ἑλέσθαι ἐπιχθόνιος δύνατ' ἀνήρ·
χρὴ δὲ σαόφρονα φῶτα, καὶ ἣν φορέηθ' ὑπ' ἀέλλης
οἴμην ἀργαλέην, στερεῇ φρενὶ τλῆναι ὀϊζύν.
Ἀλλ' ἐπεὶ ἀασάμεσθα καὶ ἠλίτομεν, τόδε ἔργον
ἐξαῦτις δώροισιν ἀρεσσόμεθ' ἀπλήτοισι,
Τρώων ἤν ποθ' ἕλωμεν ἐϋκτίμενον πτολίεθρον·
νῦν δὲ λάβ' ἑπτὰ γυναῖκας, ἐείκοσι δ' ὠκέας ἵππους
ἀθλοφόρους τρίποδάς τε δυώδεκα· τοῖς ἐπὶ θυμὸν

miserti-sunt vehementer omnes jaculatoris viri, acerbo
vulnere confecti. At illum firmum sanumque
ocius reddidit cogitatione subita
æqualis cœlicolis Podalirius, scite desuper
illinens medicamenta multa vulneri pieque invocans
nomen patris sui. Subito igitur læti Argivi acclamabant
omnes celebrantes simul Æsculapii natum.
Hinc illum mundarunt et undique eum perunxerunt oleo
animis-propensis, funestaque ægritudo et calamitas
deorum numine evanuit: hi (*Græci*) vero ex animo
gaudebant intuentes, cum ipse respiraret a morbo;
pallori enim rubor successit, languidæque
infirmitati vegetum robur: refloruerunt que membra omnia.
Ut quando augetur-incremento spicarum arvum,
quod prius peremtum inundaverat tempestatis sævæ
imber ingravescens; illud autem sanatum a-ventis
ridet, efflorescens bene-subactum per agrum:
ita etiam Philoctetæ, malehabentis prius,
totum corpus subito florem-recepit, et in convexa specu
reliquit curas omnes, quæ ipsi confecerant animum.
Atridæ igitur, cum-viderent veluti ab orco redeuntem
virum, demirati-sunt; asserebant enim *id* esse opus
deorum, quod et fuit verum, ut existimabant:
etenim ipsi proceritatem et formæ-nitorem affuderat
benigna Minerva, *talem*que exhibuit eum, qualis fuerat
antea inter Argivos, quam infortunio opprimeretur.
Atque tunc in prætorium Agamemnonis opulenti
omnes simul optimates deducebant Pœantis filium,
et eum honorantes epulo dignabantur.
Sed ubi satiati-erant potu et cibo almo,
tandem eum compellavit hasta-probatus Agamemnon:
Amice, quandoquidem te deorum voluntate olim
in Lemno circumflua deseruimus mente capti,
ne *propterea* in-nos iram atrocem cordi tuo infigas;
non enim sine diis hoc patravimus, sed ipsi
decreverant immortales nobis damna plurima accumulare
te summoto, quoniam apprime-nosti sagittis
hostes prosternere, cum adversus te pugnant.

Omni in continente et in pelago vasto obscuræ,
Parcarum arbitrio, et multifidæ existunt *viæ*,
crebræque et obliquæ, conversæ alio alia:
per has juvenes auferuntur dei sorte,
instar foliorum flatibus venti
agitatorum. Quo-fit-ut bonus malam incidat in viam
sæpenumero, et improbus in bonam: easque nec devitare,
nec volens quis eligere terrenus potest homo.
Oportet igitur prudentem virum, etiamsi abripiatur a procella] in-viam difficilem, firmo pectore perferre infelices
-casus.] Quare cum noxa-admissa *in te* deliquerimus, hoc tacinus] deinceps muneribus pensabimus cumulatissimis,
Troum si quando capiamus munitam urbem:
nunc vero accipe septem puellas, et viginti celeres equos
palmam-ferentes et tripodes duodecim; quibus animum

τέρψεις ἤματα πάντα· καὶ ἐν κλισίῃσιν ἐμῇσιν
αἰεί τοι παρὰ δαιτὶ γέρας βασιλήϊον ἔσται.
Ὣς εἰπὼν ἥρωϊ πόρεν περικαλλέα δῶρα·
τὸν δ' ἄρα Ποίαντος προσέφη κρατερόφρονος υἱός·
Ὦ φίλος, οὔ τοι ἐγὼν ἔτι χώομαι, οὐδὲ μὲν ἄλλῳ
Ἀργείων, τῶν εἴ τις ἔτ' ἤλιτεν εἵνεκ' ἐμεῖο.
Οἶδα γάρ, ὡς στρεπτὸς νόος ἀνδράσι γίνεται ἐσθλοῖς,
οὐδ' αἰεὶ χαλεπὸν θέμις ἔμμεναι, οὐδ' ἀσύφηλον·
ἀλλ' ὁτὲ μὲν σμερδνὸν τελέθειν, ὁτὲ δ' ἤπιον εἶναι.
Νῦν δ' ἴομεν ποτὶ κοῖτον, ἐπεὶ χατέοντι μάχεσθαι
βέλτερον ὑπνώειν, ἢ ἐπὶ πλέον εἰλαπινάζειν.
Ὣς εἰπὼν ἀπόρουσε καὶ ἐς κλισίην ἀφίκανε
σφῶν ἑτάρων· οἱ δ' αἶψα φιλοπτολέμῳ βασιλῆϊ
εὐνὴν ἐντύνοντο μέγα φρεσὶ καγχαλόωντες·
αὐτὰρ ὅγ' ἀσπασίως κατελέξατο μέχρις ἐπ' ἠῶ.
Νὺξ δ' ἀνεχάσσατο δῖα· φάος δ' ἐρύθηνε κολώνας
ἠελίου· καὶ πάντα βροτοὶ περιποίπνυον ἔργα.
Ἀργεῖοι δ' ὀλοοῖο μέγ' ἱέμενοι πολέμοιο,
οἱ μὲν δούρατα θῆγον ἐΰξοα, τοὶ δὲ βέλεμνα,
ἄλλοι δ' αἰγανέας· ἅμα δ' ἠοῖ δαῖτα πένοντο
αὐτοῖς ἠδ' ἵπποισι· πάσαντο δὲ πάντες ἐδωδήν.
Τοῖσιν δὴ Ποίαντος ἀμύμονος ὄβριμος υἱὸς
τοῖον ἔπος μετέειπεν ἐποτρύνων πονέεσθαι·
Εἴδ' ἄγε νῦν πολέμοιο μεδώμεθα· μηδέ τις ἡμέων
μιμνέτω ἐν νήεσσι, πάρος κλυτὰ τείχεα λῦσαι
Τροίης εὐπύργοιο καταπρῆσαί τε πόληα.
Ὣς φάτο· τοῖσι δὲ θυμὸς ὑπὸ κραδίῃ μέγ' ἰάνθη·
δῦσαν δ' ἐν τεύχεσσι καὶ ἀσπίσιν· ἐκ δ' ἄρα νηῶν
πανσυδίῃ βελέεσσι κεκασμένοι ἐσσεύοντο
καὶ βοέοις σακέεσσι καὶ ἀμφιφάλοις κορύθεσσιν·
ἄλλος δ' ἄλλον ἔρειδε κατὰ στίχας· οὐδέ κε φαίης
κείνων ἐσσυμένων ἑκὰς ἔμμεναι ἄλλον ἀπ' ἄλλου·
ὣς ἄρ' ἔσαν θαμινοὶ καὶ ἀρηρότες ἀλλήλοισι.

oblectabis perpetuo: et in tabernaculis meis
perpetuo tibi inter convivandum honos regius habebitur.
Sic fatus heroi tradidit elegantissima munera:
cui igitur Pœantis respondit animosi filius:
Amice, nec tibi ego amplius succenseo, nec alii cuiquam
Argivum, quorum si quis peccarit mea causa.
Scio enim, quod mutabilis mens viris sit bonis;
neque semper rigidum esse fas *est*, nec *semper* remissum,
sed interdum severum existere, interdum comem esse.
Nunc vero eamus cubitum; nam quem-oportet pugnare,
hunc satius *est* dormire, quam prolixius convivari.
Sic fatus se-abripuit et in tentorium concessit
suorum comitum. Qui statim bellicoso regi
cubile instruxerunt magno animum gaudio-delibuti;
ipse vero lubens quiete-fruebatur usque ad auroram.
Exinde nox abscessit divina, et jubar rubefecit juga
solis, et ad-omnia homines se-accingebant opera.
Argivi autem exitialis valde cupidi belli
partim lanceas acuebant politas, partim sagittas,
nonnulli etiam frameas, et cum lucis-exortu jentaculum
parabant] sibimet et equis, sumebantque omnes cibum.
Quos Pœantis generosi fortissimus natus
his verbis allocutus-est excitans ad-rem-gerendam:
Nunc agite belli in-curam-incumbamus; neve quis ve-
strum] subsistat in navibus, priusquam clara mœnia dirue-
rimus] Trojæ turritæ incenderimusque urbem.
Sic ait, at illis animus in pectore valde oblectabatur:
indutis igitur armis atque clypeis, e navibus
confertis-agminibus telis instructi eruperunt
ac bubulis scutis cristatisque galeis:
et alius alium fulsit in suo-quisque-ordine, nec dixisses
illis incedentibus distare alterum ab altero:
tam erant densi et coaptati inter-se.

ΛΟΓΟΣ Ι.

Τρῶες δ' αὖτ' ἔκτοσθεν ἔσαν Πριάμοιο πόληος
πάντες σὺν τεύχεσσι καὶ ἅρμασιν ἠδὲ καὶ ἵπποις
ὠκυτάτοις· καῖον γὰρ ἀποκταμένους ἐνὶ χάρμῃ,
δειδιότες μὴ λαὸς ἐπιβρίσειεν Ἀχαιῶν.
Τοὺς δ' ὡς οὖν ἐσίδοντο ποτὶ πτόλιν ἀΐσσοντας
ἐσσυμένως, κταμένοισι χυτὸν περὶ σῆμ' ἐβάλοντο
σπερχόμενοι· δεινὸν γὰρ ὑποτρομέεσκον ἰδόντες.
Τοῖσι δ' ἄρ' ἀχνυμένοισιν ὑπὸ φρεσὶ μῦθον ἔειπε
Πουλυδάμας, ὁ γὰρ ἔσκε λίην πινυτὸς καὶ ἐχέφρων·
Ὦ φίλοι, οὐκ ἔτ' ἀνεκτὸς ἐφ' ἡμῖν μαίνεται Ἄρης·
ἀλλ' ἄγε δὴ φραζώμεθ' ὅπως πολέμοιό τι μῆχος
εὕρωμεν· Δαναοὶ γὰρ ἐπικρατέουσι μένοντες.
Νῦν δ' ἄγε δὴ πύργοισιν ἐϋδμήτοις ἐπιβάντες
μίμνωμεν νύκτας τε καὶ ἤματα δηριόωντες,
εἰσόκε δὴ Δαναοὶ Σπάρτην ἐρίβωλον ἵκωνται,
ἢ αὐτοῦ παρὰ τεῖχος ἀκηδήσωσι μένοντες,
ἀκλέες ἑζόμενοι· ἐπεὶ οὐ σθένος ἔσσεται αὐτῶν

LIBER X.

Troes autem erant extra Priami urbem
universi cum armis curribusque et equis
velocissimis. Cremabant enim peremtos in pugna,
timentes, ne exercitus impressionem-faceret Achivum.
Hos igitur ubi viderunt ad urbem tendere
raptim, mortuis effossæ-telluris monimentum aggerarunt
festinantes: valde enim tremebant visis *hostibus*.
Quibus afflictis in animis verba fecit
Polydamas, qui erat apprime prudens et cordatus:
Amici, non amplius tolerandus in nos furit Mars:
verum agite consilium-ineamus, qua-ratione belli aliquem
modum] inveniamus. Danai enim *nos* vincunt perseveran-
tia.] Nunc igitur turribus munitis conscensis
perseveremus noctes diesque propugnantes,
donec Danai ad-Spartam fertilem remearint,
aut hic ad mœnia tædium-ceperit subsistentes
ingloriæ obsessionis, quoniam facultas non erit ipsis

ῥῆξαι τείχεα μακρὰ, καὶ εἰ μάλα πολλὰ κάμωσιν·
οὐ γὰρ ἀβληχρὰ θεοῖσι τετεύχαται ἄφθιτα ἔργα.
Οὐδέ τί που βρώμης ἐπιδευόμεθ', οὐδὲ ποτῆτος·
πολλὰ γὰρ ἐν Πριάμοιο πολυχρύσοιο μελάθροις
ἔμπεδον εἴδατα κεῖται, ἅπερ πολέεσσι καὶ ἄλλοις
πολλὸν ἐπὶ χρόνον ἔσσετ' ἀγειρομένοισιν ἐδωδὴ
ἐς κόρον, εἰ καὶ ἔτ' ἄλλος ἐελδομένοισιν ἵκηται
τρὶς τόσος ἐνθάδε λαὸς ἀρηγέμεναι μενεαίνων.
Ὣς φάτο· τὸν δ' ἐνένισπε θρασὺς πάϊς Ἀγχίσαο·
Πουλυδάμα, πῶς γάρ σε σαόφρονά φασι τετύχθαι,
ὃς κέλεαι ποτὶ δηρὸν ἀνὰ πτόλιν ἄλγεα πάσχειν;
οὐ γὰρ ἀκηδήσουσι πολὺν χρόνον ἐνθάδ' Ἀχαιοὶ,
ἀλλ' ἐπιβρίσουσιν μέγ' ἀλευομένους ἐσιδόντες·
νῶϊν δ' ἔσσεται ἄλγος ἀποφθιμένων ἐνὶ πάτρῃ,
ἤν πως ἐνθάδε πουλὺν ἐπὶ χρόνον ἀμφιμάχωνται.
Οὐ γάρ τις Θήβηθε μελίφρονα σῖτον ὀπάσσει
ἧμιν, ἐπὴν εἰρχθῶμεν ἀνὰ πτόλιν· οὐδέ τις οἴσει
οἶνον Μαιονίηθεν· ἀνιηρῷ δ' ὑπὸ λιμῷ
φθισόμεθ' ἀργαλέως, εἰ καὶ μάλα τεῖχος ἀμύνει.
Ἀλλ' εἰ μὲν θάνατόν τε κακὸν καὶ Κῆρας ἀλύξαι,
μηδ' ἄρ' ὀϊζυρῶς θανέειν πολυάχθεϊ λιμῷ
μέλλομεν, εἶν ἔντεσσι σὺν ἡμετέροις τεκέεσσι
καὶ γεραροῖς πατέρεσσι μαχώμεθα· καί ῥά ποθι Ζεὺς
χραισμήσει· κείνου γὰρ ἀφ' αἵματος εἰμὲν ἀγαυοῦ.
Εἰ δέ κεν ἆρ καὶ κείνῳ ἀπεχθόμενοι θανέωμεν,
εὐκλειῶς μέγ' ὀλέσθαι ἀμυνομένους περὶ πάτρης
βέλτερον, ἢ μείναντας ὀϊζυρῶς ἀπολέσθαι.
Ὣς φάτο· τὸν δ' ἄρα πάντες ἐπίαχον εἰσαΐοντες·
αἶψα δὲ δὴ κορύθεσσι καὶ ἀσπίσι καὶ δοράτεσσι
φράχθεν ἐπ' ἀλλήλους. Ἐπὶ δ' ἀκαμάτου Διὸς ὄσσε
δέρκετ' ἀπ' Οὐλύμποιο κορυσσομένους ἐς Ἄρηα
Τρῶας ἐπ' Ἀργείοισιν· ἔγειρε δὲ θυμὸν ἑκάστου,
ὄφρα μάχην ἀλίαστον ἐπ' ἀμφοτέροισι τανύσσῃ
λαοῖς· ἦ γὰρ ἔμελλεν Ἀλέξανδρος θανέεσθαι
χερσὶ Φιλοκτήταο, πονεύμενος ἀμφ' ἀλόχοιο. [μοῦ,
Τοὺς δ' ἄγεν εἰς ἕνα χῶρον Ἔρις μεδέουσα κυδοι-
οὔτινι φαινομένη· περὶ γὰρ νέφος ἄμφεχεν ὤμους
αἱματόεν· φοίτα δὲ μέγαν κλονέουσα κυδοιμὸν,
ἄλλοτε μὲν Τρώων ἐς ὁμήγυριν, ἄλλοτ' Ἀχαιῶν·
τὴν δὲ Φόβος καὶ Δεῖμος ἀταρβέες ἀμφεπένοντο,
πατροκασιγνήτην κρατερόφρονα κυδαίνοντες.
Ἡ δὲ μέγ' ἐξ ὀλίγοιο κορύσσετο μαιμώωσα·
τεύχεα δ' ἐξ ἀδάμαντος ἔχεν πεπαλαγμένα λύθρῳ,
πάλλε δὲ λοίγιον ἔγχος ἐς ἠέρα· τῆς δ' ὑπὸ ποσσὶ
κίνυτο γαῖα μέλαινα· πυρὸς δ' ἄμπνυεν ἀϋτμὴν
σμερδαλέον, μέγα δ' αἰὲν ἀΰτεεν ὀτρύνουσα
αἰζηούς· οἱ δ' αἶψα συνήϊον ἀρτύνοντες
ὑσμίνην· δεινὴ γὰρ ἄγεν θεὸς ἐς μέγα ἔργον.
Τῶν δ' ὡς ἢ ἀνέμων ἰαχὴ πέλε λάβρον ἀέντων
χείματος ἀρχομένου, ὅτε δένδρεα μακρὰ καὶ ὕλη
φύλλα χέει, ἢ ὡς ὅτ' ἀν' ἀζαλέην ξύλοχον πῦρ
βρομέει αἰθόμενον, ἢ ὡς μέγα πόντος ἀπείρων
μαίνεται ἐξ ἀνέμοιο δυσηχέος, ἀμφὶ δὲ ῥοῖβδος
γίγνετ' ἀπειρέσιος, τρόμεει δ' ὕπο γούνατα ναυτῶν·

perrumpendi muros altos, etiamsi permultum laborarint :
non enim infirmiter a-Diis fabricata-sunt æterna opera.
At neque alimonia nos-deficit, neque potus ;
nam magna-vis in Priami opulenti ædibus
annonæ tuto reposita-est, quæ multis etiam aliis
prolixum ad tempus congregatis præbuerit escam
ad satietatem, si vel alius *nobis* expetentibus adventet
triplo major huc exercitus ad-suppetias-ferendum promtus.
Sic ait ; hunc autem increpuit animosus filius Anchisæ:
Polydama, quonam-pacto te prudentem ajunt esse,
qui jubes diuturnum per urbem mœrorem nos-pati ?
non enim tædium-afferet longinquitas temporis hic Achi-
vis ;] sed eo-gravius-incumbent, valde pugnam-detrectare
nos videntes;] nobis etiam erit cruciatus contabescentibus
in patria,] si forte hic longum in tempus *nos* oppugnabunt.
Nemo enim a-Thebis dulce frumentum suppeditabit
nobis, postquam inclusi-fuerimus urbi, nemo advectabit
vinum ex-Mæonia, sed ægra fame
deficiemus misere, etiamsi satis mœnia hostem-arceant.
Idcirco si mortem funestam et fatum evitaturi,
neque infeliciter perituri molestissima fame
sumus, armati una-cum nostris liberis
et honorandis parentibus prœliemur : atque alicubi Juppiter
opem-feret : hujus enim ab sanguine propagati-sumus illu-
stri.] Quod si etiam huic invisi moreremur,
cum-gloria magna occumbere armis-tutantes patriam
satius *est*, quam desidentes *domi* miserabiliter interire.
Sic dixit, eique cuncti applaudebant, qui-audiebant ;
quare confestim galeis et scutis hastisque
confirmabant se-mutuo. Tum invicti Jovis vultus
despexit ex Olympo accingentes-se ad bellum
Troas contra Achivos, et excitavit animum cujusque,
ut pugnam pertinacem utrique intenderet
exercitui. Namque erat Alexander moriturus
manibus Philoctetæ, laborem-suspiciens pro conjuge.
Illos itaque perduxit in unum locum Contentio domina-
trix pugnæ,] nulli apparens. Nubes enim amplectebatur
humeros] cruenta, et incessit magnum ciens tumultum,
nunc Trojanorum in agmen, nunc Achivorum.
Quam Metus et Terror intrepidi stipabant,
patris-germanam magnanimam venerantes,
quæ in-immensum ex parvo se-extulit concitata,
armaque ex adamante habebat fœdata tabo,
et vibrabat perniciosam hastam in aera, ejusque sub pedi-
bus] commota-est tellus atra ; ignis etiam exspirabat vapo-
rem] horrendum, magnumque semper edebat-clamorem
exhortans] juvenes. Qui statim gradum-contulerunt in-
struentes] conflictum ; nam sæva eduxit dea in arduum ne-
gotium.] Atque horum velut ventorum fremitus erat procaci-
ter spirantium] hieme ineunte, cum arbores proceræ et silva
frondes sternunt, aut velut quando in arido fruteto ignis
crepitat ardens, aut ut infinitum mare magnopere
sævit a vento sonoro *exagitatum*, et circumquaque stridor
oritur immanis, adeo-ut contremiscant genua nautarum :

ὣς τῶν ἐσσυμένων μέγ' ὑπέβραχε γαῖα πελώρη·
ἐν δέ σφιν πέσε δῆρις· ἐπ' ἄλλῳ δ' ἄλλος ὄρουσε.
Πρῶτος δ' Αἰνείας Δαναῶν ἕλεν Ἁρπαλίωνα
υἱὸν Ἀριζήλοιο· τὸν Ἀμφινόμη τέκε μήτηρ
γῇ ἔνι Βοιωτῶν· ὁ δ' ἅμα Προθοήνορι δίῳ
ἐς Τροίην ἵκανεν ἀμυνέμεν Ἀργείοισι.
Τόν ῥα τότ' Αἰνείας ἁπαλὴν ὑπὸ νηδύα τύψας
νοσφίσατ' ἐκ θυμοῖο καὶ ἡδέος ἐκ βιότοιο·
τῷ δ' ἔπι Θερσάνδροιο δαΐφρονος υἷα δάμασσεν
Ὕλλον, ὀξυγλώχινι βαλὼν κατὰ λαιμὸν ἄκοντι,
ὃν τέκε δῖ' Ἀρέθουσα παρ' ὕδασι Ληθαίοιο
Κρήτῃ ἐν ἀμφιάλῳ· μέγα δ' ἤκαχεν Ἰδομενῆα.
Αὐτὰρ Πηλείδαο πάϊς δυοκαίδεκα φῶτας
Τρώων αὐτίκ' ὄλεσσεν ὑπ' ἔγχεϊ πατρὸς ἑοῖο·
Κέβρον μὲν πρῶτον, καὶ Ἀρίονα Πασίθεόν τε
Ὑσμινόν τε καὶ Ἰμβράσιον Σχέδιόν τε Φλέγην τε,
Μνήσαιόν τ' ἐπὶ τοῖσι καὶ Εὔνομον Ἀμφίνομόν τε
καὶ Φάσιν ἠδὲ Γαληνὸν, ὃς οἰκία ναιετάασκεν
Γαργάρῳ αἰπεινῇ· μετὰ δ' ἔπρεπε μαρναμένοισι
Τρωσὶν ἐρισθενέεσσι, κίεν δ' ἅμ' ἀπείρονι λαῷ
ἐς Τροίην· μάλα γάρ οἱ ὑπέσχετο πολλὰ καὶ ἐσθλὰ
Δαρδανίδης Πρίαμος δώσειν περικαλλέα δῶρα·
νήπιος· οὐ γὰρ ἐφράσσαθ' ἑὸν μόρον· ἦ γὰρ ἔμελλεν
ἐσσυμένως ὀλέεσθαι ὑπ' ἀργαλέου πολέμοιο,
πρὶν δόμου ἐκ Πριάμοιο περικλυτὰ δῶρα φέρεσθαι.
Καὶ τότε Μοῖρ' ἀΐδηλος ἐπέτραπεν Ἀργείοισιν
Εὐρυμένην, ἕταρον κρατερόφρονος Αἰνείαο·
ὦρσε δέ οἱ μέγα θάρσος ὑπὸ φρένας, ὄφρα δαμάσσας
πολλοὺς αἴσιμον ἦμαρ ἀναπλήσῃ ὑπ' ὀλέθρῳ·
δάμνατο δ' ἄλλοθεν ἄλλον, ἀνηλέϊ θηρὶ ἐοικώς·
οἱ δέ οἱ αἶψ' ὑπόεικον, ἐφ' ὑστατίῃ βιότοιο
αἰνὸν μαιμώωντι καὶ οὐκ ἀλέγοντι μόθοιο.
Καί νύ κεν ἔργον ἔρεξεν ἀπείριτον ἐν δαῒ κείνῃ,
εἰ μή οἱ χεῖρές τε κάμον, καὶ δούρατος αἰχμὴ
πολλὸν ἀνεγνάμφθη· ξίφεος δέ οἱ οὐκ ἔτι κώπη
ἔσθενεν, ἀλλά μιν αἶσα διέκλασε· τὸν δ' ὕπ' ἄκοντι
τύψε κατὰ στομάχοιο Μέγης· ἀνὰ δ' ἔβλυσεν αἷμα
ἐκ στόματος· τῷ δ' αἶψα σὺν ἄλγεϊ Μοῖρα παρέστη.
Τοῦ δ' ἄρ' ἀποκταμένοιο δύω θεράποντες Ἐπειοῦ,
Δηϊλέων τε καὶ Ἀμφίων, ἀπὸ τεύχε' ἑλέσθαι
ὥρμαινον· τοὺς δ' αὖτε θρασὺ σθένος Αἰνείαο
δάμνατο μαιμώοντας ὀϊζυρῶς περὶ νεκρῷ.
Ὡς δ' ὅτ' ἐν οἰνοπέδῳ τις ἐπαΐσσοντας ὀπώρῃ
σφῆκας τερσομένῃσι παρὰ σταφυλῇσι δαμάσσῃ,
οἱ δ' ἄρ' ἀποπνείουσι πάρος γεύσασθαι ὀπώρης·
ὣς τοὺς αἶψ' ἐδάμασσε πρὶν ἔντεα ληΐσσασθαι.
Τυδείδης δὲ Μένοντα καὶ Ἀμφίνοον κατέπεφνεν,
ἄμφω ἀμύμονε φῶτε· Πάρις δ' ἕλε Δημολέοντα
Ἱππασίδην, ὃς πρόσθε Λακωνίδα γαῖαν ἔναιε
πὰρ προχοῇς ποταμοῖο βαθυῤῥόου Εὐρώταο,
ἤλυθε δ' ἐς Τροίην ὑπ' ἀρηϊθόῳ Μενελάῳ·
καί ῥ' ἑ Πάρις κατέπεφνε τυχὼν ὑπὸ μαζὸν ὀϊστῷ
δεξιόν· ἐκ δέ οἱ ἦτορ ἀπὸ μελέων ἐκέδασσε.
Τεῦκρος δὲ Ζέχιν εἷλε περικλυτὸν, υἷα Μέδοντος,

ita illis irruentibus magnum fragorem-reddidit tellus vasta.
Illis itaque incubuit certamen, et in alium alius impetum
-fecit.] Primusque Æneas ex-Danais stravit Harpalionem,
filium Arizeli, quem Amphinome edidit mater
in terra Bœotorum: is cum Prothoenore insigni
ad Trojam venerat opem-laturus Achivis.
Hunc ibi Æneas molli in ventre percussum
spoliavit anima et dulci vita;
et post eum Thersandri pugnacis filium oppressit,
Hyllum, acuto transfixum per guttur hastili:
quem peperit generosa Arethusa ad undas Lethæi,
in Creta mari-cincta. Ideo valde afflixit Idomeneum.
Cæterum Pelidæ filius duodecim viros
ex-Trojanis continuo interfecit hasta patris sui,
Cebrum principio, deinde Arionem Pasitheumque
Hysminumque et Imbrasium Schediumque Phlegumque,
Mnesæumque post illos et Eunomum Amphinomumque
ac Phasim, denique Galenum, qui domum habitabat
in-Gargaro excelsa, et eminebat inter pugnantes
Trojanos validos: venerat autem cum ingenti agmine
Trojam, siquidem illi promiserat plurima atque insignia
Dardanides Priamus se-daturum perpulcra munera.
Imprudens! non enim animo-perpendit suum fatum: nam
erat] repente periturus in adverso prœlio,
antequam ex aula Priami præclara *illa* dona auferret.
Atque tunc Parca funesta convertit in-Argivos
Eurymenem, familiarem fortis Æneæ;
nam excitavit magnam fiduciam ipsius in pectore, ut de-
jectis] compluribus fatalem diem compleret interitu *suo*:
proinde sustulit alibi alium, efferæ beluæ similis,
illique (*hostes*) ei subito locum-dederunt, extremo momento
vitæ] ferociter grassanti nec ullum curanti pugnæ-discri-
men.] Et sane facinus edidisset immensum in conflictu isto,
nisi ejus manus defatigatæ, et hastæ mucro
nimium retusus-fuisset, ensisque non amplius capulus
vires-habebat, verum ipsum sors-fatalis enervavit: ideo
hunc jaculo] percussit in stomachum Meges, tum ebulliit san-
guis] ex ore, eique derepente cum dolore Fatum adstitit.
Cui interemto duo ministri Epei,
Deileon et Amphion, arma adimere
properabant; sed eos audax vis Æneæ
trucidavit irruentes misere juxta cadaver.
Ut cum in vinea quis impetentes fructum
vespas maturescentes prope uvas occidit,
quæ exspirant, antequam gustarint vindemiam:
sic illos celeriter obtruncavit, priusquam armis spolias-
sent *mortuum*.] Tydides autem Menontem et Amphinoum
necavit,] ambos egregios viros. Ac Paris trajecit Demoleon-
tem] Hippasiden, qui olim in-Laconica regione habitarat,
ad ostia amnis profundi Eurotæ,
venerat autem ad Trojam ductu bellicosi Menelai:
atque eum Paris leto-dedit transacto per mamillam telo
dexteram, ejusque animam e membris exegit.
Atqui Teucer Zechim confecit nobilem, filium Medontis,

ὅς ῥά τε ναιετάασκεν ὑπὸ Φρυγίην πολύμηλον,
ἄντρον ὑπὸ ζάθεον καλλιπλοκάμων Νυμφάων,
ἧχί ποτ' Ἐνδυμίωνα παρυπνώοντα βόεσσιν
ὑψόθεν ἀθρήσασα κατήλυθε δῖα Σελήνη
οὐρανόθεν· δριμὺς γὰρ ἄγεν πόθος ἠϊθέοιο,
ἀθανάτην περ ἐοῦσαν * * * ἧς ἔτι νῦν περ
εὐνῆς σῆμα τέτυκται ὑπὸ δρυσίν· ἀμφὶ γὰρ αὐτῇ
ἐκκέχυτ' ἐν ξυλόχοισι βοῶν γλάγος· οἱ δέ νυ φῶτες
θηεῦντ' εἰσέτι κεῖνο· τὸ γὰρ μάλα τηλόθι φαίης
ἔμμεναι εἰσορόων πολιὸν γάλα· εἰ δ' ἐπίησθα,
λευκὸν ὕδωρ, καὶ βαιὸν ἀπόπροθεν ὁππόθ' ἵκηαι,
πήγνυται ἀμφὶ ῥέεθρα· πέλει δ' ἄρα λάϊνον οὖδας·
Ἀλκαίῳ δ' ἐπόρουσε Μέγης Φυλήϊος υἱός·
καί ῥά μιν ἀσπαίρουσαν ὑπὸ κραδίην ἐπέρησεν
ἐγχείῃ· τοῦ δ' ὦκα λύθη πολυήρατος αἰών·
οὐδέ μιν ἐκ πολέμοιο πολυκλαύτοιο μολόντα,
καίπερ ἐελδόμενοι, μογεροὶ δέξαντο τοκῆες,
Φύλλις ἐΰζωνος καὶ Μάργασος, οἵ ῥ' ἐνέμοντο
Ἁρπάσου ἀμφὶ ῥέεθρα διειδέος, οὗ ἀλεγεινῷ
Μαιάνδρῳ κελάδοντα ῥόον καὶ ἀπείριτον οἶδμα
συμφέρετ' ἤματα πάντα λάβρῳ περὶ χεύματι θύων.
Γλαύκου δ' ἐσθλὸν ἑταῖρον, ἐϋμμελίην Σκυλακῆα,
υἱὸς Ὀϊλῆος σχεδὸν οὔτασεν ἀντιόωντα
βαιὸν ὑπὲρ σάκεος· διὰ δὲ πλατὺν ἤλασεν ὦμον
αἰχμὴ ἀνιηρή· περὶ δ' ἔβλυσεν αἷμα βοείῃ.
Ἀλλά μιν οὔτι δάμασσεν· ἐπεί ῥά ἑ μόρσιμον ἦμαρ
δέχνυτο νοστήσαντα φίλης παρὰ τείχεσι πάτρης.
Εὖτε γὰρ Ἴλιον αἰπὺ θοοὶ διέπερσαν Ἀχαιοί,
δὴ τότ' ἄρ' ἐκ πολέμοιο φυγὼν Λυκίην ἀφίκανεν
οἶος ἄνευθ' ἑτάρων· τὸν δ' ἄστεος ἄγχι γυναῖκες
ἀγρόμεναι τεκέων σφετέρων ὕπερ ἠδὲ καὶ ἀνδρῶν
εἴρονθ'· ὃς δ' ἄρα τῇσι μόρον κατέλεξεν ἁπάντων·
αἱ δ' ἄρα χερμαδίοισι περισταδὸν ἀνέρα κεῖνον
δάμναντ', οὐδ' ἀπόνητο μολὼν ἐς πατρίδα νόστου,
ἀλλά ἑ λᾶες ὕπερθε μέγα στενάχοντα κάλυψαν·
καί ῥά οἱ ἐκ βελέων ὀλοὸς περὶ τύμβος ἐτύχθη
πὰρ τέμενος καὶ σῆμα κραταιοῦ Βελλεροφόντου,
τῷ ἔνι κυδαλίμης Τιτηνίδος ἀγχόθι πέτρης.
Ἀλλ' ὁ μέν, αἴσιμον ἦμαρ ἀναπλήσας ὑπ' ὀλέθρου,
ὕστερον ἐννεσίῃσιν ἀγαυοῦ Λητοΐδαο
τίεται ὥστε θεός, φθινύθει δέ οἱ οὔποτε τιμή.
Ποίαντος δ' ἐπὶ τοῖσι πάϊς κτάνε Δηϊονῆα
ἠδ' Ἀντήνορος υἱὸν ἐϋμμελίην Ἀκάμαντα·
ἄλλων δ' αἰζηῶν ὑπεδάμνατο πουλὺν ὅμιλον·
θῦνε γὰρ ἐν δηΐοισιν ἀτειρέϊ ἶσος Ἄρηϊ,
ἢ ποταμῷ κελάδοντι, ὅς ἕρκεα μακρὰ δαΐζει
πλημμύρων, ὅτε λάβρον ὀρινόμενος περὶ πέτρης
ἐξ ὀρέων ἀλεγεινὰ μεμιγμένος ἔρχεται ὄμβρῳ,
ἀέναός περ ἐὼν καὶ ἀγάρροος, οὐδέ νυ τόν γε
εἴργουσιν προβλῆτες ἀάσπετα παφλάζοντα·
ὣς οὔτις Ποίαντος ἀγακλειτοῦ θρασὺν υἷα
ἔσθενεν ὀφθαλμοῖσιν ἰδὼν καὶ ἄπωθε πελάσσαι.
Ἐν γάρ οἱ στέρνοισι μένος περιώσιον ἦεν·
τεύχεσι δ' ἀμφεκέκαστο δαΐφρονος Ἡρακλῆος

qui domicilium-habebat in Phrygia ovium-fecunda,
infra antrum consecratum pulcricomis Nymphis,
ubi olim Endymionem dormientem-prope boves
ab-alto cum-videret, demisit-se dia Luna
cœlitus; acerbum enim *eam* attrahebat desiderium juvenis,
immortalis quamquam erat. ***Hujus etiamnum
tori monimentum existit sub quercubus. Circa enim eum
effusum-est in nemore boum lac; et mortales
admirantur adhuc illud : nam id a longinquo dixeris
aspiciens esse canum lac, si vero accesseris
candidam aquam, ac non-ita procul *inde* quando veneris,
concrescunt ex-omni-parte fluxus, est vero lapideum solum.
Porro in Alcæum irruit Meges, Phyleia proles,
et eum palpitanti sub corde transadegit
hasta; ejus igitur statim dissolutum-fuit amabile ævum,
nec eum a bello lacrimoso reversum,
quamvis exoptantes, ærumnosi exceperunt parentes,
Phyllis bene-succinta et Margasus, qui vitam-degebant
Harpasi ad undas pellucidi, ubi cum-sonoro
Mæandro resonantem fluxum immodicumque æstum
committit, per-dies omnes tumido torrente furens.
Glauci deinde fidelem socium, hasta-probatum Scylaceum,] filius Oilei cominus sauciavit congressum,
paulum supra scutum, et latum transfixit humeru
cuspis ægrifica, et manavit cruor circum tergora-bubula.
Verum ipsum non interemit: nam eum fatalis dies
exspectabat reversum caræ sub mœnibus patriæ.
Cum enim Ilium arduum acres evertissent Achivi,
ibi e bello elapsus in-Lyciam rediit
solus absque sociis. Eum itaque prope urbem matronæ
concursu-facto super natis suis et maritis
rogitabant; quibus ipse fata commemorabat omnium :
at hæ circumstantes lapidibus virum illum
obruerunt, nec fruebatur reversus in patriam reditu :
sed illum saxa magnos inter-gemitus cooperuerunt,
atque ei ex missilibus *illis* funestum sepulcrum est-factum] juxta lucum et monimentum fortis Bellerophontis,
in-quo situs-est famosam juxta Titanidem petram.
Attamen hic, fatali die completa *hoc* exitio,
posthac monitu celebrati Apollinis
colitur ut Deus, et abolescit nunquam ipsius honos.
Pœantis autem filius post illos occidit Deioneum
et Antenoris filium, hasta-potentem Acamantem,
aliorumque juvenum profligavit magnam catervam
Currebat enim inter hostes invicto similis Marti,
aut amni sonoro, qui septa magna evertit
exundans, quando tempestuose concitatus circa petras
de montibus calamitose commixtus præcipitatur pluviæ,
perennis cum-sit ac rapidus, nec illum
cohibent objectæ-moles vehementer æstuantem :
sic nemo Pœantis inclyti audacem filium
poterat oculis intuitus vel eminus, propius-accedere
In ejus enim pectore robur excellens erat.
Armis autem instructus-erat bellicosi Herculis

δαιδαλέοις· περὶ γάρ οἱ ἐνὶ ζωστῆρι φαεινῷ
ἄρκτοι ἔσαν βλοσυραὶ καὶ ἀναιδέες· ἀμφὶ δὲ θῶες
σμερδαλέοι καὶ λυγρὸν ὑπ' ὀφρύσι μειδιόωσαι
παρδάλιες· τῶν δ' ἄγχι λύκοι ἔσαν ὀβριμόθυμοι
καὶ σύες ἀργιόδοντες ἐΰσθενέες τε λέοντες,
ἐκπάγλως ζωοῖσιν ἐοικότες· ἀμφὶ δὲ πάντῃ
ὑσμῖναι ἐνέκειντο μετ' ἀργαλέοιο φόνοιο.
Δαίδαλα μέν οἱ τόσσα περὶ ζωστῆρα τέτυκτο·
ἄλλα δέ οἱ γωρυτὸς ἀπείριτος ἀμφεκέκαστο·
ἐν μὲν ἔην Διὸς υἱὸς ἀελλοπόδης Ἑρμείης
Ἰνάχου ἀμφὶ ῥέεθρα κατακτείνων μέγαν Ἄργον,
Ἄργον, ὃς ὀφθαλμοῖσιν ἀμοιβαδὸν ὑπνώεσκεν·
ἐν δὲ βίη Φαέθοντος, ἀνὰ ῥόον Ἠριδανοῖο
βλήμενος ἐκ δίφροιο· καταιθομένης δ' ἄρα γαίης,
ὡς ἐτεὸν, κεχέδαστο μέλας ἐνὶ ἠέρι καπνός·
Περσεὺς δ' ἀντίθεος βλοσυρὴν ἐδάϊζε Μέδουσαν,
ἄστρων ἧχι λοετρὰ πέλει καὶ τέρματα γαίης,
πηγαὶ δ' ὠκεανοῖο βαθυῤῥόου, ἔνθ' ἀκάμαντι
ἠελίῳ δύνοντι συνέρχεται ἑσπερίη νύξ.
Ἐν δὲ καὶ ἀκαμάτοιο μέγας πάϊς Ἰαπετοῖο
Καυκάσου ἠλιβάτοιο παρηώρητο κολώνῃ
δεσμῷ ἐν ἀῤῥήκτῳ· κεῖρεν δέ οἱ αἰετὸς ἧπαρ
αἰὲν ἀεξόμενον· ὁ δ' ἄρα στενάχοντι ἐῴκει.
Καὶ τὰ μὲν ἂρ τεύξαντο κλυταὶ χέρες Ἡφαίστοιο
ὀβρίμῳ Ἡρακλῆϊ· ὁ δ' ὤπασε παιδὶ φορῆναι
Ποίαντος, μάλα γάρ οἱ ὁμωρόφιος φίλος ἦεν.
Αὐτὰρ ὁ κυδιόων ἐν τεύχεσι δάμνατο λαούς·
ὀψὲ δέ οἱ μετόρουσε Πάρις, στονόεντας ὀϊστοὺς
νωμῶν ἐν χείρεσσι μετὰ γναμπτοῖο βιοῖο
θαρσαλέως· τῷ γάρ ῥα συνήϊεν ὕστατον ἦμαρ·
ἧκε δ' ἀπὸ νευρῆφι θοὸν βέλος· ἡ δ' ἰάχησεν
ἰοῦ ἀπεσσυμένοιο· ὁ δ' οὐχ ἅλιον φύγε χειρῶν·
ἀλλ' αὐτοῦ μὲν ἅμαρτεν ἀλευομένου μάλα τυτθὸν,
καί ῥ' ἔβαλεν Κλεόδωρον, ἀγακλειτόν περ ἐόντα,
βαιὸν ὑπὲρ μαζοῖο, διήλασε δ' ἄχρις ἐς ὦμον·
οὐ γὰρ ἔχεν σάκος εὐρὺ, τό οἱ λυγρὸν ἔσχεν ὄλεθρον·
ἀλλ' ὅγε γυμνὸς ἐὼν ἀνεχάζετο· τοῦ γὰρ ἀπ' ὤμων
Πουλυδάμας ἀπάραξε σάκος τελαμῶνα δαΐξας
βουπλῆγι στιβαρῷ· ὁ δ' ἐχάσσατο μαρνάμενός περ
αἰχμῇ ἀνιηρῇ· στονόεις δέ οἱ ἔμπεσεν ἰὸς
ἄλλοθεν ἀΐξας· ὣς γάρ νύ που ἤθελε δαίμων
θήσειν αἰνὸν ὄλεθρον ἐΰφρονος υἱέϊ Λέρνου,
ὃν τέκετ' Ἀμφιάλη Ῥοδίων ἐν πίονι γαίῃ.
Τὸν δ' ὡς οὖν ἐδάμασσε Πάρις στονόεντι βελέμνῳ,
δὴ τότε δὴ Ποίαντος ἀμύμονος ὄβριμος υἱὸς
ἐμμεμαὼς θοὰ τόξα τιταίνων οἱ μέγ' ἄϋτει·
Ὦ κύον, ὡς σοὶ ἔγωγε φόνον καὶ κῆρ' ἀΐδηλον
δώσω, ἐπεί νύ μοι ἄντα λιλαίεαι ἰσοφαρίζειν.
Καί κεν ἀναπνεύσουσιν, ὅσοι σέθεν εἵνεκα λυγρῷ
τείροντ' ἐν πολέμῳ· τάχα γὰρ λύσις ἔσσετ' ὀλέθρου
ἐνθάδε σεῖο θανόντος, ἐπεί σφισι πῆμα τέτυξαι.
Ὣς εἰπὼν νευρὴν τάχ' ἐΰστροφον ἀγχόθι μαζοῦ
εἴρυσε· κυκλώθη δὲ κέρας καὶ ἀμείλιχος ἰὸς
ἰθύνθη· τόξον δ' αἰεὶ ὑπέρεσχεν ἀκωκὴ

varie-elaboratis : nam circum-circa in balteo splendenti
ursæ inerant feroces et impavidæ, juxtaque thoes
horrendi ac truculentum superciliis ridentes
pantheræ , quas juxta lupi aderant feroces
et sues albis-dentibus robustique leones ,
mirifice viventium instar-effícti. Præterea undique
conflictus inibi-continebantur cum funesta cæde.
Simulacra igitur tot ejus in cingulo efformata-erant;
aliis autem ejus pharetra prægrandis exornata-fuit
inerat enim Jovis filius, pernix Mercurius ,
Inachi apud fluenta mactans procerum Argum ,
Argum *illum*, qui oculis alternatim somnum-capiebat.
Inerat etiam violentus Phaethon, super unda Eridani
excussus curru , et de-conflagrante terra ,
ceu vere, niger dispergebatur in aere fumus.
Porro Perseus deo-similis horrendam cædebat Medusam,
siderum ubi lavacra existunt et fines terræ
fontesque Oceani profundi , ubi cum-indefatigabili
sole quando-occidit congreditur Hesperia nox.
Inibi etiam invicti magnus filius Japeti
Caucasi ardui suspensus-erat ad rupem
vinculis validissimis, et exedebat aquila ejus jecur
subinde renascens , unde ipse ingemiscenti similis-erat.
Atque hæc quidem fabricaverant celebres manus Vulcani
forti Herculi, qui *illa* dedit nato ferenda
Pœantis , cum admodum familiaris ei amicus esset.
His igitur se-magnifice-ostentans armis dejiciebat agmina.
Tandem in-eum invectus-est Paris tristificas sagittas
versans manibus una-cum flexili arcu
confidenter ; huic enim imminebat ultimus dies :
emisit igitur a nervo citum telum , qui stridorem-dedit
sagitta evolante , quæ nec incassum fugit e-manibus.
Ab ipso (*Philocteta*) quidem aberravit devitante paululum,
at feriit Cleodorum, quamvis nobilem,
aliquantulum supra papillam et adegit usque in humerum;
non enim habebat scutum latum, quod ei tristem avertisset
necem,]sed inermis quum-esset pedem-referebat : ejus enim
ab humeris]Polydamas avulserat scutum loro dirupto
securi ponderosa : retrocessit igitur, licet præliaretur *ad-huc*] hasta vulnifica, sed tristis eum incessit sagitta
aliunde advolans. Sic enim volebat fatalis-genius
imponere acerbum vitæ-exitum prudentis filio Lerni,
quem pepererat Amphiale Rhodiorum in opulenta terra.
Hunc cum itaque prostravisset Paris lugubri telo ,
mox Pœantis egregii strenuus filius
impetu-facto rapidum arcum intendens illum magno clamore-incessit :]Proh canis ! quam *subito* tibi ego necem cum
fato exitiali] inferam , dum me cominus contendis æquiparare !] At respirabunt, qui tua causa tristissimo
vexantur bello ; statim enim finis erit calamitatis
hic te interemto , quia illis perniciem affers.
Sic fatus nervum mox tortilem usque-ad papillam
adduxit ; hinc in-circuli-modum-circumactum cornu sæva-que arundo] directa-est : ex-arcu vero semper prominebat

τυτθὸν ὑπ' αἰζηοῖο βίῃ· μέγα δ' ἔβραχε νευρὴ
ἰοῦ ἀπεσσυμένοιο δυσηχέος· οὐδ' ἀφάμαρτε
δῖος ἀνήρ. Τοῦ δ' οὔτι λύθη κέαρ, ἀλλ' ἔτι θυμῷ
ἔσθενεν· οὐ γάρ οἱ τότε καίριος ἔμπεσεν ἰὸς,
ἀλλὰ παρέθρισε φωτὸς ἐπιγράβδην χρόα καλόν.
Ἐξαῦτις δ' ὅγε τόξα τιτύσκετο· τὸν δὲ παραφθὰς
ἰῷ εὐγλώχινι βάλεν βουβῶνος ὕπερθε
Ποίαντος φίλος υἱός· ὁ δ' οὐκ ἔτι μίμνε μάχεσθαι,
ἀλλὰ θοῶς ἀπόρουσε, κύων ὥς, εὖτε λέοντα
ταρβήσας χάσσηται, ἐπεσσύμενος τοπάροιθεν·
ὣς ὅγε λευγαλέῃσι πεπαρμένος ἦτορ ἀνίῃς
χάζετ' ἀπὸ πτολέμοιο. Συνεκλονέοντο δὲ λαοὶ
ἀλλήλους ὀλέκοντες· ἐν αἵματι δ' ἔπλετο δῆρις
κτεινομένων ἑκάτερθε· νεκροὶ δ' ἐπέκειντο νέκυσσι
πανσυδίῃ, ψεκάδεσσιν ἐοικότες ἠὲ χαλάζῃ
ἢ χιόνος νιφάδεσσιν, ὅτ' οὔρεα μακρὰ καὶ ὕλην
Ζηνὸς ὑπ' ἐννεσίῃς Ζέφυρος καὶ χεῖμα παλύνει·
ὣς οἵγ' ἀμφοτέρωθεν ἀνηλέϊ Κηρὶ δαμέντες,
ἀθρόοι ἀλλήλοισι δεδουπότες ἀμφεχέοντο.
Αἰνὰ δ' ἀνεστενάχιζε Πάρις· περὶ δ' ἕλκεϊ θυμὸν
τείρετο· τὸν δ' ἀλύοντα μέγ' ἄμφεπον ἰητῆρες·
Τρῶες δ' εἰς ἑὸν ἄστυ κίον· Δαναοὶ δ' ἐπὶ νῆας
κυανέας ἀφίκοντο θοῶς· τοὺς γάρ ῥα κυδοιμοῦ
νὺξ ἀπέπαυσε μέλαινα, μόγον δ' ἐξείλετο γυίων,
ὕπνον ἐπὶ βλεφάροισι, πόνου ἀλκτῆρα, χέασα.
Ἀλλ' οὐχ ὕπνος ἔμαρπτε θοὸν Πάριν ἄχρις ἐς ἠῶ·
οὐ γάρ οἵ τις ἄλαλκε λιλαιομένων περ ἀμύνειν
παντοίοις ἀκέεσσιν, ἐπεί ῥά οἱ αἴσιμον ἦεν
Οἰνώνης ὑπὸ χερσὶ μόρον καὶ κῆρας ἀλύξαι,
ἢν ἐθέλῃ· ὁ δ' ἄρ' αἶψα θεοπροπίῃσι πιθήσας
ἤϊεν οὐκ ἐθέλων· ὀλοὴ δέ μιν ἦγεν ἀνάγκη
κουριδίης εἰς ὦπα. Λυγροὶ δέ μιν ἀντιόωντες
κὰκ κορυφῆς ὄρνιθες ἀΰτεον, οἱ δ' ἀνὰ χεῖρα
σκαιὴν ἀΐσσοντες· ὁ δέ σφεας ἄλλοτε μέν που
δείδιεν εἰσορόων, ὁτὲ δ' ἀκράαντα πέτεσθαι
ἔλπετο· τοὶ δέ οἱ αἰνὸν ὑπ' ἄλγεσι φαῖνον ὄλεθρον.
Ἷξε δ' ἐς Οἰνώνην ἐρικυδέα· τὸν δ' ἐσιδοῦσαι
ἀμφίπολοι θάμβησαν ἀολλέες, ἠδὲ καὶ αὐτὴ
Οἰνώνη· ὁ δ' ἄρ' αἶψα πέσεν παρὰ ποσσὶ γυναικός·

* * * * * * * * * * * * * * * * *

ἀμφὶ μέλαιν' ἐφύπερθε, καὶ ἔνδοθι μέχρις ἱκέσθαι
μυελὸν ἐς λιπόωντα δι' ὀστέου, οὕνεκα νηδὺν
φάρμακον αἰνὸν ἔπυθε κατ' οὐταμένου χρόα φωτός·
τείρετο δὲ στυγερῇ βεβολημένος ἦτορ ἀνίῃ.
Ὡς δ' ὅτε τις νούσῳ τε καὶ ἀργαλέῃ μέγα δίψῃ
αἰθόμενος κραδίην, ἀδινὸν κέαρ αὐαίνηται,
ὅν τε περιζείουσα χολὴ φλέγει, ἀμφὶ δὲ νωθὴς
ψυχή οἱ πεπότητ' ἐπὶ χείλεσιν αὐαλέοισιν,
ἀμφότερον, βιότου τε καὶ ὕδατος ἱμείρουσα·
ὣς τοῦ ὑπὸ στέρνοισι καταίθετο θυμὸς ἀνίῃ·
καί ῥ' ὀλιγοδρανέων τοῖον ποτὶ μῦθον ἔειπεν·
Ὦ γύναι αἰδοίη, μὴ δή νύ με τειρόμενόν περ
ἐχθήρῃς, ἐπεὶ ἄρ σε πάρος λίπον ἐν μεγάροισι
χήρην, οὐκ ἐθέλων περ· ἄγον δέ με Κῆρες ἄφυκτοι

mucro] paululum juvenis vi : tum valde insonuit chorda
telo erumpente cum-strepitu, neque aberravit
præstans vir. Atqui illius nondum dissolvebatur cor, sed adhuc animo] valebat : non enim ipsi tum opportuno-loco infigebatur sagitta,] sed sauciaverat strictim hominis corpus
formosum.] Contra vero ille arcum direxit : sed eum præveniens] telo acuto verberavit supra inguen
Pœantis dilectus filius. Qui diutius haud morabatur ad confligendum,] sed subito aufugit, ut canis, quando leonem
pavitans retrocedit, quamquam-impetum-fecerat antea :
sic ille (*Paris*) acerbissimo transfixus pectus cruciatu
se-proripuit ex-acie. At turbabantur-inter-sese exercitus
mutuas strages-edentes. Sanguine itaque inundabat conflictus] cadentium utrinque, et cadavera incumbebant cadaveribus] acervatim, pluviæ in-modum aut grandinis
aut nivis guttarum, cum montes editos et silvam
Jovis nutu Zephyrus et hiems conspergunt:
ita hi utrinque a-sæva Parca profligati
dense inter-sese prolapsi conglomerabantur.

Graviter autem ingemiscebat Paris, et ob vulnus animi
angebatur; quem languentem valde obibant medici.
At Troes in suam urbem redierunt, Danai contra ad naves
cæruleas recesserunt statim. Eos enim a-prœlio
nox avocavit nigra, et lassitudinem exemit membris,
somno palpebris laboris depulsore infuso.
Verum sopor haud corripuit celerem Parin usque ad auroram :] non enim ipsi ullus medebatur, quamvis-studerent
opitulari] omnis-generis remediis, siquidem ei fatale erat,
ut-Œnones manibus fatum ac mortem evitaret,
si modo *ipsa* vellet. Quocirca statim oraculis morem-gerens
iter-suscepit invitus; tristis enim eum adduxit necessitas
uxoris in conspectum. Infaustæque ei occursantes
e vertice alites accantarunt, aliæ ad manum
sinistram volantes. Ipse vero illas modo
formidabat suspiciens, modo temere vagari
sibi-persuasit. Quæ tamen ei funestam inter cruciatus portendebant mortem.] Venit igitur ad Œnonen nobilem. Quem cum
-viderent] ancillæ, demirabantur simul-omnes, atque etiam
ipsa] Œnone. Ipse vero statim se-abjecit ad pedes uxoris :

* * * * * * * * * * * * * * * * * *

circumquaque lividus superne, et intrinsecus dum veniret
(*livor*)] ad medullam pinguem per ossa, quia stomachum
venenum exitiale putrefecerat in sauciati corpore viri;
et angebatur tristi ictus animum cruciatu.
Non-secus-ac si quis morbo et aspera siti valde
succensum-habens cor, toto pectore arescit,
quem effervescens bilis inflammat, languida igitur
anima ipsi volitat circum labia sicca
duabus-de-causis, et vitam et aquam appetens :
ita illius in pectore exurebatur cor ægritudine,
atque invalidus hoc sermone *illam* affatus-est :

Uxor honoranda, ne quæso me afflictum tantopere
odio-prosequaris, quia te olim deserui in ædibus
viduam, haud equidem volens : adegerunt enim me Fata

εἰς Ἑλένην, ἧς εἴθε πάρος λεχέεσσι μιγῆναι
σῇσιν ἐν ἀγκοίνῃσι θανὼν ἀπὸ θυμὸν ὄλεσσα.
Ἀλλ' ἄγε, πρός σε θεῶν, οἵ τ' οὐρανὸν ἀμφινέμονται,
πρός τε τεῶν λεχέων καὶ κουριδίης φιλότητος,
ἤπιον ἔνθεο θυμόν· ἄχος δ' ἀλεγεινὸν ἄλαλκε,
φάρμακ' ἀλεξήσοντα καθ' ἕλκεος οὐλομένοιο
θεῖσα, τά μοι μεμόρηται ἀπωσέμεν ἄλγεα θυμοῦ,
ἢν ἐθέλῃς· σῇσιν γὰρ ἐπὶ φρεσὶν, εἴτε σαῶσαι
μήδεαι ἐκ θανάτοιο δυσηχέος, εἴτε καὶ οὐχί·
ἀλλ' ἐλέαιρε τάχιστα καὶ ὠκυμόρων σθένος ἰῶν
ἐξάκεσ', ὥς μοι ἔτ' ἀμφὶ μένος καὶ γυῖα τέθηλε·
μὴ δέ τί με, ζήλοιο λυγροῦ μεμνημένη ἔμπης,
καλλείψῃς θανέεσθαι ἀμειλίκτῳ ὑπὸ πότμῳ,
πὰρ ποσὶ σοῖσι πεσόντα· Λιταῖς δ' ἀποθύμια ῥέξεις,
αἵ ῥα καὶ αὐταὶ Ζηνὸς ἐριγδούποιο θύγατρες
εἰσὶ, καὶ ἀνθρώποισιν ὑπερφιάλοις κοτέουσαι
ἐξόπιθε στονόεσσαν ἐπιθύνουσιν Ἐριννὺν
καὶ χόλον. Ἀλλὰ σὺ, πότνα, κακὰς ἀπὸ Κῆρας ἔρυκε
ἐσσυμένως, εἰ καί τι παρήλιτον ἀφραδίῃσιν.
Ὣς ἄρ' ἔφη· τῆς δ' οὔτι φρένας παρέπεισε κελαινάς,
ἀλλά ἑ κερτομέουσα μέγ' ἀχνύμενον προσέειπεν·
Τίπτε μοι εἰλήλουθας ἐναντίον, ἥν ῥα πάροιθεν
κάλλιπες ἐν μεγάροισι ἀάσπετα κωκύουσαν
εἵνεκα Τυνδαρίδος πολυκηδέος, ᾗ παριαύων
τέρπεο καγχαλόων, ἐπειὴ πολὺ φερτέρη ἐστὶν
τῆς σέο κουριδίης· τὴν γὰρ φάτις ἔμμεν ἀγήρω·
κείνην ἐσσυμένως γουνάζεο, μηδέ νύ μοί περ
δακρυόεις ἐλεεινὰ καὶ ἀλγινόεντα παραύδα.
Αἲ γάρ μοι μέγα θηρὸς ὑπαὶ κραδίῃ μένος εἴη
δαρδάψαι σέο σάρκας, ἔπειτα δέ θ' αἷμα λαφύξαι,
οἷά με πήματ' ἔοργας ἀτασθαλίῃσι πιθήσας.
Σχέτλιε, ποῦ νύ τοι ἐστὶν ἐϋστέφανος Κυθέρεια;
πῆ δὲ πέλει γαμβροῖο λελασμένος ἀκάματος Ζεύς;
τούς ἔχ' ἀοσσητῆρας· ἐμῶν δ' ἀπὸ τῆλε μελάθρων
χάζεο, καὶ μακάρεσσι καὶ ἀνδράσι πῆμ' ἀλεγεινόν.
Σεῖο γὰρ εἵνεκ', ἀλιτρὲ, καὶ ἀθανάτους ἕλε πένθος,
τοὺς μὲν ἐφ' υἱωνοῖς, τοὺς δ' υἱάσιν ὀλλυμένοισιν.
Ἀλλά μοι ἔρρε δόμοιο καὶ εἰς Ἑλένην ἀφίκανε,
ἧς σε χρεὼν νυκτός τε καὶ ἤματος ἀσχαλόωντα
τρύζειν πὰρ λεχέεσσι, πεπαρμένον ἄλγεϊ λυγρῷ,
εἰσόκε σ' ἰήνειεν ἀνιηρῶν ὀδυνάων.
Ὣς φαμένη γοόωντα φίλων ἀπέπεμπε μελάθρων·
νηπίη· οὐδ' ἄρ' ἐφράσσαθ' ἑὸν μόρον· ἦ γὰρ ἔμελλον
κείνου ἀποφθιμένοιο καὶ αὐτὴ Κῆρες ἕπεσθαι
ἐσσυμένως· ὣς γάρ οἱ ἐπέκλωσεν Διὸς αἶσα.
Τὸν δ' ἄρ ἐπεσσύμενον λασίης ὑπὲρ ἄκριας Ἴδης,
λυγρὸν ἐπισκάζοντα καὶ ἀχνύμενον μέγα θυμῷ,
Ἥρη τ' εἰσενόησε καὶ ἄμβροτον ἦτορ ἰάνθη,
ἑζομένη κατ' Ὄλυμπον, ὅπη Διὸς ἔπλετ' ἀλωή·
καί ῥά οἱ ἀμφίπολοι πίσυρες σχεδὸν ἑδριόωντο,
τάς ποτ' ἄρ' Ἠελίῳ χαροπὴ δμηθεῖσα Σελήνη
γείνατ' ἀν' οὐρανὸν εὐρὺν ἀτειρέας, οὐδὲν ὁμοίας
ἀλλήλαις· μορφῇ δὲ διέκριθεν ἄλλη ἀπ' ἄλλης·
[ἡ δ' ἑτέρη χειμῶνι καὶ αἰγοκερῆϊ μέμηλε·]

inevitabilia]ad Helenam. Utinam, hujus priusquam lecto me
admiscerem]tuis in brachiis exstinctus animam exhalassem!
Verum age, per Deos te *imploro*, qui cœlum incolunt,
perque tuum thalamum et maritalem amorem,
mansuetum indue animum, doloremque tristem abige,
medicamina salutaria vulneri exitiali
imponens, quæ mihi fatis-decretum-est ut-depellant angores
animo,]si-modo velis: tuo enim in arbitrio, sive servare
me constituas a morte lamentabili, sive non.
Quin miserere *mei* quamprimum, et mortiferam vim sagittarum]medendo-expugna, dum mihi adhuc vires et membra
vigent,] neve me, zelotypiæ tristis memor pertinaciter,
sinas mori crudeli leto
ad pedes tuos prostratum; Litisque *ita* offensionem afferes,
quæ et ipsæ Jovis altitonantis filiæ
sunt, et hominibus superbis iratæ
in-posterum luctuosam immittunt Erinnyn
et ultionem. Verum, o veneranda, malignas Parcas averte
repente, etiamsi quid deliquerim per-stultitiam;
Sic dixit: illius vero mentem non inflexit turbidam;
quin eum conviciis-incessens magno dolore-affectum *sic*
compellavit:] Quomodo mihi occurrere-audes? quam olim
deseruisti in ædibus gravissimo luctu-percitam
ob Tyndaridem tot-malorum-conciliatricem, cujus concubitu]fruebare gaudens, quandoquidem longe præstantior est
tua legitima-uxore; eam enim fama *est* esse senectæ-haud-obnoxiam.] Huic illico ad-genua-accidas, neve mihi
lacrimis-oppletus miserabilia et tristia oggannias.
Utinam enim magna beluæ meo cordi vis subesset
ut-dilaniarem tuas carnes et insuper sanguinem exorberem
ob-mala quibus me affecisti stultitiæ morem-gerens.
Perfide, ubi nunc tibi est coronigera Venus?
ubi est generi oblitus immortalis Juppiter?
hos habe *tibi* opitulatores, ac meis procul ab ædibus
recede, et diis et hominibus noxa dolenda.
Nam tua causa, o scelus, etiam Deos apprehendit luctus,
alios propter nepotes, alios propter filios exitio-datos.
Quin apage meis e tectis et ad Helenam contende,
cujus te oportet diu noctuque summa-cum-indignatione
quiritari juxta lectum, confectum dolore acerbo,
donec te levet molestis cruciatibus.
Ita fata plorantem a-caris dimisit ædibus;
stolida! non enim perpendebat suum fatum: namque erant
illo exstincto ipsam quoque Parcæ secuturæ
e-vestigio; ita enim ei telam-texebat Jovis sors.
Illum igitur properantem hirsutæ super juga Idæ,
miserabiliter claudicantem ac valde perturbatum animo
Juno animadvertit, et immortali in-pectore gaudebat,
sedens in Olympo, ubi Jovis existit campus,
et famulæ quatuor juxta eam sedebant,
quas quondam a Sole compressa venusta Luna
peperit in cœlo amplo infatigabiles, nulla-in-re simili
sibi-mutuo: forma enim diversa-est alia ab alia;
[altera hiemis et Capricorni curam-agit;]

τέτρασι γὰρ μοίρῃσι βροτῶν διαμείβεται αἰών,
ἃς κεῖναι ἐφέπουσιν ἀμοιβαδόν· ἀλλὰ τὰ μέν που
αὐτῷ Ζηνὶ μέλοιτο κατ' οὐρανόν· αἱ δ' ὀάριζον,
ὅππως λοίγιος Αἶσα περὶ φρεσὶν οὐλομένῃσι
μήδετο Τυνδαρίδος στυγερὸν γάμον ἐντύνουσα
Δηϊφόβῳ, καὶ μῆτιν ἀνιηρὴν Ἑλένοιο
καὶ χόλον ἀμφὶ γυναικός· ὅπως τέ μιν υἷες Ἀχαιῶν
ἤμελλον μάρψαντες ἐν ὑψηλοῖσιν ὄρεσσι,
χωόμενον Τρώεσσι, θοὰς ἐπὶ νῆας ἄγεσθαι·
ὥς τε οἱ ἐννεσίῃσι κραταιοῦ Τυδέος υἱὸς
ἑσπομένου Ὀδυσῆος ὑπὲρ μέγα τεῖχος ὀρούσας
Ἀλκαθόῳ στονόεντα φέρειν ἤμελλεν ὄλεθρον,
ἁρπάξας ἐθέλουσαν ἐΰφρονα Τριτογένειαν,
ἥ τ' ἔρυμα πτολιός τε καὶ αὐτῶν ἔπλετο Τρώων·
οὐδὲ γὰρ οὐδὲ θεῶν τις ἀπειρέσιον χαλεπήνας
ἔσθενεν ὄλβιον ἄστυ διαπραθέειν Πριάμοιο,
ἀθανάτης ἔντοσθεν ἀκηδέος ἐμβεβαυίης·
οὐδέ οἱ ἄμβροτον εἶδος ἐτεκτήναντο σιδήρῳ
ἀνέρες, ἀλλά μιν αὐτὸς ἀπ' Οὐλύμποιο Κρονίων
κάββαλεν ἐς Πριάμοιο πολυχρύσοιο πόληα.
Καὶ τὰ μὲν ὣς ὀάριζε Διὸς δάμαρ ἀμφιπόλοισιν,
ἄλλα δὲ πολλ' ἐπὶ τοῖσι. Πάριν δ' ἄρα θυμὸς ἐν Ἴδῃ
κάλλιπεν, οὐδ' Ἑλένη μιν ἐσέδρακε νοστήσαντα.
Ἀμφὶ δέ μιν Νύμφαι μέγ' ἐκώκυον, οὕνεκ' ἄρ' αὐτοῦ
εἰσέτι που μέμνηντο κατὰ φρένας, ὅσσα πάροιθεν
ἐξέτι νηπιάχοιο συναγρομένῃς ὀάριζε·
σὺν δέ σφι μύροντο βοῶν θοοὶ ἀγροιῶται
ἀχνύμενοι κατὰ θυμόν· ἐπεστενάχοντο δὲ βῆσσαι.
Καὶ τότε δὴ Πριάμοιο πολυτλήτοιο γυναικὶ
δεινὸν Ἀλεξάνδροιο μόρον φάτο βουκόλος ἀνήρ·
τῆς δ' ἄφαρ, ὡς ἐσάκουσε, τρόμῳ περιπάλλετο θυμός,
γυῖα δ' ὑπεκλάσθησαν· ἔπος δ' ὀλοφύρατο τοῖον·
Ὤλεό μοι, φίλε τέκνον· ἐμοὶ δ' ἐπὶ πένθεϊ πένθος
κάλλιπες αἰὲν ἄφυκτον, ἐπεὶ πολὺ φέρτατος ἄλλων
παίδων ἔσκες ἐμεῖο μεθ' Ἕκτορα· τῷ νύ σε λυγρὴ
κλαύσομαι, εἰσόκε μοι κραδίῃ ἔνι πάλλεται ἦτορ·
οὐ γὰρ ἄνευ μακάρων τάδε πάσχομεν, ἀλλά τις Αἶσα
μήδετο λοίγια ἔργα, τὰ μὴ ὄφελον ἐνόησα,
ἀλλ' ἔθανον τοπάροιθεν ἐν εἰρήνῃ τε καὶ ὄλβῳ,
ἐλπομένη καὶ ἔτ' ἄλλα κακώτερα θηήσασθαι,
παῖδας μὲν κταμένους, κεραϊζομένην δὲ πόληα
καὶ πυρὶ δαιομένην Δαναῶν ὕπο καρτεροθύμων·
σύν τε νυοὺς θύγατράς τε μετὰ Τρῳῇσι καὶ ἄλλαις
ἑλκομένας ἅμα παισὶ δορυκτήτῳ ὑπ' ἀνάγκῃ.
Ὣς φάτο κωκύουσα· πόσις δέ οἱ οὔ τι πέπυστο·
ἀλλ' ὅ γὰρ Ἕκτορος ἧστο τάφῳ ἔπι δάκρυα χεύων,
οὕνεκ' ἄριστος ἔην καὶ ἐρύετο δούρατι πάτρην·
τοῦ πέρι πευκαλίμας ἀχέων φρένας οὔ τι πέπυστο.
Ἀλλ' Ἑλένη μάλα πολλὰ διηνεκέως γοόωσα,
ἄλλα μὲν ἐν Τρώεσσιν ἀΰτεεν, ἄλλα δέ οἱ κῆρ
ἐν κραδίῃ μενέαινε· φίλον δ' ἀνὰ θυμὸν ἔειπεν·
Ἆνερ, ἐμοὶ καὶ Τρωσὶ καὶ αὐτῷ τοι μέγα πῆμα,
ὤλεο λευγαλέως· ἐμὲ δ' ἐν στυγερῇ κακότητι
κάλλιπες, ἐλπομένην ὀλοώτερα πήματ' ἰδέσθαι·

quatuor enim partibus hominum permutatur vita,
quas illæ obeunt per-vices. Verum hæc quidem
ipsi Jovi curæ-sint per cœlum. Illæ autem inter-se-conte-
rebant,] ut funesta Sors consilio exitiali
destinasset Helenæ incestas nuptias conciliare
Deiphobo, atque indignationem acerbam Heleni,
et stomachum propter uxorem *istam*, utque illum filii
Græcorum] essent abreptum in excelsis montibus,
irascentem Trojanis, citas ad naves abducturi,
ut denique ejus instinctu robusti Tydei filius
comitante Ulysse super ardua mœnia irrumpens
Alcathoo flebilem allaturus esset interitum
ubi-abstraxerit non-invitam sapientem Minervam (*Miner-
væ simulacrum*,)] quæ munimentum urbis et ipsorum erat
Trojanorum.] Neque enim Deorum ullus, *licet* maxima ira
-exardescens,]valebat opulentam urbem exscindere Priami,
Dea intus curarum-experte versante;
neque ejus divinum simulacrum fabricati-fuerant ferro
viri, sed illud ipse ex Olympo Saturnius
demiserat in Priami auro-abundantis urbem.
De-his ergo ita confabulabatur Jovis uxor cum-ministris
et de-aliis pluribus insuper. Parin interim anima in Ida
destituit, nec Helena illum vidit reducem.
Ac circa illum Nymphæ valde plangebant; nam ejus
etiamnum memores-erant apud animum, quæ olim
a puero cum congregatis *ipsis* confabulatus-fuisset.
Et cum his lugebant boum celeres pastores
mœrentes ex animo, lamentisque-respondebant valles.
Et tunc Priami ærumnosi uxori
funestum Alexandri obitum nunciavit bubulcus vir:
cujus statim, ubi audivit, animus tremore concutiebatur,
membraque infracta-lababant, et in verba querula-erupit
hæc:]Occidisti mihi, care fili, mihique cumulatum luctu
luctum]reliquisti quaque-ratione inevitabilem, cum longe
præstantissimus aliorum] liberorum fueris meorum post
Hectorem. Ideo te miserrima] deplorabo, quousque mihi
in corde movebitur animus.] Nec enim sine Deum-numine
hæc patimur, sed fatum aliquod] destinavit funestos *hosce*
casus, quos utinam non cognovissem,]sed diem obiissem
ante in pace et felicitate,] metuens ne-adhuc alia graviora
spectem,] filios interfectos et devastatam urbem
ignique succensam a Danais fortissimis,
simul etiam nurus et filias inter Trojanas etiam alias
in servitutem abstractas una cum-sobole bellica necessitu-
dine.]Ita ait plorans. Maritus autem ejus nihildum rescive-
rat;] verum is ad Hectoris sedebat tumulum lacrimas fun-
dens,] quod optimus fuisset et defendisset hasta patriam:
de hoc igitur prudens mœrore-affligens cor nihildum au-
dierat.]Sed Helena magnopere sine-intermissione lamentans
alia quidem inter Trojanos exclamabat, alia vero ejus animus
in corde volvebat, dilectumque animum *sic* allocuta-est:
Mi-vir, mihi et Trojanis tibique ipsi magna pernicies,
oppetiisti-mortem acerbam meque in horrenda calamitate
reliquisti, quæ-præsagio graviora mala me-intuituram.

ὡς ὄφελόν μ' Ἅρπυιαι ἀνηρείψαντο πάροιθεν,
ὁππότε σοι ἑπόμην ὀλοῇ ὑπὸ δαίμονος αἴσῃ·
νῦν δ' ἄρα καί σοι πῆμα θεοὶ δόσαν, ἠδ' ἐμοὶ αὐτῇ
αἰνομόρῳ· πάντες δέ μ' ἀάσπετον ἐῤῥίγασι,
πάντες δ' ἐχθαίρουσιν ἐμὸν κέαρ· οὐδέ πη οἶδα
ἐκφυγέειν· εἰ γάρ κε φύγω Δαναῶν ἐς ὅμιλον,
αὐτίκ' ἀεικίσσουσιν ἐμὸν δέμας· εἰ δέ κε μίμνω,
Τρωαὶ καὶ Τρῶές με περισταδὸν ἄλλοθεν ἄλλαι
αἶψα διαῤῥαίσουσι· νέκυν δ' οὐ γαῖα καλύψει,
ἀλλὰ κύνες δάψουσι καὶ οἰωνῶν θοὰ φῦλα·
ὥς ὄφελόν μ' ἔδαμ' αἶσα πάρος τάδε πήματ' ἰδέσθαι.
Ὣς ἔφατ', οὔτι γοῶσα πόσιν τόσον, ὅσσον ἄρ' αἰνῆς
μύρετ' ἀλιτροσύνης μεμνημένη. Ἀμφὶ δὲ Τρωαὶ
ὡς κεῖνον στενάχοντο· μετὰ φρεσὶ δ' ἄλλα μενοίνων·
αἱ μὲν ὑπὲρ τοκέων μεμνημέναι, αἱ δὲ καὶ ἀνδρῶν,
αἱ δ' ἄρ' ὑπὲρ παίδων, αἱ δὲ γνωτῶν ἐριτίμων.
Οἴη δ' ἐκ θυμοῖο δαΐζετο κυδαλίμοιο
Οἰνώνη· ἀλλ' οὔτι μετὰ Τρῳῇσιν ἐοῦσα
κώκυσ', ἀλλ' ἀπάνευθεν ἐνὶ σφετέροισι μελάθροις
κεῖτο βαρυστενάχουσα παλαιοῦ λέκτρον ἀκοίτεω.
Οἵη δ' ἐν ξυλόχοισι περιτρέφεται κρύσταλλος
αἰπυτάτων ὀρέων, ἥ τ' ἄγκεα πολλὰ παλύνει
χευαμένη Ζεφύροιο καταιγίσιν· ἀμφὶ δὲ μακραὶ
ἄκριες ὑδρηλῇσι κατειβόμεναι λιβάδεσσι
σεύονθ', ἡ δὲ νάπῃσιν, ἀπειρεσίη περ ἐοῦσα,
πίδακος ἐσσυμένης κρυερὸν περιτήκεται ὕδωρ·
ὡς ἥ γ' ἀσχαλόωσα μέγα στυγερῇ ὑπ' ἀνίῃ
τήκετ', ἀκηχεμένη πόσιος πέρι κουριδίοιο·
αἰνὰ τ' ἀναστενάχουσα φίλον προσελέξατο θυμόν·
Ὤ μοι ἀτασθαλίης, ὤ μοι στυγεροῦ βιότοιο,
ἣ πόσιν ἀμφαγάπησα δυσάμμορος, ᾧ σὺν ἐώλπειν
γήραϊ τειρομένη βιότου κλυτὸν οὐδὸν ἱκέσθαι,
αἰὲν ὁμοφρονέουσα· θεοὶ δ' ἑτέρωσε βάλοντο·
ὥς μ' ὄφελον τότε Κῆρες ἀνηρείψαντο μέλαιναι,
ὁππότε νόσφιν ἔμελλον Ἀλεξάνδροιο πέλεσθαι·
ἀλλὰ καὶ εἰ ζωός μ' ἔλιπεν, μέγα τλήσομαι ἔργον,
ἀμφ' αὐτῷ θανέειν, ἐπεὶ οὔτι μοι εὔαδεν ἠώς.
Ὣς φαμένης ἐλεεινὰ κατὰ βλεφάρων ἐχέοντο
δάκρυα, κουριδίοιο δ' ἀναπλήσαντος ὄλεθρον
μνωομένη, ἅτε κηρὸς ὑπαὶ πυρὶ, τήκετο λάθρῃ·
ἅζετο γὰρ πατέρα σφὸν ἰδ' ἀμφιπόλους εὐπέπλους,
μέχρις ἐπὶ χθόνα δῖαν ἀπ' εὐρέος ὠκεανοῖο
νὺξ ἐχύθη μερόπεσσι λύσιν καμάτοιο φέρουσα.
Καί ῥα τόθ', ὑπνώοντος ἐνὶ μεγάροισι τοκῆος
καὶ δμώων, πυλεῶνας ἀναῤῥήξασα μελάθρων
ἔκθορεν, ἠΰτ' ἄελλα· φέρον δέ μιν ὠκέα γυῖα.
Ὡς δ' ὅτ' ἀν' οὔρεα πόρτιν, ἐρασσαμένην μέγα ταύρου,
θυμὸς ἐποτρύνει ποσὶ καρπαλίμοισι φέρεσθαι
ἐσσυμένως, ἡ δ' οὔτι, λιλαιομένη φιλότητος,
ταρβεῖ βουκόλον ἄνδρα, φέρει δέ μιν ἄσχετος ὁρμὴ,
εἴ που ἐνὶ ξυλόχοισιν ὁμήθεα ταῦρον ἴδοιτο·
ὣς ἥ ῥίμφα θέουσα διήνυε μακρὰ κέλευθα,
διζομένη τάχα ποσσὶ πυρῆς ἐπιβήμεναι αἰνῆς·
οὐδέ τί οἱ κάμε γούνατ'· ἐλαφρότεροι δ' ἐφέροντο

O utinam me Harpyiæ abripuissent jam-pridem,
cum te sectarer perniciali dei fato.
Nunc vero et tibi malum dii dederunt, et mihi ipsi
infortunatæ : omnes enim me magnopere detestantur
omnes aversantur meum cor, nec habeo quo
effugiam; nam si me-proripuero in Danaum frequentiam,
statim contumeliose-tractabunt corpus meum; sin mansero,] Trojades et Trojani me circumstantes alibi alii
subito discerpent, nec cadaver humus obteget,
sed canes dilaniabunt et volucrum rapidæ gentes.
Utinam vero me subegisset fatum, priusquam hæc mala
adspexissem.] Sic fata-est, non deplorans tam virum, quam gravis] lugebat memor delicti : et passim Trojanæ
quasi ob-illum gemitus-ducebant, sed mente alia versabant.
aliæ de parentibus memores, aliæ etiam de viris,
aliæ de filiis, aliæ *de* fratribus honoratissimis.
Sola autem ex animo discruciabatur generoso
Œnone, at minime inter Trojanas versans
plangebat, verum separatim in suis ædibus
jacebat, graviter-ingemiscens pristini thalamum mariti.
Quemadmodum vero in silvis obducit glacies
præcelsos montes, quæ valles copiose conspergit
effusa Zephyri procellis, et circumquaque alta
montium-juga aquosas distillantia guttas
concutiuntur : illa autem in saltibus, quamvis spississima existat,] fontis scaturientis gelida liquitur aqua :
ita hæc perturbata magnopere tristi ægritudine
liquescebat, cum-se-afflictaret ob virum, cui-virgo-nupserat,] graviterque suspirans carum alloquebatur animum :
Heu mihi ob-stultitiam! proh mihi acerbam vitam!
quæ maritum amore-complexa-sum misera, cum quo sperabam] *me* senio confectam vitæ præclarum ad limen perventuram,] perpetua concordia-fruentem : sed dii alio detorserunt.] Utinam me tunc Parcæ abripuissent nigræ,
quando futurum-erat, ab-Alexandro ut-divellerer.
Verum etiamsi vivus me repudiavit, magnum audebo facinus,] ut-propter ipsum moriar, quia non amplius mihi grata-est lux.] Ita loquentis miserabiles de palpebris effundebantur] lacrimæ, ac mariti defuncti fato
memoria-revocata, uti cera igni, liquescebat tacite,
reverebatur enim patrem suum et ancillas decore-vestitas
donec super terram almam a lato Oceano
nox diffusa-esset, mortalibus relaxationem laboris afferens.
Tunc ergo, dormientibus in aula patre
ac famulis, foribus perruptis domus
exsiluit, procellæ instar, et abripuerunt eam cita membra.
Ut cum in montibus juvencam correptam-amore tauri
animus exstimulat, pedibus rapidis ut-feratur
concitato, hæc nihil præ desiderio coitus
metuit bubulcum virum, sed aufert eam non-restringendus impetus,] sicubi in saltu familiarem taurum conspiciat :
sic illa raptim currens perfecit longum iter,
cupiens confestim pedibus rogum conscendere funestum
Nec ei deficiebant genua, sed levitate-subinde-majori fere-

ἐσσυμένως πόδες αἰέν· ἔπειγε γὰρ οὐλομένη Κὴρ
καὶ Κύπρις· οὐδέ τι θῆρας ἐδείδιε λαχνήεντας
ἀντομένη ὑπὸ νύκτα, πάρος μέγα πεφρικυῖα·
πᾶσα δέ οἱ λασίων ὀρέων ἐστείβετο πέτρη,
καὶ κρημνοί, πᾶσαι δὲ διεπρήσσοντο χαράδραι.
Τὴν δέ που εἰσορόωσα τόθ' ὑψόθι δῖα Σελήνη,
μνησαμένη κατὰ θυμὸν ἀμύμονος Ἐνδυμίωνος,
πολλὰ μάλ' ἐσσυμένην ὀλοφύρατο· καί οἱ ὕπερθε
λαμπρὸν παμφαίνουσα μακρὰς ἀνέφαινε κελεύθους.
Ἵκετο δ' ἐμβεβαυῖα δι' οὔρεος, ἧχι καὶ ἄλλαι
νύμφαι Ἀλεξάνδροιο νεκρὸν πέρι κωκύεσκον.
Τὸν δ' ἔτι που κρατερὸν πῦρ ἄμφεχεν, οὕνεκ' ἄρ' αὐτῷ
μηλονόμοι ξυνιόντες ἀπ' οὔρεος ἄλλοθεν ἄλλοι
ὕλην θεσπεσίην παρενήνεον, ἦρα φέροντες
ὑστάτιον καὶ πένθος ὁμῶς ἑτάρῳ καὶ ἄνακτι,
κλαίοντες μάλα πολλὰ περισταδόν. Ἡ δέ μιν οὔτι,
ἀμφαδὸν ὡς ἄθρησε, γοήσατο τειρομένη περ,
ἀλλὰ καλυψαμένη πέρι φάρεϊ καλὰ πρόσωπα,
αἶψα πυρῇ ἐνέπαλτο· γόον δ' ἄρα πουλὺν ὄρινε·
καίετο δ' ἀμφὶ πόσει· Νύμφαι δέ μιν ἄλλοθεν ἄλλαι
θάμβεον, εὖτ' ἐσίδοντο μετ' ἀνέρι πεπτηυῖαν·
καί τις ἑὸν κατὰ θυμὸν ἔπος ποτὶ τοῖον ἔειπεν·
Ἀτρεκέως Πάρις ἦεν ἀτάσθαλος, ὃς μάλα κεδνὴν
κάλλιπε κουριδίην καὶ ἀνήγαγε μάργον ἄκοιτιν,
οἷ αὐτῷ καὶ Τρωσὶ καὶ ἄστεϊ λοίγιον ἄλγος·
νήπιος· οὐδ' ἀλόχοιο περίφρονος ἅζετο θυμὸν
τειρομένης, ἥπερ μιν ὑπὲρ φάος ἠελίοιο,
καίπερ ἀπεχθαίροντα καὶ οὐ φιλέοντα, τίεσκεν.
Ὣς ἄρ' ἔφη Νύμφη τις ἀνὰ φρένας· οἱ δ' ἐνὶ μέσσῃ
πυρκαϊῇ καίοντο λελασμένοι ἠριγενείης·
ἀμφὶ δὲ βουκόλοι ἄνδρες ἐθάμβεον, εὖτε πάροιθεν
Ἀργεῖοι θάμβησαν ἀολλέες, ἀθρήσαντες
Εὐάδνην Καπανῆος, ἐπεχχυμένην μελέεσσιν
ἀμφὶ πόσιν δμηθέντα Διὸς στονόεντι κεραυνῷ.
Ἀλλ' ὅτε δ' ἀμφοτέρους ὀλοὴ πυρὸς ἤνυσε ῥιπή,
Οἰνώνην τε Πάριν τε, μιῇ δ' ὑποκάββαλε τέφρῃ,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν· ὀστέα δ' αὐτῶν
χρυσέῳ ἐν κρητῆρι θέσαν· περὶ δέ σφισι σῆμα
ἐσσυμένως τεύξαντο· θέσαν δ' ἄρα δοιὼ ὕπερθεν
στήλας, αἵπερ ἔασι τετραμμέναι ἄλλυδις ἄλλη.

bantur] quam-ocyssime pedes. Urgebat enim exitialis Parca] et Venus. At nec feras timebat hirsutas obviam-facta *illis* sub noctem, antea multum *eas* exhorrescens :]omnis vero ipsi densorum montium calcabatur scopulus] et fossæ omnesque penetrabantur cavernæ.
Hanc ubi-intuita-est ex alto divina Luna,
memor apud animum honesti Endymionis
magna festinantem miseratione-prosecuta-est, eique desuper] splendide affulgens longas ostendit vias.
Venit autem progressa per montem *eo*, ubi etiam aliæ nymphæ Alexandri circa cadaver plorabant.
Hunc autem jam rapidus ignis cinxerat, quia ipsi opiliones congregati e monte aliunde alii lignorum-struem incredibilem aggesserant, officium exhibentes] postremum et luctum sodali simul et principi, ac-plorabant magnopere circumstantes. Illa vero eum minime,] coram ubi vidit, deploravit quamlibet afflicta :
sed involuta pallio decora facie
subito in pyram se-conjecit, luctumque excitavit magnum, et conflagravit juxta maritum. Nymphæ autem alibi aliæ stupuerunt, quando *illam* viderunt cum viro mortem-oppetere,] nec deerat-quæ suum animum verbis his compellaret.] Profecto Paris erat insanus, qui honestissimam repudiavit uxorem et duxit luxu-perditam pellicem,
sibimet et Trojanis et urbi pestilentem cruciatum.
Fatuus! nec conjugis cordatæ respexit affectionem in-ærumnis : quæ illum plus-quam lucem solis, quamvis odisset *ipsam*, non amaret, colebat.

Sic loquebatur Nympha aliqua intra animum. Illi interim in medio] rogo cremabantur obliti auroræ.
Et circumquaque armentarii viri mirabantur, ut olim Argivi demirati-sunt catervatim, ubi cernerent Euadnen Capanei *uxorem* prostratam membris juxta maritum ictum Jovis luctifico fulmine.
Cæterum ubi utrumque rapidus ignis consumpsit æstus, Œnonen simul et Parin, et in unum redegit cinerem :
tandem pyram vino restinxerunt, et ossa eorum aureo in cratere condiderunt, circumque illa monimentum continuo eduxerunt et superimposuerunt duas columnas, quæ sunt conversæ in-alteram-partem altera.

ΛΟΓΟΣ ΙΑ.

Τρωαὶ δὲ στενάχοντο κατὰ πτόλιν, οὐδ' ἐδύναντο
ἐλθέμεναι ποτὶ τύμβον, ἐπεὶ μάλα τηλόθ' ἔκειτο
ἄστεος αἰπεινοῖο· νέοι δ' ἔκτοσθε πόληος
νωλεμέως πονέοντο· μάχη δ' οὐ λῆγε πόνοιο,
καίπερ Ἀλεξάνδροιο δεδουπότος, οὕνεκ' Ἀχαιοὶ
Τρωσὶν ἐπεσσεύοντο ποτὶ πτόλιν, οἱ δὲ καὶ αὐτοὶ
τείχεος ἤϊον ἐκτός, ἐπεί σφεας ἦγεν ἀνάγκη·
ἐν γὰρ δὴ μέσσοισιν Ἔρις στονόεσσά τ' Ἐνυὼ
στρωφῶντ', ἀργαλέῃσιν Ἐριννύσιν εἴκελαι ἄντην,
ἄμφω ἀπὸ στομάτων ὀλοὸν πνείουσαι ὄλεθρον·

LIBER XI.

Trojanæ autem suspiria-ducebant per urbem, nec poterant] venire ad tumulum, cum nimis procul situs-esset ab-urbe celsa ; juvenesque extra urbem continenter in-opere-erant. Pugna enim non finem-habebat laboris,] quamvis Alexandro exstincto, cum Achivi Trojanos invaderent prope urbem, et hi etiam ipsi e mœnibus erumperent, quoniam eos urgebat necessitas : in medio igitur-eorum Contentio et tristisonans Bellona versabantur, sævis Furiis plane assimiles,
ambæ e faucibus funestam spirantes necem,

ἀμφ' αὐτῇσι δὲ Κῆρες ἀναιδέα θυμὸν ἔχουσαι
ἀργαλέως μαίνοντο· Φόβος δ' ἑτέρωθε καὶ Ἄρης
λαοὺς ὀτρύνεσκον· ἐφέσπετο δέ σφισι Δεῖμος
φοινήεντι λύθρῳ πεπαλαγμένος, ὄφρα ἑ φῶτες
οἱ μὲν καρτύνωνται δρώμενοι, οἱ δὲ φέβωνται.
Πάντῃ δ' αἰγανέαι τε καὶ ἔγχεα καὶ βέλε' ἀνδρῶν
ἄλλυδις ἄλλα χέοντο, κακοῦ μεμαῶτα φόνοιο·
ἀμφὶ δ' ἄρα σφίσι δοῦπος ἐρειδομένοισιν ὀρώρει
μαρναμένων ἑκάτερθε κατὰ φθισήνορα χάρμην.
Ἔνθ' ἄρα Λαοδάμαντα Νεοπτόλεμος κατέπεφνε·
ὃς τράφη ἐν Λυκίῃ Ξάνθου παρὰ καλὰ ῥέεθρα,
ὅν ποτ' ἐριγδούποιο Διὸς δάμαρ ἀνθρώποισι
Λητὼ δῖ' ἀνέφηνεν, ἀναρρήξασα χέρεσσι
τρηχὺ πέδον Λυκίης ἐρικυδέος, ὁππόθ' ἑοῖο
δάμναθ' ὑπ' ὠδίνεσσι πολυτλήτησιν ἀνίης
θεσπεσίου τοκετοῖο, ὅσην ὠδῖνες ἔγειρον.
Τῷ δ' ἐπὶ Νῖρον ὄλεσσε βαλὼν ἀνὰ δηϊοτῆτα
δουρὶ διὰ γναθμοῖο· πέρησε δ' ἀνὰ στόμα χαλκὸς
γλῶσσαν ἔτ' αὐδήεσσαν· ὁ δ' ἔγχεος ἄσχετον αἰχμὴν
ἄμπεχε βεβρυχώς· περὶ δ' ἔρρεεν αἷμα γένυσσι
φθεγγομένου· καὶ τὸν μὲν ὑπὸ κρατερῇ χερὸς ἀλκῇ
ἐγχείη στονόεσσα ποτὶ χθονὸς οὖδας ἔρεισε
δευόμενον θυμοῖο· βάλεν δ' Εὐήνορα δῖον
τυτθὸν ὑπαὶ λαπάρην, διὰ δ' ἤλασεν ἐς μέσον ἧπαρ
αἰχμήν· τῷ δ' ἀλεγεινὸς ἄφαρ συνέκυρσεν ὄλεθρος.
Εἷλε δ' ἄρ' Ἰφιτίωνα, καὶ Ἱππομέδοντα δάμασσε
Μαινάλου ὄβριμον υἷα, τὸν Ὠκυρόη τέκε Νύμφη
Σαγγαρίου ποταμοῖο παρὰ ῥόον· οὐδέ νυ τόν γε
δέξατο νοστήσαντα· κακαὶ δέ ἑ Κῆρες ἄμερσαν
παιδὸς ἀνιηρῶς· μέγα δ' υἱέος ἔλλαβε πένθος.
Αἰνείας δὲ Βρέμοντα καὶ Ἀνδρόμαχον κατέπεφνεν,
ὃς τράφη ἐν Κνωσσῷ, ὁ δ' ἄρα ζαθέῃ ἐνὶ Λύκτῳ·
ἄμφω δ' εἰς ἕνα χῶρον ἀπ' ὠκυπόδων πέσον ἵππων·
καί ῥ' ὁ μὲν ἀσπαίρεσκε πεπαρμένος ἔγχεϊ μακρῷ
λαιμόν· ὁ δ' ἀλγινόεντος ἀνὰ κροτάφοιο θέμεθλα
χερμαδίῳ στονόεντι μάλα κρατερῆς ἀπὸ χειρὸς
βλήμενος ἐκπνείεσκε, μέλας δέ μιν ἄμπεχε πότμος·
ἵπποι δ' ἐπτοίηντο, καὶ ἡνιόχων ἀπάνευθε
φεύγοντες πολλοῖσιν ἐνεπλάζοντο νέκυσσι·
καὶ τοὺς μὲν θεράποντες ἀμύμονος Αἰνείαο
μάρψαντες κεχάροντο φίλῃ περὶ ληΐδι θυμόν.
Ἔνθα Φιλοκτήτης ὀλοῷ βάλε Πείρασον ἰῷ
φεύγοντ' ἐκ πολέμοιο· διέθρισε δ' ἀγκύλα νεῦρα
γούνατος ἐξόπιθεν· κατὰ δ' ἔκλασεν ἀνέρος ὁρμήν.
Καὶ τὸν μὲν Δαναῶν τις ὅτ' ἔδρακε γυιωθέντα,
ἐσσυμένως ἀπάμερσε καρήατος ἄορι τύψας
ἀλγινόεντα τένοντ'· ὀλοὴ δ' ὑπεδέξατο γαῖα
σῶμα· κάρη δ' ἀπάτερθε κυλινδομένη πεφόρητο
φωνῆς ἱεμένοιο, ταχὺς δ' ἄμ' ἀπέπτατο θυμός.
Πουλυδάμας δὲ Κλέωνα καὶ Εὐρύμαχον βάλε δουρὶ,
οἳ Σύμηθεν ἵκανον ὑπαὶ Νιρῆϊ ἄνακτι,
ἄμφω ἐπιστάμενοι δόλον ἰχθύσι μητίσασθαι
αἰνοῦ ὑπ' ἀγκίστροιο, βαλεῖν δέ τε εἰς ἅλα δῖαν
δίκτυα καὶ παλάμῃσι περιφραδέως ἀπὸ νηὸς

et juxta eas Deæ-letales, impudentem animum præferentes
atrociter bacchabantur. Terror vero aliunde et Mars
cohortes exstimulabant, et comitabatur ipsos Timor
cruento tabo pollutus, ut milites
partim vires-colligant eum videntes, partim in-fugam
agantur.] Tum quaquaversum jacula et hastæ telaque viro-
rum] huc illuc spargebantur, diræ percupida stragis,
et circum illos fragor connitentes oriebatur
contendentium utrinque in exitiali pugna.
Ibi Laodamantem Neoptolemus interfecit,
qui educatus-erat in Lycia Xanthi juxta amœna fluenta:
quem olim grandisoni Jovis uxor hominibus,
Latona diva, produxit dirumpens manibus *suis*
asperum solum Lyciæ celebris, cum sui
premeretur doloribus laboriosis ægritudinis
divini partus, quantam parturientis-dolores excitabant.
Post hunc Nirum exitio-dedit sauciatum in conflictu
hasta per mandibulam, adeo-ut penetraret in ore ferrum
linguam adhuc loquentem. Tum ipse hastæ rapidam cu-
spidem] impactam-gerebat frendens, et manabat sanguis
circum genas] loquentis; et hunc quidem strenua manus vi
hasta tristis ad terræ solum affixit,
destitutum vita. Sed percussit Euenora generosum
paulum infra ilia, et adegit in medium hepar
hastam; cui dolendus mox contigit interitus.
Stravit etiam Iphitionem, et Hippomedonta necavit,
Mænali fortem filium, quem Ocyrhoe enixa-est nympha
ad Sangarii amnis decursum, nec eum
suscepit reducem, sed infestæ ipsam Parcæ orbarunt
filio crudeliter, gravemque de nato concepit luctum.
Porro Æneas Bremontem et Andromachum occidit;
hic nutritus-erat in Gnoso, ille sacra in Lycto;
amboque in unum locum ex velocibus deciderunt equis,
atque unus palpitabat transfixus hasta longa
jugulum, alter circa doloribus-obnoxiorum temporum fun-
damenta] saxo tristi valde valida ex manu *eliso*
ictus animam-exhalabat, nigraque eum amplectebatur
mors:] equi autem consternati-erant, aurigisque excussis
fugientes in multis errabant cadaveribus:
quos famuli præstantis Æneæ
cum-arripuissent, gaudebant dulcem ob prædam ex-animo.
Ibi Philoctetes exitiali percussit Pirasum jaculo
fugientem ex acie, et disrupit curvatiles nervos,
poplitis in-posteriori-parte, ac fregit hominis impetum.
Atqui hunc Danaum quispiam ut vidit mutilatum,
statim privavit capite ense feriens
in tristes cervicis-nervos, funestaque suscepit tellus
truncum, caput vero procul devolutum ferebatur
loqui *adhuc* gestientis, et celer una avolabat animus.
Hinc Polydamas Cleonem et Eurymachum trajecit hasta,
qui ex-Syma venerant sub Nireo principe,
ambo docti insidias piscibus struere
exitiali hamo, et demittere in mare sacrum
retia et manibus scitis de navi

ἰθὺ καὶ αἶψα τρίαιναν ἐπ' ἰχθύσι νωμήσασθαι·
ἀλλ' οὔ σφιν τότε πῆμα θαλάσσια ἤρκεσεν ἔργα.
Εὐρύπυλος δὲ μενεπτόλεμος βάλε φαίδιμον Ἕλλον,
τόν ῥα παραὶ λίμνῃ Γυγαίῃ γείνατο μήτηρ
Κλειτὼ καλλιπάρῃος· ὁ δ' ἐν κονίῃσι τανύσθη
πρηνής· τοῦ δ' ἀπάτερθεν ὁμῶς δορὶ κάππεσε μακρῷ
ὤμου ἀπὸ βριαροῖο κεκομμένη ἄορι λυγρῷ
χείρ, ἔτι μαιμώωσα ποτὶ κλόνον ἔγχος ἀεῖραι
μαψιδίως· οὐ γάρ μιν ἀνὴρ εἰς ἔργον ἐνώμα,
ἀλλ' αὔτως ἤσπαιρεν, ἅτε βλοσυροῖο δράκοντος
οὐρὴ ἀποτμηθεῖσ' ἀναπάλλεται, οὐδέ οἱ ἀλκὴ
ἕσπεται ἐς πόνον αἰπὺν, ἵνα χραύσαντα δαΐξῃ·
ὣς ἄρα δεξιτερὴ κρατερόφρονος ἀνδρὸς ἐς αἰχμὴν
ὥρμαινεν πονέεσθαι· ἀτὰρ μένος οὐκέτ' ὀπήδει.
Αὐτὰρ Ὀδυσσεὺς Αἶνον ἐνήρατο καὶ Πολύϊνδον,
ἄμφω Κητείους· τὸν δούρατι, τὸν δ' ἀλεγεινῷ
ἄορι δῃώσας. Σθένελος δ' ἕλε δῖον Ἄβαντα
αἰγανέην προϊείς· ἡ δ' ἀσφαράγοιο διαπρὸ
ἐσσυμένη ἀλεγεινὸν ἐς ἰνίου ἦλθε τένοντα·
λῦσε δ' ἄρ' ἀνέρος ἦτορ· ὑπέκλασε δ' ἅψεα πάντα.
Τυδείδης δ' ἕλε Λαοδόκον, Μελιόν τ' Ἀγαμέμνων·
Δηΐφοβος δὲ Δρύαντα καὶ Ἄλκιμον· αὐτὰρ Ἀγήνωρ
Ἵππασον ἐξενάριξεν, ἀγακλειτόν περ ἐόντα,
ὅς ῥ' ἀπὸ Πηνειοῦ ποταμοῦ κίεν· οὐδ' ἐρατεινὰ
θρέπτα τοκεῦσιν ἔδωκεν, ἐπεί ῥά νιν ἔκλασε δαίμων.
Ἔνθα Θόας ἐδάμασσε Λάλον καὶ ἀγήνορα Λύγκον,
Μηριόνης δὲ Λυκῶνα καὶ Ἀρχέλοχον Μενέλαος,
ὅς ῥά τε Κωρυκίην ὑπὸ δειράδα ναιετάασκεν
πέτρην θ' Ἡφαίστοιο περίφρονος, ἥ τε βροτοῖσι
θαῦμα πέλει· δὴ γάρ μιν ἐναίθεται ἀκάματον πῦρ,
ἄσβεστον νυκτός τε καὶ ἤματος· ἀμφὶ δ' ἄρ' αὐτῷ
φοίνικες θαλέουσι, φέρουσι δ' ἀπείρονα καρπὸν,
ῥίζης καιομένης ἅμα λάεσιν· ἀλλὰ τὸ μέν που
ἀθάνατοι τεύξαντο καὶ ἐσσομένοισιν ἰδέσθαι.
Τεῦκρος δ' Ἱππομέδοντος ἀμύμονος υἷα Μενοίτην
ἐσσυμένως ὥρμαινε βαλεῖν ἐπιόντα βελέμνῳ·
καί ῥα νόῳ καὶ χερσὶ καὶ ὄμμασιν ἰθύνεσκεν
ἰὸν ἀπὸ γναμπτοῖο κεράατος· ὃς δ' ἀλεγεινὸς
ἅλτο θοῆς ἀπὸ χειρὸς ἐς ἀνέρα· τοῦ δ' ἀπὸ νευρὴ
εἰσέτι που κανάχιζεν· ὁ δ' ἀντίον ἀσπαίρεσκεν
βλήμενος, οὕνεκα Κῆρες ὁμῶς φορέοντο βελέμνῳ
καίριον εἰς κραδίην, ὅθι περ νόος ἕζεται ἀνδρῶν
καὶ μένος, ὀτραλέαι δὲ ποτὶ μόρον εἰσὶ κέλευθοι·
Εὐρύαλος δ' ἄρα πολλὸν ἀπὸ στιβαρῆς βάλε χειρὸς
λᾶα μέγαν, Τρώων δὲ θοὰς ἐλέλιξε φάλαγγας·
Ὡς δ' ὅτε τις γεράνοισι τανυφθόγγοισι χολωθεὶς
οὖρος ἀνὴρ πεδίοιο μέγ' ἀσχαλόων ἐπορούσῃ,
δινήσας περὶ κρατὶ θοῶς μάλα νεῦρα βόεια,
λᾶα βάλῃ κατέναντα, διασκεδάσῃ δ' ὑπὸ ῥοίζῳ
ἠέρι πεπταμένας δολιχὰς στίχας, αἱ δὲ φέβονται,
ἄλλη δ' εἰς ἑτέρην εἰλεύμεναι ἀΐσσουσι
κλαγγηδὸν μάλα πάγχυ, πάρος κατὰ κόσμον ἰοῦσαι·
ὣς ἄρα δυσμενέες φοβερὸν βέλος ἀμφεφόβηθεν
ὀβρίμου Εὐρυάλοιο· τὸ δ' οὐχ ἅλιον φέρε δαίμων,

directe et expedite tridentem in pisces vibrare :
verum non eis tunc pernitiem maritimæ averterunt res.
Eurypylus autem bellax confecit insignem Hellum,
quem prope paludem Gygæam peperit mater
Clito pulcris-genis : is igitur in pulverem extensus-fuit
prono-corpore, et ab eo procul cum hasta decidit longa
ex humero valido abscissa gladio tristi
manus, etiamnum cupiens ad conflictum lanceam attollere,
sed frustra, non enim *amplius* illam vir ad opus dirigebat,
sed incassum palpitavit, ceu sævi draconis
cauda resecta subsilit, neque eam vires
sequuntur ad certamen arduum, quo sauciatorem pungat :
sic etiam dextra fortis viri ad hastam
tendebat pugnatura, sed vis non amplius comitabatur.
Cæterum Ulysses Ænum sustulit et Polyindum,
ambos Cetæos, illum hasta, hunc dolorifico
ense confodiens. Sthenelus autem necavit egregium Abantem] pilum ejaculatus, quod penitus-per guttur
adactum letaliter in occipitis pervenit nervum,
et dissolvit viri cor infregitque membra omnia.
Tum Tydides prostravit Laodocum, Meliumque Agamemnon,] Deiphobusque Dryantem et Alcimum. Atque
Agenor] Hippaso spolia-detraxit, quamlibet nobili,
qui a Peneo fluvio advenerat, nec amabilem
nutricationis-mercedem parentibus rependit, quando eum
fregit sors.] Ibi Thoas superavit Lalum et fortem Lyncum,
Merionesque Lyconem et Archelochum Menelaus,
qui Corycio sub vertice habitabat
et rupe Vulcani solertis, quæ mortalibus
admirationi est : hanc enim inurit perennis flamma,
inextincta tam diu quam noctu, et circa ipsam
palmæ florent feruntque uberem fructum,
radice *licet* ardente cum saxis : sed hoc ita
dii fecerunt etiam posteris spectandum.
Teucer porro Hippomedontis egregii filium Menœten
impetuosius invectum constituit ferire telo;
mente igitur et manibus oculisque direxit
sagittam a flexibili cornu : quæ cruciatus-plena
exsiluit e cita manu in virum; ejusque chorda
adhuc stridebat, cum ille e-regione palpitaret
ictus; nam Parcæ una ferebantur cum-jaculo
ad morti-obnoxium cor, ubi mens sedet hominum
et *vitale* robur, maturæque ad mortem sunt viæ.
Adhæc Euryalus ex prævalida emisit manu
saxum immane, et Troum celeres loco-dimovit phalanges.
Ut cum quispiam gruibus querulis iratus
vir custos arvorum magna indignatione *eas* invadit,
rotansque circum caput rapidissime nervos bubulos (*fundam*,)] lapidem mittit obviam, et dissipat cum-stridore
per-aera volitantes longos ordines; hæ autem fugiunt,
atque aliæ inter alias implicitæ feruntur
clangore maximo, cum-prius bono ordine incederent :
sic etiam hostes formidabile jaculum expaverunt
validi Euryali, neque hoc incassum tulit Deus,

ἀλλ' ἄρα σὺν πήληκι κάρη κρατεροῖο Μέλητος
θλάσσε περὶ πληγῇσι· μόρος δ' ἐκίχανεν ἀρητός.
Ἄλλος δ' ἄλλον ἔπεφνε, περιστεναχίζετο δ' αἶα.
Ὡς δ' ὅτ' ἐπιβρίσαντος ἀπειρεσίου ἀνέμοιο
λάβρον, ὑπὸ ῥιπῆς βαρυηχέος ἄλλυδις ἄλλα
δένδρεα μακρὰ πέσῃσιν ὑπὲκ ῥιζῶν ἐριπόντα
ἄλσεος εὐπεδίοιο, βρέμει δέ τε πᾶσα περὶ χθών·
ὣς οἵγ' ἐν κονίῃσι πέσον· κανάχησε δὲ τεύχη
ἄσπετον, ἀμφὶ δὲ γαῖα μέγ' ἔβραχεν· οἱ δὲ κυδοιμοῦ
ἀργαλέου μνώοντο, μετὰ σφίσι πῆμα τιθέντες.
Καὶ τότ' ἄρ' Αἰνείαο μόλε σχεδὸν ἠῢς Ἀπόλλων
ἠδ' Ἀντηνορίδαο δαΐφρονος Εὐρυμάχοιο·
οἱ γὰρ δὴ μάρναντο πολυσθενέεσσιν Ἀχαιοῖς,
ἄγχι μάλ' ἑσταότες κατὰ φύλοπιν, εὖθ' ὑπ' ἀπήνῃ
δοιοὶ ὁμηλικίῃ κρατεροὶ βόες, οὐδ' ἀπέληγον
ὑσμίνης· τοῖς δ' αἶψα θεὸς ποτὶ μῦθον ἔειπεν,
μάντεϊ εἰδόμενος Πολυμήστορι, τόν ποτε μήτηρ
γείνατ' ἐπὶ Ξάνθοιο ῥοῇς, θεράπονθ' Ἑκάτοιο·
Εὐρύμαχ' Αἰνεία τε, θεῶν γένος, οὔτι ἔοικεν
ὑμέας Ἀργείοισιν ὑπεικέμεν· οὐδὲ γὰρ αὐτὸς
ὔμμιν ὑπαντιάσας κεχαρήσεται ὄβριμος Ἄρης,
ἢν ἐθέλητε μάχεσθαι ἀνὰ κλόνον· οὕνεκα Μοῖραι
μακρὸν ἐπ' ἀμφοτέροισι βίου τέλος ἐκλώσαντο.
Ὣς εἰπὼν ἀνέμοισι μίγη καὶ ἄϊστος ἐτύχθη·
οἱ δὲ νόῳ φράσσαντο θεοῦ μένος· αἶψα δ' ἄρ' αὐτοῖς
θάρσος ἀπειρέσιον κατεχεύετο· μαίνετο δέ σφι
θυμὸς ἐνὶ στήθεσσι, καὶ ἔνθορον Ἀργείοισιν,
ἀργαλέοις σφήκεσσιν ἐοικότες, οἵ τ' ἀλεγεινὸν
ἐκ θυμοῦ κοτέοντες ἐπιβρίσωσι μελίσσαις,
εὖτε περὶ σταφυλῆς αὐανομένης ἐν ὀπώρῃ
ἐρχομένας ἐσίδωσιν ἢ ἐκ σίμβλοιο θορούσας·
ὣς ἄρα Τρώϊοι υἷες ἐϋπτολέμοισιν Ἀχαιοῖς
ἔνθορον ἐσσυμένως· κεχάροντο δὲ Κῆρες ἐρεμναὶ
μαρναμένων, ἐγέλασσε δ' Ἄρης, ἰάχησε δ' Ἐνυὼ
σμερδαλέον· μέγα δέ σφιν ἐπέβραχεν αἰόλα τεύχη·
οἱ δ' ἄρα δυσμενέων ἀπερείσια φῦλα δάϊζον
χερσὶν ἀμαιμακέτῃσι· κατηρείποντο δὲ λαοὶ
αὔτως, ἠΰτ' ἄμαλλα θέρευς δυσθαλπέος ὥρῃ,
ἥν ῥά τ' ἐπισπέρχωσι θοοὶ χέρας ἀμητῆρες,
δασσάμενοι κατ' ἄρουραν ἀπείρονα μακρὰ πέλεθρα·
ὣς ἄρα τῶν ὑπὸ χερσὶ κατηρείποντο φάλαγγες
μυρίαι· ἀμφὶ δὲ γαῖα νεκρῶν περιπεπληθυῖα
αἵματι πλημμύρεσκεν· Ἔρις δ' ἰαίνετο θυμῷ
ὀλλυμένων. Οἱ δ' οὔτι κακοῦ παύοντο μόθοιο,
ἀλλ' ἅτε μῆλα λέοντες ἐπήϊον· οἱ δ' ἄρα φύζης
λευγαλέης μνώοντο· καὶ ἐξ ὀλοοῦ πολέμοιο
φεῦγον, ὅσοις ἀδάϊκτον ἔτι σθένος ἐν ποσὶ κεῖτο.
Υἱὸς δ' Ἀγχίσαο δαΐφρονος αἰὲν ὀπήδει
δυσμενέων μετόπισθεν ὑπ' ἔγχεϊ νῶτα δαΐζων,
Εὐρύμαχος δ' ἑτέρωθεν· ἰαίνετο δ' ἄμβροτον ἦτορ
ὑψόθεν εἰσορόωντος ἰηΐου Ἀπόλλωνος.
Ὡς δ' ὅτε τις σιάλοισιν ἀνὴρ ἐς λήϊον αὖον
ἐρχομένοις, πρὶν ἀμάλλαν ὑπ' ἀμητῆρσι δαμῆναι,
ἀντί' ἐπισσεύῃ κρατεροὺς κύνας, οἱ δ' ὁρόωντες

sed una cum casside caput fortis Meletis
comminuit plaga; et fatum *eum* comprehendit detestabile.
Alius autem alium trucidavit, unde circum-ingemuit tellus.] Ut *fit*, quando ingravescente valido vento
tempestuose, impetu horrisono alibi aliæ
arbores longæ prosternuntur, radicitus erutæ
in luco fertili, unde fremit omnis circum regio:
ita hi in pulvere sternebantur, et crepitabant arma
immaniter, et undique terra magnum fragorem-reddebat:
alii autem pugnæ]operosæ intenti-erant, mutuas-sibi clades
inferentes.]Et tunc ad Æneam prope accessit mitis Apollo
et ad Antenoris-natum bellicosum Eurymachum;
hi enim dimicabant prævalidis cum-Achivis,
valde cominus stantes in acie, velut ante plaustrum
duo ejusdem-ætatis robusti boves, nec remittebant-quicquam] de-pugna. Quos statim deus *hoc* sermone compellavit,] auguris faciem-indutus Polymestoris, quem olim
mater] edidit ad Xanthi undas, ministrum Phœbi:
Eurymache Æneaque, Deum genus, nullo-modo par-est
vos Argivis cedere. Nec enim ipse
vobis occurrens gaudebit præpotens Mars,
si vobis-libeat pugnare in acie, quia Parcæ
longum utrique vitæ terminum agglomerarunt.
Hæc fatus ventis se-commiscuit nec amplius conspectus
est:]at illi mente *sua* deprehenderunt Dei potentiam; nam
derepente ipsis] fiducia immensa infundebatur, furoremque-concepit eorum] animus in pectore, atque exiluerunt
in Argivos,] acribus vespis non-absimiles, quæ tristifica
ex animo ira-percitæ invadunt apes,
quando circum uvas siccescentes autumno
volitare vident aut ex alveolis erumpere:
non-secus Troum nati bello-spectatos in-Achivos
invecti-sunt cum-impetu. Lætabantur autem Parcæ nigræ
pugnantibus *iis*, ridebatque Mars, et clamabat Bellona
horrificum: magnum insuper illorum strepitum-excitabant
varia arma:]ibi ergo hostium innumeras catervas perruperunt] manibus invictis, et profligati-sunt milites
non-aliter, quam seges æstatis fervidæ tempore,
quam gnaviter-obeunt impigris manibus messores
partiti-inter-se per arvum late-patens longa jugera:
sic illorum manibus fundebantur phalanges
infinitæ, adeo-ut terra cadaveribus obsita-undique
sanguine inundaret. Contentio igitur gaudium-concepit
animo]ex-illorum-interitu. Hi tamen infestam non intermittebant pugnam,] sed, ut oves leones, *Græcos* invadebant,
qui fugam]tristem circumspectabant, et ex funesto prœlio
se-tollebant, quibuscunque integra adhuc vis in pedibus
residebat.] At filius Anchisæ bellicosi usque sectabatur
hostium pone terga hasta cædens,
Eurymachusque aliunde. Hinc lætitiam-hausit divinum cor
ex-alto despicientis jaculatoris Apollinis.
Ac veluti vir quispiam in porcellos, in segetem aridam
irruentes, antequam manipuli a messoribus fuerint-prostrati,] obviam concitat robustos canes, illique intuiti

ἐσσυμένους τρομέουσι, καὶ οὐκ ἔτι μέμβλεται αὐτοῖς
εἴδατος, ἀλλὰ τρέπονται ἀνιηρὴν ἐπὶ φύζαν
πανσυδίῃ, τοὺς δ' αἶψα κύνες κατὰ ποσσὶ κιχόντες
ἐξόπιθεν δάπτουσιν ἀμείλιχα, τοὶ δὲ φέβονται
μακρὸν ἀνιύζοντες, ἄναξ δ' ἐπιτέρπετ' ἀρούρης·
ὣς ἄρ ἰαίνετο Φοῖβος, ὅτ' ἔδρακεν ἐκ πολέμοιο
φεύγοντ' Ἀργείων πουλὺν στρατόν· οὐ γὰρ ἔτ' αὐτοῖς
ἔργα χερῶν μεμέλητο· πόδας δ' εὔχοντο θεοῖσιν
ὦκα φέρειν· μούνοις γὰρ ἔτ' ἐν ποσὶν ἔπλετο νόστου
ἐλπωρή· πάντας γὰρ ἐπῄιεν ἔγχεϊ θύων
Εὐρύμαχός τε καὶ Αἰνείας, σὺν δέ σφιν ἑταῖροι.
Ἔνθα τις Ἀργείων, ἢ κάρτεϊ πάγχυ πεποιθὼς,
ἢ Μοίρης ἰότητι λιλαιομένης μιν ὀλέσσαι,
φεύγοντ' ἐκ πολέμοιο δυσηχέος ἵππον ἔρυκε
γνάμψαι ἐπειγόμενος ποτὶ φύλοπιν, ὄφρα μάχηται
ἀντία δυσμενέων· τὸν δ' ὀβριμόθυμος Ἀγήνωρ
παρφθάμενος μυῶνα κατ' ἀλγινόεντα δαΐξεν
ἀμφιτόμῳ βουπλῆγι, βίῃ δ' ὑπόειξε σιδήρου
ὀστέον οὐταμένοιο βραχίονος· ἀμφὶ δὲ νεῦρα
ῥηϊδίως ἤμησε· φλέβες δ' ὑπερέβλυσαν αἷμα·
ἀμφεχύθη δ' ἵπποιο κατ' αὐχένος· αἶψα δ' ἄρ αὐτὸς
κάππεσεν ἀμφὶ νέκυς· λεῖπεν δ' ἄρα χεῖρα κρεμαστὴν
στεῤῥὸν ἔτ' ἐκπεφυυῖαν ἐϋγνάμπτοιο χαλινοῦ,
οἷά ποτε ζώοντος ἔην· μέγα δ' ἔπλετο θαῦμα,
οὕνεκα δὴ ῥυτῆρος ἀπεκρέμαθ' αἱματόεσσα,
Ἄρεος ἐννεσίῃσι, φόβον δηΐοισι φέρουσα·
φαίης κεν χατέουσαν ἔθ' ἱππασίῃ πονέεσθαι·
σῆμα δέ μιν φέρεν ἵππος ἀποκταμένοιο ἄνακτος.
Αἰνείας δ' ἐδάμασσε βαλὼν ὑπὲρ ἰξύα δουρὶ
Αἰθαλίδην· αἰχμὴ δὲ παρ' ὀμφαλὸν ἐξεπέρησεν
ἔγκατ' ἐφελκομένη· ὁ δ' ἄρ ἐν κονίῃσι τανύσθη
συμμάρψας χείρεσσιν ὁμῶς χολάδεσσιν ἀκωκὴν,
δεινὰ μάλα στενάχων· γαίῃ δ' ἐνέρεισεν ὀδόντας
βεβρυχώς· ψυχὴ δὲ καὶ ἄλγεα κάλλιπον ἄνδρα.
Ἀργεῖοι δὲ βόεσσιν ἐοικότες ἐπτοίηντο,
οὕς τ' ἄμοτον μεμαῶτας ὑπὸ ζεύγλῃ καὶ ἀρότρῳ
τύψεν ὑπὸ λαπάρην ταναοῖς ὑπὸ χείλεσιν οἶστρος
αἵματος ἱέμενος, τοὶ δ' ἄσπετον ἀσχαλόωσιν
ἔργου ἐκὰς φεύγοντες, ἐπὶ σφισι δ' ἄχνυται ἀνὴρ
ἀμφ' ἄροτρον πονέων τε πόνον τρομέων τ' ἐπὶ βουσὶ,
μὴ δήπου κατόπισθεν ἐπαΐσσοντος ἀρότρου
κέρσῃ νεῦρα σίδηρος ἀμείλιχος ἐν ποσὶ χύρσας·
ὣς Δαναοὶ φοβέοντο· περὶ σφισι δ' ἄχνυτο θυμὸν
υἱὸς Ἀχιλλῆος· μέγα δ' ἴαχε λαὸν ἐέργων·
Ἆ δειλοὶ, τί φέβεσθε ἐοικότες οὐτιδανοῖσι
ψήρεσιν, οὕς τ' ἐφόβησεν ἰὼν κατεναντία κίρκος;
ἀλλ' ἄζεσθ' ἀνὰ θυμὸν, ἐπεὶ πολὺ λώϊόν ἐστι
τεθνάμεν ἐν πολέμῳ, ἢ ἀνάλκιδα φύζαν ἑλέσθαι.
Ὣς φάτο· τοὶ δ' ἐπίθοντο, θρασὺν νόον ἐν φρεσὶ θέν-
ἐσσυμένως· ὁ δὲ Τρωσὶ μέγα φρονέων ἐνόρουσε [τες
πάλλων ἐν χείρεσσι θοὸν δόρυ· τῷ δ' ἄρα λαοὶ
Μυρμιδόνων ἐφέποντο βίην ἀτάλαντον ἀέλλῃ
ἐν στέρνοισιν ἔχοντες· ἀνέπνευσαν δὲ κυδοιμοῦ
Ἀργεῖοι. Ὁ δ' ἄρ' αἶψα φίλῳ πατρὶ θυμὸν ἐοικὼς

irruentes expavescunt, nec amplius curæ-est ipsis
pastus, sed vertuntur tristem in fugam
gregatim, quos subito canes pedibus insecuti
a-tergo lacerant crudeliter; illi autem fugiunt
alto cum-grunnitu, unde dominus voluptatem-capit agri:
sic et oblectabatur Phœbus, cum cerneret e prœlio
fugere Argivum numerosas copias; non enim ultra eis
negotia manuum studio-erant, sed orabant Deos, ut pedes
ocius *sese* auferrent; solis enim adhuc in pedibus erat re-
ditus] spes, quandoquidem omnes invadebant hasta debac-
chans]Eurymachus et Æneas, unaque cum-illis belli-socii.
Ibi quidam Argivum, aut robore nimium fretus,
aut Fati instinctu cupientis ipsum extinguere,
fugientem ex pugna clamosa equum inhibebat
reflectere properans in aciem, ut confligeret
cum hostibus: hunc autem magnanimus Agenor
præveniens in-musculo, non-sine-magno-cruciatu, vulne-
ravit] ancipiti securi, violentiæque cessit ferri
os sauciati brachii, et undique nervos
facili-negotio præsecuit, venæque ebullierunt cruorem,
qui circumfusus-est equi collo; statim vero ille
procubuit in cadavera destituitque manum suspensam,
tenaciter adhuc adhærentem flexibili freno,
qualis vivente *illo* fuerat; et magnum erat miraculum,
nam ex-habena dependebat sanguinolenta,
Martis nutu, terrorem hostibus afferens:
dixisses illi-opus-esse adhuc ut-equitationi operam-navet;
et indicium eam gestabat equus trucidati domini.
Cæterum Æneas dejecit ictum supra lumbum hasta
Æthaliden, et cuspis juxta umbilicum exiit,
intestina secum-trahens: is igitur in pulvere stratus-est
corripiens manibus una-cum intestinis cuspidem,
immani cum-gemitu, inque terram impressit dentes
rugiens; anima vero et cruciatus deseruerunt hominem.
Tum Argivi boum more attoniti-erant,
quos graviter connitentes sub jugo ad aratrum
pupugit subter ilia extento rostro œstrus
sanguinem appetens; hi igitur supra-modum indignantur
ab-opere procul fugientes, ac propter illos vir (*rusticus*)
animi-discruciatur,] tum aratri occupatus labore, tum me-
tuens bobus,] ne forsan pone assultantis aratri
secet nervos ferrum rigidum pedibus illisum:
ita Danai consternati-erant; quorum causa discruciabatur
animi]filius Achillis, ac valde clamavit exercitum *a fuga*
cohibens:] Proh timidi! quid trepidatis non-aliter-quam
imbelles] sturni, quos territat veniens ex-adverso falco?
verum verecundia-vobis-sit in animo, nam multo præstabi-
lius est] occumbere in bello, quam imbellem fugam capes-
sere.] Sic ait: at illi morem-gerebant, cum-audacem ani-
mum pectori indidissent]continuo. Ipse igitur in-Trojanos
magno animi-spiritu irrupit]quassans in manibus rapidum
hastile, eumque cohortes]Myrmidonum sectabantur, vim
parem turbini] in pectoribus gerentes, respirabantque a
conflictu] Argivi. Ille vero mox carum patrem animo re-

ἄλλον ἐπ' ἄλλῳ ἔπεφνε κατὰ μόθον· οἱ δ' ἀπιόντες
χάζοντ', ἠΰτε κύματ' ἅτ' ἐκ Βορέαο θυέλλης
πόλλ' ἐπιπαφλάζοντα κυλίνδεται αἰγιαλοῖσιν,
ὀρύμεν' ἐκ πόντοιο, τὰ δ' ἔκποθεν ἄλλος ἀήτης
ἀντίος ἀΐξας, μεγάλῃ περὶ λαίλαπι θύων
ὤσῃ ἀπ' ἠϊόνων Βορέου ἔτι βαιὸν ἀέντος·
ὣς Τρῶας Δαναοῖσιν ἐποιχομένους τοπάροιθεν
υἱὸς Ἀχιλλῆος θεοειδέος ὦσεν ὀπίσσω
τυτθόν, ἐπεὶ μένος ἠΰ θρασύφρονος Αἰνείαο
φευγέμεν οὐκ εἴασε, μένειν δ' ἀνὰ φύλοπιν αἰνὴν
θαρσαλέως· ἑκάτερθε δ' ἴσην ἐτάνυσσεν Ἐνυὼ
ὑσμίνην. Ἀλλ' οὔτι καταντίον Αἰνείαο
υἱὸς Ἀχιλλῆος πῆλεν δόρυ πατρὸς ἑοῖο,
ἀλλ' ἄλλῃ τρέπε θυμόν, ἐπεὶ Θέτις ἀγλαόπεπλος
ἀζομένη Κυθέρειαν ἀπέτραπεν υἱωνοῖο
θυμὸν καὶ μέγα κάρτος· ἐπ' ἄλλων δ' ἔθνεσι λαῶν
δάμνατο μυρία φῦλα· δαϊκταμένων δ' ἐνὶ χάρμῃ
οἰωνοὶ κεχάροντο μεμαότες ἔγκατα φωτῶν
δαρδάψαι καὶ σάρκας· ἐπεστενάχοντο δὲ Νύμφαι,
καλλιρόου Σιμόεντος ἰδὲ Ξάνθοιο θύγατρες.

Καί ῥ' οἱ μὲν πονέοντο· κόνιν δ' ἀκάμαντες ἀῆται
ὦρσαν ἀπειρεσίην· ἤχλυσε δὲ πᾶσαν ὕπερθεν
ἠέρα θεσπεσίην, ὥς τ' ἀπροτίοπτος ὁμίχλη·
οὐδ' ἄρα φαίνετο γαῖα· βροτῶν δ' ἀμάθυνεν ὀπωπάς.
Ἀλλὰ καὶ ὣς μάρναντο· καὶ ἐς χέρας ὅντιν' ἕλοντο,
κτεῖνον ἀνηλεγέως, καὶ εἰ μάλα φίλτατος ἦεν·
οὐ γὰρ ἔην φράσσασθαι ἀνὰ κλόνον οὔτ' ἐπιόντα
δήϊον, οὔτ' ἄρ' ἑταῖρον· ἀμηχανίη δ' ἔχε λαούς.
Καί νύ κε μίγδ' ἐγένοντο καὶ ἀργαλέως ἀπόλοντο
πάντες ὁμῶς, ὀλοοῖσι περὶ ξιφέεσσι πεσόντες
ἀλλήλων, εἰ μή σφιν ἀπ' Οὐλύμποιο Κρονίων
ἤρκεσε τειρομένοισι, κόνιν δ' ἀπάτερθεν ἔλασσεν
ὑσμίνης, ὀλοὰς δὲ κατεπρήϋνεν ἀέλλας.
Οἱ δέ τε δηριόωντο· πόνος δ' ἄρα τοῖσιν ἐτύχθη
πολλὸν ἐλαφρότερος, δέρκοντο γὰρ εἴτε δαΐξαι
χρειὼ δήϊον ἄνδρα κατὰ κλόνον, εἴτ' ἀλέασθαι.
Καί ῥ' ὁτὲ μὲν Δαναοὶ Τρώων ἀνέεργον ὅμιλον,
ἄλλοτε δ' αὖ Τρῶες Δαναῶν στίχας· ἔπλετο δ' αἰνὴ
ὑσμίνη· νιφάδεσσι δ' ἐοικότα πίπτε βέλεμνα
ἀμφοτέρωθεν ἰόντα· δέος δ' ἔχε μηλοβοτῆρας
ἔκποθεν Ἰδαίων ὀρέων ὁρόωντας ἀϋτήν.

Καί τις ἐς αἰθέρα χεῖρας ἐπουρανίοισιν ἀείρων
εὔχετο δυσμενέας μὲν ὑπ' Ἄρεϊ πάντας ὀλέσθαι,
Τρῶας δὲ στονόεντος ἀναπνεῦσαι πολέμοιο,
ἦμαρ δ' εἰσιδέειν πότ' ἐλεύθερον. Ἀλλά οἱ οὔτι
ἔκλυον· Αἶσα γὰρ ἄλλα πολύστονος ὡρμαίνεσκεν
ἅζετο δ' οὔτε Ζῆνα πελώριον, οὔτε τιν' ἄλλων
ἀθανάτων· οὐ γάρ τι μετατρέπεται νόος αἰνὸς
κείνης, ὅντινα πρῶτον ἐπ' ἀνδράσι γεινομένοισιν,
ἀνδράσιν ἢ πολίεσσιν, ἐπικλώσηται ἀφύκτῳ
νήματι· τῇ δ' ὕπο πάντα τὰ μὲν φθινύθει, τὰ δ' ἀέξει.
Τῆς δ' ἄρ' ὑπ' ἐννεσίῃσι πόνος καὶ δῆρις ὀρώρει
ἱππομάχοις Τρώεσσι καὶ ἀγχεμάχοισιν Ἀχαιοῖς,
οἳ φέρον ἀλλήλοισι φόνον καὶ ἀνηλέα πότμον

præsentans,] alium super alium neci-tradidit in conflictu.
Pars obversis-tergis] retro-cesserunt, ut fluctus a Boreæ
procella] magno cum-æstu advolvuntur littoribus
concitati e mari; hos autem alicunde alius ventus
adversum ruens *et* magno turbine grassans
depellit a littore Aquilone adhuc parum spirante:
ita Trojanos in-Danaos invectos prius
filius Achillis divina specie-præditi compulit retro
paululum; nam constantia eximia fidentis Æneæ
fugere non permisit, sed ut-persisterent in pugna sæva
fortiter *auctor fuit*, utrinque autem æqualem intendit
Bellona] pugnam; verum neutiquam adversus Æneam
filius Achillis vibravit hastam patris sui
sed alio convertit animum, quia Thetis peplo-insignis
honorans Venerem avertit nepotis
animum et ingens robur: inter aliorum vero greges hominum]prosternebat innumerabilia agmina. Tum de-cæsis in
acie] alites gaudebant cupientes viscera hominum
laniare et carnes, ingemiscebant vero Nymphæ,
pulcriflui Simoentis et Xanthi filiæ.

Atque illi quidem contendebant: at pulverem indefessi
venti]immensum excitabant, qui tenebris-prætexuit totum
superne] aera divinum, tanquam visui-non-pervia nebula,
nec apparuit tellus; nam mortalibus ademerat prospectum.
Nihilominus tamen pugnabant, et quemcunque manibus
suis obviam-habebant,] trucidabant sine-respectu, etiamsi
amicissimus esset:] non enim licebat discernere in *isto*
tumultu, nec occurrentem hostem] nec amicum: tanta perplexitas præpediebat homines.] Et commixti-inter-se fuissent fœdaque occidione-periissent] omnes simul, mortiferos in gladios illapsi] mutuo, nisi ipsis de Olympo Saturnius] opem-tulisset afflictis, et pulverem longe dispulisset
a-conflictu, dirasque sedasset procellas.
Illi igitur certamen-instaurarunt, et labor iis *tum* erat
multo facilior; cernebant enim utrum vulnerandus
esset hostilis vir in acie, an cavendus.
Nunc vero Danai Troum reprimebant agmen,
interdum rursus Troes Danaum series, eratque gravissimus
conflictus, niviumque instar cadebant tela
utrinque emissa, et metus corripiebat opiliones,
ex Idæis montibus videntes prœlium.

Et quispiam ad æthera palmas cœlitibus tendens
precabatur ut-hostes Marte omnes interirent,
Troesque a-lamentabili respirarent bello
et lucem intuerentur tandem liberam. Sed illi nequaquam
exaudiverunt, Fatum enim lacrimabile alia moliebatur,
et curabat nec Jovem magnum, nec quemquam aliorum
immortalium: nulla-enim in-re mutatur decretum rigidum
ejus, quod primum hominibus in-lucem-natis,
hominibus sive civitatibus, agglomeravit non-fugiendo
filo; et per eam cuncta partim intereunt, partim crescunt.
Hujus etiam nutu labor et contentio exorta-fuerat
inter Trojanos ex-equis-pugnantes et cominus-congredientes Græcos,] qui afferebant sibi-mutuo stragem et crudele

πολεμίως· οὐ γάρ τιν' ἔχεν δέος, ἀλλ' ἐμάχοντο
προφρονέως· θάρσος γὰρ ἐφέλκεται ἄνδρας ἐς αἰχμήν.
Ἀλλ' ὅτε δὴ πολλοὶ μὲν ἀπέφθιθεν ἐν κονίῃσι,
δὴ τότ' ἄρ' Ἀργείοισιν ὑπέρτερον ὤρνυτο θάρσος
Παλλάδος ἐννεσίῃσι δαΐφρονος, ἥ ῥα μολοῦσα
ὑσμίνης ἄγχιστα, μετ' Ἀργείοισιν ἄμυνεν,
ἐκπέρσαι μεμαυῖα κλυτὴν Πριάμοιο πόληα·
ἣ ῥα μέγα στενάχιζεν Ἀλεξάνδροιο δαμέντος.
Καὶ τότ' ἄρ' Αἰνείαν ἐρικυδέα δῖ' Ἀφροδίτη
αὐτὴ ἀπὸ πτολέμοιο καὶ οὐλομένης ὑσμίνης
ἥρπασεν ἐσσυμένως· περὶ δ' ἠέρα χεύατο πουλύν.
Οὐ γὰρ ἔτ' αἴσιμον ἦεν ἀνὰ μόθον ἀνέρι κείνῳ
μάρνασθ' Ἀργείοισι πρὸ τείχεος αἰπεινοῖο·
τῷ καὶ ἄδην ἀλέεινε περίφρονα Τριτογένειαν,
ἐκ θυμοῦ Δαναοῖσιν ἀρηγέμεναι μεμαυῖαν,
μὴ καὶ ὑπὲρ Κῆράς μιν ἕλῃ θεός· οὐδὲ γὰρ αὐτοῦ
φείσατο πρόσθεν Ἄρηος, ὅπερ πολὺ φέρτερος ἦεν.
Τρῶες δ' οὐκ ἔτ' ἔμιμνον ἀνὰ στόμα δηϊότητος,
ἀλλ' ὀπίσω χάζοντο τεθηπότα θυμὸν ἔχοντες·
ἐν γάρ σφιν, θήρεσσιν ἐοικότες ὠμοβόροισιν,
ἔνθορον Ἀργεῖοι, μέγα μαιμώοντες Ἄρηϊ.
Τῶν δ' ἄρα δαμναμένων ποταμοὶ πλήθοντο νέκυσσι
κὰπ πεδίον· πολλοὶ γὰρ ἄδην πέσον ἐν κονίῃσιν
ἀνέρες ἠδ' ἵπποι· μάλα δ' ἅρματα πολλὰ χέοντο
βαλλομένων· πάντῃ δ' ἀπερείσιον ἔρρεεν αἷμα,
ὑετὸς ὥς· ὀλοὴ γὰρ ἐπήϊεν Αἶσα κυδοιμόν.
Καί ῥ' οἱ μὲν ξιφέεσσι πεπαρμένοι ἢ μελίῃσι
κεῖντο παρ' αἰγιαλοῖσιν, ἀλίγκιον ἐχυμένοισι
δούρασιν, εὖτ' ἐπὶ θινὶ βαρυγδούποιο θαλάσσης
ἀνέρες ἄσπετα δεσμὰ πολυκμήτων ἀπὸ γόμφων
λυσάμενοι, σκεδάσωσι διὰ ξύλα μακρὰ καὶ ὕλην
ἠλιβάτου σχεδίης, πάντῃ δ' ἀναπλήθεται εὐρὺς
αἰγιαλός, τοῖσιν δὲ μέλαν ποτικλύζεται οἶδμα·
ὣς οἵγ' ἐν κονίῃσι καὶ αἵματι δῃωθέντες
κεῖντο, πολυκλαύτοιο λελασμένοι ἰωχμοῖο.
Παῦροι δὲ προφυγόντες ἀνηλέα δηϊότητα
δῦσαν ἀνὰ πτολίεθρον, ἀλευάμενοι βαρὺ πῆμα·
τῶν δ' ἄλοχοι καὶ παῖδες ἀπὸ χροὸς αἱματόεντος
τεύχεα πάντα δέχοντο κακῷ πεφορυγμένα λύθρῳ·
πᾶσι δὲ θερμὰ λοετρὰ τετεύχατο· πᾶν δ' ἀνὰ ἄστυ
ἔσσυντ' ἰητῆρες ἐς οὐταμένων αἰζηῶν
οἰκία ποιπνύοντες, ἵν' οὐταμένους ἀκέσωνται·
τοὺς δ' ἄλοχοι καὶ τέκνα περιστενάχοντο μολόντας
ἐκ πολέμου· πολλοὺς δὲ καὶ οὐ παρεόντας ἄϋτευν,
καί ῥ' οἱ μὲν, στυγερῇ βεβολημένοι ἦτορ ἀνίῃ,
κεῖντο βαρυστενάχοντες ἐπ' ἄλγεσιν· οἱ δ' ἐπὶ δόρπον
ἐκ καμάτοιο τρέποντο· θοοὶ δ' ἐπαΰτεον ἵπποι
φορβῇ ἐπιχρεμέθοντες ἄδην. Ἑτέρωθε δ' Ἀχαιοὶ
πὰρ κλισίῃς νήεσσί θ' ὁμοῖϊα Τρωσὶ πένοντο.
Ἦμος δ' ὠκεανοῖο ῥοὰς ὑπερήλασεν Ἠὼς
ἵππους μαρμαίροντας, ἀνέγρετο δ' ἔθνεα φωτῶν·
δὴ τότ' Ἀρήϊοι υἷες εὐσθενέων Ἀργείων,
οἱ μὲν ἔβαν Πριάμοιο ποτὶ πτόλιν αἰπήεσσαν,
οἱ δ' ἄρ' ἐνὶ κλισίῃσιν ἅμ' ἀνδράσιν οὐταμένοισι

fatum] absque-remissione. Neminem enim corripiebat metus : sed pugnabant] promptissime, fiducia enim pertrahit viros ad hastam.] Cum itaque plurimi interiissent in pulvere,] tandem Achivos major incessit fiducia,
Minervæ suggestione bellacis, quæ cum-se-contulisset
ad conflictum proxime, fortiter pro-Argivis propugnavit,
exscindere cupiens celebrem Priami urbem,
quæ magno in-luctu-versabatur Alexandro sublato.
Tunc vero Æneam illustrem diva Venus
ipsa e belli-discrimine et pernicioso conflictu
eripuit subito, nebulamque circumfudit densam.
Non enim in-fatis erat, ut-amplius in conflictu vir iste
pugnaret cum-Argivis pro mœnibus arduis ;
idcirco etiam impense cavebat sapientem Minervam,
ex animo Danais opitulari conantem,
ne et præter Fata ipsum tolleret-e-medio dea, cum nec ipsi
pepercisset antea Marti, qui longe præstantior erat.

Troes ergo non amplius persistebant in prima-acie conflictus,] sed retro se-verterunt attonitis mentibus :
in eos enim, beluis similes crudivoris,
incursarunt Argivi, valde grassantes Marte.
Occumbentium itaque amnes opplebantur cadaveribus
per campum; multi enim sternebantur in pulvere
viri atque equi, ac plurimi currus passim-fusi-jacebant
interemtorum, et ubique magna-vis dimanabat cruoris
pluviæ in-morem. Exitiale enim oberrabat Fatum per-pugnam.] Illi ergo gladiis confixi aut hastis
jacebant in littore, non-aliter-quam disjectæ
tabulæ, cum in crepidine horrisoni maris
homines, tenacibus vinculis firmorum clavorum
resolutis, dispergunt ligna longa et materiam
arduæ ratis, et passim repletur vastum
littus, illaque (*ligna*) nigra alluit unda :
ita illi in pulvere et tabo trucidati
jacebant, lacrimosæ non-amplius-memores pugnæ.

Pauci tandem elapsi ex-infesto prœlio
subierunt urbem, cum-devitassent grave exitium
Quorum uxores et liberi a corpore sanguinolento
arma omnia recipiebant fœdo polluta cruore,
cunctisque tepida lavacra apparabantur, et totam per urbem] discurrebant medici sauciatorum juvenum
ædes sedulo-obeuntes, ut vulneratos curarent ;
at uxores et nati cum-gemitu-circumstabant reversos
a bello : multos etiam non præsentes inclamabant.
Hi ergo acerbissimis sauciati cor curis
jacebant, *et* graviter suspirantes ob cruciatus ; reliqui ad cœnam] a labore se-convertebant, celeresque acclamabant equi]pabulum poscentes hinnitu crebro. Alibi autem Achivi in tabernaculis et navibus eadem, -quæ Trojani, exsequebantur.] Postquam vero Oceani gurgitem transmisit Aurora] equis rutilantibus, et surrexerunt gentes mortalium :
exin Mavortii nati fortium Argivorum
partim contenderunt ad Priami urbem altam,
partim in tabernaculis apud milites saucios

μίμνον, μήποτε λαὸς ἐπιβρίσας ἀλεγεινὸς
νῆας ἕλῃ, Τρώεσσι φέρων χάριν· οἱ δ' ἀπὸ πύργων
μάρναντ' Ἀργείοισι· μόθος δ' ἀλεγεινὸς ὀρώρει.
Σκαιῆς μὲν προπάροιθε πύλης Καπανήϊος υἱὸς
μάρναθ' ἅμ' ἀντιθέῳ Διομήδεϊ· τοὺς δ' ἄρ' ὕπερθε
Δηΐφοβός τε μενεπτόλεμος κρατερός τε Πολίτης
σύν τ' ἄλλοις ἑτάροισιν ἐρητύεσκον ὀϊστοῖς,
ἠδ' ἄρα χερμαδίοισι· περικτυπέοντο δὲ φωτῶν
βαλλόμεναι κόρυθές τε καὶ ἀσπίδες, αἵ τ' ἀλεγεινὸν
αἰζηῶν ῥύοντο μόρον καὶ ἀμείλιχον αἶσαν.
Ἀμφὶ δ' ἄρ' Ἰδαίῃσιν ἐριδμαίνεσκε πύλῃσιν
υἱὸς Ἀχιλλῆος· πονέοντο δέ οἱ πέρι πάντες
Μυρμιδόνες, κρατεροῖο δαήμονες ἰωχμοῖο.
Τοὺς δ' ἀπὸ τείχεος εἶργον ἀπειρεσίοις βελέεσσι
θαρσαλέως Ἕλενός τε καὶ ὀβριμόθυμος Ἀγήνωρ,
Τρῶας ἐποτρύνοντες ἀνὰ μόθον· οἱ δὲ καὶ αὐτοὶ
προφρονέως μάρναντο φίλης περὶ τείχεσι πάτρης.
Ἐς πεδίον δὲ πύλῃσι καὶ ὠκυπόρους ἐπὶ νῆας
νισσομένῃς Ὀδυσεύς τε καὶ Εὐρύπυλος πονέοντο
νωλεμέως· τοὺς δ' ἠὺς ἀφ' ἕρκεος ὑψηλοῖο
Αἰνείας λάεσσι μέγα φρονέων ἀπέρυκε.
Πρὸς δὲ ῥόον Σιμόεντος ἔχεν πόνον ἀλγινόεντα
Τεῦκρος ἐϋμμελίης· ἄλλῃ δ' ἔχεν ἄλλος ὀϊζύν.
Καὶ τότ' ἄρ' ἀμφ' Ὀδυσῆα δαΐφρονα κύδιμοι ἄνδρες
κείνου τεχνήεντι νόῳ ποτὶ μῶλον Ἄρηος
ἀσπίδας ἐντύνοντο, βάλον δ' ἐφύπερθε καρήνων
θέντες ἐπ' ἀλλήλῃσι· μιῇ δ' ἅπαν ἥρμοσεν ἅρμῃ.
Φαίης κεν μεγάροιο κατηρεφὲς ἔμμεναι ἕρκος
πυκνόν, ὃ οὔτ' ἀνέμοιο διέρχεται ὑγρὸν ἀέντος
ῥιπὴ ἀπειρεσίη, οὔτ' ἐκ Διὸς ἄσπετος ὄμβρος·
τοῖαι ἄρ' Ἀργείων πεπυκασμέναι ἀμφὶ βοείαις
καρτύναντο φάλαγγες· ἔχον δ' ἕνα θυμὸν ἐς ἀλκὴν
εἰς ἓν ἀρηράμενοι. Καθύπερθε δὲ Τρώϊοι υἷες
βάλλον χερμαδίοισι· τὰ δ' ὡς στυφελῆς ἀπὸ πέτρης
γαῖαν ἐπὶ τραφερὴν ἐκυλίνδετο· πολλὰ δὲ δοῦρα
καὶ βέλεα στονόεντα καὶ ἀλγινόεντες ἄκοντες
πήγνυντ' ἐν σακέεσσι, τὰ δ' ἐν χθονί, πολλὰ δ' ἄπωθεν
μαψιδίως φορέοντο περιγναμφθέντα βοείαις,
πάντοθε βαλλομένων. Οἱ δὲ κτύπον οὔτι φέβοντο
ἄσπετον, οὐδ' ὑπόεικον, ἅτε ψεκάδων ἀΐοντες
δοῦπον· ἔσω δ' ὑπὸ τεῖχος ὁμῶς ἴσαν· οὐδέ τις αὐτῶν
νόσφιν ἀφειστήκει· συναρηράμενοι δ' ἐφέποντο,
ὡς νέφος ἠερόεν, τό ῥά που περὶ χείματι μέσσῳ
αἰθέρος ἐξ ὑπάτοιο μακρὸν διέτεινε Κρονίων.
Πουλὺς δ' ἀμφὶ φάλαγγι θρόος καναχή θ' ὑπὸ ποσσὶ
νισσομένων ἐτέτυκτο· κόνιν δ' ἀπάτερθεν ἀῆται
ὀρνυμένην μάλα τυτθὸν ὑπὲρ δαπέδοιο φέρεσκον
αἰζηῶν μετόπισθε· περίαχε δ' ἄκριτος αὐδὴ,
οἷον ὑπὸ σμήνεσσι περιβρομέουσι μέλισσαι·
ἆσθμα δ' ἀνήϊε πουλὺ χύδην, περίχευε δ' ἀϋτμὴν
λαοῦ ἀποπνείοντος. Ἀπειρέσιον δ' ἄρα θυμῷ
Ἀτρεΐδαι κεχάροντο περί σφισι κυδιόωντες,
δερκόμενοι πολέμοιο δυσηχέος ἄτρομον ἕρκος·
ὥρμηναν δὲ πύλῃσι θεηγενέος Πριάμοιο

remanserunt, ne-quando exercitus hostilis facta-impressione]naves caperet, Trojanis navans operam. Qui de turribus] decernebant cum-Argivis: nam conflictus asperrimus excitatus-fuerat.] Scæam equidem ante portam Capanei natus] pugnabat una-cum eximio Diomede: quos desuper
Deiphobus bellipotens fortisque Polites
una-cum aliis sociis validis arcebant telis
atque lapidibus. Hinc sonitum-reddebant virorum
percussæ galeæ et scuta, quæ dolorificam
a juvenibus propulsabant necem et immite fatum.
Ad Idæam vero certamen-habebat portam
natus Achillis, et in-opere-erant juxta illum cuncti
Myrmidones, strenui haud-ignari conflictus.
Quos a muro repellebant infinitis jaculis
audacter Helenus et magnanimus Agenor,
Troas excitantes ad pugnam, qui tamen ipsi
promtissime propugnabant caræ pro muris patriæ.
In portis vero quæ-in campum et citas ad naves
tendunt, Ulysses et Eurypylus occupati-erant
continenter; illos præstans ab propugnaculo excelso
Æneas saxis magnanimus abigebat.
Versus undam Simoentis habebat negotium molestum
Teucer hasta-præstans, alibique habebat alius ærumnam.
Tunc circa Ulyssem bellicosum illustres viri,
ejus solerti consilio, contra difficultates Martis
scuta instruxerunt et extulerunt supra capita,
conserta inter se, unaque totum cohæsit textura.
Dixeris sane *id* domus opacum esse tectum
densum, quod nec venti penetrat humidum flantis
vis ingens, nec e cœlo *cadens* largus imber:
taliter itaque Argivum condensatis undique scutis
se-roborarunt phalanges, gerebant autem unum animum ad-perrumpendum] in unum conserti. Desuper autem Trojanorum nati] impetebant *illos* saxis, quæ tanquam durissima a petra]ad terram almam devolvebantur: multa etiam hastilia] et sagittæ tristificæ ac vulnifica pila
infigebantur clypeis, quædam etiam telluri, multaque procul] incassum ferebantur circumflexa scutis,
ex-omni-parte cum-jacerent. At illi fragorem nihil extimescebant] immensum, neque cedebant, tanquam stillarum -pluvialium audientes]strepitum: subtus vero ad murum uno-agmine grassabantur, nemoque illorum] sejunctus stabat, sed conferti comitabantur:] ut nubes tenebricosa, quam hieme media]ex cœlo summo late distendit Juppiter.
Multus autem circum phalangem fragor strepitusque sub pedibus] grassantium erat, pulveremque seorsum venti
obortum paululum supra terram attollebant
a-tergo juvenum, et circumsonabat confusa vox,
uti in alveario susurrant apes;
et anhelitus efferebatur magnus prolixe, et circumfundebat vaporem] agmine respirante: ac supra-modum animo *suo*] Atridæ lætabantur apud se gloriantes,
cum-viderent pugnæ tristisonæ securum munimentum.
Properarunt itaque, ut-in-portas Jove-sati Priami

ἀθρόοι ἐγχριμφθέντες, ὑπ' ἀμφιτόμοις πελέκεσσι
ῥῆξαι τείχεα μακρὰ, πύλας δ' εἰς οὖδας ἐρεῖσαι
θαιρῶν ἐξερύσαντες· ἔχεν δ' ἄρα μῆτις ἀγαυὴ
ἐλπωρήν. Ἀλλ' οὔ σφιν ἐπήρκεσαν οὔτε βόειαι
οὔτε θοοὶ βουπλῆγες, ἐπεὶ μένος Αἰνείαο
ὄβριμον ἀμφοτέρῃς ἐπαρηρότα χείρεσι λᾶαν
ἐμμεμαὼς ἐφέηκε· δάμασσε δὲ τλήμονι πότμῳ
ἀνέρας, οὓς κατέμαρψεν ἐν ἀσπίσιν, εὖτ' ἐν ὄρεσσι
φερβομένας ὑπὸ πρῶνα βίῃ κρημνοῖο ῥαγέντος
αἶγας· ὑποτρομέουσι δ' ὅσοι σχεδὸν ἀμφινέμονται·
ὣς Δαναοὶ θάμβησαν· ὁ δ' εἰσέτι λᾶας ὕπερθεν
βάλλεν ἐπασσυτέρους, κλονέοντο δὲ πάγχυ φάλαγγες.
Ὡς δ' ὅτ' ἐν οὔρεσι πρῶνας Ὀλύμπιος οὐρανόθι Ζεὺς
ἀμφὶ μιῇ κορυφῇ συναρηρότας ἄλλυδις ἄλλον
ῥήξῃ ὑπὸ βροντῇσι καὶ αἰθαλόεντι κεραυνῷ,
ἀμφὶ δὲ μηλονόμοι τε καὶ ἄλλ' ὅσα πάντα φέβονται·
ὣς ἄρ' Ἀχαιῶν υἷες ὑπέτρεσαν, οὕνεκ' ἄρ' αὐτῶν
Αἰνείας συνέχευε θοῶς ἔρυμα πτολέμοιο
ἀσπίσιν ἀκαμάτῃσι τετυγμένον, οὕνεκ' ἄρ' αὐτῷ
θάρσος ἀπειρέσιον θεὸς ὤπασεν· οὐδέ τις αὐτῶν
ἔσθενέ οἱ κατὰ δῆριν ἐναντίον ὄσσε βαλέσθαι,
οὕνεκά οἱ μάρμαιρε περὶ βριαροῖς μελέεσσι
τεύχεα θεσπεσίῃσιν ἐειδόμενα στεροπῇσιν.
Εἱστήκει δέ οἱ ἄγχι, δέμας κεκαλυμμένος ὄρφνῃ,
δεινὸς Ἄρης· καὶ πάντα κατιθύνεσκε βέλεμνα,
ἢ μόρον ἢ δέος αἰνὸν ἐπ' Ἀργείοισι φέροντα·
μάρνατο δ' ὡς ὁπότ' αὐτὸς Ὀλύμπιος οὐρανόθι Ζεὺς
ἀσχαλόων ἐδάϊζεν ὑπέρβια φῦλα Γιγάντων
σμερδαλέον, καὶ γαῖαν ἀπειρεσίην ἐτίναξε
Τηθύν τ' Ὠκεανόν τε καὶ οὐρανὸν, ἀμφὶ δὲ πάντα
γυῖ' ἐλελίζετ' Ἄτλαντος ὑπ' ἀκαμάτου Διὸς ὁρμῆς·
ὣς ἄρ' ὑπ' Αἰνείαο κατηρείποντο φάλαγγες
Ἀργείων ἀνὰ δῆριν· ὁ γὰρ περὶ τεῖχος ἁπάντῃ
ἔσσυτο δυσμενέεσσι χολούμενος, ἐκ δ' ἄρα χειρῶν
πᾶν ὅ, τί οἱ παρέκυρσεν ἐπειγομένῳ ποτὶ μῶλον,
βάλλεν, ἐπεὶ μάλα πολλὰ κακῆς ἀλκτήρια χάρμης
κεῖτο μενεπτολέμων ἐπὶ τείχεσι Δαρδανιώνων·
τοῖσί περ Αἰνείας μεγάλῳ ἐπὶ κάρτεϊ θύων
δυσμενέων ἀπέρυκε πολὺν στρατόν· ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καρτύναντο. Κακὴ δ' ἔχε πάντας ὀϊζὺς
ἀμφὶ πόλιν· πολλοὶ δὲ κατέκταθεν ἠμὲν Ἀχαιῶν
ἠδέ τε καὶ Τρώων· μέγα δ' ἴαχον ἀμφοτέρωθεν,
Αἰνείας μὲν Τρωσὶ φιλοπτολέμοισι κελεύων
μάρνασθ' ἀμφὶ πόληος ἑῆς τεκέων τε καὶ αὐτῶν
προφρονέως· υἱὸς δὲ μενεπτολέμου Ἀχιλῆος
Ἀργείους ἐκέλευε παρὰ κλυτὰ τείχεα Τροίης
μίμνειν, ἄχρι πόληα πυρὶ πρήσαντες ἕλωσι.
Τοὺς δ' ἄμφω στονόεσσα καὶ ἄσπετος ἄμπεχ' ἀϋτὴ
μαρναμένους πρόπαν ἦμαρ ἀνὰ κλόνον· οὐδέ τις ἦεν
ἄμπνευσις πολέμοιο, λιλαιομένων ἀνὰ θυμὸν
τῶν μὲν ἑλεῖν πτολίεθρον ὑπ' Ἄρεϊ, τῶν δὲ σαῶσαι.
Αἴας δ' αὖτ' ἀπάτερθε θρασύφρονος Αἰνείαο
μαρνάμενος Τρώεσσι κακὰς ἐπὶ κῆρας ἴαλλεν
σφῇσιν ἑκηβολίῃσιν, ἐπεί ῥά οἱ ἄλλοτε μέν που

denso-cum-agmine impressione-facta, vi ancipitum securium] perfringerent murum longum, et portas solo affligerent] cardinibus evulsas, nec-carebat commentum *hoc* speciosum] spe. Sed ipsis nec suffecerunt scuta,
nec rapidi bipennes, quoniam vis Æneæ
grave utraque comprehensum manu saxum
connixus dejecit, et oppressit miserabili morte
viros, quos deprehendit sub scutis, sicut in montibus
pascentes sub scopulo-exstanti moles rupis avulsæ
capellas; trepidantque cæteræ-quæ prope gramina-carpunt:
sic Danai consternabantur. Ille vero adhuc lapides desuper
jactabat frequentiores, et destruebantur prorsus ordines.

Non-secus acsi in monte rupes Olympius in-cœlo Juppiter] circa unum verticem cohærentes diversis partibus
abrumpit tonitribus et corusco fulmine
passimque ovium-magistri et cætera cuncta fugitant:
sic et Achivum nati trepidabant, quod ipsorum
Æneas confudisset subito præsidium bellicum
scutis validis confectum. Nam huic
fiduciam summam Deus suppeditarat, ita-ut nemo illorum
auderet ipsi in certamine oculos obvertere,
quandoquidem ipsi rutilabant in robustis membris
arma divinis similia fulguribus.
Stetitque juxta ipsum, corpus obtectus umbra,
truculentus Mars, et omnia in-directum-egit jacula,
aut mortem aut formidinem terram Argivis inferentia,
pugnavitque, ut quando ipse Olympius in-cœlo Juppiter
iratus strage-dejecit violentas cohortes gigantum
horrenda et terram ingentem concussit
ac Tethym Oceanumque et cœlum; circumquaque vero omnia] membra commovebantur Atlantis invicti Jovis impetu:] non-aliter ab Ænea prosternebantur agmina
Argivum in *ista* dimicatione. Nam per murum huc illuc
ruebat hostibus succensens et e manibus,
quicquid ipsi offerretur concitato ad pugnam,
vibrabat, quia permulta in-hostilem præsidia (*missilia*)
impressionem]reposita-erant bellipotentium in muris Dardanidarum.] His tum Æneas magno robore furens
hostium inhibuit numerosum exercitum, et circa ipsum
Troes confirmabantur. Hinc maligna vexabat omnes difficultas] circa urbem; multique trucidabantur tum Achivorum,]tum etiam Troum, et magnum extollebant-clamorem
utrobique,]Æneas quidem Trojanos bellaces hortans,
ut-propugnarent pro urbe sua liberisque atque semetipsis
alacriter; filius veró armipotentis Achillis
Argivos jubebat ad clara mœnia Trojæ
durare, donec urbem igni incensam expugnassent.
Utrosque igitur lamentabile et atrox distinebat prœlium
certantes totum diem in conflictu, nec ulla erat
respiratio a-prœlio, quod-cupiebant ex animo
hi, ut-expugnarent urbem vi Martia, illi, ut-servarent.

Cæterum Ajax sejunctim a-forti Ænea
pugnans Trojanis funestum exitium afferebat
sua jaculatione-a-longinquo: nam ei interdum

ἰθὺ βέλος πεπότητο δι' ἠέρος, ἄλλοτε δ' αὖτε
ἀλγινόεντες ἄκοντες· ἐπ' ἄλλῳ δ' ἄλλον ἔπεφνεν.
Οἱ δὲ περιπτώσσοντες ἀμύμονος ἀνέρος ἀλκὴν
ἐς μόθον οὐκ ἔτ' ἔμιμνον· ἔλειπε δὲ τείχεα λαός.
Καὶ τότε οἱ θεράπων πολὺ φέρτατος ἐν δαῒ Λοκρῶν
Ἀλκιμέδων ἐρίθυμος, ἐῷ πίσυνος βασιλῆϊ
θάρσεΐ τε σφετέρῳ καὶ θαρσαλέῃ νεότητι,
ἐμμεμαὼς πολέμοιο θοοῖς ἐπεβήσατο ποσσὶ
κλίμακος, ὄφρα κέλευθον ἐπὶ πτόλιν ἀνδράσι θείη
λευγαλέην· σφετέρου δὲ καρήατος ἔμμεναι ἄλκαρ
ἀσπίδα θεὶς καθύπερθεν ἀνήϊε λυγρὰ κέλευθα,
ἄτρομον ἐνθέμενος κραδίῃ νόον· ἐν δ' ἄρα χειρὶ
ἄλλοτε μὲν δόρυ πάλλεν ἀμείλιχον, ἄλλοτε δ' αὖτε
εἷρπεν ἄνω· τὸν δ' αἶψα διηερίη φέρεν οἶμος.
Καί νύ κε δὴ Τρώεσσιν ἄχος γένετ', εἰ μὴ ἄρ' αὐτῷ
ἤδη ὑπερκύπτοντι καὶ εἰσορόωντι πόληα
ὑστάτιον καὶ πρῶτον ἀφ' ἕρκεος ὑψηλοῖο
Αἰνείας ἐπόρουσεν, ἐπεί ῥά νιν οὐ λάθε χάρμη,
οὐδ' ἀπάτερθεν ἐόντα· βάλεν δέ μιν εὐρέϊ πέτρῳ
κὰκ κεφαλῆς· μεγάλη δὲ βίη κρατερόφρονος ἀνδρὸς
κλίμακά οἱ συνέαξεν· ὁ δ' ὑψόθεν ἠΰτ' ὀϊστὸς
ἔσσυτ' ἀπὸ νευρῆς· ὀλοὸς δέ οἱ ἕσπετο πότμος
ἀμφελελιξαμένῳ· στονόεις δέ οἱ ἠέρι θυμὸς
αἶψα μίγη, πρίν γαῖαν ἐπὶ στυφελὴν ἀφικέσθαι.
Ἤριπε δ' ἐν θώρηκι κατὰ χθονός, οὕνεκ' ἄρ' αὐτοῦ
νόσφιν ἀπεπλάγχθη βριαρὸν δόρυ καὶ σάκος εὐρὺ
καὶ κρατερὴ τρυφάλεια. Περιστονάχησε δὲ Λοκρῶν
λαὸς, ὅτ' ἔδρακον ἄνδρα κακῇ δεδμημένον ἄτῃ·
δὴ γάρ οἱ λασίοιο καρήατος ἄλλυδις ἄλλη
ἐγκέφαλος κεκέδαστο· συνηλοίηντο δὲ πάντα
ὀστέα καὶ θοὰ γυῖα λυγρῷ πεπαλαγμένα λύθρῳ.
Καὶ τότε δὴ Ποίαντος ἐῢς πάϊς ἀντιθέοιο,
ὡς ἴδεν Αἰνείαν περὶ τείχεα μαιμώοντα
θηρὶ βίην ἀτάλαντον, ἄφαρ προέηκεν ὀϊστὸν
ἰθύνων ἐς φῶτα περικλυτόν· οὐδ' ἀφάμαρτεν
ἀνέρος· ἀλλά οἱ οὔτι δι' ἀσπίδος ἀκαμάτοιο
ἐς χρόα καλὸν ἵκανεν, ἀπέτραπε γὰρ Κυθέρεια
καὶ σάκος, ἀλλ' ἄρα τυτθὸν ἐπέχραε δέρμα βοείης.
Οὐ δ' ἄρα μαψιδίως χαμάδις πέσεν, ἀλλὰ Μένοντα
μεσσηγὺς σάκεός τε καὶ ἱπποκόμου τρυφαλείης
τύψεν· ὁ δ' ἐκ πύργοιο κατήριπεν· εὖτ' ἀπὸ πέτρης
ἄγριον αἶγα βάλησιν ἀνὴρ στονόεντι βελέμνῳ,
ὣς ὁ πεσὼν τετάνυστο· λίπεν δέ μιν ἱερὸς αἰών.
Αἰνείας δ' ἑτάροιο χολωσάμενος βάλε πέτρην,
καί ῥα Φιλοκτήταο κατέκτανεν ἐσθλὸν ἑταῖρον
Τοξαίχμην· θλάσσεν δὲ κάρη, συνέαξε δὲ πάντα
ὀστέα σὺν πήληκι· λύθη δέ οἱ ἀγλαὸν ἦτορ.
Τῷ δ' ἐπὶ μακρὸν ἄϋσε πάϊς Ποίαντος ἀγαυοῦ·
Αἰνεία, νῦν ἔολπας ἐνὶ φρεσὶ σῇσιν ἄριστος
ἔμμεναι, ἐκ πύργοιο πονεύμενος, ἔνθα γυναῖκες
δυσμενέσιν μάρνανται ἀνάλκιδες· εἰ δέ τις ἐσσὶ,
ἔρχεο τείχεος ἐκτὸς ἐν ἔντεσιν, ὄφρα δαείης
Ποίαντος θρασὺν υἷα καὶ ἔγχεσι καὶ βελέεσσιν.
Ὣς ἄρ' ἔφη· τὸν δ' οὔτι θρασὺς πάϊς Ἀγχίσαο,

directa sagitta volabat per aerem, interdum rursus
vulnifica pila, et post alium alium necabat.
Idcirco illi (*Trojani*) extimescentes præstantis viri forti-
tudinem]] in conflictu non amplius persistebant, sed de-
stituit muros populus.] Atque tunc ipsius minister longe
optimus in conflictu Locrorum] Alcimedon animosus, suo
fretus rege] et temeritate propria audacique juventute,
cupiditate-æstuans belli subitis conscendit pedibus
scalas, ut viam in urbem viris sterneret
exitialem, suique capitis ut-foret munimentum,
scuto superinjecto, ascendit periculosas vias
intrepida indita animo fiducia, inque manu
nunc hastam vibravit sævam, nunc iterum
reptavit sursum, eumque sine-mora aerium efferebat iter.
Et sane Trojanis luctus extitisset, nisi ipsi
jam super-eminenti intuentique urbem
postremum ac primum de propugnaculo excelso
Æneas occurrisset: nam *hæc* illum non latebat pugna
etiamsi procul agentem: perculit ideo eum vasto saxo
in caput, et ingens robur fortis viri
scalas illius confregit. Is e-sublimi ceu sagitta
præcipitatus-est a nervo, et exitiale ei aderat fatum
circumagitato, et cum-gemitu aeri ejus anima
statim permista-est, antequam tellurem rigidam attigisset.
Delapsus-est ergo in *solo* thorace ad humum; nam ab eo
procul aberraverat gravis hasta et immane scutum
firmaque cassis. Gemitum-itaque edidit Locrorum
manus, cum viderent virum tristi dejectum casu:
nam ejus ex-hispido capite huc illuc
cerebrum dispergebatur, et comminuta-erant omnia
ossa agiliaque membra tristi fœdata tabo.
Atqui tunc Pœantis generosa soboles eximii,
ut conspexit Æneam circa muros ruentem,
bestiæ robore similem, subito intorsit sagittam
directam in virum nobilem, nec aberravit
ab-homine: verum nequaquam ejus per scutum insuperabile
in corpus pulcrum penetravit, avertit enim Venus
et clypeus, sed nonnihil strinxit corium scuti-bubuli.
Neç tamen frustra humi-cecidit, sed Menontem
inter clypeum et juba-equina-insignem galeam
attigit. Qui de turri delapsus-est; veluti de rupe
silvestrem capram dejicit vir stridula arundine,
ita ille lapsus exporrectus-est, reliquitque ipsum sacra
vita.] Quare Æneas propter-socium indignatus ejaculatus
-est saxum] ac Philoctetæ peremit eximium amicum
Toxæchmen: contuderat enim *illi* caput confregeratque
omnia] ossa cum galea, unde resolutum ipsi nobile cor.
Illum igitur magno clamore-incessit filius Pœantis clari:
Ænea, nunc persuades animo tuo strenuissimum
te esse, dum-e turri rem-geris, unde *etiam* feminæ
hostibus repugnant imbelles: si vero quid vales,
procede extra mœnia armatus, ut cognoscas
Pœantis audacem filium et hastis et sagittis.
Sic ait: huic vero nihil intrepidus natus Anchisæ

καίπερ ἐελδόμενος, προσεφώνεεν, οὕνεχ' ὀρώρει
δῆρις ὀϊζυρὴ περὶ τείχεα μακρὰ καὶ ἄστυ
νωλεμέως· οὐ γάρ τι κακοῦ παύοντο μόθοιο·
οὐδέ σφιν μάλα δηρὸν ὑπ' Ἄρεϊ τειρομένοισιν
ἔσκε λύσις καμάτοιο, πόνος δ' ἄπρηκτος ὀρώρει.

ΛΟΓΟΣ ΙΒ.

Ἀλλ' ὅτε δὴ μάλα πολλὰ κάμον περὶ τείχεα Τροίης
αἰχμηταὶ Δαναοὶ, πολέμου δ' οὐ γίνετο τέκμωρ,
δὴ τότ' ἀριστήων ἄγυριν ποιήσατο Κάλχας,
εὖ εἰδὼς ἀνὰ θυμὸν ὑπ' ἐννεσίῃς Ἑκάτοιο
πτήσιας οἰωνῶν ἠδ' ἀστέρας ἄλλα τε πάντα
σήμαθ', ὅσ' ἀνθρώποισι θεῶν ἰότητι πέλονται,
καί σφιν ἀγειρομένοισιν ἔπος ποτὶ τοῖον ἔειπε·
Μηκέτι πὰρ τείχεσσιν ἐφεζόμενοι πονέεσθε,
ἀλλ' ἄλλην τινὰ μῆτιν ἐνὶ φρεσὶ μητιάασθε
ἢ δόλον, ὅς νήεσσι καὶ ἡμῖν ἔσσετ' ὄνειαρ.
Ἦ γὰρ ἔγωγε χθιζὸν ἐσέδρακον ἐνθάδε σῆμα·
ἴρηξ σεῦε πέλειαν· ἐπειγομένη δ' ἄρα κείνη
χηραμὸν ἐς πέτρης κατεδύσατο· τῇ δ' ὁ χολωθεὶς
ἀργαλέως, μάλα πολλὸν ἐπὶ χρόνον ἀγχόθι μίμνε
χηραμοῦ· ἡ δ' ἀλέεινεν· ὁ δ' ἐνθέμενος χόλον αἰνὸν
θάμνῳ ὑπεκρύφθη· ἡ δ' ἔκθορεν ἀφραδίῃσιν
ἔμμεναι ἐλπομένη μιν ἀπόπροθεν· ὃς δ' ἐπαερθεὶς
δειλαίῃ τρήρωνι φόνον στονόεντ' ἐφέηκε.
Τῷ νῦν μή τι βίῃ πειρώμεθα Τρώϊον ἄστυ
περσέμεν, ἀλλ' εἴ τίς γε δόλος καὶ μῆτις ἀνύσσῃ.
Ὣς ἄρ' ἔφη· τῶν δ' οὔτις ἔφη φρεσὶ τεκμήρασθαι
ἄλκαρ ὀϊζυροῖο μόθου· δίζοντο δὲ μῆχος
εὑρέμεναι· μοῦνος δὲ σαοφροσύνῃσι νόησεν
υἱὸς Λαέρταο, καὶ ἀντίον ἔκφατο μῦθον·
Ὦ φίλ', ἐπουρανίοισι τετιμένε πάγχυ θεοῖσιν,
εἰ ἐτεὸν πέπρωται ἐϋπτολέμοισιν Ἀχαιοῖς
ἐκπέρσαι Πριάμοιο δολοφροσύνῃσι πόληα,
ἵππον τεκτήναντες ἀριστέες ἐς λόχον ἄνδρες
βησόμεθ' ἀσπασίως· λαοὶ δ' ἀπὸ νόσφι νέεσθαι
ἐς Τένεδον σὺν νηυσὶν, ἐνιπρῆσαι δ' ἄρα πάντες
ἃς κλισίας, ἵνα Τρῶες ἀπ' ἄστεος ἀθρήσαντες
ἐς πεδίον προχέωνται ἀταρβέες· ἀλλά τις ἀνὴρ
θαρσαλέος, τόν γ' οὔ τις ἐπίσταται ἐν Τρώεσσι,
μιμνέτω ἔκτοθεν ἵππου, ἀρήϊον ἐνθέμενος κῆρ,
ὅστις ὑποκρίναιτο βίην ὑπέροπλον Ἀχαιῶν,
ῥέξαι ὑπὲρ νόστοιο λιλαιομένων μιν, ἀλύξαι
ἵππῳ ὑποπτήξας εὐεργεϊ· τὸν δ' ἐκάμοντο
Παλλάδι, χωομένῃ Τρώων ὕπερ αἰχμητάων·
καὶ τὰ μὲν ὡς ἐπὶ δηρὸν ἀνειρομένοισι πιφαύσκειν,
εἰσόκε οἱ πεπίθωνται, ἀταρτηροί περ ἐόντες,
ἐς δὲ πόλιν μιν ἄγωσι θοῶς ἐλεεινὸν ἐόντα,
ὄφρ' ἡμῖν ἀλεγεινὸν ἐς Ἄρεα σῆμα πέληται,
τοῖς μὲν ἄρ' αἰθαλόεντα θοῶς ἀνὰ πυρσὸν ἀείρας,
τοὺς δ' ἄρ' ἐποτρύνας ἐκβήμεναι εὐρέος ἵππου,
ὁππότε Τρώϊοι υἷες ἀκηδέες ὑπνώωσιν.

quamlibet cupiens, respondit, quia coortum-fuerat
certamen ærumnosum circum mœnia longa et urbem
indesinenter. Nec enim infesta quicquam-remittebant de
pugna,] nec ipsis diutissime bello vexatis
erat relaxatio ærumnarum : labor tamen inefficax erat.

LIBER XII.

Sed cum jam valde diu bellum-gessissent ad mœnia
Trojæ] bellicosi Græci, nec *dum* belli esset finis,
tandem optimatum concilium coegit Chalcas,
probe sciens in animo impulsu Apollinis
volatus avium et astra cæteraque cuncta
signa, quæ hominibus deorum voluntate fiunt,
atque ipsis congregatis orationem talem habuit :
Ne-amplius ad muros desidentes bellum-ducatis,
sed aliud quoddam consilium in animo versate
aut dolum, qui navibus ac nobis sit emolumento.
Etenim ego heri oculis-notavi hic signum:
accipiter fugabat columbam; agitata autem illa
recessum antri subiit, cui ira-accensus
vehementer, valde longum ad tempus prope manebat
antrum, ipsa vero sibi-cavebat : at ille inflammatus sæva
ira] sub dumeto latuit : tum ipsa prosiluit stulticia
abesse existimans illum longe; is vero sublatus
miseræ columbæ exitium luctuosum attulit.
Ideo nunc ne amplius vi tentemus Trojanam urbem
vastare, verum si quis dolus et consilium conficiat.
Sic dixit: horum vero nemo dicebat animo se-invenire
finem tristis belli, sed solliciti-erant de-remedio
inveniendo; solus autem prudentia *sua* reperit
filius Laertæ, ac contra edidit *hunc* sermonem :
O dilecte, cœlestibus valde honorate diis,
si vere fatale-est bellicosis Græcis,
ut-excidant dolis Priami urbem,
equo fabricato optimates in insidias (*alvum*) viri
conscendamus celeriter, exercitus autem seorsim secedat
in Tenedum cum navibus, atque incendant omnes
sua tentoria, ut Trojani ex urbe spectantes
in campum effundantur intrepidi. Verum vir quispiam
audax, quem nemo noverit inter Trojanos,
maneat extra equum, Martium assumens animum,
qui simulet vim crudelem Græcorum,
immolare pro reditu ipsum volentium, se-effugisse,
cum-sub equum se-timide-recepisset fabrefactum, quem
ædificarint] Palladi offensæ propter Trojanos bellicosos.
Et hæc quidem ita prolixe sciscitantibus commemoret,
donec illi crediderint, difficiles quamvis sint,
inque urbem ipsum ducant celeriter miserabilem existentem,] ut nobis tristem ad conflictum signum det,
aliis quidem (*in Tenedo*) ardentem celeriter facem attollens,]alios vero excitans ut-exeant ex-ingenti equo,
quando Trojani viri securi dormiunt.

Ὣς φάτο· τὸν δ' ἄρα πάντες ἐπῄνεον· ἔξοχα δ' ἄλλων
Κάλχας μιν θαύμαζεν, ὅπως ὑπεθήκατ' Ἀχαιοῖς
μῆτιν καὶ δόλον ἐσθλὸν, ὃς Ἀργείοισιν ἔμελλεν
νίκης ἔμμεναι ἄλκαρ, ἀτὰρ μέγα Τρώεσι πῆμα.
Τοὔνεκ' ἀριστήεσσιν ἐϋπτολέμοισι μετηύδα·
Μηκέτι νῦν δόλον ἄλλον ἐνὶ φρεσὶ μητιάασθαι,
ὦ φίλοι, ἀλλὰ πίθεσθαι ἐϋπτολέμῳ Ὀδυσῆϊ·
οὐχί οἱ ἔσσετ' ἄπρηκτον ἐΰφρονέοντι νόημα·
ἤδη γὰρ Δαναοῖσι θεοὶ τελέουσιν ἐέλδωρ,
σήματα δ' οὐκ ἀτέλεστ' ἀναφαίνεται ἄλλοθεν ἄλλα·
Ζηνὸς μὲν γὰρ ὕπερθε μέγα κτυπέουσι δι' αἴθρης
βρονταὶ ὁμῶς στεροπῇσι· παραΐσσουσι δὲ λαοὺς
δεξιοὶ ὄρνιθες ταναῇ ὀπὶ κεκληγόντες.
Ἀλλ' ἄγε μηκέτι πολλὸν ἐπὶ χρόνον ἀμφὶ πόληα
μίμνωμεν· Τρωσὶν γὰρ ἐνέπνευσεν μέγ' ἀνάγκη
θάρσος, ὅπερ πρὸς Ἄρηα καὶ οὐτιδανόν περ ἐγείρει·
κάρτιστοι δὲ τότ' ἄνδρες ἐπὶ μόθον, ὁππότε θυμὸν
παρθέμενοι στονόεντος ἀφειδήσωσιν ὀλέθρου·
ὡς νῦν Τρώϊοι υἷες ἀταρβέες ἀμφιμάχονται
ἄστυ πέρι σφέτερον· μέγα δέ σφισι μαίνεται ἦτορ.
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Ὦ Κάλχαν, δηΐοισι καταντίον ἄλκιμοι ἄνδρες
μάρνανται· τοὶ δ' ἐντὸς ἀλευάμενοι ἀπὸ πύργων
οὐτιδανοὶ πονέονται, ὅσων φρένα δεῖμα χαλέπτει.
Τῷ νῦν μή τι δόλον φραζώμεθα, μήτε τι μῆχος
ἄλλο· πόνῳ γὰρ ἔοικεν ἀριστέας ἔμμεναι ἄνδρας
καὶ δορί· θαρσαλέοι δ' ἄρ' ἀμείνονες ἐν δαῒ φῶτες.
Ὣς φάμενον προσέειπε μένος Λαερτιάδαο·
Ὦ τέκος ὀβριμόθυμον ἀταρβέος Αἰακίδαο,
ταῦτα μὲν, ὡς ἐπέοικεν ἀμύμονι φωτὶ καὶ ἐσθλῷ,
θαρσαλέως μάλα πάντα διίκεο, χερσὶ πεποιθώς.
Ἀλλ' οὔτ' ἀκαμάτοιο τεοῦ πατρὸς ἄτρομος ἀλκὴ
ἔσθενεν ὄλβιον ἄστυ διαπραθέειν Πριάμοιο,
οὔθ' ἡμεῖς μάλα πολλὰ πονεύμενοι. Ἀλλ' ἄγε θᾶσσον
Κάλχαντος βουλῇσι θοὰς ἐπὶ νῆας ἰόντες
ἵππον τεχταίνωμεν ὑπαὶ παλάμῃσιν Ἐπειοῦ,
ὅς ῥά τε πολλὸν ἄριστος ἐν Ἀργείοισι τέτυκται
εἵνεκα τεκτοσύνης· δέδαεν δέ μιν ἔργον Ἀθήνη.
Ὣς φάτο· τῷ δ' ἄρα πάντες ἀριστῆες πεπίθοντο
νόσφι Νεοπτολέμοιο δαΐφρονος· οὐδὲ μὲν ἐσθλὸν
πεῖθε Φιλοκτήταο νόον κρατερὰ φρονέοντος.
Ὑσμίνης γὰρ ἔτ' ἔσχον ὀϊζυρῆς ἀκόρητοι·
ὥρμαινον δὲ μάχεσθαι ἀνὰ κλόνον· ἀμφὶ δὲ λαοὺς
σφωϊτέρους ἐκέλευον ἀπειρέσιον περὶ τεῖχος
πάντα φέρειν, ὅσα δῆριν ἐνὶ πτολέμοισιν ὀφέλλει,
ἐλπόμενοι πτολίεθρον ἐΰκτιτον ἐξαλαπάξαι·
ἄμφω γὰρ βουλῇσι θεῶν ἐς δῆριν ἵκοντο.
Καί νύ κεν αἶψα τέλεσσαν, ὅσα σφίσιν ἤθελε θυμὸς,
εἰ μὴ Ζεὺς νεμέσησεν ἀπ' αἰθέρος, ἀμφὶ δὲ γαῖαν
Ἀργείων ἐλέλιξεν ὑπαὶ ποσὶ, σὺν δ' ἐτίναξεν
ἠέρα πᾶσαν ὕπερθε, βάλεν δ' ἀκάμαντα κεραυνὸν
ἡρώων προπάροιθεν· ὑπεσμαράγησε δὲ πᾶσα
Δαρδανίη. Τῶν δ' αἶψα μετετράπετ' ἠΰ νόημα
ἐς φόβον· ἐκ δ' ἐλάθοντο βίης καὶ θάρσεος ἐσθλοῦ·

Sic dixit, atque eum omnes laudabant, præ aliis vero
Calchas ipsum admirabatur, quod suggessisset Græcis
consilium ac dolum utilem, qui Græcis erat
victoriæ futurum auxilium, sed magnum Trojanis malum.
Ideoque principibus bellicosis verba fecit :
Ne-amplius nunc dolum alium in animis versate,
o dilecti, sed obtemperate bellicoso Ulyssi
Non ipsi erit irritum prudenti inventum;
jam enim Græcis dii perficient votum,
signa enim non vana conspiciuntur alibi alia :
Jovis enim desuper valde resonant per æthera
tonitrua cum fulguribus, prætervolantque populum
dextræ aves intensa voce clangentes.
Verum age ne-amplius longum ad tempus ad urbem
maneamus; Trojanis enim inspiravit magnum necessitas
robur, quod ad prœlium quamvis imbellem excitat :
fortissimi enim tunc viri *sunt* in pugna, quando animum
colligentes tristem non-metuunt mortem ;
quemadmodum nunc Trojani intrepidi depugnant
pro urbe sua, ac valde ipsis furit animus.
Sic loquentem interpellavit Achillis fortis filius :
O Calcha, cum-hostibus cominus strenui viri
pugnant, intus vero campum-declinantes de turribus
imbelles dimicant, quorum animum timor infringit.
Ideo nunc ne quem dolum excogitemus, neve machinam
quandam] aliam; labore enim decet excellere viros
ac hasta, fortes enim præstantiores *sunt* in prœlio viri.
Sic loquentem compellavit constans Laertiades :
O fili magnanime imperterriti Æacidæ,
hæc quidem, ut convenit honesto viro ac bono,
audacter plane omnia exposuisti, manibus *tuis* fretus.
Sed neque invicti tui patris intrepida virtus
potuit fortunatam urbem expugnare Priami,
neque nos *potuimus* valde multa periclitati. Verum age
ocius] Calchantis monitis celeres ad naves profecti
equum fabricemus manibus Epei,
qui sane multo optimus inter Græcos est
causa architecturæ : docuit enim eum opus Minerva.
Sic dixit, ei vero omnes proceres obtemperarunt
præter Neoptolemum bellicosum, neque fortem
movit Philoctetæ mentem excelsa spirantis.
Pugnæ enim adhuc erant tristis insatiabiles,
ac cupiebant certare in conflictu; milites itaque
suos jubebant immensum ad murum
cuncta ferre, quæ expugnationem in bellis adjuvant,
sperantes urbem munitam se-occupaturos;
ambo enim consiliis deorum ad bellum venerant.
Atque illico perfecissent, quæ ipsis cupiebat animus,
nisi Juppiter invidisset de cœlo, nam ubique terram
Græcorum concussit sub pedibus, simul etiam commovit
aerem omnem desuper, ac dejecit indesinenter fulmen
ante heroas; resonuit autem universa
Dardania. Horum vero extemplo commutatum est audax
propositum] in metum; obliti autem-sunt roboris et auda-

καί ῥα κλυτῷ Κάλχαντι καὶ οὐκ ἐθέλοντε πίθοντο·
ἐς δ' ἄρα νῆας ἵκοντο σὺν Ἀργείοισι καὶ ἄλλοις,
μάντιν ἀγασσάμενοι, τὸν ἄρ' ἐκ Διὸς ἔμμεν' ἔφησαν,
ἐκ Διός ἢ Φοίβοιο· πίθοντο δέ οἱ μάλα πάντα.
Ἦμος δ' αἰγλήεντα περιστρέφετ' οὐρανὸν ἄστρα
πάντοθε μαρμαίροντα, πόνου δ' ἐπιλήθεται ἀνήρ,
δὴ τότ' Ἀθηναίη μακάρων ἕδος αἰπὺ λιποῦσα
ἤλυθε παρθενικῇ ἀταλάφρονι πάντ' εἰκυῖα
ἐς νῆας καὶ λαόν· ἀρηϊφίλου δ' ἄρ' Ἐπειοῦ
ἔστη ὑπὲρ κεφαλῆς ἐν ὀνείρατι καί μιν ἀνώγει
τεῦξαι δούριον ἵππον· ἔφη δέ οἱ ἐγκονέοντι
αὐτὴ συγκαμέειν, αὐτὴ δ' ἄφαρ ἀγχόθι βῆναι,
ἔργον ἐποτρύνουσα. Θεῆς δ' ὅγε μῦθον ἀκούσας,
καγχαλόων ἀνὰ θυμὸν ἀκηδέος ἔκθορεν ὕπνου·
ἔγνω δ' ἀθάνατον θεὸν ἄμβροτον· οὐδέ οἱ ἦτορ
ἄλλο παρὲξ ὥρμαινε, νόον δ' ἔχεν αἰὲν ἐπ' ἔργῳ
θεσπεσίῳ· πινυτὴ δὲ περὶ φρένας ἤϊε τέχνη.
Ἠὼς δ' ὁππόθ' ἵκανεν ἀπωσαμένη κνέφας ἠΰ
εἰς ἔρεβος, χαροπὴ δὲ δι' ἠέρος ἤϊεν αἴγλη,
δὴ τότε θεῖον ὄνειρον ἐν Ἀργείοισιν Ἐπειός,
ὡς ἴδεν, ὡς ἤκουσεν, ἐελδομένοισιν ἔειπεν·
οἱ δέ οἱ εἰσαΐοντες ἀπειρέσιον κεχάροντο.
Καὶ τότ' ἄρ' Ἀτρέος υἷες ἐς ἄγκεα τηλεθάοντα
Ἴδης ὑψικόμοιο θοοὺς προέηκαν ἱκέσθαι
ἀνέρας· οἱ δ' ἐλάτῃσιν ἐπιβρίσαντες ἀν' ὕλην
τάμνον δένδρεα μακρά· περικτυπέοντο δὲ βῆσσαι
θεινομένων· δολιχαὶ δὲ κατ' οὔρεα μακρὰ κολῶναι
δεύοντ' ἐκ ξυλόχοιο· νάπη δ' ἀνεφαίνετο πᾶσα,
θήρεσιν οὐκ ἔτι τόσσον ἐπήρατος, ὡς τοπάροιθε·
πρέμνα δ' ἀπαυαίνοντο βίην ποθέοντ' ἀνέμοιο.
Καὶ τὰ μὲν ἂρ πελέκεσσι διατμήγοντες Ἀχαιοὶ
ἐσσυμένως φορέεσκον ἐπ' ἠόνας Ἑλλησπόντου
ἐξ ὄρεος λασίοιο· μόγησε δὲ θυμὸς ἐπ' ἔργῳ
αἰζηῶν τε καὶ ἡμιόνων· πονέοντο δὲ λαοὶ
μύριοι, ἄλλοθεν ἄλλος, ὑποδρήσσοντες Ἐπειῷ.
Οἱ μὲν γὰρ τέμνεσκον ὑπ' ὀκριόεντι σιδήρῳ
δούρατα καὶ σανίδας διεμέτρεον· οἱ δ' ἄρ' ἀπ' ὄζους
λείαινον πελέκεσσιν ἔτ' ἀπρίστων ἀπὸ φιτρῶν·
ἄλλος δ' ἄλλο τι ῥέζε πονεύμενος· αὐτὰρ Ἐπειὸς
ἵππου δουρατέοιο πόδας κάμεν, αὐτὰρ ἔπειτα
νηδύα, τῇ δ' ἐφύπερθε συνήρμοσε νῶτα καὶ ἰξὺν
ἐξόπιθεν· δειρὴν δὲ πάρος, καθύπερθε δὲ χαίτην
αὐχένος ὑψηλοῖο καθήρμοσεν, ὡς ἐτεόν περ
κινυμένην· λάσιον δὲ κάρη καὶ εὔτριχον οὐρήν,
οὔατα δ' ὀφθαλμούς τε διειδέας ἄλλα τε πάντα,
οἷς ἐπικίνυται ἵππος. Ἀέξετο δ' ἱερὸν ἔργον
ὡς ἐτεὸν ζώοντος, ἐπεὶ θεὸς ἀνέρι τέχνην
δῶκ' ἐρατήν· τετέλεστο δ' ἐπὶ τρισὶν ἤμασι πάντα
Παλλάδος ἐννεσίῃσι. Πολὺς δ' ἐπεγήθεε λαὸς
Ἀργείων· θαύμαζε δ' ὅπως ἐπὶ δούρατι θυμὸς
καὶ τάχος ἐκπεπόνητο ποδῶν· χρεμέθοντι δ' ἐῴκει.
Καὶ τότε δῖος Ἐπειὸς ὑπὲρ μεγακήτεος ἵππου
εὔχεθ' ἐπ' ἀκαμάτῳ Τριτωνίδι χεῖρας ὀρέξας·
Κλῦθι, θεὰ μεγάθυμε· σάου δ' ἐμὲ καὶ τεὸν ἵππον.

ciæ magnæ,] et inclyto Calchanti etiam nolentes obtemperarunt,] atque ad naves recesserunt cum Græcis una cæteris] vatem suspicientes, eumque ex Jove esse dicebant, ex Jove aut Apolline, et obtemperabant ipsi in-omnibus.
Cum vero fulgida volvuntur-in cœlo astra
undique splendentia, ac laboris obliviscitur homo,
tum Minerva Deorum sede alta relicta
venit, puellæ teneræ omnino similis,
ad naves et exercitum, bellicosique Epei
stetit supra caput in somnio atque ipsum jussit
fabricare ligneum equum, ac dixit ei opus-urgenti
se ipsam opitulaturam ipsamque celeriter prope aggressuram,] ad opus incitans. Deæ vero sermone audito,
lætatus in animo securo subsiliit e-somno,
et agnovit immortalem deam *ac* cœlestem, neque ipsi cor
aliud præterea versabat, sed animum habebat semper in
opere] divino, ac sapiens versabatur circa *ejus* mentem ars.
Aurora vero cum oriretur pulsis tenebris densis
ad Erebum, et clarum spargeretur per aera jubar,
tunc divinum somnium apud Græcos Epeus,
quomodo vidisset, quomodo audivisset, cupidis exposuit;
hi vero ipsum audientes immensum gavisi-sunt
Et tunc Atrei filii ad valles nemorosas
Idæ alticomantis celeres jusserunt abire
viros, qui abietibus totis-viribus-incumbentes in silva
cædebant arbores proceras, ac resonuerunt-fragore valles
cæsarum, longique in montibus magnis vertices
nudabantur silva, saltusque-patebat omnis,
feris non amplius tam dilectus, quam antea,
trunci vero exarescebant flatum desiderantes venti.
Atque eos quidem securibus dissectos Græci
festinanter ferebant ad littora Hellesponti
de monte frondoso; sudabat autem animus in opere
juvenum ac mulorum, occupabanturque homines
innumeri, aliunde alius, ministrantes Epeo.
Alii enim secabant acuto ferro
ligna et asseres dimetiebantur, alii vero ramos
poliebant securibus de nondum fissis stipitibus,
alius vero aliud quid operabatur laborans; verum Epeus
equi lignei pedes fabricavit, ac postea
ventrem, cui desuper adaptavit tergum et lumbum
posterius, cervicem anterius, ac jubam super
cervicem arduam adaptavit, ac si vere
moveretur, hirsutumque caput ac pilosam caudam
auresque et oculos pellucidos cæteraque cuncta,
quibus movetur equus. Crescebat autem sacrum opus
ut vere viventis *equi*, quia dea viro artem
dederat amabilem, ac perfecta-sunt tribus diebus omnia
Minervæ auxiliis. Ingens itaque gaudebat exercitus
Græcorum, ac mirabatur, quomodo in ligno animus
et celeritas fabricata-essent pedum, hinnientique similis
-esset.] Ac tunc divinus Epeus pro stupendæ-magnitudinis
equo] supplicabat ad indefessam Minervam manibus sublatis:] Audi, dea magnanima, serva me ac tuum equum

Ὣς φάτο· τοῦ δ' ἐσάκουσε θεὰ πολύμητις Ἀθήνη,
καί ῥά οἱ ἔργον ἔτευξεν ἐπιχθονίοισιν ἀγητὸν
πᾶσιν, ὅσοι μιν ἴδοντο καὶ οἳ μετόπισθε πύθοντο.
Ἀλλ' ὅτε δὴ Δαναοὶ μὲν ἐγήθεον ἔργον Ἐπειοῦ
δερκόμενοι, Τρῶες δὲ πεφυζότες ἔνδοθι πύργων
μίμνον ἀλευάμενοι θάνατον καὶ ἀνηλέα κῆρα·
δὴ τότ' ἐπ' Ὠκεανοῖο ῥοὰς καὶ Τηθύος ἄντρα
Ζηνὸς ὑπερθύμοιο θεῶν ἀπάτερθε μολόντος,
ἔμπεσεν ἀθανάτοισιν ἔρις· δίχα δέ σφισι θυμὸς
ἔπλετ' ὀρινομένων· ἀνέμων δ' ἐπιβάντες ἀέλλαις
οὐρανόθεν φορέοντο ποτὶ χθόνα· τοῖσι δ' ὑπ' αἰθὴρ
ἔβραχεν. Οἱ δὲ μολόντες ἐπὶ Ξάνθοιο ῥέεθρα
ἀλλήλων ἵσταντο καταντίον, οἱ μὲν Ἀχαιῶν,
οἱ δ' ἄρ' ὑπὲρ Τρώων· πολέμου δ' ἔρος ἔμπεσε θυμῷ·
τοῖσι δ' ὁμῶς ἀγέροντο καὶ οἳ λάχον εὐρέα πόντον.
Καί ῥ' οἱ μὲν δολόεντα κοτεσσάμενοι μενέαινον
ἵππον ἀμαλδῦναι σύν νήεσιν, οἱ δ' ἐρατεινὴν
Ἴλιον· Αἶσα δ' ἔρυκε πολύτροπος, ἐς δὲ κυδοιμὸν
τρέψε νόον μακάρεσσιν. Ἄρης δ' ἐξῆρχε μόθοιο·
ἆλτο δ' Ἀθηναίης κατεναντίον· ὣς δὲ καὶ ἄλλοι
σύμπεσον ἀλλήλοισι· περί σφισι δ' ἄμβροτα τεύχη
χρύσεα κινυμένοισι μέγ' ἴαχεν· ἀμφὶ δὲ πόντος
εὐρὺς ἐπεσμαράγησε, κελαινὴ δ' ἔτρεμε γαῖα
ἀθανάτων ὑπὸ ποσσί· μακρὸν δ' ἅμα πάντες ἄϋσαν·
σμερδαλέη δ' ἐνοπὴ μέχρις οὐρανὸν εὐρὺν ἵκανε,
μέχρις ἐπ' Ἀϊδωνῆος ὑπερθύμοιο βερέθρων·
Τιτῆνες δ' ὑπένερθε μέγ' ἔτρεσαν· ἀμφὶ δὲ μακρὴ
Ἴδη ὑπέστενε πᾶσα καὶ ἠχήεντα ῥέεθρα
ἀενάων ποταμῶν· δολιχαὶ δ' ἅμα τοῖσι χαράδραι
νῆές τ' Ἀργείων Πριάμοιό τε κύδιμον ἄστυ.
Ἀλλ' οὐκ ἀνθρώποισι πέλεν δέος· οὐδ' ἐνόησαν
αὐτῶν ἐννεσίῃσι θεῶν ἔριν. Οἱ δὲ κολώνας
χερσὶν ἀποῤῥήξαντες ἀπ' οὔρεος Ἰδαίοιο
βάλλον ἐπ' ἀλλήλους· αἱ δὲ ψαμάθοισιν ὁμοῖαι
ῥεῖα διεσκίδναντο θεῶν ἀμφ' ἄσχετα γυῖα
ῥηγνύμεναι διὰ τυτθά. Διὸς δ' ἐπὶ πείρασι γαίης
οὐ λάθον ἠῢ νόημα· λιπὼν δ' ἄφαρ ὠκεανοῖο
χεύματ' ἐς οὐρανὸν εὐρὺν ἀνήϊε· τὸν δὲ φέρεσκον
Εὖρος καὶ Βορέης, Ζέφυρος δ' ἐπὶ τοῖσι Νότος τε·
τοὺς δ' ὑπὸ θεσπέσιον ζυγὸν αἰόλος ἤγαγεν Ἶρις
ἅρματος αἰὲν ἐόντος, ὅ οἱ κάμεν ἄμβροτος Αἰὼν
χερσὶν ὑπ' ἀκαμάτῃσιν ἀτειρέος ἐξ ἀδάμαντος.
Ἵκετο δ' Οὐλύμποιο ῥίον μέγα· σὺν δ' ἐτίναξεν
αἰθέρα πᾶσαν ὕπερθε χολούμενος· ἄλλοθεν ἄλλαι
βρονταὶ ὁμῶς στεροπῇσι μέγ' ἔκτυπον· ἐκ δὲ κεραυνοὶ
ταρφέες ἐξεχέοντο ποτὶ χθόνα· καίετο δ' ἀὴρ
ἄσπετος· ἀθανάτοισι δ' ὑπὸ φρένας ἔμπεσε δεῖμα·
πάντων δ' ἔτρεμε γυῖα, καὶ ἀθανάτων περ ἐόντων.
Τῶν δὲ περιδδείσασα κλυτὴ Θέμις εὖτε νόημα
ἆλτο διὰ νεφέων· τάχα δέ σφεας εἰσαφίκανεν·
οἴη γὰρ στονόεντος ἀπόπροθι μίμνε μόθοιο·
τοῖον δ' ἔκφατο μῦθον ἐρυκανόωσα μάχεσθαι·
Ἴσχεσθ' ἰωχμοῖο δυσηχέος· οὐ γὰρ ἔοικεν,
Ζηνὸς χωομένοιο, μινυνθαδίων ἕνεκ' ἀνδρῶν

Sic oravit: ipsum vero exaudivit Dea ingeniosa Minerva,
ejusque opus effecit terrigenis admirandum
omnibus, qui id viderunt, ac qui postea audiverunt.
Verum cum Græci gauderent opus Epei
videntes, Trojani vero trepidantes intra turres
manerent, fugientes mortem ac sævum fatum,
tunc ad Oceani fluenta ac Tethyos antra
Jove magnanimo a-diis procul profecto,
incidit diis contentio, divisusqne ipsis animus
erat concitatis. Ventorum igitur ascendentes turbines
cœlitus ferebantur in terram; sub ipsis autem æther
sonuit. Qui cum-venissent ad Xanthi flumina,
contra se-invicem stabant, alii quidem *pro* Græcis,
alii vero pro Trojanis; bellique desiderium incidit animo,
hisque se-adiungebant etiam qui sortiti-fuerant vastum
mare.] Et alii quidem dolosum ira-perciti cupiebant
equum demoliri cum navibus, alii contra amabile
Ilium. Sed Fatum obstabat varium et ad bellum
convertit mentem cœlestibus. Mars itaque exorsus-est prœ-
lium] prosiliitque contra Minervam; ita etiam alii
concurrerunt inter-se. Circum vero illos immortalia arma
aurea commotos valde sonuerunt, circumque mare
magnum resonuit, et obscura tremuit terra
deorum sub pedibus, ac magnum simul omnes clamorem
-edebant,] horrendaque vox usque-ad cœlum amplum pene-
trabat,] usque ad Plutonis violenti barathra;
Titanes autem infra valde tremuerunt, circum etiam longa
Ida ingemuit universa, ac sonora fluenta
perennium fluviorum, ac longæ cum his voragines
navesque Græcorum Priamique inclyta urbs.
Verum hominibus non erat metus, neque senserunt
deorum consiliis ipsorum pugnam, qui juga
manibus abrupta de monte Idæo
jaculabantur in se-invicem; ea vero arenis similia
facile dispergebantur, deorum circa immensa membra
comminuta in exiguas-partes. Jovis vero in finibus terræ
non fefellerunt præstantem mentem; relictis itaque celeri-
ter Oceani]undis in cœlum amplum rediit, eumque ferebant
Eurus et Boreas, ac Zephyrus cum his Notusque,
quos sub divinum jugum versicolor duxit Iris
currus sempiterni, quem ipsi fabricarat immortalis Ætas
manibus indefessis solido ex adamante.
Rediit itaque ad Olympi verticem magnum ac concussit
æthera universum desuper iratus, aliunde alia
tonitrua cum fulguribus valde tonabant, ac fulmina
densa effundebantur in terram, ardebatque aer
immensus; deorum vero mentes subiit metus,
omniumque tremebant membra, quamvis immortales es-
sent.]His itaque valde-metuens inclyta Themis,tanquam co-
gitatio,] desiliit per nubes, celeriterque ad ipsos pervenit;
sola enim a-luctuoso procul manserat prœlio;
hanc vero habuit orationem cohibens pugnare:
Abstinete a-pugna tristi; non enim decet,
Jove irato, caducorum causa hominum

μάρνασθ' αἰὲν ἐόντας, ἐπεὶ τάχα πάντες ἄϊστοι
ἔσσεσθ'· ἦ γὰρ ὕπερθεν ἐφ' ὑμέας οὔρεα πάντα
εἰς ἓν ἀναῤῥήξας οὔθ' υἱῶν οὔτε θυγατρῶν
φείσεται, ἀλλ' ἄρα πάντας ὁμῶς ἐφύπερθε καλύψει
γαίῃ ἀπειρεσίῃ· οὐδ' ἔσσεται ὔμμιν ἄλυξις
ἐς φάος· ἀργαλέος δὲ περὶ ζόφος αἰὲν ἐρύξει.
Ὣς φάτο· τοὶ δὲ πίθοντο Διὸς τρομέοντες ὁμοκλήν·
ὑσμίνης δ' ἔσχοντο· χόλον δ' ἀπὸ νόσφι βάλοντο
ἀργαλέον· φιλότητα δ' ὁμηθέα ποιήσαντο·
καί ῥ' οἱ μὲν νίσσοντο πρὸς οὐρανὸν, οἱ δ' ἁλὸς εἴσω,
οἱ δ' ἀνὰ γαῖαν ἔμιμνον. Ἐϋπτολέμοισι δ' Ἀχαιοῖς
υἱὸς Λαέρταο πύκα φρονέων φάτο μῦθον·
Ὦ κλυτοὶ Ἀργείων σημάντορες ὀβριμόθυμοι,
νῦν μοι ἐελδομένῳ τεκμήρατε, οἵτινές ἐστε
ἐκπάγλως κρατεροὶ καὶ ἀμύμονες· ἦ γὰρ ἱκάνει
ἔργον ἀναγκαίης· ἀλλὰ μνησώμεθ' Ἄρηος,
ἐς δ' ἵππον βαίνωμεν ἐΰξοον, ὄφρα κε τέκμωρ
εὕρωμεν πολέμοιο δυσηχέος· ὣς γὰρ ἄμεινον
ἔσσεται, ἤν κε δόλῳ καὶ μήδεσιν ἀργαλέοισιν
ἄστυ μέγ' ἐκπέρσωμεν, οὗ εἵνεκα δεῦρο μολόντες
πάσχομεν ἄλγεα πολλὰ φίλης ἀπὸ τηλόθι γαίης.
Ἀλλ' ἄγε δὴ μένος ἠὺ καὶ ἄλκιμον ἐν φρεσὶ θέσθε·
καὶ γάρ τις κατὰ δῆριν ἀνιηρῇ ὑπ' ἀνάγκῃ
θαρσήσας ἀνὰ θυμὸν ἀμείνονα φῶτα κατέκτα,
χειρότερος γεγαώς· μάλα γὰρ μέγα θυμὸν ἀέξει
θάρσος, ὅπερ τ' ἀλκῆς πολὺ λώϊον ἀνθρώποισιν.
Ἀλλ' ἄγ' ἀριστῆες μὲν ἑὸν λόχον ἐντύνεσθε·
οἱ δ' ἄλλοι Τενέδοιο πρὸς ἱερὸν ἄστυ μολόντες
μιμνέμεν, εἰσόκεν ἄμμε ποτὶ πτόλιν εἰρύσσωσι
δήϊοι ἐλπόμενοι Τριτωνίδι δῶρον ἄγεσθαι.
Αἰζηῶν δέ τις ἐσθλὸς, ὃν οὐ σάφα Τρῶες ἴσασι,
μιμνέτω ἄγχ' ἵπποιο σιδήρεον ἐνθέμενος κῆρ·
καί οἱ πάντα μέλοιτο μάλ' ἔμπεδον, ὁππόσ' ἔγωγε
πρόσθ' ἐφάμην· καὶ μή τι περὶ φρεσὶν ἄλλο νοήσῃ,
ὄφρα μὴ ἀμφαδὰ Τρωσὶν Ἀχαιῶν ἔργα πέληται.
Ὣς φάτο· τὸν δὲ Σίνων ἀπαμείβετο κύδιμος ἀνὴρ
ἄλλων δειδιότων· μάλα γὰρ μέγα ἔργον ἔμελλεν
ἐκτελέειν· τῷ καί μιν ἐΰφρονέοντ' ἀνὰ θυμὸν
ἠΰς ἀγάσσατο λαός· ὁ δ' ἐν μέσσοισιν ἔειπεν·
Ὦ Ὀδυσεῦ καὶ πάντες Ἀχαιῶν φέρτατοι υἷες,
ἔργον μὲν τόδ' ἔγωγε λιλαιομένοισι τελέσσω,
εἴ κε μ' ἀεικίζωσι, καὶ εἰ πυρὶ μητιόωνται
βάλλειν ζωὸν ἐόντα· τὸ γάρ νύ μοι εὔαδε θυμῷ,
ἢ θανέειν δηΐοισιν ὑπ' ἀνδράσιν ἢ ὑπαλύξαι
Ἀργείοις μέγα κῦδος ἐελδομένοισι φέροντα.
Ὣς φάτο θαρσαλέως· μέγα δ' Ἀργεῖοι κεχάροντο·
καί τις ἔφη· Ὡς τῷδε θεὸς μέγα κάρτος ἔδωκε
σήμερον· οὐ γὰρ πρόσθεν ἔην θρασύς· ἀλλά ἑ δαίμων
ὀτρύνει πάντεσσι κακὸν Τρώεσσι γενέσθαι
ἢ νῶϊν· νῦν γάρ που δίομαι ἐσσυμένως περ
ἀργαλέου πολέμοιο τέκμωρ εὔδηλον ἔσεσθαι.
Ὣς ἄρ' ἔφη κατὰ λαὸν ἀρηϊφίλων τις Ἀχαιῶν·
Νέστωρ δ' αὖθ' ἑτέρωθεν ἐποτρύνων μετέειπεν·
Νῦν χρειώ, φίλα τέκνα, βίης καὶ θάρσεος ἐσθλοῦ·

pugnare immortales. Alias mox omnes evanidi
eritis, etenim desuper super vos montes omnes
in unum confundens neque filiis neque filiabus
parcet, sed cunctos simul desuper adoperiet
tellure immensa; neque erit vobis effugium
ad lucem, sed tristis firmiter caligo semper detinebit.
Sic dixit; hi vero morem-gerebant Jovis formidantes
minas,]et a-pugna desistebant iramque procul abjiciebant
gravem atque amicitiam concordem inierunt.
Et alii quidem redibant ad cœlum, alii vero intra mare,
alii contra in terra manebant. Cæterum bellicosis Græcis
filius Laertæ prudens *hanc* habuit orationem:
O clari Græcorum duces *et* magnanimi,
nunc mihi cupienti ostendite qui sitis
valde fortes et strenui: etenim incumbit
opus necessitatis. Itaque recordemur Martis
et in equum conscendamus dedolatum, ut exitum
inveniamus belli tristis. Sic enim satius
erit, si etiam dolo atque artibus periculosis
urbem magnam excindamus, cujus causa huc profecti
patimur mala multa a cara procul patria.
Sed age robur magnum ac validum animis indatis
etenim aliquis in prœlio tristi necessitate *adactus*
sumpta-audacia in animo præstantiorem virum interfecit,
deterior existens; valde enim animum confirmat
audacia, quæ robore longe potior *est* hominibus.
Verum agite principes callidas insidias adornate,
alii vero ad Tenedi sacram urbem profecti
manete, donec nos ad urbem trahant
hostes putantes Minervæ donum adduci.
Juvenum vero quispiam præstans, quem non certo Troja-
ni norunt,] maneat prope equum, ferreo assumpto animo,
eique omnia curæ-sint valde diligenter, quæcumque ego
antea dixi, nec quid aliud in mente volutet,
ne manifesta Trojanis Græcorum consilia fiant.
Sic locutus-est; ipsi vero Sinon respondit, inclytus vir,
aliis trepidantibus. Valde enim magnum opus erat
perfecturus; ideo etiam ipsum ardua-spirantem in animo
strenuus admirabatur populus. Is igitur inter medios dixit:
O Ulysses et omnes Græcorum præstantissimi viri,
rem hanc ego cupientibus perficiam,
etiamsi me ignominia-afficiant atque igni statuant
injicere viventem. Id enim mihi placet in-animo,
ut-aut moriar hostiles inter viros, aut effugiam
Græcis magnam gloriam cupientibus acquirens.
Sic dixit audacter: valde vero Græci gavisi-sunt,
et aliquis dixit: Quam huic Deus magnum robur addidit
hodie; non enim antea erat audax, sed ipsum Deus
excitat omnibus exitium Trojanis ut-afferat
aut nobis. Nunc enim spero celeriter
longi belli exitum manifestum fore.
Sic dixit in populo bellicosorum aliquis Græcorum;
Nestor vero ab-alia-parte extimulans verba-fecit:
Nunc opus est, dilecti filii, viribus et audacia magna;

νῦν γὰρ τέρμα πόνοιο θεοὶ καὶ ἀμύμονα νίκην
ἡμῖν ἐλδομένοισι φίλας ἐς χεῖρας ἄγουσιν.
Ἀλλ' ἄγε θαρσαλέως πολυχανδέος ἔνδοθεν ἵππου
βαίνετ', ἐπεὶ μερόπεσσι κλέος μέγα θάρσος ὀπάζει.
Ὡς ὄφελον μέγα κάρτος ἐμοῖς ἐπὶ γούνασι κεῖτο,
οἷον ὅτ' Αἴσονος υἱὸς ἔσω νεὸς ὠκυπόροιο
Ἀργώης καλέεσκεν ἀριστέας, ὁππότ' ἔγωγε
πρῶτος ἀριστήων καταβήμεναι ὁρμαίνεσκον,
εἰ μή ἄρ' ἀντίθεος Πελίης ἀέκοντά μ' ἔρυκε·
νῦν δέ με γῆρας ἔπεισι πολύστονον· ἀλλ' ἄρα καὶ ὥς,
ὡς νέος ἡβώων, καταβήσομαι ἔνδοθεν ἵππου
θαρσαλέως· θάρσος δὲ θεὸς καὶ κῦδος ὀπάσσει.
Ὣς φάμενον προσέειπε πάϊς ξανθοῦ Ἀχιλῆος·
Ὦ Νέστορ, σὺ μὲν ἐσσὶ νόῳ προφερέστερος ἀνδρῶν
πάντων· ἀλλά σε γῆρας ἀμείλιχον ἀμφιμέμαρπεν·
οὐδέ τοι ἔμπεδός ἐστι βίη χατέοντι πόνοιο·
τῷ σε χρὴ Τενέδοιο πρὸς ἠόνας ἀπονέεσθαι·
ἐς δὲ λόχον νέοι ἄνδρες ἔθ' ὑσμίνης ἀκόρητοι
βησόμεθ', ὡς σὺ γεραιὲ λιλαιομένοις ἐπιτέλλεις.
Ὣς φάτο· τῷ δ' ἄγχιστα κιὼν Νηλήϊος υἱὸς
ἀμφοτέρας οἱ ἔκυσε χέρας κεφαλήν τ' ἐφύπερθεν,
οὕνεχ' ὑπέσχετο πρῶτος ἐς εὐρέα δύμεναι ἵππον
αὐτὸς, τὸν δὲ κέλευε γεραίτερον ἔκτοθι μίμνειν
ἄλλοις σὺν Δαναοῖσιν· ἐέλδετο γὰρ πονέεσθαι·
καί ῥά μιν ἰωχμοῖο λιλαιόμενον προσέειπεν·
Ἐσσὶ πατρὸς κείνοιο βίῃ καὶ ἐΰφρονι μύθῳ,
ἀντιθέου Ἀχιλῆος· ἔολπα δὲ σῇσι χέρεσσιν
Ἀργείους Πριάμοιο διαπραθέειν κλυτὸν ἄστυ.
Ὀψὲ δ' ἄρ' ἐκ καμάτοιο μέγα κλέος ἔσσεται ἡμῖν
πολλὰ πονησαμένοισι κατὰ κλόνον ἄλγεα λυγρά.
Ἄλγεα μὲν παρὰ ποσσὶ θεοὶ θέσαν ἀνθρώποισιν,
ἐσθλὰ δὲ πολλὸν ἄπωθε· πόνον δέ γε μέσσον ἔλασσαν·
τοὔνεκα ῥηϊδίη μὲν ἐς ἀργαλέην κακότητα
αἰζηοῖσι κέλευθος, ἀνιηρὴ δ' ἐπὶ κῦδος,
μέσφ' ὅτε τις στονόεντα πόνον διὰ ποσσὶ περήσῃ.
Ὣς φάτο· τὸν δ' Ἀχιλῆος ἀμείβετο κύδιμος υἱός·
Ὦ γέρον, ὡς σύ γ' ἔολπας ἐνὶ φρεσὶ, τοῦτο πέλοιτο
ἡμῖν εὐχομένοισιν, ἐπεὶ πολὺ λώϊον οὕτως.
Εἰ δ' ἑτέρως ἐθέλουσι θεοὶ, καὶ τοῦτο τετύχθω·
βουλοίμην κεν ὑπ' Ἄρει εὐκλειῶς ἀπολέσθαι,
ἠὲ φυγὼν Τροίηθεν ὀνείδεα πολλὰ φέρεσθαι.
Ὣς εἰπὼν ὤμοισι κατ' ἄμβροτα θήκατο τεύχη
πατρὸς ἑοῦ· τοὶ δ' αἶψα καὶ αὐτοὶ θωρήχθησαν
ἡρώων οἱ ἄριστοι, ὅσοις θρασὺς ἔπλετο θυμός.
Τούς μοι νῦν καθ' ἕκαστον ἀνειρομένῳ σάφα Μοῦσαι
ἔσπεθ', ὅσοι κατέβησαν ἔσω πολυχανδέος ἵππου·
ὑμεῖς γὰρ πᾶσάν μοι ἐνὶ φρεσὶ θήκατ' ἀοιδὴν,
πρίν μοι ἀμφὶ παρήϊα κατασκίδνασθαι ἴουλον,
Σμύρνης ἐν δαπέδοισι περικλυτὰ μῆλα νέμοντι,
τρὶς τόσον Ἕρμου ἄπωθεν, ὅσον βοόωντος ἀκοῦσαι,
Ἀρτέμιδος περὶ νηὸν, ἐλευθερίῳ ἐνὶ κήπῳ
οὔρεΐ τ' οὔτε λίην χθαμαλῷ οὔθ' ὑψόθι πολλῷ.
Πρῶτος μὲν κατέβαινεν ἐς ἵππον κητώεντα
υἱὸς Ἀχιλλῆος, σὺν δὲ κρατερὸς Μενέλαος

nunc enim finem laboris dii et egregiam victoriam
nobis cupientibus dilectas in manus adducunt.
Agite itaque confidenter capacem intra equum
conscendite. Nam hominibus gloriam magnam audacia
præbet.] Utinam magnum robur meis in genibus positum esset,] sicut quando Æsonis filius in navem celerem
Argoam convocabat principes, quando ego
primus principum conscendere contendebam,
nisi divinus Pelias invitum me detinuisset.
Nunc vero me senectus opprimit tristis, verum tamen etiam
sic] ut juvenis ætate-florens conscendam intra equum
intrepide : fiduciam enim Deus ac gloriam præbebit.
Sic loquentem affatus-est filius flavi Achillis:
O Nestor, tu quidem es sapientia præstantior viris
omnibus, verum te senectus immitis occupavit,
neque tibi firmum inest robur cupido laboris :
ideoque te oportet ad Tenedi littora discedere,
in insidias vero viri juvenes adhuc pugna non-satiati
conscendemus, ut tu senex cupientibus præcipis.
Sic dixit : ad-eum vero proxime accedens Nelei filius
ambas ipsi osculatus-est manus ac caput desuper,
quia suscepit primus in amplum intrare equum
ipse, sed jubebat senem extra manere
cæteris cum Græcis. Cupiebat enim laborem-subire ;
ideo ipsum prœlii cupidum *sic* affatus-est :
Es patris illius *filius* et fortitudine et prudenti oratione,
divini Achillis. Speravi vero tuis manibus
Græcos Priami vastaturos inclytam urbem.
Sero autem ex labore magna gloria perveniet nobis,
qui-multas sustinuimus in conflictu ærumnas tristes.
Mala enim ante pedes Dii posuerunt hominibus,
bona vero valde procul, ac laborem in-medio constituerunt :] ideo facilis quidem ad triste malum
juvenibus via *est*, difficilis vero ad gloriam,
donec quis molestum laborem pedibus superarit.
Sic fatus-est. Ipsi vero Achillis respondit inclytus filius:
O senex, ut tu spem-concepisti in animo, id eveniat
nobis optantibus, quandoquidem multo melius *est* sic.
Si vero aliter decreverint Dii, et id eveniat :
malim in prœlio gloriose occumbere,
quam fugiens a-Troja probra multa reportare.
Sic fatus humeris splendida imposuit arma
patris sui ; mox vero etiam ipsi armati-sunt
heroum præstantissimi, quibus intrepidus erat animus.
Eos vero nunc mihi singulatim quærenti diserte, Musæ,
commemorate, qui conscenderint in capacem equum ;
vos enim omne mihi in corde posuistis carmen,
antequam mihi circa genas spargeretur lanugo,
Smyrnæ in agris inclytas oves pascenti,
ter tanto-spacio ab Hermo, quanto clamantem audias,
Dianæ prope templum, libero in horto
monteque neque admodum humili neque perinde arduo.
Primus quidem ascendit in equum ingentem
filius Achillis, simulque præstans Menelaus

ἠδ' Ὀδυσεὺς Σθένελός τε καὶ ἀντίθεος Διομήδης·
βῆ δὲ Φιλοκτήτης τε καὶ Ἄντικλος ἠδὲ Μενεσθεύς,
σὺν δὲ Θόας ἐρίθυμος ἰδὲ ξανθὸς Πολυποίτης,
Αἴας τ' Εὐρύπυλός τε καὶ ἰσόθεος Θρασυμήδης,
Μηριόνης τε καὶ Ἰδομενεύς, ἀριδεικέτω ἄμφω,
σὺν δ' ἄρ' ἐϋμμελίης Ποδαλείριος Εὐρύμαχός τε
Τεῦκρός τ' ἀντίθεος καὶ Ἰάλμενος ὀβριμόθυμος,
Θάλπιος Ἀμφίλοχός τε μενεπτόλεμός τε Λεοντεύς·
σὺν δ' Εὔμηλος ἔβη θεοείκελος Εὐρύαλός τε [νωρ,
Δημοφόων τε καὶ Ἀμφίμαχος κρατερός τ' Ἀγαπή-
σὺν δ' Ἀκάμας τε Μέγης τε κραταιοῦ Φυλέος υἱός.
Ἄλλοι δ' αὖ κατέβαινον, ὅσοι ἔσαν ἔξοχ' ἄριστοι,
ὅσσους χάνδανεν ἵππος ἐΰξοος ἐντὸς ἐέργειν·
ἐν δέ σφιν πύματος κατεβήσατο δῖος Ἐπειός,
ὅς ῥα καὶ ἵππον ἔτευξεν· ἐπίστατο δ' ᾧ ἐνὶ θυμῷ
ἠμὲν ἀνωΐξαι κείνου πτύχας ἠδ' ἐπερεῖσαι·
τοὔνεκα δὴ πάντων βῆ δεύτατος· εἴρυσε δ' εἴσω
κλίμακας, ᾗς ἀνέβησαν· ὁ δ' εὖ μάλα πάντ' ἐπερείσας
αὐτοῦ πὰρ κληῗδι καθέζετο· τοὶ δὲ σιωπῇ
πάντες ἔσαν μεσσηγὺς ὁμῶς νίκης καὶ ὀλέθρου.
Οἱ δ' ἄλλοι νήεσσιν ἐπέπλεον εὐρέα πόντον,
ἃς κλισίας πρήσαντες, ὅπη πάρος αὐτοὶ ἴαυον.
Τοῖσι δὲ κοιρανέοντε δύω κρατερόφρονε φῶτε
σήμαινον, Νέστωρ τε καὶ αἰχμητὴς Ἀγαμέμνων·
τοὺς δὲ καὶ ἐλδομένους καταβήμεναι ἔνδοθεν ἵππου
Ἀργεῖοι κατέρυξαν, ἵν' ἐν νήεσσι μένοντες
ἄλλοις σημαίνωσιν, ἐπεὶ πολὺ λώϊον ἄνδρες
ἔργον ἐποίχονται, ὁπότ' εἰσορόωσιν ἄνακτες·
τοὔνεκ' ἄρ' ἔκτοθι μίμνον, ἀριστῆές περ ἐόντες.
Οἱ δὲ θοῶς ἀφίκοντο πρὸς ἠϊόνας Τενέδοιο·
εὐνὰς δ' ἔνθ' ἔβαλον κατὰ βένθεος· ἐκ δ' ἔβαν αὐτοὶ
νηῶν ἐσσυμένως· ἀπὸ δ' ἔκτοθι πείσματ' ἔδησαν
ἠϊόνων· αὐτοὶ δὲ παρ' αὐτόθι μίμνον ἕκηλοι,
δέγμενοι ὁππότε πυρσὸς ἐελδομένοισι φανείη.
Οἱ δ' ἄρ' ἐν ἵππῳ ἔσαν δηΐων σχεδόν, ἄλλοτε μέν που
φθεῖσθαι διόμενοι, ὁτὲ δ' ἱερὸν ἄστυ δαΐξαι·
καὶ τὰ μὲν ἐλπομένοισιν ἐπήλυθεν ἠριγένεια.
Τρῶες δ' εἰσενόησαν ἐπ' ἠόσιν Ἑλλησπόντου
καπνὸν ἔτ' αἴσσοντα δι' ἠέρος· οὐδ' ἄρα νῆας
δέρκοντ', αἵ σφιν ἔνεικαν ἀφ' Ἑλλάδος αἰνὸν ὄλεθρον·
γηθόσυνοι δ' ἄρα πάντες ἐπέδραμον αἰγιαλοῖσι
τεύχη ἐφεσσάμενοι· ἔτι γὰρ δέος ἄμφεχε θυμόν.
Ἵππον δ' εἰσενόησαν ἐΰξοον· ἀμφὶ δ' ἄρ' αὐτῷ
θάμβεον ἑσταότες· μάλα γὰρ μέγα ἔργον ἐτύχθη·
ἀγχόθι δ' αὖτε Σίνωνα δυσάμμορον εἰσενόησαν·
καί μιν ἀνειρόμενοι Δαναῶν ὕπερ ἄλλοθεν ἄλλος
μέσσον ἐκυκλώσαντο περισταδόν· ἀμφὶ δὲ μύθοις
μειλιχίοις εἴροντο πάρος· μετέπειτα δ' ὁμοκλῇ
σμερδαλέῃ· καὶ πολλὰ δολόφρονα φῶτα δάϊζον
πολλὸν ἐπὶ χρόνον αἰέν. Ὁ δ' ἔμπεδον ἠΰτε πέτρη
μίμνεν, ἀτειρέα γυῖ' ἐπιειμένος· ὀψὲ δ' ἄρ' αὐτοῦ
οὔαθ' ὁμῶς καὶ ῥῖνας ἀπὸ μελέων ἐτάμοντο
πάμπαν ἀεικίζοντες, ὅπως νημερτέα εἴπῃ,
ὅππη ἔβαν Δαναοὶ σὺν νήεσιν, ἠ τί καὶ ἵππος

et Ulysses Sthenelusque ac divinus Diomedes;
ascendit etiam Philoctetes et Anticlus et Menestheus,
simulque Thoas magnanimus ac flavus Polypœtes,
Ajax et Eurypylus et deo-par Thrasymedes
Merionesque et Idomeneus, illustres ambo,
simul etiam bellicosus Podalirius, Eurymachusque
Teucerque divinus et Ialmenus magnanimus,
Thalpius Amphilochusque ac strenuus Leonteus;
simul porro Eumelus intravit deo-similis Euryalusque
et Demophoon et Amphimachus ac præstans Agapenor,
simul etiam Acamas Megesque, fortis Philei filius.
Aliique postea subierunt, quotquot erant longe optimi,
quam-multis sufficiebat equus bene-politus intus capiendis;
atque inter eos ultimus conscendit divus Epeus,
qui quidem equum fabricaverat, noveratque suo in animo
et aperire illius recessus et claudere:
ideo omnium subiit postremus; traxit autem intro
scalas, quibus conscenderant, ipseque diligenter cunctis
occlusis] ibi juxta seram considebat. Hi vero taciti
cuncti erant in-medio victoriæ et mortis *constituti*.
Alii vero navibus innavigabant vastum mare,
suis tentoriis incensis, ubi prius ipsi quiescebant.
Istis vero imperantes duo præstantes viri
præerant, Nestor et hastipotens Agamemnon.
Eos enim tametsi cupientes conscendere in equum
Græci prohibuerant, ut in navibus manentes
aliis præessent, quandoquidem multo melius viri
opus obeunt, quando inspiciunt reges:
ideo extra manebant, principes quamvis essent.
Illi vero celeriter abibant ad littora Tenedi,
ancoras ubi jecerunt in profundo, et exierunt ipsi
e-navibus festinanter, et extra funes alligarunt
littori. Ipsi vero ibidem manebant taciti,
expectantes quando fax cupientibus ostenderetur.
Illi vero in equo erant prope hostes, modo
perituros-se putantes, modo sacram urbem vastaturos:
et hæc quidem sperantibus exorta-est aurora.
Trojani vero cognoverunt in littoribus Hellesponti
fumum adhuc subsilientem per aerem, neque tamen naves
videbant, quæ ipsis attulerant de Græcia triste exitium:
lætabundi itaque omnes concurrerunt ad littora
armis induti; adhuc enim metus occupabat animum.
Equum vero viderunt bene-politum, ac circa ipsum
obstupescebant stantes; valde enim ingens opus erat.
Prope autem etiam Sinonem infelicem conspexerunt,
et ipsum interrogantes de Græcis, aliunde alius,
medium cingebant circumstando: hinc-inde autem sermo-
nibus] blandis rogabant primo, postea etiam increpatione
terribili, ac multum dolosum hominem cædebant,
longum ad tempus continuo. Is vero firmiter veluti rupes
manebat, indefessa membra gerens. Tandem autem ejus
aures simul et nares a membris resecabant
omnino indignis-modis-tractantes, ut vera diceret,
quo abiissent Græci cum navibus ac quid etiam equus

ἔνδον ἐρητύεσκεν. Ὁ δ' ἐνθέμενος φρεσὶ κάρτος
λώβης οὐκ ἀλέγιζεν ἀεικέος, ἀλλ' ἐνὶ θυμῷ
ἔτλη, καὶ πληγῇσι καὶ ἐν πυρὶ τειρόμενός περ
ἀργαλέως· Ἥρη γὰρ ἐνέπνευσε μέγα κάρτος·
τοῖα δ' ἄρ' ἐν μέσσοισι δολοφρονέων ἀγόρευεν·
Ἀργεῖοι μὲν νηυσὶν ὑπὲρ πόντοιο φέβονται,
μακρῷ ἀκηδήσαντες ἐπὶ πτολέμῳ καὶ ἀνίῃ·
Κάλχαντος δ' ἰότητι δαΐφρονι Τριτογενείῃ
ἵππον ἐτεχτήναντο, θεῆς χόλον ὄφρ' ἀλέωνται
πάγχυ κοτεσσαμένης Τρώων ὕπερ· ἀμφὶ δὲ νόστου
ἐννεσίῃς Ὀδυσῆος ἐμοὶ μενέαινον ὄλεθρον,
ὄφρα με δηώσωσι δυσηχέος ἄγχι θαλάσσης
δαίμοσιν εἰναλίοις· ἐμὲ δ' οὐ λάθον, ἀλλ' ἀλεγεινὰς
σπονδάς τ' οὐλοχύτας τε μάλ' ἐσσυμένως ὑπαλύξας
ἀθανάτων βουλῇσι παραὶ ποσὶ κάππεσον ἵππου·
οἱ δὲ, καὶ οὐκ ἐθέλοντες, ἀναγκαίῃ με λίποντο
ἀζόμενοι μεγάλοιο Διὸς κρατερόφρονα κούρην.
Ὣς φάτο κερδοσύνῃσι· καὶ οὐ κάμεν ἄλγεσι θυμόν·
ἀνδρὸς γὰρ κρατεροῖο κακὴν ὑποτλῆναι ἀνάγκην.
Τῶν οἱ μὲν πεπίθοντο κατὰ στρατόν· οἱ δ' ἄρ' ἔφαντο
ἔμμεναι ἠπεροπῆα πολύτροπον, οἷς ἄρα βουλὴ
ἥνδανε Λαοκόωντος· ὁ γὰρ πεπνυμένα βάζων
φῆ δόλον ἔμμεναι αἰνὸν ὑπ' ἐννεσίῃσιν Ἀχαιῶν·
πάντας δ' ὀτρύνεσκε θοῶς ἐμπρησέμεν ἵππον,
ἵππον δουράτεον, καὶ γνώμεναι εἴ τι κέκευθε.
Καί νύ κέ οἱ πεπίθοντο καὶ ἐξήλυξαν ὄλεθρον,
εἰ μὴ Τριτογένεια, κοτεσσαμένη περὶ θυμῷ
αὐτῷ καὶ Τρώεσσι καὶ ἄστεϊ, γαῖαν ἔνερθεν
θεσπεσίην ἐλέλιξεν ὑπαὶ ποσὶ Λαοκόωντος.
Τῷ δ' ἄφαρ ἔμπεσε δεῖμα· τρόμος δ' ἀμφέκλασε γυῖα
ἀνδρὸς ὑπερθύμοιο· μέλαινα δέ οἱ περὶ κρατὶ
νὺξ ἐχύθη· στυγερὸν δὲ κατὰ βλεφάρων πέσεν ἄλγος,
σὺν δ' ἔχεεν λασίῃσιν ὑπ' ὀφρύσιν ὄμματα φωτός·
γλῆναι δ' ἀργαλέῃσι πεπαρμέναι ἀμφ' ὀδύνῃσι
ῥιζόθεν ἐκλονέοντο· περιστρωφῶντο δ' ὀπωπαὶ
τειρόμεναι ὑπένερθεν· ἄχος δ' ἀλεγεινὸν ἵκανεν
ἄχρι καὶ ἐς μήνιγγας ἰδ' ἐγκεφάλοιο θέμεθλα·
τοῦ δ' ὁτὲ μὲν φαίνοντο μεμιγμένοι αἵματι πολλῷ
ὀφθαλμοὶ, ὁτὲ δ' αὖτε δυσαλθέα γλαυκιόωντες·
πολλάκι δ' ἔρρεον, οἷον ἀπὸ στυφελῆς ὅτε πέτρης
εἴβεται ἐξ ὀρέων νιφετῷ πεπαλαγμένον ὕδωρ·
μαινομένῳ δ' ἤϊκτο· καὶ ἔδρακε διπλόα πάντα,
αἰνὰ μάλα στενάχων· καὶ ἔτι Τρώεσσι κέλευεν,
οὐδ' ἀλέγιζε μόγοιο· φάος δέ οἱ ἐσθλὸν ἄμερσε
δῖα θεά· γλαυκαὶ δ' ἄρ' ὑπὸ βλέφαρ' ἔσταν ὀπωπαὶ
αἵματος ἐξ ὀλοοῖο· περιστενάχιζε δὲ λαὸς
οἰκτείρων φίλον ἄνδρα, καὶ ἀθανάτην Ἀγελείην
ἐρριγὼς, μή δή τι παρήλιτεν ἀφραδίῃσιν.
Καί σφιν ἐς αἰνὸν ὄλεθρον ἀνεγνάμφθη νόος ἔνδον,
οὕνεκα λωβήσαντο δέμας μογεροῖο Σίνωνος,
ἐλπόμενοι κατὰ θυμὸν ἐτήτυμα πάντ' ἀγορεύειν·
τοὔνεκα προφρονέως μιν ἄγον ποτὶ Τρώϊον ἄστυ,
ὀψέ περ οἰκτείραντες. Ἀγειρόμενοι δ' ἄρα πάντες
σειρὴν ἀμφεβάλοντο θοῶς περιμήκεϊ ἵππῳ

intus contineret. Ipse vero assumpta in-corde fiducia injuriam nihili æstimabat indignam, sed in animo tolerabat, quamvis plagis atque igni contritus immaniter : Juno enim inspirabat magnam vim. Talia vero in medio dolos-nectens locutus-est :

Græci quidem cum navibus trans mare fugiunt, diuturnum affecti-tædio ob bellum ac calamitatem ; Calchantis autem consilio bellicosæ Minervæ equum fabricarunt, deæ iram ut evitarent valde succensentis propter Trojanos. Pro reditu autem consilio Ulyssis mihi parabant exitium, ut me hostiliter-mactarent undisonum prope mare diis marinis. Me vero non latuerunt, sed tristibus libaminibus ac molis-salsis valde celeriter evitatis deorum consiliis ad pedes procubui equi. Illi igitur, etiamsi non volentes, necessitate *adacti* me reliquerunt] reveriti magni Jovis potentem filiam.

Sic dixit dolose, nec succubuit doloribus animo : viri enim *est* fortis malum patienter-ferre inevitabile. Illorum in exercitu alii fidem-habuerunt *Sinoni*, alii vero dixerunt] eum-esse impostorem versutum, quibus scilicet consilium] placebat Laocoontis. Is enim sapienter locutus dixit dolum inesse exitiosum consiliis Græcorum : omnes itaque hortabatur ut-celeriter incenderent equum, equum ligneum, ac cognoscerent, si quid absconderet.

Atque ipsi obtemperassent et effugissent excidium, nisi Minerva, irata in animo ipsi et Trojanis et urbi, terram penitus divinam concussisset sub pedibus Laocoontis. Ipsi autem subito ingruit timor, ac tremor confregit membra] viri temerarii, et atra ipsi circa caput nox fundebatur, ac tristis palpebris incubuit dolor et conturbavit hirsutis sub superciliis oculos viri, pupillæ etiam vehementibus compunctæ doloribus radicitus movebantur, circumagebantur etiam lumina confecta intrinsecus, dolorque sævus penetrabat usque adeo ad meninges ac cerebri bases ; ejus itaque nunc quidem videbantur suffusi sanguine copioso] oculi, nunc vero incurabili glaucomate-laborare, crebroque fluxu destillabant, veluti de dura quando petra stillat ex montibus nivibus temperata aqua : furenti autem similis-erat, ac cernebat duplicia omnia, misere valde gemiscens; attamen adhuc Trojanos instigabat neque rationem-habebat doloris. Lumen vero ipsi carum eripuit] cœlestis dea, glaucique sub palpebris erant ipsius oculi de sanguine purulento. Circum-gemebat itaque populus miseratus carum virum, et immortalem Minervam formidans, ne quid peccarent imprudentia. Atque ipsis ad triste exitium cor declinabat intus, quod inhumaniter-tractassent corpus miseri Sinonis, statuentes in animo vera cuncta eum-dixisse ; ideo libenter ipsum duxerunt ad Trojanam urbem, tandem miserati. Congregatique omnes catenam circumjecerunt celeriter immenso equo,

δησάμενοι καθύπερθεν, ἐπεί ῥά οἱ ἐσθλὸς Ἐπειὸς
ποσσὶν ὑπὸ βριαροῖσιν ἐύτροχα δούρατα θῆκεν,
ὄφρα κεν αἰζηοῖσιν ἐπὶ πτολίεθρον ἕπηται
ἑλκόμενος Τρώων ὑπὸ χείρεσιν. Οἱ δ' ἅμα πάντες
εἷλκον ἐπιβρίσαντες ἀολλέες, ἠύτε νῆα
ἕλκουσιν μογέοντες ἔσω ἁλὸς ἠχηέσσης
αἰζηοί, στιβαραὶ δὲ περιστενάχοντο φάλαγγες
τριβόμεναι, δεινὸν δὲ τρόπις περιτετριγυῖα,
ἀμφὶς ὀλισθαίνουσα κατέρχεται εἰς ἁλὸς οἶδμα.
Ὣς οἵγε σφίσι πῆμα ποτὶ πτόλιν, ἔργον Ἐπειοῦ,
πανσυδίῃ μογέοντες ἀνείρυον· ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλὸν ἄδην στεφέων ἐριθηλέα κόσμον ἔθεντο·
αὐτοὶ δ' ἐστέψαντο κάρη· μέγα δ' ἤπυε λαὸς
ἀλλήλοις ἐπικεκλομένων. Ἐγέλασσε δ' Ἐνυὼ
δερκομένη πολέμοιο κακὸν τέλος· ὑψόθι δ' Ἥρη
τέρπετ'· Ἀθηναίη δ' ἐπεγήθεεν. Οἱ δὲ μολόντες
ἄστυ ποτὶ σφέτερον, μεγάλης κρήδεμνα πόληος
λυσάμενοι λυγρὸν ἵππον ἐσήγαγον· αἱ δ' ὀλόλυξαν
Τρωϊάδες· πᾶσαι δὲ περισταδὸν εἰσορόωσαι
θάμβεον ὄβριμον ἔργον· ὃ δέ σφισιν ἔκρυφε πῆμα.
Λαοκόων δ' ἔτ' ἔμιμνεν ἐποτρύνων ἑτάροισιν
ἵππον ἀμαλδῦναι μαλερῷ πυρί· τοὶ δέ οἱ οὔτι
πείθοντ', ἀθανάτων γὰρ ὑποτρομέεσκον ὁμοκλήν.
Τῷ δ' ἔπι κύντερον ἄλλο θεὰ μεγάθυμος Ἀθήνη
δυστήνοις τεκέεσσιν ἐμήδετο Λαοκόωντος.
Δὴ γάρ που πέλεν ἄντρον ὑπὸ στυφελώδεϊ πέτρῃ
ἠερόεν, θνητοῖσιν ἀνέμβατον, ᾧ ἔνι θῆρες
σμερδαλέοι ναίεσκον ἔτ' οὐλομένοιο γενέθλης
Τυφῶνος, νήσοιο κατὰ πτύχας, ἥν τε Καλύδνην
λαοὶ ἐπικλείουσιν, ἔσω ἁλὸς ἀντία Τροίης.
Ἔνθεν ἀναστήσασα βίην καλέεσκε δρακόντων
ἐς Τροίην· οἱ δ' αἶψα θεῆς ὕπο κινηθέντες
νῆσον ἑὴν ἐτίναξαν· ἐπεσμαράγησε δὲ πόντος
νισσομένων, καὶ κῦμα διίστατο· τοὶ δ' ἐφέροντο
αἰνὸν λιχμώοντες· ἔφριξε δὲ κήτεα πόντου·
ἀμφὶ δ' ἄρα στενάχοντο μέγα Ξάνθοιο θύγατρες,
Νύμφαι, καὶ Σιμόεντος· ἀπ' Οὐλύμποιο δὲ Κύπρις
ἄχνυτο· τοὶ δ' ἄφαρ ἷξον ὅπῃ θεὸς ὀτρύνεσκε,
θήγοντες βλοσυρῇσι γενειάσι λοιγὸν ὀδόντων
δυστήνοις ἐπὶ παισί· κακὴ δ' ἐπενίσσατο φύζα
Τρῶας, ὅτ' εἰσενόησαν ἀνὰ πτόλιν αἰνὰ πέλωρα·
οὐδέ τις αἰζηῶν, οὐδ' εἰ μένος ἄτρομος ἦεν,
μεῖναι ἔτλη· πάντας γὰρ ἀμείλιχον ἄμφεχε δεῖμα
θῆρας ἀλευομένους, ὀδύνη δ' ἔχεν· ἐν δὲ γυναῖκες
οἴμωζον· καί πού τις ἑῶν ἐπελήσατο τέκνων,
αὐτὴ ἀλευομένη στυγερὸν μόρον· ἀμφὶ δὲ Τροίη
ἔστεν' ἐπεσσυμένων· πολλοὶ δ' ἄφαρ εἰς ἓν ἰόντες
γυῖα περιδρύφθησαν· ἐνεστείνοντο δ' ἀγυιαῖς
ἀμφιπεριπτώσσοντες. Ἔλειπτο δὲ μοῦνος ἄπωθεν
Λαοκόων ἅμα παισί· πέδησε γὰρ οὐλομένη Κὴρ
καὶ θεός· οἱ δέ οἱ υἷας ὑποτρομέοντας ὄλεθρον
ἀμφοτέρους ὀλοῇσιν ἀνηρείψαντο γένυσσι,
πατρὶ φίλῳ ὀρέγοντας ἑὰς χέρας· οὐδ' ὅγ' ἀμύνειν
ἔσθενεν· ἀμφὶ δὲ Τρῶες ἀπόπροθεν εἰσορόωντες

religantes desuper, quandoquidem ipsi præstans Epeus
pedibus validis versatiles rotas subjecerat,
ut juvenes ad urbem sequeretur
tractus Trojanorum manibus, qui simul omnes
traxerunt incumbentes frequentes, sicuti navem
trahunt annitentes in mare sonorum
juvenes, ac validi circumgemiscunt cylindri
pressi, graviterque carina circumstridens,
utrinque labens, descendit in maris undam.
Ita illi sibi-ipsis exitium ad urbem, opus Epei,
catervatim laborantes attrahebant, ac circa ipsum
valde copiosum coronarum floridum ornatum posuerunt,
ipsique coronarunt capita: valde vero vociferabatur populus,]se-invicem dum-adhortantur. Risit autem Bellona
videns belli tristem finem, atque ex-alto Juno
oblectabatur, Minerva etiam arridebat. Ipsi vero pergentes
ad urbem suam, magnæ mœnibus urbis
divisis exitiosum equum introduxerunt. Ulularunt autem
Trojanæ-feminæ, omnesque circumstando intuentes
stupebant ingentem machinam, quæ ipsis occultabat exitium.] Sed Laocoon adhuc perseverabat adhortando socios
equum ut-perderent sævo igni. Qui tamen ipsi minime
obtemperarunt, deorum enim metuebant indignationem.
Insuper autem tristius aliud *quid* dea magnanima Minerva
miseris filiis meditabatur Laocoontis.
Alicubi enim erat antrum sub aspera petra
obscurum, mortalibus inaccessum, in quo feræ
horrendæ habitabant adhuc de-exitiosa sobole
Typhonis, insulæ in recessibus, quam Calydnam
homines cognominant, in mari e-regione Trojæ
Unde excitatam vim evocabat draconum
ad Trojam. Illi vero celeriter a Dea commoti
insulam suam concusserunt, insonuitque mare
festinantibus *ipsis*, et unda sulcabatur, ipsique ferebantur
horribiliter linguas-vibrantes; horruerunt etiam balenæ maris,] circaque gemebant valde Xanthi filiæ,
Nymphæ, et Simoentis; at de Olympo *videns* Cypris
indoluit. Illi vero celeriter venerunt, quo Dea jubebat,
acuentes horribilibus genis exitium dentium
miseros in filios: malus autem invasit metus
Trojanos, cum conspexissent in urbe horrenda monstra,
nec quisquam juvenum, licet animo intrepidus esset,
manere sustinuit; cunctos enim horrendus occuparat metus,]feras dum-fugiunt, et dolor corripiebat; inter-quos mulieres]plorabant, atque nonnulla suorum oblita-est liberorum] ipsa fugiens odiosam mortem. Ubique vero Troja
gemebat irruentibus *draconibus*: multis ideo in unum
coeuntibus] membra sauciabantur, premebantur enim in
plateis]hinc-inde-trepidantes. At relictus-erat solus seorsim
Laocoon cum filiis, impediverat enim exitiosum Fatum
ac Dea; verum illi (*dracones*) ipsius filios metuentes mortem] ambos exitiosis corripuerunt genis,
patri dilecto porrigentes suas manus, neque vero ille opitulari] valebat. Circum vero Trojani eminus videntes

κλαῖον ὑπὸ κραδίῃσι τεθηπότες· οἱ δ' ἄρ' Ἀθήνης
προφρονέως τελέσαντες ἀπεχθέα Τρωσὶν ἐφετμὴν
ἄμφω ἀϊστώθησαν ὑπὸ χθόνα· τῶν δ' ἔτι σῆμα
φαίνεθ' ὅπου κατέδυσαν ἐς ἱερὸν Ἀπόλλωνος
Περγάμῳ ἐν ζαθέῃ· προπάροιθε δὲ Τρώϊοι υἷες
παίδων Λαοκόωντος ἀμείλιχα δῃωθέντων
τεῦξαν ἅμ' ἀγρόμενοι κενὸν τάφον· ᾧ ἔπι δάκρυ
χεῦε πατὴρ ἀλαοῖσιν ὑπ' ὄμμασιν· ἀμφὶ δὲ μήτηρ
πολλὰ κινυρομένη κενεῷ ἐπαΰτεε τύμβῳ,
ἐλπομένη τι καὶ ἄλλο κακώτερον· ἔστενε δ' ἄτην
ἀνέρος ἐν κραδίῃ, μακάρων δ' ὑποδείδιε μῆνιν.
Ὡς δ' ὅτ' ἐρημαίην περιμύρεται ἀμφὶ καλιὴν
πολλὰ μάλ' ἀχνυμένη κατὰ δάσκιον ἄγκος ἀηδὼν,
ἧς ἔτι νήπια τέκνα, πάρος κελαδεινὸν ἀείδειν,
δάμναθ' ὑπὸ γναθμοῖσι μένος βλοσυροῖο δράκοντος,
μητέρι δ' ἄλγεα θῆκε, καὶ ἄσπετον ἀσχαλόωσα
μύρεται ἀμφὶ δόμον κενεὸν μάλα κεκληγυῖα·
ὣς ἥγε στενάχιζε λυγρῷ τεκέων ἐπ' ὀλέθρῳ,
μυρομένη κενεῷ περὶ σήματι· σὺν δέ οἱ ἄλλο
πῆμα μάλ' ἀργαλέον πόσιος πέλεν ἀμφ' ἀλαοῖο.
Καί ῥ' ἡ μὲν φίλα τέκνα καὶ ἀνέρα κωκύεσκεν,
τοὺς μὲν ἀποφθιμένους, τὸν δ' ἄμμορον ἠελίοιο·
Τρῶες δ' ἀθανάτοισιν ἐπεντύνοντο θυηλὰς
λείβοντες μέθυ λαρὸν, ἐπεί σφισιν ἦτορ ἐώλπει
λευγαλέου πολέμοιο βαρὺ σθένος ἐξυπαλύξειν.
Ἱερὰ δ' οὐ καίοντο, πυρὸς δ' ἐσβέννυτ' ἀϋτμὴ,
ὄμβρου ὅπως καθύπερθε δυσηχέος ἐσσυμένοιο·
καπνὸς δ' αἱματόεις ἀνεκήκιε· μηρὰ δὲ πάντα
πίπτε χαμαὶ τρομέοντα· κατηρείποντο δὲ βωμοί·
σπονδαὶ δ' αἷμα γένοντο· θεῶν δ' ἐξέρρεε δάκρυ,
καὶ νηοὶ δεύοντο λύθρῳ· στοναχαὶ δ' ἐφέροντο
ἔκποθεν ἀπροφάτοιο· περισσείοντο δὲ μακρὰ
τείχεα, καὶ πύργοι μεγάλ' ἔκτυπον, ὡς ἐτεόν περ·
αὐτόματοι δ' ἄρ' ὀχῆες ἀνωΐγνυντο πυλάων
αἰνὸν κεκλήγοντες· ἐπεστενάχοντο δὲ λυγρὸν
ἐννύχιοι ὄρνιθες ἐρημαῖον βοόωντες·
ἄστρα δὲ πάντ' ἐφύπερθε θεοκμήτοιο πόληος
ἀχλὺς ἀμφεκάλυψε, καὶ ἀννεφέλου περ ἐόντος
οὐρανοῦ αἰγλήεντος· ἀπαυαίνοντο δὲ δάφναι
πὰρ νηὸν Φοίβοιο, πάρος θαλεραί περ ἐοῦσαι·
ἐν δὲ λύκοι καὶ θῶες ἀναιδέες ὠρύσαντο
ἔντοσθεν πυλέων· μάλα μυρία δ' ἀμφεφάανθη
σήματα Δαρδανίδῃσι καὶ ἄστεϊ πῆμα φέροντα.
Ἀλλ' οὐ δεῖμ' ἀλεγεινὸν ὑπὸ Τρώων φρένας ἷξε
δερκομένων ἀλεγεινὰ τεράατα πάντα κατ' ἄστυ·
Κῆρες γὰρ πάντων νόον ἔκβαλον, ὄφρ' ἐπὶ δαιτὶ
πότμον ἀναπλήσωσιν ὑπ' Ἀργείοισι δαμέντες.
Οἴη δ' ἔμπεδον ἦτορ ἔχεν πινυτόν τε νόημα
Κασσάνδρη, τῆς οὔποτ' ἔπος γένετ' ἀκράαντον,
ἀλλ' ἄρ' ἐτήτυμον ἔσκεν, ἀκούετο δ' ἔκ τινος αἴσης
ὡς ἀνεμώλιον αἰὲν, ἵν' ἄλγεα Τρωσὶ γένηται.
Ἡ ῥ' ὅτε σήματα λυγρὰ κατὰ πτόλιν εἰσενόησεν
εἰς ἓν ἅμ' ἀΐσσοντα, μέγ' ἴαχεν, εὖτε λέαινα,
ἥν ῥά τ' ἐνὶ ξυλόχοισιν ἀνὴρ λελιημένος ἄγρης·

plorabant in cordibus stupore-perculsi : illi autem Minervæ
prompte persecuti invisum Trojanis jussum
ambo evanuerunt sub terram. Horum vero adhuc vestigium
apparebat, ubi subiissent in templum Apollinis
in Pergamo sacra : ante *id* autem Trojani
filiorum Laocoontis crudeliter necatorum
excitarunt simul collecti cenotaphium, super quod lacrimas
fudit pater cæcis oculis, materque circum
multum questa vacuum ejulabat-ad sepulcrum,
expectans aliud etiam tristius. Lugebat autem calamitatem
viri in pectore ac deorum formidabat indignationem.
Ut cum vacuum queritur circa nidum
valde multum dolens in umbrosa valle luscinia,
cujus adhuc implumes pullos, priusquam suaviter canerent,
peremit maxillis vis horrendi draconis,
matrique dolorem peperit, *ea*que immensum dolens
luget circa nidum vacuum magno clangore :
sic illa lugebat miseram ob filiorum necem,
lacrimans inane ad monumentum, et simul ipsi altera
afflictio valde gravis propter maritum erat cæcum.
Et hæc quidem caros filios et maritum deplorabat,
illos extinctos, hunc privatum sole (*lumine*) :
Trojani contra diis adornabant sacra
libantes vinum dulce, quandoquidem ipsis cor sperabat
tristis belli grave onus se-effugituros.
Verum victimæ non comburebantur, ignisque extinguebatur flamma] veluti imbre sonoro desuper effuso,
ac fumus sanguinolentus sursum-ferebatur, femoraque
cuncta] cadebant in-terram trementia, labebant etiam aræ,
ac libamina sanguis fiebant, et ex-diis (*deorum simulacris*)
fluebat lacrima] ac templa rigabantur sanie gemitusque
edebantur] alicunde ex-improviso et concutiebantur alti
muri, ac turres ingentem reddebant-fragorem, tanquam
vere.] Ac sponte repagula se-aperiebant portarum
horribiliter sonantia; ululabant etiam horrende
nocturnæ aves in-solitudine vociferantes,
astraque cuncta super ædificatam-a-diis urbem
caligo obtexit, licet sine-nubibus esset
cœlum splendidum, atque exarescebant lauri
ad templum Apollinis, quamvis antea floridæ fuissent
Ad-hæc etiam lupi et thoes efferi rugiebant
intra portas, ac plane innumera apparuerunt
prodigia Trojanis et urbi exitium denunciantia.
Nec tamen metus tristis in Trojanorum corda pervenit,
videntium tristia signa cuncta per urbem.
Parcæ enim omnium mentem excusserant, ut in convivio
fatum *suum* explerent a Græcis cæsi.
Sola vero immotum cor tenebat ac sapientem mentem
Cassandra, cujus nunquam oraculum fuerat vanum,
sed verum erat, audiebatur autem quodam fato
ut vanum semper, ut dolores Trojanis evenirent.
Illa igitur cum prodigia tristia in urbe observasset
in unum simul concurrentia, alte exclamavit veluti leæna,
quam in saltibus vir cupidus prædæ

οὐτάσῃ ἠὲ βάλῃ, τῆς δ' ἐν φρεσὶ μαίνεται ἦτορ
πάντῃ ἀν' οὔρεα μακρὰ, πέλει δέ οἱ ἄσχετος ἀλκή·
ὣς ἄρα μαιμώωσα θεόπροπον ἔνδοθεν ἦτορ
ἤλυθεν ἐκ μεγάροιο· κόμαι δέ οἱ ἀμφεκέχυντο
ὤμοις ἀργυφέοισι, μετάφρενον ἄχρις ἰοῦσαι·
ὄσσε δέ οἱ μάρμαιρεν ἀναιδέα· τῆς δ' ὑπὸ δειρὴ,
ἐξ ἀνέμων ἅτε πρέμνον, ἄδην ἐλελίζετο πάντῃ.
Καί ῥα μέγα στενάχιζε καὶ ἴαχε παρθένος ἐσθλή·
Ἆ δειλοὶ, νῦν ἔβημεν ὑπὸ ζόφον· ἀμφὶ γὰρ ἡμῖν
ἔμπλειον πυρὸς ἄστυ καὶ αἵματος ἠδὲ καὶ οἴτου
λευγαλέου· πάντῃ δὲ τεράατα δακρυόεντα
ἀθάνατοι φαίνουσι, καὶ ἐν ποσὶ κείμεθ' ὀλέθρου.
Σχέτλιοι, οὐδέ τι ἴστε κακὸν μόρον, ἀλλ' ἅμα πάντες
χαίρετ' ἄρ' ἀφραδέοντες· ὃ γὰρ μέγα πῆμα κέκευθεν.
Ἀλλά μοι οὐ πείθεσθ', οὐδ' εἰ μάλα πόλλ' ἀγορεύσω,
οὕνεκ' Ἐριννύες ἄκρα γάμου κεχολωμέναι αἰνοῦ
ἀμφ' Ἑλένης καὶ Κῆρες ἀμείλιχοι αἴσσουσι
πάντῃ ἀνὰ πτολίεθρον· ἐπ' εἰλαπίνῃ δ' ἀλεγεινῇ
δαίνυσθ' ὕστατα δόρπα κακῷ πεφορυγμένα λύθρῳ
ἤδη ἐπιψαύοντες ὁμὴν ὁδὸν εἰδώλοισιν.
Καί τις κερτομέων ὀλοφώϊον ἔκφατο μῦθον·
Ὦ κούρη Πριάμοιο, τίη νύ σε μάργος ἀνώγει
γλῶσσα κακοφραδίη τ' ἀνεμώλια πάντ' ἀγορεύειν;
οὐ δέ σε παρθενικὴ καὶ ἀκήρατος ἀμφέχει αἰδὼς,
ἀλλά σε λύσσ' ὀλοὴ περιδέδρομε· τῷ νύ σε πάντες
αἰὲν ἀτιμάζουσι βροτοὶ πολύμυθον ἐοῦσαν·
ἔῤῥε, καὶ Ἀργείοισι κακὴν προτιόσσεο φήμην
ἠδ' αὐτῇ· τάχα γάρ σε καὶ ἀργαλεώτερον ἄλγος
μίμνει Λαοκόωντος ἀναιδέος· οὐ γὰρ ἔοικεν
ἀθανάτων φίλα δῶρα δαϊζέμεν ἀφραδέοντα.
Ὣς ἄρ' ἔφη Τρώων τις ἀνὰ πτόλιν· ὣς δὲ καὶ ἄλλοι
κούρην μωμήσαντο καὶ οὐ φάσαν ἄρτια βάζειν,
οὕνεκ' ἄρα σφισι πῆμα καὶ ἀργαλέον μένος Αἴσης
ἄγχι παρειστήκει· τοὶ δ' οὐ νοέοντες ὄλεθρον,
κείνην κερτομέοντες ἀπέτρεπον εὐρέος ἵππου.
Ἦ γάρ οἱ μενέαινε διὰ ξύλα πάντα κεδάσσαι
ἠὲ καταπρῆσαι μαλερῷ πυρί· τοὔνεκα πεύκης
αἰθομένης ἔτι δαλὸν ἀπ' ἐσχαρεῶνος ἑλοῦσα
ἔσσυτο μαιμώωσ'· ἑτέρῃ δ' ἐνὶ χειρὶ φέρεσκεν
ἀμφίτυπον βουπλῆγα· λυγρῷ δ' ἐπεμαίνετο ἵππῳ,
ὄφρα λόχον στονόεντα καὶ ἀμφαδὸν ἀθρήσωσι
Τρῶες. Τοὶ δέ οἱ αἶψα χερῶν ἀπὸ νόσφι βαλόντες
πῦρ ὀλοόν τε σίδηρον ἀκηδέες ἐντύνοντο
δαῖτα λυγρήν· μάλα γάρ σφιν ἐπήϊεν ὑστατίη νύξ.
Ἀργεῖοι δ' ἔντοσθεν ἐγήθεον εἰσαΐοντες
δαινυμένων ὅμαδον κατὰ Ἴλιον οὐδ' ἀλεγόντων
Κασσάνδρης, τήν ῥ' αὐτοὶ ἐθάμβεον, ὡς ἐτέτυκτο
ἀτρεκέως εἰδυῖα νόον καὶ μῆτιν Ἀχαιῶν.
Ἡ δ' ἅτε πόρδαλις ἔσσυτ' ἐν οὔρεσιν ἀσχαλόωσα,
ἥν τ' ἀπὸ μεσσαύλοιο κύνες μογεροί τε νομῆες
σεύοντ' ἐσσυμένως, ἡ δ' ἄγριον ἦτορ ἔχουσα,
ἐντροπαλιζομένη ἀναχάζεται ἐσσυμένη περ·
ὣς ἥγ' εὐρέος ἵππου ἀπέσσυτο, τειρομένη κῆρ
Τρώων ἀμφὶ φόνῳ· μάλα γὰρ μέγα δέχνυτο πῆμα.

vulnerarit aut jaculo-fixerit, ejus vero in pectore furit cor
ubique per montes vastos, atque est ejus non-cohibenda
vis :] sic etiam furore-percita fatidico in corde,
proruit e domo, comæ vero ipsi diffusæ-fuerant
per-humeros argenteos ad-dorsum usque protensæ,
et oculi ipsi radiabant impudenter; ejus autem cervix
quasi a ventis ramus, valde agitabatur huc-illuc.
Et vehementer gemuit ac clamavit virgo eximia :
Heu miseri, nunc subimus tenebras; undique enim nobis
plena igne urbs et sanguine atque exitio
tristi, et ubique prodigia luctuosa
dii exhibent, atque inter pedes jacemus exitii.
O miseri, plane ignoratis triste fatum, sed simul omnes
gaudetis insipientes : hic (*equus*) enim magnum malum
occultat.]Verum mihi non obtemperabitis, neque si valde
multa dixero,] quia Furiæ graviter propter-nuptias iratæ
horrendas] Helenæ ac Parcæ immites ruunt
ubique per urbem. In convivio autem tristi
epulamini postremas epulas turpi inquinatas tabo,
jam attingentes viam communem umbris-mortuorum.
At quispiam cavillans exitiosum protulit verbum :
O filia Priami, quare te effrenis jubet
lingua ac stultiloquentia vana omnia dicere?
neque te virgineus et intactus retinet pudor,
sed te rabies pernitiosa circumcursitat : ideo te omnes
nullo-unquam honore-dignantur homines, loquacem existentem.] Abeas-in-malam-rem, ac Græcis funestum edas
oraculum] ac tibi-ipsi. Forte te etiam acerbior calamitas
manet Laocoonte impudente : non enim decet
deorum cara dona impetere dementem.
Sic dixit Trojanorum quispiam in urbe, sic etiam alii
puellam objurgarunt ac negarunt sana *eam* loqui,
quia ipsis malum et ineluctabilis vis Fati
prope astabant. Ipsi vero non cogitantes de-interitu,
illam conviciis-petentes depellebant ab-immenso equo.
Etenim instituerat ejus ligna cuncta dissipare,
aut comburere sævo igni, ideoque piceæ
ardentis adhuc titione de foco correpto
irruebat furore-percita, altera vero manu ferebat
ancipitem bipennem, funestumque rabide-impetebat equum
ut insidias luctiferas etiam aperte contemplarentur
Trojani. Sed hi ipsi celeriter e manibus excutientes
ignem ac pernitiosum ferrum, hilares adornabant
convivium triste. Valde enim ipsis ingruebat postrema nox.
Cæterum Græci intus gaudebant exaudientes
convivantium strepitum per Ilium, neque curantium
Cassandram, quam ipsi admirabantur, quod fuisset
vere edocta mentem et consilium Græcorum.
Illa vero ruebat ut pardalis in montibus irritata,
quam a stabulo canes seduli que pastores
propulsarunt festinanter; ea vero sævum cor habens
aversa retrocedit, quamvis incitata :
sic illa ingenti ab-equo recedebat, cruciata cor [perniciem.
Troum propter cædem; valde enim magnam expectabat

ΛΟΓΟΣ ΙΓ.

Οἱ δ' ἄρ' ἀνὰ πτολίεθρον ἐδόρπεον· ἐν δ' ἄρα τοῖσιν
αὐλοὶ ὁμῶς σύριγξι μέγ' ἤπυον· ἀμφὶ δὲ πάντη
μολπὴ ἐπ' ὀρχηθμοῖσι καὶ ἄκριτος ἔσκεν ἀϋτὴ
δαινυμένων, οἵη τε πέλει παρὰ δαιτὶ καὶ οἴνῳ·
ὧδε δέ τις χείρεσσι λαβὼν ἔνι πλεῖον ἄλεισον
πίνεν ἀκηδέστως· βαρύθοντο δέ οἱ φρένες ἔνδον·
ἀμφὶ δ' ἄρ' ὀφθαλμοὶ στρεφεδίνεον· ἄλλο δ' ἐπ' ἄλλῳ
ἐκ στόματος προΐεσκεν ἔπος κεκολουμένα βάζων·
καί ῥά οἱ ἐν μεγάρῳ κειμήλια καὶ δόμος αὐτὸς
φαίνετο κινυμένοισιν ἐοικότα· πάντα δ' ἐώλπει
ἀμφιπεριστρωφᾶσθαι ἀνὰ πτόλιν· ὄσσε δ' ἄρ' ἀχλὺς
ἄμφεχεν· ἀκρήτῳ γὰρ ἀμαλδύνονται ὀπωπαὶ
καὶ νόος αἰζηῶν, ὁπότ' ἐς φρένα χανδὸν ἵκηται·
καί ῥα καρηβαρέων τοῖον ποτὶ μῦθον ἔειπεν·
Ἦ ῥ' ἅλιον Δαναοὶ πουλὺν στρατὸν ἐνθάδ' ἄγειραν,
σχέτλιοι, οὐδ' ἐτέλεσσαν ὅσα φρεσὶ μηχανόωντο,
ἀλλ' αὔτως ἀπόρουσαν ἀπ' ἄστεος ἡμετέροιο,
νηπιάχοις παίδεσσιν ἐοικότες ἠδὲ γυναιξίν.
Ὣς ἄρ' ἔφη Τρώων τις ἐεργόμενος φρένας οἴνῳ,
νήπιος· οὐ δ' ἄρ' ἐφράσσατ' ἐπὶ προθύροισιν ὄλεθρον.
Εὖτε γὰρ ὕπνος ἔρυκεν ἀνὰ πτόλιν ἄλλοθεν ἄλλον,
οἴνῳ ἀναπλήθοντας ἀπειρεσίῳ καὶ ἐδωδῇ,
δὴ τότ' ἄρ' αἰθαλόεντα Σίνων ἀνὰ πυρσὸν ἄειρεν
δεικνὺς Ἀργείοισι πυρὸς σέλας· ἀμφὶ δέ οἱ κῆρ
ἄσπετα πορφύρεσκε κατὰ φρένα, μή μιν ἴδωνται
Τρῶες ἐϋσθενέες, τάχα δ' ἀμφαδὰ πάντα γένηται.
Ἀλλ' οἱ μὲν λεχέεσσι πανύστατον ὕπνον ἴαυον
πολλῷ ὑπ' ἀκρήτῳ βεβαρηότες· οἱ δ' ἐσιδόντες
ἐκ Τενέδου νήεσσιν ἐπὶ πλόον ἐντύνοντο.
Αὐτὸς δ' ἄγχ' ἵπποιο Σίνων κίεν· ἦκα δ' ἄϋσεν,
ἦκα μάλ', ὡς μήπου τις ἐνὶ Τρώεσσι πύθηται,
ἀλλ' οἶοι Δαναῶν ἡγήτορες, ὧν ἀπὸ νόσφιν
ὕπνος ἄδην πεπότητο λιλαιομένων πονέεσθαι.
Οἵ ῥά οἱ ἔνδον ἐόντες ἐπέκλυον· ἐς δ' Ὀδυσῆα
πάντες ἐπ' οὔατ' ἔνευσαν· ὁ δέ σφεας ὀτρύνεσκεν
ἦκα καὶ ἀτρεμέως ἐκβήμεναι· οἱ δ' ἐπίθοντο
ἐς μόθον ὀτρύνοντι καὶ ἐξ ἵπποιο χαμάζε
ὥρμαινον πονέεσθαι· ὁ δ' ἰδρείῃσιν ἔρυκε
πάντας ἐπεσσυμένους· αὐτὸς δ' ἄρα χερσὶ θοῇσιν
ἵππου δουρατέοιο μάλ' ἀτρέμας ἔνθα καὶ ἔνθα
πλευρὰ διεξώϊξεν ἐϋμμελίῃ ὑπ' Ἐπειῷ·
βαιὸν δ' ἐξανέδυ σανίδων ὕπερ, ἀμφὶ δὲ πάντη
Τρῶας παπταίνεσκεν, ἐγρηγορότ' εἴπου ἴδοιτο.
Ὡς δ' ὅταν ἀργαλέῳ λιμῷ βεβολημένος ἦτορ
ἐξ ὀρέων ἔλθῃσι λύκος χατέων μάλ' ἐδωδῆς
ποίμνης πρὸς σταθμὸν εὐρὺν, ἀλευόμενος δ' ἄρα φῶτας
καὶ κύνας, οἵ ῥά τε μῆλα φυλασσέμεναι μεμάασι,
βαίνῃ ποσσὶν ἕκηλος ὑπὲρ ποιμνήϊον ἕρκος·
ὣς Ὀδυσεὺς ἵπποιο κατήϊεν· ἀμφὶ δ' ἄρ' αὐτῷ
ὄβριμοι ἄλλοι ἕποντο Πανελλήνων βασιλῆες

LIBER XIII.

Illi igitur (*Trojani*) in urbe convivabantur, interque eos
tibiæ cum fistulis valde sonabant, et circumquaque
cantus cum tripudiis et indiscretus erat sonitus
convivantium, qui solet-esse in convivio et compotione.
Ibi vero quis in manibus accepto pleno poculo
bibebat secure, gravabatur autem ipsi mens intus,
atque oculi vertigine-corripiebantur, aliudque super alio
ex ore emittebat verbum impedite loquens,
et ipsi in domo repositæ-res ipsaque domus
videbantur commotis similia, omniaque putabat
circumferri in urbe, oculos enim caligo
circumsepiebat; nam mero hebetantur oculi
et mens juvenum, cum in præcordia copiose descenderit;
ac caput-gravatus tale verbum protulit:
Certe frustra Græci immensum exercitum hic contraxerunt,]miseri, neque compleruntquæ in animis machinabantur,] sed re-infecta refugerunt ab urbe nostra,
parvis pueris similes ac mulieribus.
Sic dixit Trojanorum quispiam impeditus mentem vino,
stolidus, neque advertit præ foribus exitium.
Postquam enim somnus oppressit alibi alium,
vino impletos nimis-multo et cibo,
tunc demum ardentem Sinon facem sustulit
ostendens Græcis ignis flammam. Ipsius autem cor
valde sollicitum-erat in pectore, ne ipsum viderent
Trojani strenui, ac celeriter palam cuncta fierent.
Verum illi in toris postremum somnum carpebant,
multo mero gravati; hi (*Græci*) autem conspicientes
ex Tenedo, navibus navigationem adornarunt.
Ipse vero prope-ad equum Sinon accessit ac submisse clamavit,]submisse valde, ne forte quis Trojanorum audiret,
sed soli Græcorum duces, a quibus procul
valde somnus avolarat, cupientibus pugnam-inire.
Hi vero inclusi qui-erant eum exaudierunt, et ad Ulyssem
omnes aures inclinarunt. Is autem illos jussit
tacite et sine-strepitu exire, qui etiam obtemperabant
ad bellum excitanti, et ex equo in-terram
festinabant ad-pugnandum. Verum ipse prudenter cohibebat
cunctos cum-impetu-erupturos, et ipse manibus expeditis
equi lignei perplacide hinc et illinc
latera aperuit bene-hastato cum Epeo,
ac paulum emersit supra valvas et circumquaque
Troas circumspexit, vigilantem num forte videret *aliquem.*] Ut cum tristi fame stimulatus cor,
ex montibus proruit lupus valde expetens prædæ
ad gregis amplum stabulum, sed devitans viros
et canes, qui oves custodire promti-sunt,
incedit pedibus tacitus ad pastorale septum:
sic Ulysses ex-equo descendit. Post ipsum autem
fortes cæteri sequebantur Græcorum duces,

νισσόμενοι κλίμαξι κατὰ στίχας, ἅσπερ Ἐπειὸς
τεῦξεν ἀριστήεσσιν ἐϋσθενέεσσι κέλευθα
ἵππον ἐσερχομένοισι καὶ ἐξ ἵπποιο κιοῦσιν·
οἵ ῥα τότ' ἀμφ' αὐτῇσι κατήϊον ἄλλοθεν ἄλλοι,
θαρσαλέοι, σφήκεσσιν ἐοικότες, οὕς τε κλονήσῃ
δρυτόμος, οἱ δ' ἄρα πάντες ὀρινόμενοι πέρι θυμῷ
ὄζου ὑπεκπροχέονται, ὅτε κτύπον εἰσαΐουσιν·
ὣς οἵγ' ἐξ ἵπποιο μεμαότες ἐξεχέοντο
ἐς Τρώων πτολίεθρον ἐΰκτιτον· ἐν δ' ἄρα τοῖσι
πάλλετ' ἐνὶ στέρνοισι κέαρ· τάχα δ' οἱ μὲν ἔναιρον
δυσμενέας· τοὶ δ' ἔσχον ἔσω ἁλὸς, αἱ δ' ἐφέροντο
νῆες ὑπὲρ μέγα χεῦμα· Θέτις δ' ἴθυνε κέλευθα
οὖρον ἐπιπροϊεῖσα· νόος δ' ἰαίνετ' Ἀχαιῶν.
Καρπαλίμως δ' ἐλθόντες ἐπ' ἠόνας Ἑλλησπόντου
ἔνθ' αὖθις στήσαντο νέας, σὺν δ' ἄρμενα πάντα
εἷλον ἐπισταμένως, ὅσα νήεσιν αἰὲν ἕπονται·
αὐτοὶ δ' αἶψ' ἐκβάντες ἐς Ἴλιον ἐσσεύοντο
ἄβρομοι, ἠΰτε μῆλα περὶ σταθμὸν ἀΐσσοντα
ἐκ νομοῦ ὑλήεντος ὀπωρινὴν ὑπὸ νύκτα·
ὣς οἵγ' αὐΐαχοι Τρώων ποτὶ ἄστυ νέοντο
πάντες ἀριστήεσσιν ἀρηγέμεναι μεμαῶτες.
Οἱ δ' ὡς παρδάλιες λιμῷ περιπαιφάσσοντες
σταθμῷ ἐπιβρίσωσι κατ' οὔρεα μακρὰ καὶ ὕλην
εὕδοντος μογεροῦ σημάντορος, ἄλλα δ' ἐπ' ἄλλοις
δάμνανθ' ἕρκεος ἐντὸς ὑπὸ κνέφας· ἀμφὶ δὲ πάντη
* * * * * * * * * *
αἵματι καὶ νεκύεσσιν, ὀρώρει δ' αἰνὸς ὄλεθρος,
καίπερ ἔτι πλεόνων Δαναῶν ἔκτοσθεν ἐόντων.
Ἀλλ' ὅτε δὴ μάλα πάντες ἔβαν ποτὶ τείχεα Τροίης,
δὴ τότε μαιμώωντες ἀνηλεγέως ἐπέχυντο
ἐς Πριάμοιο πόληα μένος πνείοντες Ἄρηος·
πᾶν δ' εὗρον πτολίεθρον ἐνίπλειον πολέμοιο
καὶ νεκύων, πάντῃ δὲ πέρι στονόεντα μέλαθρα
καιόμεν' ἀργαλέως· μέγα δὲ φρεσὶν ἰαίνοντο.
Ἐν δὲ καὶ αὐτοὶ Τρωσὶ κακὰ φρονέοντες ὄρουσαν·
μαίνετο δ' ἐν μέσσοισιν Ἄρης στονόεσσα τ' Ἐνυώ·
πάντῃ δ' αἷμα κελαινὸν ὑπέρρεε, δεύετο δὲ χθὼν
Τρώων ὀλλυμένων ἠδ' ἀλλοδαπῶν ἐπικούρων·
τῶν οἱ μὲν θανάτῳ δεδμημένοι ὀκρυόεντι
κεῖντο κατὰ πτολίεθρον ἐν αἵματι· τοὶ δ' ἐφύπερθε
πίπτον ἀποπνείοντες ἑὸν μένος· οἱ δ' ἄρα χειρὶ
δράγδην ἔγκατ' ἔχοντες ὀϊζυρῶς ἀλάληντο
ἀμφὶ δόμους· ἄλλοι δὲ ποδῶν ἑκάτερθε κοπέντων
ἀμφὶ νεκροὺς εἵρπυζον ἀάσπετα κωκύοντες·
πολλῶν δ' ἐν κονίῃσι μαχήσασθαι μεμαώτων
χεῖρες ἀπηράχθησαν ὁμῶς κεφαλῇσι καὶ αὐτῇς·
φευγόντων δ' ἑτέρων μελίαι διὰ νῶτα πέρησαν
ἀντικρὺς ἐς μαζοὺς, τῶν δ' ἰξύας, ἄχρις ἱκέσθαι
αἰδοίων ἐφύπερθε διαμπερὲς, ἧχι μάλιστα
Ἄρεος ἀκαμάτοιο πέλει πολυώδυνος αἰχμή.
Πάντη δ' ἀμφὶ πόληα κυνῶν ἀλεγεινὸς ὀρώρει
ὠρυθμός· στοναχὴ δὲ δαϊκταμένων αἰζηῶν
ἔπλετο λευγαλέη· περὶ δ' ἴαχε πάντα μέλαθρα
ἄσπετον· οἰμωγὴ δὲ πέλεν στονόεσσα γυναικῶν

descendentes scalis gradatim, quas Epeus
fabricarat principibus strenuis vias,
in equum conscendentibus et ex equo descendentibus:
hi igitur tunc per ipsas descendebant aliunde alii
intrepidi, vespis similes, quas turbat
lignator; ipsæ vero cunctæ percitæ vehementer ira
ex-ramo effunduntur, cum strepitum exaudiunt:
sic etiam illi ex equo promti effundebantur
in Trojanorum urbem munitam; at ipsis
palpitabat in pectoribus cor. Mox itaque hi trucidabant
hostes, illi vero erant in mari, ac ferebantur
naves super vastum æquor, Thetisque dirigebat cursum
ventum-secundum immittens, unde mens oblectabatur
Græcorum.]Celeriter autem profecti ad littora Hellesponti
ibi iterum constituerunt naves, et armamenta cuncta
contraxerunt scienter, quæ naves semper sequuntur:
ipsi vero celeriter egressi in Ilium impetuose-ferebantur
cum-fremitu, veluti oves ad stabulum properantes
e pascuis nemorosis autumnalem sub noctem;
sic etiam illi strepentes Troum ad urbem contendebant,
omnes principibus auxilio-venire parati.
Illi vero, ut pardi fame in-rabiem-acti
stabulo ingruunt per montes arduos et silvam
dormiente defatigato pastore, aliasque post alias *(oves)*
mactant intra septum per caliginem, circum autem ubique
* * * * * * * * * * * * * * * * * * * *
sanguine et cadaveribus, atque oriebatur sæva cædes,
quamquam adhuc plures Græcorum extra *urbem* erant.
Verum cum jam cuncti accessissent ad muros Trojæ,
tunc magno-impetu temere infundebantur
in Priami urbem robur spirantes Martis,
totamque invenerunt urbem repletam bello
et cadaveribus, ac circumquaque luctuosas domos
ardentes terribiliter: valde autem in animis oblectabantur.
Inde etiam ipsi in Trojanos hostili animo irruerunt;
furebat autem inter medios Mars ac luctifica Bellona,
et ubique sanguis ater inundabat, ac rigabatur terra
Trojanis pereuntibus et alienigenis auxiliariis,
quorum alii quidem morte prostrati horrenda
jacebant per urbem in sanguine, alii super
cadebant efflantes suam animam, alii etiam manu
collectim intestina tenentes misere errabant
per domus, alii vero pedibus utrinque resectis
inter mortuos serpebant horrendum ululantes,
multorum etiam in pulvere pugnare cupientium
manus amputatæ-sunt cum capitibus etiam ipsis,
fugientibus contra aliis hastæ per dorsa transierunt
usque ad papillas, aliorumque *ad* lumbos, usque dum penetrarent]supra pubem penitus, ubi maxime
Martis indefessi hasta est dolorifica.
Ubique porro circa urbem canum tristis excitatus-est
latratus, ac gemitus cæsorum juvenum
erat miserabilis, circumque sonuerunt cunctæ domus
valde, ploratus etiam erat tristissimus mulierum

εἰδομένων γεράνοισιν, ὅτ' αἰετὸν ἀθρήσωσιν
ὑψόθεν ἀΐσσοντα δι' αἰθέρος, οὐδ' ἄρα τῇσι
θαρσαλέον στέρνοισι πέλει μένος, ἀλλά ἑ μοῦνον
μακρὸν ἀνατρίζουσι φοβεύμεναι ἱερὸν ὄρνιν.
Ὣς ἄρα Τρωϊάδες μέγα κώκυον ἄλλοθεν ἄλλαι,
αἱ μὲν ἀνεγρόμεναι λεχέων ἄπο, ταὶ δ' ἐπὶ γαῖαν
θρώσκουσαι· τῇς δ' οὔτι μίτρης ἔτι μέμβλετο λυγρῆς,
ἀλλ' αὔτως ἀλάληντο περὶ μελέεσσι χιτῶνας [πτρην,
μοῦνον ἐφεσσάμεναι· ταὶ δ' οὐ φθάσαν οὔτε καλύ-
οὔτε βαθὺν μελέεσσιν ἑλεῖν πέπλον, ἀλλ' ἐπιόντας
δυσμενέας τρομέουσαι ἀμηχανίῃ πεπέδηντο,
παλλόμεναι κραδίην· μοῦνον δ' ἄρα χερσὶ θοῇσιν
αἰδῶ ἀπεκρύψαντο δυσάμμοροι· αἱ δ' ἀλεγεινῶς
ἐκ κεφαλῆς τίλλοντο κόμην καὶ στήθεα χερσὶ
θεινόμεναι γοάασκον ἄδην· ἕτεραι δὲ κυδοιμὸν
δυσμενέων ἔτλησαν ἐναντίον, ἐκ δ' ἐλάθοντο
δείματος, ὀλλυμένοισιν ἀρηγέμεναι μεμαυῖαι
ἀνδράσιν ἢ τεκέεσσιν, ἐπεὶ μέγα θάρσος ἀνάγκη
ὤπασεν· οἰμωγὴ δ' ἀταλάφρονας ἔκβαλεν ὕπνου
νηπιάχους, τῶν οὔπω ἐπίστατο κήδεα θυμός.
Ἄλλοι δ' ἀμφ' ἄλλοισιν ἀπέπνεον· οἱ δ' ἐκέχυντο
πότμον ὁμῶς ὁρόωντες ὀνείρασιν· ἀμφὶ δὲ λυγραὶ
Κῆρες ὀϊζυρῶς ἐπεγήθεον ὀλλυμένοισιν·
οἱ δ' ὥστ' ἀφνειοῖο σύες κατὰ δώματ' ἄνακτος
εἰλαπίνην λαοῖσιν ἀπείριτον ἐντύνοντος
μυρίοι ἐκτείνοντο· λυγρῷ δ' ἀνεμίσγετο λύθρῳ
οἶνος ἔτ' ἐν κρητῆρσι λελειμμένος· οὐδέ τις ἦεν,
ὅς κεν ἄνευθε φόνοιο φέρε στονόεντα σίδηρον,
οὐδ' εἴ τις μάλ' ἄναλκις ἔην· ὀλέκοντο δὲ Τρῶες·
ὡς δ' ὑπὸ θώεσι μῆλα δαΐζεται ἠὲ λύκοισι,
καύματος ἐσσυμένοιο δυσαέος ἤματι μέσσῳ,
ποιμένος οὐ παρεόντος, ὅτε σκιερῷ ἐνὶ χώρῳ
ἰλαδὸν ἀλλήλοισιν ὁμῶς συναρηρότα πάντα
μίμνωσιν, κείνοιο γλάγος ποτὶ δῶμα φέροντος,
* * * * * * * * *
νηδύα πλησάμενοι πολυχανδέα, πάντ' ἐπιόντες
αἷμα μέλαν πίνουσιν, ἅπαν δ' ὀλέκουσι μένοντες
πῶϋ, κακὴν δ' ἄρα δαῖτα λυγρῷ τεύχουσι νομῆϊ·
ὣς Δαναοὶ Πριάμοιο κατὰ πτόλιν ἄλλον ἐπ' ἄλλῳ
κτεῖνον ἐπεσσύμενοι πυμάτην ἀνὰ δηϊοτῆτα·
οὐδ' ἄρ' ἔην Τρώων τις ἀνούτατος, ἀλλ' ἄρα πάντων
γναμπτὰ μέλη πεπάλακτο μελαινόμεν' αἵματι πολ- [λῷ.
Οὐδὲ μὲν Ἀργείοισιν ἀνούτητος πέλε δῆρις,
ἀλλ' οἱ μὲν δεπάεσσι τετυμμένοι, οἱ δὲ τραπέζαις,
οἱ δ' ἔτι καιομένοισιν ἐπ' ἐσχαρεῶσι τυπέντες
δαλοῖς ἠδ' ὀβελοῖσι πεπαρμένοι ἐκπνείεσκον,
οἷς ἔτι που καὶ σπλάγχνα συῶν περὶ θερμὰ λέλειπτο
Ἡφαίστου μαλεροῖο περιζείοντος ἀϋτμῇ·
ἄλλοι δ' αὖ πελέκεσσι καὶ ἀξίνῃσι θοῇσιν
ἤσπαιρον δμηθέντες ἐν αἵματι· τῶν δ' ἀπὸ χειρῶν
δάκτυλοι ἐτμήθησαν, ἐπὶ ξίφος εὖτε βάλοντο
χεῖρας ἐελδόμενοι στυγερὰς ἀπὸ Κῆρας ἀμύνειν·
καί πού τις βρεχμόν τε καὶ ἐγκέφαλον συνέχευε
λᾶα βαλὼν ἑτάροιο κατὰ μόθον. Οἱ δ' ἅτε θῆρες

quæ-similes-erant gruibus, quando aquilam conspexerint
ex-alto irruentem per æthera; neque enim ipsis
intrepidum in-pectoribus est robur, sed in ipsam tantum
multum strident metuentes sacram avem :
sic etiam Troiades valde plorabant aliunde aliæ,
aliæ quidem excitatæ de lectis, aliæ vero in terram
prosilientes, quibus non mitræ amplius cura-erat tristibus,
sed temere errabant, circa membra subuculas
tantum indutæ; aliæ vero non prius-poterant, neque ca-
lyptram] neque demissum membris circumdare peplum,
sed irruentes] hostes trementes perplexitate fuerant obvin-
ctæ,] turbatæ animo, solum itaque manibus celeribus
pudenda tegebant infelices; aliæ misere
e capite vellebant comam ac pectora manibus
plangentes plorabant admodum; aliæ vero pugnam
contra hostes sustinuerunt et obliviscebantur
timoris, pereuntibus auxiliari paratæ
viris aut liberis, quia magnam fiduciam necessitas
præbuerat. Cæterum ploratus teneros excitabat e-somno
infantes, quorum mens nondum norat curas:
alii vero juxta alios expirabant, aliique sternebantur
exitium una conspicientes cum-somniis. Undique autem
tristes] Parcæ terribiliter gaudebant ob-pereuntes.
Illi vero (*Trojani*), ut porci opulenti in ædibus regis
convivium populo splendidum apparantis,
innumeri trucidabantur, ac fœdo miscebatur cruore
vinum adhuc in crateris reliquum; neque quisquam erat
qui absque cæde gestaret luctificum ferrum,
neque si quis valde imbellis esset. Prosternebantur autem
Troes.] Sicuti vero a thoibus oves laniantur aut lupis,
æstu *solis* grassante molesto die medio,
pastore non præsente, quando umbroso in loco
gregatim inter-se simul conjunctæ omnes
manent, illo lac domum ferente,
* * * * * * * * * * * * * * * * * * * *
ventrem implentes multivorum, cunctas adorti
sanguinem atrum bibunt, totumque interimunt morantes
gregem, sed triste epulum misero parant pastori :
sic Græci Priami in urbe alium post alium
trucidabant irruentes in extremo prœlio,
nec erat Trojanorum quisquam sine-vulnere, sed omnium
flexibilia membra fœdata-erant, atrata sanguine multo.

Neque tamen Græcis incruentum erat prœlium;
verum alii quidem poculis icti, alii contra mensis,
alii etiam adhuc ardentibus a focis percussi
titionibus ac verubus transfixi animam-efflabant,
in quibus (*verubus*) etiamnum viscera porcorum calida
relicta-fuerant] Vulcani calidi circumferventis vapore;
alii contra securibus ac asciis acutis
cæsi palpitabant in sanguine; aliorum vero de manibus
digiti resecti-fuerant, ad ensem cum admoverent
manus cupidi tristia Fata abigere;
et quispiam forte occiput ac cerebrum confregit
alterius, saxum jaciens in prœlio. Illi autem veluti feræ

οὐτάμενοι σταθμοῖς ἔνι ποιμένος ἀγραύλοιο
ἀργαλέως μαίνοντο, διεγρομένοιο χόλοιο,
νύχθ' ὕπο λευγαλέην· μέγα δ' ἰσχανόωντες Ἄρηος
ἀμφὶ δόμους Πριάμοιο κυδοίμεον ἄλλοθεν ἄλλον
σεύοντες· πολλοὶ δὲ καὶ ἐγχείῃσι δάμησαν
Ἀργείων· Τρῶες γὰρ ὅσοι φθάσαν ἐκ μεγάροιο
ἢ ξίφος ἢ δόρυ μακρὸν ἑῇς ἀνὰ χερσὶν ἀεῖραι,
δυσμενέας δάμναντο καὶ ὥς, βεβαρηότες οἴνῳ.
Αἴγλη δ' ἄσπετος ὦρτο δι' ἄστεος, οὕνεκ' Ἀχαιῶν
πολλοὶ ἔχον χείρεσσι πυρὸς σέλας, ὄφρ' ἀνὰ δῆριν
δυσμενέας τε φίλους τε μάλ' ἀτρεκέως δρόωσι.
Καὶ τότε Τυδέος υἱὸς ἀνὰ μόθον ἀντιόωντα
αἰχμητῆρα Κόροιβον, ἀγαυοῦ Μύγδονος υἷα,
ἐγχείῃ κοίλοιο διὰ στομάχοιο πέρησεν,
ἧχι θοαὶ πόσιός τε καὶ εἴδατός εἰσ' κέλευθοι·
καὶ τὸν μὲν περὶ δουρὶ μέλας ἐκιχήσατο πότμος·
κάππεσε δ' ἐς μέλαν αἷμα καὶ ἄλλων ἔθνεα νεκρῶν,
νήπιος· οὐ δ' ἀπόνητο γάμων, ὧν οὕνεχ' ἵκανεν
χθιζὸς ὑπὸ Πριάμοιο πόλιν, καὶ ὑπέσχετ' Ἀχαιοὺς
Ἰλίου ἂψ ὦσαι· τῷ δ' οὐ θεὸς ἐξετέλεσσεν
ἐλπωρήν· Κῆρες γάρ οἱ προέηκαν ὄλεθρον.
Σὺν δέ οἱ Εὐρυδάμαντα κατέκτανεν ἀντιόωντα,
γαμβρὸν ἐϋμμελίην Ἀντήνορος, ὅς ῥα μάλιστα
θυμὸν ἐνὶ Τρώεσσι σαοφροσύνησ' ἐκέκαστο.
Ἔνθα καὶ Ἰλιονῆϊ συνήντετο δημογέροντι,
καί οἱ ἔπι ξίφος αἰνὸν ἐρύσσατο· τοῦ δ' ἄρα πάγχυ
γηραλέου κλάσθησαν ἄδην ἐπὶ σώματι γυῖα·
καί ῥα περιτρομέων μάλα χείρεσιν ἀμφοτέρῃσι,
τῇ μὲν ἄορ συνέδραξε θοόν, τῇ δ' ἥψατο γούνων
ἀνδροφόνου ἥρωος· ὁ δ' ἐς μόθον ἐσσύμενός περ
ἢ χόλου ἀμβολίῃ ἢ καὶ θεοῦ ὀτρύναντος
βαιὸν ἀπέσχε γέροντος ἑὸν ξίφος, ὄφρα τι εἴπῃ
λισσόμενος θοὸν ἄνδρα καὶ ὄβριμον· ὃς δ' ἀλεγεινὸν
ἴαχεν ἐσσυμένως· στυγερὸν δέ μιν ἄμφεχε δεῖμα.
Γουνοῦμαί σ', ὅτις ἐσσὶ πολυσθενέων Ἀργείων,
αἴδεσαι ἀμφὶ γέροντος ἑὰς χέρας, ἀργαλέου τε
λῆγε χόλου· καὶ γάρ ῥα πέλει μακρὸν ἀνέρι κῦδος
ἄνδρα νέον κτείναντι καὶ ὄβριμον· ἢν δὲ γέροντα
κτείνῃς, οὔ νύ τις αἶνος ἐφέψεται εἵνεκεν ἀλκῆς·
τοὔνεκ' ἐμεῦ ἀπὸ νόσφιν ἐς αἰζηοὺς τρέπε χεῖρας
ἐλπόμενός ποτε γῆρας ὁμοίϊον εἰσαφικέσθαι.
Ὣς φάμενον προσέειπε κραταιοῦ Τυδέος υἱός.
Ὦ γέρον, ἔλπομ' ἔγωγ' ἐσθλὸν ποτὶ γῆρας ἱκέσθαι·
ἀλλά μοι ὡς ἔτι κάρτος ἀέξεται, οὔτιν' ἐάσω
ἐχθρὸν ἐμῆς κεφαλῆς, ἀλλ' Ἀΐδι πάντας ἰάψω,
οὕνεκ' ἄρ' ἐσθλὸς ἀνὴρ καὶ δήϊον ἄνδρ' ἐπαμύνει.
Ὣς εἰπὼν λαιμοῖο διήλασε λοίγιον ἄορ
δεινὸς ἀνήρ· ἴθυνε δ' ὅπῃ θνητοῖς ἐπὶ πότμος
ψυχῆς εἶσι τάχιστα καὶ αἵματος αἰνὰ κέλευθα.
Καὶ τὸν μὲν μόρος αἰνὸς ὑπέκλασε δηωθέντα
Τυδείδαο χέρεσσιν· ὁ δ' εἰς ἥρωας ἐναίρων
ἔσσυτ' ἀνὰ πτολίεθρον, ἑῷ μέγα κάρτεϊ θύων·
δάμνατο δ' ἠὺν Ἄβαντα· βάλεν δ' ὑπὸ δούρατι μακρῷ
υἷα Περιμνήστοιο περικλυτὸν Εὐρυκόωντα.

sauciatæ in stabulis pastoris rustici
immaniter grassabantur, commota bile
per noctem funestam, valdeque cupidi Martis
circa ædes Priami pugnam ciebant aliunde alium
concitantes, ubi multi etiam hastis interfecti-sunt
Græcorum. Troum enim quicunque potuerunt ex ædibus
aut ensem aut hastam longam suis manibus efferre,
hostes occidebant etiam sic, gravati vino.
Splendor autem immensus excitatus-fuerat per urbem,
quia Græcorum] multi gestabant manibus ignis flammam,
ut in prælio] hostes et amicos vere discernerent.
Ac tunc Tydei filius in pugna occurrentem
bellicosum Corœbum, clari Mygdonis filium,
hasta per cavum stomachum transfixit,
ubi celeres potus ac cibi sunt viæ,
et hunc quidem in hasta atra apprehendit mors;
procidit autem in atrum sanguinem aliorumque acervos
cadaverum,] stolidus, non enim fructum-percepit ex-nuptiis, quarum causa venerat]pridie in Priami urbem, et receperat Græcos]ab Ilio depellere. Ei vero Deus non perfecit
votum. Fata enim ipsi prius-immiserunt mortem.
Cum eo vero Eurydamanta interemit occurrentem,
generum hastipotentem Antenoris, qui maxime
animi inter Trojanos integritate excelluit.
Ibi etiam Ilioneo occurrit senatori,
et in ipsum ensem sævum strinxit: ejus autem omnino
senis fracta erant prorsus in corpore membra
ideoque contremiscens admodum manu utraque,
altera ensem corripuit acutum, altera contigit genua
sanguinarii herois: at ille ad cædem quamvis festinans,
aut iræ remissione, aut etiam Deo monente,
paulum cohibuit a-sene suum ensem, ut aliquid diceret
precans virum acrem ac fortem; ille igitur misere
clamabat extemplo, nam tristis eum occuparat metus:
Supplex-te-rogo, quisquis es præpotentium Græcorum,
parce contra senem manibus tuis, sævamque
mitte iram, namque est ingens viro gloria
virum juvenem interficienti ac fortem; si vero senem
interimas, non ulla laus insequetur ob fortitudinem:
ideo a me procul in juvenes converte manus,
si-speras olim ad senectutem similem te-perventurum.
Sic loquentem affatus-est præstantis Tydei filius:
O senex, spero ego quidem bonam ad senectam me-perventurum:] verum dum mihi robur suppeditatur, nullum
relinquam] hostem mei capitis, sed Plutoni omnes mittam,
quia vir strenuus etiam hostilem virum ulciscitur.
Sic locutus per-guttur impulit letalem ensem
sævus vir; direxit autem *eo*, ubi hominibus mors
ad animam penetrat celerrime ac sanguinis funestæ viæ
sunt.] Ac hunc quidem mors tristis prostravit hostiliter-cæsum] Tydidæ manibus. Porro is in heroas grassans
cum-impetu-ferebatur per urbem, suo robore valde furens:
interemit egregium Abantem, ac prostravit hasta longa
filium Perimnesti, inclytum Eurycoontem.

Αἴας δ' Ἀμφιμέδοντα, Δαμαστορίδην τ' Ἀγαμέμνων,
Ἰδομενεὺς δὲ Μίμαντα, Μέγης δ' ἕλε Δηϊοπίτην.
Υἱὸς δ' αὖτ' Ἀχιλῆος ἀμαιμακέτῳ ὑπὸ δουρὶ
Πάμμονα δῖον ὄλεσσε, βάλεν δ' ἐπιόντα Πολίτην,
Τισίφονόν τ' ἐπὶ τοῖσι κατέκτανε, τοὺς ἅμα πάντας
υἷηας Πριάμοιο· καὶ ἀντιόωντ' ἀνὰ δῆριν
δάμνατ' Ἀγήνορα δῖον· ἐπ' ἄλλῳ δ' ἄλλον ἔπεφνεν
ἡρώων· πάντη δὲ μέλας ἀνεφαίνετ' ὄλεθρος
ὀλλυμένων· ὁ δὲ πατρὸς ἑοῦ καταειμένος ἀλκὴν,
μαιμώων ἐδάϊζεν ὅσους κίχεν· ἔνθα καὶ αὐτῷ
δυσμενέων βασιλῆϊ κακὰ φρονέων ἐνέκυρσεν,
Ἑρκείου ποτὶ βωμόν. Ὁ δ' ὡς ἴδεν υἷ' Ἀχιλῆος,
ἔγνω ἄφαρ τὸν ἐόντα, καὶ οὐ τρέσεν, οὕνεκ' ἄρ' αὐτὸς
θυμὸν ἐέλδετο παισὶν ἐπὶ σφετέροισιν ὀλέσσαι·
τοὔνεκά μιν προσέειπε λιλαιόμενος θανέεσθαι·
Ὦ τέκος ὀβριμόθυμον ἐϋπτολέμου Ἀχιλῆος,
κτεῖνον, μηδ' ἐλέαιρε δυσάμμορον· οὐ γὰρ ἔγωγε
τοῖα παθὼν καὶ τόσσα λιλαίομαι εἰσοράασθαι
ἠελίοιο φάος πανδερκέος, ἀλλά που ἤδη
φθεῖσθαι ὁμῶς τεκέεσσι καὶ ἐκλελαθέσθαι ἀνίης
λευγαλέης ὁμάδου τε δυσηχέος. Ὡς ὄφελόν με
σεῖο πατὴρ κατέπεφνε, πρὶν αἰθομένην ἐσιδέσθαι
Ἴλιον, ὁππότ' ἄποινα περὶ κταμένοιο φέρεσκον
Ἕκτορος, ὅν μοι ἔπεφνε πατὴρ τεός· ἀλλὰ τὸ μέν που
Κῆρες ἐπεκλώσαντο· σὺ δ' ἡμετέροιο φόνοιο
ἄασον ὄβριμον ἦτορ, ὅπως λελάθωμ' ὀδυνάων.
Ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
Ὦ γέρον, ἐμμεμαῶτα καὶ ἐσσύμενόν περ ἀνώγεις·
οὐ γάρ σ' ἐχθρὸν ἐόντα μετὰ ζωοῖσιν ἐάσω.
Οὐ γάρ τι ψυχῆς πέλει ἀνδράσι φίλτερον ἄλλο.
Ὣς εἰπὼν ἀπέκοψε κάρην πολιοῖο γέροντος
ῥηϊδίως, ὡς εἴ τις ἀπὸ στάχυν ἀμήσηται
λήϊου ἀζαλέοιο θέρευς εὐθαλπέος ὥρῃ·
ἡ δὲ μέγα μύζουσα κυλίνδετο πουλὺν ἐπ' αἶαν
νόσφ' ἄλλων μελέων, ὁπόσοις ἐγκίνυται ἀνήρ· [δρῶν,
κεῖτο δ' ἄρ' ἐς μέλαν αἷμα καὶ εἰς ἑτέρων φόνον ἀν-
* * * * * * * * * * * * * * *
ὄλβῳ καὶ γενεῇ καὶ ἀπειρεσίοις τεκέεσσιν·
οὐ γὰρ δὴν ἐπὶ κῦδος ἀέξεται ἀνθρώποισιν,
ἀλλ' ἄρα που καὶ ὄνειδος ἐπέσσυται ἀπροτίοπτον.
Καὶ τὸν μὲν πότμος εἷλε· κακῶν δ' ὅγε λήσατο πάντων.
Οἱ δὲ καὶ Ἀστυάνακτα βάλον Δαναοὶ ταχύπωλοι
πύργου ἀφ' ὑψηλοῖο, φίλον δέ οἱ ἦτορ ὄλεσσαν,
μητρὸς ἀφαρπάξαντες ἐν ἀγκοίνῃσιν ἐόντα,
Ἕκτορι χωόμενοι, ἐπεί σφισι πῆμα κόρυσσε
ζωὸς ἐών· τῷ καί οἱ ἀπεχθήραντο γενέθλην,
καί οἱ παῖδ' ἐβάλοντο καθ' ἕρκεος αἰπεινοῖο,
νήπιον, οὔπω δῆριν ἐπιστάμενον πολέμοιο.
Ἠΰτε πόρτιν ὄρεσφι λύκοι κατέοντες ἐδωδῆς
κρημνὸν ἐς ἠχήεντα κακοφραδίῃσι βάλωνται
μητρὸς ἀποτμήξαντες ἐϋγλαγέων ἀπὸ μαζῶν,
ἡ δὲ θέῃ γοόωσα φίλον τέκος ἔνθα καὶ ἔνθα,
μακρὰ κινυρομένη, τῇ δ' ἐξόπιθεν κακὸν ἄλλο
ἔλθῃ, ἐπεί ἑ λέοντες ἀναρπάξωσι καὶ αὐτήν·

Ajax vero Amphimedontem, Damastoridem autem Agamemnon] Idomeneusque Mimantem, Meges porro sustulit
Deiopiten.] Hinc filius Achillis indomita hasta
Pammonem divinum interemit, ac percussit irruentem
Politen,] Tesiphonumque post hos interfecit, hos simul omnes] filios Priami, atque occursantem in prœlio
interemit Agenorem nobilem, ac post alium alium leto-dedit
heroum: ubique autem atra conspiciebatur mors
pereuntium, ille enim patris sui instructus robore
magno-impetu sternebat quoscumque prehendit. Ibi etiam
ipsi] hostium regi infesto animo occurrit,
Hercei *Jovis* ad aram. Is vero ut vidit filium Achillis
cognovit celeriter ipsum esse, nec refugit, quia ipse
vitam cupiebat post filios suos perdere:
ideo illum compellavit, promptus ad moriendum:
O fili violente bellicosi Achillis,
occide *me*, neve miserare infelicem, non enim ego
talia passus ac tanta cupio intueri
solis lumen cuncta-lustrantis, sed jam
perire cum liberis atque oblivisci calamitatis
tristis bellique luctuosi. O utinam me
tuus pater interfecisset, priusquam accensum vidissem
Ilium, cum redemtionis-pretium pro cæso ferrem
Hectore, quem mihi interemit pater tuus: verum id ita
Fata decreverant: tu vero nostra cæde
exsatia fortem animum, ut obliviscar dolorum.
Sic locutum interpellavit Achillis fortis filius:
O senex, cupidum ac properantem incitas,
non enim te hostem existentem inter vivos relinquam.
Non enim quicquam vita est hominibus carius aliud.
Sic fatus desecuit caput cani senis
tam facile, quam si quis spicam demessuerit
segetis aridæ, æstatis calidissimæ tempore.
Illud vero magno cum-gemitu provolvebatur multam in terram] procul a-cæteris membris, quibus commovetur homo,
jacebatque in atro sanguine et in cæterorum strage virorum.
* * * * * * * * * * * * * * * * * * *
opulentia et genere et innumeris liberis:
non enim diu gloria viget hominibus,
sed forte etiam dehonestatio ingruit ex-improviso.
Et hunc quidem fatum sustulit, malorumque oblitus-est
omnium.] At etiam Astyanactem præcipitarunt Græci
equis-citis-clari] de turri edita, ac caram ipsi vitam extinxerunt] abstracto *eo*, matris in ulnis cum-esset,
Hectori succensentes, quandoquidem ipsis malum intulerat
vivus existens. Ideo etiam ipsius odio-habuerunt sobolem,
et ejus filium præcipitarunt de muro edito,
infantem, nondum certaminum gnarum belli.
Veluti vitulum in-montibus lupi indigi victus
in rupem ventosam malo-consilio adigunt
a matris avulsum fecundis uberibus;
ipsa vero currit lugens carum vitulum huc et illuc,
valde quiritans, ei autem exinde malum aliud
accedit, quando eam leones abripuerint etiam ipsam:

ὣς τὴν ἀσχαλόωσαν ἄδην περὶ παιδὸς ἑοῖο
ἦγον δήϊοι ἄνδρες ἅμ' ἄλλῃς ληϊάδεσσι
κούρην Ἠετίωνος ἀμύμονος αἰνὰ βοῶσαν·
ἡ δ' ἄρα παιδὸς ἑοῖο καὶ ἀνέρος ἠδὲ τοκῆος
μνησαμένη αἰνὸν φόνον εὔσφυρος Ἠετιώνη
ὥρμηνεν θανέεσθαι, ἐπεὶ βασιλεῦσιν ἄμεινον
τεθνάμεν ἐν πολέμῳ ἢ χείροσιν ἀμφιπολεύειν·
καί ῥ' ὀλοφυδνὸν ἄϋσε, μέγ' ἀχνυμένη κέαρ ἔνδον·
Εἶδ' ἄγε νῦν καὶ ἐμεῖο δέμας κατὰ τείχεος αἰνοῦ
ἢ κατὰ πετράων ἢ καὶ πυρὸς αἶψα βάλεσθε,
Ἀργεῖοι· μάλα γάρ μοι ἀάσπετα πήματ' ἔασι·
καὶ γάρ μευ πατέρ' ἐσθλὸν ἐνήρατο Πηλέος υἱὸς
Θήβῃ ἐνὶ ζαθέῃ, Τροίῃ δ' ἐνὶ φαίδιμον ἄνδρα,
ὅς μοι ἔην μάλα πολλά, τά τ' ἔλδετο θυμὸς ἐμεῖο·
καί μοι κάλλιπε τυτθὸν ἐν ἡμετέροις ἔτι παῖδα,
ᾧ ἔπι κυδιάασκον ἀπείριτον, ᾧ ἔπι πολλὰ
ἐλπομένην ἀπάφησε κακὴ καὶ ἀτάσθαλος Αἶσα·
τῷ νύ μ' ἀκηχεμένην πολυτειρέος ἐκ βιότοιο
νοσφίσατ' ἐσσυμένως, μὴ δ' εἰς ἑὰ δώματ' ἄγεσθε
μίγδα δορυκτήτοισιν, ἐπεί νύ μοι οὐκ ἔτι θυμῷ
εὔαδεν ἀνθρώποισι μετέμμεναι, οὕνεκα δαίμων
κηδεμονῆας ὄλεσσεν· ἄχος δέ με δέχνυται αἰνὸν
ἐκ Τρώων στυγεροῖσιν ἐπ' ἄλγεσιν οἰωθεῖσαν.
Ἢ ῥα λιλαιομένη χθόνα δύμεναι· οὐ γὰρ ἔοικεν
ζωέμεναι κείνοισιν, ὅσων μέγα κῦδος ὄνειδος
ἀμφιχάνῃ· δεινὸν γὰρ ὑπόψιον ἔμμεναι ἄλλων.
Οἱ δὲ βίῃ ἀέκουσαν ἄγον ποτὶ δούλιον ἦμαρ.
Ἄλλοι δ' αὖτ' ἄλλοις ἐν δώμασιν θυμὸν ἔλειπον
ἀνέρες· ἐν δ' ἄρα τοῖσι βοὴ πολύδακρυς ὀρώρει·
ἀλλ' οὐκ ἐν μεγάροις Ἀντήνορος, οὕνεκ' ἄρ' αὐτοῦ
Ἀργεῖοι μνήσαντο φιλοξενίης ἐρατεινῆς,
ὥς ξείνισσε πάροιθε κατὰ πτόλιν ἠδ' ἐσάωσεν
ἰσόθεον Μενέλαον ὁμῶς Ὀδυσῆϊ μολόντα·
τῷ δ' ἐπίηρα φέροντες Ἀχαιῶν φέρτατοι υἷες,
αὐτὸν μὲν ζώοντα λίπον καὶ κτῆσιν ἅπασαν,
καὶ Θέμιν ἀζόμενοι πανδερκέα καὶ φίλον ἄνδρα.
Καὶ τότε δὴ παῖς ἐσθλὸς ἀμύμονος Ἀγχίσαο
πολλὰ καμὼν περὶ ἄστυ θεηγενέος Πριάμοιο
δουρὶ καὶ ἠνορέῃ, πολλῶν δ' ἀπὸ θυμὸν ὀλέσσας,
ὡς ἴδε δυσμενέων ὑπὸ χείρεσι λευγαλέῃσιν
αἰθόμενον πτολίεθρον ἀπολλυμένους θ' ἅμα λαοὺς
πανσυδίῃ καὶ κτῆσιν ἀπείριτον, ἔκ τε μελάθρων
ἑλκομένας ἀλόχους ἅμα παίδεσιν, οὐκ ἔτ' ἄρ' αὐτῷ
ἐλπωρὴν ἔχε θυμὸς ἰδεῖν εὐτειχέα πάτρην,
ἀλλά οἱ ὡρμαίνεσκε νόος μέγα πῆμ' ὑπαλύξαι.
Ὡς δ' ὅθ' ἁλὸς κατὰ βένθος ἀνὴρ οἰήϊα νωμῶν
νηὸς ἐπισταμένως ἄνεμον καὶ κῦμ' ἀλεείνῃ
πάντοθεν ἐσσύμενον, στυγερῇ δ' ὑπὸ χείματος ὥρῃ
χεῖρα κάμῃ καὶ θυμὸν, ὑποβρυχίης δ' ἄρα νηὸς
ὀλλυμένης, ἀπάνευθε λιπὼν οἰήϊα μοῦνα
τυτθὸν ἐπὶ σκάφος εἶσι, μέλει δέ οἱ οὐκ ἔτι νηὸς
φορτίδος· ὣς παῖς ἐσθλὸς ἀμύμονος Ἀγχίσαο
ἄστυ λιπὼν δηΐοισι καταιθόμενον πυρὶ πολλῷ
υἱέα καὶ πατέρα σφὸν ἀναρπάξας φορέεσκε,

sic hanc dolentem valde ob filium suum
abduxerunt hostiles viri cum aliis captivis-mulieribus,
filiam Eetionis inculpati misere clamantem;
namque filii sui ac viri et patris
recordata necem crudelem pulcra Eetionis-filia
cupiebat mori, quia regibus satius *est*
mori in bello, quam deterioribus servire.
Ideoque lugubriter vociferata-est, magno dolore-confecta
cor intus:] Agitedum nunc etiam meum corpus de muro
funesto,] aut de petris, aut etiam *in* ignem continuo præcipitate,] Græci. Plane enim intolerabilia mihi mala præsto
-sunt:]etenim meum patrem probum interemit Pelei filius
in Thebe sacra, in Troja vero illustrem maritum
qui mihi erat valde multa, quæ desiderabat animus meus,
ac mihi reliquit parvulum in *ædibus* nostris adhuc puerum,
quo me-extollebam magnifice, de quo multa
sperantem *me* fefellit improbum et iniquum Fatum.
Ideo nunc me dolentem afflictissima ex vita
exterminate celeriter, neve in vestras domus abducite
simul-cum aliis bello-captis, quia meo non amplius animo
placet inter homines degere, quoniam malus-genius
curatores sustulit, dolor autem me excipit gravis,
e Trojanis summis cum cruciatibus solam-relictam.
Sic dixit cupiens terram subire. Neque enim decorum
est] vivere illis, quorum magnam gloriam opprobrium
absorpsit. Grave enim *est* despectui esse aliis.
Illi tamen recusantem vi abduxerunt ad servilem vitam.
Alii porro aliis in domibus vitam relinquebant
viri, inter quos clamor flebilis excitabatur,
sed non in ædibus Antenoris; nam ejus
Græci recordati-sunt hospitalitatis benignæ,
quomodo hospitio-excepisset olim in urbe ac servasset
eximium Menelaum cum Ulysse venientem:
ei itaque gratiam referentes Græcorum præstantissimi filii
ipsum vivum reliquerunt *ipsi*que facultates omnes,
et Themidem reveriti omnia-lustrantem et amicum virum.
Ac tunc sane filius præstans inculpati Anchisæ,
multos labores-cum-sustinuisset pro urbe a-diis-oriundi
Priami] hasta ac fortitudine, multisque vitam eripuisset,
ut vidit hostium manibus crudelibus
incensam urbem ac peremptos simul populos
confertim et opes immensas, et ex ædibus
raptatas uxores cum liberis, non amplius ipsi
spem fovebat animus videndi munitam patriam,
verum ipsi destinabat animus ingens malum subterfugere.
Ut vero cum in mari alto vir gubernacula administrans
navis perite, ventum ac fluctus devitat
undique insurgentes, sed tristi hiemis tempore
manu defatigatur et animo, et undis-oppressa navi
pereunte procul relinquens gubernacula sola
pusillam in scapham descendit, nec cura-est ipsi amplius
navis] onerariæ: sic filius præclarus præstantis Anchisæ
urbem relinquens hostibus conflagrantem igne multo,
filium ac patrem suum ereptos auferebat,

τὸν μὲν ἐπὶ πλατὺν ὦμον ἐφεσσάμενος κρατερῇσι
χερσὶ πολυτλήτῳ ὑπὸ γηράϊ μοχθίζοντα,
τὸν δ' ἁπαλῆς μάλα χειρὸς, ἐπιψαύοντα πόδεσσι
γαίης, οὐλομένου δὲ φοβούμενον ἔργα μόθοιο
ἐξῆγεν πολέμοιο δυσηχέος· ὃς δ' ὑπ' ἀνάγκης
ἐκρέματ' ἐμπεφυὼς ἁπαλὸς πάϊς, ἀμφὶ δὲ δάκρυ
χεύατό οἱ ἁπαλῇσι παρῃῖσιν· αὐτὰρ ὁ νεκρῶν
σώμαθ' ὑπέρθορε πολλὰ θοοῖς ποσὶ, πολλὰ δ' ἐν ὄρφνῃ
οὐκ ἐθέλων στείβεσκε· Κύπρις δ' ὁδὸν ἡγεμόνευεν,
υἱωνὸν καὶ παῖδα καὶ ἀνέρα πήματος αἰνοῦ
πρόφρων ῥυομένη· τοῦ δ' ἐσσυμένου ὑπὸ ποσσὶ
πάντῃ πῦρ ὑπόεικε· περισχίζοντο δ' ἀϋτμαὶ
Ἡφαίστου μαλεροῖο· καὶ ἔγχεα καὶ βέλη ἀνδρῶν
πίπτον ἐτώσια πάντα κατὰ χθονὸς, ὁππόσ' Ἀχαιοὶ
κείνῳ ἐπέρριψαν πολέμῳ ἔνι δακρυόεντι.
Καὶ τότε δὴ Κάλχας μεγάλ' ἴαχε λαὸν ἐέργων·
Ἴσχεσθ' Αἰνείαο κατ' ἰφθίμοιο καρήνου
βάλλοντες στονόεντα βέλη καὶ λοίγια δοῦρα·
τὸν γὰρ θέσφατόν ἐστι θεῶν ἐρικυδέϊ βουλῇ
Θύμβριν ἐπ' εὐρυρέεθρον ἀπὸ Ξάνθοιο μολόντα
τευξέμεν ἱερὸν ἄστυ, καὶ ἐσσομένοισιν ἀγητὸν
ἀνθρώποις, αὐτὸν δὲ πολυσπερέεσσι βροτοῖσι
κοιρανέειν· ἐκ τοῦ δὲ γένος μετόπισθεν ἀνάξειν,
ἄχρις ἐπ' ἀντολίην τε καὶ ἀκάματον δύσιν ἔλθῃ·
καὶ γάρ οἱ θέμις ἐστὶ μετέμμεναι ἀθανάτοισιν,
οὕνεκα δὴ πάϊς ἐστὶν ἐϋπλοκάμου Ἀφροδίτης.
Καὶ δ' ἄλλως τοῦδ' ἀνδρὸς ἑὰς ἀπεχώμεθα χεῖρας,
οὕνεκα καὶ χρυσοῖο καὶ ἄλλ' ὅσ' ἐνὶ κτεάτεσσιν
ἄνδρα σάοι φεύγοντα καὶ ἀλλοδαπὴν ἐπὶ γαῖαν,
τῶν πάντων προβέβουλεν ἑὸν πατέρ' ἠδὲ καὶ υἷα·
νὺξ δὲ μί' ἡμῖν ἔφηνε καὶ υἱέα πατρὶ γέροντι
ἤπιον ἐκπάγλως καὶ ἀμεμφέα παιδὶ τοκῆα.
Ὣς φάτο· τοὶ δ' ἐπίθοντο καὶ ὡς θεὸν εἰσοράασκον
πάντες· ὁ δ' ἐσσυμένως ἐξ ἄστεος οἷο βεβήκει,
ἧχί ἑ ποιπνύοντα πόδες φέρον· οἱ δ' ἔτι Τροίης
Ἀργεῖοι πτολίεθρον ἐϋκτίμενον διέπερθον.
Καὶ τότε δὴ Μενέλαος ὑπὸ ξίφεϊ στονόεντι
Δηΐφοβον κατέπεφνε, καρηβαρέοντα κιχήσας
ἀμφ' Ἑλένης λεχέεσσι, δυσάμμορον· ἡ δ' ὑπὸ φύζῃ
κεύθετ' ἐνὶ μεγάροισιν· ὁ δ' αἵματος ἐκχυμένοιο
γήθεεν ἀμφὶ φόνῳ· τοῖον δ' ἐπὶ μῦθον ἔειπεν·
Ὦ κύον, ὥς τοι ἔγωγε φόνον στονόεντ' ἐφέηκα
σήμερον· οὐδέ σε δῖα κιχήσεται Ἠριγένεια
ζωὸν ἔτ' ἐν Τρώεσσι, καὶ εἰ Διὸς εὔχεαι εἶναι
γαμβρὸς ἐρισμαράγοιο, μέλας δέ σε δέξατ' ὄλεθρος,
ἡμετέρης ἀλόχοιο παρὰ λέκτροισι δαμέντα
ἀργαλέως· ὡς εἴθε καὶ οὐλομένοιο πάροιθε
θυμὸν Ἀλεξάνδροιο κατὰ μόθον ἀντιόωντος
νοσφισάμην· καί κέν μοι ἐλαφρότερον πέλεν ἄλγος·
ἀλλ' ὁ μὲν ἤδη ἵκανεν ὑπὸ ζόφον ὀκρυόεντα
τίσας αἴσιμα πάντα· σὲ δ' οὐκ ἄρα μέλλεν ὀνήσειν
ἡμετέρη παράκοιτις, ἐπεὶ Θέμιν οὔποτ' ἀλιτροὶ
ἀνέρες ἐξαλέονται ἀκήρατον, οὕνεκ' ἄρ' αὐτοὺς
εἰσοράᾳ νυκτός τε καὶ ἤματος· ἀμφὶ δὲ πάντῃ

alterum quidem lato humero impositum validis
manibus misera senectute gravatum,
alterum vero tenerrima manu *prehensum*, stringentem
pedibus] terram dirique formidantem labores certaminis,
eduxit e-bello tumultuoso; ipse vero necessitate *adductus*
pendebat adhærens *patri* tenellus puer, et lacrima
fundebatur ipsi per teneras genas. Interim ille (*Æneas*)
cæsorum]corpora transiliit multa celeribus pedibus, multaque in tenebris] invitus calcabat. Venus autem viæ dux
-erat,] nepotem et filium et maritum e-tristi malo
libenter eripiens. Properantis autem sub pedibus
ubique ignis locum-dabat, ac diffindebantur flammæ
Vulcani sævi, et hastæ telaque virorum
cadebant irrita omnia in-terram, quæcunque Græci
in ipsum conjecerunt in bello lamentabili.
Ac tunc Calchas valde clamabat populum cohibens :
Desinite in Æneæ fortis caput
mittere stridentia jacula et exitiosas hastas,
eum enim in-fatis-est deorum inclyto consilio
ad Tibrim latifluum a Xantho profectum
extructurum sacram urbem, etiam posteris stupendam
mortalibus, ipsum vero diversis gentibus
imperaturum , ejusque gentem postea regnaturam ,
donec ad orientem et indefessum occidentem fines-extendat :] etenim ipsi fas est interesse immortalibus,
quia filius est pulcricomæ Veneris.
Et alias etiam ab-hoc viro nostras abstineamus manus,
quia et auro et quæcunque alia inter divitias
virum servarint fugientem etiam longinquam in terram,
his omnibus prætulit suum patrem atque filium,
noxque una nobis ostendit et filium patri seni
mirifice pium et inculpatum filio patrem.
Sic locutus-est : ipsi vero obtemperarunt et ut Deum
suspiciebant] cuncti *Æneam*; sed ille festinanter ex urbe
sua abibat,]quo ipsum properantem pedes ferebant. Adhuc
autem Trojæ] Græci urbem munitam vastabant.
Ac tunc Menelaus ense tristifico
Deiphobum interemit, quem-capite-gravato deprehendit
in Helenæ toro, miserum : ipsa vero fuga
se-abdiderat in ædibus : at ille sanguine effuso
gaudebat de-cæde, ac tale verbum extulit :
O canis, sic ego tibi necem flebilem attuli
hodie, neque te diva deprehendet Aurora
vivum adhuc inter Trojanos, etiamsi Jovis gloriaris te-esse
generum tonantis. Nam atrum te excepit exitium
nostræ conjugis in lecto cæsum
misere. Utinam etiam pestilentis antea
animam Alexandri in prœlio occurrentis
a corpore separassem, jam mihi levior esset dolor :
verum is jam subiit tenebras horrendas ,
luens, quæ-fas-erat, cuncta; tibi autem non erat profutura
nostra conjux, quia Themidem nunquam scelerati
homines effugiunt incorruptam , quoniam ipsos
observat per noctem ac diem, et circum ubique

ἀνθρώπων ἐπὶ φῦλα διηερίη πεπότηται
τινυμένη σὺν Ζηνὶ κακῶν ἐπιίστορας ἔργων.
Ὣς εἰπὼν δηΐοισιν ἀνηλέα τεῦχεν ὄλεθρον·
μαίνετο γάρ οἱ θυμὸς ὑπὸ κραδίῃ μεγ' ἀέξων
ζηλήμων· καὶ πολλὰ περὶ φρεσὶ θαρσαλέῃσι
Τρωσὶ κακὰ φρονέεσκε, τὰ δὴ θεὸς ἐξετέλεσσεν
πρέσβα Δίκη· κεῖνοι γὰρ ἀτάσθαλα πρῶτοι ἔρεξαν
ἀμφ' Ἑλένης, πρῶτοι δὲ καὶ ὅρκια πημήναντο
σχέτλιοι, ὁππότε κεῖνο διὲκ μέλαν αἷμα καὶ ἱρὰ
ἀθανάτων ἐλάθοντο παραιβασίῃσι νόοιο.
Τῷ καί σφιν μετόπισθεν Ἐριννύες ἄλγεα τεῦχον·
τοὔνεκ' ἄρ' οἱ μὲν ὄλοντο πρὸ τείχεος, οἱ δ' ἀνὰ ἄστυ
τερπόμενοι παρὰ δαιτὶ καὶ ἠϋκόμοις ἀλόχοισιν.
Ὀψὲ δὲ δὴ Μενέλαος ἐνὶ μυχάτοισι δόμοιο
εὗρεν ἑὴν παράκοιτιν ὑποτρομέουσαν ὁμοκλὴν
ἀνδρὸς κουριδίοιο θρασύφρονος· ὅς μιν ἀθρήσας
ὥρμηνε κτανέειν ζηλημοσύνῃσι νόοιο,
εἰ μή οἱ κατέρυξε βίην ἐροέσσ' Ἀφροδίτη,
ἥ ῥά οἱ ἐκ χειρῶν ἔβαλε ξίφος, ἔσχε δ' ἐρωήν·
τοῦ γὰρ ζῆλον ἐρεμνὸν ἀπώσατο καί οἱ ἔνερθεν
ἡδὺν ἐφ' ἵμερον ὦρσε κατὰ φρενὸς ἠδὲ καὶ ὄσσων·
τῷ δ' ἄρα θάμβος ἄελπτον ἐπήλυθεν· οὐδ' ἄρ' ἔτ' ἔτλη
κάλλος ἰδὼν ἀρίδηλον ἐπὶ ξίφος αὐχένι κῦρσαι,
ἀλλ' ὥσπερ ξύλον αὖον ἐν οὔρεϊ ὑλήεντι
εἱστήκει, τὸ μὲν οὔτι θοαὶ Βορέαο θύελλαι
ἐσσύμεναι κλονέουσι δι' ἠέρος, οὔτε Νότοιο·
ὣς ὁ ταφὼν μένε δηρόν· ὑπεκλάσθη δέ οἱ ἀλκὴ
δερκομένου παράκοιτιν· ἄφαρ δ' ὅγε λήσατο πάντων,
ὅσσα οἱ ἐν λεχέεσσι παρήλιτε κουριδίοισι·
πάντα γὰρ ἠμάλδυνε θεὰ Κύπρις, ἥπερ ἁπάντων
ἀθανάτων δάμνησι νόον θνητῶν τ' ἀνθρώπων·
ἀλλὰ καὶ ὣς θοὸν ἆορ ἀπὸ χθονὸς αὖθις ἀείρας
κουριδίῃ ἐπόρουσε· νόος δέ οἱ ἄλλ' ἐνὶ θυμῷ
ὡρμᾶτ' ἐσσυμένοιο· δόλῳ δ' ἄρα θέλγεν Ἀχαιούς.
Καὶ τότε μιν κατέρυξεν ἀδελφεὸς ἱέμενόν περ
μειλιχίοις μάλα πολλὰ παραυδήσας ἐπέεσσι·
δείδιε γὰρ μὴ δή σφιν ἐτώσια πάντα γένηται·
Ἴσχεο νῦν Μενέλαε χολούμενος· οὐ γὰρ ἔοικε
κουριδίην παράκοιτιν ἐναιρέμεν, ἧς πέρι πολλὰ
ἄλγε' ἀνέτλημεν Πριάμῳ κακὰ μητιόωντες·
οὐ γάρ τοι Ἑλένη πέλει αἰτίη, ὡς σύγ' ἔολπας,
ἀλλὰ Πάρις, ξενίοιο Διὸς καὶ σεῖο τραπέζης
λησάμενος· τῷ καί μιν ἐν ἄλγεσι τίσατο δαίμων.
Ὣς φάθ'· ὁ δ' αἶψ' ἐπίθησε· θεοὶ δ' ἐρικυδέα Τροίην
κυανέοις νεφέεσσι καλυψάμενοι γοάασκον,
νόσφιν ἐϋπλοκάμου Τριτωνίδος ἠδὲ καὶ Ἥρης,
αἳ μέγα κυδιάασκον ἀνὰ φρένας, εὖτ' ἐσίδοντο
περθόμενον κλυτὸν ἄστυ θεηγενέος Πριάμοιο·
ἀλλ' οὐ μὴν οὐδ' αὐτὴ ἔΰφρων Τριτογένεια
πάμπαν ἄδακρυς ἔην, ἐπεὶ ῥά οἱ ἔνδοθι νηοῦ
Κασσάνδρην ᾔσχυνεν Ὀϊλέος ὄβριμος υἱός,
θυμοῦ τ' ἠδὲ νόοιο βεβλαμμένος· ἡ δέ οἱ αἰνὸν
εἰσοπίσω βάλε πῆμα καὶ ἀνέρα τίσατο λώβης·
οὐδ' ἥγ' ἔργον ἀεικὲς ἐσέδρακεν, ἀλλά οἱ αἰδὼς

hominum ad nationes per-aerem volitat
puniens cum Jove malorum conscios operum.
Sic locutus hostibus immite parabat exitium.
furebat enim ipsius animus in pectore valde intumescens,
zelotypus, ac multa in mente intrepida
Trojanis mala meditabatur, quæ dea perfecit
veneranda Justitia. Illi enim iniqua primi patrarant
in Helenam, primique etiam fœdera violarant
scelerati, quando illum atrum cruorem et sacra
deorum oblivioni-tradiderant transgressione mentis.
Ideo etiam ipsis postea Furiæ calamitates pararunt,
idcirco alii occubuerunt ante mœnia, alii in urbe
oblectantes-se in convivio et *cum* pulcricomis uxoribus.
Tandem autem Menelaus in penetralibus domus
invenit suam conjugem pertimescentem increpationem
viri legitimi animosi: qui ipsam conspicatus
irruit ut-interficeret zelotypia mentis *impulsus*,
nisi ipsius cohibuisset violentiam blanda Venus,
quæ ipsi e manibus excussit ensem, ac cohibuit impetum;
ejus enim zelotypiam tristem depulit et ipsi intus
dulcem amorem excitavit in corde et oculis:
eum igitur stupor insperatus invasit, neque amplius sustinuit,]formam videns eximiam, ensem cervici admovere,
sed ut lignum aridum in monte silvoso
stabat immotus, quod neque rapidi Boreæ flatus
concutiunt concitati per aerem, neque Noti:
sic ille attonitus manebat diu, ac fractum-est ipsi robur
aspicienti conjugem. Statim itaque oblitus-est omnium,
quæ ipsi in toro deliquerat conjugali;
omnia enim obliteraverat dea Venus, quæ cunctorum
deorum domat animum ac mortalium hominum.
Verum etiam sic acuto ense de terra iterum sublato
uxorem aggressus-est: mens vero ipsi alia in pectore
meditabatur festinanti: dolo enim imponebat Græcis.
Ac tunc ipsum cohibuit frater, cupientem quidem *per se*,
valde blandis multum interpellans verbis,
metuebat enim ne ipsis irrita cuncta fierent:
Desine nunc, Menelae, irasci: non enim decet
legitimam uxorem interficere, cujus gratia multas
ærumnas sustinuimus Priamo mala meditantes;
non enim Helena tibi est causa, ut tu censes,
sed Paris, hospitalis Jovis ac tuæ mensæ
oblitus, ideoque ipsum inter dolores puniit Deus.
Sic dixit: ille vero illico obtemperavit. Dii autem inclytam Trojam] atris nubibus obtecti deflebant
præter pulcricomam Minervam et Junonem,
quæ valde efferebantur animo, cum viderent
solo-æquatam inclytam urbem divini Priami:
veruntamen neque ipsa sapiens Minerva
omnino sine-lacrimis erat, nam ejus intra templum
Cassandram vitiavit Oilei fortis filius
animo ac mente captus. Illa vero ipsi grave
postea immisit malum, ac de viro pœnam-sumpsit stupri.
Neque ea facinus scelestum aspexit, sed ipsi pudor

καὶ χόλος ἀμφεχύθη, βλοσυρὰς δὲ τρέψεν ὀπωπὰς
νηὸν ἐς ὑψόροφον· περὶ δ' ἔβραχε θεῖον ἄγαλμα,
καὶ δάπεδον νηοῖο μέγ' ἔτρεμεν· οὐδ' ὅγε λυγρῆς
λῆγεν ἀτασθαλίης, ὅτι οἱ φρένας ἄασε Κύπρις.
Πάντη δ' ἄλλοθεν ἄλλα κατηρείποντο μέλαθρα
ὑψόθεν· ἀζαλέη δὲ κόνις συνεμίσγετο καπνῷ·
ὦρτο δ' ἄρα κτύπος αἰνός· ὁμοῦ καίοντο δὲ πάντα
Ἀντιμάχοιο μέλαθρα, καταίθετο δ' ἄσπετος ἄκρη
Πέργαμον ἀμφ' ἐρατὴν περὶ θ' ἱερὸν Ἀπόλλωνος
νηόν τε ζάθεον Τριτωνίδος ἀμφί τε βωμὸν
Ἑρκείου· θάλαμοι δὲ κατεπρήθοντ' ἐρατεινοὶ
υἱωνῶν Πριάμοιο· πόλις δ' ἀμαθύνετο πᾶσα.
Τρῶες δ' οἱ μὲν παισὶν ὑπ' Ἀργείων ὀλέκοντο,
οἱ δ' ὑπὸ λευγαλέου τε πυρὸς σφετέρων τε μελάθρων,
ἔνθα σφιν καὶ μοῖρα κακὴ καὶ τύμβος ἐτύχθη·
ἄλλοι δὲ ξιφέεσσιν ἑὸν διὰ λαιμὸν ἔλασσαν,
πῦρ ἅμα δυσμενέεσσιν ἐπὶ προθύροισι ἰδόντες·
οἱ δ' ἄρ' ὁμῶς τεκέεσσι κατακτείναντες ἄκοιτιν
κάππεσον, ἄσχετον ἔργον ἀναπλήσαντες ἀνάγκῃ.
Καί ῥά τις οἰόμενος δηΐων ἑκὰς ἔμμεναι αὐτὸς,
ἔκποθεν Ἡφαίστοιο θοῶς ἀνὰ κάλπιν ἀείρας
ὥρμηνεν πονέεσθαι ἐφ' ὕδατι· τὸν δὲ παραφθὰς
Ἀργείων τις ἔτυψεν ὑπ' ἔγχεϊ καί οἱ ὄλεσσε
θυμὸν ὑπ' ἀκρήτῳ βεβαρημένον· ἤριπε δ' εἴσω
δώματος· ἀμφὶ δέ οἱ κενεὴ περικάππεσε κάλπις.
Ἄλλῳ δ' αὖ φεύγοντι διὰ μεγάροιο, μεσόδμη
ἔμπεσε καιομένη, ἐπὶ δ' ἔρριψεν αἰπὺν ὄλεθρον.
Πολλαὶ δ' αὖτε γυναῖκες ἀνιηρὴν ἐπὶ φύζαν
ἐσσύμεναι μνήσαντο φίλων ὑπὸ δώματι παίδων,
οὓς λίπον ἐν λεχέεσσιν· ἄφαρ δ' ἀνὰ ποσσὶν ἰοῦσαι
παισὶν ὁμῶς ἀπόλοντο, δόμων ἐφύπερθε πεσόντων.
Ἵπποι δ' αὖτε κύνες τε δι' ἄστεος ἐπτοίηντο
φεύγοντες στυγεροῖο πυρὸς μένος· ἀμφὶ δὲ ποσσὶ
στεῖβον ἀποκταμένους, ζωοῖσι δὲ πῆμα φέροντες
αἰὲν ἐπερρήγνυντο· βοὴ δ' ἀμφίαχεν ἄστυ.
Καί τινος αἰζηοῖο διὰ φλογὸς ἐσσυμένοιο
* * * * * * * * * * * * * * * * * * *

φθεγγομένου· τοὺς δ' ἔνδον ἀμείλιχος Αἶσα δάμασσεν·
ἄλλον δ' ἄλλα κέλευθα φέρεν στονόεντος ὀλέθρου.
Φλὸξ δ' ἄρ' ἐς ἠέρα δῖαν ἀνέγρετο· πέπτατο δ' αἴγλη
ἄσπετος· ἀμφὶ δὲ φῦλα περικτιόνων ὁρόωντο
μέχρις ἐπ' Ἰδαίων ὀρέων ὑψηλὰ κάρηνα
Θρηϊκίης τε Σάμοιο καὶ ἀμφιάλου Τενέδοιο·
καί τις ἁλὸς κατὰ βένθος ἔσω νεὸς ἔκφατο μῦθον·
Ἤνυσαν Ἀργεῖοι κρατερόφρονες ἄσπετον ἔργον,
πολλὰ μάλ' ἀμφ' Ἑλένης ἑλικοβλεφάροιο καμόντες,
πᾶσα δ' ἄρ' ἡ τοπάροιθε πανόλβιος ἐν πυρὶ Τροίη
καίεται· οὐδὲ θεῶν τις ἐελδομένοισιν ἄμυνεν·
πάντα γὰρ ἄσχετος Αἶσα βροτῶν ἐπιδέρκεται ἔργα·
καὶ τὰ μὲν ἀκλέα πάντα καὶ οὐκ ἀρίδηλα γεγῶτα
κυδήεντα τίθησι, τὰ δ' ὑψόθι μείονα θῆκε·
πολλάκι δ' ἐξ ἀγαθοῖο πέλει κακὸν, ἐκ δὲ κακοῖο
ἐσθλὸν, ἀμειβομένοιο πολυτλήτου βιότοιο. [γλην
Ὣς ἄρ' ἔφη μερόπων τις, ἀπόπροθεν ἄσπετον αἴ-

et ira offusa-erant, ac truculentos avertebat oculos
in templum sublime, circumstrepebat autem divinum simulacrum,]ac solum templi valde contremuit; nec tamen ille a
tristi] destitit scelere, quia ejus mentem decepit Venus.

Ubique autem alibi alia convellebantur tecta
ex-alto, siccus vero pulvis commiscebatur fumo,
et exortus-est fragor vehemens, simulque conflagrabant
totæ] Antimachi ædes, ardebat etiam celsa arx
circa Pergamum amabilem ac circa delubrum Apollinis
templumque sacrum Minervæ, circumque aram
Hercei *Jovis*, thalami etiam comburebantur dulces
nepotum Priami, et urbs in-cinerem-redigebatur cuncta.
At Trojanorum alii a filiis Græcorum leto-dabantur,
alii vero sævo igne ac suis ædibus,
ubi ipsis et mors sæva et sepulchrum contigit:
alii vero gladiis suum guttur transfixerunt,
ignem cum hostibus in vestibulis videntes,
alii etiam cum liberis interfecta uxore
procubuerunt, immane facinus exequentes necessitate.
Ac quispiam existimans ab-hostibus procul esse se,
alicunde-ex igni celeriter urnam tollens
contendebat rem-gerere aqua; eum vero prævertens
Græcorum quispiam percussit hasta et ipsi eripuit
animam mero gravatam; collapsus-est igitur intra
domum, propeque ipsum inanis decidit urna.
Alii porro fugienti per domum media-columna
incidit ardens, et injecit sævum exitium.
Multæ etiam mulieres tristem in fugam
concitatæ recordatæ-sunt carorum in domo liberorum,
quos reliquerant in lectis, celeriterque pedibus regressæ
cum-liberis una perierunt, ædibus desuper collapsis.
Equi etiam canesque per urbem consternati-vagabantur
fugientes sævi ignis vim, pedibus autem
calcabant cæsos, vivis etiam malum inferentes
semper perrumpebant. Clamor vero perstrepebat urbem
Ac quodam juvene, per flammam dum-ruit,
* * * * * * * * * * * * * * * * * * * *

vociferante, alios vero intus sævum Fatum domuit,
aliumque aliæ viæ rapiebant luctuosi exitii.
Flamma interim in aerem sublimem surgebat volabatque
splendor] immensus, circum autem gentes finitimorum
videbant] usque ad Idæorum montium altos vertices
Threïciamque Samum et mari-cinctam Tenedum;
et aliquis maris super æquore in navi *hunc* edidit sermonem:] Perfecerunt Græci magnanimi immensum opus,
valde multum propter Helenam formosam laborantes,
universa enim, antea opulentissima, igni Troja
conflagrat, neque deorum quisquam exoptantibus opem
-tulit.]Cuncta enim insuperabile Fatum hominum intuetur
facta,] atque ignobilia omnia et obscura quæ-sunt
illustria reddit, sublimia autem humiliora facit:
sæpe autem ex bono nascitur malum, contra ex malo
bonum, alternante-vices ærumnosa vita.

Sic dixit hominum quispiam, e-longinquo immensum

εἰσορόων· στονόεσσα δ' ἔτ' ἄμπεχε Τρῶας ὀϊζύς.
Ἀργεῖοι δ' ἀνὰ ἄστυ κυδοίμεον, ἠΰτ' ἀῆται
λάβροι ἀπείρονα πόντον ὀρινόμενοι κλονέουσιν,
ὁππότ' ἄρ' ἀντιπέρηθε δυσαέος Ἀρκτούροιο
βηλὸν ἐς ἀστερόεντα Θυτήριον ἀντέλλῃσιν
ἐς νότον ἠερόεντα τετραμμένον, ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλαὶ ὑπόβρυχα νῆες ἀμαλδύνοντ' ἐνὶ πόντῳ
ὀρνυμένων ἀνέμων· τοῖς εἴκελοι υἷες Ἀχαιῶν
πόρθεον Ἴλιον αἰπύ· τὸ δ' ἐν πυρὶ καίετο πολλῷ,
ἠΰτ' ὄρος λασίῃσιν ἄδην καταειμένον ὕλῃς
ἐσσυμένως καίηται ὑπαὶ πυρὸς ὀρνυμένοιο
ἐξ ἀνέμων, δολιχαὶ δὲ περιβρομέουσι κολῶναι,
τῷ δ' ἄρα λευγαλέως ἐνὶ τείρεται ἄγρια πάντα
Ἡφαίστοιο βίῃφι περιστρεφθέντα καθ' ὕλην·
ὣς Τρῶες κτείνοντο κατὰ πτόλιν, οὐδέ τις αὐτοὺς
ῥύετ' ἐπουρανίων· περὶ γὰρ λίνα πάντοθε Μοῖραι
μακρὰ περιστήσαντο, τά περ βροτὸς οὔποτ' ἄλυξε.
Καὶ τότε Δημοφόωντι μενεπτολέμῳ τ' Ἀκάμαντι
Θησῆος μεγάλοιο δι' ἄστεος ἤντετο μήτηρ,
καίπερ ἐελδομένη· μακάρων δέ τις ἡγεμόνευεν,
ὅς μιν ἄγεν κείνοισι καταντίον· ἡ δ' ἀλάλητο
φεύγουσ' ἐκ πολέμοιο καὶ ἐκ πυρός· οἱ δ' ἐσιδόντες
αἴγλῃ ἐν Ἡφαίστοιο δέμας μέγεθός τε γυναικός,
αὐτὴν ἔμμεν' ἔφαντο θεηγενέος Πριάμοιο
ἀντιθέην παράκοιτιν· ἄφαρ δέ οἱ ἐμμεμαῶτες
χεῖρας ἐπερρίψαντο λιλαιόμενοί μιν ἄγεσθαι
ἐς Δαναούς· ἡ δ' αἰνὸν ἀναστενάχουσα μετηύδα·
Μή νύ με, κύδιμα τέκνα φιλοπτολέμων Ἀργείων,
δήϊον ὡς ἐρύοντες ἑὰς ἐπὶ νῆας ἄγεσθε·
οὐ γὰρ Τρωϊάδων γένος εὔχομαι, ἀλλά μοι ἐσθλὸν
αἷμα πέλει Δαναῶν μάλ' ἐϋκλεές, οὕνεκα Πιτθεὺς
γείνατό μ' ἐν Τροιζῆνι· γάμῳ δ' ἐδνώσατο δῖος
Αἰγεύς· ἐκ δ' ἄρ' ἐμεῖο κλυτὸς πάϊς ἔπλετο Θησεύς·
ἀλλά με, πρὸς μεγάλοιο Διὸς τερπνῶν τε τοκήων,
εἰ ἐτεὸν Θησῆος ἀμύμονος ἐνθάδ' ἵκοντο
υἱέες ἄμ' Ἀτρείδῃσι, φίλοισί γε παίδεσι κείνου
δείξατ' ἐελδομένοισι κατὰ στρατὸν, οὕσπερ ὀΐω
ὕμμιν ὁμήλικας ἔμμεν· ἀναπνεύσει δέ μευ ἦτορ,
ἢν κείνους ζώοντας ἴδω καὶ ἀριστέας ἄμφω.
Ὣς φάτο· τοὶ δ' ἀΐοντες ἑοῦ μνήσαντο τοκῆος,
ἀμφ' Ἑλένης ὅσ' ἔρεξε, καὶ ὡς διέπερσαν Ἀφίδνας
κοῦροι ἐριγδούποιο Διὸς πάρος, ὁππότ' ἄρ' αὐτοὺς
ὑσμίνης ἀπάνευθεν ἀπεκρύψαντο τιθῆναι,
νηπιάχους ἔτ' ἐόντας· ἀνεμνήσαντο δ' ἀγαυῆς
Αἴθρης, ὅσσ' ἐμόγησε δορυκτήτῳ ὑπ' ἀνάγκῃ,
ἄμφω δμῶς ἑκυρή τε καὶ ἀμφίπολος γεγαυῖα
ἀντιθέης Ἑλένης· σὺν δ' ἀμφασίῃ κεχάροντο.
Δημοφόων δέ μιν ἠΰς ἐελδομένην προσέειπεν·
Σοὶ μὲν δὴ τελέουσι θεοὶ θυμηδὲς ἐέλδωρ
αὐτίκ', ἐπεὶ ῥα δέδορκας ἀμύμονος υἱέος υἷας
ἡμέας, οἵ σε φίλῃς συναειράμενοι παλάμῃσιν
οἴσομεν ἐς νῆας καὶ ἐς Ἑλλάδος ἱερὸν οὖδας
ἄξομεν ἀσπασίως, ὅθιπερ πάρος ἐμβασιλεύες. [τηρ
Ὣς φάμενον μεγάλοιο πατρὸς προσπτύξατο μή-

fulgorem]intuens. Interim flebilis adhuc tenebat Trojanos calamitas.]Græci autem per urbem tumultuabantur, veluti venti] impetuosi immensum mare concitati turbant,
quando e-regione tempestuosi Arcturi
in cœlo astrifero thuribulum oritur
ad austrum obscurum conversum, ac propter ipsum
multæ submersæ naves absumuntur in mari
concitatis ventis: his similes filii Græcorum
vastabant Ilium sublime; id vero in igni conflagrabat copioso,] velut-quando mons valde densis vestitus silvis
celeriter comburitur igni excitato
a ventis, ac longæ circumstrepunt rupes,
in eo igitur misere conficiuntur feræ cunctæ
Vulcani æstu hinc-inde-circumactæ per silvam:
ita Trojani moriebantur in urbe, neque quis ipsos
eripiebat Deorum, namque fila undique Parcæ
longa circumduxerant, quæ homo nunquam effugit.
Ac tunc Demophoonti et bellicoso Acamanti
Thesei magni in urbe obviam-veniebat mater,
id quidem expetens. Deorum autem quispiam præibat,
qui ipsam ducebat illis obviam, namque errabat
fugiens e bello et ex incendio; illi autem conspicientes
in splendore Vulcani corpus ac magnitudinem mulieris,
ipsam esse putabant inclyti Priami
eximiam uxorem: celeriter itaque in-ipsam impetu-facto
manus injecerunt volentes eam abducere
ad Græcos. Ipsa autem misere ingemiscens *eos* affata-est·
Ne me, præclari filii bellicosorum Græcorum,
ut hostem abripientes vestras ad naves ducatis;
non enim Trojanarum genus jacto, sed mihi clarus
sanguis est Græcorum, valde nobilis: nam Pittheus
genuit me in Trœzene, conjugio autem sibi-junxit divinus
Ægeus, et ex me inclitus filius natus-est Theseus.
Itaque me, per magnum Jovem ac dilectos parentes,
si vere Thesei fortis huc venerunt
filii cum Atridis, caris filiis illius
ostendite desiderantibus *id* in exercitu, quos quidem puto
vobis ætate-pares esse. Refocillabitur autem meum cor,
si illos viventes videro ac virtute præstantes ambos.
Sic locuta-est. Illi vero audientes sui sunt-recordati parentis,]propter Helenam quæ fecisset, ac quomodo populati -essent Aphidnas] filii tonantis Jovis olim, quando ipsos
a-pugna procul abscondissent nutrices,
parvulos adhuc existentes, meminerant etiam inclytæ
Æthræ, quot mala-sustinuisset captivitatis necessitate,
utrumque simul, socrus et serva, facta
formosæ Helenæ, et cum stupore gavisi-sunt.
Demophoon vero ipsam præstans expectantem affatus-est:
Tibi quidem implent dii gratum votum
nunc, quoniam vides præstantis filii *tui* filios
nos, qui te amicis sublatam manibus
feremus ad naves atque ad Græciæ sacrum solum
ducemus libenter, ubi etiam prius regina-eras.
Sic loquentem magni patris amplexa-est mater

χείρεσιν ἀμφιβαλοῦσα, κύσεν δέ οἱ εὐρέας ὤμους
καὶ κεφαλὴν καὶ στέρνα γένειά τε λαχνήεντα·
ὣς δ' αὔτως Ἀκάμαντα κύσεν· περὶ δέ σφισι δάκρυ
ἡδὺ κατὰ βλεφάροιϊν ἐχεύατο μυρομένοισιν.
Ὡς δ' ὁπότ' αἰζηοῖο μετ' ἀλλοδάποισιν ἐόντος
λαοὶ φημίξωσι μόρον, τὸν δ' ἔκποθεν υἷες
ὕστερον ἀθρήσαντες ἐς οἰκία νοστήσαντα
κλαίουσιν μάλα τερπνόν· ὁ δ' ἔμπαλι παισὶ καὶ αὐτὸς
μύρεται ἐν μεγάροισιν ἐπωμαδὸν, ἀμφὶ δὲ δῶμα
ἡδὺ κινυρομένων γοερὴ περιπέπτατ' ἰωή·
ὣς τῶν μυρομένων λαρὸς γόος ἀμφιδεδήει.
Καὶ τότε που Πριάμοιο πολυκτήτοιο θύγατρα
Λαοδίκην ἐνέπουσιν ἐς αἰθέρα χεῖρας ὀρέξαι
εὐχομένην μακάρεσσιν ἀτειρέσιν, ὄφρα ἑ γαῖα
ἀμφιχάνῃ, πρὶν χεῖρα βαλεῖν ἐπὶ δούλια ἔργα·
τῆς δὲ θεῶν τις ἄκουσε καὶ αὐτίκα γαῖαν ἔνερθεν
ῥῆξεν ἀπειρεσίην· ἡ δ' ἐννεσίῃσι θεοῖο
κούρην δέξατο δῖαν ἔσω κοίλοιο βερέθρου
Ἰλίου ὀλλυμένης, ἧς εἵνεκά φασι καὶ αὐτὴν
Ἠλέκτρην βαθύπεπλον ἑὸν δέμας ἀμφικαλύψαι
ἀχλύϊ καὶ νεφέεσσιν, ἀπεχθομένην χορὸν ἄλλων
Πληϊάδων, αἳ δή οἱ ἀδελφειαὶ γεγάασιν·
ἀλλ' αἱ μὲν μογεροῖσιν ἐπόψιαι ἀνθρώποισιν
ἰλαδὸν ἀντέλλουσιν ἐς οὐρανόν· ἡ δ' ἄρα μούνη
κεύθεται αἰὲν ἄϊστος, ἐπεί ῥά οἱ υἱέος ἐσθλοῦ
Δαρδάνου ἱερὸν ἄστυ κατήριπεν· οὐδέ οἱ αὐτὸς
Ζεὺς ὕπατος χραίσμησεν ἀπ' αἰθέρος, οὕνεκα Μοίραις
εἴκει καὶ μεγάλοιο Διὸς μένος· ἀλλὰ τὸ μέν που
ἀθανάτων τάχ' ἔρεξεν ἐῢς νόος, ἠὲ καὶ οὐχί·
Ἀργεῖοι δ' ἔτι θυμὸν ἐπὶ Τρώεσσιν ὄρινον.

manibus circumdans, et osculata-est ei latos humeros
et caput et pectus et mentum hispidum;
eodem modo etiam Acamanta osculata-est; at ipsis lacrima
suavis de palpebris fundebatur flentibus.
Ut cum juvenis apud peregrinos agentis
vulgus disseminavit obitum, eum autem alicunde filii
postea conspicati domum redeuntem
flent valde suaviter, isque vicissim cum-liberis et ipse
flet in ædibus inter-complexus, ac per domum
suaviter lacrimantium flebilis circum-extenditur vox:
sic horum flentium dulcis ploratus circumsparsus-est.
Ac tunc Priami opulenti filiam
Laodicen perhibent ad æthera manus sustulisse
vota-facientem diis immortalibus, ut ipsam terra
hiatu-absorberet, priusquam manum admoveret ad servilia
opera.] Eam vero Deorum quispiam exaudivit ac continuo
terram subtus] rupit immensam, quæ voluntate Dei
puellam excepit formosam intra cavam voraginem
Ilio pereunte: cujus causa ferunt etiam ipsam
Electram prolixo-peplo suum corpus obduxisse
caligine ac nubibus, perosam chorum reliquarum
Plejadum, quæ ipsius sorores sunt;
verum istæ quidem laboriosis conspicuæ hominibus
gregatim oriuntur in cœlo, illa vero sola
occultatur semper inconspicua, quia ejus filii præstantis
Dardani sacra urbs corruit; neque illi ipse
Juppiter summus opem-tulit de cœlo, quoniam Parcis
cedit etiam magni Jovis robur. Atqui hoc forte
deorum subito peregit sapiens mens aut etiam non.
Græci autem adhuc animum in Trojanos concitabant.

ΛΟΓΟΣ ΙΔ.

Καὶ τότ' ἀπ' ὠκεανοῖο θεὰ χρυσόθρονος Ἠὼς
οὐρανὸν εἰσανόρουσε· Χάος δ' ὑπεδέξατο Νύκτα.
Οἱ δὲ βίῃ Τροίην εὐερκέα δῃώσαντο
Ἀργεῖοι καὶ κτῆσιν ἀπείρονα ληΐσσαντο,
χειμάῤῥοις ποταμοῖσιν ἐοικότες, οἵ τε φέρονται
ἐξ ὀρέων καναχηδὸν ὀρινομένου ὑετοῖο,
πολλὰ δὲ δένδρεα μακρὰ, καὶ ὁππόσα φύετ' ὄρεσφιν,
αὐτοῖς σὺν πρώνεσσιν ἔσω φορέουσιν θαλάσσης·
ὣς Δαναοὶ πέρσαντες ὑπαὶ πυρὶ Τρώϊον ἄστυ
κτήματα πάντα φέρεσκον ἐΰσκάρθμους ἐπὶ νῆας·
σὺν δ' ἄρα Τρωϊάδας καταγίνεον ἄλλοθεν ἄλλας,
τὰς μὲν ἔτ' ἀδμήτας καὶ νήϊδας ἀμφὶ γάμοιο,
τὰς δ' ἄρ' ὑπ' αἰζηοῖσι νέον φιλότητι δαμείσας,
ἄλλας δ' αὖ πολιοπλοκάμους, ἑτέρας δ' ἄρ' ἐκείνων
ὁπλοτέρας, ὧν παῖδας ἀπειρύσαντ' ἀπὸ μαζῶν
ὑστάτιον χείλεσσι γλάγος περιμαιμώωντας.
Τοῖσιν δὴ Μενέλαος ἐνὶ μέσσοισι καὶ αὐτὸς
ἦγεν ἑὴν παράκοιτιν ἀπ' ἄστεος αἰθομένοιο,
ἐξανύσας μέγα ἔργον· ἔχεν δέ ἑ χάρμα καὶ αἰδώς·
Κασσάνδρην δ' ἄγε δῖαν ἐϋμμελίης Ἀγαμέμνων·

LIBER XIV.

Ac tunc ab Oceano dea aurithrona Aurora
in-cœlum evecta-est, Chaosque excepit Noctem.
Vi autem Trojam munitam hostiliter-vastarunt
Græci et opes immensas exspoliarunt,
torrentibus fluviis similes, qui deferuntur
de montibus cum-sonitu ingruente pluvia,
multasque arbores proceras ac quæcunque nascuntur in
-montibus] ipsis cum verticibus deferunt in mare:
sic Græci vastata igni Trojana urbe
opes universas ferebant agiles ad naves;
una etiam Trojadas abducebant aliunde alias,
partim adhuc innuptas et expertes conjugii,
partim a juvenibus recens amore subjugatas,
alias etiam cano-capillo-obsitas, alias vero his
juniores, quarum liberos abstraxerant ab uberibus
ultimum labiis lac appetentes.
Horum vero Menelaus in medio etiam ipse
abduxit suam uxorem ab urbe ardente,
executus magnum opus, tenebatque ipsum gaudium et pu-
or.]Cassandram vero fatidicam abduxit fortis Agamemnon.

Ἀνδρομάχην δ' Ἀχιλῆος ἐῢς πάϊς· αὐτὰρ Ὀδυσσεὺς
εἷλκε βίῃ Ἑκάβην· τῆς δ' ἀθρόα δάκρυ' ἀπ' ὄσσων,
πίδακος ὥς, ἐχέοντο· περιτρομέεσκε δὲ γυῖα,
καὶ κραδίη ἀλάλυκτο φόβῳ, δεδάϊκτο δὲ χαίτας
κράατος ἐκ πολιοῖο· τέφρη δ' ἐπιπέπτατο πολλή,
τήν που ἀπ' ἐσχαρεῶνος ἄδην κατεχεύατο χερσὶν,
ὀλλυμένου Πριάμοιο καὶ ἄστεος αἰθομένοιο·
καί ῥα μέγα στονάχιζεν, ὅτ' ἄμφεχε δούλιον ἦμαρ
μὰψ ἀεκαζομένην· ἕτερος δ' ἑτέρην γοόωσαν
ἦγεν Τρωϊάδων σφετέρας ἐπὶ νῆας ἀνάγκῃ·
αἱ δ' ἀδινὸν γοόωσαι ἀνίαχον ἄλλοθεν ἄλλαι,
νηπιάχοις ἅμα παισὶ κινυρόμεναι μάλα λυγρῶς.
Ὡς δ' ὁπότ' ἀργιόδουσιν ὁμῶς συσὶ νήπια τέκνα
σταθμοῦ ἀπὸ προτέροιο ποτὶ σταθμὸν ἄλλον ἄγωσιν
ἀνέρες ἐγρομένῳ ὑπὸ χείματι, ταὶ δ' ἀλεγεινὸν
μίγδα περιτρύζουσι διηνεκὲς ἀλλήλοισιν·
ὡς Τρωαὶ Δαναοῖσιν ὑπ' ἐστενάχοντο δαμεῖσαι·
ἴσην δ' αὖ καὶ ἄνασσα φέρεν καὶ δμωῒς ἀνάγκην.

Ἀλλ' οὐ μὰν Ἑλένην γόος ἄμφεχεν, ἀλλά οἱ αἰδὼς
ὄμμασι κυανέοισιν ἐφίζανε· καί οἱ ὕπερθεν
καλὰς ἀμφερύθηνε παρηΐδας· ἐν δέ οἱ ἦτορ
ἄσπετα πορφύρεσκε κατὰ φρένα, μή ἑ κιοῦσαν
κυανέας ἐπὶ νῆας ἀεικίσσωνται Ἀχαιοί·
τοὔνεχ' ὑποτρομέουσα φίλῳ περιπάλλετο θυμῷ·
καί ῥα καλυψαμένη κεφαλὴν ἐφύπερθε καλύπτρῃ
ἕσπετο νισσομένοιο κατ' ἴχνιον ἀνδρὸς ἑοῖο,
αἰδοῖ πορφύρουσα παρήϊον, ἠΰτε Κύπρις,
εὖτέ μιν Οὐρανίωνες ἐν ἀγκοίνῃσιν Ἄρηος
ἀμφαδὸν εἰσενόησαν, ἑὸν λέχος αἰσχύνουσαν,
δεσμοῖς ἐν θαμινοῖσι δαήμονος Ἡφαίστοιο,
τοῖς ἔνι κεῖτ' ἀχέουσα περὶ φρεσὶν, αἰδομένη τε
ἰλαδὸν ἀγρομένων μακάρων γένος ἠδὲ καὶ αὐτὸν
Ἥφαιστον· δεινὸν γὰρ ἐν ὀφθαλμοῖσιν ἀκοίτεω
ἀμφαδὸν εἰσοράασθαι ἐπ' αἴσχεϊ θηλυτέρῃσι·
τῇ Ἑλένη εἰκυῖα δέμας καὶ ἀκήρατον αἰδῶ
ἤϊε σὺν Τρῳῇσι δορυκτήτοισι καὶ αὐτὴ
νῆας ἐπ' Ἀργείων εὐηρέας· ἀμφὶ δὲ λαοὶ
θάμβεον ἀθρήσαντες ἀμωμήτοιο γυναικὸς
ἀγλαΐην καὶ κάλλος ἐπήρατον· οὐδέ τις ἔτλη
κείνην οὔτε κρυφηδὸν ἐπεσβολίῃσι χαλέψαι,
οὔτ' οὖν ἀμφαδίην, ἀλλ' ὡς θεὸν εἰσορόωντο
ἀσπασίως· πᾶσιν γὰρ ἐελδομένοισι φαάνθη.
Ὡς δ' ὅτ' ἀλωομένοισι δι' ἀκαμάτοιο θαλάσσης
πατρὶς ἑὴ μετὰ δηρὸν ἐπευχομένοισι φανείη,
οἱ δὲ καὶ ἐκ πόντοιο καὶ ἐκ θανάτοιο φυγόντες
πάτρῃ χεῖρ' ὀρέγουσι γεγηθότες ἄσπετα θυμῷ·
ὡς Δαναοὶ περὶ πάντες ἐγήθεον· οὐ γὰρ ἔτ' αὐτοῖς
μνῆστις ἔην καμάτοιο δυσαλγέος, οὐδὲ κυδοιμοῦ·
τοῖον γὰρ Κυθέρεια νόον ποίησατο πάντων,
ἦρα φέρουσ' Ἑλένῃ ἑλικώπιδι καὶ Διῒ πατρί.

Καὶ τότ' ἄρ', ὡς ἐνόησε φίλον δεδαϊγμένον ἄστυ
Ξάνθος ἔθ' αἱματόεντος ἀναπνείων ὀρυμαγδοῦ,
μύρετο σὺν Νύμφῃσιν, ἐπεὶ κακὸν ἔμπεσε Τροίῃ
ἔκποθε καὶ Πριάμοιο κατημάλδυνε πόληα.

Andromachen autem Achillis præstans filius; verum Ulysses] abstrahebat vi Hecubam, cujus largæ lacrimæ ab oculis fontis instar defluebant, ac tremore-concutiebantur membra,] et cor trepidabat metu; dilaniaverat autem capillos
a capite cano, ac cinis inspersus-erat multus,
quem alicubi de foco copiose affuderat manibus,
interfecto Priamo atque urbe incensa;
valde etiam ingemuit, quod cepisset *se* servilis dies
frustra renitentem. Alius autem aliam plorantem
abducebat Trojadum suas ad naves vi:
quæ ubertim plorantes clamabant aliunde aliæ,
parvis cum liberis querulantes valde miserabiliter.
Veluti quando cum-albidentibus simul suibus teneros fœtus
a stabulo priori ad stabulum aliud abducunt
pastores advenientem propter hiemem, ipsi vero misere
mixtim grunniunt continue inter-se:
sic Trojanæ a Græcis captæ ingemiscebant.
Æqualem vero et regina sustinebat et famula necessitatem.

Nec tamen Helenam luctus detinebat, sed pudor ipsius
oculis nigris insidebat, et ipsi desuper
pulchras rubore-suffudit genas, intus autem ejus cor
multa volvebat in pectore, ne se pergentem
nigras ad naves crudeliter-tractarent Græci;
ideoque trepida caro concutiebatur pectore,
et obvoluta caput superne velo
sequebatur procedentis vestigia viri sui,
pudore purpurata genam, veluti Venus,
quando ipsam cœlites in brachiis Martis
palam viderunt suum torum dehonestantem
in vinculis densis industrii Vulcani,
in quibus jacebat dolens corde, reverita
turmatim congregatorum deorum genus atque ipsum
Vulcanum: grave enim *est* in oculis mariti
manifeste deprehendi in adulterio mulieribus:
ei Helena similis corpore et integro pudore
ibat cum Trojadibus bello-captis etiam ipsa
ad naves Græcorum bene-constructas; undique autem populi] stupebant spectantes inculpatæ feminæ
splendorem ac formam amabilem, neque quisquam sustinuit] illam, ne-occulte quidem, convicio lædere,
nedum manifeste, sed ut deam intuebantur
libenter; cunctis enim exoptantibus apparuit.
Ut quando errantibus per indefessum mare
patria sua tandem exoptantibus apparuerit,
hi vero tum e mari, tum e morte elapsi
patriæ manum porrigunt gavisi magnopere animo:
sic Græci valde cuncti gaudebant. Non enim amplius ipsis
memoria erat laboris molesti, neque belli:
talem enim Venus mentem effecerat omnium,
gratificans Helenæ formosæ ac Jovi patri.

Ac tunc, cum cognovisset caram vastatam-esse urbem
Xanthus adhuc a-cruenta respirans pugna,
lugebat cum Nymphis, quia calamitas incubuisset Trojæ
alicunde ac Priami delevisset urbem.

Ὡς δ' ὅτε λήϊον αὖον ἐπιβρίσασα χάλαζα
τυτθὰ διατμήξῃ, στάχυας δ' ἀπὸ πάντας ἀμέρσῃ
ῥιπῇ ὑπ' ἀργαλέῃ, καλάμη δ' ἄρα χεύατ' ἔραζε
μαψιδίη, καρποῖο κατ' οὔδεος ὀλλυμένοιο
λευγαλέως, ὀλοὸν δὲ πέλει μέγα πένθος ἄνακτι·
ὣς ἄρα καὶ Ξάνθοιο περὶ φρένας ἤλυθεν ἄλγος
Ἰλίου οἰωθέντος· ἔχεν δέ μιν αἰὲν ὀϊζὺς,
ἀθάνατόν περ ἐόντα· μακρὴ δ' ἀμφέστενεν Ἴδη
καὶ Σιμόεις· μύροντο δ' ἀπόπροθι πάντες ἔναυλοι
Ἰδαῖοι Πριάμοιο πόλιν περιχωκύοντες.
Ἀργεῖοι δ' ἐπὶ νῆας ἔβαν μέγα καγχαλόωντες,
μέλποντες νίκης ἐρικυδέος ὄβριμον ἀλκὴν,
ἄλλοτε δὲ ζάθεον μακάρων γένος ἠδὲ καὶ αὐτῶν
θυμὸν τολμήεντα καὶ ἄφθιτον ἔργον Ἐπειοῦ·
μολπὴ δ' οὐρανὸν ἷκε δι' αἰθέρος, εὖτε κολοιῶν
κλαγγὴ ἀπειρεσίη, ὁπότ' εὔδιον ἦμαρ ἵκηται
χείματος ἐξ ὀλοοῖο, πέλει δ' ἄρα νήνεμος αἰθήρ·
ὣς, τῶν πὰρ νήεσσι μέγ' ἔνδοθι γηθομένων κῆρ,

ἀθάνατοι τέρποντο κατ' οὐρανὸν, ὅσσοι ἀρωγοὶ
ἐκ θυμοῖο πέλοντο φιλοπτολέμων Ἀργείων·
ἄλλοι δ' αὖ χαλέπαινον, ὅσοι Τρώεσσιν ἄμυνον,
δερκόμενοι Πριάμοιο καταιθόμενον πτολίεθρον·
ἀλλ' οὐ μὰν ὑπὲρ αἶσαν, ἐελδόμενοί περ, ἀμύνειν
ἔσθενον· οὐδὲ γὰρ αὐτὸς ὑπὲρ μόρον οὐδὲ Κρονίων
ῥηϊδίως δύνατ' αἶσαν ἀπωσέμεν, ὃς περὶ πάντων
ἀθανάτων γένος ἐστὶ, Διὸς δ' ἐκ πάντα πέλονται.
Ἀργεῖοι δ' ἄρα πολλὰ βοῶν ἐπὶ μηρία θέντες
καῖον ὁμῶς σχίζῃσι, καὶ ἐσσύμενοι περὶ βωμοὺς
λεῖβεσκον μέθυ λαρὸν ἐπ' αἰθομένῃσι θυηλαῖς,
ἦρα θεοῖσι φέροντες, ἐπεὶ μέγα ἤνυσαν ἔργον·
πολλὰ δ' ἐν εἰλαπίνῃ θυμηδέϊ κυδαίνεσκον
πάντας, ὅσους ὑπέδεκτο σὺν ἔντεσι δούριος ἵππος·
θαύμαζον δὲ Σίνωνα περικλυτὸν, οὕνεχ' ὑπέστη
λώβην δυσμενέων πολυκηδέα· καί ῥά ἑ πάντες
μολπῇ καὶ γεράεσσιν ἀπειρεσίοισι τίεσκον
αἰέν· ὁ δ' ἐν φρεσὶν ᾗσιν ἐγήθεε τλήμονι θυμῷ
νίκῃ ἐπ' Ἀργείων· σφετέρῃ δ' οὐκ ἄχνυτο λώβῃ·
ἀνέρι γὰρ πινυτῷ καὶ ἐπίφρονι πολλὸν ἄμεινον
κῦδος καὶ χρυσοῖο καὶ εἴδεος ἠδὲ καὶ ἄλλων
ἐσθλῶν, ὁππόσ' ἄρ' ἐστὶ καὶ ἔσσεται ἀνθρώποισιν.
Οἱ δ' ἄρα πὰρ νήεσσιν ἀταρβέα θυμὸν ἔχοντες
δόρπεον ἀλλήλοισι διηνεκέως ἐνέποντες·
Ἠνύσαμεν πολέμοιο μακρὸν τέλος· ἠράμεθ' εὐρὺ
κῦδος, ὁμῶς δηΐοισι μέγα πτολίεθρον ἑλόντες·
ἀλλὰ Ζεῦ, καὶ νόστον ἐελδομένοις κατάνευσον.
Ὣς ἔφαν· ἀλλ' οὐ πᾶσι πατὴρ ἐπὶ νόστον ἔνευσεν·
Τοῖς δέ τις ἐν μέσσοισιν ἐπιστάμενος * * * *
* * * * * * * * οὐ γὰρ ἔτ' αὐτοῖς
δεῖμα πέλεν πολέμοιο δυσηχέος, ἀλλ' ἐπὶ ἔργα
εὐνομίης ἐτρέποντο καὶ εὐφροσύνης ἐρατεινῆς.
Ὃς δή τοι πρῶτον μὲν ἐελδομένοισιν ἄειδεν·
λαοὶ ὅπως συνάγερθεν ἐς Αὐλίδος ἱερὸν οὖδας,
ἠδ' ὡς Πηλεΐδαο μέγα σθένος ἀκαμάτοιο

Ut cum segetem maturam opprimens grando
minutatim dissecat spicasque omnes decutit
impetu violento, ac calamus sternitur humi
inanis, grano in solo pereunte
misere, tristis autem est *ac* magnus luctus domino:
sic etiam Xanthi cor occupavit dolor
Ilio vastato, tenebat autem ipsum semper tristitia,
immortalis quamvis esset. Longa etiam circumquaque-gemiscebat Ida] et Simois; lugebant etiam procul omnes
speluncæ] Idææ Priami urbem deflentes.
Græci autem naves conscenderunt, valde gaudio-exultantes,] celebrantes victoriæ illustris validum robur,
quandoque etiam divinum deorum genus ac suum-ipsorum
animum intrepidum et æternum opus Epei;
cantus autem cœlum attigit per æthera, veluti graculorum
clamor immensus, cum serenus dies venerit
post hiemem sævam ac tranquillus est æther;
sic his apud naves valde intimo gaudentibus corde,

dii lætabantur in cœlo, quotquot adjutores
ex animo fuerant bellicosorum Græcorum;
alii contra indignabantur, qui Trojanis opitulati-erant,
videntes Priami conflagrare urbem,
non tamen præter fatum, tametsi cuperent, opem-ferre
poterant. Neque enim ipse contra fatum Saturnius
facile potest sortem abigere, qui omnes
deos genere præstat, nam ex Jove omnia existunt.
Græci autem multa boum femora *aris* imposita
cremabant una-cum fissis-lignis, et circumeuntes altaria
libabant merum dulce super accensas victimas,
gratias diis agentes, quod magnum perfecissent opus.
Multum etiam in convivio hilari honorabant
cunctos, quos susceperat cum armis ligneus equus,
admirabantur etiam Sinonem inclytum, quod sustinuisset
mutilationem hostium gravissimam, ideoque ipsum cuncti
carmine ac muneribus innumeris honorabant
semper; ipse vero in corde suo gaudebat tolerante animo
de victoria Græcorum, nec sua tristabatur mutilatione.
Viro enim prudenti et cordato multo potior
gloria *est* et auro et forma et aliis
bonis, quæcunque sunt atque erunt hominibus.
Illi igitur apud naves intrepidum animum habentes
convivabantur *hæc* inter-se continue memorantes:
Imposuimus bello serum finem, retulimus amplam
gloriam, cum hostibus ingenti urbe expugnata:
verum Juppiter, etiam reditum cupientibus concede.
Sic loquebantur; verum non omnibus pater reditum annuit.] Horum vero quispiam in medio peritus * * * *
* * * * * * * * non enim amplius ipsis
metus erat belli tumultuosi, verum ad opera
concordiæ convertebantur ac lætitiæ amabilis.
Is igitur primum desiderantibus canebat,
quomodo exercitus convenerint ad Aulidis sacrum solum,
ac quomodo Pelidæ ingens robur invicti

δώδεκα μὲν κατὰ πόντον ἰὼν διέπερσε πόληας,
ἕνδεκα δ' αὖ κατὰ γαῖαν ἀπείριτον· ὅσσα τ' ἔρεξεν
Τήλεφον ἀμφὶς ἄνακτα καὶ ὄβριμον Ἠετίωνα·
ὡς δὲ Κύκνον κατέπεφνεν ὑπέρβιον, ἠδ' ὅσ' Ἀχαιοὶ
μαρνάμενοι κατὰ μῆνιν Ἀχιλλέος ἔργα κάμοντο·
Ἕκτορα δ' ὡς εἴρυσεν ἑῆς περὶ τείχεα πάτρης·
ὥς θ' ἕλε Πενθεσίλειαν ἀνὰ μόθον, ὥς τ' ἐδάμασσεν
υἱέα Τιθωνοῖο· καὶ ὡς κτάνε καρτερὸς Αἴας
Γλαῦκον ἐϋμμελίην, ἠδ' ὡς ἐρικυδέα φῶτα
Εὐρύπυλον κατέπεφνε θοοῦ πάϊς Αἰακίδαο·
ὥς τε Πάριν δαμάσαντο Φιλοκτήταο βέλεμνα·
ἠδ' ὁπόσοι δολόεντος ἐσήλυθον ἔνδοθεν ἵππου
ἀνέρες, ὥς τε πόληα θεηγενέος Πριάμοιο
πέρσαντες δαίνυντο κακῶν ἀπὸ νόσφι κυδοιμῶν.
[Ἄλλη δ' ἄλλος ἄειδεν, ὅ τι φρεσὶν ᾗσι μενοίνα.]
Ἀλλ' ὅτε δαινυμένοισι μέσον περιτέλλετο νυκτὸς,
δὴ τότε που δόρποιο καὶ ἀκρήτοιο πότοιο
παυσάμενοι πάντες λαθικηδέα κοῖτον ἕλοντο·
χθιζὸν γὰρ καμάτοιο μένος κατεδάμνατο πάντας·
τῷ καὶ παννύχιοι λελιημένοι εἰλαπινάζειν,
παύσανθ', οὕνεκεν ὕπνος ἄδην ἀέκοντας ἔρυκεν.
Ἄλλη δ' ἄλλος ἴαυεν· ὁ δ' ἐν κλισίῃσιν ἑῇσιν
Ἀτρείδης ὀάριζε μετ' ἠϋκόμοιο γυναικός·
οὐ γάρ πω κείνοισιν ἐπ' ὄμμασιν ὕπνος ἔπιπτεν,
ἀλλὰ Κύπρις πεπότητο περὶ φρένας, ὄφρα παλαιοῦ
λέκτρου ἐπιμνήσωνται, ἄχος δ' ἀπὸ νόσφι βάλωνται.
Πρώτη δ' αὖθ' Ἑλένη τοῖον ποτὶ μῦθον ἔειπεν·
Μή νύ μοι, ὦ Μενέλαε, χόλον ποτιβάλλεο θυμῷ·
οὐ γὰρ ἐγὼν ἐθέλουσα λίπον σέο δῶμα καὶ εὐνὴν,
ἀλλά μ' Ἀλεξάνδροιο βίη καὶ Τρώϊοι υἷες
σεῦ ἀπὸ νόσφιν ἐόντος ἀνηρείψαντο κιόντες·
καί με μέγ' ἐμμεμαυῖαν ὀϊζυρῶς ἀπολέσθαι
ἢ βρόχῳ ἀργαλέῳ ἢ καὶ ξίφεϊ στονόεντι
εἶργον ἐνὶ μεγάροισι, παρηγορέοντες ἔπεσσι
σεῦ ἕνεκ' ἀχνυμένην καὶ τηλυγέτοιο θυγατρός·
τῆς νύ σε πρός τε γάμου πολυγηθέος ἠδέ σευ αὐτοῦ
λίσσομαι ἀμφ' ἐμέθεν στυγερῆς λελαθέσθαι ἀνίης.
Ὣς φαμένην προσέειπε πύκα φρονέων Μενέλαος·
Μηκέτι νῦν μέμνησ', ἀλλ' ἴσχεμεν ἄλγεα θυμῷ·
ἀλλὰ τὰ μέν που πάντα μέλας δόμος ἐντὸς ἐέργει
λήθης· οὐ γὰρ ἔοικε κακῶν μεμνῆσθαι ἔτ' ἔργων.
Ὣς φάτο· τὴν δ' ἕλε χάρμα, δέος δ' ἐξέσσυτο θυμοῦ·
ἔλπετο γὰρ παύσασθαι ἀνιηροῖο χόλοιο
ὃν πόσιν· ἀμφὶ δέ μιν βάλε πήχεε· καί σφιν ἅμ' ἀμφοῖν
δάκρυ κατὰ βλεφάροιϊν ἐλείβετο ἡδὺ γοώντων·
ἀσπασίως δ' ἄρα τώγε παρ' ἀλλήλοισι κλιθέντε
σφωϊτέρου κατὰ θυμὸν ἀνεμνήσαντο γάμοιο·
ὡς δ' ὅτε που κισσός τε καὶ ἡμερὶς ἀμφιβάλωνται
ἀλλήλοις περὶ πρέμνα, τὰ δ' οὔποτε ἴς ἀνέμοιο
σφῶν ἀπὸ νόσφι βαλέσθαι ἐπισθένει· ὣς ἄρα τώγε
ἀλλήλοις συνέχοντο λιλαιόμενοι φιλότητος.
Ἀλλ' ὅτε δὴ καὶ τοῖσιν ἐπήλυθεν ὕπνος ἀπήμων,
δὴ τότ' Ἀχιλλῆος κρατερὸν κῆρ ἰσοθέοιο
ἔστη ὑπὲρ κεφαλῆς οὗ υἱέος, οἷος ἔην περ

duodecim per mare grassans vastarit urbes,
undecim præterea per terram immensam, ac quæ fecerit
circa Telephum regem et fortem Eetiona,
quomodo Cycnum prostraverit violentum, ac quæ Græci
pugnantes, commota ira Achillis, facta ediderint,
Hectoremque quomodo raptaverit ipsius circa murum patriæ,] ac quomodo interfecerit Penthesileam in prœlio, et
quemadmodum ceciderit] filium Tithoni, et quomodo occiderit robustus Ajax] Glaucum bellicosum, et quomodo illustrem virum] Eurypylum sustulerit velocis filius Æacidæ,
et quomodo Paridem domuerint Philoctetæ jacula,
ac quot dolosum ingressi-fuerint in equum
viri, et quomodo urbe divini Priami
excisa convivati-fuerint malis procul a tumultibus.
[Alibi autem alius canebat quod animo suo volvebat.]
Postquam vero convivantibus medium transactum-est noctis,] tunc cœnæ et meraci potus
fine-facto, omnes securum somnum capiebant;
hesterni enim laboris vis oppressit cunctos.
Ideoque, etiamsi per-totam-noctem cuperent convivari,
desinebant, quia somnus *quamlibet* nolentes valde gravabat.] Alibi autem alius cubabat, at in tentoriis suis
Atrides confabulabatur cum pulcricoma uxore;
nondum enim horum oculis somnus inciderat,
sed Venus obversabatur animis, ut veteris
tori recordarentur ac mœrorem procul abjicerent.
Prior autem Helena tali oratione compellavit *maritum*:
Ne mihi, o Menelae, iram servato in animo;
non enim ego volens reliqui tuam domum et lectum,
sed me Alexandri violentia et Trojani filii
te procul absente abripuerunt *illuc* profecti,
ac me valde cupientem misere perire
aut laqueo tristi aut etiam ense mortifero
cohibebant in ædibus, demulcentes *me* verbis
tui causa dolentem et unicæ filiæ.
Per quam te conjugiumque *nostrum* dulce ac teipsum
obsecro, tristis de me ut-obliviscaris sollicitudinis.
Sic loquentem compellavit prudens Menelaus:
Ne-amplius nunc *horum* memento, sed cohibe dolores
in-animo;] verum hæc omnia atra domus intus coerceat
oblivionis. Non enim decet malorum recordari amplius operum.] Sic dixit; illam autem corripuit gaudium, ac metus
fugit-ex animo,] sperabat enim finem-facturum sævæ iræ
suum maritum. Ideo ei circumdedit brachia, ac simul
utriusque] lacrima e palpebris destillabat suaviter plorantium;] libenter autem ipsi in mutuis complexibus-cubantes
sui ex animo recordati-sunt conjugii.
Ut cum hedera et vitis amplexantur
se-mutuo circa ramusculos, quos nunquam vis venti
a se divellere potest: sic etiam hi-duo
mutuo complexu-hærebant appetentes concubitum.
Verum cum et his subiisset somnus placidus,
tunc Achillis præstans anima divini
stetit supra caput sui filii, qualis quidem erat

ζωὸς ἐὼν, ὅτε Τρωσὶν ἄχος πέλε, χάρμα δ' Ἀχαιοῖς·
κῦσε δέ οἱ δειρὴν καὶ φάεα μαρμαίροντα
ἀσπασίως, καὶ τοῖα παρηγορέων προσέειπεν·
Χαῖρε, τέκος, καὶ μή τι δαΐζεο πένθεϊ θυμὸν
εἵνεκ' ἐμεῖο θανόντος, ἐπεὶ μακάρεσσι θεοῖσιν
ἤδη ὁμέστιός εἰμι· σὺ δ' ἴσχεο τειρόμενος κῆρ
ἀμφ' ἐμέθεν, καὶ κάρτος ἀρήϊον ἔνθεο θυμῷ·
αἰεὶ δ' Ἀργείων πρόμος ἵστασο μηδενὶ εἴκων
ἠνορέῃ· ἀγορῇ δὲ παλαιοτέροισι βροτοῖσι
πείθεο· καί νύ σε πάντες ἐΰφρονα μυθήσονται·
τίε δ' ἀμύμονας ἄνδρας, ὅσοις νόος ἔμπεδός ἐστιν·
ἐσθλῷ γὰρ φίλος ἐσθλὸς ἀνὴρ, χαλεπῷ δ' ἀλεγεινός·
ἢν δ' ἀγαθὸν φρονέῃς, ἀγαθῶν καὶ τεύξεαι ἔργων·
κεῖνος δ' οὔποτ' ἀνὴρ ἀρετῆς ἐπὶ τέρμαθ' ἵκανεν,
ᾧτινι μὴ νόος ἐστὶν ἐναίσιμος· οὕνεκ' ἄρ' αὐτῆς
πρέμνον δύσβατόν ἐστι, μακροὶ δέ οἱ ἄχρις ἐπ' αἰθρὴν
ὄζοι ἐπηέξηνθ'· ὁπόσοισι δὲ κάρτος ὀπηδεῖ
καὶ πόνος, ἐκ καμάτου πολυγηθέα καρπὸν ἀμῶνται,
εἰς ἀρετῆς ἀναβάντες ἐϋστεφάνου κλυτὸν ἔρνος.
Ἀλλ' ἄγε κύδιμος ἔσσο· καὶ ἐν φρεσὶ πευκαλίμῃσι
μήτ' ἐπὶ πήματι πάγχυ δαΐζεο θυμὸν ἀνίῃ,
μήτ' ἐσθλῷ μέγα χαῖρε· νόος δέ τοι ἤπιος ἔστω
ἔς τε φίλους ἑτάρους ἔς θ' υἱέας ἔς τε γυναῖκας,
μνωομένῳ κατὰ θυμὸν, ὅτι σχεδὸν ἀνθρώποισιν
οὐλομένοιο μόροιο πύλαι καὶ δώματα νεκρῶν·
ἀνδρῶν γὰρ γένος ἐστὶν ὁμοίϊον ἄνθεσι ποίης,
ἄνθεσιν εἰαρινοῖσι, τὰ μὲν φθινύθει, τὰ δ' ἀέξει·
τοὔνεκα μείλιχος ἔσσο· καὶ Ἀργείοισιν ἔνισπε,
Ἀτρείδῃ δὲ μάλιστ' Ἀγαμέμνονι, εἴ γε τι θυμῷ
μέμνηνθ', ὅσσ' ἐμόγησα περὶ Πριάμοιο πόληα,
ἠδ' ὅσα ληϊσάμην πρὶν Τρώϊον οὖδας ἱκέσθαι,
τῷ μοι νῦν, κατὰ θυμὸν ἐελδομένῳ περὶ πάντων,
ληΐδος ἐκ Πριάμοιο Πολυξείνην εὔπεπλον
ὄφρα θοῶς ῥέξωσιν, ἐπεί σφισι χώομαι ἔμπης
μᾶλλον ἔτ' ἢ τοπάρος Βρισηΐδος· ἀμφὶ δ' ἄρ' οἶδμα
κινήσω πόντοιο, βαλῶ δ' ἐπὶ χείματι χεῖμα,
ὄφρα καταφθινύθοντες ἀτασθαλίῃσιν ἑῇσι
μίμνωσ' ἐνθάδε πολλὸν ἐπὶ χρόνον, εἰσόκ' ἐμοί γε
λοιβὰς ἀμφιχέωνται ἐελδόμενοι μέγα νόστου·
αὐτὴν δ', εἴ κε θέλωσιν, ἐπὴν ἀπὸ θυμὸν ἕλωνται,
κούρην ταρχύσασθαι ἀπόπροθεν, οὔτι μεγαίρω.
Ὣς εἰπὼν ἀπόρουσε θοῇ ἐναλίγκιος αὔρῃ,
αἶψα δ' ἐς Ἠλύσιον πεδίον κίεν, ᾗχι τέτυκται
οὐρανοῦ ἐξ ὑπάτοιο καταιβασίη τ' ἄνοδός τε
ἀθανάτοις μακάρεσσιν· ὁ δ', ὁππότε μιν λίπεν ὕπνος,
μνήσατο πατρὸς ἑοῖο· νόος δέ οἱ ἠῢς ἰάνθη.
Ἀλλ' ὅτ' ἐς οὐρανὸν εὐρὺν ἀνήϊεν Ἠριγένεια
νύκτα διασκεδάσασ', ἐφάνη δ' ἄρα γαῖα καὶ αἰθὴρ,
δὴ τότ' Ἀχαιῶν υἷες ἀπὲκ λεχέων ἀνόρουσαν
ἱέμενοι νόστοιο· νέας δ' ἐς βένθεα πόντου
εἷλκον καγχαλόωντες ἀνὰ φρένας, εἰ μὴ ἄρ' αὐτοὺς
ἐσσυμένους κατέρυκεν Ἀχιλλέος ὄβριμος υἱὸς,
εἰς ἀγορήν τε κάλεσσε καὶ ἔκφατο πατρὸς ἐφετμήν·
Κέκλυτέ μευ, φίλα τέκνα μενεπτολέμων Ἀργείων,

vivus cum-esset, ubi Trojanis dolor erat ac gaudium Græcis;
osculabatur autem ipsi cervicem et oculos coruscantes
placide, ac talibus *cum* demulcens compellabat :
Salve, fili, ac nequaquam conficias luctu animum
propter me defunctum, quia beatis diis
jam familiaris sum, tu vero desine consumere cor
propter me ac robur Martium injice *tuo* animo;
semper autem Græcorum primus stato nulli cedens
fortitudine; in-concione autem senioribus viris
obtempera, ac te omnes prudentem dicent;
cole etiam præstantes viros, quibus mens firma est :
boni enim amicus *est* bonus vir, injusti vero improbus :
si bono dederis-operam, bonorum etiam compos-fies operum,] ille vero vir nunquam virtutis ad terminos pervenit,
cui non mens est justa, quia ipsius (*virtutis*)
arbor ascensu-difficilis est, longique ei usque ad cœlum
rami excreverunt; quos autem robur sequitur
ac labor, ex labore dulcem fructum metunt
ad virtutis conscendentes coronatæ inclytum germen.
Verum age strenuus esto, atque in animo prudente
neve in re-adversa prorsus confice animum mœrore,
neve in secunda nimium lætare; mens etiam tibi benigna
sit] erga caros amicos et erga filios et erga uxores,
recordanti in animo quod prope *sint* hominibus
perniciosi fati portæ ac domus mortuorum :
hominum enim genus est simile floribus prati,
floribus vernis, alii intereunt, alii contra nascuntur :
ideo comis esto ; ac Græcis refer,
Atridæ vero maxime Agamemnoni, si quidem animo
recordantur, quos subierim-labores circa Priami urbem,
ac quantum prædæ-coegerim, priusquam ad Trojanum solum ventum-est,] ideo mihi nunc ex animo cupienti præ
omnibus] de præda Priami Polyxenam pulcro-peplo
quam celerrime mactent, nam ipsis succenseo nunc
magis etiam quam antea Briseidis *causa*: namque undam
turbabo maris et accumulabo tempestati tempestatem,
ut contabescentes peccatis suis
maneant hic longum ad tempus, donec mihi
libamina diffundant desiderantes valde reditum ;
ipsam vero, si voluerint, postquam animam eripuerint,
puellam sepeliri procul non invideo.
Sic cum-dixisset, discessit veloci similis auræ,
confestim autem in Elysium campum abiit, ubi sunt
de cœlo summo descensus et ascensus
immortalibus diis. Ille autem, cum ipsum reliquisset somnus,] recordatus-est patris sui, et animus ipsi generosus
lætatus-est.] At postquam in cœlum amplum ascendit Aurora] nocte dissipata, apparuitque terra atque æther,
tunc Græcorum filii e lectis surrexerunt
cupidi reditus, ac naves in altum maris
traxissent gestientes animis, nisi ipsos
festinantes cohibuisset Achillis fortis filius,
et ad concionem vocasset et exposuisset patris mandatum :
Audite ex-me, cari filii bellicosorum Græcorum,

πατρὸς ἐφημοσύνην ἐρικυδέος, ἥν μοι ἔνισπε
χθιζὸς, ἐνὶ λεχέεσσι διὰ κνέφας ὑπνώοντι·
φῆ γὰρ ἀειγενέεσσι μετέμμεναι ἀθανάτοισιν·
ἠνώγει δ' ὑμέας τε καὶ Ἀτρείδην βασιλῆα,
ὄφρα οἱ ἐκ πολέμοιο γέρας περικαλλὲς ἄροιτε,
τύμβον ἐπ' εὐρώεντα, Πολυξείνην εὔπεπλον·
καί μιν ἔφη ῥέξαντες ἀπόπροθι ταρχύσασθαι·
εἰ δέ οἱ οὐκ ἀλέγοντες ἐπιπλώοιτε θάλασσαν,
ἠπείλει κατὰ πόντον ἐναντία κύματ' ἀείρας
λαὸν ὁμῶς νήεσσι πολὺν χρόνον ἐνθάδ' ἐρύξειν.
Ὣς φαμένου πείθοντο καὶ ὡς θεῷ εὐχετόωντο·
καὶ γὰρ δὴ κατὰ βένθος ἀέξετο κῦμα θυέλλῃ
εὐρύτερον καὶ μᾶλλον ἐπήτριμον, ἢ πάρος ἦεν,
μαινομένου ἀνέμοιο· μέγας δ' ὀροθύνετο πόντος
χερσὶ Ποσειδάωνος· ὁ γὰρ κρατερῷ Ἀχιλῆϊ
ἦρα φέρεν· πᾶσαι δὲ θοῶς ἐνόρουσαν ἄελλαι
ἐς πέλαγος. Δαναοὶ δὲ μέγ' εὐχόμενοι Ἀχιλῆϊ
πάντες ὁμῶς μάλα τοῖα πρὸς ἀλλήλους ὀάριζον·
Ἀτρεκέως γενεὴ μεγάλου Διὸς ἦεν Ἀχιλλεύς·
τῷ καὶ νῦν θεός ἐστι, καὶ εἰ πάρος ἔσκε μεθ' ἡμῖν·
οὐ γὰρ ἀμαλδύνει μακάρων γένος ἄμβροτος αἰών.
Ὣς φάμενοι ποτὶ τύμβον Ἀχιλλέος ἀπονέοντο·
τὴν δ' ἄγον, ἠύτε πόρτιν ἐς ἀθανάτοιο θυηλὰς
μητρὸς ἀπειρύσαντες ἐνὶ ξυλόχοισι βοτῆρες,
ἣ δ' ἄρα μακρὰ βοῶσα κινύρεται ἀχνυμένη κῆρ·
ὣς τῆμος Πριάμοιο πάϊς περικωκύεσκε
δυσμενέων ἐν χερσίν· ἀδὴν δέ οἱ ἔκχυτο δάκρυ.
Ὡς δ' ὁπότε βριαρῷ ὑπὸ χέρματι καρπὸς ἐλαίης
οὔπω χειμερίῃσι μελαινόμενος ψεκάδεσσι
χεύῃ πολλὸν ἄλειφα, περιτρίζωσι δὲ μακρὰ
ἄρμεν' ὑπὸ σπάρτοισι βιαζομένων αἰζηῶν·
ὣς ἄρα καὶ Πριάμοιο πολυτλήτοιο θυγατρὸς
ἑλκομένης ποτὶ τύμβον ἀμειλίκτου Ἀχιλῆος
αἰνὸν ὁμῶς στοναχῇσι κατὰ βλεφάρων ῥέε δάκρυ,
καί οἱ κόλπος ἔνερθεν ἐπλήθετο, δεύετο δὲ χρὼς
ἀτρεκέως ἀτάλαντος ἐυκτεάνῳ ἐλέφαντι.
Καὶ τότε λευγαλέοις ἐπὶ πένθεσι κύντερον ἄλγος
τλήμονος ἐς κραδίην Ἑκάβης πέσεν· ἐν δέ οἱ ἦτορ
μνήσατ' ὀϊζυροῖο καὶ ἀλγινόεντος ὀνείρου,
τόν ῥ' ἴδεν ὑπνώουσα παροιχομένῃ ἐνὶ νυκτί·
ἦ γὰρ ὀΐετο τύμβον ἐπ' ἀντιθέου Ἀχιλῆος
ἑστάμεναι γοόωσα· κόμαι δέ οἱ ἄχρις ἐπ' οὖδας
ἐκ κεφαλῆς ἐκέχυντο, καὶ ἀμφοτέρων ἀπὸ μαζῶν
ἔρρεε φοίνιον αἷμα ποτὶ χθόνα· δεῦε δὲ σῆμα·
τοῦ πέρι δειμαίνουσα καὶ ὀσσομένη μέγα πῆμα
οἰκτρὸν ἀνῳμώζεσκε· γόῳ δ' ἐπὶ μακρὸν ἄυτει.
Εὖτε κύων προπάροιθε κινυρομένη μεγάροιο
μακρὸν ὑλαγμὸν ἵησι, νέον σπαργῶσα γάλακτι,
τῆς ἀπὸ νήπια τέκνα, πάρος φάος εἰσοράασθαι,
νόσφι βάλωσιν ἄνακτες, ἕλωρ ἔμεν οἰωνοῖσιν,
ἡ δ' ὁτὲ μέν θ' ὑλακῇσι κινύρεται, ἄλλοτε δ' αὖτε
ὠρυθμῷ, στυγερὴ δὲ δι' ἠέρος ἔσσυτ' ἀϋτή·
ὣς Ἑκάβη γοόωσα μέγ' ἴαχεν ἀμφὶ θυγατρί· [κῆρ
Ὤμοι ἐγὼν, τί νυ πρῶτον ἴδ' ὕστατον ἀχνυμένη

patris mandatum illustris, quod mihi indicavit
heri, in lectis per noctem dormienti :
dixit enim immortalibus interesse *se* diis,
jussit vero vos et Atriden regem,
ut ipsi de præda honorarium perpulcrum deligatis,
in tumulo ingenti, Polyxenam pulcro-peplo,
et eam jussit immolatam seorsum sepeliri ;
si vero ipsum non curantes innavigaveritis mare,
minabatur in mari adversis fluctibus concitatis
exercitum cum navibus longo tempore hic se-detenturum.
Sic loquenti obtemperabant atque ut Deo *Achilli* vota-faciebant :] etenim jam in alto attollebatur fluctus procellis
latior ac magis continuus, quam antea fuerat,
furente vento, et ingens quassabatur pontus
manibus Neptuni; is enim forti Achilli
gratificabatur; cunctæ autem repente irruebant procellæ
in mare. Græci vero magnas preces-fundentes Achilli
cuncti simul identidem talia inter sese loquebantur :
Vere de-genere magni Jovis erat Achilles ;
ideoque nunc deus est, etiamsi prius erat nobiscum :
non enim destruit superum progeniem infinitum ævum.
Sic locuti ad bustum Achillis redierunt ;
illam vero adduxerunt, sicuti juvencam ad dei sacrificia
a matre abstractam in silvis pastores,
ea vero longo mugitu-reboans quiritat mœsta corde :
sic tunc Priami filia ululabat
hostium in manibus, et ubertim ipsi fundebantur lacrimæ.
Veluti cum gravi sub lapide fructus olivæ
nondum hibernis nigrescens pruinis
fundit copiosam pinguedinem, circumque stridet magnum
trapetum sub funibus-sparteis dum-torquent juvenes :
ita etiam Priami multa-experti filiæ
raptæ ad sepulcrum duri Achillis
tristis cum gemitibus de palpebris fluebat lacrima,
et ipsi sinus intus replebatur, rigabaturque cutis
vere similis precioso ebori.
Tunc vero tristes post luctus fœdior cruciatus
miseræ in cor Hecubæ irruit, namque ipsius cor
recordabatur horribilis ac tristifici somnii,
quod vidit dormiens præterita nocte :
etenim putabat ad tumulum divini Achillis
stare *se* lugentem, comæque ipsi usque ad solum
e capite defluebant, ac de utroque ubere
manabat cruentus sanguis ad terram, rigabaturque monumentum.] Ob hoc valde metuens ac præsagiens magnum
malum] miserabiliter ingemiscebat, et cum fletu multum
vociferabatur.] Veluti canis quiritans ante domum
longum latratum edit, recens distenta lacte,
cujus parvos catulos, priusquam lucem intuerentur,
procul abjecerint domini, præda ut-sint alitibus,
illa vero nunc latrando quiritat, nunc rursus
ululando, et odiosus per aerem fertur clamor :
sic Hecuba lugens valde vociferata-est propter filiam :
Heu mihi! quid primum aut postremum dolens corde

κωκύσω, πολέεσσι περιπλήθουσα κακοῖσιν;
υἱέας ἢ πόσιν αἰνὰ καὶ οὐκ ἐπίελπτα παθόντας
ἢ πόλιν ἠὲ θύγατρας ἀδευκέας ἢ ἐμὸν αὐτῆς
ἦμαρ ἀναγκαῖον καὶ δούλιον; οὕνεκα Κῆρες
σμερδαλέαι πολέεσσί μ' ἐνειλήσαντο κακοῖσι.
Τέκνον ἐμὸν, σοί τ' αἰνὰ καὶ οὐκ ἐπίελπτα καὶ αὐτῇ
ἄλγε' ἐπεκλώσαντο· γάμου δ' ἀπὸ νόσφι βάλοντο
ἐγγὺς ἐόνθ' Ὑμεναῖον, ἐπεχρήναντο δ' ὄλεθρον
ἄσχετον ἀργαλέον τε καὶ οὐ φατόν· ἦ γὰρ Ἀχιλλεὺς
καὶ νέκυς ἡμετέρῳ ἔτ' ἰαίνεται αἵματι θυμόν.
Ὥς μ' ὄφελον μετὰ σεῖο, φίλον τέκος, ἤματι τῷδε
γαῖα χανοῦσα κάλυψε, πάρος σέο πότμον ἰδέσθαι.
Ὣς φαμένης ἄλληκτα κατὰ βλεφάροιϊν ἔχυντο
δάκρυα· λευγαλέον γὰρ ἔχεν μετὰ πένθεϊ πένθος.
Οἱ δ' ὅτ' ἔβαν ποτὶ τύμβον Ἀχιλλῆος ζαθέοιο,
δὴ τότε οἱ φίλος υἱὸς ἐρυσσάμενος θοὸν ἆορ
σκαιῇ μὲν κούρην κατερήτυε, δεξιτερῇ δὲ
τύμβου ἐπιψαύων τοῖον ποτὶ μῦθον ἔειπε·
Κλῦθι πάτερ σέο παιδὸς ἐπευχομένοιο καὶ ἄλλων
Ἀργείων, μηδ' ἧμιν ἔτ' ἀργαλέως χαλέπαινε·
ἤδη γάρ τοι πάντα τελέσσομεν, ὅσσα μενοινᾷς
σῇσιν ἐπὶ πραπίδεσσι· σὺ δ' ἵλαος ἄμμι γένοιο
τεύξας εὐχομένοισι θοῶς θυμηδέα νόστον.
Ὣς εἰπὼν κούρης διὰ λοίγιον ἤλασεν ἆορ
λευκανίης· τὴν δ' αἶψα λίπεν πολυήρατος αἰὼν
οἰκτρὸν ἀνοιμώξασαν ἐφ' ὑστατίῃ βιότοιο·
καί ῥ' ἡ μὲν πρηνὴς χαμάδις πέσε· τῆς δ' ὑπὸ δειρὴ
φοινίχθη περὶ πάντα, χιὼν ὥς, ἥ τ' ἐν ὄρεσσιν
ἢ συὸς ἢ ἄρκτοιο κατουταμένης ὑπ' ἄκοντι
αἵματι πορφύροντι θοῶς ἐρυθαίνεθ' ὕπερθεν.
Ἀργεῖοι δέ μιν αἶψα δόσαν ποτὶ ἄστυ φέρεσθαι
ἐς δόμον ἀντιθέου Ἀντήνορος, οὕνεκ' ἄρ' αὐτὴν
κεῖνος ἐνὶ Τρώεσσιν ἑῷ πάρος υἱέϊ δίῳ
Εὐρυμάχῳ ἀτίταλλεν ἐνὶ μεγάροισιν ἄκοιτιν.
Ὃς δ' ἐπεὶ οὖν τάρχυσε κλυτὴν Πριάμοιο θύγατρα
ἐγγὺς ἑοῖο δόμοιο παραὶ Γανυμήδεος ἱρὰ
δώματα καὶ νηοῖο καταντίον Ἀτρυτώνης,
δὴ τότε παύσατο κῦμα, κατευνήθη δὲ θύελλα
σμερδαλέη, καὶ χεῦμα κατεπρήϋνε γαλήνη.
Οἱ δὲ θοῶς ἐπὶ νῆας ἔβαν μέγα καγχαλόωντες,
μέλποντες μακάρων ἱερὸν γένος ἠδ' Ἀχιλῆα·
αἶψα δὲ δαῖτ' ἐπάσαντο, βοῶν ἀπὸ μηρὰ ταμόντες
ἀθανάτοις· ἐρατὴ δὲ θυηπολίη πέλε πάντη·
οἱ δέ που ἀργυρέοισι καὶ ἐν χρυσέοισι κυπέλλοις
πίνον ἀφυσσάμενοι λαρὸν μέθυ· γήθεε δέ σφι
θυμὸς ἐελδομένων σφετέρην ἐπὶ γαῖαν ἱκέσθαι.
Ἀλλ' ὅτε δὴ δόρποιο καὶ εἰλαπίνης κορέσαντο,
δὴ τότε Νηλέος υἱὸς ἐελδομένοισιν ἔειπεν· [κλὴν,
Κλῦτε, φίλοι πολέμοιο μακρὴν φεύγοντες ὁμο-
ὄφρα λιλαιομένοισιν ἔπος θυμῆρες ἐνίσπω·
ἤδη γὰρ νόστοιο πέλει θυμηδέος ὥρη·
ἀλλ' ἴομεν· δὴ γάρ που Ἀχιλλέος ὄβριμον ἦτορ
παύσατ' ὀϊζυροῖο χόλου, κατέρυξε δὲ κῦμα
ὄβριμον Ἐννοσίγαιος· ἐπιπνείουσι δ' ἀῆται

querar, innumeris oppleta malis?
filiosne an maritum gravia et non sperata passos
an urbem an filias miseras an meum ipsius
diem violentum ac servilem? quia Parcæ
horrendæ multis me involverunt calamitatibus.
Filia mea, tibi horrenda ac non expectata etiam ipsi
mala agglomerarunt, et a-nuptiis procul repulerunt
prope existentem Hymenæum, ac conciliarunt *tibi* exitium
immutabile sævumque et infandum : etenim Achilles
etiam mortuus in nostro adhuc sanguine oblectat animum.
Utinam me tecum, cara filia, die hoc
terra dehiscens occuluisset, priusquam tuam necem videre-
rem.] Sic loquentis de palpebris indesinenter manabant
lacrimæ, tristem enim habebat super luctum luctum.
Illi vero (*Græci*) postquam venerunt ad tumulum Achillis
divini,] tunc ipsius dilectus filius, stricto acuto ense,
sinistra quidem virginem retinebat, dextera autem
tumulum attingens tali oratione *patrem* allocutus-est :
Audi, pater, tuum filium precantem ac cæteros
Græcos, neque nobis adhuc graviter succense,
jam enim tibi omnia præstabimus, quæ desideras
tuo in corde. Tu vero propitius nobis sis,
sternens orantibus celeriter dulcem reditum.
Sic fatus exitialem egit ensem puellæ per
guttur : eam vero mox reliquit amabilis vita,
misere ingemiscentem in fine vitæ,
et ipsa quidem prona in-terram corruit, hujus vero cervix
rubuit circumquaque, ut nix, quæ in montibus
vel suis vel ursæ sauciatæ jaculo
cruore purpureo celeriter rubescit desuper.
Græci autem ipsam mox dederunt ad urbem ferendam
in domum illustris Antenoris, quia ipsam
ille inter Trojanos suo antea filio generoso
Eurymacho educaverat in ædibus uxorem.
Qui postquam sepelivit inclytam Priami filiam
prope suam domum apud Ganymedis sacras
ædes et e-regione templi Minervæ,
exin conquievit unda, et consopita-est tempestas
horrenda, ac fluctum pacavit tranquillitas.
Illi ergo sine-mora naves conscenderunt valde lætantes,
celebrantes Deorum sacrum genus et Achillem;
mox etiam convivium pararunt, boum femora resecantes
diis, lætumque sacrificii-epulum erat ubique :
illi interim ex argenteis et aureis poculis
bibebant haurientes dulce vinum, ac gaudebat ipsis
animus cupientibus suam in terram redire.
Verum cum cibi ac convivii saturi-essent,
tunc Nelei filius desiderantibus locutus-est :
Audite, amici longas belli qui-effugistis minas,
ut cupientibus sermonem gratum proferam:
nunc enim reditus grati est hora;
itaque abeamus! namque Achillis præstans cor
destitit a-sæva ira, et cohibuit undam
violentam Neptunus, aspirant autem venti

μειλιχοι, οὐδέ τι κῦμα κορύσσεται· ἀλλ' ἄγε νῆας
εἰς ἁλὸς οἶδμ' ἐρύσαντες ἀναμνησώμεθα νόστου.
Ὣς φάτ' ἐελδομένοις· οἱ δ' ἐς πλόον ἐντύνοντο.
Ἔνθα τέρας θηητὸν ἐπιχθονίοισι φαάνθη,
οὕνεκα δὴ Πριάμοιο δάμαρ πολυδακρύτοιο
ἐκ βροτοῦ ἀλγινόεσσα κύων γένετ'· ἀμφὶ δὲ λαοὶ
θάμβεον ἀγρόμενοι· τῆς δ' ἄψεα λάϊνα πάντα
θῆκε θεός, μέγα θαῦμα καὶ ἐσσομένοισι βροτοῖσι·
καὶ τὴν μὲν Κάλχαντος ὑπ' ἐννεσίῃσιν Ἀχαιοὶ
νηὸς ἐπ' ὠκυπόροιο πέραν θέσαν Ἑλλησπόντου.
Καρπαλίμως δ' ἄρα νῆας ἔσω ἁλὸς εἰρύσσαντες
κτήματα πάντ' ἐβάλονθ', ὁπόσ' Ἴλιον εἰσανιόντες
ληΐσσαντο πάροιθε περικτίονας δαμάσαντες,
ἠδ' ὁπόσ' ἐξ αὐτῆς ἄγον Ἰλίου, οἷσι μάλιστα
γήθεον, οὕνεκ' ἔσαν μάλα μυρία· τοῖς δ' ἅμα πολλαὶ
ληϊάδες συνέποντο μάλ' ἀχνύμεναι κατὰ θυμόν.
Αὐτοὶ δ' ἐντὸς ἵκοντο νεῶν· ἀλλ' οὔ σφισι Κάλχας
ἕσπετ' ἐπειγομένοισιν ἔσω ἁλός, ἀλλὰ καὶ ἄλλους
Ἀργείους κατέρυκε· Καφηρίσι γὰρ περὶ πέτραις
δείδιεν αἰνὸν ὄλεθρον ἐπεσσύμενον Δαναοῖσιν·
οἱ δέ οἱ οὔτι πίθοντο· παρήπαφε γὰρ νόον ἀνδρῶν
Αἶσα κακή· μοῦνος δὲ θεοπροπίας εὖ εἰδὼς
Ἀμφίλοχος, θοὸς υἱὸς ἀμύμονος Ἀμφιαράου,
μίμνεν ὁμῶς Κάλχαντι περίφρονι· τοῖσι γὰρ ἦεν
αἴσιμον ἀμφοτέροισιν, ἑῆς ἀπὸ τηλόθι γαίης
Παμφύλων Κιλίκων τε ποτὶ πτολίεθρα νέεσθαι.
Ἀλλὰ τὰ μὲν μετόπισθε θεοὶ θέσαν· αὐτὰρ Ἀχαιοὶ
νηῶν πείσματ' ἔλυσαν ἀπὸ χθονὸς ἠδὲ καὶ εὐνὰς
ἐσσυμένως ἀνάειραν· ἐπίαχε δ' Ἑλλήσποντος
σπερχομένων· νῆες δὲ περικλύζοντο θαλάσσῃ·
ἀμφὶ δ' ἄρα σφίσι πολλὰ περὶ πρώρῃσιν ἔκειντο
ἔντε' ἀποκταμένων· καθύπερθε δὲ σήματα νίκης
μυρί' ἀπῃώρηντο· κατεστέψαντο δὲ νῆας
καὶ κεφαλὰς καὶ δοῦρα καὶ ἀσπίδας, ᾗσι μάχοντο
ἀντία δυσμενέων· ἀπὸ δὲ πρώρηθεν ἄνακτες
εἰς ἅλα κυανέην λεῖβον μέθυ, πολλὰ θεοῖσιν
εὐχόμενοι μακάρεσσιν ἀκηδέα νόστον ὀπάσσαι·
εὐχωλαὶ δ' ἀνέμοισι μίγεν καὶ ἀπόπροθι νηῶν
μαψιδίως νεφέεσσι καὶ ἠέρι συμφορέοντο.
Αἳ δ' ἄρα παπταίνεσκον ἐς Ἴλιον ἀχνύμεναι κῆρ
ληϊάδες· καὶ πολλὰ κινυρόμεναι γοάασκον
κρύβδην Ἀργείων, μέγ' ἐνὶ φρεσὶ πένθος ἔχουσαι·
καί ῥ' αἱ μὲν περὶ γούνατ' ἔχον χέρας· αἱ δ' ἑὰ τέκνα
ἄμπεχον ἀγκοίνῃσι· τὰ δ' οὔπω δούλιον ἦμαρ
ἔστενεν, οὔτε πάτρης ἐπὶ πήμασιν, ἀλλ' ἐπὶ μαζῷ
θυμὸν ἔχον· κηδέων γὰρ ἀπόπροθι νήπιον ἦτορ·
πάσῃσιν δ' ἐλέλυντο κόμαι, καὶ στήθεα λυγρὰ
ἀμφ' ὀνύχεσσι δέδρυπτο· παρειῇσιν δ' ἔπι δάκρυ
αὐαλέον περίκειτο, κατείβετο δ' ἄλλ' ἐφύπερθε
πυκνὸν ἀπὸ βλεφάρων· δέρκοντο δὲ τλήμονα πάτρην
αἰθομένην ἔτι πάγχυ, πολὺν δ' ἀνὰ καπνὸν ἰόντα·
ἀμφὶ δὲ Κασσάνδρην περικυδέα παπταίνουσαι
πᾶσαί μιν θηεῦντο, θεοπροπίης ἀλεγεινῆς
μνωόμεναι· ἡ δέ σφιν ἐπεγγελάασκε γοώσαις,

blandi, neque unda turbatur. Sed agite naves in maris undam trahentes recordemur reditus.

Sic locutus-est cupidis; ipsi vero ad navigationem sese instruebant.] Ibi prodigium stupendum mortalibus apparuit :] nam Priami uxor afflictissimi ex homine canis misera facta-est, circum vero populus obstupescebat congregatus; ejus autem cuncta membra saxea] fecit deus, magnum miraculum etiam futuris hominibus.] Atque hanc quidem Calchantis de consiliis Græci in navi veloci collocarunt trans Hellespontum. Festinanter itaque navibus in mare tractis opes omnes imposuerunt, quascunque Ilium proficiscentes de-præda-ceperant prius vicinis subactis, et quascunque ex ipso abduxerunt Ilio, quibus maxime gaudebant, quod essent plane innumeræ : eos autem simul multæ] captivæ-mulieres comitabantur valde dolentes in animo.] Ipsi tandem ingressi-sunt naves : sed non ipsos Calchas] sequebatur properantes in mare, sed etiam cæteros Græcos revocabat, Capharides enim circa petras metuebat triste exitium imminens Græcis. Hi vero non obtemperarunt, decepit enim mentem virorum Fatum funestum. Solus autem vaticinii bene peritus Amphilochus, acer filius inculpati Amphiarai, manebat cum Calchante prudente : horum enim erat fatale utrique, a sua procul patria Pamphyliorum et Cilicum ad urbes proficisci.

Verum hæc quidem postea dii perfecerunt. Interim Græci navium retinacula solverunt a terra atque ancoras festinanter sustulerunt, et insonuit Hellespontus properantibus *ipsis*, ac naves alluebantur mari. Undique vero multa harum circa proras jacebant arma cæsorum, desuper vero signa victoriæ infinita suspensa-erant, coronarunt etiam naves et capita et hastas et scuta, quibus pugnaverant contra hostes, de proris autem reges in mare cæruleum libabant merum, sedulo diis vota-facientes beatis, securum reditum ut-præberent; sed vota ventis miscebantur et longe a navibus frustra cum nubibus et aere auferebantur.

Cæterum respiciebant ad Ilium mœstæ corde captivæ, ac multum quiritantes plorabant clam Græcis, magnum in corde luctum habentes, et aliæ circa genua habebant manus, aliæ suos liberos amplexabantur ulnis, qui nondum servilem diem gemebant, neque patriæ propter calamitates, sed in mamma animum habebant: curarum enim expers *est* infantile cor: cunctis autem solutæ comæ, et pectora afflicta unguibus dilaniata-fuerant, et in genis lacrimæ squalidæ hærebant, stillabantque aliæ desuper frequenter ex palpebris, ac respiciebant miseram patriam ardentem adhuc undique, ac multum fumum surgentem. Ad Cassandram autem inclytam oculos-vertentes cunctæ ipsam admirabantur vaticinii tristis recordatæ; verum illa eos deridebat plorantes,

καίπερ ἀκηχεμένη στυγερῆς ἐπὶ πήμασι πάτρης.
Τρώων δ' ὅσσοι ἄλυξαν ἀνηλέος ἐκ πολέμοιο,
ἀγρόμενοι κατὰ ἄστυ περὶ νέκυας πονέοντο,
θαπτέμεναι μεμαῶτες· ἄγεν δ' ἀλεγεινὸν ἐς ἔργον
Ἀντήνωρ· παῦροι δὲ πυρὴν πολέεσσι τίθεντο.
Ἀργεῖοι δ' ἄλληκτον ἐνὶ φρεσὶ καγχαλόωντες
ἄλλοτε μὲν κώπῃσι διέπρησσον μέλαν ὕδωρ,
ἄλλοτε δ' ἱστία νηυσὶ μεμαότες ἐντύνοντο
ἐσσυμένως· ὀπίσω δὲ θοῶς ἀπελείπετο πᾶσα
Δαρδανίη καὶ τύμβος Ἀχιλλέος· οἱ δ' ἀνὰ θυμὸν
καίπερ ἰαινόμενοι, κταμένων μνησθέντες ἑταίρων
ἀργαλέως ἀκάχοντο καὶ ἀλλοδαπῶν ἐπὶ γαῖαν
ὄσσε βάλον· ἡ δέ σφιν ἐφαίνετο τηλόθι νηῶν
χαζομένη· τοὶ δ' αἶψα παρ' ἀγχιάλοιο φέροντο
ῥηγμῖνας Τενέδοιο· παρημείβοντο δὲ Χρύσαν
καὶ Φοίβου Σμινθῆος ἕδος ζαθέοιό τε Κίλλης·
Λέσβος τ' ἠνεμόεσσ' ἀνεφαίνετο· κάμπτετο δ' ἄκρη
ἐσσυμένως Λεκτοῖο, τόθι ῥίον ὕστατον Ἴδης·
λαίφεα δὲ πρησθέντα περίαχεν· ἀμφὶ δὲ πρώραις
ἔβραχεν οἶδμα κελαινόν· ἐπεσκιόωντο δὲ μακρὰ
κύματα· λευκαίνοντο δ' ὑπὲρ πόντοιο κέλευθοι.
Καί νύ κεν Ἀργεῖοι κίον Ἑλλάδος ἱερὸν οὖδας
πάντες ἁλὸς κατὰ βένθος ἀκηδέες, εἰ μὴ ἄρα σφι
κούρη ἐριγδούποιο Διὸς νεμέσησεν Ἀθήνη·
καί ῥ' ὁπότ' Εὐβοίης σχεδὸν ἤλυθον ἠνεμοέσσης,
δὴ τότε μητιόωσα βαρὺν καὶ ἀνηλέα πότμον
ἀμφὶ Λοκρῶν βασιλῆϊ καὶ ἄσχετον ἀσχαλόωσα,
Ζηνὶ θεῶν μεδέοντι παρισταμένη φάτο μῦθον
ἀθανάτων ἀπάνευθε· χόλον δέ οἱ οὐ χάδε θυμός·
Ζεῦ πάτερ, οὐκ ἔτ' ἀνεκτὰ θεοῖς ἐπιμηχανόωνται
ἀνέρες, οὐκ ἀλέγοντες ἀνὰ φρένας οὔτε σεῦ αὐτοῦ
οὔτ' ἄλλων μακάρων, ἐπεὶ τίσις οὐκ ἔτ' ὀπηδεῖ
ἀνδράσι λευγαλέοισι, κακοῦ δ' ἄρα πολλάκις ἐσθλὸς
συμφέρετ' ἄλγεσι μᾶλλον, ἔχει δ' ἄλληκτον ὀϊζύν·
τοὔνεκ' ἄρ' οὔτε δίκην τις ἔθ' ἅζεται, οὐδέ τις αἰδὼς
ἔστι παρ' ἀνθρώποισιν· ἔγωγε μὲν οὔτ' ἐν Ὀλύμπῳ
ἔσσομαι, οὔτ' ἔτι σεῖο κεκλήσομαι, εἰ μὴ Ἀχαιῶν
τίσομ' ἀτασθαλίην, ἐπειή νύ μοι ἔνδοθι νηοῦ
υἱὸς Ὀϊλῆος μέγ' ἐνήλιτεν, οὐδ' ἐλέαιρεν
Κασσάνδρην ὀρέγουσαν ἀκηδέας εἰς ἐμὲ χεῖρας
πολλάκις, οὐδ' ἔδδεισεν ἐμὸν μένος, οὐδέ τι θυμῷ
ᾐδέσατ' ἀθανάτην, ἀλλ' ἄσχετον ἔργον ἔρεξεν·
τῷ νύ μοι ἀμβροσίῃσι περὶ φρεσὶ μή τι μεγήρῃς
ῥέξαι, ὅπως μοι θυμὸς ἐέλδεται, ὄφρα καὶ ἄλλοι
αἰζηοὶ τρομέωσι θεῶν ἀρίδηλον ὁμοκλήν.
Ὣς φαμένην ἀγανοῖς προσέειπεν Ζεὺς ἐπέεσσιν·
Ὦ τέκος, οὔτοι ἔγωγ' ἀνθίσταμαι εἵνεκ' Ἀχαιῶν,
ἀλλὰ καὶ ἔντεα πάντα, τά μοι πάρος ἦρα φέροντες
χερσὶν ὑπ' ἀκαμάτῃσιν ἐτεχτήναντο Κύκλωπες,
δώσω ἐελδομένῃ· σὺ δὲ σῷ κρατερόφρονι θυμῷ
αὐτὴ χεῖμ' ἀλεγεινὸν ἐπ' Ἀργείοισιν ὄρινον.
Ὣς εἰπὼν στεροπήν τε θοὴν ὀλοόν τε κεραυνὸν
καὶ βροντὴν στονόεσσαν ἀταρβέος ἀγχόθι κούρης
θήκατο· τῆς δ' ἄρα θυμὸς ὑπὸ κραδίῃ μέγ' ἰάνθη·

quamvis afflicta miseræ propter calamitates patriæ.
Trojani autem quotquot evaserant crudeli e bello,
congregati in urbe circa mortuos occupabantur,
sepelire conati; dux- autem erat triste ad opus
Antenor. Pauci vero rogum multis exstruxerunt.
Græci interea indesinenter in corde gestientes
modo remis sulcabant nigram aquam,
modo vela navibus connixi intendebant
festinanter, a-tergo autem mox relinquebatur omnis
Dardania ac tumulus Achillis. At in animo
quamvis gaudentes, cæsorum memores sociorum
graviter dolebant ac peregrinorum in terram (*Trojam*)
oculos conjiciebant, ea vero ipsis videbatur procul a-navibus
recedere. Ipsi vero celeriter maritimæ prætervehebantur
oras Tenedi, præternavigabant etiam Chrysam
et Apollinis Sminthei sedem sacræque Cillæ,
Lesbosque ventosa apparebat ac deflectebatur promontorium] celeriter Lecti, ubi promontorium extremum Idæ *est*.
Vela autem inflata stridebant ac circa proras
infremebat unda nigra, obumbrabanturque vasti
fluctus et albescebant in mari viæ.
Ac sane Græci pervenissent Græciæ in-sacram terram
cuncti maris per profundum incolumes, nisi ipsis
filia gravisoni Jovis infensa-fuisset, Minerva.
Etenim cum prope Eubœam venissent ventosam,
tunc meditata grave et sævum exitium
propter Locrorum regem et vehementer indignata,
Jovi deorum principi assistens prolocuta-est verbum
seorsim a diis, iramque non capiebat animus :
Juppiter pater, non amplius toleranda in deos machinantur] homines, non curantes in corde neque te ipsum
neque alios Deos, quia pœna non amplius comitatur
viros scelestos, ac bonus sæpe quam improbus
magis conflictatur rebus-adversis, et habet perpetuam miseriam.] Ideoque neque justitiam quispiam adhuc revereretur,
neque ullus pudor] est apud homines. Ego quidem neque in
Olympo] ero, neque amplius tua *filia* vocabor, nisi Græcorum] ulciscar iniquitatem, quoniam mihi in templo
filius Oïlei valde peccavit, neque miseratus-est
Cassandræ porrigentis innocuas ad me manus
sæpe, neque metuit meam potestatem, neque in animo
reveritus-est *me* Deam, sed infandum opus patravit.
Ideo mihi divina tua mente ne invideas
facere, sicut mihi animus desiderat, ut etiam alii
juvenes tremant Deorum manifestas minas.
Sic locutam placidis affatus-est Juppiter verbis :
O filia, neutiquam ego repugno propter Græcos,
sed etiam arma cuncta, quæ mihi olim gratificantes
manibus indefessis fabricarunt Cyclopes,
dabo expetenti. Tu vero tuo intrepido animo
ipsa tempestatem horrendam in Græcos excita.
Sic fatus fulgur subitum et exitiosum fulmen
et tonitru luctiferum prope intrepidam puellam
posuit. Ejus itaque animus in pectore valde gavisus-est :

αὐτίκα δ' αἰγίδα θοῦριν ἐδύσατο, παμφανόωσαν,
ἄῤῥηκτον βριαρήν τε καὶ ἀθανάτοισιν ἀγητήν·
ἐν γάρ οἱ πεπόνητο κάρη βλοσυροῖο Μεδούσης
σμερδαλέον· κρατεροὶ δὲ καὶ ἀκαμάτου πυρὸς ὁρμὴν
λάβρον ἀποπνείοντες ἔσαν καθύπερθε δράκοντες·
ἔβραχε δ' αἰγὶς ἅπασα περὶ στήθεσσιν ἀνάσσης,
οἷον ὅτε στεροπῇσιν ἐπιβρέμει ἄσπετος αἰθήρ.
Λάζετο δ' ἔντεα πατρὸς, ἅπερ θεὸς οὔτις ἄειρε
νοσφὶ Διὸς μεγάλοιο· τίναξε δὲ μακρὸν Ὄλυμπον·
σὺν δ' ἔχεεν νεφέλας τε καὶ οὔρεα· πᾶσα δ' ὕπερθε
νὺξ ἐχύθη περὶ γαῖαν· ἐπήχλυσεν δὲ θάλασσα·
Ζεὺς δὲ μέγ' εἰσορόων ἐπετέρπετο· κίνυτο δ' εὐρὺς
οὐρανὸς ἀμφὶ πόδεσσι θεῆς· περὶ δ' ἔβραχεν αἰθήρ,
ὡς Διὸς ἀκαμάτοιο ποτὶ κλόνον ἐμμεμαῶτος·
ἡ δ' ἄφαρ ἠερόεντος ὑπὲρ πόντοιο φέρεσθαι
οὐρανόθεν προέηκεν ἐς Αἴολον ἄμβροτον Ἶριν,
ὄφρ' ἀνέμους ἅμα πάντας ἐπιβρίσαντας ἀέλλῃ
* * * * * * * * *
ἐλθέμεναι κραναοῖο Καφηρέος, ἔνθεν Ἀχαιοῖς
νωλεμέως χριμφθέντας ἀνοιδήνασθαι θάλασσαν,
λευγαλέῃς ῥιπῇσι μεμηνότας. Ἡ δ' ἀΐουσα,
ἐσσυμένως οἴμησε περιγναμφθεῖσα νεφέσσι·
φαίης κεν πῦρ ἔμμεν' ἅμ' ἠέρι καὶ μέλαν ὕδωρ·
ἵκετο δ' Αἰολίην, ἀνέμων ὅθι λάβρον ἀέντων
ἄντρα πέλει στυγερῇσιν ἀρηράμεν' ἀμφὶ πέτρῃσι,
κοῖλα καὶ ἠχήεντα· δόμοι δ' ἄγχιστα πέλονται
Αἰόλου Ἱπποτάδαο· κίχεν δέ μιν ἔνδον ἐόντα
σύν τ' ἀλόχῳ καὶ παισὶ δυώδεκα· καί οἱ ἔειπεν,
ὁππόσ' Ἀθηναίη Δαναῶν ἐπεμήδετο νόστῳ·
αὐτὰρ ὅγ' οὐκ ἀπίθησε, μολὼν δ' ἔκτοσθε μελάθρων
χερσὶν ὑπ' ἀκαμάτῃσιν ὄρος μέγα τύψε τριαίνῃ,
ἔνθ' ἄνεμοι κελαδεινὰ δυσηχέες ηὐλίζοντο
ἐν κενεῷ κευθμῶνι· περίαχε δ' αἰὲν ἰωὴ
βρυχομένη ἀλεγεινά· βίῃ δ' ἔῤῥηξε κολώνην.
Οἱ δ' ἄφαρ ἐξεχέοντο· κέλευσε δὲ πάντας ἐρεμνὴν
λαίλαπα συμφορέοντας ἀήμεναι, ὄφρ' ἀλεγεινὸν
ὀρνυμένης ἁλὸς οἶδμα Καφηρέος ἄκρα καλύψῃ·
οἱ δὲ θοῶς ὤρνυντο πάρος βασιλῆος ἀκοῦσαι
πᾶν ἔπος· ἐσσυμένοισι δ' ἐπιστενάχιζε θάλασσα
ἄσχετον· ἠλιβάτοισι δ' ἐοικότα κύματ' ὄρεσσιν
ἄλλοθεν ἄλλα φέροντο· κατεκλάσθη δ' ἄρ' Ἀχαιῶν
θυμὸς ἐνὶ στέρνοισιν, ἐπεὶ νέας ἄλλοτε μέν που
ὑψηλὸν φέρε κῦμα δι' ἠέρος, ἄλλοτε δ' αὖτε
οἷα κατὰ κρημνοῖο κυλινδομένας φορέεσκεν
βυσσὸν ἐς ἠερόεντα· βίῃ δέ οἱ ἄσχετος αἰὲν
ψάμμον ἀναβλύεσκε διοιγομένοιο κλύδωνος.
Οἱ δ' ἄρ' ἀμηχανίῃ βεβοληµένοι, οὔτ' ἐπ' ἐρετμῷ
χεῖρα βαλεῖν ἐδύναντο τεθηπότες, οὔτ' ἄρα λαῖφη
ἔσθενον ἀμφὶ κέρα λελιημένοι εἰρύσσασθαι
ῥηγνύμεν' ἐξ ἀνέμων, οὐδ' ἔμπαλιν ἰθύνασθαι
ἐς πλόον· ἀργαλέαι γὰρ ἐπεκλονέοντο θύελλαι·
οὐδὲ κυβερνήτῃσι πέλεν μένος εἰσέτι νηῶν
χερσὶν ἐπισταμένῃσι θοῶς οἰήϊα νωμᾶν·
πάντα γὰρ ἄλλυδις ἄλλα κακαὶ διέχευαν ἄελλαι·

extemplo vero ægidem impetuosam induit, undique-coruscantem,] firmam ac validam et diis stupendam;
in ipsa enim effictum-fuerat caput noxiæ Medusæ
horrendum, terribilesque et indomiti ignis vim
abunde efflantes erant superne dracones,
insonuit autem ægis tota circa pectus reginæ,
veluti quando a-fulguribus infremit immensus æther.
Corripuit etiam arma patris, quæ deus nullus suscepit
præter Jovem magnum, ac concussit magnum Olympum,
et confudit nubes ac montes, omnisque desuper
nox effusa-est circa terram, ac tenebris-involutum-est mare:
Juppiter vero intuitus valde delectabatur: et movebatur latum] cœlum circa pedes deæ, et circum-fremebat æther,
sicut Jove invicto ad prœlium festinante.
Ipsa autem subito obscurum supra mare ferendam
de-cœlo ablegavit ad Æolum immortalem Iridem,
ut ventos simul cunctos incumbentes turbine [*juberet*]
* * * * * * * * * * * * * * * * * *
venire asperi Capharei, inde Græcis
continuo imminentes tumefacere mare,
horrendis flatibus furentes. Ipsa vero simulac audivit,
celeriter iter-fecit inflexa-circa nubes:
dixisses ignem esse cum aere et nigram aquam:
venit autem in Æoliam, ventorum ubi impetuose flantium
antra sunt rigidas constructa circa petras,
cava et sonora, atque ædes proxime sunt
Æoli Hippotadæ. Invenit autem ipsum intus versantem
cum conjuge ac liberis duodecim, et ipsi dixit,
quas Minerva Græcorum insidias-strueret reditui:
verum ipse non repugnavit, sed egressus ex ædibus
manibus validis montem magnum percussit tridente,
ubi venti cum strepitu sonori habitabant
in vacua spelunca: circumfremebat vero semper sonus
stridens horrendum: et vi dirupit collem,
at illi celeriter effundebantur, quos jussit cunctos atram
procellam cogentes flare, ut terribilis
commoti maris fluctus Capharei promontorium tegeret.
Illi igitur celeriter erumpebant, priusquam regis audiissent
totum mandatum, et ad-impetum-illorum infremebat mare
vehementer, arduisque similes fluctus montibus
aliunde alii ferebantur, frangebaturque Græcorum
animus in pectoribus, nam naves modo
ardua ferebat unda per aerem, modo contra
quasi per præcipitium devolutas ferebat
in gurgitem obscurum, ac vis ejus immensa subinde
arenam evomebat hiante fluctu.
Illi vero consilii-inopia perculsi neque remo
manum adjicere poterant præ-stupore, neque vela
valebant circa antennas, ut-cupiebant, demittere
dirupta a ventis, neque iterum dirigere
ad cursum, graves enim advolvebantur procellæ,
neque gubernatoribus aderat robur amplius ad-navium
gubernacula manibus peritis celeriter flectenda:
cuncta enim alio alia sævæ dissipaverant procellæ.

οὐδέ τις ἐλπωρὴ βιότου πέλεν, οὕνεκ' ἐρεμνὴ
νὺξ ἅμα καὶ μέγα χεῖμα καὶ ἀθανάτων χόλος αἰνὸς
ὦρτο· Ποσειδάων γὰρ ἀνηλέα πόντον ὄρινεν
ἦρα κασιγνήτοιο φέρων ἐρικυδέϊ κούρῃ·
ἥ ῥα καὶ αὐτὴ ὕπερθεν ἀμείλιχα μαιμώωσα
θῦνε μετ' ἀστεροπῇσιν· ἐπέκτυπε δ' οὐρανόθεν Ζεὺς
κυδαίνων ἀνὰ θυμὸν ἑὸν τέκος, ἀμφὶ δὲ πᾶσαι
νῆσοί τ' ἤπειροί τε κατεκλύζοντο θαλάσσῃ
Εὐβοίης οὐ πολλὸν ἀπόπροθεν, ἧχι μάλιστα
τεῦχεν ἀμειλίκτοισιν ἐπ' ἄλγεσιν ἄλγεα δαίμων
Ἀργείοις· στοναχὴ δὲ καὶ οἰμωγὴ κατὰ νῆας
ἔπλετ' ἀπολλυμένων· κανάχιζε δὲ δούρατα νηῶν
ἀγνυμένων· αἱ γάρ ῥα συνωχαδὸν ἀλλήλοισιν
αἰὲν ἐπεῤῥήγνυντο· πόνος δ' ἄπρηκτος ὀρώρει·
καί ῥ' οἱ μὲν, κώπῃσιν ἀπωσέμεναι μεμαῶτες
νῆας ἐπεσσυμένας, αὐτοῖς ἅμα δούρασι λυγροὶ
κάππεσον ἐς μέγα βένθος· ἀμειλίκτῳ δ' ὑπὸ πότμῳ
κάτθανον· οὕνεκ' ἄρα σφιν ἐπέχραον ἄλλοθεν ἄλλα
νηῶν δούρατα μακρά· συνηλοίηντο δὲ πάντων
σώματα λευγαλέως· οἱ δ' ἐν νήεσσι πέσοντες
κεῖντο καταφθιμένοισιν ἐοικότες· οἱ δ' ὑπ' ἀνάγκης
νήχοντ' ἀμφιπέσοντες ἐϋξέστοισιν ἐρετμοῖς·
ἄλλοι δ' αὖ σανίδεσσιν ἐπέπλεον· ἔβρασε δ' ἅλμη
βυσσόθεν, ὥς τε θάλασσαν ἰδ' οὐρανὸν ἠδὲ καὶ αἶαν
φαίνεσθ' ἀλλήλοισιν ὁμῶς συναρηρότα πάντα.
Ἡ δ' ἄρ' ἀπ' Οὐλύμποιο βαρύκτυπος Ἀτρυτώνη
οὔτι καταισχύνεσκε βίην πατρός· ἀμφὶ δ' ἄρ' αἰθὴρ
ἴαχεν· ἡ δ' Αἴαντι χόλον καὶ πῆμα φέρουσα
ἔμβαλε νηὶ κεραυνόν· ἄφαρ δέ μιν ἄλλυδις ἄλλῃ
ἐσκέδασεν διὰ τυτθά· περίαχε δ' αἶα καὶ αἰθήρ·
ἐκλύσθη δ' ἄρα πᾶσα περίδρομος Ἀμφιτρίτη.
Οἱ δ' ἔκτοσθε νεὼς πέσον ἀθρόοι· ἀμφὶ δ' ἄρ' αὐτοὺς
κύματα μακρὰ φέροντο· περὶ στεροπῇσι δ' ἀνάσσης
αἴγλη μαρμαίρεσκε διὰ κνέφας ἀΐσσουσα·
οἱ δ' ἄποτον λάπτοντες ἁλὸς πολυηχέος ἅλμην,
θυμὸν ἀποπνείοντες ὑπὲρ πόντοιο φέροντο·
ληϊάσιν δ' ἄρα χάρμα καὶ ὀλλυμένῃσι τέτυκτο·
καί ῥ' αἱ μὲν κατέδυσαν ἔσω ἁλὸς ἀμφιβαλοῦσαι
χεῖρας ἑοῖς τεκέεσσι, δυσάμμοροι· αἱ δ' ἀλεγεινὰς
δυσμενέων περὶ κρᾶτα βάλον χέρας, οἷς ἅμα λυγραὶ
σπεῦδον ἀποφθίσασθαι ἑῆς ἀντάξια λώβης
τινύμεναι Δαναούς· ἡ δ' ὑψόθεν εἰσορόωσα
τέρπεθ' ἑὸν κατὰ θυμὸν ἀγαυὴ Τριτογένεια.
Αἴας δ' ἄλλοτε μὲν περινήχετο δούρατι νηὸς,
ἄλλοτε δ' αὖ χείρεσσι διήνυεν ἁλμυρὰ βένθη,
ἀκαμάτῳ Τιτῆνι βίην ὑπέροπλον ἐοικώς·
σχίζετο δ' ἁλμυρὸν οἶδμα περὶ κρατερῇσι χέρεσσιν
ἀνδρὸς ὑπερθύμοιο· θεοὶ δέ μιν εἰσορόωντες
ἠνορέην καὶ κάρτος ἐθάμβεον· ἀμφὶ δὲ κῦμα
ἄλλοτε μὲν φορέεσκε πελώριον, ἠΰτ' ἐπ' ἄκρην
οὔρεος ὑψηλοῖο δι' ἠέρος· ἄλλοτε δ' αὖτε
ὑψόθεν ἄνδρα φάραγξιν ἐνέκρυφεν· οὐδ' ὅγε χεῖρας
κάμνε πολυτλήτους· πολλοὶ δὲ μέγ' ἔνθα καὶ ἔνθα
σβεννύμενοι σμαράγιζον ἔσω πόντοιο κεραυνοί·

neque aliqua spes vitæ erat, quia atra
nox simul et ingens tempestas ac deorum ira sæva
commota-erant: Neptunus enim sævum mare exciverat
morem fratris gerens illustri filiæ,
quæ et ipsa desuper immaniter sæviens
furebat fulguribus; insonabatque cœlitus Juppiter
honorans in corde suam filiam: undique autem omnes
insulæ ac continentes inundabant mari
ab-Eubœa non admodum procul, ubi maxime
parabat sævos super dolores dolores deus
Græcis. Gemitus vero et ploratus per naves
erat pereuntium, ac fragorem-edebant ligna navium
fractarum: illæ enim concurrendo inter-se
continue frangebantur ac labor inutilis erat:
alii remis abigere conantes
naves imminentes *sibi*, ipsis cum contis miseri
deciderunt in vastum gurgitem atrocique fato
interierunt, quoniam illis irruebant aliunde alia
navium ligna longa, et contusa-sunt omnium
corpora misere; alii in navibus prolapsi
jacebant, extinctis similes; alii præ necessitate
natabant incumbentes politis remis;
alii contra tabulis innatabant. Æstuabat vero salum
funditus, ut mare et cœlum ac terra
viderentur inter-se simul permixta cuncta.
Cæterum de Olympo gravisona Minerva
non dehonestabat robur patris, circumque æther
sonabat, ipsa vero Ajaci iram et cladem afferens
injecit navi fulmen, ac celeriter ipsam huc et illuc
dispersit in minutas-partes; circumfremebat autem terra et
æther,] exundabat etiam tota circumflua Amphitrite.
Homines igitur e navi cadebant densi, circa quos
fluctus immensi ferebantur, a fulguribus autem Minervæ
splendor fulgebat per tenebras prorumpens,
illi vero impotabili hausta maris multisoni salsugine
animam exhalantes super mare ferebantur.
Captivis autem-mulieribus gaudium tametsi pereuntibus
erat;] et aliæ quidem se-submerserunt in mare amplexæ
manibus suos liberos miseræ, aliæ vero tristes
hostium capitibus circumjecerunt manus, cum quibus miserabiles]
festinabant perire, in-compensationem suæ contumeliæ]
ulciscentes Græcos. Desuper autem intuens
oblectabatur suo in animo inclyta Minerva.
Cæterum Ajax modo natabat-circa lignum navis,
modo contra manibus sulcabat salsos fluctus,
indefesso Titani vi immensa similis,
ac secabatur salsa unda validis manibus
viri magnanimi. Dei autem ipsum intuentes
fortitudinem et robur stupebant; circum vero fluctus
nunc ferebat ingentem *virum*, veluti ad verticem
montis excelsi per aera, nunc vero
ex-alto virum vorticibus involvit, neque is manibus
defessus-est laboriosis; permulta autem hinc atque hinc
extincta stridebant in mari fulmina;

οὔπω γάρ οἱ θυμὸν ἐμήδετο κηρὶ δαμάσσαι
κούρη ἐριγδούποιο Διὸς μάλα περ κοτέουσα,
πρὶν τλῆναι κακὰ πολλὰ καὶ ἄλγεσι πάγχυ μογῆσαι·
τοὔνεκά μιν κατὰ βένθος ἐδάμνατο δηρὸν ὀϊζὺς
πάντοθε τειρόμενον· περὶ γάρ κακὰ μυρία Κῆρες
ἀνδρὶ περιστήσαντο· μένος δ' ἐνέπνευσεν ἀνάγκη·
φῆ δὲ καὶ εἰ μάλα πάντες Ὀλύμπιοι εἰς ἓν ἵκωνται
χωόμενοι καὶ πᾶσαν ἀναστήσωσι θάλασσαν,
ἐκφυγέειν· ἀλλ' οὔτι θεῶν ὑπάλυξεν ὁμοκλήν.
Δὴ γάρ τοι νεμέσησεν ὑπέρβιος Ἐννοσίγαιος,
εὖτέ μιν εἰσενόησεν ἐφαπτόμενον χερὶ πέτρης
Γυραίης, καί οἱ μέγα χώσατο· σὺν δ' ἐτίναξε
πόντον ὁμῶς καὶ γαῖαν ἀπείριτον· ἀμφὶ δὲ πάντη
κρημνοὶ ὑπεκλονέοντο Καφηρέος· οἱ δ' ἀλεγεινὸν
θεινόμενοι ῥηγμῖνες ἐπέβραχον οἴδματι λάβρῳ,
χωομένοιο ἄνακτος· ἀπέσχισε δ' εἰς ἅλα πέτρον
εὐρέα, τῇπερ ἐκεῖνος ἑαῖς ἐπεμαίετο χερσί·
καί ῥά οἱ ἀμφὶ πάγοισιν ἑλισσομένῳ μάλα δηρὸν
χεῖρες ἀπεδρύφθησαν, ὑπέδραμε δ' αἷμ' ὀνύχεσσι·
μορμύρον δέ οἱ αἰὲν ὀρινομένῳ περὶ κῦμα
ἀφρὸς ἄδην λεύκαινε κάρη λάσιόν τε γένειον.
Καί νύ κεν ἐξήλυξε κακὸν μόρον, εἰ μὴ ἄρ' αὐτῷ
ῥήξας αἶαν ἔνερθεν ἐπιπροέηκε κολώνην·
εὖτε πάρος μεγάλοιο κατ' Ἐγκελάδοιο δαΐφρων
Παλλὰς ἀειραμένη Σικελὴν ἐπικάββαλε νῆσον,
ἣ ῥ' ἔτι καίεται αἰὲν ὑπ' ἀκαμάτοιο Γίγαντος
αἰθαλόεν πνείοντος ἔσω χθονός· ὣς ἄρα Λοκρῶν
ἀμφεκάλυψεν ἄνακτα δυσάμμορον οὔρεος ἄκρη
ὑψόθεν ἐξεριποῦσα· βάρυνε δὲ καρτερὸν ἄνδρα·
ἀμφὶ δέ μιν θανάτοιο μέλας ἐκιχήσατ' ὄλεθρος
γαίῃ ὁμῶς δμηθέντα καὶ ἀτρυγέτῳ ἐνὶ πόντῳ.[το,
Ὣς δὲ καὶ ἄλλοι Ἀχαιοὶ ὑπὲρ μέγα λαῖτμα φέρον-
οἱ μὲν ἄρ' ἐν νήεσσι τεθηπότες, οἱ δὲ πεσόντες
ἔκτοσθεν νηῶν· ὀλοὴ δ' ἔχε πάντας ὀϊζύς·
αἱ μὲν γὰρ φορέοντ' ἐπικάρσιαι εἰν ἁλὶ νῆες,
ἄλλαι δ' αὖ στρέψασαι ἄνω τρόπιν· ὧν δέ που ἱστοὶ
ἐκ κεράτων ἐράγησαν ἐπισπέρχοντος ἀήτεω·
τῶν δὲ διὰ ξύλα πάντα θοαὶ σκεδάσαντο θύελλαι·
αἱ δὲ καὶ εἰς μέγα βένθος ὑποβρύχιαι κατέδυσαν,
ὄμβρου ἐπιβρίσαντος ἀπείρονος· οὐδ' ὑπέμειναν
λάβρον ὁμῶς ἀνέμοισι θαλάσσης καὶ Διὸς ὕδωρ
μισγόμενον· ποταμῷ γὰρ ἀλίγκιος ἔρρεεν αἰθὴρ
συνεχές· ἡ δ' ὑπένερθεν ἐμαίνετο δῖα θάλασσα.
Καί τις ἔφη· Τάχα τοῖον ἐπέχραεν ἀνδράσι χεῖμα,
ὁππότε Δευκαλίωνος ἀθέσφατος ὑετὸς ἦλθεν,
ποντώθη δ' ἄρα γαῖα, βυθὸς δ' ἐπεχεύατο πάντη.
Ὣς ἄρ' ἔφη Δαναῶν τις, ἐνὶ φρεσὶ χεῖμα τεθηπὼς
λευγαλέον· πολλοὶ δὲ κατέφθιθεν· ἀμφὶ δὲ νεκρῶν
πλήθεθ' ἁλὸς μέγα χεῦμα· περιστείνοντο δὲ πᾶσαι
ἠϊόνες· πολέας γὰρ ἀπέπτυσε κῦμ' ἐπὶ χέρσον·
ἀμφὶ δὲ νήϊα δοῦρα βαρύβρομον Ἀμφιτρίτην
πᾶσαν ἄδην ἐκάλυψε· μέσον δ' ἄρ' ἐφαίνετο κῦμα.
Ἄλλοι δ' ἄλλην κῆρα κακὴν λάχον· οἱ μὲν ἀν' εὐρὺν
πόντον, ὀρινομένης ἁλὸς ἄσχετον, οἱ δ' ἐνὶ πέτραις

nondum enim ipsi vitam constituerat morte subigere
filia horrisoni Jovis, valde quamvis irascens,
priusquam tolerasset mala multa et doloribus prorsus con-
fectus-esset :] ideo ipsum in mari subegit diu ærumna,
undique vexatum : namque mala innumera Fata·
viro circumposuerant, sed vires inspiravit necessitas :
jactavit enim, si vel universi cœlites in unum coirent
irati et totum commoverent mare,
se-effugiturum. Sed nequaquam deorum evitavit indigna-
tionem.] Jam enim indigne-tulit præpotens Neptunus,
ubi eum animadvertit apprehendisse manu petram
Gyræam, et ipsi valde succensuit ac concussit
mare simul et terram ingentem, undique vero circum
rupes succutiebantur Capharei, et horrendum
pulsata littora reboabant fluctu impetuoso,
irascente rege : avulsit autem in mare scopulum
latum, cui ille suis incumbebat manibus,
atque ipsi circa saxa se-volutanti valde diu
manus lacerabantur, et intercurrebat sanguis ungues,
murmurantem ipsi semper agitato circa fluctum
spuma satis album-reddebat caput hirsutumque mentum;
ac sane effugisset sævam mortem, nisi ipsi,
dirupta terra subtus, immisisset montem *Neptunus*.
Veluti olim vastum super Enceladum bellicosa
Pallas sublatam dejecit Siculam insulam,
quæ adhuc succenditur continue ab indomito Gigante
flammas expirante subter terram : sic etiam Locrorum
cooperuit regem infelicem montis vertex
ex-alto revulsus, et oppressit robustum virum,
eumque mortis atra invasit pernicies,
a-terra simul edomitum et insuperabili in mari.
Sic etiam alii Græci super magno æquore jactabantur,
pars in navibus stupore-icti, pars lapsi
ex navibus, funestaque premebat omnes calamitas;
aliæ enim ferebantur obliquæ in mari naves,
aliæ inversa sursum carina, aliarum forte mali
ex antennis fracti-erant incumbente flatu,
aliarum ligna universa rapidi disperserant turbines,
aliæ etiam in vastum gurgitem submersæ subierant,
imbre ingravescente immenso, neque sustinuerunt
tempestuosam cum ventis maris et Jovis undam
commixtam, fluminis enim instar manabat æther
continue, subtusque æstuabat divinum mare.
Ideo quispiam dixit : Forte talis ingruit hominibus tempe-
stas,] quando Deucalionis immensa pluvia venit,
atque in-pontum-conversa-est terra, altum-mare se-diffudit
undique.] Sic dixit Græcorum aliquis in animo hiemem stu-
pens] horrendam. Multi autem interierunt, et ubique cada-
veribus] refertus-erat maris ingens fluxus, et arctabantur
universa] littora; multos enim expuit fluctus ad terram;
ubique etiam navalia ligna gravisonam Amphitriten
totam prorsus operuerunt, medius tamen apparuit fluctus.
Cæterum alii aliud fatum malum sortiti-sunt, pars in lato
mari, commoto salo vehementer, pars circa petras

ἄξαντες πέρι νῆας, ὀϊζυρῶς ἀπόλοντο
Ναυπλίου ἐννεσίῃσιν· ὁ γὰρ κοτέων μάλα παιδὸς,
χείματος ὀρνυμένοιο καὶ ὀλλυμένων Ἀργείων,
καίπερ ἀκηχέμενος μέγ' ἐγήθεεν, οὕνεκ' ἄρ' αὐτῷ
δῶκε τίσιν θεὸς αἶψα, καὶ ἔδρακεν ἐχθρὸν ὅμιλον
τειρόμενον κατὰ βένθος· ἑῷ δ' ἄρα πολλὰ τοκῆϊ
εὔχετ', ὁμῶς νήεσσιν ὑπόβρυχα πάντας ὀλέσθαι.
Τοῦ δὲ Ποσειδάων τὰ μὲν ἔκλυεν· ἄλλα δὲ πόντου
ἂψ μέλαν οἶδμα φέρεσκεν· ὁ δ' αὐαλέην χερὶ πευκὴν
αἰθομένην ἀνάειρε· δόλῳ δ' ἀπάτησεν Ἀχαίους
ἐλπομένους εὔορμον ἕδος λιμένων ἀφικέσθαι·
αἰνῶς γὰρ πέτρῃσι περὶ στυφελῇσι δάμησαν
αὐταῖς σὺν νήεσσι· κακῷ δ' ἐπὶ χύντερον ἄλγος
τλῆσαν ἀνιηρῇσι προσαγνύμενοι περὶ πέτρῃς
νυκτὶ θοῇ· παῦροι δὲ φύγον μόρον, οὓς τ' ἐσάωσεν
ἢ θεὸς ἢ δαίμων τις ἐπίῤῥοθος. Αὐτὰρ Ἀθήνη
ἄλλοτε μὲν θυμῷ μέγ' ἐγήθεεν, ἄλλοτε δ' αὖτε
ἄχνυτ' Ὀδυσσῆος πινυτόφρονος, οὕνεκ' ἔμελλεν
πάσχειν ἄλγεα πολλὰ Ποσειδάωνος ὁμοκλῇ,
ὅς ῥα τότ' ἀκαμάτῃσι περὶ φρεσὶ πάγχυ μεγαίρων
τείχεσι καὶ πύργοισιν ἐϋσθενέων Ἀργείων,
οὓς ἔκαμον Τροίῃ, στυγερῆς ἔμεν ἄλκαρ ἀϋτῆς,
ἐσσυμένως μάλα πᾶσαν ἀνεπλήμμυρε θάλασσαν,
ὅσση ἀπ' Εὐξείνοιο κατέρχεται Ἑλλήσποντον,
καί μιν ἐπ' ἠϊόνας Τρώων βάλεν· ὗε δ' ὕπερθεν
Ζεὺς, ἐπίηρα φέρων ἐρικυδέϊ Ἐννοσιγαίῳ·
οὐ μὴν οὐδ' Ἑκάεργος ἄτερ καμάτοιο τέτυκτο,
ἀλλ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων μάλα πάντα ῥέεθρα
εἰς ἕνα χῶρον ἄγεσκε· κατέκλυσε δ' ἔργον Ἀχαιῶν
καὶ τόσση δὲ θάλασσα, καὶ εἰσέτι οἱ κελάδοντες
χείμαῤῥοι ἀλεγεινὸν ἀεξόμενοι Διὸς ὄμβρῳ,
τοὺς μέλαν οἶδμ' ἀνέεργε πολυστόνου Ἀμφιτρίτης
πόντον ἐπελθέμεναι, πρὶν τείχεα πάντ' ἀμαθῦναι
ἀργαλέως Δαναῶν· αὐτὸς δ' ἄρα γαῖαν ἔνερθε
ῥῆξε Ποσειδάων, ἀνὰ δ' ἔβλυσεν ἄσπετον ὕδωρ
ἰλύν τε ψάμαθόν τε· βίῃ δ' ἐλέλιξε κραταιῇ
Σίγεον· ἠϊόνες δὲ μέγ' ἔβραχον ἔκ τε θεμέθλων
Δαρδανίη· καὶ ἄϊστον ὑποβρύχιόν τε καλύφθη
ἕρκος ἀπειρέσιον· κατεδύσατο δ' ἔνδοθι γαίης
μακρὰ διϊσταμένης· ψάμαθος δ' ἔτι φαίνετο μούνη
χασσαμένου πόντοιο καὶ ἐκ θινῶν ἐριδούπων
νόσφιν ἀπ' αἰγιαλοῖο κατ' ἔκτοθι. Ἀλλὰ τὰ μέν που
ἀθανάτων ἐτέλεσσε κακὸς νόος· οἱ δ' ἐνὶ νηυσὶν
Ἀργεῖοι πλώεσκον, ὅσους διὰ χεῖμα κέδασσεν·
ἄλλη δ' ἄλλος ἵκανεν, ὅπῃ θεὸς ἦγεν ἕκαστον,
ὅσσοι ὑπὲρ πόντοιο λυγρὰς ὑπάλυξαν ἀέλλας.

fractis navibus, misere perierunt,
Nauplii dolis. Is enim iratus admodum filii *causa*,
tempestate exorta et pereuntibus Græcis,
quamvis mœstus valde lætatus-est, quoniam ipsi
paraverat ultionem deus celeriter, ac vidit inimicam turbam] affligi in gurgite, suoque multas parenti
preces misit, ut-una cum-navibus submersos cunctos perderet.] Cujus *preces* Neptunus partim exaudiebat, partim
maris] retro ater fluctus ferebat. Is igitur siccam manu facem] ardentem sustulit, ac dolo decepit Græcos
existimantes ad opportunam stationem portus se-pervenire;
misere enim circa petras asperas sunt-attriti
ipsis cum navibus, ac præter *hoc* malum tristiorem calamitatem] sustinuerunt tristificis illisi petris
nocte veloci: pauci vero effugerunt mortem, quos servavit
aut deus aut genius aliquis auxiliaris. Cæterum Minerva
nunc quidem animo valde gaudebat, nunc contra
dolebat Ulyssis *causa* prudentis, quia futurum-erat
ut pateretur ærumnas multas Neptuni indignatione,
qui sane tunc invicto animo plane exosus
muros et turres fortium Græcorum,
quos ad-Trojam extruxerant, tristis ut-essent propugnaculum belli,] celeriter valde universum tumefecit mare,
quantum ab Euxino descendit ad-Hellespontum,
et ipsum littoribus Trojanorum induxit; pluebat autem desuper] Juppiter, gratificans illustri Neptuno;
neque sane Apollo sine labore erat,
sed ab Idæis montibus ad-unum omnes torrentes
in unum locum cogebat, et undis-obruebant opus Græcorum
tum tantum mare, tum insuper sonori
torrentes horribiliter aucti Jovis pluvia,
quos ater æstus prohibebat multisonæ Amphitritæ
mare intrare, priusquam muros cunctos abolevisset
violenter Græcorum. Ipse vero terram infra
rupit Neptunus ac produxit immensam aquam
limumque et arenam ac vi concussit valida
Sigeum, littoraque valde sonuerunt atque e fundamentis
Dardania, et e-conspectu-sublatus submersusque opertus-fuit] murus immensus ac subiit intra terram
valde diductam; arena vero adhuc videbatur sola
ex retrocedente mari atque e syrtibus gravisonis
longe a littore extra. Atque hæc quidem
deorum perfecit infensa mens. In navibus autem
Græci navigabant, quos tempestas dissipaverat:
alio vero alius veniebat, quo deus ducebat unumquemque
qui in mari funestas subterfugerant procellas.

INDEX

NOMINUM ET RERUM.

A.

Z.

H.

Θ.

M.

N.

Ξ.

O.

Π.

Υ.

Φ.

X.

Ω.

ΤΡΥΦΙΟΔΩΡΟΥ

ΙΛΙΟΥ ΑΛΩΣΙΣ

TRYPHIODORI

ILII EXCIDIUM.

ΤΡΥΦΙΟΔΟΡΟΥ

ΑΛΩΣΙΣ ΙΛΙΟΥ.

Τέρμα πολυκμήτοιο μεταχρόνιον πολέμοιο
καὶ λόχον, Ἀργείης ἱππήλατον ἔργον Ἀθήνης,
αὐτίκα μοι σπεύδοντι, πολὺν διὰ μῦθον ἀνεῖσα,
ἔννεπε Καλλιόπεια· καὶ ἀρχαίην ἔριν ἀνδρῶν
κεκριμένου πολέμοιο ταχείῃ λῦσον ἀοιδῇ.
Ἤδη μὲν δεκάτοιο κυλινδομένου λυκάβαντος
γηραλέη τετάνυστο φόνων ἀκόρητος Ἐνυὼ
Τρωσί τε καὶ Δαναοῖσιν· ἐναιρομένων δ᾽ ἄρα φώτων
δούρατα κεκμήκει· ξιφέων δ᾽ ἔθνησκον ἀπειλαί·
σβέννυτο θωρήκων ἐνοπή· μινύθεσκεν ἑλικτὴ
ἁρμονίη ῥηχθεῖσα φερεσσακέων τελαμώνων·
ἀσπίδες οὐκ ἀνέχοντο μένειν ἔτι δοῦπον ἀκόντων·
λύετο καμπύλα τόξα· κατέῤῥεον ὠκέες ἰοί.
Ἵπποι δ᾽ οἱ μὲν ἄνευθεν ἀεργηλῇς ἐπὶ φάτναις
οἰκτρὰ κάτω μύοντες ὁμόζυγας ἔστενον ἵππους,
οἱ δ᾽ αὐτοὺς ποθέοντες ὀλωλότας ἡνιοχῆας.
Κεῖτο δὲ Πηλείδης μὲν ἔχων ἅμα νεκρὸν ἑταῖρον·
Ἀντιλόχῳ δ᾽ ἐπὶ παιδὶ γέρων ὠδύρετο Νέστωρ·
Αἴας δ᾽ αὐτοφόνῳ βριαρὸν δέμας ἕλκεϊ λύσας
φάσγανον ἐχθρὸν ἔλουσε μεμηνότος αἵματος ὄμβρῳ.
Τρωσὶ δὲ λωβητοῖσιν ἐφ᾽ Ἕκτορος ἑλκυθμοῖσι
μυρομένοις οὐ μοῦνον ἔην ἐπιδήμιον ἄλγος·
ἀλλὰ καὶ ἀλλοθρόοις ἐπὶ πένθεσι κωκύοντες
δάκρυσιν ἠμείβοντο πολυγλώσσων ἐπικούρων·
κλαῖον μὲν Λύκιοι Σαρπηδόνα, τόν ποτε μήτηρ
ἐς Τροίην μὲν ἔπεμψεν ἀγαλλομένη Διὸς εὐνῇ,
δουρὶ δὲ Πατρόκλοιο Μενοιτιάδαο πεσόντα
αἵματι δακρύσας ἐχύθη πατρώϊος Αἰθήρ·
καὶ δολίην ὑπὸ νύκτα κακῷ πεπεδημένον ὕπνῳ
Ῥῆσον μὲν Θρήϊκες ἐκώκυον· ἡ δ᾽ ἐπὶ πότμῳ
Μέμνονος οὐρανίην νεφέλην ἐνεδύσατο μήτηρ,
φέγγος ὑποκλέψασα κατηφέος ἤματος Ἠώς·
αἱ δ᾽ ἀπὸ Θερμώδοντος ἀρηϊφίλοιο γυναῖκες,
κοπτόμεναι περίκυκλον ἀθηλέος ὄμφακα μαζοῦ,
παρθένον ὠδύροντο δαΐφρονα Πενθεσίλειαν,
ἥ τε πολυξείνοιο χορὸν πολέμοιο μολοῦσα
θηλείης ἀπὸ χειρὸς ἀπεσκέδασεν νέφος ἀνδρῶν
νῆας ἐς ἀγχιάλους· μελίῃ δέ ἑ μοῦνος ὑποστὰς
καὶ κτάνε καὶ σύλησε καὶ ἐκτερέϊξεν Ἀχιλλεύς.
Εἱστήκει δ᾽ ἔτι πᾶσα θεοκμήτων ἐπὶ πύργων
Ἴλιος, ἀκλινέεσσιν ἐπεμβεβαυῖα θεμέθλοις·
ἀμβολίῃ δ᾽ ἤσχαλλε δυσαχθέϊ λαὸς Ἀχαιῶν.
Καί νύ κεν ὑστατίοισιν ὑποκνήσασα πόνοισιν,
ἀκάματός περ ἐοῦσα, μάτην ἵδρωσεν Ἀθήνη,
εἰ μὴ Δηϊφόβοιο γαμοκλόπον ὕβριν ἐάσας
Ἰλιόθεν Δαναοῖσιν ἐπὶ ξένος ἤλυθε μάντις.
Οἷά δέ που μογέοντι χαριζόμενος Μενελάῳ

TRYPHIODORI

EXCIDIUM ILII.

Finem laboriosi serum belli
et latibulum, Argivæ equestre opus Minervæ,
mox mihi festinanti, longo sermone misso,
expone Calliope, et priscum virorum certamen
discriminis belli properante expedi carmine.
Jam quidem decimo volvente anno
diuturna se-extendebat cædibus inexsatiabilis Bellona
Trojanis et Græcis; interfectis autem viris
hastæ defessæ-erant, gladiorumque moriebantur minæ.
extinguebatur thoracum strepitus, minuebatur texta
connexio rupta clypeos-tenentium lororum,
clypei non sustinebant expectare amplius strepitum jaculorum,] solvebantur incurvi arcus, peribant veloces sagittæ.] Equi autem partim seorsum otiosa ad præsepia
flebiliter humi conniventes conjuges gemebant equos,
partim ipsos desiderantes interemptos aurigas.
Jacebat vero Pelides habens secum mortuum socium,
ac de Antilocho filio senex lugebat Nestor,
Ajax autem proprio-mortali robustum corpus vulnere conficiens] ensem inimicum lavit furiosi sanguinis imbre.
Trojanis contra ignominiosas propter Hectoris raptationes
lugentibus non solum aderat domesticus dolor,
sed etiam alienos propter luctus plorantes
lacrimis respondebant varie-loquentium sociorum *lacrimis*:] flebant quidem Lycii Sarpedona, quem olim mater
Trojam misit superbiens Jovis lecto,
hasta Patrocli Menœtiadæ cæsum
deplorans sanguine se-effudit paternus Æther;
et dolosa nocte pernicioso impeditum somno
Rhesum Thraces lugebant; ac propter mortem
Memnonis cœlestem nubem subiit mater,
lumen subtrahens tenebrosi diei, Aurora;
a Thermodonte vero bellicoso mulieres,
resectum-habentes rotundam immaturæ uvam mammæ,
virginem lugebant bellicosam Penthesileam,
quæ ad chorum belli multis-sociis-compositi profecta
feminea manu dissipavit nubem virorum
ad naves littorales; hasta vero solus eam adortus
et interfecit et spoliavit et terræ-mandavit Achilles.
Stetit vero adhuc tota diis-ædificatas ad turres
Troja, immobilibus innixa fundamentis;
mora autem affligebatur molesta populus Græcorum.
Et ultimis contrita laboribus,
indefessa quamvis esset, frustra sudasset Minerva,
nisi Deiphobi adultero crimine relicto
Troja Græcis amicus advenisset vates.
Qui quasi gratificans laboranti Menelao

ὀψιτέλεστον ὄλεθρον ἑῇ μαντεύσατο πάτρῃ.
Οἱ δὲ βαρυζήλοιο θεοπροπίῃς Ἑλένοιο
αὐτίκα μηχεδανοῖο μόθου τέλος ἠρτύναντο.
Καὶ Σκῦρον μὲν ἔβαινε λιπὼν εὐπάρθενον ἄστυ
υἱὸς Ἀχιλλῆος καὶ ἐπαινῆς Δηϊδαμείης·
μήπω δ' εὐφυέεσσιν ἰουλίζων κροτάφοισιν,
ἀλκὴν πατρὸς ἔφαινε, νέος περ ἐὼν πολεμιστής.
Ἦλθε δὲ καὶ Δαναοῖσιν ἑὸν βρέτας ἁγνὸν ἄγουσα,
ληϊστὴ μὲν ἐοῦσα, φίλοις δ' ἐπίκουρος Ἀθήνη.
Ἤδη καὶ βουλῇσι θεῆς ὑποεργὸς Ἐπειὸς
Τροίης ἐχθρὸν ἄγαλμα πελώριον ἵππον ἐποίει·
καὶ δὴ τέμνετο δοῦρα, καὶ ἐς πεδίον κατέβαινεν
Ἴδης ἐξ αὐτῆς, ὁπόθεν καὶ πρόσθε Φέρεκλος
νῆας Ἀλεξάνδρῳ τεκτήνατο, πήματος ἀρχήν.
Ποίει δ' εὐρυτάταις μὲν ἐπὶ πλευρῇς ἀραρυῖαν
γαστέρα, κοιλήνας ὁπόσον νεὸς ἀμφιελίσσης
ὀρθὸν ἐπὶ στάθμην μέγεθος τορνώσατο τέκτων.
Αὐχένα δὲ γλαφυροῖσιν ἐπὶ στήθεσσιν ἔπηξε,
ξανθῷ πορφυρόπεζαν ἐπιῤῥήνας τρίχα χρυσῷ·
ἡ δ' ἐπικυμαίνουσα μετήορος αὐχένι κυρτῷ,
ἐκ κορυφῆς λοφόεντι κατεσφρηγίζετο δεσμῷ·
ὀφθαλμοὺς δ' ἐνέθηκε λιθώπεας ἐν δυσὶ κύκλοις
γλαυκῆς βηρύλλοιο καὶ αἱμαλέης ἀμεθύσσου·
τῶν δ' ἐπιμισγομένων διδύμης ἀμαρύγμασι χροιῆς
γλαυκῶν φοινίσσοντο λίθων ἑλίκεσσιν ὀπωπαί.
Ἀργυφέους δ' ἐχάραξεν ἐπὶ γναθμοῖσιν ὀδόντας,
ἄκρα δακεῖν σπεύδοντας ἐϋστρέπτοιο χαλινοῦ·
καὶ στόματος μεγάλοιο λαθὼν ἀνέῳξε κελεύθους,
ἀνδράσι κευθομένοισι παλίῤῥοον ἆσθμα φυλάσσων·
καὶ διὰ μυκτήρων φυσίζοος ἔῤῥεεν ἀήρ.
Οὔατα δ' ἀκροτάτοισιν ἐπὶ κροτάφοισιν ἄρηρεν
ὀρθὰ μάλ', αἰὲν ἑτοῖμα μένειν σάλπιγγος ἀκουήν.
Νῶτα δ' ὁμοῦ λαγόνεσσι συνήρμοσε καὶ ῥάχιν ὑγρήν·
ἰσχία τε γλουτοῖσιν ὀλισθηροῖσι συνῆψεν.
Σύρετο δὲ πρυμνοῖσιν ἐπ' ἴχνεσιν ἔκλυτος οὐρή,
ἄμπελος ὡς γναμπτοῖσι καθελκομένη θυσάνοισιν.
Οἱ δὲ πόδες βαλίοισιν ἐπερχόμενοι γονάτεσσιν,
ἄπτερον ὥσπερ ἔμελλον ἐπὶ δρόμον ὁπλίζεσθαι,
οὕτως ἠπείγοντο· μένειν δ' ἐκέλευσεν ἀνάγκη·
οὐ μὲν ἐπὶ κνήμῃσιν ἀχαλκέες ἔξεχον ὁπλαί,
μαρμαρέης δ' ἑλίκεσσι κατεσφήκωντο χελώνης,
ἁπτόμεναι πεδίοιο μόγις κρατερώνυχι χαλκῷ.
Κληϊστὴν μὲν ἔθηκε θύρην καὶ κλίμακα τυκτήν,
ἡ μὲν ὅπως ἀΐδηλος ἐπὶ πλευρῇς ἀραρυῖα
ἔνθα καὶ ἔνθα φέρῃσι λόχον κλυτόπωλον Ἀχαιῶν·
ἡ δ' ἵνα λυομένη τε καὶ ἔμπεδον εἰς ἓν ἰοῦσα
εἴη σφιν καθύπερθεν ὁδὸς καὶ νέρθεν ὀροῦσαι.
Ἀμφὶ δέ μιν λευκοῖο κατ' αὐχένος ἠδὲ γενείων
ἄνθεσι πορφυρέοισι πέριξ ἔζωσεν ἱμάντων,
καὶ σκολιῆς ἑλίκεσσιν ἀναγκαίοιο χαλινοῦ,
κολλήσας ἐλέφαντι καὶ ἀργυροδινέϊ χαλκῷ.
Αὐτὰρ ἐπειδὴ πάντα κάμεν μενεδήϊον ἵππον,
κύκλον ἐϋκνήμιδα ποδῶν ὑπέθηκεν ἑκάστῳ,
ἑλκόμενος πεδίοισιν ὅπως πειθήνιος εἴη,

serum exitium suæ vaticinatus-est patriæ.
Illi igitur (*Græci*) zelotypi oraculis Heleni moti
illico diuturni belli finem appararunt.
Et Scyro advenit relicta pulcris-puellis-clara urbe
filius Achillis et laudabilis Deidamiæ :
nondum vero formosis pubescens genis,
robur patris ostendebat, juvenis quamvis esset bellator.
Advenit etiam Græcis suum simulacrum sanctum apportans,]prædatrix quamvis sit, amicis tamen adjutrix Minerva.] Jam etiam consiliis deæ minister *ejus*, Epeus,
Trojæ inimicum opus, immensum equum, fabricabat;
et cædebat ligna, et in campum deducebat
ex Ida ipsa, unde etiam prius Phereclus
naves Alexandro fabricaverat, mali principium.
Faciebat autem amplissimis in lateribus aptatum
ventrem, cavans quantam navis utrinque-remigatæ
rectam magnitudinem ad normam tornat artifex.
Cervicem vero cavis pectoribus infixit,
flavo purpuream aspergens jubam auro,
ipsa vero undans sublimis in cervice curva,
a vertice colligebatur cristæ-simili vinculo.
Oculos etiam imposuit lapideos in duobus circulis
cæsii berylli et rubicundi amethysti :
mixtorum autem gemini splendoribus coloris
cæsiorum lapidum implicationibus rubebant oculi.
Splendidos quoque impressit in genis dentes,
extremitates mandere conantes versatilis freni;
et oris magni clam aperuit vias,
viris occultatis retrofluum halitum servans;
ac per nares vivificus fluebat aer.
Aures etiam summis in temporibus adaptavit
valde rectas, semper paratas ad-expectandum tubæ auditum.] Dorsumque simul lumbis coaptavit et spinam flexilem] coxasque clunibus mollibus copulavit.
Trahebatur autem ultima ad vestigia sparsa cauda,
ut vitis tortuosis detracta fimbriis.
Pedes vero velocibus innitentes genibus,
non-alatum ad cursum acsi erant se-accincturi,
ita pergebant; manere autem jussit necessitas :
neque vero sub tibiis non-æneæ extabant ungulæ,
sed splendidæ involucris cooperiebantur testudinis,
tangentes solum vix fortis-unguis ære.
Clausam etiam apposuit januam et scalam fabrefactam,
hæc quidem ut inconspicua in lateribus aptata
hic et illic ferret insidias inclytas Græcorum,
illa vero ut reclusa et accurate in unum complicata
esset ipsis sursum via et deorsum prorumpendi.
Utrinque vero ipsum candida in cervice et genis
floribus purpureis circum cinxit habenarum
ac tortuosis gyris coercentis freni,
glutinans ebore et argenteos-vortices-habente ære.
At postquam omnino absolvit hostilem equum,
rotam bene-radiatam pedum supposuit unicuique,
ut tractus in campis obediens esset,

μηδὲ βιαζομένοισι δυσέμβατον οἶμον ὁδεύῃ.
Ὣς ὁ μὲν ἐξήστραπτε φόβῳ καὶ κάλλεϊ πολλῷ,
εὐρύς θ' ὑψηλός τε· τὸν οὐδέ κεν ἀρνήσαιτο,
εἴ μιν ζωὸν ἔτετμεν, ἐλαυνέμεν ἵππιος Ἄρης.
Ἀμφὶ δέ μιν μέγα τεῖχος ἐλήλατο, μή τις Ἀχαιῶν
πρίν μιν ἐσαθρήσειε, δόλον δ' ἀνάπυστον ἀνάψῃ.
Οἱ δὲ Μυκηναίης Ἀγαμέμνονος ἐγγύθι νηὸς,
λαῶν ὀρνυμένων ὅμαδον καὶ κῦμα φυγόντες,
ἐς βουλὴν βασιλῆες ἀολλίσθησαν Ἀχαιῶν.
Ἡ δὲ τανυφθόγγοιο δέμας κήρυκος ἑλοῦσα
συμφράδμων Ὀδυσῆϊ παρίστατο θοῦρις Ἀθήνη,
ἀνδρὸς ἐπιχρίουσα μελίχροϊ νέκταρι φωνήν.
Αὐτὰρ ὁ δαιμονίῃσι νόον βουλῇσιν ἑλίσσων
πρῶτα μὲν εἱστήκει κενεόφρονι φωτὶ ἐοικὼς,
ὄμματος ἀστρέπτοιο βολὴν ἐπὶ γαῖαν ἐρείσας·
ἄφνω δ' ἀενάων ἐπέων ὠδῖνας ἀνοίξας
δεινὸν ἀνεβρόντησε καὶ ἠερίης ἅτε πηγῆς
ἐξέχεεν μέγα λαῖτμα μελισταγέος νιφετοῖο·
Ὦ φίλοι, ἤδη μὲν κρύφιος λόχος ἐκτετέλεσται,
χερσὶ μὲν ἀνδρομέῃσιν, ἀτὰρ βουλῇσιν Ἀθήνης.
Ὑμεῖς δ', οἵ τε μάλιστα πεποίθατε κάρτεϊ χειρῶν,
πρόφρονες ἀλκήεντι νόῳ καὶ τλήμονι θυμῷ
σπέσθε μοι· οὐ γὰρ ἔοικε πολὺν χρόνον ἐνθάδ' ἐόντας
μοχθίζειν ἀτέλεστα καὶ ἀχρέα γηράσκοντας,
ἀλλὰ χρὴ ζώοντας ἀοίδιμον ἔργον ἀνύσαι,
ἢ θανάτῳ βροτόεντι κακοκλεὲς αἶσχος ἀλύξαι.
Ἡμῖν θαλπωραὶ προφερέστεραι ἤπερ ἐκείνοις,
εἰ μή που στρουθοῖο καὶ ἀρχαίοιο δράκοντος
καὶ καλῆς πλατάνοιο καὶ ὠκυμόροις ἐπὶ τέκνοις
μητέρος ἑλκομένης ἁπαλῶν τ' ἐλάθεσθε νεοσσῶν.
Εἰ δὲ θεοπροπίῃσι γέρων ἀνεβάλλετο Κάλχας,
ἀλλὰ καὶ ὣς Ἑλένοιο μετήλυδος ὀμφητῆρος
μαντοσύναι καλέουσιν ἑτοιμοτάτην ἐπὶ νίκην.
Τοὔνεκά μοι πείθεσθε, καὶ ἱππείην ἐπὶ νηδὺν
θαρσαλέοι σπεύδωμεν, ὅπως αὐτάγρετον ἄλγος
Τρῶες ἀταρβήτοιο θεῆς ἀπατήνορα τέχνην
Ἴλιον εἰσανάγωσιν, ἑὸν κακὸν ἀμφαγαπῶντες.
Οἱ δ' ἄλλοι πρύμναια μεθίετε πείσματα νηῶν,
πῦρ ἴδιον πλεκτῇσιν ἐνὶ κλισίῃσι βαλόντες·
Ἰλιάδος δὲ λιπόντες ἐρημαίην χθονὸς ἀκτὴν
πλώετε πανσυδίῃ ψευδώνυμον οἴκαδε νόστον,
εἰσόκεν εὐόρμου τετανυσμένον ἐκ περιωπῆς
ὔμμι συναγρομένοις ἐπὶ γείτονος αἰγιαλοῖο
σημαίνῃ παλίνορσον ἐπὶ πλόον ἑσπέριον πῦρ.
Καὶ τότε μήτε τις ὄκνος ἐπειγομένων ἐρετάων
γιγνέσθω, μήτ' ἄλλο φόβου νέφος, οἷά τε νύκτες
ἀνθρώποισι φέρουσιν ἐλαφροῦ δείματα θυμοῦ.
Ἔστω δὲ προτέρης ἀρετῆς ἐμφύλιος αἰδώς·
μήτε τις αἰσχύνειεν ἑὸν κλέος, ὥς κεν ἕκαστος
ἄξιον ὧν ἐμόγησε λάβῃ γέρας ἱπποσυνάων.
Ὣς φάμενος βουλῆς ἐξῴχετο· τοῖο δὲ μύθοις
πρῶτος ἐφωμάρτησε Νεοπτόλεμος θεοειδὴς,
πῶλος ἅτε δροσόεντος ἐπειγόμενος πεδίοιο,
ὅς τε νεοζυγέεσσιν ἀγαλλόμενος φαλάροισιν

neque trahentibus difficilem viam ambularet.
Sic is quidem effulsit horrore et decore multo,
capaxque et excelsus; neque eum recusasset,
si eum vivum deprehendisset, agere equestris Mars.
Circa autem ipsum magnum murum duxerat *Epeus*, ne quis
Græcorum] prius ipsum aspiceret, et dolum manifestatum
vulgaret.] Interim Myceneam Agamemnonis ad navem,
populorum excitatorum tumultum ac fluctum elapsi,
ad consilium reges congregabantur Græcorum.
Canori autem corpore præconis assumpto
conciliatrix Ulyssi astabat strenua Minerva,
viri inungens mellito nectare vocem.
Verum ipse divinis mentem consiliis volvens
primum quidem stabat insipienti viro similis,
oculi immobilis radium ad terram figens;
subito vero perennium verborum partus aperiens
horribiliter fulminavit et veluti nigro ex-fonte
effudit magnum flumen melliflui nimbi.
O amici, jam quidem occultum latibulum absolutum-est,
manibus quidem humanis, sed consiliis Minervæ.
Vos vero, qui maxime fiditis robori manuum,
promti intrepido pectore et audaci animo
sequimini me: non enim decet longum tempus hic versantes
nos-laborare sine-fine et inutiliter senescentes,
sed opus-est viventes-nos celebre opus perficere
aut morte cruenta turpe dedecus evitare.
Nobis spes meliores quam illis,
nisi forte passeris et antiqui draconis
et pulcræ platani et cum miseris pullis
matris correptæ tenerorumque obliti-estis pullorum.
Si vero vaticiniis senex tempus-protraxit Calchas,
tamen etiam sic Heleni advenæ vatis
oracula vocant certissimam ad victoriam.
Propterea mihi obtemperate, et equinam in alvum
audaces properemus, ut spontaneum dolorem
Trojani, intrepidæ deæ fallacem artem,
Ilium introducant, suum malum amplexantes.
Reliqui vero in-puppibus laxate rudentes navium,
igne proprio in texta *vimine* tentoria jacto:
Trojanæ autem linquentes desertum terræ littus
navigate uno-agmine ad-confictum domum reditum,
donec portuensi protentus e specula
vobis congregatis in vicino littore
signum-det retrogradam ad navigationem nocturnus ignis
Et tunc neve aliqua cessatio urgentium remigum
sit, neve alia timoris nubes, sicuti noctes
hominibus ferunt trepidi horrores animi.
Sit vero *vobis* prioris virtutis ingenitus pudor:
neu quis dedecoret suam gloriam, ut unusquisque
dignum suis accipiat honorarium gestis-bellicis.
Sic locutus concilio exiit. Ejus vero verba
primus secutus-est Neoptolemus divina-forma,
quemadmodum pullus per roscidum festinans campum,
qui recens-impositis superbiens phaleris

ἔφθασε καὶ μάστιγα καὶ ἡνιόχῆος ἀπειλήν.
Τυδείδης δ' ἐπόρουσε Νεοπτολέμῳ Διομήδης,
θαυμάζων ὅτι τοῖος ἔην καὶ πρόσθεν Ἀχιλλεύς.
Ἕσπετο καὶ Κυάνιππος, ὃν εὐπατέρεια Κομαιθὼ
Τυδηῒς, θαλάμοιο μινυνθαδίοιο τυχοῦσα,
ὠκυμόρῳ τέκε παῖδα σακεσπάλῳ Αἰγιαλῆϊ.
Ἔστη καὶ Μενέλαος· ἄγεν δέ μιν ἄγριος ὁρμὴ
Δηϊφόβου ποτὶ δῆριν, ἀπηνεῖ δ' ἕζετο θυμῷ,
δεύτερον ἁρπακτῆρα γάμου λελιημένος εὑρεῖν.
Τῷ δ' ἐπὶ Λοκρὸς ὄρουσεν Ὀϊλῆος ταχὺς Αἴας,
εἰσέτι θυμὸν ἔχων πεπνυμένον, οὐδ' ἐπὶ κούραις
μαργαίνων ἀθέμιστον· ἀνέστησεν δὲ καὶ ἄλλον,
Κρητῶν Ἰδομενῆα μεσαιπόλιον βασιλῆα.
Νεστορίδης δ' ἅμα τοῖσιν ἔβη κρατερὸς Θρασυμήδης,
καὶ Τελαμώνιος υἱὸς ἑκηβόλος ἤϊε Τεῦκρος·
τοῖσι δ' ἐπ' Ἀδμήτοιο πάϊς πολύϊππος ἀνέστη
Εὔμηλος· μετὰ τὸν δὲ θεοπρόπος ἔσσυτο Κάλχας,
εὖ εἰδὼς ὅτι μόχθον ἀμήχανον ἐκτελέσαντες
ἤδη Τρώϊον ἄστυ καθιππεύουσιν Ἀχαιοί.
Οὐδὲ μὲν οὐδ' οἱ ἔλειφθεν ἀποστρεφθέντες ἀρωγῆς
Εὐρύπυλός τ' Εὐαιμονίδης ἀγαθός τε Λεοντεύς,
Δημοφόων τ' Ἀκάμας τε, δύω Θησήϊα τέκνα,
Ὀρτυγίδης δ' Ἄντικλος, ὃν αὐτόθι τεθνειῶτα
ἵππῳ δακρύσαντες ἐνεκτερέϊξαν Ἀχαιοί,
Πηνέλεώς τε Μέγης τε καὶ Ἀντιφάτης ἀγαπήνωρ,
Ἰφιδάμας τε καὶ Εὐρυδάμας, Πελίαο γενέθλη,
τόξῳ δ' Ἀμφιδάμας κεκορυθμένος· ὕστατος αὖτε
τέχνης ἀγλαόμητις ἑῆς ἐπέβαινεν Ἐπειός.
Εὐξάμενοι δὴ ἔπειτα Διὸς γλαυκώπιδι κούρῃ
ἱππείην ἔσπευδον ἐς ὁλκάδα· τοῖσι δ' Ἀθήνη
ἀμβροσίην κεράσασα θεῶν ἐκόμισσεν ἐδωδὴν
δεῖπνον ἔχειν, ἵνα μή τι, πανημέριοι λοχόωντες,
τειρόμενοι βαρύθοιεν ἀτερπέϊ γούνατα λιμῷ.
Ὡς δ' ὁπότε κρυμνοῖσιν ἀελλοπόδων νεφελάων
ἠέρα παχνώσασα χιὼν ἐπάλυνεν ἀρούρας,
τηκομένη δ' ἀνέηκε πολὺν ῥόον· οἱ δ' ἀπὸ πέτρης
ὀξὺ καταθρώσκουσι κυβιστητῆρι κυδοιμῷ,
δοῦπον ὑποπτήξαντες ὀρειτρεφέος ποταμοῖο,
θῆρες, ἐρωήσαντες ὑπὸ πτύχα κοιλάδος εὐνῆς·
σιγῇ φρικαλέῃσιν ἐπὶ πλευρῇσι μένουσι,
πικρὰ δὲ πεινάοντες ὀϊζυρῆς ὑπ' ἀνάγκης
τλήμονες ἐκδέχαται πότε παύεται ὄβριμον ὕδωρ·
ὣς οἵ γε γλαφυροῖο διὰ ξυλόχοιο θορόντες
ἀτλήτους ἀνέχοντο πόνους ἀκμῆτες Ἀχαιοί.
Τοῖσι δ' ἐπεκλήϊσσε θύρην ἐγκύμονος ἵππου
πιστὸς ἀτεκμάρτοιο δόλου πυλαωρὸς Ὀδυσσεύς.
Αὐτὸς δ' ἐν κεφαλῇ σκοπὸς ἕζετο· τὼ δέ οἱ ἄμφω
ὀφθαλμὼ ποθέοντες ἐλάνθανον ἐκτὸς ἐόντας.
Ἀτρείδης δ' ἐκέλευσεν ὑποδρηστῆρας Ἀχαιοὺς
λῦσαι λάϊνον ἕρκος ἐϋγνάμπτοισι μακέλλαις,
ἵππος ὅπερ κεκάλυπτο· θέλεν δέ ἑ γυμνὸν ἐᾶσαι,
τηλεφανὴς ἵνα πᾶσιν ἑὴν χάριν ἀνδράσι πέμπῃ.
Καὶ τὸ μὲν ἐξελάχαινον ἐφημοσύνῃ βασιλῆος.
Ἠέλιος δ' ὅτε νύκτα παλίνσκιον ἀνδράσιν ἕλκων

prævenit et flagellum et equitis minas.
Tydides autem subsecutus-est Neoptolemum Diomed
admiratus, quia talis fuerat etiam prius Achilles.
Secutus-est etiam Cyanippus, quem generosa Comætho
Tydei-filia, nuptias breves sortita,
præmature-mortuo peperit filium scutato Ægialeo.
Surrexit etiam Menelaus; egit enim ipsum ferox impetus
Deiophobi ad certamen, sævaque sedebat cum-ira,
alterum raptorem uxoris cupiens deprehendere.
Post hunc Locrensis properavit Oilei acer Ajax,
adhuc animum habens prudentem, neque in puellis
insaniens illicite. Suscitavit vero etiam alium,
Idomenea Cretensium semicanum regem.
Nestorides etiam cum his ibat fortis Thrasymedes,
et Telamonis filius jaculator ivit Teucer;
et cum his Admeti filius dives-equis surrexit
Eumelus. Post hunc vero vates properavit Calchas
bene intelligens, quod labore immenso absoluto
jam Trojanam urbem populaturi-essent Græci.
Nequaquam vero relicti-sunt aversi ab-auxilio
Eurypylus Euæmonides strenuusque Leonteus,
Demophoonque et Acamas, duo Thesei filii,
et Ortygides Anticlus, quem ibi mortuum
in-equo lacrimantes sepeliverunt Achivi,
Peneleosque et Meges et Antiphates magnanimus,
Iphidamasque et Eurydamas, Peliæ proles,
arcuque Amphidamas armatus. Ultimus tandem
opificium suum prudentissimus conscendit Epeus.
Vota-facientes deinceps Jovis cæsiæ filiæ
equinam festinabant ad navem. Ipsis autem Minerva
ambrosium temperatum deorum attulit cibum,
epulum ut-haberent, ne per-totum-diem insidiantes,
exhausti gravarent genua tristi fame.
Ut autem, quando frigoribus velocium nebularum
aerem condensans nix conspergit agros,
liquefacta autem demittit magnum flumen; at de petra
celeriter desilientes præcipiti cursu,
strepitum pertimescentes montani fluminis,
feræ, diffugientes sub declive cavi latibuli,
tacite horrenda juxta latera manent *montis*
acerbaque fame-laborantes miseram ob necessitatem
patientes expectant, quando desitura-sit vehemens aqua.
sic igitur concavum per latibulum ruentes
intolerabiles sustinebant labores indefessi Achivi.
Post hos vero clausit januam prægnantis equi
fidus occulti doli portitor Ulysses.
Ipse vero in capite speculator sedebat; at ejus ambo
oculi avidi latebant eos-qui-extra erant.
Atrides autem jussit ministros Achæos
eruere lapideum septum curvis ligonibus,
quod equus tectus-erat; volebat enim eum nudum relinquere,]conspicuus ut omnibus suum decus viris exhiberet.
Et illud quidem effodiebant mandato regis.
Sol vero cum noctem umbrosam hominibus afferens

ἐς δύσιν ἀχλυόπεζαν ἑκηβόλον ἔτραπεν ἠῶ,
δὴ τότε κηρύκων ἐπεκίδνατο λαὸν αὐτὴ
φεύγειν ἀγγελέουσα καὶ ἑλκέμεν εἰς ἅλα κοίλην
νῆας εὐκραίρους ἀνά τε πρυμνήσια λῦσαι·
ἔνθα δὲ πευκήεντος ἀνασχόμενοι πυρὸς ὁρμὴν
ἕρκεά τε πρήσαντες ἐϋσταθέων κλισιάων,
νηυσὶν ἀναπλώεσκον ἀπὸ Ῥοιτειάδος ἀκτῆς
ὅρμον ἐς ἀντιπέραιον ἐϋστεφάνου Τενέδοιο,
γλαυκὸν ἀναπτύσσοντες ὕδωρ Ἀθαμαντίδος Ἕλλης.
Μοῦνος δὲ πληγῇσιν ἑκούσια γυῖα χαραχθεὶς
Αἰσιμίδης ἐλέλειπτο Σίνων, ἀπατήλιος ἥρως,
κρυπτὸν ἐπὶ Τρώεσσι δόλον καὶ πήματα κεύθων.
Ὡς δ' ὁπότε σταλίκεσσι λίνον περικυκλώσαντες
θηρσὶν ὀρειπλανέεσσι λόχον πολυωπὸν ἔπηξαν
ἀνέρες ἀγρευτῆρες· ὁ δ' ἐκκριδὸν οἶος ἀπ' ἄλλων
λαθρίδιος, πυκινοῖσιν ὑπὸ πτόρθοισι δεδυκὼς,
δίκτυα παπταίνων ἔλαθεν θηροσκόπος ἀνήρ·
ὣς τότε, λωβητοῖσι περίστικτος μελέεσσι,
Τροίῃ λυγρὸν ὄλεθρον ἐμήδετο· κὰδ δέ οἱ ὤμους
ἕλκεσι ποιητοῖσιν ἐπέῤῥεε νήχυτον αἷμα.
Ἡ δὲ περὶ κλισίῃσιν ἐμαίνετο παννυχίη φλὸξ,
καπνὸν ἐρευγομένη ἐριδινέα φοιτάδι ῥιπῇ·
Ἥφαιστος δ' ἐκέλευεν ἐρίβρομος· ἐκ δὲ θυέλλας
παντοίας ἐτίνασσεν ἐπιπνείουσα καὶ αὐτὴ
μήτηρ ἀθανάτοιο πυρὸς φαεσίμβροτος Ἥρη.
Ἤδη δὲ Τρώεσσι καὶ Ἰλιάδεσσι γυναιξὶν
ὄρθρον ὑπὸ σκιόεντα πολύθροος ἤλυθε φήμη,
δήϊον ἀγγέλλουσα φόβον σημάντορι καπνῷ.
Αὐτίκα δ' ἐξέθορον πυλέων πετάσαντες ὀχῆας
πεζοί θ' ἱππῆές τε καὶ ἐς πεδίον προχέοντο,
διζόμενοι μή πού τις ἔην δόλος ἄλλος Ἀχαιῶν.
Οἱ δὲ θοῆς οὐρῆας ὑποζεύξαντες ἀπήναις
ἐκ πόλιος κατέβαινον ἅμα Πριάμῳ βασιλῆϊ
ἄλλοι δημογέροντες· ἐλαφρότατοι δ' ἐγένοντο,
θαλπόμενοι περὶ παισὶν ὅσους λίπε φοίνιος Ἄρης,
ὀσσόμενοι καὶ γῆρας ἐλεύθερον. Οὐ μὲν ἔμελλον
γηθήσειν ἐπὶ δηρόν· ἐπεὶ Διὸς ἤθελε βουλή.
Οἱ δ', ὅτε τεχνήεντος ἴδον δέμας αἰόλον ἵππου,
θαύμασαν ἀμφιχυθέντες, ἅτ' ἠχήεντες ἰδόντες
αἰετὸν ἀλκήεντα περικλάζουσι κολοιοί.
Τοῖσιν δὲ τρηχεῖα καὶ ἄκριτος ἔμπεσε βουλή·
οἱ μὲν γὰρ πολέμῳ βαρυπενθέϊ κεκμηῶτες,
ἵππον ἀπεχθήραντες, ἐπεὶ πέλεν ἔργον Ἀχαιῶν,
ἤθελον ἢ δολιχοῖσιν ἐπὶ κρημνοῖσιν ἀράξαι,
ἠὲ καὶ ἀμφιτόμοισι διαῤῥῆξαι πελέκεσσιν·
οἱ δὲ, νεοξέστοιο πεποιθότες ἔργμασι τέχνης,
ἀθανάτοις ἐκέλευον ἀρήϊον ἵππον ἀνάψαι,
ὕστερον Ἀργείοιο μόθου σημήϊον εἶναι.
Φραζομένοις δ' ἐπὶ τοῖσι παναίολα γυῖα κομίζων
γυμνὸς ὑπὲρ πεδίοιο φάνη κεκακωμένος ἀνήρ·
αἵματι δὲ σμώδιγγες ἀεικέϊ βεβριθυῖαι,
ἴχνια λωβήεντα θοῶν ἀνέφαινον ἱμάντων.
Αὐτίκα δὲ Πριάμοιο ποδῶν προπάροιθεν ἐλυσθεὶς
ἱκεσίαις παλάμῃσι παλαιῶν ἥψατο γούνων,

ad occasum tenebrosum procul-radiantem convertisset
diem,] tum sane præconum per-populum dispersa-est vox
ut-fugerent nuntians et traherent in mare profundum
naves bene-cornutas et rudentes solverent:
ibi vero picei sublato ignis impetu
et propugnaculis incensis firmorum castrorum,
navibus renavigabant de Rhœteo littore
ad portum oppositum pulcre-coronatæ Tenedi,
cæruleam sulcantes aquam Athamantidis Helles.
Solus vero plagis sponte membra sauciatus
Æsimides relictus-est Sinon, fraudulentus heros,
occultum contra Trojanos dolum et nocumenta abscondens.] Ut vero quando vallis rete circumdantes
feris montanis insidias multiforas struunt
viri venatores, seorsim vero solus ab aliis
occultus, densos ramos qui-subiit,
retia spectans latet ferarum-insidiator vir:
sic tunc fœdata stigmatis-notatus membra
Trojæ triste exitium struebat *Sinon*; per humeros autem
ipsi] de-vulneribus factitiis defluebat fluidus cruor.
Cæterum circa tentoria furebat per-noctem-totam flamma,
fumum eructans valde-vorticosum grassanti impetu.
Vulcanus enim jubebat gravisonus, et procellas
varias excutiebat afflans etiam ipsa
mater immortalis ignis, lucida Juno.
Jam vero Trojanis et Iliadibus mulieribus
sub crepusculum umbrosum multisona venit fama
hostilem denuncians fugam significatore fumo.
Statim igitur exiliebant portarum pandentes seras
et pedites et equites atque in campum effundebantur
investigantes, ne forte quis esset dolus alius Achivorum.
Ac velocibus mulos jungentes plaustris
ex urbe descendebant cum Priamo rege
alii senatores: expeditissimi autem fuerunt
spe-lactati propter filios, quos reliquerat cruentus Mars,
videntes etiam senectutem *suam* liberam. Non utique debebant] gaudere ad longum *tempus*, quia Jovis *sic* voluit decretum.] At, ubi artificiosi viderunt corpus agile equi,
admirati-sunt circumfusi, ut striduli videntes
aquilam robustam circumstrepunt graculi.
His autem asperum et dubium incidit consilium:
alii enim bello luctuoso defatigati,
equum exosi, cum esset opus Græcorum,
volebant aut longis præcipitiis illidere,
aut etiam acutis dirumpere securibus;
alii vero nuperfacti confisi artificiis operis,
diis jusserunt Martium equum consecrari,
posterius Græci belli signum ut-esset.
Deliberantibus vero de his, variata *loris* membra gerens
nudus per campum apparuit misere-affectus vir;
sanguine enim vibices turpi refertæ
vestigia dira vehementium ostendebant flagellorum.
Mox autem Priami ante pedes volutus
supplicibus manibus senilia attigit genua,

λισσόμενος δὲ γέροντα δολοπλόκον ἴαχε μῦθον·
Ἄνδρα μὲν Ἀργείοισιν ὁμόπλοον εἴ μ' ἐλεαίρεις,
Τρώων δὲ ῥυτῆρα καὶ ἄστεος εἴ με σαώσεις,
Δαρδανίδη σκηπτοῦχε, καὶ ὕστατον ἐχθρὸν Ἀχαιῶν,
οἷά με λωβήσαντο θεῶν ὄπιν οὐκ ἀλέγοντες,
οὐδὲν ἀλιτραίνοντα, κακοὶ καὶ ἀπηνέες αἰεί·
ὡς μὲν Ἀχιλλῆος γέρας ἥρπασαν Αἰακίδαο,
ὡς δὲ Φιλοκτήτην ἔλιπον πεπεδημένον ὕδρῳ,
ἔκτειναν δὲ καὶ αὐτὸν ἀγασσάμενοι Παλαμήδην·
καὶ νῦν οἷά μ' ἔρεξαν ἀτάσθαλοι, οὕνεκα φεύγειν
οὐκ ἔθελον σὺν τοῖσι, μένειν δ' ἐκέλευον ἑταίρους·
οἱ δὲ νοοπλήγεσσιν ἀτασθαλίῃσι δαμέντες,
εἵματα μέν μ' ἀπέδυσαν, ἀεικελίῃσι δ' ἱμάσθλαις
πᾶν δέμας οὐτήσαντες, ἐπὶ ξείνῃ λίπον ἀκτῇ·
ἀλλά, μάκαρ, πεφύλαξο Διὸς σέβας ἱκεσίοιο·
χάρμα γὰρ Ἀργείοισι γενήσομαι, εἴ κεν ἐάσῃς
χερσὶν ὑπὸ Τρώων ἱκέτην καὶ ξεῖνον ὀλέσθαι.
Αὐτὰρ ἐγὼ πάντεσσιν ἐπάρκιος ἔσσομαι ὑμῖν,
μηκέτι δειμαίνειν πόλεμον παλίνορσον Ἀχαιῶν.
Ὣς φάτο· τὸν δ' ὁ γέρων ἀγανῇ μειλίξατο φωνῇ·
Ξεῖνε, σὲ μὲν Τρώεσσι μεμιγμένον οὐκ ἔτ' ἔοικε
τάρβος ἔχειν· ἔφυγες γὰρ ἀνάρσιον ὕβριν Ἀχαιῶν·
αἰεὶ δ' ἡμέτερος φίλος ἔσσεαι· οὐδέ σε πάτρης,
οὐδὲ πολυκτεάνων θαλάμων γλυκὺς ἵμερος αἱρεῖ.
Ἀλλ' ἄγε, καὶ σύ μοι εἰπὲ τί τοι τόδε θαῦμα τέτυκται,
ἵππος, ἀμειλίκτοιο φόβου τέρας· εἰπὲ δὲ σεῖο
οὔνομα καὶ γενεήν, ὁπόθεν δέ σε νῆες ἔνεικαν.
Τὸν δ' ἐπιθαρσήσας προσέφη πολυμήχανος ἥρως·
Ἐξερέω καὶ ταῦτα· σὺ γάρ μ' ἐθέλοντα κελεύεις.
Ἄργος μοι πόλις ἐστί, Σίνων δέ μοι οὔνομα κεῖται·
Αἴσιμον αὖ καλέουσιν ἐμὸν πολιὸν γενετῆρα.
Ἵππον δ' Ἀργείοισι παλαίφατον εὗρεν Ἐπειός·
εἰ μὲν γάρ μιν ἐᾶτε μένειν αὐτοῦ ἐνὶ χώρῃ,
Τροίην θέσφατόν ἐστιν ἑλεῖν πόλιν ἔγχος Ἀχαιῶν·
εἰ δέ μιν, ἁγνὸν ἄγαλμα, λάβῃ νηοῖσιν Ἀθήνη,
φεύξονται προφυγόντες ἀνηνύστοις ἐπ' ἀέθλοις.
Ἀλλ' ἄγε δὴ σειρῇσι περίπλοκον ἀμφιβαλόντες
ἕλκετ' ἐς ἀκρόπολιν μεγάλην χρυσήνιον ἵππον·
ἄμμι δ' Ἀθηναίη ἐρυσίπτολις ἡγεμονεύοι,
δαιδάλεον σπεύδουσα λαβεῖν ἀνάθημα καὶ αὐτή.
Ὣς ἄρ' ἔφη· καὶ τὸν μὲν ἄναξ ἐκέλευσε λαβόντα
ἕσσασθαι χλαῖνάν τε χιτῶνά τε· τοὶ δέ, βοείαις
δησάμενοι σειρῇσιν ἐϋπλέκτοις τε κάλοισιν,
εἷλκον ὑπὲρ πεδίοιο θοῶν ἐπιβήτορα κύκλων
ἵππον, ἀριστήεσσι βεβυσμένον· οἱ δὲ πάροιθεν
αὐλοὶ καὶ φόρμιγγες ὁμὴν ἐλίγαινον ἀοιδήν.
Σχέτλιον ἀφραδέων μερόπων γένος, οἷσιν ὁμίχλη
ἄσκοπος ἐσσομένων· κενεῷ δ' ὑπὸ χάρματι πολλοὶ
πολλάκις ἀγνώσσουσι περιπταίοντες ὀλέθρῳ.
Οἵη καὶ Τρώεσσι τότε φθισίμβροτος ἄτη
ἐς πόλιν αὐτοκέλευθος ἐκώμασεν· οὐδέ τις ἀνδρῶν
ἤδεεν, οὕνεκα λάβρον ἐφέλκετο πένθος ἄλαστον.
Ἄνθεα δὲ δροσόεντος ἀμησάμενοι ποταμοῖο
ἔστεφον αὐχενίους πλοκάμους σφετέροιο φονῆος.

imploransque senem dolosum exclamavit sermonem :
Virum Græcis socium-navigationis si me miseraris ,
Trojanorum servatorem et urbis si me servaveris ,
o Dardanide imperator, et summum inimicum Achæorum,
sic me læserunt deorum ultionem non curantes ,
nihil peccantem, improbi et immisericordes semper :
sic etiam Achillis honorarium rapuerunt Æacidæ,
sic Philoctetem reliquerunt impeditum colubro ,
interfecerunt etiam ipsum invidi Palamedem :
et sic nunc mihi fecerunt iniqui , quia fugere
non volebam cum ipsis, sed manere jubebam socios.
Qui mentem-perturbante improbitate subacti
vestibus me exuerunt , diris vero flagris
omni corpore cæso , in peregrino reliquerunt littore.
Age , o beate, observa Jovis reverentiam supplicum-præsidis;] gaudium enim Græcis ero , si siveris
sub manibus Trojanorum supplicem et hospitem *me* perire.
Verum ego omnibus adjutor ero vobis ,
ne-amplius metuatis bellum redintegratum Græcorum.
Sic dixit; eum vero senex blanda consolatus-est voce :
Hospes , te quidem Trojanis mixtum non amplius convenit]metum tenere; effugisti enim impiam injuriam Achæorum :] semper vero noster amicus eris , neque te patriæ,
neque opulentarum ædium dulce desiderium capiet.
Atqui age et tu mihi dic, quidnam hoc monstrum sit,
equus, horrendi timoris portentum ! dic etiam tuum
nomen et genus , unde vero te naves tulerint.
Hunc vero confisus allocutus-est valde-versutus heros :
Eloquar etiam hæc ; tu enim me volentem jubes.
Argos mihi patria est, Sinonque mihi nomen est ,
Æsimum autem nominant meum senem patrem.
Equum vero Græcis olim-prædictum excogitavit Epeus :
siquidem enim eum siveritis manere hic in campo,
Trojanam fatatum-est ut-capiat urbem hasta Græcorum ;
si vero eum , sacram statuam , acceperit templis *suis* Minerva,]fugient *Græci* aufugientes infectis certaminibus.
Verum agite catenis undique circumdatum
trahite in arcem magnam aureo-freno-conspicuum equum.
Nobis autem Minerva urbis-custos dux-sit
artificiosum festinans accipere donarium et ipsa.
Sic utique dixit, et hunc quidem rex jussit capere-et
induere chlænam ac tunicam. Illi vero (*Trojani*) bubulis
vinctum funibus ac bene-tortis rudentibus
trahebant per campum velocium ascensorem rotarum
equum , heroibus repletum ; ante vero *equum*
tibiæ et citharæ consonum modulabantur carmen.
Miserum stultorum hominum genus, quibus caligo
inconspicua *est* futurorum , et vano præ gaudio multi
sæpe ignorant se-incidere exitio.
Qualis etiam Trojanis tunc perniciosa noxa
in urbem sponte ingressa-est, nec quisquam virorum
norat, quod rapide attrahebatur luctus infinitus.
Flores autem aquosi metentes fluvii
coronarunt collares capillos sui occisoris.

Γαῖα δὲ, χαλκείοισιν ἐρεικομένη περὶ κύκλοις,
δεινὸν ὑπεβρυχᾶτο· σιδήρειοι δὲ καὶ αὐτῶν
τριβόμενοι τρηχεῖαν ἀνέστενον ἄξονες ἠχήν·
τετρίγει δὲ κάλων ξυνοχὴ, καὶ πᾶσα ταθεῖσα
λιγνὺν αἰθαλόεσσαν ἕλιξ ἀνεκήκιε σειρή.
Πολλὴ δ' ἑλκόντων ἐνοπὴ καὶ κόμπος ὀρώρει·
ἔβρεμε νυμφαίῃσιν ἅμα δρυσὶ δάσκιος Ἴδη,
ἴαχε καὶ Ξάνθου ποταμοῦ κυκλούμενον ὕδωρ,
καὶ στόμα κεκλήγει Σιμοείσιον· οὐρανίη δὲ
ἐκ Διὸς ἑλκόμενον πόλεμον μαντεύετο σάλπιγξ.
Οἱ δ' ἦγον προπάροιθεν· ὁδὸς δ' ἐβαρύνετο μακρὴ,
σχιζομένη ποταμοῖσι καὶ οὐ πεδίοισιν ὁμοίη.
Εἵπετο δ' αἰόλος ἵππος ἀρηΐφιλους ἐπὶ βωμοὺς,
κυδιόων ὑπέροπλα· βίῃ δ' ἐπέρεισεν Ἀθήνη
χεῖρας ἐπιβρίσασα νεογλυφέων ἐπὶ μηρῶν.
Ὡς δὲ θέων ἀκίχητος ἐπέδραμε θᾶσσον οἰστοῦ,
Τρῶας ἐϋσκάρθμοισιν ὁδοιπορίῃσι διώκων,
εἰσόκε δὴ πυλέων ἐπεβήσατο Δαρδανιάων.
Αἱ δέ οἱ ἐρχομένῳ θυρέων πτύχες ἐστείνοντο·
ἀλλ' Ἥρη μὲν ἔλυσεν ἐπὶ δρόμον αὖθις ὁδοῖο
πρόσθεν ἀναστέλλουσα· Ποσειδάων δ' ἀπὸ πύργων
σταθμὸν ἀνοιγομένων πυλέων ἀνέκοπτε τριαίνῃ.
Τρωϊάδες δὲ γυναῖκες ἀνὰ πτόλιν ἄλλοθεν ἄλλαι,
νύμφαι τε πρόγαμοί τε καὶ ἴδμονες Εἰλειθυίης,
μολπῇ τ' ὀρχηθμῷ τε περὶ βρέτας εἱλίσσοντο·
ἄλλαι δὲ χνοάωσαν ἀμελγόμεναι χάριν ὄμβρου
ὁλκῷ δουρατέῳ ῥοδέους στορέσαντο τάπητας·
αἱ δὲ θαλασσαίης ἐπιμάζια νήματα μίτρης
λυσάμεναι κλωστοῖσι κατέπλεκον ἄνθεσιν ἵππον·
καί τις ἀπειρεσίοιο πίθου κρήδεμνον ἀνεῖσα,
χρυσείῳ προχέουσα κρόκῳ κεκερασμένον οἶνον,
γαῖαν ἀνεκνίσσωσε χυτὴν εὐώδεϊ πηλῷ.
Ἀνδρομέῃ δὲ βοῇ συνεβάλλετο θῆλυς ἰωὴ,
καὶ παίδων ἀλαλητὸς ἐμίσγετο γήραος ἠχῇ.
Οἷαι δ' ἀφνειοῖο μετήλυδες ὠκεανοῖο
χείματος ἀμφίπολοι, γεράνων στίχες ἠεροφώνων,
κύκλον ἐποχμεύουσιν ἀλήμονος ὀρχηθμοῖο
γειοπόνοις ἀρότῃσιν ἀπεχθέα κεκληγυῖαι·
ὣς οἵγε κλαγγῇ τε δι' ἄστεος ἠδὲ κυδοιμῷ
ἦγον ἐς ἀκρόπολιν βεβαρημένον ἔνδοθεν ἵππον.
Κούρη δὲ Πριάμοιο θεήλατος οὐκέτι μίμνειν
ἤθελεν ἐν θαλάμοισι· διαῤῥήξασα δ' ὀχῆας
ἔδραμεν ἠΰτε πόρτις ἀήσυρος, ἥν τε τυπεῖσαν
κέντρον ἀνεπτοίησε βοοῤῥαίσταο μύωπος·
ἡ δ' οὔτ' εἰς ἀγέλην ποτιδέρκεται, οὔτε βοτῆρι
πείθεται, οὐδὲ νομοῖο λιλαίεται, ἀλλὰ βελέμνῳ
ὀξέϊ θηγομένη βοέων ἐξήλυθε δεσμῶν·
τοίη μαντιπόλοιο βολῆς ὑπὸ νύγματι κούρη
πλαζομένη κραδίην ἱερὴν ἀνεσείετο δάφνην.
Πάντη δὲ βρυχᾶτο κατὰ πτόλιν· οὐδὲ τοκήων,
οὐδὲ φίλων ἀλέγιζε· λίπεν δέ ἑ παρθένος αἰδώς.
Οὐχ οὕτω Θρηΐσσαν ἐνὶ δρυμοῖσι γυναῖκα
νήδυμος αὐλὸς ἔτυψεν ὀρειμανέος Διονύσου,
ἥ τε θεῷ πληγεῖσα παρήορον ὄμμα τιταίνει,

Porro terra æneis fissa rotis
graviter mugiebat, ferrei vero ipsarum
attriti gravi suspirabant axes strepitu;
stridebat etiam rudentum connexio, ac tota extensa
pulverem turbidum voluta suscitabat catena.
Magnus vero trahentium clamor et strepitus excitabatur;
strepebatque nymphalibus cum quercubus umbrosa Ida,
insonuit etiam Xanthi fluminis circumacta aqua,
ostiumque clangebat Simoisium, ac cœlestis
de Jove attractum bellum indicabat tuba.
Illi vero ducebant porro; via autem aspera-est longa,
dissecta fluviis neque planitiei comparanda.
Sequebatur vero celer equus Marti-amatas ad aras,
superbiens excellenter; vi etiam impulit Minerva
manus supponens recens-fabricatis costis.
Quare currens velocissimus ruebat celerius jaculo,
Trojanos expeditis gressibus subsequens,
donec ad-portas accesserit Dardanias.
At ipsi advenienti portarum valvæ angustiores erant:
sed Juno laxavit *eas* rursus ad cursum viæ
ante attollens, Neptunus vero de turribus
limen apertarum portarum dissecuit tridente.
Trojanæ mulieres per urbem aliunde aliæ,
puellæ desponsatæque et expertæ Lucinam,
carmine et saltatione circa effigiem volvebantur,
aliæ vero teneram exsiccantes gratiam pluviæ (*rorem.*)
equo ligneo roseos superstraverunt tapetes;
aliæ autem purpureæ pectorales texturas zonæ
solventes textis *his* circumplicabant ornamentis equum;
et alia immensi dolii operculo sublato,
aureo diffundens croco temperatum vinum,
terram suffiebat fusilem odorato vino.
Porro virili voci commiscebatur muliebris clamor,
et puerorum strepitus miscebatur senectutis sono.
Quales vero divitis advenæ Oceani,
hiemis ministri, gruum turmæ in-aere-gruentium,
circulum ineunt erraticæ saltationis
agricolis rusticis invisa clangentes:
sic hi clangore per urbem et tumultu
duxerunt in arcem gravidum intus equum.
Filia vero Priami a-Deo-impulsa non amplius manere
volebat intra thalamos; sed effractis repagulis
ferebatur quasi juvenca expedita, quam ictam
aculeus sauciavit boves-vexantis œstri;
ipsa vero neque ad gregem respicit, neque pastori
obtemperat, neque pabulum desiderat, sed telo
acuto sauciata boum transit septa:
talis vatidici stimuli ictu virgo
errans corde, sacram concutiebat laurum.
Ubique vero mugiebat per urbem, neque parentes
neque amicos curabat; reliquit enim ipsam virgineus pudor.] Non sic Thressam in saltibus mulierem
dulcis tibia excitavit in-montibus-furentis Bacchi,
quæ a-deo percussa vagum oculum intendit,

γυμνὸν ἐπισσείουσα κάρη κυανάμπυκι κισσῷ·
ὡς ἥγε πτερόεντος ἀναΐξασα νόοιο
Κασσάνδρη θεόφοιτος ἐμαίνετο· πυκνὰ δὲ χαίτην
κοπτομένη καὶ στέρνον ἀνίαχε μαινάδι φωνῇ·
Ὦ μέλεοι, τίνα τοῦτον ἀνάρσιον ἵππον ἄγοντες
δαιμόνιοι μαίνεσθε καὶ ὑστατίην ἐπὶ νύκτα
σπεύδετε, καὶ πολέμοιο πέρας καὶ νήγρετον ὕπνον;
δυσμενέων ὅδε κῶμος ἀρήϊος· αἳ δέ που ἤδη
τίκτουσιν μογερῆς Ἑκάβης ὠδῖνες ὀνείρων·
λήγει δ' ἀμβολιεργὸν ἔτος, πολέμοιο λυθέντος.
Τοῖος ἀριστήων λόχος ἔρχεται, οὓς ἐπὶ χάρμην
τεύχεσιν ἀστράπτοντας ἀμαυροτάτην ὑπὸ νύκτα
τέξεται ὄβριμος ἵππος· ἐπὶ χθόνα δ' ἄρτι θορόντες
ἐς μόθον ὁρμήσουσι τελειότατοι πολεμισταί.
Οὐ γὰρ ὑπ' ὠδίνεσσι μογοστόκον ἵππον ἀνεῖσαι,
ἀνδράσι τικτομένοισιν ἐπισχήσουσι γυναῖκες·
αὐτὴ δ' Εἰλείθυια γενήσεται ἥ μιν ἔτευξεν·
γαστέρα δὲ πλήθουσαν ἀνακλίνασα βοήσει
μαῖα πολυκλαύτοιο τόκου πτολίπορθος Ἀθήνη.
Καὶ δὴ πορφύρεον μὲν ἑλίσσεται ἔνδοθι πύργων
αἵματος ἐκχυμένου πέλαγος καὶ κῦμα φόνοιο·
δεσμά τε συμπαθέων πλέκεται περὶ χερσὶ γυναικῶν
νυμφία· φωλεύει δ' ὑπὸ δούρασι κευθόμενον πῦρ.
Ὤ μοι ἐμῶν ἀχέων, ᾧ μοι σέο, πάτριον ἄστυ·
αὐτίκα μοι λεπτὴ κόνις ἔσσεαι· οἴχεται ἔργον
ἀθανάτων, προθέλυμνα θεμείλια Λαομέδοντος·
καὶ σὲ πάτερ καὶ μῆτερ ὀδύρομαι, οἷά μοι ἤδη
ἀμφοτέροι πείσεσθε· σὺ μὲν, πάτερ, οἰκτρὰ δεδουπὼς
κείσεαι Ἑρκείοιο Διὸς μεγάλου παρὰ βωμῷ·
μῆτερ ἀριστοτόκεια, σὲ δὲ βροτέης ἀπὸ μορφῆς
λυσσαλέην ἐπὶ παισὶ θεοὶ κύνα ποιήσουσιν.
Δῖα Πολυξείνη, σὲ δὲ πατρίδος ἐγγύθι γαίης
κεκλιμένην ὀλίγον δακρύσομαι· ὡς ὄφελέν τις
Ἀργείων ἐπὶ σοῖσι γόοις ὀλέσαι με καὶ αὐτήν.
Τίς γάρ μοι χρειὼ βιότου πλέον, εἴ με φυλάσσει
οἰκτροτέρῳ θανάτῳ, ξείνη δέ με γαῖα καλύψει;
τοιάδ' ἐμοὶ δέσποινα καὶ αὐτῷ δῶρα ἄνακτι
ἀντὶ τόσων καμάτων Ἀγαμέμνονι πότμον ὑφαίνει.
Ἀλλ' ἤδη φράζεσθε, τά τε γνώσεσθε παθόντες,
καὶ νεφέλην ἀπόθεσθε, φίλοι, βλαψίφρονος ἄτης.
Ῥηγνύσθω πελέκεσσι δέμας πολυχανδέος ἵππου,
ἢ πυρὶ καιέσθω· δολόεντα δὲ σώματα κεύθων
ὀλλύσθω, μεγάλη δὲ ποθὴ Δαναοῖσι γενέσθω.
Καὶ τότε μοι δαίνυσθε καὶ ἐς χορὸν ὀτρύνεσθε,
στησάμενοι κρητῆρας ἐλευθερίης ἐρατεινῆς.
Ἡ μὲν ἔφη· τῇ δ' οὔτις ἐπείθετο· τὴν γὰρ Ἀπόλλων
ἀμφότερον μάντιν τ' ἀγαθὴν καὶ ἄπιστον ἔθηκεν.
Τὴν δὲ πατὴρ ἐνένισπεν ὁμοκλήσας ἐπέεσσιν· [μων,
Τίς σε πάλιν, κακόμαντι, δυσώνυμος ἤγαγε δαί-
θαρσαλέη κυνόμυια; μάτην ὑλάουσ' ἀπερύκεις.
Οὔπω σοι κέκμηκε νόος λυσσώδεϊ νούσῳ,
οὐδὲ παλιμφήμων ἐκορέσσατο λαβροσυνάων,
ἀλλὰ καὶ ἡμετέρῃσιν ἐπαχνυμένη θαλίῃσιν
ἤλυθες, ὁππότε πᾶσιν ἐλεύθερον ἦμαρ ἀνῆψεν

nudum illidens caput nigræ hederæ,
ut alata exiliens mente
Cassanndra a-deo-inspirata furebat; frequenter autem co-
mam] lanians et pectus exclamavit furiosa voce:
O miseri, quare istum infensum equum ducentes
infelices furitis et extremam ad noctem
properatis et belli finem et inexcitabilem somnum?
hostium hæc turma *est* Martia; ac jam fere
parturiunt miseræ Hecubæ dolores somniorum,
et desinit tardus annus bello soluto.
Tale principum latibulum adest, quos ad bellum
armis coruscantes obscurissimam sub noctem
pariet fortis equus; in terram vero modo prosilientes
ad prœlium festinabunt consummatissimi bellatores.
Non enim sub partus-doloribus laborantem equum rele-
vantes] viris editis attendent mulieres:
ipsa vero Lucina fiet, quæ illum fabricavit,
ventremque prægnantem aperiens clamorem-tollet
obstetrix luctuosi partus, urbium-vastatrix Minerva.
Atqui purpureum volvitur intra turres
sanguinis effusi pelagus et fluctus cædis,
vinculaque miserarum nectuntur circa manus mulierum
jugalia; latet enim sub lignis (*in equo*) occultatus ignis.
Væ mihi propter-meos dolores, væ mihi propter-te, patria
urbs!] Mox mihi exiguus cinis eris: perit opus
Deorum, profunda fundamenta Laomedontis;
etiam te, pater ac mater, lugeo, qualia mihi nunc
ambo sustinebitis! tu quidem, pater, misere prostratus
jacebis Hercei Jovis magni ad aram;
mater liberis-præstans, te humana ex forma
rabidam super liberis dii canem facient.
Divina Polyxena, te vero patriam prope urbem
mortuam-jacentem non-diu lugebo. Utinam aliquis
Græcorum inter tuos luctus occideret me etiam ipsam!
Quæ enim mihi utilitas vitæ amplius, si me reservat
miseriori morti, peregrinaque terra me teget?
Talia mihi domina et ipsi dona regi
pro tot laboribus, Agamemnoni, letum texit.
Sed jam considerate, hæcque noscite patientes,
et nebulam abstergite, amici, insipientis noxæ.
Rumpatur securibus corpus ampli equi,
aut igni comburatur; hostilia vero corpora occultans
pereat, magnumque desiderium Græcos subeat.
Et tunc mihi convivamini et ad choream excitamini,
statuentes crateras libertatis amabilis.
Illa quidem *sic* locuta-est; ei vero nemo obtemperabat:
ipsam enim Apollo] utrumque, vatem et bonam et suspe-
ctam, reddidit.] Eam pater increpuit minatus verbis:
Quis te iterum, mala-vates, infaustus adduxit dæmon,
temeraria, impudentissima? frustra latrans *nos* dehortaris.
Nondum tibi defatigatus-est animus insano morbo,
neque malesonis saturatus-est furoribus,
sed etiam nostris invidens conviviis
advenisti, quando omnibus liberum diem exhibuit

ἡμῖν Ζεὺς Κρονίδης, ἐκέδασσε δὲ νῆας Ἀχαιῶν;
οὐδ' ἔτι δούρατα μακρὰ τινάσσεται· οὐδ' ἔτι τόξα
ἕλκεται· οὐ ξιφέων σαλέη· σιγῶσι δ' ὀϊστοί.
Ἀλλὰ χοροὶ καὶ μοῦσα μελίπνοος· οὐδ' ἔπι νείκη.
Οὐ μήτηρ ἐπὶ παιδὶ κινύρεται, οὐδ' ἐπὶ δῆριν
ἄνδρα γυνὴ πέμψασα νέκυν δακρύσατο χήρη.
Ἵππον ἀνελκόμενον δέχεται πολιοῦχος Ἀθήνη.
Παρθένε τολμήεσσα, σὺ δὲ πρὸ δόμοιο θοροῦσα,
ψεύδεα θεσπίζουσα καὶ ἄγρια μαργαίνουσα,
μοχθίζεις ἀτέλεστα καὶ ἱερὸν ἄστυ μιαίνεις.
Ἔρρ' οὕτως· ἡμῖν δὲ χοροὶ θαλίαι τε μέλονται·
οὐ γὰρ ἔτι Τροίης ὑπὸ τείχεσι δεῖμα λέλειπται,
οὐδ' ἔτι μαντιπόλοιο τεῆς κεχρήμεθα φωνῆς.
Ὣς εἰπὼν ἐκέλευσεν ἄγειν ἑτερόφρονα κούρην
κευθμὸν ἔσω θαλάμοιο· μόγις δ' ἀέκουσα τοκῆϊ
πείθετο· παρθενίῳ δὲ περὶ κλιντῆρι πεσοῦσα
κλαῖεν, ἐπισταμένη τὸν ἑὸν μόρον· ἔβλεπε δ' ἤδη
πατρίδος αἰθομένης ἐπὶ τείχεσι μαρνάμενον πῦρ.
Οἱ δὲ, πολισσούχοιο θεῆς ὑπὸ νηὸν Ἀθήνης
ἵππον ἀναστήσαντες ἐϋξέστων ἐπὶ βάθρων,
ἔφλεγον ἱερὰ καλὰ πολυκνίσσων ἐπὶ βωμῶν·
ἀθάνατοι δ' ἀνένευον ἀνηνύστους ἑκατόμβας.
Εἰλαπίνη δ' ἐπίδημος ἔην καὶ ἀμήχανος ὕβρις,
ὕβρις ἐλαφρίζουσα μέθην λυσήνορος οἴνου·
ἀφραδίῃ τε βέβυστο μεθημοσύνῃ τε κεχήνει
πᾶσα πόλις· πυλέων δ' ὀλίγοις φυλάκεσσι μεμήλει·
ἤδη γὰρ καὶ φέγγος ἐδύετο· δαιμονίη δὲ
Ἴλιον αἰπεινὴν ὀλεσίπτολις ἀμφέβαλεν νύξ.
Ἀργείῃ δ' Ἑλένῃ, πολιὸν δέμας ἀσκήσασα,
ἦλθε δολοφρονέουσα πολυφράδμων Ἀφροδίτη,
ἐκ δὲ καλεσσαμένη προσέφη πειθήμονι φωνῇ·
Νύμφα φίλη, καλέει σε πόσις Μενέλαος ἀγήνωρ,
ἵππῳ δουρατέῳ κεκαλυμμένος· ἀμφὶ δ' Ἀχαιῶν
ἡγεμόνες λοχόωσι τεῶν μνηστῆρες ἀέθλων.
Ἀλλ' ἴθι, μηδέ τί τοι μελέτω Πριάμοιο γέροντος,
μήτ' ἄλλων Τρώων, μήτ' αὐτοῦ Δηϊφόβοιο·
ἤδη γάρ σε δίδωμι πολυτλήτῳ Μενελάῳ.
Ὣς φαμένη θεὸς αὖθις ἀνέδραμεν· ἡ δὲ δόλοισι
θελγομένη κραδίην θάλαμον λίπε κηώεντα·
καί οἱ Δηΐφοβος πόσις εἵπετο· τὴν δὲ κιοῦσαν
Τρῳάδες ἑλκεχίτωνες ἐθηήσαντο γυναῖκες.
Ἡ δ' ὁπόθ' ὑψιμέλαθρον ἐς ἱερὸν ἦλθεν Ἀθήνης,
ἔστη παπταίνουσα φυὴν εὐήνορος ἵππου.
Τρὶς δὲ περιστείχουσα καὶ Ἀργείους ἐρέθουσα
πάσας ἠϋκόμους ἀλόχους ὀνόμαζεν Ἀχαιῶν
φωνῇ λεπταλέῃ· τοὶ δ' ἔνδοθι θυμὸν ἄμυσσον
ἀλγεινοὶ κατέχοντες ἐελμένα δάκρυα σιγῇ.
Ἔστενε μὲν Μενέλαος, ἐπεὶ κλύε Τυνδαρεώνης,
κλαῖε δὲ Τυδείδης μεμνημένος Αἰγιαλείης,
οὔνομα δ' ἐπτοίησεν Ὀδυσσέα Πηνελοπείης.
Ἄντικλος δ', ὅτε κέντρον ἐδέξατο Λαοδαμείης,
μοῦνος ἀμοιβαίην ἀνεβάλλετο γῆρυν ἀνοίξας·
ἀλλ' Ὀδυσεὺς κατεπᾶλτο καὶ ἀμφοτέραις παλάμῃσιν
ἀμφιπεσὼν ἐπίεζεν ἐπειγόμενον στόμα λῦσαι·

nobis Juppiter Saturnides et dissipavit naves Græcorum?
neque amplius hastæ longæ vibrantur, neque amplius arcus
intenduntur, non gladiorum strepitus *est*, silentque sagittæ.
Verum choreæ cantusque mellisonus *sunt*; neque adsunt
lites.] Non mater propter filium luget, neque ad pugnam
virum mulier missum mortuum plorat vidua.
Equum adductum suscipit tutelaris Minerva.
Virgo temeraria, tu autem ante ædes proruens,
mendacia vaticinans et immaniter furens,
laboras temere et sacram urbem fœdas.
Male-pereas sic. Nobis vero choreæ conviviaque curæ-sunt:
non enim amplius Trojæ sub mœnibus metus relictus-est,
neque amplius fatidica tua indigemus voce.
Sic locutus jussit abduci desipientem virginem
intra penetralia thalami. Vix vero invita patri
obtemperabat; virgineum autem in lectum procidens
plorabat, cognoscens suum fatum : videbat enim jam
patriæ ardentis in mœnibus splendentem ignem.
Ipsi vero (*Trojani*), tutelaris deæ sub templum Minervæ
equo constituto bene-politis in fundamentis,
comburebant sacrificia pulcra odoratis in aris :
immortales vero respuebant inutiles hecatombas.
Porro convivium populare erat et immensa petulantia,
petulantia elevans ebrietatem viros-debilitantis vini ;
stultitia referta-erat atque ebrietati vacabat
tota civitas, portarumque paucis custodibus cura-erat :
jam enim lumen *solis* occidebat : divina vero
Ilium excelsum urbi-exitium-afferens circumdedit nox.
Argivæ autem Helenæ, candido corpore ornato,
apparuit dolosa *et* prudens Venus,
evocatamque compellavit persuadente voce :
Nympha dilecta, vocat te maritus Menelaus præstans,
in-equo ligneo absconditus, circaque *eum* Græcorum
duces latent, tuorum proci certaminum.
Agedum abi, neque aliqua tibi cura-sit Priami senis,
neque aliorum Trojanorum, neque ipsius Deiphobi;
jam enim te reddo laborioso Menelao.
Sic locuta Dea iterum recessit; illa autem dolis
decepta corde thalamum reliquit odoratum,
eamque Deiphobus sequebatur. Ipsam vero euntem
Trojanæ longis-vestibus-indutæ admiratæ-sunt mulieres.
Ea igitur quando sublime ad templum venit Minervæ,
stetit contemplata formam præstantis equi
Ter vero circumiens et Græcos lacessens
omnes pulcricomas uxores nominabat Græcorum
voce submissa. Ipsi vero intus animum affligebant
mœsti continentes compressas lacrimas silentio.
Ingemuit quidem Menelaus, quando audivit Helenam,
flebat etiam Tydides recordatus Ægialeæ,
nomen vero afflictavit Ulyssem Penelopes.
Anticlus autem, quando stimulum accepit Laodamiæ,
solus responsoriam parabat-reddere vocem aperiens;
sed Ulysses desiluit et ambabus manibus
irruens pressit festinantem os solvere,

μάσταχα δ' ἀρρήκτοισιν ἀλυκτοπέδῃσι μεμαρπὼς
εἶχεν ἐπικρατέως· ὁ δ' ἐπάλλετο χερσὶ πιεσθείς,
φεύγων ἀνδροφόνοιο πελώρια δεσμὰ σιωπῆς.
Καὶ τὸν μὲν λίπεν ἆσθμα φερέσβιον· οἱ δέ μιν ἄλλοι
δάκρυσι λαθριδίοισιν ἐπικλαύσαντες Ἀχαιοί,
κοῖλον ὑποκρύψαντες ἐς ἰσχίον ἔνθεσαν ἵππου,
καὶ χλαῖναν μελέεσσιν ἐπὶ ψυχροῖσι βαλόντες.
Καί νύ κεν ἄλλον ἔθελγε γυνὴ δολόμητις Ἀχαιῶν,
εἰ μή οἱ βλοσυρῶπις ἀπ' αἰθέρος ἀντήσασα
Παλλὰς ἐπηπείλησε, φίλου δ' ἐξήγαγε νηοῦ,
μούνῃ φαινομένη, στερεῇ δ' ἀπεπέμψατο φωνῇ·
Δειλαίη, τέο μέχρις ἀλιτροσύναι σε φέρουσι
καὶ πόθος ἀλλοτρίων λεχέων καὶ Κύπριδος ἄτη;
οὔπω δ' οἰκτείρεις πρότερον πόσιν, οὐδὲ θύγατρα
Ἑρμιόνην ποθέεις; ἔτι δὲ Τρώεσσιν ἀρήγεις;
χάζεο, καὶ θαλάμων ὑπερώϊον εἰσαναβᾶσα
σὺν πυρὶ μειλιχίῳ ποτιδέχνυσο νῆας Ἀχαιῶν.
Ὣς φαμένη κενεὴν ἀπάτην ἐκέδασσε γυναικός.
Καὶ τὴν μὲν θαλαμόνδε πόδες φέρον· οἱ δὲ χοροῖο
παυσάμενοι, καμάτῳ ἀδδηκότες, ἤριπον ὕπνῳ.
Καὶ δή που φόρμιγξ ἀνεπαύσατο, κεῖτο δὲ κάμνων
αὐλὸς ἐπὶ κρητῆρι· κύπελλα δὲ πολλὰ χυθέντα
αὐτομάτως ῥείεσκε καθελκομένων ἀπὸ χειρῶν.
Ἡσυχίη δὲ πόλιν κατεβόσκετο νυκτὸς ἑταίρη·
οὐδ' ὑλακὴ σκυλάκων ἠκούετο· πᾶσα δὲ σιγῇ
εἱστήκει καλέουσα φόνον πνείουσαν ἀϋτήν.
Ἤδη δὲ Τρώεσσιν ὀλέτριον εἷλκε τάλαντον
Ζεὺς ταμίης πολέμοιο, μόγις δ' ἐλέλιξεν Ἀχαιούς·
χάζετο δ' Ἰλιόθεν Λυκίης ἐπὶ πίονα νηὸν
ἀχνύμενος μεγάλοις ἐπὶ τείχεσι Φοῖβος Ἀπόλλων.
Αὐτίκα δ' Ἀργείοισιν Ἀχιλλῆος παρὰ τύμβον
ἀγγελίην ἀνέφαινε Σίνων εὐφεγγέϊ δαλῷ.
Παννυχίη δ' ἑτάροισιν ὑπὲρ θαλάμοιο καὶ αὐτὴ
εὐειδὴς Ἑλένη χρυσέην ἐπεδείκνυτο πεύκην.
Ὡς δ' ὁπότε πλήθουσα πυρὸς γλαυκοῖο σελήνη
οὐρανὸν αἰγλήεντα κατεχρύσωσε προσώπῳ·
οὐχ ὅτε που γλωχῖνας ἀποξύνουσα κεραίης
πρωτοφαὴς ὑπὸ μηνὸς ἀνίσταται ἄσκιον ἀχλύν,
ἀλλ' ὅτε κυκλώσασα περίτροχον ὄμματος αὐγὴν
ἀντιτύπους ἀκτῖνας ἐφέλκεται ἠελίοιο·
τοίη μαρμαίρουσα Θεραπναίη τότε νύμφη
οἴνοπα πῆχυν ἀνεῖλκε φίλου πυρὸς ἡνιοχῆα.
Οἱ δὲ σέλας πυρσοῖο μετήορον ἀθρήσαντες
νῆας ἀνεκρούσαντο παλιγνάμπτοισι κελεύθοις
Ἀργεῖοι σπεύδοντες· ἅπας δ' ἠπείγετο ναύτης,
δηναίου πολέμοιο τέλος διζήμενος εὑρεῖν.
Οἱ δ' αὐτοὶ πλωτῆρες ἔσαν κρατεροί τε μαχηταί,
ἀλλήλοις τ' ἐκέλευον ἐλαυνέμεν· αἱ δ' ἄρα νῆες,
ὠκύτεραι κραιπνῶν ἀνέμων ταχυπειθέϊ ῥιπῇ,
Ἴλιον εἰσανάγοντο Ποσειδάωνος ἀρωγῇ.
Ἐνθάδε δὴ πεζοὶ πρότεροι κίον· οἱ δέ τ' ἔλειφθεν
ἱππῆες κατόπισθεν, ὅπως μὴ Τρώϊον ἵπποι
λαὸν ἀναστήσωσιν ἀειρομένῳ χρεμετισμῷ.
Οἱ δ' ἕτεροι γλαφυρῆς ἀπὸ γαστέρος ἔῤῥεον ἵππου

labrumque firmissimis vinculis comprehensum
tenebat fortiter; ille vero insurgebat manibus pressus,
effugiturus letalis immania vincula silentii.
Et ipsum quidem reliquit spiritus vitalis, eumque reliqui
lacrimis tacitis flentes Græci,
cavam abscondentes in coxendicem imposuerunt equi
et vestem membris frigidis injicientes.
Etiam alium movisset dolosa mulier (*Helena*) Græcorum,
nisi ipsi horrendo-aspectu ex æthere occurrens
Pallas comminata-fuisset, et dilecto eduxisset templo,
soli *huic* apparens, duraque emisisset voce :
Improba, huc usque scelera *tua* te agunt
et desiderium alienorum lectorum et Veneris noxa?
nondum vero misereris prioris mariti, neque filiam
Hermionen desideras? adhucne Trojanis opitularis?
abi, et thalamorum superius-tabulatum ingressa
cum igne amico excipe naves Græcorum.
Sic locuta vanam deceptionem removit mulieris.
Et eam quidem ad-thalamum pedes ferebant. Ipsi autem
(*Trojani*) a-chorea] desinentes, labore satiati, inciderunt
in-somnum.] Cithara etiam requievit, jacebatque fessa
tibia apud craterem, poculaque multa infusa
sponte effluebant dormientium e manibus.
Quies vero urbem pervagabatur, noctis comes,
neque latratus catulorum audiebatur; omnis vero *urbs*
silentio] stetit advocans cædem spirantes clamores.
Jam vero Trojanis exitialem sustinuit lancem
Juppiter gubernator belli, vix autem concussit Græcos;
discessitque Ilio Lyciæ ad opulentum templum
tristatus ampla propter mœnia Phœbus Apollo.
Mox vero Græcis Achillis apud tumulum
signum ostendit Sinon lucente face.
Ac per-totam-noctem sociis e thalamo etiam ipsa
formosa Helena auream (*ardentem*) ostendebat facem
Sicut autem quando plena igne lucido luna
cœlum splendidum inaurat facie *sua*,
non, quando cuspides exacuens cornuum
recens-orta sub mensis *initium* suscitat umbrosam caliginem,] sed, quando circulo-complens orbicularem oculi
splendorem] oppositos radios attrahit solis :
talis radians Therapnæa tunc nympha
roseum cubitum sustulit amici ignis gubernatorem.
Contra jubar lampadis sublime conspicientes
naves detruserunt retro-flexis viis
Græci properantes, omnisque urgebat nauta
diuturni belli exitum cupiens reperire.
Iidem vero et nautæ erant et fortes bellatores,
seque-invicem hortabantur impellere *remos; cæterum naves*,] celeriores velocium ventorum cito-obedientem ob-impetum,] Ilium pervenerunt Neptuni auxilio.
Unde pedites priores profecti-sunt, at relicti-sunt
equites post-tergum, ne Trojanum equi
populum suscitarent sublato hinnitu.
Alteri vero concavo e ventre se-proripiebant equi

τευχησταὶ βασιλῆες· ἀπὸ δρυὸς οἷα μέλισσαι
αἵτ' ἐπεὶ οὖν ἔκαμον πολυχανδέος ἔνδοθι σίμβλου,
κηρὸν ὑφαίνουσαι μελιηδέα ποικιλοτέχναι,
ἐς νομὸν εὐγυάλοιο κατ' ἄγκεος ἀμφιχυθεῖσαι
νύγμασι πημαίνουσι παραστείχοντας ὁδίτας·
ὣς Δαναοὶ κρυφίοιο λόχου κληῖδας ἀνέντες
θρῶσκον ἐπὶ Τρώεσσι, καὶ εἰσέτι κοῖτον ἔχοντας
χαλκείου θανάτοιο κακοῖς ἐκάλυψαν ὀνείροις.
Νήχετο δ' αἵματι γαῖα· βοὴ δ' ἄλληκτος ὀρώρει
Τρώων φευγόντων· ἐστείνετο δ' Ἴλιος ἱρὴ
πιπτόντων νεκύων· τοὶ δ' ἀνδροφόνῳ κολοσυρτῷ
ἔνθορον ἔνθα καὶ ἔνθα μεμηνότες οἷα λέοντες,
σώμασιν ἀρτιφάτοισι γεφυρώσαντες ἀγυιάς.
Τρωϊάδες δὲ γυναῖκες ὑπὲρ τεγέων ἀΐουσαι,
αἱ μὲν ἐλευθερίης ἐρατῆς ἔτι διψώουσαι
αὐχένας ἐς θάνατον δειλοῖς ἐπέβαλλον ἀκοίταις·
αἱ δὲ φίλοις ἐπὶ παισὶ, χελιδόνες οἷά τε κοῦφαι,
μητέρες ὠδύροντο· νέη δέ τις ἀσπαίροντα
ἠΐθεον κλαύσασα θανεῖν ἔσπευδε καὶ αὐτή·
οὐδὲ δορυκτήτοισιν ὁμοῦ δεσμοῖσιν ἕπεσθαι
ἤθελεν, ἀλλ' ἐχόλωσε καὶ οὐκ ἐθέλοντα φονῆα,
καὶ ξυνὸν λέχος ἔσχεν ὀφειλομένῳ παρακοίτῃ.
Πολλαὶ δ' ἠλιτόμηνα καὶ ἄπνοα τέκνα φοροῦσαι,
γαστέρος ὠμοτόκοιο χύδην ὠδῖνα μεθεῖσαι,
ῥιγεδανῶς σὺν παισὶν ἀπεψύχοντο καὶ αὐταί.
Παννυχίη δ' ἐχόρευσεν ἀνὰ πτόλιν, οἷα θύελλα
κύμασι παφλάζουσα πολυφλοίσβου πολέμοιο,
αἵματος ἀκρήτοιο μέθης ἐπίκωμος Ἐνυώ.
Σὺν δ' Ἔρις οὐρανόμηκες ἀναστήσασα κάρηνον
Ἀργείους ὀρόθυνεν· ἐπεὶ καὶ φοίνιος Ἄρης
ὀψὲ μὲν, ἀλλὰ καὶ ὣς, πολέμων ἑτεραλκέα νίκην
ἦλθε φέρων Δαναοῖσι καὶ ἀλλοπρόσαλλον ἀρωγήν.
Ἴαχε δὲ γλαυκῶπις ἐπ' ἀκροπόληος Ἀθήνη
αἰγίδα κινήσασα Διὸς σάκος· ἔτρεμε δ' αἰθὴρ,
Ἥρης σπερχομένης· ἐπὶ δ' ἔβραχε γαῖα βαρεῖα,
παλλομένη τριόδοντι Ποσειδάωνος ἀκωκῇ·
ἔφριξεν δ' Ἀΐδης, χθονίων δ' ἐξέδραμε θώκων,
ταρβήσας μή πού τι, Διὸς μέγα χωσαμένοιο,
πᾶν γένος ἀνθρώπων κατάγῃ ψυχοστόλος Ἑρμῆς.
Πάντα δ' ὁμοῦ κεκύκητο, φόνος δέ τις ἄκριτος ἦεν.
Τοὺς μὲν γὰρ φεύγοντας ἐπὶ Σκαιῇσι πύλῃσι
κτεῖνον ἐφεστηῶτες· ὁ δ' ἐξ εὐνῆς ἀνορούσας,
τεύχεα μαστεύων, δνοφερῇ περικάππεσεν αἰχμῇ.
Καί τις ὑπὸ σκιόεντι δόμῳ κεκρυμμένος ἀνὴρ,
ξεῖνος ἐὼν, ἐκάλεσσεν ὀϊόμενος φίλον εἶναι·
νήπιος, οὐ μὲν ἔμελλεν ἐνηέϊ φωτὶ μιγῆναι,
ξείνια δ' ἐχθρὰ κόμισσεν· ὑπὲρ τέγεος δέ τις ἄλλος
μήπω παπταίνων τι θοῷ διέπιπτεν ὀϊστῷ.
Καί τινες ἀλγεινῷ κραδίην βεβαρηότες οἴνῳ,
ἐκπλαγέες ποτὶ δοῦπον, ἐπειγόμενοι καταβῆναι,
κλίμακος ἐξελάθοντο, καθ' ὑψηλῶν τε μελάθρων
ἔκπεσον ἀγνώσσοντες, ἐπαυχενίους δὲ λυθέντες
ἀστραγάλους ἐάγησαν· ὁμοῦ δ' ἐξήρυγον οἶνον.
Πολλοὶ δ' εἰς ἕνα χῶρον ἀολλέες ἐκτείνοντο

bellatores reges, quemadmodum e quercu apes,
quæ postquam laborarunt capaci in alveari
ceram contexentes dulcem artificiosissimæ,
ad pabulum concavam per vallem circumfusæ,
aculeis lædunt prætereuntes viatores :
sic Danai, occulti latibuli repagulis remotis
irruerunt in Trojanos, et adhuc lectum tenentes
æneæ mortis malis oppresserunt somniis.
Natabat igitur sanguine terra, clamorque immensus excitabatur]Trojanorum fugientium, artabatur autem Ilium sacrum]cadentibus cadaveribus. Ipsi vero cruento tumultu
irruebant hinc et inde furentes, tanquam leones,
corporibus recens-necatis]quasi-ponte-sternentes vias.
Trojanæ vero mulieres in conclavibus-supernis audientes
tumultum] aliæ quidem libertatem amabilem adhuc sitientes] colla ad necem timidis superjaciebant maritis;
at caris super liberis, veluti hirundines expeditæ,
matres lugebant; puella vero quæpiam palpitantem
juvenem deplorans mori festinabat etiam ipsa,
neque bello-captos vinctos una sequi
volebat, verum irritavit *contra se* vel invitum interfectorem] et communem lectum sortita-est cum-designato marito.] Multæ vero immaturos, necdum vitales fœtus gestantes,] ventris abortantis temere partum emittentes,
horribiliter cum liberis efflabant-animam et ipsæ.
Per-noctem-totam tripudiabat per urbem, quasi turbo
undis æstuans tumultuosi belli,
sanguinis meri ebrietate exultans Bellona.
Simul etiam Discordia celsissimo sublato capite
Græcos concitabat; postea etiam cruentus Mars,
sero quamvis, veruntamen etiam sic, alternantem victoriam
venit afferens Græcis et inconstans auxilium.
Insonuit etiam cæsia in arce Minerva
ægidem concutiens, Jovis clypeum; tremuit vero æther
Junone approperante; insonuitque terra ampla
quassata tricipite Neptuni mucrone;
horruit etiam Pluto et infernis cucurrit e-sedibus,
metuens ne forte, Jove valde irascente,
universum genus hominum deducat animarum-deductor
Mercurius.] Omnia enim simul permixta-erant, cædesque confusa erat.] Hos enim fugientes ad Scæas portas
interfecerunt astantes; alius vero e lecto surgens
armaque quærens inexpectatæ incidit hastæ.
Alius etiam in umbrosa domo absconditus vir
hospes cum-esset, vocavit, putans amicum esse,
infelix! non enim erat cum-benevolo viro congressurus,
ac xenia inimica abstulit. In tecto vero alius quis
nondum conspiciens aliquid veloci concidit jaculo.
Alii etiam tristi cor graviti vino,
obstupefacti ad tumultum, festinantes descendere,
scalæ obliti-sunt, de altis itaque tabulatis
deciderunt inscii, collaribusque solutis
vertebris fracti-sunt, simulque eructabant vinum.
Multi vero in uno loco frequentes interficiebantur

μαρνάμενοι· πολλοὶ δὲ διωκόμενοι κατὰ πύργων
ἤριπον εἰς Ἀΐδαο, πανύστατον ἅλμα θορόντες.
Παῦροι δὲ στεινῆς διὰ κοιλάδος, οἷά τε φῶρες,
πατρίδος ὀλλυμένης ἔλαθον χειμῶνα φυγόντες.
Οἱ δ' ἔνδον πολέμῳ τε καὶ ἀχλύϊ κυμαίνοντες,
ἀνδράσιν οἰχομένοισι καὶ οὐ φεύγουσιν ὁμοῖοι,
πίπτον ἐπ' ἀλλήλοισι· πόλις δ' οὐ χάνδανε λύθρον,
ἀνδρῶν χηρεύουσα περιπλήθουσά τε νεκρῶν.
Οὐδέ τι φειδωλή τις ἐγίγνετο· φοιταλέῃ δὲ
σπερχόμενοι μάστιγι φιλαγρύπνοιο κυδοιμοῦ,
οὐδὲ θεῶν ὄπιν εἶχον ἀθεσμοτάτης ὑπὸ ῥιπῆς,
ἀθανάτων δ' ἔχραινον ἀπενθέας αἵματι βωμούς.
Οἰκτρότατοι δὲ γέροντες ἀτιμοτάτοισι φόνοισιν
οὐδ' ὀρθοὶ κτείνοντο, χαμαὶ δ' ἱκετήσια γυῖα
τεινάμενοι πολιοῖσι κατεκλίνοντο κάρησιν.
Πολλὰ δὲ νήπια τέκνα μινυνθαδίων ἀπὸ μαζῶν
μητέρος ἡρπάζοντο, καὶ οὐ νοέοντα τοκήων
ἀμπλακίας ἀπέτινον· ἀνημέλκτου δὲ γάλακτος
παιδὶ μάτην ὀρέγουσα χοὰς ἐκόμισσε τιθήνη.
Οἰωνοί τε κύνες τε κατὰ πτόλιν ἄλλοθεν ἄλλοι
ἠέριοι πεζοί τε συνέστιοι εἰλαπινασταί,
αἷμα μέλαν πίνοντες ἀμείλιχον εἶχον ἐδωδήν.
Καὶ τῶν μὲν κλαγγὴ φόνον ἔπνεεν· οἱ δ' ὑλάοντες
ἄγρια κοπτομένοισιν ἐπ' ἀνδράσιν ὠρύοντο,
νηλέες, οὐδ' ἀλέγιζον ἑοὺς ἐρύοντες ἄνακτας.
Τὼ δὲ γυναιμανέος ποτὶ δώματα Δηϊφόβοιο
στελλέσθην Ὀδυσεύς τε καὶ εὐχαίτης Μενέλαος,
καρχαρέοισι λύκοισιν ἐοικότες, οἵθ' ὑπὸ νύκτα
χειμερίην φονόωντες ἀσημάντοις ἐπὶ μήλοις
οἴχονται, κάματον δὲ κατατρύχουσι νομήων.
Ἔνθα δύω περ ἐόντες ἀπειρεσίοισιν ἔμιχθεν
ἀνδράσι δυσμενέεσσι· νέη δ' ἠγείρετο χάρμη,
τῶν μὲν ἐπορνυμένων, τῶν δ' ὑψόθεν ἐκ θαλάμοιο
βαλλόντων λιθάκεσσι καὶ ὠκυμόροισιν ὀϊστοῖς.
Ἀλλὰ καὶ ὣς ὑπέροπλα καρήατα πυργώσαντες
ἀρρήκτοις κορύθεσσι, καὶ ἀσπίσι κυκλώσαντες,
εἰσέθορον μέγα δῶμα· καὶ ἀντίβιον μὲν ὅμιλον,
θὴρ ὣς δειμαλέας ἐλάφους, ἐδάϊξεν Ὀδυσσεύς.
Ἀτρείδης δ' ἑτέρωθεν ὑποπτήξαντα διώξας
Δηΐφοβον κατέμαρψε, μέσην κατὰ γαστέρα τύψας
ἧπαρ ὀλισθηρῇσι συνεξέχεεν χολάδεσσιν.
Ὣς ὁ μὲν αὐτόθι κεῖτο λελασμένος ἱπποσυνάων.
Τῷ δ' ἕπετο τρομέουσα δορυκτήτη παράκοιτις,
ἄλλοτε μὲν χαίρουσα κακῶν ἐπὶ τέρμασι μόχθων,
ἄλλοτε δ' αἰδομένη· τότε δ' ὀψέ περ ὡς ἐν ὀνείρῳ
λαθρίδιον στενάχουσα φίλης μιμνήσκετο πάτρης.
Αἰακίδης δὲ γέροντα Νεοπτόλεμος βασιλῆα
πήμασι κεκμηῶτα παρ' Ἑρκείῳ κτάνε βωμῷ,
οἶκτον ἀπωσάμενος πατρώϊον· οὐδὲ λιτάων
ἔκλυεν, οὐ Πηλῆος ὁρώμενος ἥλικα χαίτην
αἴδετο, τῆς ὕπο θυμὸν ἀπέκλασεν ἠδὲ γέροντος,
καίπερ ἐὼν βαρύμηνις, ἐφείσατο τοπρὶν Ἀχιλλεύς.
Σχέτλιος, ἦ μὲν ἔμελλε καὶ αὐτῷ πότμος ὁμοῖος
ἔσσεσθαι παρὰ βωμὸν ἀλαθέος Ἀπόλλωνος

pugnantes; multi etiam fugati de turribus
deciderunt in Plutonis *domum*, postremum saltum saltantes.]Pauci autem angusto in latibulo, quemadmodum fures,] patria pereunte latuerunt tempestatem fugientes.
Alii vero in bello et caligine fluctuantes,
viris mortuis et non fugientibus similes,
cadebant super se-invicem. Urbs vero non capiebat cruorem,
viris viduata repletaque cadaveribus.
Neque clementia aliqua erat; furiante enim
incitati flagello insomnis turbinis,
neque deorum reverentiam habebant iniquissimo præ impetu,]et immortalium maculabant lætas sanguine aras.
Miserrimi vero senes iniquissimis cædibus
non stantes necabantur, sed humi supplicia in-genua
prostrati canis cædebantur capitibus.
Multi etiam infantes liberi paululum-gustatis de uberibus
matris rapiebantur, et inscii parentum
delicta luebant, ac nondum-exhausti lactis
infanti frustra præbens fluctus emisit nutrix (*mater*).
Aves canesque, per urbem aliunde alii,
aereæ terrestresque, domestici comessatores,
cruorem atrum bibentes horrendum habebant cibum.
Atque aliarum clangor cædem spirabat; alii latrantes
ferociter interemptos juxta viros rugiebant
immites, neque verebantur suos discerpere dominos.
Tum mulierosi ad ædes Deiphobi
se-conferebant Ulysses et bene-comatus Menelaus,
frendentibus lupis similes, qui sub noctem
hibernam cædis-cupidi incustoditas in oves
abeunt, ac laborem consumunt pastorum.
Ibi duo quamvis existentes infinitis congressi-sunt
viris hostilibus: nova vero excitabatur pugna,
alteris quidem irruentibus, alteris vero ex-alto e thalamo
jacientibus lapidibus et funestis jaculis.
Atqui etiam sic excelsa capita munientes
robustis galeis, et clypeis circumdantes,
irruperunt in-amplam domum, et obviam quidem turbam,
ut fera timidas cervas, superavit Ulysses.
Atrides vero aliunde trepidantem insecutus
Deiphobum excepit, et medium per ventrem feriens
epar lubricis effudit-cum intestinis.
Sic ille quidem ibi jacebat oblitus fortitudinis.
Hunc autem sequebatur tremens hasta-acquisita uxor,
nunc gaudens malorum propter fines laborum,
nunc pudore-perfusa; tuncque, sero quamvis, ut in somnio,
clanculum gemens caræ recordabatur patriæ.
Æacides porro senem Neoptolemus regem
malis confectum apud Herceam interfecit aram,
misericordiam repudians paternam: neque preces
exaudivit, non Pelei videns æqualem caniciem
reveritus-est, propter quam iram fregit ac seni,
quamvis fuisset vehemens, pepercerat antea Achilles.
Infelix! sane enim erat et ipsi fatum simile
futurum apud aram veracis Apollinis

ὕστερον, ὁππότε μιν, ζαθέου δηλήμονα νηοῦ,
Δελφὸς ἀνὴρ ἐλάσας ἱερῇ κατέπεφνε μαχαίρῃ.
Ἡ δὲ κυβιστήσαντα διηερίων ἀπὸ πύργων
χειρὸς Ὀδυσσείης ὀλοὸν βέλος ἀθρήσασα
Ἀνδρομάχη μινύωρον ἐκώκυεν Ἀστυάνακτα.
Κασσάνδρην δ' ᾔσχυνεν Ὀϊλῆος ταχὺς Αἴας,
Παλλάδος ἀχράντοιο θεῆς ὑπὸ γοῦνα πεσοῦσαν.
Ἡ δὲ βίην ἀνένευσε καὶ ἡ τοπρόσθεν ἀρηγὼν
ἀνθ' ἑνὸς Ἀργείοισιν ἐχώσατο πᾶσιν Ἀθήνη.
Αἰνείαν δ' ἔκλεψε καὶ Ἀγχίσην Ἀφροδίτη
οἰκτείρουσα γέροντα καὶ υἱέα, τῆλε δὲ πάτρης
Αὐσονίην ἀπένασσε· θεῶν δ' ἐτελείετο βουλή,
Ζηνὸς ἐπαινήσαντος, ἵνα κράτος ἄφθιτον εἴη
παισὶ καὶ υἱωνοῖσιν ἀρηϊφίλης Ἀφροδίτης.
Τέκνα δὲ καὶ γενεὴν Ἀντήνορος ἀντιθέοιο
Ἀτρείδης ἐφύλαξε, φιλοξείνοιο γέροντος
μειλιχίης προτέρης τίνων χάριν ἠδὲ τραπέζης
κείνης, ᾗ μιν ἔδεκτο γυνὴ πρηεῖα Θεανώ.
Δειλὴ Λαοδίκη, σὲ δὲ πατρίδος ἐγγύθι γαίης
γαῖα περιπτύξασα κεχηνότι δέξατο κόλπῳ·
οὐδέ σε Θησείδης Ἀκάμας, οὐδ' ἄλλος Ἀχαιῶν
ἤγαγε ληϊδίην· ἔθανες δ' ἅμα πατρίδι γαίῃ.
Πᾶσαν δ' οὐκ ἂν ἔγωγε μόθου χύσιν ἀείσαιμι
κρινάμενος τὰ ἕκαστα καὶ ἄλγεα νυκτὸς ἐκείνης·
Μουσάων ὅδε μόχθος· ἐγὼ δ' ἅπερ ἵππον ἐλάσσω
τέρματος ἀμφιέλισσαν ἐπιψαύουσαν ἀοιδήν.
Ἄρτι γὰρ ἀντολίηθεν ἀπόσσυτος ὠκεανοῖο
ἠρέμα λευκαίνουσα κατέγραφεν ἠέρα πολλήν,
νύκτα διαρρήξασα μιαιφόνον, ἱππότις Ἠώς·
οἱ δ' ἐπαγαλλόμενοι πολέμου ὑπεραυχέϊ νίκῃ
πάντοσε παπταίνεσκον ἀνὰ πτόλιν, εἴ τινες ἄλλοι
κευθόμενοι φεύγουσι φόνου πανδήμιον ἄτην.
Ἀλλ' οἱ μὲν δέδμηντο λίνῳ θανάτοιο πανάγρῳ,
ἰχθύες ὡς ἁλίῃσιν ἐνὶ ψαμάθοισι χυθέντες.
Ἀργεῖοι δ' ἀπὸ μὲν μεγάρων νεοτευχέα κόσμον
ἐξέφερον, νηῶν ἀναθήματα, πολλὰ δ' ἐρήμων
ἥρπαζον θαλάμων κειμήλια· σὺν δὲ γυναῖκας
ληϊδίας σὺν παισὶν ἄγον ποτὶ νῆας ἀνάγκῃ.
Τείχεσι δὲ πτολίπορθον ἐπὶ φλόγα θωρήξαντες
ἔργα Ποσειδάωνος ἴῃ συνέχευον ἀϋτμῇ.
Αὐτοῦ καὶ μέγα σῆμα φίλοις ἀστοῖσιν ἐτύχθη
Ἴλιος αἰθαλόεσσα· πυρὸς δ' ὀλεσίπτολιν ἄτην
Ξάνθος ἰδὼν ἔκλαυσε γόων ἁλιμυρέϊ πηγῇ,
Ἡφαίστῳ δ' ὑπόειξεν ἀτυζόμενος χόλον Ἥρης.
Οἱ δὲ Πολυξείνης ἐπιτύμβιον αἷμα χέαντες * * *
μῆνιν ἱλασάμενοι τεθνειότος Αἰακίδαο.
Τρωϊάδας δὲ γυναῖκας ἐλάγχανον, ἄλλα τε πάντα
χρυσὸν ἐμοιρήσαντο καὶ ἄργυρον· οἷσι βαθείας
νῆας ἐπαχθήσαντες ἐριγδούπου διὰ πόντου
ἐκ Τροίης ἀνάγοντο μόθον τελέσαντες Ἀχαιοί.

postea, quando ipsum, divini hostem templi,
Delphicus vir percussum sacro interfecit cultro
Præcipitatum vero altis de turribus,
manus Ulyssis miserum missile, conspicata
Andromache parvum plorabat Astyanacta.
Cassandram vero stupravit Oilei velox Ajax,
Palladis castæ deæ ad genua prostratam.
Illa autem vim repudiavit et, quæ antea opitulata-erat,
propter unum Græcis succensuit omnibus Minerva.
Cæterum Æneam clam-sustulit et Anchisen Venus
miserata senem et filium, procul vero a patria
Italiam habitare-fecit ac deorum *sic* perficiebatur decretum,
Jove approbante, ut imperium æternum esset
filiis et nepotibus Martiæ Veneris.
Liberos vero et familiam Antenoris divini
Atrides servavit, hospitalis senis
humanitatis prioris referens gratiam et mensæ
illius, qua ipsum excepit uxor blanda Theano.
Misera Laodice, te vero patriam prope urbem
terra complexata hiante suscepit sinu;
neque te Thesides Acamas, neque alius Græcorum
abduxit captivam, sed mortua-es cum patria terra.
Omnem vero non ego belli torrentem cecinerim
explicans singula et dolores noctis illius:
Musarum is labor *est*: ego autem ut equum impellam
metam contingentem volubilem cantum.
Jam igitur ab-oriente proruens ex-Oceano
paulatim albescens descripsit aeris multum,
nocte dissipata cruenta, equestris Aurora:
illi (*Græci*) vero exultantes belli gloriosa victoria
undique circumspiciebant per urbem, si qui alii
latentes fugerent cædis popularem calamitatem.
Sed illi quidem vincti-fuerant laqueo mortis universali,
quemadmodum pisces marinis in littoribus fusi.
Græci autem ex ædibus recentem ornatum
efferebant, templorum donaria, multasque ex desertis
rapiebant ædibus res-pretiosas. Simul etiam mulieres
captivas cum liberis ducebant ad naves violenter.
Contra mœnia vero vastatricem flammam armantes
opera Neptuni una confuderunt flamma.
Ibi etiam magnum sepulcrum dilectis civibus facta-est
Troja incensa. Ignis vero vastatricem noxam
Xanthus intuitus flevit lacrimarum salso fonte,
Vulcanoque cessit veritus iram Junonis.
Ipsi vero (*Græci*) Polyxenes ad-sepulcrum (*Achillis*) sanguinem fundentes * * *] iram placantes mortui Æacidæ.
Trojanas porro mulieres sortiebantur, aliaque omnia,
aurum diviserunt et argentum, quibus profundas
naves cum-onerassent, gravisonum per mare
e Troja solvebant bello finito Achivi.

INDEX

NOMINUM ET RERUM.

A.

Δ.

E.

Z.

H.

Θ.

I.

K.

Λ.

M.

N.

Ξ.

Ο.

Π.

Ρ.

Σ.

Τ.

Φ.

ΙΟΑΝΝΟΥ
ΤΟΥ ΤΖΕΤΖΟΥ
ΤΑ ΠΡΟ ΟΜΗΡΟΥ
ΤΑ ΟΜΗΡΟΥ
ΚΑΙ ΤΑ ΜΕΘ' ΟΜΗΡΟΝ.

JOANNIS TZETZÆ
ANTEHOMERICA, HOMERICA, POSTHOMERICA.

ΙΩΑΝΝΟΥ
ΤΟΥ ΤΖΕΤΖΟΥ
ΤΑ ΠΡΟ ΟΜΗΡΟΥ
ΤΑ ΚΑΘ ΟΜΗΡΟΝ
ΚΑΙ
ΤΑ ΜΕΘ ΟΜΗΡΟΝ.

ΤΑ ΠΡΟ ΟΜΗΡΟΥ.

Ἀργαλέου πολέμοιο μέγαν κλόνον Ἰλιακοῖο·
ἔννεπε, Καλλιόπεια, ὑφ' ἡμετέρῃσιν ἀοιδαῖς,
ἀρχῆθε δ' ἐπάειδε καὶ ἐς τέλος ἐξερέεινε,
ἐξ ὅτεο Πρίαμος λοιγὸν Τρώεσσι φυτεύει
Δύσπαριν οὐλόμενον, ἀρχὴν πολέμοιο κακοῖο,
τὸν νόος οὐκ ἐρέεινεν Ὁμήρου κυδαλίμοιο.
Ἔννεπε δ' Ἀργείης Ἑλένης ἐρόεσσαν ὀπωπήν,
πῶς τέ μιν ἦγεν Ἀλέξανδρος Σπάρτηθεν Τροίην.
Ἔννεπε δὲ πλόον Ἑλλήνων καὶ νῆας ἁπάσας·
εἰπὲ δὲ Πηλείδαο κότον καὶ ὄλεθρον Ἀχαιῶν,
Σαρπήδοντος Πατρόκλου τε καὶ Ἕκτορος οἶτον·
εἰπὲ δὲ Πενθεσίλειαν, κούρην ἀντιάνειραν.
Ἔννεπε δ' Αἰθιόπων στρατὸν, υἱέα τ' Ἠριγενείης.
Φράζεο δ' Αἰακίδαο πότμον δακρυόεντα·
Εὐρύπυλόν τε ἄειδε καὶ υἱέα Αἰακίδαο·
μαντείας θ' Ἑλένου, καὶ Ἀλεξάνδροιο φονῆα.
Εἰπὲ δὲ καὶ πτολίπορθον Ἐπειοῦ δούριον ἵππον,
εἰσόκεν ἠίστωσε πελώρια τείχεα Τροίης.
Ταῦτά μοι εὐπατέρεια, Διὸς τέκος, ἔννεπε Μοῦσα.
Ἤτοι μὲν Τροίη πολέμοις πρότερον μογέεσκε.
Πέρσε γὰρ αὐτὴν Ἡρακλέος μένος ἀγριοθύμου·
δουρὶ δ' αὖ αἱ Σκυθόμητρες ἐπέδραμον εἶτα γυναῖκες,
θυγατέρες Ἄρηος, Ἀμαζόνες ἀγκυλότοξοι.
Αὐτὰρ ἐπεὶ παύσαντο χερῶν ἀγέρωχοι ἐρωαὶ
ἄρεας αἱματόεντας ἐπ' ἀλλήλοις προφέρουσαι,
Τρῶες ἀναπνεύσαντες ἀπὸ πτολέμου κρυεροῖο
γαίης ἔργα νέμοντο παρ' εἰρήνῃ κομόωντες.
Οὐδ' ἄρα μὴν τάδε Μοίραις ἥνδανε χαλκεομίτοις·
ἀλλὰ γὰρ αὖτις μέρμερα Τρώεσι μητιόωντο.
Τόφρα γὰρ οὖν τέρποντο παρ' εἰρήνῃ κομόωντες,
εἰσόκεν οὔνομα λυγρὸν ἀπ' αὐτόφιν ἔπλετο Πάρις.
Αὐτὰρ ἐπεὶ Μοῖραι στιβαροὺς κλώσαντο ἀτράκτους,
τοὶ γαῖαν κλονέουσι καὶ οὐρανὸν ἠδὲ θάλασσαν,
εἶξαν δ' ἀτράκτοισι θεοὶ μεδέοντες Ὀλύμπου,
Φαίνων ἠδὲ Ζὴν καὶ Ἄρης καὶ Φοῖβος Ἀπόλλων,
Ἀφροδίτη Ἑρμῆς τε καὶ Ἄρτεμις ἀγλαόμορφος,
ἠδ' ἄλλοι δυοκαίδεκα, τρίς τε δέκα καὶ ὀκτὼ,
καὶ τότε δὴ Τρώεσσιν ἐτεύχετο πήματος ἀρχή·

IOANNIS
TZETZÆ
ANTEHOMERICA
HOMERICA
ET
POSTHOMERICA.

ANTEHOMERICA.

Gravis belli magnum tumultum Iliaci
dic, Calliope, nostris cantibus,
ab initio autem cane et usque-ad finem expone,
ex quo Priamus pestem Trojanis seminaverit
infelicem-Paridem exitiosum, auctorem belli mali,
quem sapientia non exposuit Homeri illustris.
Dic etiam Argivæ Helenæ amabilem vultum,
ac quomodo ipsam duxerit Alexander Sparta Trojam.
Dic porro navigationem Græcorum et naves omnes;
dic deinceps Pelidæ iram et stragem Achæum,
Sarpedonis Patroclique et Hectoris mortem;
dic etiam Penthesileam, virginem viro-similem.
Dic porro Æthiopum exercitum, filiumque Auroræ.
Memora dein Æacidæ fatum lacrimosum;
Eurypylumque cane et filium Æacidæ,
vaticiniaque Heleni et Alexandri interfectorem.
Dic vero etiam urbis-vastatorem Epei ligneum equum,
donec extinxerit ingentia mœnia Trojæ.
Hæc mihi bono-patre-nata, Jovis filia, dic Musa.
Profecto quidem Troja bellis prius laborabat.
Expugnavit enim ipsam Herculis robur ferocis;
hasta vero etiam Scytharum-matres incursarunt postea
mulieres,] filiæ Martis, Amazones curvis-arcubus.
At postquam desierunt manuum violenti impetus
bella cruenta sibi-invicem inferre,
Troes respirantes a bello horrido
terræ opera colebant in pace læti.
Neque tamen hæc Parcis placebant ære-cinctis;
alia enim denuo tristia Troibus meditabantur.
Usque igitur oblectabantur in pace læti,
donec nomen funestum inter ipsos existeret Paridis.
At cum Parcæ validos versarent fusos,
qui terram agitant et cœlum ac mare,
cederentque fusis dii præsides Olympi,
Saturnus ac Juppiter et Mars et Phœbus Apollo,
Venus Mercuriusque et Diana splendida-forma,
atque alii duodecim, terque deni et octo,
tunc itaque Troibus fiebat calamitatis initium;

αὐτίκα γὰρ Πριάμῳ βασιλῆϊ κύεσκεν Ἑκάβη.
Πρῶτα δὲ τὴν στροβέεσκον ὄνειροι ἠερόφοιτοι·
γρυνὸν γὰρ πυρόεντα τεκεῖν δοκέεσκεν ὀνείροις,
ὃς πρῆσε Τροίην τε καὶ ἄστεα Τρώϊα πάντα.
Μάντεις δ' αὖ τὸν ὄνειρον ὑπεκρίνοντο λέγοντες·
Γαστέρι παῖδα φέρεις, Ἑκάβη, Τρώεσσιν ὄλεθρον.
Ὣς ἄρα μάντιες ἀτρεκέως τόθ' ὑπεκρίνοντο.
Αὐτὰρ ἐπεὶ τέκε Τρωσὶν Ἑκάβη δύσγονον υἷα,
οὔνομα τῷδε Πάριν θέτο, τὸν μὴ ὄφελλε τεκέσθαι.
Αὐτὰρ ἄρα Πρίαμος παιδὸς γενέθλην ὑποτρείων,
ἤλυθε χρησόμενος παρὰ βωμοῖς Ἠελίοιο·
ἦν δέ τις ἐν Τρώεσσιν Ἀπόλλων, μάντις ἀμύμων,
νηῷ ἐν ἠγαθέῳ φαεσιμβρότου Ἠελίοιο,
ὃς χρησμοῖσι τάδε προέειπεν μαντοσύναις τε·
Φράζεο, Τρώων ὄρχαμε, Φοίβου μῦθον ἐμοῖο·
ἀρτιτόκοιο λοχεύματος ἐκ Πάριδος, σέο παιδὸς,
ἄστυ τόδε Τροίης πολύμοχθος Ἄρης ἐκπέρσει,
εἴ κεν ὁ παῖς λυκάβαντας ὑπερθορέῃ τριάκοντα.
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε βίη Πριάμοιο ἄνακτος,
ἔκθετο μὲν τὸν παῖδα παρ' ἀγροῖς οἷσι τρέφεσθαι,
δείματο δ' αὖ Πάριον τιμῇ Πάριδος, ἕο παιδός.
Κεῖσε δ' ὁ παῖς ἀτίταλλε, διδασκόμενος περὶ πάντων,
ὅσσα γόνοις ἐπέοικεν ἐϋγενέων βασιλήων.
Ῥήτωρ δ' αὖ γεγαὼς συγγράμματα γράψατο πολλά,
εἶν ἑνὶ δ' αὖτε θεὰν ἐπιθυμίην, Ἀφροδίτην,
κρίνων, Παλλάδος ἠδ' Ἥρης γε ὑπέρτερα δῶκεν.
Αὐτὰρ ἐμοὶ δοκέει τόδε λώϊον ἔμμεναι ἄλλο,
ὥς ῥα σοφὸς τελέων περὶ κόσμου γράψε γενέθλης,
ἐκ Χάεος Ἐρέβους τε ὅπως πρώτιστα φάανθεν
Πηλεὺς, γαῖα φερέσβιος, ἠδὲ Θέτις γε, θάλασσα,
ἐν δ' Ἥρη πυρόεσσα, καὶ ἠέρος εὖρος, Ἀθήνη·
σὺν δ' ἄρα τῆς ἐπέην φιλίη, χρυσῆ Ἀφροδίτη.
Νεῖκος δ' αὖτ', Ἔρις, ἔνθετο μῆλον, κόσμον, ἄεθλον.
Τὰς δ' ἄρα μὴν νικήσασα φιλίη, Ἀφροδίτη,
εἵλετο κόσμον ἅπαντα καὶ ἔμπεδον εἰσέτι ἴσχει·
τοὔνεκα μυθεύσαντο γάμους καὶ ἔριν δὲ θεάων.
Τοῖα μὲν υἱὸς ὅδε Πριάμου Παρίῳ ῥέζεσκεν.
Αὐτὰρ ἐπεὶ τριάκοντα παρέδραμόν οἱ λυκάβαντες,
αὐτίκ' ἄρα Πρίαμος καὶ Τρώων ἄσπετα φῦλα
ἐκ Παρίου μολπῇσιν ἀγίνεον ἐς Τροίην Πάριν,
ἄφρονες, οὐδ' ἐνόησαν ἑὸν φθόρον ἐγχονέοντες.
Ξανθικὸς ἦεν μεὶς, ὅτ' ἀγίνεον αὐτὸν ἐς ἄστυ,
Ξανθικὸς, ὃν Ἀπρίλλιον Ἕλληνες καλέουσιν·
εἰκοστῷ καὶ δευτέρῳ ἤματι τοῖο δὲ ἤχθη.
Τέρπετο δ' αὖ τοκέεσσι κασιγνήτοις τ' ἐνὶ Τροίῃ,
ῥέζων πατρῴοισι θεοῖς κλειτὰς ἑκατόμβας,
ἑπτάσιν ὀκταπόροις καλλιχρόου Ἠριγενείης.
Εὖτ' ἂν δ' ἕβδομον ἦμαρ ἔην πεντηκοστόν τε,
ὀγδοάτῃ δεκάτῃ τε Δεσίου Ἰουνίοιο,
καὶ τότε μιν προέηκε πατὴρ ἐπὶ Ἄργεος ἄστυ,
ῥέξαι νηῷ Ἀπόλλωνος λυγρῶν ἀπερωήν.
Δῶκε δέ οἱ ἀνέρας ἑκατὸν καὶ κάλλιμα δῶρα,
δῶκε δὲ γράμματ' ἄγειν Ἀργείων ἐν βασιλεῦσιν,
ὄφρα γένοιτο φίλος καὶ ἐκτελέσοι ἑκατόμβας.

statim enim a-Priamo rege gravida-facta-est Hecuba.
Primum vero eam exagitarunt somnia in-tenebris-vagantia;
titionem enim igneum parere sibi-visa-est per-somnia,
qui combureret Trojam atque oppida Trojana omnia.
Vates autem somnium interpretati-sunt dicentes :
In-utero puerum fers, Hecuba, Trojanis pestem.
Ita igitur vates vere tunc interpretati-sunt.
At postquam peperit Trojanis Hecuba funestum filium,
nomen huic Paridis indidit, quem satius-fuisset non nasci.
Interim Priamus pueri naturam tremens
abiit deliberatum ad aras Solis.
Erat autem quidam inter Troes Apollo, vates egregius,
templo in sacro homines-illustrantis Solis,
qui oraculis hæcce prolocutus-est vaticiniisque :
Attende, Troum princeps, Phœbi orationem mei;
recens-natum per partum, Paridem, tuum filium,
urbem hanc Trojæ laboriosus Mars excidet,
si quidem puer annos excesserit triginta.
At postquam hoc audivit vis Priami regis,
exposuit puerum in agris suis educandum,
ædificavitque Parium in-honorem Paridis, sui filii.
Ibi igitur puer adolevit, eruditus in omnibus,
quæcunque liberos decent nobilium regum.
Rhetor autem factus scripta literis-mandavit multa,
in uno vero etiam deam cupidinem *esse*, Venerem,
judicans, de-Pallade ac Junone palmam *illi* dedit.
At mihi videtur hocce satius esse alterum,
quod, philosophus cum-esset, de mundi scripserit origine,
e Chao Ereboque quomodo primum extiterint
Peleus, terra vivifica, ac Thetis, mare,
inibique Juno ignea, et aeris spatium, Minerva.
Cumque his aderat amor, aurea Venus.
Jurgium autem, Eris, imposuit malum, mundum, certamen.
Illis tamen victis amor, Venus,
occupavit mundum universum et firmiter adhuc tenet.
Ideo finxerunt nuptias et contentionem dearum.
Talia igitur filius ille Priami Parii fecit.
At postquam triginta prætercurrerunt ipsi anni,
statim Priamus et Troum innumeræ gentes
Pario cantibus duxerunt Trojam Paridem,
insani, neque intelligebant suum exitium se-adducere.
Xanthicus erat mensis, quando ducebant eum in urbem,
Xanthicus, quem Aprilem Græci vocant;
vigesimo (ac) secundo die illius *mensis* adductus-est.
Oblectabatur autem parentibus ac fratribus Troja,
immolans paternis diis inclytas hecatombas,
hebdomadis octies-revertentibus formosæ Auroræ.
Cum vero septimus dies esset et quinquagesimus,
octavo et decimo *die* Desii Iunii,
tunc ipsum misit pater ad Argorum urbem,
ut-sacris-efficeret in-templo Apollinis malorum remotionem.
Dedit igitur ei viros centum et pulcra dona,
deditque literas ferendas Argivorum ad reges,
ut esset amicus et perficeret hecatombas.

Δείδιε γὰρ αἰών, Γανυμήδης οἷα πεπόνθει
Ταντάλου ὕπο ἄνακτος, εὐγενέος βασιλῆος·
τοὔνεκα τὸν προέηκε σὺν ἀνδράσι, γράμμασι, δώροις.
Αὐτὰρ ὅ γ' ἁλμυρὸν ὕδωρ πλεύσας Ἐννοσιγαίου,
ἐς Σπάρτην ἐπαγαλλόμενος Διὸς ἤλυθεν οὔροις,
δέκτο δ' ἐπ' Ἀτρείδαο δόμοις ξανθοῦ Μενελάου.
Ὃς Μενέλαος τοῖο δεδεγμένος ἀγλαὰ δῶρα
ἔπλεεν ἐς Κρήτην, Διὶ εἷο προπάτορι ῥέξων,
Ἀστερίῳ, βασιλῆϊ Κρητάων περ ἐόντι.
Οἱ πρὶν γάρ τε Δίας πάντας κάλεον βασιλῆας,
οὕνεκά μιν καλὸς Διὸς ἀστὴρ σκῆπτρον ὀπάζει,
ἔξοχα δ' αὖ μοίρῃσι παραὶ Νεμέοιο λέοντος,
ἐν πέμπτῃ δὲ μάλιστα· τὸ γὰρ βασιλεύτατον ἄλλων,
ἠελίοιο Ζῆνα παρ' ἀκτίνεσσι φαείνειν.
Ἦτοι ὅ γ' ἐς Κρήτην πλέεν εἷο προπάτορι ῥέξων,
δώμασιν οἷσι δ' ἔλειπεν Ἀλέξανδρον σὺν ἑταίροις,
ὅς δή τοι ἐπὶ δείελα ἰδὼν τοῖο δάμαρτα
δουλίσιν ἀμφιπόλοισι κατερχομένην περὶ κῆπον,
κάλλεϊ ἱμερόεντι περιπρεπέϊ γανόωσαν,
ἐρώτων βελέεσσι πυριφλεγέεσσιν ἐπλήγη.
Οὐδὲ μὲν οὐκ ἀντέπληξε, πλῆξε δὲ καὶ αὐτήν·
ἀμφοτέροις ἐρατὸν γὰρ ἐπ' εἴδεϊ κάλλος ἔκειτο.
Ἡ γὰρ ἔην λευκή, τερενόχροος, εὔοφρυς, εὔριν,
λευκῷ δηριόωσα καὶ ἀργεννῇς χιόνεσσιν,
στήθεα δ' ἱμερόεντα καὶ ἀγλαὸν εἶδος ἔχουσα,
ὑγρῶπις, μελίγηρυς, εὔχαρις ἠδὲ βοῶπις,
θριξὶν ἑλισσομένῃσι χρυσοχρόοις κομόωσα,
εὔστολος ἠδὲ τελείη, πάντα φέρουσα τέλεια.
Τόσσον δ' αὖ προφέρεσκε γυναικῶν κάλλεϊ πασῶν,
ἀστράσιν ἐννυχίοισιν ὅσον προφέρῃσι σελήνη.
Ἥβης δ' αὖ χρόνον εἶχεν ἐείκοστόν τε καὶ ἕκτον.
Τοῖα μὲν ἦεν κάλλεϊ κούρη Τυνδαρεώνη.
Αὐτὸς δ' αὖτε Πάρις Χαρίτων ἄπο κάλλος ἔχεσκε·
λευκὸς ἔην, εὐῆλιξ, εὔχαρις, ἠϋγένειος,
θριξὶν ἑλιχρύσοισι καρηκομόων περὶ πάντας.
Τοῖος ἐὼν τοίης ἐράσατο, πόθει δὲ καὶ αὐτή.
Αὐτὰρ ἐπεὶ σήμηναν ἐπ' ἀλλήλοισιν ἔρωτα
Αἴθρης ἐννεσίῃσι καὶ ἄλλων θηλυτεράων,
νηῒ ἐνιθέμενοι δμωὰς κόσμον τ' ἐρατεινόν,
ἠδ' αὐτὴν Αἴθρην δολόεσσαν, πρὸς δὲ καὶ αὐτούς,
φεῦγον ἐπ' ἀτρυγέτοιο θαλάσσης Τύριον οἶδμα,
δειδιότες περάαν πλόον, ὃν Τροίηθεν ἐπέπλων.
Αὐτίκα δ' ἐς Κρήτην Μενελάου οἰκέες ἦλθον,
ἀγγελίην ἐρέοντες· ὁ δ' ἔπλεεν ὦκα μάλιστα
εὐρυπόρου Σεισίχθονος οἴδματα πάντα ματεύων.
Πολλὰ δ' ἀπρὴξ μογέεσκε, μάτην ἀκίχητα διώκων.
Κεῖνοι γάρ τε μέγα πέλαγος Τύριον περόωντες
ἄστυ Τρώϊον εἶδον, ὅλον λυκάβαντα μογεῦντες.
Τρωϊάδες δ' Ἑλένην ἰδὲ Τρῶες πάντες ἰδόντες
θάμβεον, ὡς μάρμαιρεν ἀριπρεπέεσσιν ὀπωπαῖς.
Τὴν δ' Ἑκάβη φιλέεσκε καὶ ἐν μεγάροισιν ἐτίμα.
Ὡς πολέες φάσκουσιν Ἀλέξανδρον βασιλῆα
ἐλθέμεν ἐς Σπάρτην, ἀπό γε Τροίηθε κίοντα,
ὡς δ' Ἑλένην ἐκ Σπάρτης ἐς Τροίηνδε κομίσαι.

Timuit enim cognito, quæ Ganymedes passus-esset
a Tantalo rege, generoso principe;
ideo illum misit cum viris, literis, donis.
At is salsam aquam trajectus Neptuni,
Spartam lætatus Jovis venit ventis-secundis,
ac receptus-est in Atridæ ædibus flavi Menelai.
Qui Menelaus, ejus acceptis splendidis donis,
navigavit in Cretam, Jovi suo atavo sacra-facturus,
Asterio, rex Cretæ qui-fuerat.
Veteres enim Joves omnes vocabant reges,
quia ipsis pulcra Jovis stella sceptrum præbet,
imprimis vero in gradibus Nemeæi leonis,
in quinto autem maxime: id enim maxime-regium ante
-omnia,] solis Jovem prope radios apparere.
Itaque ille in Cretam navigavit, suo atavo sacra-facturus,
in-ædibus autem suis reliquit Alexandrum cum sociis,
qui sub vesperam videns illius uxorem
ad-servas ancillas descendentem in hortum,
pulcritudine amabili ac decora splendentem,
amorum telis ardentibus percussus-est.
Neque sane repercussit, percussitque et ipsam;
utrique enim amabilis in specie pulcritudo insidebat.
Illa enim erat candida, tenera-cute, pulcris-superciliis, pul-
cro-naso,] cum-albo-colore certans et candidis nivibus,
pectoraque amabilia et splendidam speciem habens,
oculis-ebriis, dulciloqua, gratiosissima atque oculis-magnis,
capillis volutis auricoloribus comata,
pulcre-ornata ac perfecta, omnia gestans perfecta.
Tantum vero superabat mulieres pulcritudine omnes,
stellas nocturnas quantum superat luna.
Juventutis autem annum habuit vigesimum (et) sextum.
Talis quidem erat pulcritudine puella Tyndaris.
Ipse autem Paris a Gratiis pulcritudinem habebat:
candidus erat, pulcra-statura, gratiosus, pulcra-barba,
capillis volutis-auricoloribus comatus præ-omnibus.
Talis quum-esset talem amabat, ardebatque et ipsa.
At postquam indicarunt sibi-invicem amorem
Æthræ nuntiis atque aliarum feminarum,
navi impositis ancillis ornamentoque grato,
atque ipsa Æthra dolosa, et insuper se-ipsis,
effugerunt per sterilis maris Tyriam undam,
metuentes trajicere viam, qua Troja navigarant.
Statim vero in Cretam Menelai domestici venerunt,
nuntium communicantes; is autem navigavit quam celer-
rime] vasti Neptuni maria omnia investigans.
Multaque infecta-re perpessus-est, frustra non-assequenda
persequens.] Illi enim magno pelago Tyrio trajecto
urbem Trojanam conspexerunt, toto anno laboribus-trans-
acto.] Troades autem Helenam ac Troes cuncti videntes
stupebant, quam splenderet decora facie.
Eamque Hecuba amice-recepit et in ædibus honorabat.
Sic multi dicunt Alexandrum regem
venisse Spartam, Troja quidem profectum,
et sic Helenam Sparta Trojam duxisse.

Ἄλλοι δ' ἄλλ' ἐρέουσιν, ὅσα φίλον ἔπλετο θυμῷ,
οὐδ' Ἑλένην φάσκουσι μετὰ Τρώεσσι παρεῖναι,
ἀλλ' ἄρα Πρωτῆος ποτὶ δῶμα στρωφάασθαι,
αὔτως δὲ στρατὸν Ἀργείων Τρώεσσι μάχεσθαι.
Ὣς ἄρα πολλοὶ πλάζονθ' ἱστορίην στροβέοντες·
αὐτὰρ ἐγὼν ἐρέεινα πανατρεκέως ἀγορεύων,
ὥς κεν ἕκαστα γένοντο. Τὰ δ' ἄλλ' ἀνεμώλια πάντα.
Ἀργεῖοι δ' Ἑλένην παρέμεν Τρώεσσι μαθόντες
Ἀτρείδην Μενέλαον, Ὀδυσσέα καὶ Παλαμήδην,
Θησείδην τ' Ἀκάμαντα καὶ Διομήδεα δῖον
πρέσβεις Τρωσὶν ἔπεμπον, ἀπῄτεον ἄρ τε γυναῖκα.
Καί νύ κεν Ἀντιμάχοιο κακόφρονος ἔκταθεν ἔργοις
Ἀργείων οἱ ἄριστοι πρεσβείης ἀλεγεινῆς,
χρυσὸν Ἀλεξάνδροιο δεδεγμένου εἵνεκα τοῖο·
ἀλλ' Ἀντήνωρ ξείνισεν ἐκ θανάτοιο σαώσας.
Ὧ ποτὲ περθομένης Τροίης ἀπέδωκαν ἀμοιβάς·
πάντα γάρ οἱ ἐσάωσαν, δῶκάν τ' ὄλβια δῶρα.
Τῆμος δ' Ἀντιμάχοιο ἀτάσθαλα ἔργα φυγόντες
Ἀργείοις ἐρέεινον, ὅσα πάθον ἄλγεα Τροίῃ.
Καὶ τότε δὴ στρατὸς ἐξ ἠπείρων ἠδ' ἀπὸ νήσων
εἰς ἓν ἀολλίζοντο κατὰ Τρώων ὀρέοντες.
Οἷς δέκα δὴ λυκάβαντες ἀγειρομένοις παρέδραμον,
ἐξ οὗ ἔβη ποτὶ Τροίην κούρη Τυνδαρεώνη.
Καὶ τότ' ἐπεσσυμένως ἐς νῆας ἔβαινον Ἀχαιοί·
δέδμηντο γὰρ ἅπαντες Τυνδαρέοιο ἐν ὅρκοις.
Αὐλίδα δ' εἰς ἔπλεον, κακὰ Τρωσὶν μητιόωντες.
Οὐδὲ μὲν οὐδ' Ἀχιλῆος κυδαλίμοιο λάθοντο,
ἀρτιγάμου ἔτ' ἐόντος ἑῆς ἀλόχου μεγάροισιν,
ἐς Σκῦρον, Δολόπων νῆσον, Λυκομήδεος ἄστυ· —
τοὔνεκα μυθεύονται πέπλους θηλυτεράων· —
ἀλλ' ἄρ' Ὀδυσσέα, Νέστορα καὶ Παλαμήδεα δῖον
ἐς Πηλῆα Θέτιν τε καὶ ἐς Χείρωνα ἔπεμπον,
ὃς σοφίῃ ἐκέκαστο καὶ ἐν μερόπεσσι θεοῦτο,
ὃς καὶ Ἀχιλλῆος μόρον ᾗ ἐπέφραδε θυγατρί.
Ὃν τότε λισσάμενοι οὗτοι, πρέσβηες ἀγαυοί,
κῆρ Ἀχιλῆος ἄγουσι παρ' Ἀτρείδαις καὶ Ἀχαιοῖς,
πεντήκοντα νέας σὺν Μυρμιδόνεσσι φορεῦντα·
πεντήκοντα δ' ἔβαινον ἐπ' ἄνδρες νηὶ ἑκάστῃ.
Πὰρ δέ γε Πάτροκλος ἦεν Ἀμυντορίδης τε ὁ Φοῖνιξ,
ἤτοι ὁ λαοῦ, ὁ δ' αὖτ' Ἀχιλῆος μύθῳ ἀνάσσων.
Τοὺς δὲ ἰδόντες γήθεον Ἀργεῖοι Παναχαιοί,
τερπόμενοι λαοῖσι καὶ ἡγεμόσι πινυτοῖσι,
κάλλεϊ καὶ ἔργοις τε ἀελλοδρόμου Ἀχιλῆος·
ἔργοις γὰρ καὶ κάλλεϊ ποσσί θ' ὑπείρεχε πάντων·
Αὐτὰρ ἐπεὶ Παναχαιοὶ ἐς Αὐλίδα ἠγερέθοντο,
νηυσὶν ἐν ὀγδώκοντα καὶ ἓξ χιλίαις ἑκατόν τε,
χειμερίοις ἀνέμοισι παραυτόθι εἰρύκοντο.
Καὶ τότ' ἐς Ἄργος Ὀδυσσεὺς δώμασι Κλυταιμνήστρας
ἐλθὼν ἐξαπάτησε καὶ ἤγαγεν Ἰφιγένειαν,
Ἀρτέμιδι θύσων μαντείαις Θεστορίδαο.
Ὣς δέ μιν εἶδε πατὴρ Ἀγαμέμνων, δάκρυα χεῦε.
Καὶ τότ' ἀπ' ἐκσπεδίτοιο ἐφημίξαντο ἄνακτα,
οὕνεκα ταύτην εἷο θύγατρα ἔρεζον Ἀχαιοί.
Τὴν ἔλαφος ῥύσασκεν, ἔθηκέ τε χώρῃ ἐκείνῃ

Alii vero alia narrant, quæcunque grata erant animo,
neque Helenam dicunt inter Troes fuisse,
sed Protei in domo versatam-esse,
frustraque exercitum Argivorum cum Troibus pugnasse.
Sic igitur multi fingunt, historiam convertentes;
at ego exposui verissime narrans,
quomodo singula fuerint. Reliqua vero vana *sunt* omnia.
Argivi itaque Helenam interesse Trojanis certiores-facti
Atriden Menelaum, Ulyssem et Palamedem,
Thesidenque Acamantem et Diomedem divum
legatos ad-Troes miserunt, ac reposcebant mulierem.
Et tunc Antimachi improbi interfecti-fuissent facinoribus
Argivorum principes legationis periculosæ,
Antimachi, qui-aurum Alexandri acceperat ad id:
sed Antenor *eos* hospitio-excepit e morte servatos.
Cui deinde devastata Troja retulerunt accepta;
omnibus enim ejus *bonis* parcebant, dabantque opulenta
munera.]Tunc autem Antimachi scelestis facinoribus elapsi
cum-Argivis communicarunt, quas passi-esset injurias Troja.
Et tunc jam exercitus e continentibus atque ex insulis
in unum congregabatur, contra Troes tendens.
Quibus decem jam anni se-congregantibus prætererant,
ex quo abiit (ad) Trojam puella Tyndaris.
Et tunc sine-mora naves conscenderunt Achæi;
obstricti-enim erant omnes Tyndari juramentis.
Aulidem vero navigabant, mala Trojanis meditantes.
Neque sane Achillis inclyti obliti-sunt,
recenti-matrimonio-juncti, adhuc versantis suæ uxoris in
-ædibus,] in Scyro, Dolopum insula, Lycomedis civitate:
(ideo fabulam-narrant-de peplis mulierum:)
sed Ulyssem, Nestorem et Palamedem divum
ad Peleum Thetidemque et ad Chironem miserunt,
qui sapientia eminebat et inter mortales ut-deus-honoratus
est,]qui etiam Achillis fatum suæ significavit filiæ.
Quo tunc precibus-moto illi, legati generosi,
cordatum Achillem ducunt ad Atridas et Achæos,
quinquaginta naves cum Myrmidonibus ducentem,
quinquaginta autem conscenderunt viri navem unam-
quamque.]Ac Patroclus intererat Amyntoridesque Phœnix,
ille quidem populo, hic vero Achilli sermone dominans.
Quos intuiti gaudebant Argivi e-tota-Græcia-conjuncti,
oblectati militibus et ducibus prudentibus,
pulcritudine etiam factisque velocissimi Achillis:
factis enim et pulcritudine pedibusque superabat omnes.
At postquam omnes-Argivi Aulide congregati-sunt,
navibus in octoginta et sexies millenis centumque,
hiemalibus ventis ibi detinebantur.
Et tunc in Argos Ulysses ad-ædes Clytæmnestræ
profectus decepit atque adduxit Iphigeniam,
Dianæ immolaturus secundum-vaticinia Thestoridæ.
Ut vero eam vidit pater Agamemnon, lacrimas fudit.
Et tunc *eum* expeditionis renunciarunt ducem,
quia hanc ejus filiam mactabant Achæi.
Hanc cerva servavit, constituitque loco illo

Ἀρτέμιδος ἱέρειαν ταυροπόλοιο, σελήνης·
ταύροις γάρ τε βόεσσι πολεύει γειαρότῃσι,
τὸν σπόρον αὐξάνουσα σεληναίῃς ὑγρότησι,
οὕνεκα καὶ κερόεσσα πέλει καὶ ἅμαξαν ἰθύνει.
Τῆς ἱέρειαν ἔθεντο Πανέλληνες τὴν κούρην,
τὴν δ' ἔλαφον ῥέζουσι παραΐξασαν ὁμίλῳ.
Καὶ τότ' ἄρ' ὑγροπνόους ἀνέμους ἐφέηκε Σελήνη
Ζηνὸς φραδμοσύνῃσιν ἐν, οὐρανοῦ ἀστερόεντος,
οὔρια φυσιόωντας, ἐπὶ Τροίην ἀνάγοντας.
Ἀργεῖοι δ' ἀνάγοντο καὶ ἐς Τροίην ἐπέπλωον,
ἐκ πλατάνου μεμαθηκότες ἠδὲ δράκοντος ἅπαντα.
Τρωσὶ δ' ἄρ' Ἶρις ἔφαινεν Ἄρηος σῆμα κακοῖο,
οὐρανόθεν πυκινῶς φαεινομένη πολύχροιος·
σῆμα γὰρ ἥ γε τέτυκται χείματος ἠὲ ἄρηος,
ἀστράσιν οὐρανίοις ἐριλαμπέσιν ἶσα, κομήταις.
Τρῶες δ' ὡς ἐνόησαν, φύλακας εἶσαν ἁπάντῃ·
ἀλλ' ὅτε δὴ πέλας Ἀργείων νέες ἦσαν ἐκείνων,
κοσμηθέντες ἄρα Τρῶες περὶ σῆμα Μυρίνης,
τεύχεσι λαμπόμενοι, παρὰ ῥηγμῖνα κατέβαινον,
στησάμενοί τ' ἐμάχοντο, νέας δ' ἀπόεργον Ἀχαιῶν.
Δηρὸν δ' ὡς ἐμάχοντο ἐτώσια ἐν δέει ὄσσης,
πρῶτος Πρωτεσίλαος ἀρήϊος ἔκθορε πλοίου.
Τοῦ δέ τοι εἶδος ἀγητὸν, ἐπ' εἴδεϊ κάρτος ἔκειτο·
ξανθοκόμης ἦν, μακρὸς, ἑλίθριξ ἠδὲ γλαγόχροος,
τολμήεις, εὐσχήμων, εὔθετος, ἀρτιγένειος·
αἰζηῶν τε νεώτατος ἦν ἄνευ Ἀντιλόχοιο.
Τοῦ δὲ γυνὴ θαλάμοισιν ἐλείπετο, Λαοδάμεια,
νυμφιδίοις κόσμοισιν ἀγαλλομένη ἐπὶ βαιόν·
οὐ γὰρ δηρὸν ἔχαιρεν, ἐπ' ἀγλαΐῃ κομόωσα.
Νυμφίον ὡς γὰρ ἄκουσε καλὸν πεσέειν παρὰ νηυσὶν,
χείρεσιν ἀντιπάλοισιν ἐν ἅλματι τοῖο θανόντα
Εὐφόρβου, Ἀχάτου ἢ Ἕκτορος ἀνδροφόνοιο,
νυμφιδίοις κόσμοισι περιστέψασα ἑαυτὴν,
φαιδροῖς ὀφθαλμοῖσιν ἄορ παρὰ ἧπαρ ἱεῖσα
εἰς Ἀΐδην κατέβαινεν, ἀτερπέα νυμφευτῆρα,
καλὴ καλῷ ζήσασ' ἠδὲ θανοῦσα ἀκοίτῃ.
Τὴν ἐγὼ αἰνέω ἠδ' αὖτ' ἔξοχον ἀμφαγαπάζω,
ὡς Εὐάδνην Ἄλκηστίν τε καὶ Ἀντιόπειαν,
τὴν Θεανώ τε καὶ Οἰνώνην καὶ Λουκρετίην τε,
ἠδὲ καὶ Ἀβραδάτου καλὴν ἄλοχον Πανθείην,
πρὸς δέ γε Πορκίην, ἐσθλὴν παράκοιτιν Βρούτου,
αἳ πόσιας τίμησαν καὶ ἔλαβον κλέος ἐσθλὸν,
οὐδὲ λέχη ἤσχυναν, ἀτάσθαλα ἔργα φιλοῦσαι,
οἷαι νῦν τελέθουσιν, ἀναιδέες, ἀγριόθυμοι,
Φυλονόμαι, Φαῖδραι Σθενέβοιαί τ' ἀλγεόδωροι.
Τῆς τοι Λαοδαμείης ὡραῖος παρακοίτης
πρῶτος, Πρωτεσίλαος ἀρήϊος, ἔκθορε πλοίου,
πῖπτε δ' ἐπεσσυμένος καὶ ἔλυσε φόβον χρησμοῖο,
νίκην οἷς ἑτάροισιν ἑῷ θανάτῳ περιτεύξας·
πάντες γὰρ τὸν ἄριστον ἰδόντες τόνδε πεσόντα
νηῶν ἐξεχέοντο καὶ ἀλλήλους ἐνάριζον,
αὐτὰς δ' αὖ κατέδησαν πρυμναίοισι κάλωσιν.
Αὐτὰρ ἐπεὶ ἐρύθηνε πελώριον οἶδμα θαλάσσης
αἱματόεις χείμαρρος, ἀπ' ἀμφοτέρων κελαρύζων,

Dianæ sacerdotem tauris-vectæ, lunæ;
tauris enim bobus vehitur agricultoribus,
segetem augens lunaribus humoribus,
quoniam et cornuta est et plaustrum regit.
Hujus sacerdotem constituerunt Græci puellam,
at cervam mactant insilientem in-cœtum.
Et tunc humide-flantes ventos immisit Luna,
Jovis mandatis, cœli stellati,
secundum spirantes, Trojam deducentes.
Argivi autem in-altum-ferebantur et Trojam navigabant,
a platano edocti ac dracone omnia.
Troibus contra Iris ostendebat Martis signum tristis,
de-cœlo sæpe visa multicolor;
signum enim illa est tempestatis aut belli,
stellis cœlestibus perlucidis similiter, cometis.
Troes igitur ubi cognoverunt, custodes collocarunt ubique;] sed cum jam prope Argivorum naves essent illis,
acie-instructa Troes circa tumulum Myricæ,
armis splendentes, ad littus descendebant,
ac stantes pugnabant navesque reprimebant Achæum.
Diu vero cum pugnassent incassum præ metu oraculi,
primus Protesilaus martius prosiluit e-navi.
Hujus vero species admirabilis *erat*, in specie robor residebat:] flavus erat, procerus, volutis-capillis et lacteo-colore,] temerarius, bono-habitu, decorus, pubescens;
juvenumque minimus-natu erat præter Antilochum.
Illius autem uxor domi relicta-erat, Laodamia,
novæ-nuptæ ornamentis superbiens ad breve *tempus*;
non enim diu gaudebat, splendore -vitæ exultans.
Maritum enim ubi audivit pulcrum cecidisse apud naves,
manibus in saltu interfectum contra-pugnantibus
Euphorbi, Achati aut Hectoris homicidæ,
novæ-nuptæ ornamentis cum-coronasset se,
lucidis oculis gladio per jecur transmisso
ad Plutonem descendit, tristem paranymphum,
pulcra pulcro vivens ac moriens marito.
Hanc ego collaudo atque imprimis diligo,
ut Euadnen Alcestinque et Antiopeam,
Theanoque et Œnonen et Lucretiam,
atque etiam Abradatæ pulcram uxorem Pantheam,
præterea Porciam, egregiam conjugem Bruti,
quæ maritos honorabant et reportabant gloriam egregiam,
neque lectos dedecorabant, turpia facinora adamantes,
quales nunc sunt, impudicæ, furentes-libidine,
Phylonomæ, Phædræ ac Stheneboeæ doloriferæ.
Itaque Laodamiæ juvenilis maritus
primus, Protesilaus martius, prosiluit e-navi,
ceciditque irrumpens et solvit metum oraculi,
victoriam suis sociis sua morte parans;
omnes enim, principem ubi-viderunt hunc cadentem,
e-navibus effundebantur et se-mutuo cædebant,
ipsas (*naves*) vero alligabant in-puppis rudentibus.
At postquam rubefecit ingens æquor maris
sanguinis torrens, ab utrisque manans,

νύκτα φυλαξάμενοι Τρῶες περὶ ἄστυ ἐχώρουν,
ἀντιβίην τρείοντες ἐν Ἀργείοισι μάχεσθαι.
Κύκνος δ' ἐκ Τενέδοιο μέσῳ ἐνὶ νυκτὸς ἀμολγῷ,
Τρωσὶ χαριζόμενος, ἤγειρε μάχην ἐπ' Ἀχαιοῖς.
Τὸν δ' Ἀχιλεὺς κατέπεφνε καὶ ἀνέρας, οἵ οἱ ἕποντο.
Ἔκτοτε δ' Ἀργείοισιν ἐείσατο κέρδιον εἶναι
Τρώων κώμας περθέμεν ἠδέ τε ἄστεα πάντα.
Τεῦξαν δὲ κλισίας πλεκτὰς, σταδάροις ἀραρυίας.
Καί ῥ' οἱ μὲν κατέμιμνον, ἐνὶ κλισίῃσι μένοντες,
ἄλλοι δ' ἄστε' ἔπερθον, Ἀχιλλεὺς δ' αὖτε μάλιστα
δίῳ σὺν Παλαμήδει, ἀνέρι πολλὸν ἀρίστῳ,
ὃς σοφίῃ ἐκέκαστο, γράμματα δ' εὗρε βροτοῖσιν,
πεσσὸν, ἀριθμούς τε, ζυγοστασίην τε καὶ ἄλλα.
Σὺν τῷ πρῶτον Ἀχιλλεὺς καὶ ἄλλοις Παναχαιῶν
ἐς Μύσους ἐνέβαλλεν, ἐπ' ἄστεα Ἡρακλείδου
Τηλέφου, εὐρυμέδοντος, ἐϋγενέος βασιλῆος.
Ἔνθα μάχη δριμεῖα, πολύς τε φόνος Παναχαιῶν
αὐτῶν τε Μυσῶν, πολλοὶ δὲ τροπῶντο Ἀχαιοί·
Τήλεφος αὐτὸς γὰρ καὶ Αἶμος, ἄναξ Ἀρεΐδης,
πρὸς δ' αὖ Ἕλωρός τ' Ἀκταῖός τ', Ἴστροιο γενέθλη,
ἐν δὲ γυναῖκες Μυσῶν ἅρμασιν οἷσι μάχοντο.
Καί νύ κεν ἐς κλισίας τε καὶ ἐς νέας ἦλθον Ἀχαιοὶ,
εἰ μὴ Τήλεφον αὐτὸν μηρῷ πλῆξεν Ἀχιλλεὺς,
εἴ κε Νιρεὺς μὴ ἔπεφνεν ἀμαιμάκετον βασίλειαν,
ἅρματι μαρναμένην, Ἱερὴν, δόρατι περονήσας·
ἡ γάρ τε προθέεσκε καὶ Ἀργείους ἐνάριζε,
μαινομένη ἐπ' ἀκοίτῃ, τόν περ ἔτρωσεν Ἀχιλλεύς.
Τὴν Μυσοί τε καὶ Ἀργεῖοι στενάχοντο πεσοῦσαν,
τόσσος δὲ θρῆνος περὶ κάλλεϊ ὤρετο ταύτης,
Τηλέφῳ ὡς σπείσασθαι Ἀχιλλῆα πτολίπορθον·
ἡ γὰρ καὶ Ἑλένην ἐπεκαίνυτο κάλλεϊ πολλόν.
Αὐτὰρ ἐπεὶ σπείσαντο καὶ ἐς κλισίας κατέβησαν,
πάντες ἄρ' Ἀργεῖοι φίλεον Παλαμήδεα δῖον,
οὕνεκ' ἀνὴρ πολύϊδρις ἔην καὶ ἤπια ᾔδει,
τοὺς δέ τε ἀσχαλόωντας ἔρωτι πάτρης ἐρατεινῆς
εὑρὼν πεσσὸν ἔτερπε, καὶ ἐξελάασκεν ἀνίην,
ἠδέ τε νούσους προὔλεγε καὶ νούσων ἀπερωὴν,
ἀλθεστήρια φάρμακα βρώσεις τ' ἐξερεείνων·
οὕνεκα σήματα ἠδὲ τεράατα προὔλεγε πάντα,
οὕνεκά τε ξύμπασι φίλος μερόπεσσι τέτυκτο,
οὐδ' ἀγέρωχος ἔην ἢ ἀτάσθαλα ἔργα ἔρεζε.
Τοὔνεκα τὸν φιλέεσκον Ἀχαιῶν ἔθνεα πάντων.
Αὐτὰρ Ὀδυσσεὺς, ἡρώων φθόρος, ἔχθος ἀρίστων,
ὅς ῥα Φιλοκτήτην Λήμνῳ λίπε, νῆας ἐλάσας,
ὅς τ' Αἴαντα πελώριον ὕστερον ἔκτα χολώσας,
Λοκρὸν ὃς ἔρσε θαλάσσῃ — φεῦγε γὰρ εἵνεκα τοῖο
μοῦνος ἀπ' ἄλλων Ἀργείων, — στυγέεσκε τὸν ἄνδρα,
οὕνεκά οἱ ἀρετῇ ἐριδαίνων οὐδὲν ἰσοῦτο.
Τῷ καὶ ὄλεθρον ἔτευξε δολοφροσύνῃσι νόοιο,
Ἀργείοις δ' ἐχόλωσεν Ἀχιλλῆα πτολίπορθον,
λοιμὸν δὲ στονόεντα κατὰ στρατὸν ὦρσε φέρεσθαι.
Ἀρχὴν δ' αὐτῶν ἔχθεος εἴπω, τίς τοι ἐτύχθη.
Οὐ μὲν Ὀδυσσέος εἰκῇ μνήσομαι αὐτὸς ἀρότρου,
οὔτ' ἄρα Τηλεμάχοιο. Ψεύδεα πάντα τέτυκται·

noctem excubantes Troes ad urbem recedebant,
paventes ex-adverso cum Argivis pugnare.
Cycnus autem ex Tenedo medio noctis conticinio,
Trojanis gratificans, excitavit pugnam contra Achæos.
Quem Achilles interfecit et viros, qui eum sequebantur.
Exinde Argivis videbatur melius esse
Troum vicos vastare atque oppida omnia.
Exstruxerunt igitur tentoria sirpata, palis conserta.
Et alii manebant, in tentoriis morantes,
alii oppida vastabant, Achilles vero maxime
divo cum Palamede, viro longe optimo,
qui sapientia excellebat, literasque invenit hominibus,
ludum-talorum numerosque libramque et alia.
Cum hoc primum Achilles et aliis Græcorum
in Mysos impetum-fecit, in urbes Heraclidæ
Telephi, late-regnantis, generosi regis.
Ibi pugna acris, multaque strages Græcorum *erat*
ipsorumque Mysorum, multique fugabantur Achæi;
Telephus ipse enim et Hæmus, rex Martis-filius,
insuper etiam Helorus Actæusque, Istri proles,
simulque mulieres Mysorum in curribus suis pugnabant.
Et tum in castra et in naves venissent Achæi,
nisi Telephum ipsum in-femore vulnerasset Achilles,
ac nisi Nireus interfecisset indomitam reginam
in-curru pugnantem, Hieram, hasta transfixam;
ea enim procurrit et Argivos stravit,
furens propter maritum, quem sauciarat Achilles.
Hanc Mysi et Argivi deflebant cæsam,
talisque luctus de pulcritudine ortus-est illius,
ut cum-Telapho fœdus-iniret Achilles urbium-vastator.
Illa enim etiam Helenam superabat pulcritudine multum.
At postquam fœdus-inierunt et in castra reversi-sunt,
omnes Argivi amicitia-honorabant Palamedem divum,
quod vir peritissimus erat et bene cupiebat *iis*,
eosque afflictos desiderio patriæ amatæ
invento talorum-ludo oblectabat et dissipabat tristitiam,
atque morbos prædicebat et morborum remedium,
salutaria medicamina cibosque indicans;
quod signa ac portenta prædicebat omnia,
et quod universis amicus hominibus erat,
nec superbus erat aut improba facinora patrabat.
Ideo eum amabant Achæorum gentes omnium.
At Ulysses, heroum pestis, odium optimorum,
qui quidem Philocteten in Lemno reliquerat, navibus solutis,
qui etiam Ajacem magnum posthac interfecit ad-iram-irritatum,] Locrum qui submersit mari (fugit enim propter illum] solus ab aliis Argivis), oderat illum virum (*Palamedem*),] quod cum-ipso virtute certans minime æquabat *eum*.] Huic etiam exitium struxit dolosis-artibus mentis,
Argivisque ad-iram-excitavit Achillem vastatorem-urbium,
ac pestilentiam tristificam in exercitum irrupisse in-causa -erat.] Originem autem odii illorum dico, quæ fuerit.
Non quidem Ulyssis temere mentionem-faciam ipse aratri,
neque Telemachi. Mendacia omnia sunt;

αὐτὸς γὰρ συνάγειρεν Ἀχαιῶν πάντας ἀρίστους.
Ταῦτα δέ τοι ἐρέω νημερτέα, ὥς περ ἐτύχθη.
Ἀργείοις περόωσιν ἀπ' Ἄργεος οἶδμα θαλάσσης,
ἐς Τροίην ὅτ' ἔπλωον, φαίνετο σήματα πολλά,
σκηπτοὶ ἐριφλεγέες μεγαλοσμάραγοι βρονταί τε,
ἴριδες ἠδὲ κομῆται λεῖψίς τ' ἠελίοιο·
καὶ τά γε θυμῷ τρείεσκον πάντες Παναχαιοί.
Αὐτὸς δ' αὖ Παλαμήδης ἐκ δέος εἵλετο πάντων,
φήσας οὐκ Ἀργείοις, Τρωσὶ δὲ σῆμα κακοῖο·
πάντα γὰρ ἀντολίηθεν ἐφαίνετο σήματα ταῦτα.
Πρὸς δέ τε μάντις ἔειπεν ἀληθέα πάντα πιφαύσκων.
Πεσσὸν δ' αὖ καὶ γράμματα δεύτερον εὗρεν Ἀχαιοῖς.
Καὶ τότε τὸν κυδαίνεσκον δῖοι Παναχαιοί.
Καὶ τά γε θυμὸν ἔκναιεν ἀριστοφόνου Ὀδυσῆος.
Αὐτὰρ ἐπεὶ ἀπὸ Μυσῶν ἐς κλισίας κατέβησαν,
Τηλέφῳ ἠδὲ καὶ ἄλλοις σπεισάμενοι βασιλεῦσιν,
ἐξ ὀρέων λύκοι ἐς κλισίας κατέβαινον Ἀχαιῶν,
δμῶας ἀναρπάζοντες ἰδ' οὐρέας· αὐτὰρ Ὀδυσσεύς,
ᾧ θυμῷ ποθέων Παλαμήδεϊ ἀντιφερίζειν,
μακρὰ βοῶν ἀνέβαινε παρ' οὔρεα, θῆρας ἐρύξων,
τοξοφόρους πολέας κούρους φορέων Παναχαιῶν,
νήπιος, οὐδ' ἐνόησε τὸ σῆμα πέλον λοιμοῖο.
Τοὺς δὲ ἰδὼν Παλαμήδης μειδιόων προσέειπεν·
Ὦ Ὀδυσεῦ πολύβουλε, σὺν ἀνδράσι τοξοφόροισι,
τίπτε λύκοισι μάχην παναφραδέα τήνδε φορεῖτε;
οὔ νυ λύκοι, σχέτλιοι, παρὰ οὔρεσι καὶ πάρος ἦσαν;
ἀλλὰ τίς αὐτῶν Ἀργείους δηλήσατο πρόσθε;
Λοιμοῦ σῆμα τόδ' ἐστίν· ἐᾶτε δὲ τόξα καὶ ἰούς,
ἐν λαχάνων βελέεσσι δ' ἐρύκετε λοιμοῦ ἐρωήν,
μηδὲ κρεῶν γεύεσθε, καὶ εἰς ἅλα βαίνετε πάντες.
Ὣς ἔφαθ'· οἱ δέ τε πάντες ἐποίεον, ὡς ἐκέλευεν·
μοῦνος δ' αὖ Ὀδυσεὺς ἐν ἐπεσβολίῃσιν ἄτιζεν.
Λοιμοῦ δ' αὐτίκ' ἐπεισφρήσαντος ἐπ' ἄστεα Τρώων,
αὐτοὶ ἀσινέες ἐκ κακοῦ ἔκφυγον οἶοι ἀπ' ἄλλων.
Καὶ τότε δὴ Παλαμήδην ὡς θεὸν ἦσαν ἄγοντες.
Αὐτὰρ ὁ ἐχθρὸς ἀνήρ οἱ ἐμήδετο κῆρα μέλαιναν,
καὶ κτάνεν, οὐδ' ἀφάμαρτε, δολοφροσύνῃσι νόοιο.
Ἤτοι γὰρ Παλαμήδης πόρθεεν ἄστεα Τρώων
σύν γ' Ἀχιλῆϊ, ἕλον δὲ ἐείκοσι τρεῖς τε πόληας,
ἐκ τάων κειμήλια πολλὰ φέρον Παναχαιοῖς
ἠδὲ γυναῖκας πολλὰς Χρύσου τ' Ἀστυνόμειαν.
Αὐτὰρ Ἀχιλλεὺς Ἱπποδάμειαν ἕλε Βρισῆος
οἶος ἀπ' ἄλλων Ἀργείων καὶ ἔχεσκε παρ' αὐτῷ.
Ἀλλ' ἄρα τῶν ἀΐοιτε κοράων εἶδος ἐρατόν·
Χρυσηῒς μὲν ἔην τυτθή, λεπτή, γλαγεόχρους,
ξανθοκόμης, μικρόμαστος, ἐτῶν δέκα ἐννεάδος τε,
παρθένος ὡραίη. Βρισηῒς δ' Ἱπποδάμεια
μακρὰ ἔην, λευκή, μελανόθριξ, οὐλοέθειρος,
καλλίμαστος ἰδ' εὔστολος, εὖρις, καλλιπάρῃος,
φαιδρὸν μειδιόωσα, σύνοφρυς δ' εἴδετο ἔμπης.
Ἐν δὲ Μύνητος ἔην γυνή, ὃς βασίλευε Λελέγγων.
Εἰκοσάτου πρώτου δὲ χρόνου τότε τήνδε ἐοῦσαν
Αἰακίδης ἀπάτερθεν Ἀχαιῶν κάσχεθεν οἴκοι·
οἱ δὲ βαρυφρονέοντες Ἀχιλλεῖ ἀγριάασκον.

ipse enim congregavit Achæorum omnes præstantissimos.
Hæc vero exponam vera, quomodo facta-sint.
Argivis trajicientibus ex Argis æquor maris,
Trojam quando navigabant, visa-sunt signa multa,
fulmina flagrantia et valde-strepentia tonitrua,
irides ac cometæ defectusque solis;
atque ea animo timebant omnes Græci.
Ipse vero Palamedes metum ademit omnibus,
dicens non Græcis, sed Trojanis signum *id esse* mali;
omnia enim ab-oriente apparebant signa hæc.
Præterea vero etiam vates dixit vera omnia pronuntians.
Talorum-lusum porro et literas secundum invenit Achæis.
Et tunc eum honorabant divi Græci-universi.
Atque hæc animum rodebant fortissimi Ulyssis.
At ubi a Mysis in castra descendebant,
cum-Telepho atque aliis pacti regibus,
ex montibus lupi in castra descendebant Achæorum,
calones rapientes et mulos; at Ulysses,
suo in-animo cupiens cum-Palamede certare,
valde vociferans ascendebat in montes, feras repulsurus,
sagittiferos multos juvenes ducens Græcorum,
stultus, non-enim intelligebat id signum esse pestilentiæ.
Hos igitur visos Palamedes subridens allocutus-est:
O Ulysses versute, cum viris sagittiferis,
quare lupis pugnam plane-insanam hanc infertis?
nonne lupi, o-stulti, in montibus etiam prius erant?
sed quis eorum Argivos infestavit antea?
Pestilentiæ signum hoc est; mittite igitur arcus et sagittas,
olerum telis depellite pestilentiæ impetum,
neve carnes gustate, et in mare descendite omnes.
Sic dixit; illi vero omnes fecerunt, uti jussit;
solus tamen Ulysses conviciis despexit *eum*.
Pestilentia autem mox ingruente in oppida Trojanorum,
ipsi incolumes e malo effugerunt soli ex reliquis.
Et tunc quidem Palamedem ut Deum ducebant.
At inimicus vir ei meditabatur mortem atram,
et *eum* interfecit, neque aberravit, astutiis mentis.
Profecto enim Palamedes vastabat oppida Troum
cum Achille, expugnabant enim viginti tres urbes,
e quibus res-pretiosas multas ferebant Græcis
ac mulieres multas Chrysique *filiam* Astynomen.
At Achilles Hippodamiam captivam-duxit Brisei *filiam*,
solus e reliquis Argivis et *eam* retinebat apud se.
Agite vero horum audiatis puellarum formam venustam.
Chryseis quidem erat parva, gracilis, lacticolor,
flavicoma, exiguis-mammis, annorum decem novemque,
virgo matura. Briseis autem Hippodamia
procera erat, candida, nigro-capillo, crispis-cincinnis,
pulcris-mammis ac bene-ornata, pulcro-naso, pulcris-genis,
hilariter subridens, junctis-superciliis autem videbatur ni-
hilominus.] At Mynetis erat uxor, qui rex-erat Lelegum.
Vigesimum primum annum tunc habentem hanc
Æacides seorsum ab-Achæis tenebat domi;
illi autem asperati Achilli succensebant.

Καὶ τότ' Ὀδυσσεὺς Ἀτρείδην προσέειπεν ἄνακτα·
Ἀγνώσσεις τάδε δὴ Παλαμήδεος ἔμμεναι ἔργα,
ὃς τὰ σκῆπτρα παρείρεται ἠδ' Ἀχιλῆϊ διδίσκει;
ἀλλ' ἄγε, σὺ βασίλευε, ἀτὰρ Παλαμήδεα πέφνον.
Ὣς φάτο οὔλιος ἀνήρ· τῷ δ' ἐφεήνδανε βουλή.
Καὶ δὴ Τρῶα κατέσχεθον, ᾧ περ ἔειπον γράψαι,
ὅσσα κεν ἂν Πρίαμος Παλαμήδεϊ γράψε φιλῶντι.
Αὐτὰρ ἐπεὶ γράψαν, Παλαμήδεος εὐνῇ ἔθεντο,
δμῶα δολώσαντες δώροις Παλαμήδεος ἐσθλοῦ.
Καὶ τότε τόνδε ἄγουσι παρὰ κλισίας ἀπὸ Λέσβου,
μῆχαρ ἑλέπτολι ὡς δῆθεν καλέοντες ῥέξαι,
χωρίζουσι δὲ ὧς ἀπ' Ἀχιλλῆος μεγαθύμου.
Οὗτος δ' αὖ προσέειπε παρ' Ἀτρείδῃσι μολήσας·
Εἰ μὲν μῆχαρ ἑλέπτολι δίζησθ', Ἀτρείωνε,
εἰσί τοι Αἴαντες δοιοί, πολέων ὀλετῆρες·
εἰ δ' ἀπ' ἐμεῖο χερῶν ἄλλο ποθεέσκετε μῆχαρ,
αὐτίκα Τροίη ἕτοιμος ἐμῷ ἐνὶ μήχεϊ κεῖσθαι·
Ὣς φάτο· οὐδ' ἐγίνωσκε, τὰ δὴ προέτευξαν ἐκεῖνοι.
Αὐτίκα γὰρ δὴ ψευδέα γράμματα ἐξαγαγόντες
ὑλλάσιν αὐτὸν ἔδησαν, Ἑλλάδος ὡς προδοτῆρα,
κὰδ δὲ Μυκηναῖοι κτείνουσι Κεφάλληνές τε
βάλλοντες λιθάδεσσιν· ὁ δ' ἔστενε ταῦτα πιφαύσκων·
Χαῖρε, Ἀλήθεια κυδρή! πρόθανες γὰρ ἐμεῖο.
Ὣς ὁ μὲν ἔκθανεν, ἄλλοι δ' αὖ μύροντο Ἀχαιοὶ
σιγῇ, πάντες δειδιότες χόλον Ἀτρείδαο·
οὐ γὰρ θάπτειν εἴα ἑ, οὔτ' ἄρα δάκρυα λείβειν,
φὰς θανέειν τὸν θάψαντα καὶ ἄκλαυστον ἔσεσθαι.
Αἴας δ' ὡς ἐνόησεν ἑταῖρον τόνδε πεσόντα—
ἐγγύθι γὰρ Σαλαμίς τε καὶ Εὔβοια, τῶν πάτραι,—
οἰμώξας μέγα καὶ ἄορ ἑλκύσας παρὰ μηροῦ
βαῖνε μέσον Παναχαιῶν, ἐν δὲ κέδασσε βολῆας,
αὐτὸς δὲ κλαίεσκεν ἀδινὰ, πεσὼν περὶ νεκρῷ,
ἐν δὲ κόμην προθέλυμνον τίλλεν, ἀπὸ κρατὸς ἕλκων,
θάψε δὲ τὸν φιλέων, κλαύσας, ἀέκητι ἀνάκτων.
Ἀλλ' ἤτοι μορφὴν τοῦδ' ἀνέρος ἐξερεείνω.
Μακρὸς, λευκὸς ἔην, ξανθόθριξ, πιναροχαίτης,
μάκροψις, ῥαδινὸς, Σοφίης ἰδ' Ἄρηος ὑποδμώς.
Ξανθοχόμης δ' ἄρ' ἐὼν καταείδετο πιναροχαίτης,
οὕνεκεν οὐκ ἀλέγιζε κομάων οὐδὲ βλακείης,
ἀλλ' ἄρ' ἐνὶ κονίῃσιν ἀρήϊον ὕπνον ἴαυεν,
μελδόμενος κρατεροῦ πολέμοιο λόχων τε φαλάγγων
λαῶν θ', οἵ οἱ ἕποντο, ὅπως σώοιτο ἕκαστος·
ταῦτα γάρ οἱ ψυχῆς δόκεε κρείσσω κομέων τε.
Τὸν δ' Ὀδυσεὺς ἔκτεινε δόλοις, κτερέϊξε δ' ἄρ' Αἴας.

Et tunc Ulysses Atriden allocutus-est regem :
Nonne-intelligis hæc Palamedis esse opera,
qui tua sceptra *tibi* abjudicat et Achilli porrigit?
Agedum, tu regna, at Palamedem occide.
Sic dixit exitiosus vir; illi autem placuit consilium.
Itaque Trojanum ceperunt, cui jubebant scribere,
quæ Priamus Palamedi scripsisset amanti.
At postquam scripserunt, Palamedis in tentorio collocarunt *literas*,] servo donis corrupto Palamedis egregii.
Et tum hunc ducunt ad castra e Lesbo,
machinam ad-expugnandam-urbem scilicet jubentes eum -facere,]separant autem *eum* hoc-modo ab Achille magnanimo.] Ille igitur dixit ad Atridas profectus :
Siquidem machinam expugnatoriam quæritis, Atridæ,
sunt Ajaces duo, urbium vastatores;
sin autem a meis manibus aliam desideratis machinam,
jam Troja in-eo *est*, mea machina ut-cadat.
Sic dixit, neque cognovit, quæ præparassent illi.
Statim enim falsis literis allatis
laqueis eum ligabant, ut Græciæ proditorem,
et Mycenæi *eum* interficiunt Cephallenesque
obruentes lapidibus; is vero ingemuit hæc pronuntians:
Vale, Veritas reverenda, nam mortua-es-ante me.
Sic ille quidem mortuus-est, alii vero lugebant Achæi
tacite, omnes metuentes iram Atridæ;
non enim sepeliri passus-est eum, neque lacrimas fundi,
dicens moriturum eum-qui sepeliverit et indefletum fore.
Ajax autem ut cognovit amicum hunc cæsum,
(vicinæ enim Salamis et Eubœa, horum patriæ,),
ingemiscens valde ac gladio stricto a femore
prodiit in-medios Græcos ac dispersit jaculatores *lapidum*,
ipse autem lacrimavit largiter, prostratus super mortuum,
et comas radicitus evulsit, e capite extractas,
sepelivitque illum amans, plorans, invisis regibus.
Verum profecto speciem hujus viri enarrabo.
Procerus, candidus erat, flavicomus, squalido-capillo,
longe-videns, gracilis, Sapientiæ ac Martis minister.
Flavicomus autem quamquam-erat, videbatur squalido-capillo *esse*,]quia non curam-agebet comarum nec ignaviæ,
sed in pulvere martium somnum capiebat
tabescens violento bello insidiisque, phalangibus
populisque, qui ipsum sequebantur, ut salvus-esset quisque;] hæc enim ei vita præstantiora videbantur comisque.
Hunc igitur Ulysses interfecit dolis, sepelivit autem Ajax.

ΤΑ ΚΑΘ ΟΜΗΡΟΝ.

Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν Ἀχιλλεὺς ὀβριμόθυμος,
ὡς Βρισηΐδος εἵνεκα τοιάδε ἔργα γένοντο,
δάκρυε μὲν Παλαμήδεα, τὴν δ' ἔφρηκεν Ἀχαιοῖς,
αὐτὸς δ' αὖτ' ἀπέπαυσε μάχης πολέμοιό τε πάμπαν.
Πρὸς δέ γε λοιμὸν Ἀπόλλων, ἠέλιος μέγας, ἧκεν·
θνῆσκον δ' Ἀργεῖοι, Παλαμήδεος οὐκέτ' ἐόντος,

HOMERICA.

At postquam id audivit Achilles magnanimus,
quod Briseidis causa talia facinora fierent,
plorabat quidem Palamedem, illam vero misit Achæis,
ipse vero desivit pugnam bellumque omnino.
Insuper autem pestilentiam Apollo, sol magnus, immisit;
moriebantur igitur Argivi, Palamede non-jam superstite,

ὃς λοιμούς τε πρόφασκε καὶ ἀλθεστήρια τούτων.
Τρῶες δ' ὡς ἔμαθον λοιμόν τε χόλον τ' Ἀχιλῆος,
οὐκέτι πύργων ἔνδοθι οὐδὲ πόληος ἔμιμνον,
ἀλλ' ἄρα προφρονέως πυλέων πετάσαντες ὀχῆας
ἄχρι νεῶν κατέβαινον ἰδ' Ἀργείους ἐδάϊζον.
Οἱ δ' ἄρα δαμνάμενοι λοιμῷ καὶ χείρεσι Τρώων,
ἐξ ἀπάταισιν ὀνείρου πανσυδίῃ ἐχέοντο,
Τρωσὶν ἐναντίβιον πολεμίζειν ἱμείροντες. [των,
Σπεισαμένοισι δ' ἔδοξε δύο προμάχεσθαι ἁπάν-
ὃς δ' ἂν νικήσῃ, Ἑλένην φορέειν σὺν ἑταίροις·
ἐκ δ' ἔθορε Τρώων Πάρις, Ἀργείων Μενέλαος.
Ὡς Πάρις ἡττήθη δὲ, Τρῶες ὅρκια χεῦον·
αὐτίκα γὰρ Μενέλαον Πάνδαρος ἔμβαλεν ἰῷ.
Οὐδ' ἔλαβεν κῦδος, δόξης δ' ἀπόερξεν ἑαυτόν·
τὸν μὲν γὰρ Μαχάων ἰήσατο, φάρμακα πάσσων,
Τρωσὶ δὲ καὶ Τροίῃ καὶ Πανδάρῳ ἔπλετο πῆμα.
Τόξα γάρ οἱ ἐρύοντι κακάγγελος ἤλυθεν αἶσα,
ἀστὴρ παμφανόων, σῆμα πολέμοιο, κομήτης,
Ἀθηναίη Ὁμήρου, τήν ῥα Ζεὺς προΐαλλεν.
Ἐν δὲ θεοὶ ἀλλήλους ὥρων ἤματι κείνῳ,
ὀκρυόεις Κρόνος ἠδέ τε Ἄρης ὀβριμόθυμος,
οἵ ῥά τε δόξης αἰζηοὺς πολέμων ἀπόερξαν,
αὐτοὺς δ' αὖ κατέπεφνον, σφῶν δὲ πόληας πέρσαν,
εἴ κεν ἐπ' ἤματι τοίῳ ἀριστεύειν ποθέωσιν,
ὅτε χρονοκράτορα θάτερος θάτερον ποιήσει,
ἣν ἀρχὴν ὀπάσας, ἢ οἴκοις ἀντιάσειεν
ἢ θάτερος θατέρου ἠὲ Κρόνος Ἠελίοιο·
Ὣς τότε εἰσορόωντες Τροίῃ κήδεα τεῦχον.
Αὐτίκα γὰρ ὥρουσαν Ἀχαιοί τε Τρῶές τε
ἀλλήλοισι μάχεσθαι, πυκνὰ δὲ πῖπτε κάρηνα·
Ἀντίλοχος γὰρ ἔπεφνε Θαλυσιάδην Ἐχέπωλον,
Ἀγήνωρ δ' Ἐλεφήνορα Τρώϊος ἔκτανεν ἀνήρ,
Αἴας δ' αὖ Σιμοείσιον Ἀνθεμίδην ἐνάριξε,
Λεῦκον δὲ Πριάμοιο πάϊς νόθος Ἄντιφος εἷλε,
Δημοκόωντα δ' ἐνήρατ' Ὀδυσσεὺς Δαρδανίωνα,
ἐκ δὲ βίου Δαναὸν ἀπόερσε Διώρεα Πείρως,
τοῦ δὲ Θόας Αἰτωλὸς ἐν ἄορι θυμὸν ἀπηύρα.
Ὣς τῶν μαρναμένων Διομήδης ἔνθορε μέσσον,
τεύχεσι λαμπόμενος πυρὶ τεχνήεντι ἀφλέκτῳ,
οὐχ οἷον φλογέεσκε Συρηκοσίοιο κατόπτρου,
τῷ ῥ' Ἀρχιμήδης φλόγα εἵλκυσεν ἠελίοιο,
πρῆσε δὲ Μάρκου Μαρκέλλου νέας Αἰνεάδαο·
οὐ τοῖον Διομήδεος ἔφλεγε πῦρ ἀπὸ ὅπλων,
ἀφλεγέως δ' ἀμάρυσσεν ἀπαστράπτων σελάεσσιν,
οἷά τε Σείριος ἀστὴρ σκύλακος Ὠαρίωνος.
Τοῖον τεύχεσι λαμπόμενος μέσον ἔνθορε χάρμης.
Φηγέα δ' αὖτε πρῶτον ἐνήρατο, υἷα Δάρητος,
ὅς ῥα τέχνης πυριεργέος ᾔδει δαίδαλα ἔργα,
τοὺς ἱερῆας Ὅμηρος Ἡφαίστοιο κικλήσκει.
Οὗτος μὲν τὸν ἐνήρατο· αὐτὰρ οἱ ἄλλοι Ἀχαιοὶ,
Ἀτρείδης Ὀδίον πέφνεν, Ἰδομενεὺς δ' ἄρα Φαῖστον,
πὰρ δὲ Σκαμάνδριον εἷλεν ἀκειρεκόμης Μενέλαος,
Μηριόνης Φέρεκλον, Πηδαῖον δ' αὖτε Φυλείδης.
Εὐρύπυλος δ' Ὑψήνορα τὸν Δολοπίονος ἔκτα,

qui et pestilentias prædixit et remedia earum.
Trojani ubi cognoverunt et pestilentiam et iram Achillis,
non-amplius intra turres et urbem se-continebant,
sed fidenter portarum reclusis repagulis
usque ad-naves descendebant atque Achæos cædebant.
Hi igitur domiti pestilentia et manibus Trojanorum,
fraude somnii *decepti* toto-agmine se-effundebant,
adversus Trojanos bellare cupientes.
Paciscentibus vero visum-est duos pugnare pro omnibus,]et, uter vinceret, *eum* Helenam ducere cum sociis;
prosiluit igitur e-Trojanis Paris, ex-Argivis Menelaus.
Ubi autem Paris superatus-est, Trojani fœdera pertubarunt;] statim enim Menelaum Pandarus percussit sagitta,
neque reportabat honorem gloriaque privabat seipsum;
illum enim Machaon sanavit, medicamina inspergens,
Trojanis contra ac Trojæ et Pandaro exstitit calamitas.
Arcum enim tendenti huic infelix-nuntius venit, triste -augurium,] stella splendida, signum belli, cometa,
Minerva Homeri, quam quidem Juppiter immisit.
Atqui dii se-invicem intuiti-sunt die illo,
frigidus Saturnus et Mars violentus,
qui quidem gloria bellorum juvenes privant,
ipsos vero interficiunt, eorumque urbes excidunt,
siquidem die tali excellere cupierint,
quando temporis-rectorem alter alterum faciet,
suum imperium cedens, aut domibus inciderit
sive alter alterius, sive Saturnus Solis.
Sic tunc *se* intuentes Trojæ dolores parabant.
Statim enim ruebant Achæi Trojanique
ad-pugnandum inter-se, densaque cadebant capita;
Antilochus enim interfecit Thalysiaden Echepolum,
Agenor Elephenorem Trojanus occidit vir,
Ajax vero Simoisium Anthemiden interemit,
Leucumque Priami filius nothus, Antiphus, interfecit,
Democoontem autem occidit Ulysses, Dardaniden,
atque e vita Danaum eripuit Dioreum Piros,
ejus contra animam Thoas Ætolus ense abstulit.
Ita pugnantium in medium Diomedes ferebatur,
in-armis splendens igni artificioso, non-ardenti,
non qualis flammabat e Syracusio speculo,
quo Archimedes flammam traxit e-sole,
cremavitque Marci Marcelli naves Æneadæ;
non talis ardebat ignis Diomedis ex armis,
sine-ardore enim lucebat fulgens radiis,
sicut Sirius stella canis Orionis.
Taliter armis splendens in-medium ferebatur pugnæ.
Phegeum autem primum interemit, filium Daretis,
qui artis fabrilis sciebat artificiosa opera,
quales sacerdotes Vulcani Homerus vocat.
Hic igitur eum interemit; at alii Achæi,
Atrides Odium interfecit, Idomeneus vero Phæstum,
porro Scamandrium occidit intonsis-capillis Menelaus,
Meriones Phereclum, Pedæum autem Phylides.
Eurypylus Hypsenorem filium Dolopionis interfecit,

τὸν ἱερῆα Σκαμάνδρου κάλεον, ἰχθυόωντα
ἀργυρέης δίνῃσιν ἐπ' εὐρείτου ποταμοῖο.
Πάνδαρος αὖ Διομήδεος ὦμον χραῦσεν ἐν ἰῷ.
Καὶ τότε Τυδείδης Τρώεσσιν ὄλεθρον ἐφίει·
κτεῖνε γὰρ Ἀστύνοον καὶ Ὑπήνορα, ποιμένα λαῶν,
παῖδάς τ' Εὐρυδάμαντος, Ἄβαντά τε καὶ Πολύϊδον.
Ἔκτα δὲ Φαίνοπος υἱούς, Ξάνθον τ' ἠδὲ Θόωνα·
πὰρ δ' ἄρ' Ἐχέμονα καὶ Χρόμιον Πριάμου πέφνεν [υἷας,
σὺν ἄρα Πάνδαρον ὁρκοσφάλτην, ἠπεροπῆα.
Πρὸς δ' ἔτι κεῖνον, τὸν τέκε βουκολέων Ἀγχίσης,
Αἰνείαν, ἀπάραξε βαλὼν λίθῳ ὀκρυόεντι.
Τὸν δὲ φυγῆς ἐπιθυμίη ἐξεσάωσε φυγόντα
νηῷ ἐν ἠγαθέῳ πανδερκέος ἠελίοιο,
ἔνθα ἑ Τυδείδης κατοπάζων ἐκβοάασκεν·
Εἶκε, γυναιμανές! οὐκέτι ἀντιάσειας χάρμης·
οὐτάσαι οὕνεκα φήμιξαν χεῖρ' Ἀφροδίτης,
ὅττι μιν ἐσσύμενον πολέμου ἀπέπαυσεν ἐρωῆς.
Καὶ τότε Σαρπηδὼν Τρῶας μαχέεσθαι ἔγειρεν.
Πρῶτος δ' αὖτ' Ἀγαμέμνων Δηϊκόωντα ἔπεφνεν,
Αἰνείας δὲ Κρήθων' Ὀρσίλοχόν τε κατέκτα,
τραύματ' ἀκεσσάμενος, τά τε Τυδείδης προΐαψεν.
Καί νύ κε καὶ Μενέλαον ἀντιόωντα κατέκτα,
εἰ μὴ Νέστορος υἱὸς ἀρήϊος ὦκα παρέστη·
Αἰνείας δ' ὑποέτρεσε, τοὶ δ' ἕλον ἄνδρας ἀρίστους.
Ἀτρείδης μὲν πρῶτα Πυλαιμένεα βασιλῆα,
Ἀντίλοχος δὲ Μύδωνα κατέκτανε, λᾶϊ τυχήσας.
Ἕκτωρ δ' αὖ σὺν Ἄρηϊ, ἑῷ πολεμήτορι θυμῷ,
πρῶτα Μενέσθην τε καὶ Ἀγχίαλον σφαράγισσεν.
Αἴας δ' Ἄμφιον υἱὸν ἐξενάριξε Σελάγου,
ἀντία μαρνάμενος Τρώων καὶ Ἕκτορος οἶος.
Σαρπηδὼν δὲ Τληπόλεμον κατενήρατ' Ἀχαιῶν,
ἠνορέῃ κομόωντα, φίλον γόνον Ἡρακλῆος.
Καί νύ κε δὴ σὺν τῷ ψυχὴν ἐκάπυσε καὶ αὐτός,
τοῖο ἀπὸ ζώοντος βληθεὶς ἔγχεϊ μακρῷ·
ἀλλ' οὐ μόρσιμος ἦν· τῷ ὀλέθριον ἔκφυγεν ἦμαρ.
Ἔνθ' Ὀδυσεὺς Λυκίοισι κακὰς ποτὶ κῆρας ἴαλλεν,
Κοίρανον, αὐτὰρ Ἀλάστορα καὶ Χρόμιον καταπέφνας,
Ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
Ἕκτωρ δὲ Τρῆχόν τε καὶ Οἰνόμαον καὶ Ὀρέστην,
Τεύθραντ' ἠδ' Ἕλενον καὶ Ὀρέσβιον ἐξενάριξεν.
Ἀλλ' ὅτε καὶ Περίφαντα ἑῷ θυμῷ, Ἄρεϊ, πέφνεν,
Τυδείδης ἵππους ἐλάσας πέλας ἤλυθε τοῖο,
τρῶσε δ' ἄρ' ἐς κενεῶνα ἀρήϊα μαιμώωντα.
Τρῶες δ' ὡς οὖν εἶδον πληγὴν καίριον οὖσαν,
σμερδαλέον σμαράγησαν, ἐπέβραχε δ' οὔρεα Ἴδης·
τοῖος γάρ τε ἔμελλεν ἀνὴρ θανέειν παρὰ μοῖραν.
Αὐτὰρ ἐπεὶ Τυδείδου Ἀθηναίη τε καὶ Ἥρη
Ἕκτορος Ἄρεα, θυμόν, ἔπαυσαν δηϊότητος,
νόσφι θεῶν Τρῶές τε καὶ Ἀργεῖοι ἐμάχοντο·
οὐ γὰρ ἔχον μένος Ἕκτορος οὐδὲ δόλους Διομήδεος,
ἀλλ' ἀδόλως ἐμάχοντο. Πέφνον δὲ Τρῶας Ἀχαιοί,
Αἴας μὲν Τελαμώνιος Εὐσώρου Ἀκάμαντα·
Ἄξυλον ἠδὲ Καλήσιον εἷλε πάϊς Τυδῆος·
Δρῆσον δ' Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξεν,

quem sacerdotem Scamandri vocabant, piscantem
argenteis in-vorticibus pulcre-labentis fluvii.
Pandarus vero Diomedis humerum strinxit sagitta.
Et tum Tydides Trojanis exitium immisit;
interfecit enim Astynoum et Hypenorem, pastorem popu-
lorum,] filiosque Eurydamantis, Abantem et Polyidum.
Interfecit etiam Phænopis filios, Xanthum ac Thoonem;
ad-hos Echemonem et Chromium Priami occidit filios,
simul vero Pandarum fœderis-violatorem, fraudatorem.
Insuper etiam illum, quem genuit armentarius Anchises,
Ænean, prostravit ictum lapide horrendo.
Quem fugæ cupiditas servavit fugientem
in templum sacrum omnia-lustrantis solis,
ubi Tydides eum persecutus exclamavit:
Cede, mulierose, ne-amplius te-conferas ad-pugnam.
Quapropter *eum* dicebant sauciasse manum Veneris,
quod eum irruentem belli ab-impetu cohibuisset.
Ac tunc Sarpedon Trojanos ad-pugnandum instigabat.
Primus tamen Agamemnon Deicoontem interfecit,
Æneas autem Crethonem Orsilochumque occidit,
vulneribus sanatis, quæ Tydides inflixerat,
atque etiam Menelaum occurrentem interfecisset,
nisi Nestoris filius Mavortius celeriter *huic* adfuisset.
Æneas igitur tremuit, illi vero interemerunt viros fortissi
mos.] Atrides quidem primum Pylæmenem regem,
Antilochus autem Mydonem interfecit, lapide percussum.
Hector contra cum Marte, suo bellicoso animo,
primum Menesthen et Anchialum profligavit.
Ajax vero Amphium filium interemit Selagi,
pugnans contra Trojanos et Hectorem solus.
Sarpedon porro Tlepolemum e-medio-sustulit Achæis,
virtute superbientem, caram progeniem Herculis.
Ac sane jam cum eo animam expirasset et ipse,
ab illo vivente ictus hasta longa;
sed fato-obnoxius nondum erat, ideo exitialem effugit diem.
Ibi Ulysses Lyciis tristes clades intulit,
Cœranum quidem, Alastorem et Chromium interficiens,
Alcandrumque Haliumque Noemonemque Prytaninque.
Hector autem Trechum et Œnomaum et Oresten,
Teuthrantem atque Helenum et Oresbium peremit.
Sed ubi etiam Periphantem suo animo, Marte, occidit,
Tydides equis impulsis prope accessit ad-eum,
sauciavitque in ventre Martia spirantem.
Troes igitur ubi viderunt plagam letalem esse,
horrendum clamabant, resonabantque montes Idæ;
talis enim vir erat moriturus fato.
At postquam Tydidæ Minerva ac Juno
Hectoris Martem, animum, cohibuerunt a-prœlio,
sine diis Troes atque Argivi pugnabant;
non enim habebant vim Hectoris, neque dolos Diomedis,
sed sine-dolo pugnabant. Interfecerunt autem Troes Achæi,
Ajax quidem Telamonius Eusori *filium* Acamantem;
Axylum et Calisium e-medio-sustulit filius Tydei;
Dresum vero Euryalus et Opheltium peremit,

Αἴσηπόν τ' ἰδὲ Πήδασον, υἱέε Βουκολίωνος·
Πιδύτην δ' Ὀδυσεύς τε καὶ Ἀστύαλον Πολυποίτης,
Ἀντίλοχος δ' Αὔληρον, Τεῦκρος δ' αὖτ' Ἀρετάονα.
Λήϊτος αὖ Φύλακον Βοιώτιος ἔκτανεν ἥρως, [φνε
Εὐρύπυλος δὲ Μελάνθιον, Ἀτρείδης δ' Ἔλατον πέ-
ἠδ' ὅν περ Μενέλαος ἕλε ζώοντα, Ἄδρηστον.
Ἕκτωρ δ' αὖθ' Ἑλένοιο φραδαῖς ποτὶ Ἴλιον ἦλθε,
πόρτιας ἐξερέων δύο καὶ δέκα ῥέξαι Ἀθήνῃ.
Τυδείδης δ' ἐσπείσατο Γλαύκῳ Ἱππολόχοιο,
χάλκεα δ' ὅπλα ἄμειψε καὶ εἵλετο χρύσεα τοῖο·
Ζεὺς γάρ τε φρένας ὀλβιοδώρου κύδανε Γλαύκου,
ὥς κεν ἀεὶ κλέος ἄφθιτον ἔσται ξεινοσυνάων.
Ἕκτωρ δ' ὡς ἐπέτειλε Τρωάσι ῥέξαι Ἀθήνῃ,
βῆ ῥ' ἴμεν ὀτρυνέων καὶ Ἀλέξανδρον πολεμίζειν.
Αὐτὸς δ' Ἀνδρομάχην τε καὶ υἱέα Ἀστυάνακτα
ἀντιφρόνων πραπίδων ἀγανοῖς βουλεύμασι θέλξας
ῥώετ' ἀπὸ πτόλιος σὺν Ἀλεξάνδρῳ ποτὶ χάρμην.
Ἔνθ' ἄρ' Ἀλέξανδρος μὲν ἔπεφνε Μενέσθιον ἔγχει,
Ἕκτωρ δ' Ἠϊονῆα, Ἰφίνοον δὲ Γλαῦκος.
Αἴας δ' ἐκ προκλήσιος Ἕκτορι δῆριν ὀρίνας,
νικήσας νίκης ἐριγηθέος εἵλετο δῶρα
νῶτα βοὸς μεγάλοιο, τά οἱ τότε δῶκεν Ἀτρείδης.
Ὦ σχέτλιοι μέροπες, κακοφραδέες, ἀγριόθυμοι,
οἳ νείκους μὲν τίετε εἴδωλ' Ἐμπεδοκλείου,
χωλούς τε ῥυσσούς τε παραβλῶπάς τ' ὀφθαλμώ,
ἀνέρας ἡμιθέους δὲ τοίοις τίετε δώροις,
ἢ βοὸς ἢ ὄϊος ἢ ὄρνιθος μελέεσσιν.
Οἷσι κἀμὲ καὶ ἄκων δειδίσκετο οὔλιος ἀνήρ,
ᾧ πρὶν ἐγὼ θήτευσα, κατηφὼν Ἰσαάκιος,
ἠδ' ἄλοχος κείνου περικερδής, ἀγκυλόβουλος,
δειδιότες ἀμὴν ἀγέρωχον καλλιέπειαν.
Τίμων δ' ἀφρονέοντες, ὅσοι τοῖς αἴσχεα ἦσαν,
λεπροί, ψεδνοχάρηνοι, ἀΐδριες, ἄχθεα γαίης,
οὕνεκα τῇ πείθοντο παρὰ κρυφίοις λεχέεσσιν,
οὐδ' ὡς ἄλλοι ἀνήνανθ', οἳ περιώσιον ἄσθεν,
καὶ ἐσθλοί περ ἐόντες· σωφροσύνη δ' οὐ χραῖσμεν.
Ἀλλά νυ τοῖσι Δίκη καὶ ὑστάτιόν περ ἀρήξει,
αὐτὰς δ' αὖτ' ὀλέσει, πολυεύνους, κλεψιγαμούσας,
χρυσόκερώς τε πόσεις, οἳ λώϊα οὐχ ὁρόωντες,
πειθόμενοι δολίῃσιν ἑαῖς ἐχίδναις ὁμολέκτροις,
τούτων μὲν κυδαίνουσι κρυφίους ὀαριστάς,
καὶ λεπρούς περ ἐόντας, ἀΐδριας, ἄχθεα γαίης,
ἀνέρας ἡμιθέους δέ, ἀριπρεπέας περὶ πάντας
καὶ γενεῇ καὶ εἴδεϊ ἠδὲ λόγοισι καὶ ἔργοις,
οὕνεκεν οὐ κακοί εἰσιν, ἀτίουσ' ἀφρονέοντες,
ὡς τότ' Ἀτρείδης, οὐδενοσώρας τίων ἄλλους,
Αἴαντα ταύροιο βοὸς νώτοισιν ἐτίμα,
Ἕκτορα, μέρμερον ἐχθρὸν, νικήσαντ' ἐνὶ χάρμῃ.
Ἀντήνωρ δ' Ἑλένην φάτο δοῦναι Τρῶας Ἀχαιοῖς·
μηδ' εἰκαῖα μάχεσθαι, ὅρκια δηλήσαντας·
δῶρα δ' Ἀλέξανδρος φάτο, οὐχ Ἑλένην ἀποδοῦναι.
Ἰδαῖον δὲ Τρῶες ἐπ' Ἀργείους ἐφέηκαν,
εἰπέμεναι τάδε, ὥς τε νεκροὺς ἐάσειαν θάψαι.
Οἱ δὲ τάδ' οὐκ ἔθελον, ἄμφω δὲ νεκροὺς κτερέϊξαν.

Æsepumque et Pedasum, filios Bucolionis;
Pidytenque Ulysses atque Astyalum Polypœtes,
Antilochus autem Aulerum, Teucer porro Aretaonem.
Leïtus dein Phylacum Bœotius interfecit heros,
Eurypylusque Melanthium, Atrides vero Elatum occidit
et, quem Menelaus cepit vivum, Adrastum.
Hector dein Heleni consilio (ad) Ilium rediit,
vitulos edicturus duodecim sacrificandos Minervæ.
Tydides porro pactus-est cum-Glauco Hippolochi *filio*,
æneaque arma commutavit et accepit aurea illius;
Juppiter enim mentem munifici honorabat Glauci,
ut semper gloria æterna esset hospitalitatis.
Hector vero postquam jussit Troades sacrificare Minervæ,
profectus-est ire excitaturus etiam Alexandrum ad-pugnan-
dum.] Ipse autem Andromachen et filium Astyanactem
sapientium cogitationum blandis consiliis exhortatus
properavit ex urbe cum Alexandro ad prœlium.
Ibi igitur Alexander interfecit Menesthium hasta,
Hector autem Eïoneum, Iphinoum vero Glaucus.
Ajax autem ex provocatione Hectori pugna excitata,
cum-vicisset, victoriæ lætissimæ accepit munera
terga bovis magni, quæ ipsi tunc dedit Atrides.
O stolidi homines, malevoli, feroces,
qui jurgii honoratis spectra Empedoclei,
claudos ac rugosos limisque-spectantes oculis,
viros autem semideos talibus honoratis donis,
sive bovis, sive ovis, sive avis membris,
quibus etiam-me, etiamsi invitus, excepit exitiosus vir,
cui prius ego serviebam, probrosus Isaacus,
atque uxor illius lucri-cupidissima, versuta
metuentes meam gravem eloquentiam.
Honorabant autem insanientes, quotquot ipsis dedecori-
erant,] leprosi, calvi, idiotæ, onera terræ,
quia ab illa se-adduci-passi-sunt ad furtivos concubitus,
neque ut alii recusarunt, qui maximis malis-affecti-sunt,
quamvis honesti essent; temperantia autem nihil profuit.
Sed his Justitia, etiamsi sero, opitulabitur,
ipsas contra perdet, adulteras, clam-nuptas,
aureis-cornibus vero mariti, qui meliora non videntes,
obsequentes suis dolosis echidnis conjugibus,
horum quidem honorant furtivos concubinos,
etiamsi leprosi sint, idiotæ, onera terræ,
viros autem semideos, excellentes præ omnibus
et genere et forma et verbis et operibus,
quia turpes non sunt, non-honorant insanientes,
sicut tunc Atrides, nulla-cura-dignos colens alios,
Ajacem tauri bovis tergo honoravit,
qui-Hectorem, gravem hostem, vicerat in prœlio.
Antenor autem Helenam jussit reddere Troes Achæis;
neque temere pugnare, fœderibus læsis;
dona vero Alexander voluit, non Helenam reddere.
Idæum igitur Troes ad Argivos miserunt,
qui-diceret hæc, et ut mortuos sinerent sepelire.
Illi tamen illud nolebant, utrique vero mortuos humarunt.

Καὶ νηῶν ἔρυμα, πύργους, ποίησαν Ἀχαιοί,
Νέστορος ἐν βουλαῖσιν· ὁ γὰρ περίοιδε νοῆσαι.
Ζεὺς δὲ τότ᾽, οὐρανὸς, ἀργυφέας νεφέλας στυφελίζων,
βρόντα χωόμενος, κακὰ δ᾽ Ἀργείοισιν ἐδείκνυ.
Κυδιόων δ᾽ ἀγόρευε θεοῖς κρατερώτατος εἶναι,
οὕνεκεν οὐρανοῦ ἐν κινήσει πάντα φορεῖται.
Ἀργεῖοι δὲ Τρωσὶν ὑπέτρεσαν ἡττηθέντες.
Νέστορα δ᾽ Ἕκτορος ἐξεσάωσεν ἄναξ Διομήδης·
κτεῖνε δ᾽ ἄρ᾽ Ἕκτορος ἡνίοχον, ταχὺν Ἠνιοπῆα.
Αὖθις δ᾽ αὖτ᾽ Ἀγέλαον ἔπεφνε τάφροιο ὀρούσας,
αἰετὸν ὡς ἐνόησε νεβρὸν ῥίψαντα ἔραζε.
Πέφνον δ᾽ ἄλλοι ἄλλους Ἀργείων βασιλῆες.
Τεῦκρος δ᾽ αὖτε δέκα κτείνας τόξοιο βολάων,
ὑστάτιον βλήθη λίθῳ Ἕκτορος, ἤχθη δ᾽ ἐς νέας.
Τρῶες δ᾽ Ἀργείους ἔλασαν παρὰ τάφρον Ἀχαιῶν.
Ἀλλ᾽ ὅτε τοὺς ἀπέπαυσε νὺξ ἀνδροκτασιάων,
καίοντες πυρὰ φεύγειν ἐξαπόεργον Ἀχαιούς.
Χίλια ἦν πυρὰ, πεντήκοντα δὲ ἄνδρες ἑκάστῳ.
Ὣς ἐφύλασσον Τρῶες. Ἀχαιοὶ δ᾽ αὖτε δαμέντες
πρέσβεσι Πηλείδην λιτάνευον· ὁ δ᾽ αὖτ᾽ ἀπέειπεν.
Τυδείδης δ᾽ Ὀδυσεύς τε κατάσκοποι ἦκον Τρώων·
κτείναντες δὲ Δόλωνα, δυώδεκα Θρῆκας, Ῥῆσον,
αὖτις ὑπέστρεφον, ἵππους Ῥήσου τοῖο λαβόντες.
Αὐτὰρ ἐπεὶ ἁγνὸν ἐξεφάνη φῶς Ἠριγενείης,
πολλοὺς χρείων Ἀτρείδης καταέκτανε Τρώων.
Καὶ τότε τὸν ἀπέπαυσε Κόων, δορὶ χεῖρα τορήσας,
Σῶκος δ᾽ αὖτ᾽ Ὀδυσῆα, τὸν Αἴας ἐξεσάωσεν.
Αὐτὰρ Ἀλέξανδρος κεραελκέα τόξα ἐρύων
Τυδείδην βάλεν ἠδὲ Μαχάονα Εὐρύπυλόν τε.*
Νέστωρ δ᾽ ὡς φορέεσκε Μαχάονα ἰητῆρα,
Πάτροκλον ἧκεν Ἀχιλλεὺς ἐξερέοντα, τίς εἴη·
ὃς δὴ Νέστορος ἐκ κλισίης παλίνορσος ὀρούων
Εὐρυπύλου βεβολημένου ἄγριον ἕλκος ἀκεῖτο.
Τεῖχος δὲ Τρῶες Δαναῶν ἕλον, οἱ δὲ φέβοντο.
Τοὺς δ᾽ Ἐνοσίχθων Ἀργείους ἐσάωσε Ποσειδῶν,
πολλὰ δ᾽ ἀπ᾽ ἀμφοτέρωθε καρήατα πῖπτον ἔραζε.
Καὶ τότ᾽ Ἀτρείδης καὶ Νέστωρ σὺν τραυματίαισιν
ἐς πόλεμον κατέβαινον· ἐρίβρομος ἦν γὰρ ἰωή.
Ἥρη λεπταλέος δὲ ἀὴρ πυρόεις, ἀνορούσας,
κράσιος, Ἀφροδίτης, παντερπέα κεστὸν ἑλοῦσα,
ὀμβροφόρων νεφέων ἀνεμώδεας ἤλασεν ὁρμὰς,
εἶαρ δ᾽ ἀνθεμόεν ποιητρόφον ἐξεφαάνθη,
πάμπαν δ᾽ οὐ κατάεσχε, μετάτροπος ἤθελε δ᾽ εἶναι.
Τοὔνεκα λάθριον Ἥρης κοίτην φημίξαντο
ὕπνον τε Ζηνός. Νίκων δὲ Τρῶας Ἀχαιοὶ,
Αἴας δ᾽ Ἕκτορα χάρμης παῦσε λίθου ὑπ᾽ ἐρωῆς. [χλον.
Κραιπνοσύνῃ δὲ ποδῶν Λοκρὸς ἔκτανε νήριθμον ὄ-
Αὐτὰρ ἄρα Ζεὺς ἐγρόμενος κακὰ τεῦξεν Ἀχαιοῖς·
Ἕκτορα γάρ τ᾽ ἀνέγειρε βεβλημένον, αἷμ᾽ ἐμέοντα,
ὃς πολέας ὀλέσας νέα πρῆσε Πρωτεσιλάου. [οῖς,
Καὶ τότ᾽ Ἀχιλλεὺς Πάτροκλον ἧκεν ἀμῦναι Ἀχαι-
ὃς πολέας ὀλέσας, Σαρπηδόνα τε Διὸς υἱὸν,
ὕστατον αὐτὸς ὑφ᾽ Ἕκτορος ἔκθανεν ἀνδροφόνοιο.
Αὐτὰρ δὴ Μενέλαος χρυσοχόμην κατέπεφνεν

Et navium tutamen, turres, fecerunt Achæi,
Nestoris consiliis; is enim bene-scivit consulere.
Juppiter autem tum, cœlum, argenteis nubibus percussia,
tonuit iratus, malaque Argivis præsagivit.
Jactans autem nunciavit diis *se* potentissimum esse,
quoniam cœli in motu omnia feruntur.
Argivi autem Trojanos tremebant superati.
Nestoremque ab-Hectore servavit rex Diomedes;
occidit vero Hectoris aurigam, velocem Eniopeum.
Porro etiam Agelaum interfecit e-fossa irruens,
aquilam ubi vidit hinnulum abripientem ad-terram.
Interfecerunt autem alii alios Argivum reges.
Teucer autem decem occisis sagittarum ictu,
postremo percussus-est lapide Hectoris et abductus-est ad
naves.]Troes autem Argivos propellebant ad fossam Achæo-
rum.] At ubi eos cohibuit nox a-cædibus,
accensis ignibus prohibuerunt Achæos.
Mille erant ignes, quinquaginta autem viri apud-unum-
quemque.]Ita vigilias-agebant Trojani; Achæi contra domiti
per-legatos Peliden implorarunt; is tamen abnegavit.
Tydides autem Ulyssesque exploratores venerunt Trojano-
rum;] et interfectis Dolone, duodecim Thracibus, Rheso,
rursus reversi-sunt equis Rhesi captis.
At postquam sacra apparuit lux Auroræ,
multos principum Atrides interfecit Trojanorum.
Et tunc eum cohibuit Coon, hasta manu perforata,
Socus item Ulyssem, quem Ajax servavit.
At Alexander, corneo arcu intento,
Tydiden percussit ac Machaonem Eurypylumque.
Nestor autem ubi *curru* vexit Machaonem medicum,
Patroclum misit Achilles interrogaturum, quis esset.
Qui Nestoris e tentorio reversus festinanter
Eurypyli sauciati sævum vulnus sanavit.
Murum dein Danaum Trojani expugnarunt, hi vero fu-
giebant.] At Concussor-terræ Argivos servavit Neptunus,
multaque utrinque capita cadebant humi.
Et tunc Atrides et Nestor cum vulneratis
ad pugnam descendebant; namque graviter-fremens erat
clamor.] Juno, rarus aer igneus, concitatus,
temperaturæ, Veneris, amœno cesto sumpto,
imbriferarum nubium ventosos propulit impetus,
ver autem floridum herbiferum apparebat,
at omnino non retinuit, mutabilis enim voluit esse.
Ideo occultum Junonis concubitum narrabant
somnumque Jovis. Vicerunt autem Trojanos Achæi,
Ajaxque Hectorem a-pugna cohibuit lapidis impetu,
celeritate vero pedum Locrus interfecit innumeram turbam.
Verum Juppiter experrectus mala paravit Achæis;
Hectorem enim excitavit vulneratum, sanguinem vomen-
tem,] qui multis interemtis navem incendit Protesilai.
Et tunc Achilles Patroclum misit, qui-opem-ferret Achæis,
qui multis interemtis Sarpedoneque Jovis filio,
postremo ipse ab Hectore occisus-est homicida.
At jam Menelaus aureis-capillis-comatum interfecit

Βουκολίδην Εὔφορβον, Ἀβαρβαρέης φίλον υἱόν.
Ἀργαλέου πολέμου γεγαῶτος δ' ἀμφὶ Πατρόκλῳ,
Ἀντίλοχον πέμπουσιν Ἀχιλλῆϊ ἐρέοντα.
Ὅς δέ γε λυγρὴν ἀγγελίην τοίην ἐπακούσας
ἤϊεν ἐς πόλεμον καὶ ἤγαγε νεκρὸν ἑταῖρον.
Ταῦτ' ἄρα μῆνις ἔτευξε βαρύφρονος Αἰακίδαο,
ἣν Παλαμήδεος εἵνεκα μήνιεν Ἀργείοισιν·
τήνπερ Ὅμηρος ἔφησεν, οὗ εἵνεκα εἶπε, γενέσθαι,
οὐκ ἐθέλων Δαναοῖς κακὸν αἶσχος τοῖον ἰάψαι,
οὗ χάριν οὐδ' ἐπέεσσιν ἑοῖς ὕμνησε τὸν ἄνδρα.
Ταῦτ' ἄρα μῆνις ἔτευξε, μέχρι καὶ Πάτροκλον εἷλεν.
Αὐτὰρ ἐπεὶ βαρύμηνιν ἔπαυσε χόλον Πηλείδης,
Ἀτρείδαις ἐσπείσατο· σὺν δ' ὅπλα χρύσεα τεύξας
ἤϊεν ἐς πόλεμον, πολέας δὲ Τρώων πέφνεν,
Αἰνείᾳ δὲ καὶ Ἕκτορι φύζαν ἀνάλκιδα ἧκε.
Τοὺς δ' ἄλλους ἐδάϊξε παρὰ Ξάνθοιο ῥέεθρα.
Ποινὴν δ' ἂρ Πατρόκλου ζῶντας δυοκαίδεκα εἷλεν.
Ὣς ὅ γε τοὺς ἐδάϊζε παρὰ Ξάνθοιο ῥέεθρα.
Οἱ δ' ἄλλοι ἐδύοντο ποτὶ πτόλιν ἔνδοθι τείχους,
Ἕκτορα δ' οἷον μοῖρα πυλάων ἐκτὸς ἔρυξεν·
τὸν δ' Ἀχιλεὺς κατέπεφνε καὶ ἅρματι ἕλκετο δήσας.
Ἄνδιχα δ' ἐξερέουσιν, ὅπως θάνεν ἀρεϊ Ἕκτωρ.
Οἱ μὲν γὰρ προπάροιθε πυλάων φασὶν ὀλέσθαι,
ἀντία Πηλείδαο δαΐφρονος ὁρμήσαντα,
πληγὴν ὀβριμόεσσαν ἐπ' ἀσφαράγοιο λαβόντα.
Τῶν δ' ἄρα θυμὸς ἀγήνωρ οὐκ ἐπέεσσιν ὑπείκει,
ὡς αὐτοσταδίῃ Πηλείδης Ἕκτορα πέφνεν,
ἀλλ' ἄρα καρτερόθυμον Ἀμαζόνα Πεντεσίλειαν
ἐρχομένην φάσκουσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι.
Νυκτὸς ἀνὰ κνέφας ἐξελθὼν Ἕκτωρ [οἱ] ὑπήντα·
ἀνδράσι σὺν ὀλίγοις δὲ πόρον περόωντα Σκαμάνδρου
κάκτανε Πηλείδης, ὀπιπεύσας ἐν ξυλόχοισιν.
Ἠοῦς δ' αὖτε πρὸ ἄστεος ἐκ δίφρου ἕλκε ποδοῖϊν
πηῶν ἠδὲ φίλων προπάροιθε κεδνῶν τε τοκήων,
Τρώων Τρωϊάδων τε ἰδὲ κλειτῶν ἐπικούρων,
οἳ μέγα δὴ γοάασκον ἀπὸ πύργων ὁρόωντες.
Τόσση δ' αὖτε πολύθροος ὤρετο τοῖσιν ἰωή,
ὡς οἰωνοὺς ἠέρι ἐν ταναῇ δονέεσθαι,
φρικαλέην δεισάντας ἐρίβρομον ἄγριον οἴμην·
ῥίγια δὲ κλάγγαζον ἐν ἠερίοις στομάτεσσιν,
ῥιπῇ ἐνὶ πτερύγων φρικώδεα δοῦπον ἱέντες.
Γηθόσυνοι δ' ἑτέρωθεν Ἀχαιοὶ ἀντεπίηχον.
Καὶ τότε Τρῶες κλήϊσαν Ἴλιον ἀγλαόπυργον.
Ἀλλ' ἄρα καὶ μορφὴν κλυτοῦ Ἕκτορος ἐξερεείνω·
ψελλὸς ἔην ἠΰς τε, μέγας, μέλας, ὀβριμόφωνος,
εὔριν, ἠϋγένειος, ὀλόθριξ, κυανέθειρος.
Τοῖος ἐὼν πέσεν, ἤκαχε δ' αὖτε Τρῶας ἅπαντας.
Πηλείδης δὲ Πάτροκλον ἑὸν κτερέϊξεν ἑταῖρον·
ἄθλους αὖτε ἔθηκεν, ἀεθλοῦσι καὶ ἄεθλα,
ἔξοχα Πριαμίδαο κεχαρμένος Ἕκτορος οἴτῳ,
ὃν ἔχε πὰρ κλισίῃσι δυωδεκάτην ἐπὶ ἠῶ,
νεκρὸν ἀεικίζων· ὡς γὰρ Διὸς ἤθελεν αἶσα.
Ἀλλ' ὅτε δὴ τρισκαιδεκάτη θέλεν ἐλθέμεν ἠώς,
αὐτίκ' ἄρα μέγαν Οὐρανὸν ὦρσε φερέσβιος Ἥρη,

Bucoliden Euphorbum, Abarbareæ carum filium.
Gravi autem pugna exorta circum Patroclum,
Antilochum mittunt Achilli nuntiaturum.
Qui tristi nuntio hoc audito
rediit in bellum et abstulit mortuum amicum.
Hæc igitur ira effecit animosi Æacidæ,
qua Palamedis causa succensuit Argivis,
quam quidem Homerus voluit, quapropter dixit, exortam
-esse,] nolens Danais malum probrum tale inferre,
qua de-causa carminibus suis ne cecinit quidem illum vi-
rum.] Hæc itaque ira effecit, donec etiam Patroclum peri-
meret.] At postquam gravem remisit iram Pelides,
cum-Atridis pactus-est; armisque aureis sibi-paratis
abiit in bellum, multosque Trojanorum interfecit,
Æneæque autem et Hectori fugam imbellem immisit.
Reliquos vero prostravit ad Xanthi fluenta.
Præmium tamen Patrocli vivos duodecim cepit.
Ita is illos prostravit ad Xanthi fluenta.
Alii contra se-receperunt in urbem intra murum,
Hectoremque solum fatum extra portas retinuit;
hunc igitur Achilles occidit et currui alligatum raptavit.
Duplici-autem modo referunt, quomodo mortuus-sit in-bel-
lo Hector.] Alii enim ante portas dicunt *eum* interiisse,
adversus Peliden bellicosum ruentem,
plaga violenta in gutture accepta.
Aliorum contra mens præstans carminibus (*Homeri*) non
assentitur,] quod in-pugna-stataria Pelides Hectorem in-
terfecerit,] sed magnanimam Amazona Penthesileam
advenientem dicunt Trojanis opem tulisse.
Noctis per tenebras egressus Hector [ipsi] obviam-factus
-est;] cum viris autem paucis vadum transeuntem Scaman-
dri] interfecit Pelides, insidiatus in silva.
Mane autem ante urbem raptavit e curru *pendentem* pe-
dibus] coram cognatis atque amicis venerandisque paren-
tibus,] Trojanis Troadibusque atque inclytis sociis,
qui valde lamentabantur de turribus spectantes.
Talis autem multisonus ortus-est illis clamor,
ut aves in aere extenso agitarentur,
terribilem metuentes valde-frementem sævam vocem;
horrendum igitur clangebant aeriis oribus,
impetu alarum horribilem strepitum emittentes.
Lætati vero ex-altera-parte Achæi clamore-respondebant
Et tum Trojani clauserunt Ilium egregie-turritum.
Verum etiam formam inclyti Hectoris exponam:
balbus erat pulcerque, magnus, niger, forti-voce,
pulcro-naso, egregia-barba, totis-capillis, nigris-cincinnis.
Talis qui-erat, cecidit, afflixitque Trojanos omnes.
Pelides autem Patroclum suum sepelivit amicum;
certamina vero instituit, certantibusque præmia,
immense exultans de-Priamidæ Hectoris morte,
quem habebat in tentoriis duodecimum ad diem,
cadaver fœdans; sic enim Jovis voluit fatum.
Sed quando jam decima-tertia voluit venire aurora,
statim magnum Uranum excitavit alma Juno (*Tellus*)

Ἄκμονος ἀκαμάτοιο ἐὺν γόνον, ἐμπεδόμοχθον,
ὑψοῦ ὑπὲρ γαίης ἐξ ὠκεανοῖο φορεῖσθαι·
Νὺξ δ' ἀέκουσα θεὰ Κρονίης ἐπέβαινε κελεύθου,
ὀψομένη Τιτῆνας ἀμειδέας, ἠερόεντας·
Ἠὼς δ' αὖτ' ἀνέβαινεν ἀπὸ Κρόνου ἐς Διὸς οὖδας.
Ἔχθρα γὰρ ἀλλήλῃσιν ἀνάρσιος ἔπλετο τῇσιν·
οὐδέποτ' εἰσορόωσιν, ἀποστρεφέουσι δ' ὀπωπάς.
Οὐδέποθ' ἓν μέγαρον κατέρυξεν εἰς ἓν ἰούσας,
οὕνεκα Νὺξ κροκόπεπλον ἐγείνατο Ἠριγένειαν,
ἡ δὲ χαλιφρονέουσα ἀείρεται εἴδεϊ καλῷ,
οὐδ' ἄρα θρέπτρα δίδωσιν ἀμείλιχος, ὥς περ ἐῴκει·
ὀργὴ δ' ἀμφοτέρῃσι πανάγριος ἔμπεσε τοῖα.
Τοὔνεκα Νὺξ κατέβαινε ποτὶ Κρόνον ἠερόεντα,
κούρη δ' Ἠριγένεια Διὸς ἐπέβαινε μελάθρων.
Σὺν δ' ἄρα Ἠελίοιο ἁλιτρεφέος σθένος ἠὺ
ἤλυθε κυδιόων, πᾶσι μακάρεσσι φαείνων·
δαίνυτο γὰρ κατὰ δῶμα Ποσειδάωνος ἄνακτος.
Γήθησαν δὲ θεοὶ καὶ ἴανθεν τόνδε ἰδόντες. [των,
Καὶ τότε μὲν Πρίαμος, θνητῶν πανάποτμος ἁπάν-
ἐκ κονίης ἀνεγείρεθ', ὅπῃ κατὰ ὕπνος ἐπέσχεν
Ἕκτορα μυρόμενον, ἠὺν γόνον, ἀστυάνακτα.
Ἤτεε δ' ἐλθέμεναι μετὰ υἱέος ἀνδροφονῆα·
ὧδε γάρ οἱ θυμὸς περὶ οἷς μελέεσσιν ἐτόλμα,
ἠὲ κάρη ῥύσασθαι Ἕκτορος ἀνδροφόνοιο,
ἠὲ καὶ αὐτὸν χερσὶν ὑπ' Αἰακίδαο δαμῆναι.
Παῖδες δὲ καὶ Τρῶες ἐρήτυον ἔνδοθι πύργων·
ὡς δ' εἶδον ὀφθαλμοῖς δεξιὸν αἰετὸν ὄρνιν,
εἴασαν ἐλθέμεν, ἡμιόνους δὲ ζεῦξαν ἀπήνῃ.
Τῇ δ' ἐπὶ Ἑκτορέης κεφαλῆς λύτρα θῆκαν, ἑλόντες
κόσμον ἀπειρέσιον δέκα τε χρυσοῖο τάλαντα.

Καὶ τότε Τρωϊάδων πυλέων πετάσαντες ὀχῆας,
πανσυδίῃ γοόωντες πρὸ Πριάμοιο ἔβαινον.
Αὐτὰρ ἐπεὶ γοόωντες ἕρκεα τάφρου ἔβησαν,
λαοὺς μὲν ποτὶ πύργους τρέψε βίη Πριάμοιο,
μοῦνον δ' Ἰδαῖον λάβεν, ἡμιόνων ἐλατῆρα.
Ὃς δὲ γυιοτρομέων τε καρηβαρέων τε κάρηνον,
ἐν κονίῃ κεφαλὴν μεμορυγμένος εἵνεκα πένθους,
οἴκτρ' ὀλοφυρόμενος πεζὴν κατὰ οἶμον ἔβαινε.
Τοῦ δὲ Πολυξείνη παῖς, ἀγλαὸν εἶδος ἔχουσα,
χεῖρ' ἔχε δεξιτερὴν καὶ ἐπωρθεύεσκε πορείην.
Σὺν δέ οἱ Ἀνδρομάχη ἐπιέσπετο δακρυχέουσα,
νηπιάχους ἐρύουσα γοῶντας Ἕκτορος υἷας,
δοιὼ ἀδελφεώ, Ἀστυάνακτά τε Λαόδαμόν τε.

Οἱ δ' ὅτε δὴ κλισίῃσιν Ἀχαιῶν μίχθεν ἰόντες,
Ἀργείους λιτάνευον, ἐνὶ κονίῃσι πεσόντες,
πεισέμεν Αἰακίδην, ὄφρ' Ἕκτορα λύσῃ ἀποίνων.
Καὶ τότε γηραλέοι βασιλῆες ἔρυξαν Ἀχαιῶν
ὄμματα, πὰρ Πηλείδου ἀολλέες εἰσαγαγόντες.
Τοὺς ᾤκτειρεν ἰδών, εἰ καὶ μάλα χαλκεόθυμος,
οἰκτρὰ κυλινδομένους γε παραὶ ποσὶ μυρομένους τε.
Πρῶτα γάρ οἱ Πρίαμος κυλινδόμενος προσέειπε·

Ὄβριμε-Πηλείδη, μεγαλήτορα θυμὸν ἐπίσχες,
αἴδεο δ' Οὐρανίωνας, οἳ περὶ πάνθ' ὁρόωσι·
φείδεό μοι γήρως, λευκόχροά τ' αἴδεο χαίτην.

Acmonis indefessi egregium filium, laboriosum,
alte super terram ex oceano ferendum;
Nox autem invita dea Croniæ ingressa-est viam,
visura Titanes tristes, caligine-tectos;
Aurora contra conscendit a Saturni ad Jovis solum.
Inimicitia enim implacabilis invicem est his;
nunquam adspiciunt, sed avertunt oculos.
Nunquam una domus *eas* retinuit in unum congressas,
quia Nox peperit croceo-peplo Auroram,
quæ mentis-impotens effertur forma pulcra,
neque educationis-præmium solvit immitis, uti decet;
ira autem utrique sævissima incidit talis.
Ideo Nox descendit ad Saturnum tenebrosum,
filiaque, Aurora, Jovis ingressa-est ædes.
Simul vero Solis mari-nutriti robur egregium
venit superbiens, omnibus immortalibus lucens;
epulatus-est enim in domo Neptuni regis.
Gaudebant autem dii et oblectabantur illum videntes.
Et tunc quidem Priamus, mortalium infelicissimus omnium,
e pulvere experrectus-est, ubi somnus *eum* tenuit
Hectorem plorantem, egregium filium, civitatis-principem.
Postulavit autem, ut-abiret ad filii occisorem;
ita enim ipsi animus in ejus membris ausus-est,
ut-aut caput eriperet Hectoris homicidæ,
aut etiam ipse manibus Æacidæ domaretur.
Filii vero etiam Trojani retinebant *eum* intra turres;
ubi autem viderunt oculis dextram aquilam avem,
passi-sunt *eum* ire, mulosque jungebant plaustro,
in quo Hectorii capitis pretia collocabant, sumptis
ornamento infinito decemque auri talentis.

Et tum Trojanarum portarum repagulis reclusis,
toto-agmine lacrimantes Priamum præcedebant.
At postquam lacrimantes ad-septa fossæ pervenerunt,
populum quidem ad turres remisit vis Priami,
solum vero Idæum sumpsit, mulorum rectorem
Qui membris-trementibus gravatoque capite,
pulvere caput fœdatus propter mœrorem,
misere lamentans pedibus per viam incedebat.
Hujus filia Polyxena, splendidam speciem habens,
manum tenebat dextram et direxit iter.
Cum ea autem Andromache sequebatur lacrimans,
infantes trahens plorantes Hectoris filios,
duos fratres, Astyanactem Laodamumque.

Qui quum in-castra Achæum se-intulissent ingressi,
Argivis supplicarunt, in pulverem prostrati,
ut-persuaderent Æacidæ, ut Hectorem solveret pretio.
Et tunc senes reges cohibuerunt Argivorum
oculos, ad Peliden cuncti introducentes *illos*.
Quibus visis misertus-est, quamvis æreo-animo *esset*,
misere provolutorum ad pedes *suos* ac plangentium.
Primus enim Priamus provolutus eum allocutus-est

Fortis Pelide, elatum animum cohibe,
reverere Cœlites, qui omnia circumspiciunt;
parce meæ senectuti, albicoloremque reverere cæsariem.

Οἴκτειρόν με γέροντα βροτῶν βαρύποτμον ἁπάντων.
Πεντήκοντά μοι υἱέας εἷλες καρτεροθύμους,
ἀλλ' οὐ τόσσον φίλεον οἷά περ Ἕκτορα δῖον.
Γουνοῦμαι, νεκρὸν ὄντα τὸν Ἕκτορα λῦσον ἀποίνων,
μηδὲ ῥέθη δροσόεντα παραὶ κυσὶν ὠμὰ βάλῃσθα,
ἐὸς δὲ, Τρωάσι Τρωσί τε ὄφρα ἑ πένθος ἐνείκω.
Τοῖα μέν οἱ Πρίαμος προσεφώνεε Δαρδανιήδης.
Αὐτὰρ ἔπειτα δάμαρ κλυτοῦ Ἕκτορος ἱπποδάμοιο,
πυκνὰ μάλα στενάχουσα καὶ ἄσχετα μυρομένη γε,
ἦκα παρακλίνασα κάρη χαρίεν τε πρόσωπον,
λεπταλέοις μύθοισιν ἐλίσσετο ἀνδροφονῆα,
καί μιν λισσομένη προσεφώνεεν, ἄγριον ἄνδρα·
Αἰακίδη μεγάθυμε, θεῶν ἐπιειμένε εἶδος,
οἴκτειρόν με, ἄναξ, καὶ ὀρφανὰ τέκνα τοκῆος,
ὃς κλέος ἦν Τρώεσσι, τὸν ἔκτανες ἔγχεϊ θύων.
Οἴκτειρον πασῶν βαρυδαίμονα θηλυτεράων,
ᾗ πόρεν ἄλγεα λυγρὰ θεῶν νόος Οὐρανιώνων,
λυγρά τε καὶ στονόεντα καὶ ἐσσομένοισιν ἀκοῦσαι.
Ἀλλὰ τίη σοι ταῦτα ἀκηχεμένη ἐρεείνω;
Οἴκτειρόν με, ἄναξ, καὶ ἀνάρσιος εἰ τελέω περ.
Δὸς νέκυν Ἕκτορα, δός μοι, ὅπως τάφου ἀντιβολήσῃ.
Ἑπτὰ πρίν μοι ἀδελφειοὺς ἐσθλόν τε τοκῆα
κτείνας οὐδ' ἐνάριξας, σὺν δ' ἄρα τεύχεσι θάψας,
οὐ μὲν λύτρα λαβὼν, σὴν δ' αὖτ' ἀρετὴν ἀναφαίνων.
Ἣν καὶ νῦν, ἥρως, ἐπὶ Ἕκτορι δείκνυε ἄμμι,
παισὶ δὲ τοῖο δέμας καὶ ἐπὶ δώροισι χαρίζευ,
ὄφρα ἑ τυμβεύσωσι, μέγα περὶ σῆμα βαλόντες,
σῆς ἀρετῆς τόδε τεύξαντες κλέος ὑστατίοισιν.
Ὣς φάτο λισσομένη ἐσθλὴ πάϊς Ἠετίωνος.
Ἑκτορίδαι δ' ἑτέρωθεν ἐδάκρυον ἀγλαόμορφοι,
μητέρα δακρυόεσσαν λισσομένην ὁρόωντες,
μνησάμενοί τε τοκῆος, ὅθ' Ἕκτορος οὔνομ' ἄκουον.
Νηπιάχων βλεφάρων δὲ περίφρονα δάκρυα χεῖτο,
δάμνα δ' ἄρ' Αἰακίδαο νόον καὶ ἀμείλιχον ἦτορ.
Τοὺς γὰρ ὁρῶν ἐλέαιρε καὶ ἔνδοθι τείρετο θυμῷ·
εὐγενέων γὰρ δάκρυον ἄγριον ἄνδρα δαμάζει.
Χρωτὶ δ' ἐρευθιόωντι καὶ ἄχροος ἔμπεσεν ὦχρος,
δάκρυα δ' αὖ κατέκρυπτε καὶ ἐν βλεφάροισιν ἐδάμνα.
Ὡς δ' ὅτε λαμπετόωντος ἐν αἰθέρι ἠελίοιο
ἠέρι ἐμπελάσειε νεφῶν πυκνότης ἀπροόπτων,
τόνδε τε ἦκ' ἀπέκρυψε καὶ ἔσβεσεν εἴδεος αὐγὴν,
ὠχριόων δ' ὁράαται ὑπαὶ νεφέων ἐριδούπων,
ὄμβρον ἄγων ἀλίαστον ἐπὶ χθόνα χαλκοθέμεθλον·
ἲς δ' ἀνέμου βρομέοντος ἀπήλασεν ἄγριον ὄμβρον·
ὣς τότε ὠχριόον κατεφαίνετο κῆρ Ἀχιλῆος,
στυγνὰ δὲ λειριόεντα ἐείδετο ὄμματα τοῖο,
πένθεϊ τειρομένου περὶ πένθεϊ Ἑκτοριδάων.
Δάκρυα δ' αὖ βλεφάρων καὶ ἐπεσσύμενα προχέεσθαι
θυμὸς ἀπεσκέδασκε καὶ αἰόλα μήδεα φωτός.
Ὣς ὁ μὲν ἐν βλεφάροισιν ἑοῖς ἐπὶ δάκρυα κεῦθε.
Παρθένος ἁβροχίτων δὲ Πολυξένη ἔννεπε τῷδε,
ποσσὶν ἐπ' εὐτραφέεσσιν ἑλισσομένη περιπλέγδην·
Ὦ Ἀχιλεῦ, ἐλέαιρε καὶ ἄγριον ἦτορ ἐπίσχες.
Αἴδεο τόνδε γέροντα, ἐμὸν γενέτην βαρυπενθέα·

Miserere mei, senis mortalium infelicissimi omnium
Quinquaginta mihi filios interemisti magnanimos,
sed non tantum *eos* amabam, quantum Hectorem divinum.
Supplico, mortuus cum-sit, Hectorem solve pretio,
neve membra roscida canibus cruda projicias,
sed redde, ut Troadibus Trojanisque luctum eum (*Hectorem*) portem.] Talia quidem ei (*Achilli*) Priamus dixit Dardanides.] At deinceps uxor inclyti Hectoris equorum-domitoris,] valde multum ingemiscens et immense lugens,
leniter inclinans caput gratiosumque vultum,
infirmis verbis precata-est homicidam,
et eum precans allocuta-est, sævum virum :

Æacide magnanime, Deorum indute specie,
miserere mei, rex, et liberorum orbatorum patre,
qui gloria erat Trojanis, quem interfecisti hasta irruens.
Miserere infelicissimæ omnium mulierum,
cui obtulit dolores tristes deorum mens cœlicolarum,
tristes ac lamentabiles etiam posteris auditu.
Sed quare tibi hæc afflicta exponam?
Miserere mei, rex, etiamsi invisa *tibi* sim.
Redde mortuum Hectorem, redde mihi, ut sepulturæ particeps-fiat.] Septem prius mihi fratres nobilemque patrem
interfecisti, at non spoliasti, sed cum armis humasti,
non quidem redemptionis-pretium accipiens, tuam tamen
virtutem demonstrans.] Quam etiam nunc, heros, in Hectore ostendas nobis,] filiisque ejus corpus pro donis redde,
ut eum sepeliant, magnum monumentum circumjicientes,
tuæ virtutis hanc struentes gloriam posteris.

Ita dixit precans egregia filia Eetionis.
Hectoridæ autem ex-altera-parte lacrimarunt formosi,
matrem lacrimantem precari videntes,
recordantesque patris, ubi Hectoris nomen audierunt
De infantium autem oculis largæ lacrimæ fluebant,
vicerunt igitur Æacidæ mentem et immite cor.
Hos enim adspiciens misertus-est et intus contritus-est in-animo;] nobilium enim lacrima sævum virum vincit.
Cuti vero rubicundæ etiam pallidus incidit pallor,
lacrimas tamen celavit et in oculis suppressit.
Ut quando ad-splendentem in æthere solem
per-aerem appropinquat nubium densitas improvisarum,
et illum leniter celat et extinguit faciei jubar,
pallidus itaque videtur sub nubibus tonantibus,
imbrem adducens ingentem in terram æreis-fundamentis;
vis autem venti frementis depellit vehementem imbrem :
sic tunc pallidum apparebat cor Achillis,
tristes autem liliacei videbantur oculi ejus,
luctu contriti propter luctum Hectoridarum
Lacrimas tamen ex-oculis quamvis cupientes prorumpere
animus disperserunt et agilia consilia viri.
Ita ille in oculis suis lacrimas celavit.

Virgo autem molli-peplo Polyxena dixit ad-illum,
pedibus bene-nutritis obvoluta tortionibus.

O Achilles, miserere et sævum cor cohibe.
Reverere hunc senem, meum genitorem infelicissimum;

οἰκτρὰ παραὶ προπόδεσσι κυλίνδεται, ἔστι δὲ ἄναξ.
Γυῖα δ' ὑποτρομέοντα παλαίχρονα τοῦδ' ἐλεαίρων,
υἱέα καρτερόθυμον ἀφ' Ἕκτορα λῦσον ἀποίνων.
Λῦσον ἀποίνων Ἕκτορα, πρὸς δ' ἐμὲ λάμβανε δούλην
σῇσιν ἐνὶ κλισίῃσι παρ' ἄλλαις δμωϊάδεσσιν.
Ὣς φάτο μειλιχίοισιν, ὀδυρομένη περὶ κῆρι.
Τοὺς δ' Ἀχιλεὺς ἐλέαιρε, γέροντα δ' ἐλάζετο χειρὸς,
καί μιν ἐφεδριάασκεν, ἐπ' ἠρέμα δάκρυον εἴβων.
Πολλὰ παρηγορέων δὲ καὶ εἴδατα πεῖσε πάσασθαι·
ὃς δὲ ἐπείθετο, δαῖτα δ' ἐλάμβανε, εἴτε καὶ ἄκων.
Ἀλλ' ὅτε δὴ δαίσαντο περὶ ξενίῃσι τραπέζαις,
ἐξέθορε κλισίης Ἀχιλεὺς, Πριάμου δ' ἀπ' ἀπήνης
χρυσὸν ἄρ' εἷλε καὶ ἄργυρον Ἑκτορέων ἀπὸ λύτρων.
Ἄλλα δὲ δῶρον ἔδωκε Πολυξένῃ οἶκαδ' ἄγεσθαι,
μνῆμα γάμοιο ἑοῦ καὶ Ἀχιλλῆος μεγαθύμου·
οὐ γάρ οἱ ἔλπετο θυμὸς ἀπὸ πρὸ γάμοιο δαμῆναι,
τήνδε τε σήματι τοῖο ὑπ' ἄορι θυμὸν ὀλέσσαι.
Ἀλλ' ὅτε πάντα ἔρεξε καὶ Ἕκτορα θῆκεν ἀπήνῃ,
εἴρετο Δαρδανίωνα, ποσῆμαρ φύλοπιν ἴσχοι,
Ἕκτορ' ὅπως γοάοιεν ἀταρβέα δακρυχέοντες.
Αὐτὰρ ἐπεὶ ἐσάκουσεν καί οἱ ὑπέσχετο πάντα,
αὐτὸς μὲν κλισίην εἰσένθορε δῖος Ἀχιλλεὺς,
τοὶ δὲ ποτὶ Τροίην ἀδινὰ στενάχοντες ἔβαινον.
Ἀλλ' ὅτε δὴ Τροίηθεν ἐφαίνετο κήδεος Ἕκτωρ,
νεκρὸς ἐπ' ἀπήνης περόων Ξάνθοιο ῥέεθρα,
πρώτη Τρωϊάδων Κασσάνδρη φοιβὰς ἰδοῦσα
κόσμον ἅπαντ' ἀπὸ κρατὸς ἔχευεν, ἔλυσε δὲ χαίτας.
Πάντῃ δ' ἔνθα καὶ ἔνθα ἑλισσομένη περὶ πύργους,
πυκνὰ κόμην τίλλουσα τοῖον ἐπίαχε μῦθον·
Τρωϊάδες βαθύκολποι, Τρώων τ' ἄσπετα φῦλα,
γλῶσσα πολυσπερέων τε δορυκλυτῶν ἐπικούρων,
δεῦτέ μοι ἐκ πυλέων τε καὶ ἐκ πύργων ὁρόωντες,
πένθος ἄλαστον τοῖον ἐνὶ φρεσὶ θέσθε ἑῇσιν.
Ἕκτωρ, ὃς πρὶν ἐρύετο Ἴλιον ἀγλαόπυργον
ἠδ' ἀλόχους Τρώων κεδνὰς καὶ νήπια τέκνα,
ὃς κῦδος Τρώεσσιν ἔην κλειτοῖς τ' ἐπικούροις,
αἵματος ἐξ Ἀργείου Τρώων γαῖαν ἐρεύθων,
οὗ κλέος ἀνθρώποις οὐδ' ὑστατίοισιν ὀλεῖται,
νεκρὸς ἐπὶ Τροίην ἐπ' ἀπήνης ἔρχεται, οἴμοι!
Ὣς ἡ μὲν στενάχιζε θεοπρόπος ἐκβοόωσα.
Λαοὶ δ' οἱ μὲν ἔβαινον ἐπ' ἀκροπόλει περὶ πύργους,
τλησίπονοί τε γέροντες, γραῖαι δ' αὖτ' ἐπὶ τοῖσι,
καὶ κοῦραι καὶ νύμφαι, παιδογόνοι τε γυναῖκες·
ἄλλο τε πλῆθος ἔβαινεν, ἐπεστείνοντο δὲ πύργοι.
Μητράσι δ' ἅμ' ἀνέβαινε κατηφέα νήπια τέκνα,
ἀρτίποδος βάσιος τρομερὸν γόνυ δινεύοντα,
ἄλλα δ' ὑπαὶ μαζοῖσιν· ἐμύρετο δὲ καὶ ταῦτα.
Ὣς οἱ μὲν περὶ πύργους βαῖνον δακρυχέοντες.
Οἱ δ' ἄλλοι ἐχέοντο πανιλαδὸν ἔξω τείχους.
Καὶ τότε Τρωϊάδων βασιλήϊα φῦλα γυναικῶν
ἀμφ' Ἑκάβην ἀγέροντο καὶ ἔστενον, ἄλλοθεν ἄλλη,
Ἀγχίσου Ἀγαμήδη, ἀδελφεὴ Αἰνείαο,
Φρόντις, Ἀβαρβαρέη, Θεανὼ, Κλυτίοιό τ' ἄκοιτις
Λαοθόη, Οἰνώνη, ἄλλαι Τρωϊάδες τε,

misere ad pedes provolvitur, est autem rex.
Membrorum igitur trementium senilium hujus misertus,
filium magnanimum Hectorem solve pretio.
Solve pretio Hectorem, et insuper me sume servam
tuis in tentoriis cum reliquis ancillis.
Sic dixit dulcibus *verbis*, mœrens in corde.
Horum igitur Achilles misertus-est, senisque prehendit
manum,] et eum considere-jussit, leniter lacrimam stillans.] Multa autem exhortans etiam, cibos ut-gustaret, et
persuasit.] Qui obsecutus-est dapesque cepit, etiamsi invitus.] At quum epulati-essent circum hospitales mensas,
prosiliit e-tentorio Achilles, Priamique a plaustro
aurum cepit et argentum ex Hectoreis pretiis-redemptionis.
Reliqua vero dono dedit Polyxenæ domum ferenda,
monimentum nuptiarum ipsius atque Achillis magnanimi;
non enim expectabat ejus animus ante nuptias se-succubiturum,] illamque in-tumulo ipsius sub ense vitam perdituram.] At postquam omnia perfecit et Hectorem imposuit
plaustro,] quæsivit e-Dardanide, quot-dies pugna inhibenda
-esset,] ut Hectorem deplorarent intrepide lacrimantes.
At postquam audivit et illi promisit omnia,
ipse quidem in-tentorium insiliit divus Achilles,
illi autem (ad) Trojam immense gementes redierunt.
At ubi jam Troja conspectus-est inclytus Hector,
mortuus in-plaustro transiens Xanthi fluenta,
prima Troadum Cassandra vates intuita *eum*,
ornamentum cunctum de capite projecit, solvitque capillos.
Undique autem hic et illic provoluta per turres,
frequenter coma laniata, talia exclamavit verba:
Troades profundo-sinu, Troumque innumeræ gentes,
lingua longe-sparsorum et hastapotentium sociorum,
huc-agite e portis atque e turribus videntes,
luctum infinitum talem mentibus injicite vestris.
Hector, qui prius defendit Ilium splendidis-turribus
atque uxores Trojanorum venerandas et infantes liberos,
qui decus Trojanis erat inclytisque sociis,
sanguine Argivo Trojanorum terram rubefaciens,
cujus gloria apud homines ne-remotissimos quidem interibit,] mortuus (ad) Trojam in plaustro advenit, heu-mihi!
Ita illa gemiscebat vates vociferans.
Populi vero alii conscenderunt arcem per turres,
ærumnosique senes, vetulæque etiam cum ipsis,
ac puellæ et recens-nuptæ, liberorumque-parentes mulieres;
aliaque multitudo ascendit, arctabantur igitur turres.
At cum matribus conscenderunt vultu-demisso infantes liberi,] firmæ plantæ-pedis tremens genu torquentes,
alii vero ad mammas; quiritabant autem etiam hi.
Sic illi per turres incedebant lacrimantes.
Cæteri effundebantur totis-agminibus extra murum.
Et tunc Trojanarum mulierum regiæ gentes
circum Hecubam congregabantur ac gemebant, aliunde
alia,] Anchisæ *filia* Agamede, soror Æneæ,
Phrontis, Abarbarea, Theano, Clytiique uxor
Laothoe, Œnone, aliæque Troades,

νύμφαι τε Πριάμοιο, εὐγενέες περὶ πάσας.
Σὺν δ' Ἑλένη τανύπεπλος ἐφέσπετο δακρυχέουσα,
τέτρασι σὺν τεκέεσσιν, Ἀλεξάνδροιο γενέθλῃ,
Βουνίκῳ Κορύθῳ τε καὶ Ἀγάνῳ Ἰδαίῳ τε.
Κασσάνδρη δ' ἑκάτερθ' Ἑκάβης καὶ Λαοδίκεια,
τήνδε ποδοσφαλέουσαν ἀείρουσαι κατὰ κόσμον.
Ἥδε μὲν οἷα νέκυς κάρη ἤμυεν ἔνθα καὶ ἔνθα·
τῆς δ' αὖτε προπάροιθεν υἱέες ἕνδεκα βαῖνον,
Αἴσακος ἠδ' Ἕλενος, Πάμμων, Πάρις Ἀντίφονός τε,
Ἱππόθοος Ἀγάθων τε, Πολίτης Δηΐφοβός τε·
σὺν δ' ἄρ' ἀγαυὸς Τρωΐλος αὖτ' ἐπὶ τοῖσιν ἐπῆεν,
οἳ φύγον Αἰακίδαο βίην, ζῶον δ' ἄχρι καὶ τότε.
Οἶος ἀπῆν Πολύδωρος, νήπιος, ὢν ἐνὶ Θρήκῃ.
Οἱ δ' ὅτε δὴ πέλας ἦσαν ἀπήνης Ἑκτορέοιο,
πάντες ἐπ' ἀσκεπέες καὶ ἀκρήδεμνοι κατέπιπτον,
μυρόμενοι, γοόωντες, ἀνέρες ἠδὲ γυναῖκες.
Ὡς Τρώων βασιλῆες μυρόμενοι στονάχιζον
ἐς πεδίον καταβάντες, ὅθι νέκυς Ἕκτορος ἦεν.
Ἂν δὲ μέγας ἀπὸ πύργων ὦρτο γέρων ἀλαλητός·
νηπίαχος δ' ἑτέρωθεν ἐπέβρεμεν ἄπλετος αὐδή·
τοῖς δ' ἔπι θῆλυς ὁμαρτῇ ἄλλοθεν ἴαχε κραυγή.
Στέναξαν δὲ πολύθροον ἔθνεα πάντ' ἐπικούρων.
Ἵπποι δὲ χρεμέθοντο πανείκελα δακρυχέουσιν.
Ἥμερα δ' αὖτε κτήνεα, ὅσσα βροτῶν ὑποεργά,
πάντῃ ἐπεστροβέοντο, ἀτυζόμενα γόῳ ἀνδρῶν·
βόμβος δ' ἦν αὐτῶν ὡς μυρομένοισιν ὁμοίων.
Ἴαχε καὶ Σκάμανδρος, Νύμφαι τ' ἔβραχον Ἴδης.
Ἕλλη δ' αὖτ' ἐβόησεν· ἐπέγρετο βόμβος ἁπάντῃ.
Πένθεϊ δ' ἐν νεφέεσσιν ἐδύσατο Φοῖβος Ἀπόλλων·
ἠρέμα δάκρυσε καὶ Ζεύς, μῦκε δὲ γαῖα πελώρη.
Δεῖσαν δ', ὅσσοι ἔσαν ἀπάτερθεν, ἀγάστονον ἠχήν.
Τόσσος δοῦπος ἔην, ὁ Μέτων ὁπόσον γε ἀείδει
ὑστατίοις γεγάμεν ἐνὶ ἤμασι, τέρματι κόσμου,
ἑπτὰ θεοὶ μεγάθυμοι ὅταν Κρόνου οἶκον ἵκωνται
ὑδροχόον, σκοτόεντα, δονήσῃ δὲ Κρόνος αὐτούς,
δινήσῃ δ' ἄρα πάντα, Διὸς βασιλείαν ἀείρων,
πάντα καταχρύψῃ δ' ἐνὶ ἀχλύϊ εὐρυβερέθρῳ.
Τόσσος μυρομένοισι Τρωσὶν δοῦπος ἐπῆεν,
τόσση δ' αὖ μακάρων ἰαχὴ γένετ' ἤματι κείνῳ.
Καί νύ κε νὺξ κατέμαρψε Τρῶας δακρυχέοντας,
καί νύ κε δὴ πυλέων ἐκτὸς κατὰ ὕπνον ἕλοντο,
τιλλόμενοι ἀμφ' Ἕκτορα· τοῖον γὰρ ποθέεσκον·
ἀλλ' ἄρα μὴν Πρίαμος ποτὶ Τροίην ὦρσε νέεσθαι.
Αὐτὰρ ἐπεὶ ἐσέχυθεν ἐπὶ πτόλιν ἀμφί τε πύργους,
κοσμήσαντες εὖ Ἕκτορα, ἐν λεχέεσσί τε θέντες,
ἐννῆμαρ γοάασκον· τοὶ δ' ἄρ' ἀγίνεον ὕλην.
Ἀλλ' ὅτε δὴ δεκάτην ἐτέλεσσαν πάντα παρ' ἠῶ,
πολλοῖς ἐν φυλάκεσσιν ἀτειρέα χαλκὸν ἔχουσιν
ἐκτὸς τείχους καὶ πτόλιος μέγα σῶμα κέαντες
ἐς κάπετον κατέθεντο πελώριον Ἕκτορα δῖον.
Γαῖαν δ' αὖτε χέαντες πολλὴν ὑψόσ' ἄειραν,
καλὰ δὲ λαΐνεα ποτὶ τύμβον ἀγάλματα θῆκαν.

---

filiæque Priami, nobiles præ omnibus.
Una autem Helena promisso-peplo secuta-est lacrimans,
quatuor cum filiis, Alexandri progenie,
Bunico Corythoque et Agano Idæoque.
Cassandra vero ex-altera-parte ac Laodice Hecubæ *filiæ*,
hanc pedibus-instabilem sustinentes, ut decet.
Hæc quidem ut mortua caput inclinabat huc et illuc;
porro ante hanc filii undecim incedebant,
Æsacus atque Helenus, Pammon, Paris Antiphonusque,
Hippothous Agathonque, Polites Deiphobusque;
unaque egregius Troilus etiam cum his aderat,
qui effugerant Æacidæ vim, vixeruntque etiam eo usque.
Solus aberat Polydorus, infans, versans in Thracia.
Hi igitur ubi jam erant prope plaustrum Hectoreum,
omnes intecti ac sine-vittis procubuerunt,
lamentantes, plorantes, viri ac mulieres.
Sic Troum reges mœrentes gemiscebant
in campum descendentes, ubi cadaver Hectoris erat.
At magnus a turribus exortus-est senilis ejulatus;
juvenilis autem ex-altera-parte fremebat immensa vociferatio,] adhæc femininus simul aliunde insonuit clamor.
Ingemiscebant autem flebiliter populi omnes sociorum.
Equique hinniebant plane-similiter lacrimantibus.
Mansuetaque pecora, quæcunque mortalium adjutores *sunt*,
ubique oberrabant, consternata luctu hominum;
bombus autem erat eorum quasi quiritantibus similium.
Insonuit etiam Scamander, Nymphæque fremuerunt Idæ.
Helle porro boavit; exortus-est bombus ubicunque.
Præ-dolore autem nubibus indutus-est Phœbus Apollo;
tacite lacrimavit etiam Juppiter, mugivitque terra ingens.
Metuerunt autem, quicunque erant procul, lamentabilem sonum.] Tantus strepitus erat, quantum Meton canit
postremis fore diebus, termino mundi,
quando septem dii magnanimi Saturni in-domum venerint,
aquariam, tenebrosam, agitaveritque Saturnus ipsos,
ac circumegerit omnia, Jovis imperium auferens,
omniaque obtexerit calligine profundissima.
Tantus lamentantibus Trojanis strepitus erat,
tantus vero etiam immortalium clamor erat die illo.
Et nox deprehendisset Trojanos lacrimantes,
et jam extra portas somnum cepissent,
capillos-vellentes circa Hectorem; tantum enim lugebant;
verumtamen Priamus (ad) Trojam incitavit ut-redirent.
At postquam infusi-sunt in urbem et circa turres
ornato egregie Hectore atque in toris collocato,
per-novem-dies plorabant. Alii interim apportabant materiem.] At cum jam decimo perfecissent omnia die,
multos inter custodes indomitum æs tenentes
extra murum et urbem magno corpore combusto,
in fossam imposuerunt ingentem Hectorem divum.
Terram vero dein aggestam multam alte extruxerunt,
pulcraque lapidea ornamenta in tumulo posuerunt.

ΤΑ ΜΕΘ ΟΜΗΡΟΝ.

Αὐτὰρ ἐπεὶ ποίησαν ὑφ' Ἕκτορι ὅσσα ἐῴκει,
αὖτις ὑπὸ πτόλιν ἐσβάντες δαίσαντο ἀνάγκῃ.
Κλεῖθρα δ' ἐπὶ πυλέων βάλον, εὖ δ' ἐπέθεντο ὀχῆας,
ἠρτύνοντο δὲ πύργους ἐν κρατερῇσιν ἀνάγκαις,
ἐλπόμενοι χείρεσσιν ὑπ' Ἀργείων ὀλέεσθαι.
Τοῖσι δὲ μυρομένοισιν ἀγαστόνου εἵνεκα πάτρης
ἠοῖ ἐνὶ τριτάτῃ ἀπὸ Θερμώδοντος ἰοῦσα
ἤλυθε Πενθεσίλεια, κόρη μεγάθυμος Ὀτρήρης,
ἠϋγενὴς τελέθουσα Ἀμαζονίδων βασίλεια.
Ἤλυθε δ', ὡς ὁ Κόϊντος ἑοῖς ἐπέεσσιν ἀείδει,
οὕνεκα ἣν κάσιν ἔκτανεν Ἱππολύτην ἐνὶ θήρῃ,
μύσος ἀλευομένη, δυοκαίδεκα δ' ἄλλαι ἕποντο.
Ταῦτα μὲν ὧδε Κόϊντος ἑοῖς ἐπέεσσιν ἀείδει.
Ἑλλάνικος, Λυσίας δὲ καὶ ἄλλοι ἄνδρες ἀγαυοὶ
φὰν, ἕνεκα σφετέρης ἀρετῆς ἐπιήλυθε Τροίῃ,
κῦδος ἀεξήσουσα, ὅπως κε γάμοισι μιγείη·
ταῖς γὰρ ἀπαίσιόν ἐστι παρ' ἀνδράσι βήμεναι εὐνῇ,
εἰ μὴ μὲν πολέμοισιν ἀριστεύσωσιν ἐπ' ἄνδρας.
Τὼς μὲν Πενθεσίλειαν ἐπελθέμεν οἵ γ' ἐρέουσιν.
Τοὶ δ' ὑπὸ δώρων Ἑκτορέων ἐρέουσιν ἰοῦσαν
πυθομένην μόρον Ἕκτορος αἶψ' ἐθέλειν ὑποείκειν·
τὴν δ' ὁ γέρων Πρίαμος κατέρυξεν ἑοῖς ἐνὶ δώροις,
πολλοὺς ἄνδρας ἔχουσαν ἀπὸ Σκυθέων κλυτοτόξων,
πεζοὺς ἱππῆάς τε ἀρηϊφίλους τε γυναῖκας.
Ἤγαγεν δ' ὀτραλέως καὶ ἐνδυκέως φιλέεσκεν.
Ἀλλ' ὅτε δὴ ἐπέβαινε γυνὴ κατὰ Τρώϊον ἄστυ,
πάντες ὁμῶς ἐσέχυθεν, ἐσέδραμον, ἄλλοθεν ἄλλος.
θαῦμα γὰρ εἶχεν ἅπαντας ἀρηϊφίλοιο γυναικός.
Τὴν δ' ὁ γέρων φιλέεσκεν ἐνὶ μεγάροισιν ἑοῖσιν.
Αὐτὰρ ἐπεὶ πολλοῖς ἐνὶ ἤμασι θυμὸν ἔτερψε
ῥῶσέ τε ἵππων γούνατα καὶ μένος, οἵ οἱ ἕποντο,
δὴ τότ' ἐθώρηξε λαοὺς Τρώων τε καὶ αὐτῆς·
ἵστατο δ' ἐν μέσσοισιν ἀλίγκιος ἄντα θεῇσι.
Τρωϊάδες δ' ἄρα πᾶσαι εὐχετόωντο γυναῖκες
Ἕκτορος ἐσθλοῦ ποινήτειραν τήνδε γενέσθαι,
Ἀργείους ὀλέσασαν ἐνὶ δίνῃσι θαλάσσης.
Καί νύ κεν ἐξαπέφηνε τελέσφορον εὖγμα γυναικῶν·
πολλάκι γὰρ παρέελσεν Ἀχαιοὺς κύμασι πόντου·
ἀλλὰ Κρόνος χαλέπηνεν ἀάσχετος, ἀγκυλομήτης,
ὅς ὑπ' Ἀχαιῶν Τροίῃ ἐμήδετο λυγρὸν ὄλεθρον,
ὅς καὶ τὴν ἀπόερσεν ἐν ἔγχεϊ Αἰακίδαο,
καὶ κρατερήν περ ἐοῦσαν ἀμαιμακέτην τε γυναῖκα.
Ἦτοι γὰρ τότε θωρήξασα λεών τε καὶ αὐτὴν
Τρωϊάδων πυλέων ἐξέσσυτο· χαῖρε δὲ λαὸς,
ὡς εἶδον κατὰ κόσμον ἐπὶ στίχας ὁπλίζουσαν.
Καὶ γὰρ ὀϊστοφόρους παρὰ δεξιὸν ἕρκος ἔηκεν,
ὁπλίτας δ' ἑκάτερθε, σιδήρεον ἔμμεναι ἕρκος.
Ἦρχε δὲ τοξοφόρων ἀνδρῶν Πάρις ἠδὲ Λυκάων,
πρὸς δ' Ἕλενος καὶ Πάμμων Ἱππόθοός τε ἀγήνωρ·
Δηΐφοβος δ' ὁπλίτας ἄγε, Πουλυδάμας Ἀγάθων τε,
Αἴσακος, Ἀντίφονος, Πολιήτης· πρὸς δ' ἄρ' ἀγαυὸς
Τρώϊλος Αἰνείας θ' ἱππήϊα τάγματα ἦγον.

POSTHOMERICA.

At postquam fecerunt pro Hectore, quæ decebant,
rursus in urbem ingressi epulabantur necessitate *adducti*.
Claustra vero portis injiciebant, beneque obdiderunt [pes-
sulos,] exstruebantque turres urgente necessitate,
expectantes manibus Argivorum se-interituros.
His vero mœrentibus flebilem propter patriam
die tertio a Thermodonte profecta
advenit Penthesilea, filia magnanima Otreræ,
nobilis quæ-erat Amazonum regina.
Advenit autem, ut Quintus suis carminibus canit,
quia suam sororem interfecerat Hippolytam in venatione,
piaculum evitans, duodecim autem aliæ secutæ-sunt.
Hæc quidem ita Quintus suis carminibus canit.
Hellanicus autem, Lysias et alii viri excellentes
dixerunt: propter suam virtutem venit Trojam,
gloriam auctura, ut connubio jungeretur;
illis enim infaustum est cum viris conscendere lectum,
nisi in-bellis victoriam-reportarint de viris.
Ita igitur Penthesileam advenisse illi narrant.
Alii vero ob munera Hectorea narrant advenientem,
cognita morte Hectoris statim *eam* voluisse recedere;
eam vero senex Priamus retinuit suis muneribus,
multos viros habentem e Scythis arcu-claris,
pedites equitesque bellicosasque mulieres.
Eam igitur *domum* duxit celeriter et prompto-animo co-
miter-excepit.]Sed ubi jam advenit mulier ad-Trojanam ur-
bem,] omnes simul infundebantur, incurrerunt, aliunde
alius;] admiratio enim tenuit omnes bellicosi mulieris.
Hanc autem senex hospitaliter-excepit in ædibus suis.
At postquam multis diebus animum oblectavit
corroboravitque equorum membra ac vires, qui eam secu-
ti-sunt,] jam tunc armavit copias Trojanorum et *suas* i-
psius;] stetit autem in medio similis coram deabus
Troades igitur omnes vota-fecerunt mulieres,
ut-Hectoris egregii ultrix hæc fieret,
Argivos perdens in vorticibus maris.
Et fere ostendisset impletum votum mulierum;
sæpe enim conclusit Achæos fluctibus maris;
sed Saturnus succensuit intollerabilis, versutus,
qui ab Achæis *parandum* Trojæ meditabatur triste exi-
tium,] qui etiam illam corripuit ense Æacidæ,
quamvis fortis esset indomitaque mulier.
Profecto enim tunc armatis populo ac seipsa
Trojanis e portis erupit; gaudebatque populus,
ubi vidit *eam*, ut decet, per ordines aciem-instruere.
Namque sagittiferos ad dextrum murum misit,
gravis-armaturæ-milites utrinque, ferreus ut-essent murus.
At duces-erant arcitenentium virorum Paris ac Lycaon,
præterea Helenus et Pammon Hippothousque strenuus;
Deiphobus autem graviter-armatos ducebat, Polydamas
Agathonque,] Æsacus, Antiphonus, Polietes; præterea au-
tem egregius]Troilus Æneasque equestres ordines ducebant.

Ἀσπίδες αὖτ' ἄραρον καὶ ἔγχεα καὶ τρυφάλειαι,
αὐγὴ δὲ σελάγιζε σιδήρεος, ἔστενε γαῖα
ὅπλων ὑπ' ἀράβοιο καὶ ἵππων καρτερογούνων.
Ἡ δ' ἄρ' ἐν ἱππείοισι μετέπρεπε τάγμασι μέσσον,
καλὴ Πενθεσίλεια, κόρη μεγάθυμος Ὀτρήρης,
ἀργύρεον θώρηκα πανάστερον ἐνδεδυκυῖα·
κρατὶ δὲ τῆς ἐπέκειτο κόρυς λιθάδεσσι φαεινὴ,
μαρμαίρουσα λυχνῆσι καὶ ἀμεθύσοις ἐρατεινοῖς.
Αὐτὰρ γωρυτὸς ὀσφυῖ καλὸς ἔην φαρέτρη τε,
χρύσεα, λαμπετόωντα, ἐπάρμενα τῇδε γυναικί.
Πρὸς δὲ σάκος βριαρὸν ἐπέην λαιὴν κατὰ χεῖρα·
ἐν δ' ἄρ' ἔην Ἄρης καὶ Ἔρως καὶ Πενθεσίλεια.
Μάρνατο δ' αὖτε Ἔρως ἰδ' Ἄρης περὶ τῆσδε γυναι[κὸς,
καὶ γραπτοί περ ἐόντες· ζωοῖς δ' αὖτε ἐίκτην.
Ἦτοι γὰρ μὲν Ἔρως κούρην φάτο ἔμμεναι εἷο,
Ἄρης δ' αὖ ἑτέρωθε· μέση δ' ἐπιίστατο κούρη,
κάλλεϊ καὶ ἔντεσσι διακριδὸν ἀστράπτουσα.
Τῆς δ' ἄρ' Ἔρως κόρυν ἁρπάζων φιλέεσκεν ὀπωπὰς,
Ἄρης δ' αὖ ἑτέρωθεν ἐκύνεε κρᾶτα πυκάζων.
Τοίη οἱ ἐπέην ἀσπὶς λαιὴν κατὰ χεῖρα.
Δεξιτερῇ δ' ἔχε φάσγανον εἴκελον ἀστεροπῇσιν.
Ἕζετο δ' ἐν ἵππῳ κυανόχροϊ, ἀγκυλοδείρῳ·
τοῦ δ' ἀπὸ χαιτάων κυανόχροος εἴδετο αἴγλη·
ὃς κούρην φορέων εὐειδέα, καρτερόθυμον,
κυδιόων ἀφρίασκεν, ἐπ' ὄμμασι πῦρ ἀμαρύσσων,
οὐδὲ πατεῖν ἐθέλεσκεν ἐπὶ χθονίην ἀτραπητὸν,
ἀλλ' ἄρ' ἐπ' αἰθερίην ἐβιάζετο οἶμον ὀρούειν.
Χαῖρε δὲ Τρώϊος ἐσμὸς ταύτην εἰσορόωντες·
Ἀργεῖοι δὲ φίλον κῆρ παχνώθησαν ἰδόντες.
Τριχθὰ δὲ κόσμηθεν, καὶ οὐκ ἐθέλοντες, ἀνάγκῃ.
Ἦτοι γὰρ Μενέλαος, Τεῦκρος Μηριόνης τε,
σὺν τοῖς καὶ Ἀρκεισίδεω παῖς ἀγκυλόβουλος,
ἔθνεα πάντα ἔχεσκον ὀιστοφόρων αἰζηῶν·
Αἴας δ' αὖτ' ἐκόρυσσεν λαοὺς ἀσπιδιώτας
Νέστωρ τ', Ἰδομενεὺς καὶ Ἰάλμενος ἠδ' Ἀγαμέμνων·
ἱππῆας δὲ Μενεσθεὺς Αἰακίδαο βίη τε
Τυδείδης τε καὶ ἄλλοι ἐπίδμονες ἱπποσυνάων.
Τὼς δ' ἄρα κοσμηθέντες ἐπυκνώσαντο φάλαγγας
εὖ ἐναρηράμενοι· τὴν δ' οὐ κατέσχεθον ἔμπης.
Τοὶ μὲν γὰρ νεοτευχέες ἀδμῆτές τε ἐόντες,
ἵπποις καρτερογούνασιν ἑζόμενοι μεγάλοισιν,
πρὸς δέ γε Πενθεσίλειαν, ἑὴν βασίλειαν, δρῶντες,
εὐσθενέως ἐλάουσαν ἐπὶ στόμα καὶ στίχας ἀνδρῶν,
Ἀργείους πολυτειρέας ἐν δεκάτῳ ἐνιαυτῷ
ἀργαλέῃ ἰαχῇ καὶ ἱππείῃ ἐν ἐρωῇ
δουρατέῃ τε πυκνώσει καὶ βελέῃ γε χαλάζῃ
ὦσαν, ἀπὸ δὲ λόχους κέρσαν, ἀπό θ' ἵππεον ἴλην.
Καὶ τότε τοὺς ἐδάϊζεν ἀάσχετα Πενθεσίλεια
ἠδ' ὅσοι οἱ ἐφέποντο, γυναῖκές τ' ἠδὲ καὶ ἄνδρες.
Πᾶν δ' ἄρα νεκρῶν ἔπληθε τότε Τρώϊον οὖδας.
Τίς δ' ἄρα γλῶσσ' ἐρέησιν, ὅσοι τότε πέσσον Ἀχαιῶν;
Ὡς δ' ὁπότ' ἲς ἀνέμοιο, ἐριβρεμετοῦ Βορέαο,
ἐμπνεύσας ἀδόκητα ἐφέσπερα, χείματος ὥρῃ,
πήγνυσιν ὕδατα λευκὰ καὶ ἐς χιόνα μεταβάλλει,

Scuta arcte-juncta-erant et hastæ et galeæ,
splendorque radiabat ferri, ingemebat terra
armorum strepitu et equorum robustis-genibus.
Illa vero in equestribus excellebat ordinibus mediis,
pulcra Penthesilea, filia magnanima Otreiæ,
argenteum thoracem stellatum induta;
capiti autem ejus imposita-erat galea lapidibus lucida,
splendens lychnidibus atque amethystis amabilibus.
At corytus in-coxa pulcer erat pharetraque,
aurea, splendentia, apta huic mulieri.
Præterea scutum grave aderat sinistra in manu;
inerant autem Mars et Amor et Penthesilea.
Certabant enim Amor et Mars de hac muliere,
quamquam sculpti erant; vivis vero similes-erant.
Namque Amor *eam* filiam dicebat esse suam,
Mars item ex-altera-parte; media autem stabat puella,
pulcritudine et armis eximie fulgens.
Hujus igitur Amor galeam abripiens osculabatur oculos,
Mars autem ex-altera-parte osculabatur, caput tegens.
Talis illi aderat clypeus sinistra in manu.
Dextra autem tenebat gladium similem fulminibus.
Insidebatque equo nigrocolori, curva-cervice;
cujus a jubis nigricolor apparebat fulgor;
is puellam ferens formosam, magnanimam,
superbiens spumabat, ex oculis ignis fulgorem-edens,
neque calcare volebat terrestrem semitam,
sed omni-vi-nitebatur in ætheriam viam ferri.
Gaudebat igitur Trojanum agmen hanc intuens;
Argivi contra in-caro corde congelabantur videntes.
Tripliciter vero armabantur, etiam nolentes, ob-necessitatem.] Profecto enim Menelaus, Teucer Merionesque,
cum his etiam Arcisidæ filius versutus,
gentes omnes habebant sagittiferorum juvenum;
Ajax autem armabat populos scutatos,
Nestorque, Idomeneus et Ialmenus atque Agamemnon;
equites vero Menestheus Æacidæque vis
et Tydides atque alii periti equitationis.
Sic igitur instructi densabant phalangas
bene stipati; illam tamen non sustinebant nihilominus.
Illi enim novi-milites indomitique cum-essent,
equis fortia-genua-habentibus insidentes magnis,
ad Penthesileam, suam reginam, oculos-vertentes
fortiter ruentem in primam-aciem et ordines virorum,
Argivos multum-fatigatos decimo anno
violento clamore atque equestri impetu
hastarumque frequentia ac sagittarum grandine
urgebant, cohortes vero cædebant, equestremque turmam.
Et tum hos occiderunt incontinenter Penthesilea
et, quotquot eam sequebantur, et mulieres et viri.
Omne igitur cadaveribus implebatur tum Trojanum solum.
Quæ itaque lingua enarrarit, quam-multi tunc ceciderint
Achæum?] Ut quando vis venti, valde-frementis Boreæ,
flatu-ingruens inopinato noctu, hiemis tempore
congelat aquas candidas et in nivem convertit,

πάντῃ δ' ἔνθα καὶ ἔνθ' ἐπύκασσεν γαῖαν ἅπασαν·
ὣς τότε Πενθεσίλεια γυνὴ, ἐπ' ἄελπτα φανεῖσα,
ὁρμὴν ψύξεν Ἀχαιῶν, ἔσβεσε δ' ἔνδοθι θυμὸν, [πων.
στρῶσε δὲ πᾶν πεδίον νεκρῶν, μερόπων τε καὶ ἵπ-
Τοὺς δέ τε νὺξ ἐσάωσε Ποσειδῶνός τ' ἐπαρωγή·
ἡ δέ τε πὰρ Τρώεσσιν ἀφίκετο, χάρμα κιοῦσα,
πολλοὺς Ἀργείων φορέουσα καὶ ἔντεα νεκρῶν.
Ὣς δ' ἄρα τοὺς ἐδάϊζεν ἐπὶ τρισὶν ἤμασι κούρη,
νυκτὶ σαωζομένους ποτὶ ῥηγμίνεσσι θαλάσσης.
Ἀλλ' ὅτε νὺξ σκοτόεσσα τετάρτου ἤματος ἦεν,
εὗδε δ' ἄρ' ἐν λεχέεσσιν ἀγαλλομένη ἐπὶ νίκῃ,
αὔριον οἰομένη Ἀργείους πάμπαν ὀλέσσαι,
δὴ τότ' ἄρα Πριάμῳ καὶ αὐτῇ Πενθεσιλείῃ
Ἥρη ὄνειρον ἔηκεν ἀτερπέα, δακρυόεντα,
πότμον ἐποσσόμενον μεγαθύμου Πενθεσιλείης.
Ἦτοι γὰρ Πριάμῳ ζώειν δοκέεσκεν ἔθ' Ἕκτωρ,
κούρης δ' εἶδος ἔχεν, καὶ ἀρήϊος, ὡς πάρος, ἦεν·
χαῖρε δὲ τῷ Πρίαμος καὶ ἄλλων ἔθνεα Τρώων·
τὸν δ' ἄρα Πηλείδης καταέκτανεν ἠΰτε πρόσθεν.
Πενθεσιλείῃ δ' αὖτε ἐείσατο τοῖος ὄνειρος·
μητέρα τῆς δοκέεσκεν ὁρᾶν, μεγάθυμον Ὀτρήρην,
αἰζηῷ μάλα καλῷ τήνδε διδοῦσαν ἕπεσθαι,
νυμφίῳ ἠϋκόμῳ, κάλλει Χαρίτεσσιν ὁμοίῳ·
ἡ δ' ἐθέλεσκεν ἕπεσθαι· ἀνὴρ δέ τις ἄγριος ἄλλος
πίσσῃ ἐειδόμενος χροιήν, δεινός τε μέγας τε,
κρᾶτα φέρων ἑκατὸν, παγχάλκεον ἔγχος ἀείρων,
ἵππῳ ἐφεζόμενος παναμείλιχα φυσιόωντι,
ἁρπάξας προβέβηκε βερεθριόωσι μελάθροις.
Τοῖα τοῖσι φάνη ἐπινύκτερα φάσματ' ὀνείρων.
Εὖτ' ἄρ δ' ὠκεανοῦ ἀποέσσυτο Ἠριγένεια,
δίφρῳ ἐφεζομένη — τὴν δ' ὠκέες εἴρυον ἵπποι,
Λάμπος καὶ Φαέθων, οἵ οἱ ζύγιοι τελέθουσιν·
Πήγασος αὖτε νεόκτητος παρήορος ἦεν, —
καὶ τότε δὴ κούρη θωρήσσετο Πενθεσίλεια.
Τῆς δὲ κορυσσομένης ἀπὸ κρατὸς κάππεσε πήληξ,
σὺν δ' ἵππος χρεμέτισε πανείκελα μυρομένοισιν.
Ταῦτα κορυσσομένῃ οἱ ἐφαίνετο σήματα λυγρά·
εὖτε δ' ἄρ' Ἀργείοισιν ἐείσατο ἄντα μάχεσθαι,
αἰετὸς ἐν νεφέεσσι πέλειαν τίλλε μεμαρπὼς,
ὡς Ἀχιλεὺς τὴν μέλλε δαϊζέμεν ἔγχεϊ μακρῷ.
Ἦτοι γὰρ πολέμοιο συνεστῶτος κρατεροῖο,
ἔμπεσεν Ἀργείοισι παρὰ Ξάνθοιο ῥέεθρα,
τῇ δὲ γυναῖκες ἕποντο ἀρήϊοι, ἀγκυλότοξοι,
βάλλουσαι βελέεσσι· πολὺς δ' ἐπέην ἀλαλητός.
Ἡ γὰρ ἐπ' ἄνδρας ἔλα τευχήτορας, ἀσπιδιώτας,
ἱππῆας δὲ παρέδραμεν ἔγχεσι κῦδος ἔχοντας.
Καὶ τοὶ μὲν μάρναντο σὺν ἡγεμόνεσσιν ἑοῖσιν·
ἡ δὲ γυναιξὶ καθιππεῦσαι ἐθέλεσκεν Ἀχαιοὺς,
ὥς κεν ἀποκτείνειε μέσον περὶ πάντας ἑλοῦσα.
Καί νύ κε πάντα τέλεσσεν, ὅσα φρεσὶν ἔλπετο ᾗσιν·
ἔνθεν γὰρ Αἰνείας εἶχεν ἵππειον ἴλην,
Δηΐφοβος δ' ἑτέρωθεν λαὸν ἀσπιδιώτην·
σὺν δὲ Πάρις κλονέεσκεν ὀϊστοφόροις αἰζηοῖς.
Οἱ δὲ καὶ οὐκ ἐθέλοντες ὑπερθύμως ἐμάχοντο

ubique autem hic et illic condensat terram totam;
sic tunc Penthesilea mulier, præter-opinionem visa,
fervorem refrigeravit Achæorum, extinxitque intus animum
stravitque totum campum mortuis, et hominibus et equis
Eos tamen nox servavit Neptunique præsidium;
illa vero ad Trojanos venit, gaudium revertens,
multos Argivorum *ducens et* ferens spolia mortuorum.
Sic igitur hos occidebat per tres dies puella,
noctu servatos ad littora maris.
Sed cum nox tenebrosa quarti diei esset,
dormiretque *illa* in lectis superbiens victoria,
crastino-die sperans *se* Argivos omnino perdituram,
tunc igitur Priamo et ipsi Penthesileæ
Juno somnium misit insuave, lacrimosum,
mortem prædicens magnanimæ Penthesileæ.
Profecto enim Priamo vivere adhuc visus-est Hector,
puellæque speciem habuit, et bellicosus, ut prius, fuit;
gaudebant autem eo Priamus et aliorum populi Troum;
eum vero Pelides interfecit sicut antea.
Penthesileæ contra visum-est tale somnium:
matrem suam opinata-est videre, magnanimam Otreren,
juveni formosissimo se dantem, quæ-sequeretur *ipsum*,
sponso pulcricomo, pulcritudine Gratiis simili;
ea igitur voluit sequi; vir autem aliquis sævus alius
pici comparandus colore, horrendusque magnusque,
capita ferens centum, plane-æream hastam tollens,
equo insidens immaniter spiranti,
abrepta-*ea* processit ad-infernas ædes.
Talia illis visa-sunt nocturna spectra somniorum.
Ubi vero ex-oceano properavit Aurora,
currui insidens, (hanc autem veloces trahebant equi,
Lampus et Phaethon, qui ipsi jugales sunt;
Pegasus contra recens-comparatus funalis erat),
tunc jam puella armata-est Penthesilea.
Ejus autem armatæ de capite decidit cassis,
simulque equus hinniebat instar mœrentium.
Hæc illi se-armanti apparebant omina fatalia;
ubi vero in-medium-prodiit adversus Argivos pugnatura,
aquila in nubibus columbam laniavit arreptam,
ut Achilles eam erat interempturus hasta longa.
Profecto enim prœlio conserto violento,
irrupit in-Argivos apud Xanthi fluenta,
eamque mulieres secutæ-sunt bellicosæ, curvis-arcubus,
jaculantes sagittas; multusque erat ejulatus.
Illa enim in viros irruit armatos, scutatos,
equitesque prætercurrit hastis gloriam habentes.
Et ii quidem pugnabant cum ducibus suis;
illa autem cum-mulieribus opprimere voluit Achæos,
ut interficeret in medio omnes circumclusos.
Et omnia perfecisset, quæ in-mente sperabat sua;
hinc enim Æneas ducebat equestrem turmam,
Deiphobus autem illinc exercitum scutatum;
et Paris urgebat cum sagittiferis juvenibus.
Itaque etiam nolentes animosissime pugnaban

Ἀργεῖοι Τρώεσσι· παλαμναίη γὰρ ἀνάγκη.
Ἀνδρῶν δ' ἰφθίμων κεφαλαὶ ποτέοντ' ἐπὶ γαίῃ,
πολλαὶ μὲν Δαναῶν ἠδὲ Τρώων μεγαθύμων.
Ἡ δὲ γυναῖκας ἔχουσα ἀρηϊφίλους ἐλάασκεν,
ὥς κεν ἐνικλείσειε, μέσῳ δ' ἐνὶ πάντας ὀλέσσῃ.
Ἀλλ' Ἀχιλεὺς ἐφράσσατο, κείνης δ' ἔσβεσεν ὁρμήν.
Ὡς γάρ μιν ἐλάουσαν ἐπερχομένην τ' ἐνόησεν,
ἔστη ἑλιχθεὶς ἐν πυμάτοισι λόχοις ἀπὸ πρώτων,
βαιοῖς σὺν ἱππεῦσι δ' ἀρηρόσιν ἐν σακέεσσιν
ἤλασεν ἀντιβίως κατεναντίον ἀπροόπτως,
καί ῥα προεξελάων τοξαζομένην βασίλειαν
δεξιτερὴν κατὰ πλευρὴν δόχμιον οὔτασε δουρί.
Αἶψα δ' ἀφ' ἵππου κάππεσεν, εἰσέτι δ' ἐμπνείεσκεν.
Καὶ τὴν μὲν λίπεν αὖθι, ἐπ' ἄλλας δ' ᾤχετο κούρας,
τῷ δ' ἄρα μὴν ἱππῆες ἕποντο καρτερόθυμοι.
Ἔνθ' ἤτοι πέσεν Ἱπποθόη καὶ Ἀντιάνειρα·
Τοξοφόνη δ' ἐπὶ τῇσι θάνεν καὶ Τοξοάνασσα,
καλὴ Γωρυτόεσσα καὶ Ἰοδόκη Φαρέτρη τε,
Ἀνδρὼ, Ἰόξεια, Βιοστροφὴ, Ἀνδροδάϊξα.
Πρὸς τῇς Ἀσπιδοχάρμη πέσσε καὶ Ἐγχεσίμαργος,
Κνῆμις καὶ Θωρήκη, Χαλκάορ Εὐρυλόφη τε,
Ἑκάτη Ἀγχιμάχη τε καὶ Ἀνδρομάχη βασίλεια.
Ταὶ μὲν Ἀμαζονίδων κοῦραι πέσον ἔξοχοι ἄλλων,
ἡγεμόνες, βασίλειαι· πληθὺς δ' ἄσπετος ἦεν.
Τρῶες δ' ὡς οὖν εἶδον Ἀμαζονίδων βασιλείας
χερσὶν ὑπ' Ἀργείων δηϊζομένας μεγαθύμων,
οὐκέτι θυμὸν ἔχεσκον ἐνὶ μελέεσσιν ἑοῖσιν,
ἀλλ' ἵππων ἐν γούνασι καρπαλίμοις τε πόδεσσι,
φεῦγον δ' ἄλλη ἄλλος. Τοὶ δὲ δίωκον ὄπισθεν
Ἀργεῖοι μεγάθυμοι, βαῖνον δ' ἐν νεκύεσσιν,
εἰσόκεν ἄλλους μὲν συνέελσαν τείχει Τρώων,
τοὺς δ' ἔτι ἔξω τείχεος εἷλον ζωγρείησιν.
Δάσσατο δ' αὖτε ἕκαστος Ἀμαζόνας ἠδὲ καὶ αὐτούς.
Αὐτὰρ ἐπεὶ τετέλεστο μάχη πολέμοιο δαφοινοῦ,
αὖτις ὑποστρεφθέντες Πενθεσίλειαν ἑώρων.
Ἡ δ' ἔτι ἀσπαίρεσκεν ἐνὶ θανάτοιο φονῇσιν,
μαρμαίρεσκε δὲ κάλλεϊ ὕστατα φυσιόωσα,
οὐδέ τι μαστὸν ἔφαινε· κόρη γὰρ ἔην ἔτι ἀδμής.
Μύρετο δ' Αἰακίδης καὶ ἐλίσσετο πάντας ἑταίρους,
τύμβον ὅπως τεύξαντες ἐπικτεριοῦσι γυναῖκα·
σῆμα δὲ πρῶτον Θερσίτου γένετ' ἠέ περ αὐτῆς.
Ἤτοι γὰρ Πηλείδης μύρετο, ὡς ἐπεῴκει,
ἥβην ἠνορέην τε καὶ ἔξοχα κάλλεα κούρης·
Θερσίτης δ' ἑτέρωθε λέγ' αἴσχεα εἵνεκα τῆσδε.
Τὸν δ' Ἀχιλεὺς κροτάφοισι βαλὼν ἐξείλετο θυμόν.
Καὶ τότε δὴ Τυδείδης, Θερσίταο χολωθεὶς,
ῥῖψε ποτὶ Σκάμανδρον Ἀμαζόνα Πενθεσίλειαν·
ἔνθα ἑ τὴν λίπε θυμὸς ἐνὶ ῥοθίοισι Σκαμάνδρου.
Οὐδ' ἄρα Τρυφιοδώρῳ ἑανδάνει, οἷα καὶ ἄλλοις,
Ξάνθου ἐνὶ ῥεέθροις ῥιφῆναι Πενθεσίλειαν,
Αἰακίδῃ δ' ἐρέει κτανέειν ἅμα καὶ κτερεΐξαι.
Ὡς ἄρα πῆμα Τρωσὶν ἐπήλυθε δεύτατον ἄλλο·
Ἀργεῖοι δ' ἀνέπνευσαν ὀϊζυρῆς ἀπὸ χάρμης.
Ἀλλ' ἄρα βαιὸν ἐπὶ χρόνον ἐκτὸς ἀπέσσαν ἰωχῆς·

Argivi cum-Troibus; fatalis enim *est* necessitas.
Virorum autem fortium capita volabant in terram,
multa quidem Danaorum ac Trojanorum magnanimorum.
Illa autem mulieres ducens bellicosas irruebat,
ut includeret, et in medio omnes perderet.
At Achilles animadvertit, illiusque extinxit furorem.
Ut enim eam irrumpentem aggredientemque vidit,
stetit subductus in postremas cohortes e primis,
paucisque cum equitibus, stipatis clypeis,
ferebatur obviam ex-adverso inopinato,
et prorumpens sagittantem reginam
dextro in latere ex-obliquo percussit hasta.
Statim igitur ex equo decidit, adhuc vero respirabat.
Et hanc quidem reliquit ibi, alias vero aggressus-est puellas,] eum autem profecto equites sequebantur magnanimi.
Ibi igitur ceciderunt Hippothoe et Antianira.
Toxophone post has mortua-est et Toxoanassa,
pulcra Gorytoessa et Iodoce Pharetraque,
Andro, Ioxea, Biostrophe, Androdaïxa.
Ad has Aspidocharme cecidit et Enchesimargos,
Cnemis et Thorece, Chalcaor Eurylopheque,
Hecate Anchimacheque et Andromache regina.
Hæ quidem Amazonum filiæ ceciderunt eminentes inter -alias,] duces, reginæ; grex autem innumerus erat.
Trojani autem ubi viderunt Amazonum reginas
manibus Argivorum interimi magnanimorum,
non-amplius animum habebant in membris suis,
sed equorum genibus celeribusque pedibus
fugiebant alibi alius. Illi autem persequebantur a-tergo
Argivi magnanimi, incedebant vero in cadaveribus,
donec alios includerent muro Trojanorum,
alios adhuc extra murum caperent vivos.
At diviserunt inter-se singuli et Amazones et ipsos.
At postquam finita-est pugna belli letalis,
rursus reversi Penthesileam contemplati-sunt.
Ea autem adhuc palpitabat mortis cæde,
splendebat vero pulcritudine extremos halitus-efflans,
neque uber ostendebat; virgo enim erat adhuc indomita.
Mœrebat autem Æacides et precatus-est omnes socios,
ut tumulo extructo sepelirent mulierem;
monimentum vero prius factum-est Thersitæ quam ipsius.
Profecto enim Pelides mœrebat, ut decebat,
juventutem virtutemque et imprimis pulcritudinem puellæ;
Thersites autem ex-altera-parte dixit probra de ea.
Hunc igitur Achilles temporibus percussis privavit vita.
Et tunc Tydides, ob-Thersiten iratus,
raptabat ad Scamandrum Amazonem Penthesileam;
ibi eam reliquit anima in undis Scamandri.
Neque tamen Tryphiodoro placet, sicut etiam aliis,
Xanthi in fluenta raptatam-esse Penthesileam,
Atriden enim dicit *illam* interfecisse simul et sepeliisse.
Ita igitur malum Trojanis incidit ultimum aliud;
Argivi autem respirabant lamentabili a pugna.
Attamen breve ad tempus erant sine persecutione

Μέμνων γὰρ πάλιν ἤλυθεν Αἰθιόπων ἀπὸ γαίης,
Φοῖνιξ Πουλυδάμας τε, λεὼς δ' ἐπέσπετ' ἀπείρων,
πεζοί θ' ἱππῆές τε, ὅση ψάμαθός τε κόνις τε,
ψιλοί, ὁπλῖται, πελτοφόροι καὶ σφενδονέοντες,
φρακτοί, ἄφρακτοι, ἠδὲ Ταραντῖνοι μεγάθυμοι,
δουρί τε μαρνάμενοι καὶ τοξοδάμαντες ἐπῆσαν.
Τοὶ μὲν ἔσαν μάχιμοι, πολλοὶ δ' ἄρα χρειοδοτῆρες
νυκτὶ ἐπήλυθον Ἰνδοί, ἁλμυρὸν οἶδμα πλέοντες,
νηυσὶν ὁμοῦ χρυσόν τε καὶ ἄργυρον εἰσφορέοντες.
Τοῖς δ' ἐπὶ νῆες ἕποντο ἀπείριτοι· αἱ δ' ἄρα ἦσαν
μακραί, φορτίδες, ἱππηγοί, πρὸς δ' αὖτε πορεῖα
ἄλλα τε εἴδεα νεῶν. Τοὶ δ' ἀπέβαινον ὦκα·
τοὺς δ' οὐ Τροίη χάνδανεν οὔτ' ἄρα Τρώϊον οὖδας.
Καὶ τότε μὲν φυλάκεσσιν ἐεργμένοι ἔνθα καὶ ἔνθα,
δορπήσαντες ἴαυον πάννυχα νήδυμον ὕπνον.
Ἀλλ' ὅτε δὴ λευκόχροος ἤρχετο Ἠριγένεια,
ἀνστάντες φορέοντο, πολύθροος ὦρτο δ' ἰωή.
Ἵπποι δ' αὖτ' Ἀράβων ἐριαύχενες ἀγριοθύμων
ψηχόμενοι χρεμέθοντο, πελώρια γαυριόωντες.
Αὐτὰρ ἐπεὶ Τροίηθεν ἀπὸ Πριάμοιο μελάθρων
ἔκθορε Μέμνων, ὄβριμος υἱὸς Ἠριγενείης,
Φοῖνιξ Πουλυδάμας τε καὶ ἄλλοι κοίρανοι Ἰνδῶν,
Δαρδανίωνες Τρῶές τ' ἠδ' ὅσα Τρώϊα φῦλα,
ἐς πεδίον κατέβαινον· στείνετο δ' ἔθνεα λαῶν.
Ἥρως δ' ὀβριμόθυμος ἐφ' ἅρματος ἵστατο Μέμνων,
Πουλυδάμας δ' ἑκάτερθε καὶ ἄλλοι κοίρανοι Ἰνδῶν.
Καὶ τότε χειρὸς πτύγματι λαὸν ἐκέκλετο Μέμνων
ἐς πόλεμον θωρήσσεσθαι, ἀράβιζε δὲ τεύχη
Ἰνδῶν εἰλομένων θωρησσομένων τε τάχιστα
ὅπλοις νηγατέοισι καὶ ἀσπίσι τεσσαραπλεύροις.
Ἀλλ' ὅτε δὴ θωρήχθησαν Τρῶές τε καὶ αὐτοί,
ἔστασαν ἐν τελέεσσι παρ' ἡγεμόνεσσιν ἕκαστος.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐθωρήχθησαν ἀνάγκῃ.
Εὖτ' ἄρα ἠελίοιο μένος σκιάασχεν ἀρούρας,
σύμβαλον ἀλλήλοισι, πολὺς δ' ἐπέην ὀρυγμαδὸς
μαρναμένων ἀνέρων· νέκυες δ' ἄρα πλῆθον ἁπάντῃ
φύρδην ἀμφοτέρωθεν, ἀπ' Ἀργείων δὲ μάλιστα.
Ἔθνεα δ' ἔρρεον Ἰνδῶν καὶ Ἀράβων μεγαθύμων
πάντοθεν ἐκχύμενα· τοὶ δ' ἐν μέσῳ ἄλγεα πάσχον
Ἀργεῖοι, πολυτειρέα δ' αὐτῶν λύετο γοῦνα.
Ἔμπης δ', οὐκ ἐθέλοντες, ὑπὲρ ψυχῶν μαχέοντο,
εἰσόκε γειαρότης μὲν ἀνὴρ ἀπεπαύσατο πόνων,
ἐκ δὲ βόας ἀρότροιο ἐλύσατο πολλὰ καμόντας.
Καὶ τότε Τρωϊὰς ἠδ' Ἀράβισσα χαῖρεν Ἐνυώ·
πᾶν γὰρ Τρώϊον οὖδας Ἀχαιῶν πλήθετο νεκρῶν.
Κάππεσε γὰρ πρώτιστος ἀπ' Ἀργείων βασιλήων
Μεμνονέης χείρεσσι, καταντίον οἶος ἐπελθών,
Ἀντίλοχος μεγάθυμος, Νέστορος ὄβριμος υἷις,
τὸν πάντες φιλέεσκον, Ἀχιλλεὺς δ' ἔξοχον ἄλλων,
οὕνεκα κραιπνὸς ἔην, νέος, ἄλκιμος, εἶδος ἀγητός,
ἐν πινυτῇ δ' ἄρα καὶ μύθοις προφέρεσκε γερόντων.
Τῷ δ' ἐπὶ ἄλλοι Ἀργείων πέσον ἡγεμονῆες.
Καὶ τότε δὴ πάντες, νῶτα Τρώεσσι βαλόντες,
φύρδην συγκλονέοντο καὶ αἵματι γαῖαν ἔδευον.

Memnon enim denuo venit Æthiopum e terra,
Phœnix Polydamasque, populusque secutus-est immensus,
et pedites et equites, quantum arena pulvisque,
leves, graves, peltati et funditores,
loricati, non-loricati, ac Tarantini magnanimi,
hastaque pugnantes et arcipotentes aderant.
Hi quidem erant pugnatores, multi autem lixæ
noctu advenerunt Indi, salsa unda trajecta,
navibus simul aurum atque argentum apportantes.
Hos vero naves secutæ sunt innumeræ; quæ quidem erant
longæ, onerariæ, equos-portantes, præterea etiam corbitæ
aliaque genera navium. Hi autem escenderunt celeriter.
Eos vero Troja non cepit neque Trojanum solum.
Et tunc quidem custodibus cincti hic et illic,
cœnati dormiebant per-totam-noctem dulcem somnum.
At cum jam albicolor adveniret Aurora,
surgebant-ac ferebantur, multisonus autem ortus-est clamor.] Equi vero elatis-cervicibus Arabum ferocium
demulcti hinniebant, immense superbientes.
At ubi Troja e Priami ædibus
prorupit Memnon, fortis filius Auroræ,
Phœnix Polydamasque et alii principes Indorum,
Dardanidæ Troesque et quotquot Trojanæ gentes *erant*,
in campum descenderunt; stipabantur autem greges populorum.]Heros vero magnanimus in curru stetit Memnon,
Polydamasque utrinque atque alii principes Indorum.
Et tum manus plicatura populum jussit Memnon
ad bellum armari, crepuerunt autem arma
Indorum se-congregantium et armantium celerrime
armis novis ac scutis quadruplicibus.
At cum jam armati-essent et Trojani et ipsi,
stabant in cohortibus apud ducibus singuli.
Argivi autem ex-altera-parte armabantur necessitate *adducti*.] Ubi igitur solis robur obscuravit arva,
manus-conserebant inter-se, multusque erat fragor
pugnantium virorum; mortui vero abundabant ubique
confuse utrinque, ex Argivis vero maxime.
Populi autem proruebant Indorum et Arabum magnanimorum] undique effusi; at in medio dolores patiebantur
Argivi, fatigataque eorum solvebantur membra.
Nihilominus, nolentes, de vita pugnabant,
donec agricola vir desineret laboribus,
bovesque ex aratro solveret multum fatigatos.
Et tum Trojana et Arabica gaudebat Bellona;
totum enim Trojanum solum Achæis impletum-erat cadaveribus.] Cecidit enim primus ex Argivis regibus
Memnonis manibus, obviam solus factus,
Antilochus magnanimus, Nestoris fortis filius,
quem omnes amabant, Achilles vero præ omnibus,
quia celer erat, juvenis, fortis, forma admirabilis,
sapientia vero etiam et eloquentia antecellens senibus.
Post eum autem alii Argivorum ceciderunt duces
Et tum jam omnes, terga Trojanis obvertentes,
confuse turbabantur et sanguine terram rigabant.

Ὡς δ' ὅτε μιλτοχρόοιο ἀπ' οὔρεος ἠνεμόεντος
ταυροθρόος χειμάῤῥοος ἀσπέτῳ ἔρχεται ὄμβρῳ,
ἐσφορέει δὲ πέτρους μεγάλους καὶ κάγκανον ὕλην,
βριθὺ δ' ἄρα κτυπέων λιθόχροος ἔμπεσεν ἀγροῖς,
πάντα δ' ἀναρπάζων φύρδην φορέησι θαλάσσῃ,
ζεύγεα, βοῦς καὶ δώματα, πρὸς δ' ἄρα γειαροτῆρας,
ἄλλα τε ὅσσα κίχησιν· ἀμηχανίη δ' ἄρ' ἀγροίκων·
ὡς τότ' Ἀχαιοὶ φύρδην ὑπ' Ἀράβων κλονέοντο,
κυανέη δ' ἄρ' ἐν αἵματι πάντῃ πόρφυρε γαῖα,
οἱ δ' Ἄραβες κατόπιν μεγάλῳ σεύοντ' ἀλαλητῷ.
Οὐδέ τι μῆχος ἔην· πάντες γὰρ φεῦγον Ἀχαιοί.
Μοῦνος ἀπ' ἄλλων Νέστωρ Μέμνονος ἤλυθεν ἄντα,
υἱέος ἀχνύμενος· μέγα δ' ἔστενεν ἔνδοθι ἦτορ.
Σὺν δ' ἄρα οἱ ὁ Κόϊντος ἔην πέλας, ὃς ἐπάκουεν
Μέμνων ὅσσα ἔειπε γέροντ' Ἀραβηΐδι φωνῇ.
Πεζὸς ἐγὼ τελέθων δὲ, Ἰσαακίοιο φραδαῖσιν,
ὅς μ' ἀπὸ Βεῤῥοίης ἐριβώλακος ἠδὲ Σελάων
πεζὸν ἔπεμψε νέεσθαι, ἐμεῦ ἵπποιο ἀμέρσας,
ἧς ἀλόχου βουλῇσι σαόφρονος, ἥ οἱ ἅπαντας
κύδηνε λεπρούς τε καὶ ὅσσοι νείκεος υἷες,
οὕνεκά οἱ καλῶς καταθύμια πάντα ἔρεζον,
φεῦγον οὐδ' ἐσάκουσα, τὰ Μέμνων ἐξερέεινεν.
Ἀλλ' ὅτε νὺξ δνοφερὴ γαῖαν περιδέδρομε πάντῃ,
δῆριν αἱματόεσσαν ἀμαιμακέτου πολέμοιο
παῦσαν οὐκ ἐθέλοντες Ἀράβων ὄβριμοι υἷες,
ὠκύαλοι δὲ νέες φύγον Ἡφαίστοιο ὁμοκλὴν,
αὐτοί τ' Ἀργεῖοι δεινὰς ὑπὸ χῆρας ἄλυξαν.
Νυκτὶ δ' ἀολλέες εἵατο τεύχεα πάντες ἔχοντες,
εἵατο τεύχε' ἔχοντες· ὕπνος ἀπὸ τοῖσιν ὄλωλεν.
Ἀλλ' ὅτε δὴ χρυσόθρονος ἤλυθεν Ἠριγένεια,
ἀνστάντες ἀέκοντες ἔριν ῥήγνυντο βαρεῖαν·
Μέμνων γὰρ ἐπόρουσεν ἀλίγκιος υἱέϊ Γαίης,
Τυφῶνι ὀλοόφρονι· ἔλπετο δ' οἷα ἐώλπει,
Ἀργείους ἀπὸ πάντας ὀλέσσαι ἤματι κεινῷ.
Ὧδε μὲν ἐφρόνεεν, ἐπὶ δ' ἅρματι ὀξέα κλάζων
κυδιόων θύνεσκεν, ὄπισθεν δ' ἴαχε λαός.
Τὸν δ' ἄρα Πηλείδης καὶ ἀμαιμάκετόν περ ἐόντα
στέρνῳ ἐνὶ στιβαρῷ κατεναντίον οὔτασεν ἔγχει·
ψυχὴ δ' ἐκ μελέων ἀποέσσυτο ἠΰτε καπνός.
Τοῖον Μεμνονέης κεφαλῆς μόρον ἐξερέουσιν.
Οἱ δ' υἱὸν Τελαμῶνος ἀείδουσ' ὀβριμόγυιον,
δῆριν ἀμαιμάκετον καὶ σχέτλια ἔργα ἰδόντα,
εἰπέμεν Ἀτρείδῃ καὶ ἀριστήεσσιν Ἀχαιῶν·
Ὑμεῖς μὲν πάντες μετὰ ἔθνεα βαίνετε Ἰνδῶν,
αὐτὰρ ἐγὼ κατεναντία Μέμνονος οἶος ἐπέλθω.
Ὣς εἰπὼν ἀνάειρε πελώριον ὕψοσε σάκος.
Τοῖο δ' ἐν ὤμοις καλὸν φάσγανον ἠώρητο·
δεξιτερῇ δὲ φέρων δόρυ Μέμνονος ἤλυθεν ἄντα.
Μέμνων δ' ὡς ἐνόησεν, ἀφ' ἅρματος ἆλτο χαμᾶζε,
συμπεσέτην δ' ἀλλήλοισι, μέγα δ' εἴδετο ἔργον
οὐταζόντων ἀλλήλους, ἀράβιζε δὲ τεύχη.
Ὡς δὲ δύω ταῦροι παρ' ὀρεσκῴησι κολώναις,
ἄγριοι, ἀμφ' ἀγέλαις ἑκάτερθεν δηριόωντες,
πρῶτα μὲν ἐκσταδὸν ἀμφὶς ἕκαστος οἷος ὀρούων

Ut quando miniato ex monte ventoso
mugiens torrens immenso fertur imbre,
et secum-rapit rupes magnas aridamque silvam,
graviter vero resonans, lapide-coloratus, incidit in-agros
omniaque abripiens mixtim aufert in-mare,
juga, boves ac domicilia, atque insuper agricolas,
aliaque quæcunque deprehendit; consternatio autem *est*
rusticorum :] sic tunc Achæi confuse ab Arabibus turbabantur,] nigra vero sanguine ubique rubebat terra,
Arabes autem a-tergo cum-magno invecti-sunt ejulatu.
Neque aliquod remedium erat; omnes enim fugiebant
Achæi.] Solus e reliquis Nestor Memnoni ivit obviam,
de-filio afflictus; ac valde ingemuit intus cor.
At cum eo Quintus erat prope, qui audivit,
quæ Memnon dixit seni Arabico sermone.
Pedes vero ego cum-essem, Isaaci voluntate,
qui me a Berrhœa glebosa ac Selis
peditem misit reversurum, meo equo privatum,
suæ uxoris consilio prudentis, quæ ipsi omnes
honorabat scabrosos et quicunque jurgii filii *sunt*,
quia ipsi bene grata omnia faciebant,
effugi neque audivi, quæ Memnon diceret.
At ubi nox tenebrosa terram circumcursavit undique,
prœlium cruentum indomiti belli
finierunt nolentes Arabum fortes filii,
navesque celeriter-mare-secantes effugerunt Vulcani minas,] ipsique Argivi sævas cædes evitarunt.
Noctu vero congregati sedebant omnes arma habentes,
sedebant arma habentes; somnus ipsis periit.
Sed ubi jam aurithrona venit Aurora,
surgentes inviti contentionem eruperunt gravem;
Memnon enim irruit similis filio Telluris,
Typhoni exitioso; speravit autem ut speraverat,
Argivos omnes se-perempturum die illo.
Ita quidem cogitavit, in curru igitur acuto cum-clamore
superbiens ferebatur, a tergo autem vociferabatur populus.
Hunc vero Pelides, quamvis indomitum existentem,
in pectore valido ex-adverso percussit hasta;
anima igitur e membris evolavit velut fumus.
Tale Memnonei capitis fatum narrant.
Alii autem filium Telamonis canunt fortibus-membris,
pugnam immensam et tristia opera videntem,
dixisse Atridæ ac principibus Achæorum :
Vos quidem omnes gentes persequimini Indorum,
at ego adversus Memnonem solus tendam.
Sic dicens sustulit in-altum ingentem clypeum.
Ejus vero ex humeris pulcer ensis pendebat;
dextra autem portans hastam Memnoni venit obviam.
Memnon igitur ut vidit, e curru prosiluit in-terram,
concurrereque mutuo, magnumque visum-est opus
se-vulnerantium invicem, crepuerunt autem arma.
Ut vero duo tauri in silvestribus montibus,
feri, de armentis utrinque certantes,
primum quidem cedendo utrinque uterque so'us irruens

ἐς στυφελὰς πέτρας τε καὶ οὔρεα ὑψικάρηνα,
ἀλλήλους ποτὶ ταύρειον μόθον ἐκκαλέονται,
μυκτῆρα πλατὺν οἴξαντες, βαρύδουπα βοῶντες,
αὐτὰρ ἔπειτ' ἀλλήλους βάλλουσιν κεράεσσιν,
ἠχὴ δ' αὖτε πελώριος οὔρεος ἔρχεται ἄκρας·
ὣς τῶν μαρναμένων σακέων ἄπο δοῦπος ὄρωρεν.
Ὡς δὲ λέων Αἴας ἐπιάλμενος ἀσπίδα νύξεν, [νεν.
οὐδ' ἔτορεν κρατερὸν σάκος, ἀλλ' ἄρα Μέμνονα κλῖ-
Αὐτὰρ ἔπειτα ἑὸν σάκος Αἴας ὑψόσ' ἀείρας,
πλῆξεν ἀνασχόμενος, ἐπέβρισεν δ' ὄβριμον ἄνδρα.
Τοῦ δὲ ποδῶν κατόπισθεν ἐφέσπετο δῖος Ἀχιλλεύς,
κρύβδην δ' αὐχένι Μέμνονος ἤλασε χάλκεον ἔγχος·
τὸν δὲ λίπεν ψυχή. Αἴας δ' ἕλε Πουλυδάμαντα,
ἡγεμόνα Φοινίκων· τρέσσαν δ' ἔθνεα Ἰνδῶν,
ὡς δοιοὺς βασιλῆας ἑοὺς νεκύεσσιν ἐσεῖδον.
Πῖπτον δ' αὖ πολέες σωρηδὸν ἄλλος ἐπ' ἄλλῳ,
αὐτοί θ' ὑπ' αὐτῶν καὶ Ἀχαιῶν χαλκοχιτώνων·
φύζα γὰρ εἶχεν ἅπαντας ἰωχμοῖο κρατεροῖο,
ζῶντες δ' ἐν νεκύεσσιν ἐρητύοντο φέβεσθαι.
Ἀργεῖοι δ' ἄρ' ὄπισθεν ἐπ' ἔντεα πάντα λέγοντο,
ἐμμενέως κτείνοντες, ἕως νὺξ ἄμβροτος ἦλθεν.
Ὄρφνῃ δ' αὖτε ἑοὺς ἑκάτερθε χέαντο νεκρούς.
Μέμνονα δὲ σμύρνῃ τε καὶ Ἀσσυρίῃ φρυγανίδι
Αἰθίοπες ταρχεύσαντες θέσαν ἀμφιφορῆϊ·
ὧς δ' ἄρα Πουλυδάμαντα καὶ ὕστερον οἴκοι ἔνεικαν.
Τροίῃ δὲ στοναχή τε καὶ οἰμωγὴ τελέεσκεν·
Τρῶες γὰρ μεγάθυμοι, ἐελμένοι ἔνδοθι πύργων,
δυσπονέως στενάχοντες ἑοὺς γοάασκον ἑταίρους.
Οὔπω δακρυχέουσιν ἐπ' ὄμμασι δάκρυα τέρσεν,
ἐκ δ' ἦλθον αὖθις, πυλέων πετάσαντες ὀχῆας,
Δηΐφοβος, Πάρις ἠδὲ Τρωΐλος ἱππιοχάρμης
ἔθνεσι σὺν πολέεσσιν, Ἀχαιῶν ἄντα μάχεσθαι.
Τοὺς δ' Ἀχιλεὺς ἐνέηκε ποτὶ Ξάνθοιο ῥέεθρα,
κτείνων ἐμμενέως· ὣς δ' αὔτως ἄλλοι Ἀχαιοί.
Καί ῥ' οἱ μὲν φύγον ὄβριμον ἔγχος Πηλείδαο,
Δηΐφοβος καὶ Δύσπαρις· αἶσα δ' ἄρ' εἷλε Τρωΐλον,
ὃς πένθος Τρώεσσιν ἐπ' ἴσης Ἕκτορι θῆκεν
ἠνορέῃ καὶ κάλλεϊ ἠδέ τε ἄνθεϊ ἥβης.
Ἀλλ' ἄρα καὶ Τρώων βασιλήων φράζεο μορφὴν,
σὺν τοῖς καὶ τοῖο Τρωΐλου ἱπποδάμοιο. [ρις,
Ἦτοι μὲν Πρίαμος σύνοφρυς, μέγας ἠδὲ μακρόῤ-
γλαυκιόων, πυῤῥόχρους, εἴδεϊ δ' ἦεν ἀγητὸς,
εὔστολος, εὐόφθαλμος, πυκνὰς δ' εἶχεν ἐθείρας.
Ἡ δὲ Ἑκάβη μελίχροιος ἔην, εὔριν, ὡραίη,
ἡλικίῃ τελέῃ, φιλότιμος, ἥσυχος αὔτως.
Ἀνδρομάχη δ' ὡσαύτως, γοργὴ δ' ἦν, μεσοήλιξ,
μάκροψις, χαρίεσσα, παρήϊα δ' εἶχε γελῶντα.
Κασσάνδρη δ' ἄρ' ἔην βαιὴ δέμας, ἀνδροόμοιος,
λευκοτέρη γλάγεος· περιηγέας εἶχεν ὀπωπὰς,
ὀγκώδεις δ' ἔχε μαστούς· μικρόπος, ἥσυχος ἦεν.
Τῆς δ' Ἕλενος κάσις εὔθετος ἦν, μακρὸς, ἀρχιγένειος,
λευκὸς, ξανθοκόμης, μακρόῤῥιν, εἴδεϊ λεπτός·
νῶτα δὲ τοῖο ἔαγεν ὑπήρεμα, λῆθε δὲ πολλούς.
Δηΐφοβος δ' ἄρ' ἔην ἥβῃ μέσος, εὐρυμέτωπος,

in asperas petras et montes altis-verticibus,
se-invicem ad taurinum prœlium provocant,
nares amplas aperientes, gravi-strepitu mugientes;
at dein se-invicem percutiunt cornibus,
sonitus vero ingens ad-montis pervenit juga:
sic illorum pugnantium e scutis strepitus exortus-est.
At sicut leo Ajax insiliens clypeum pupugit,
neque perforavit validum scutum, sed tamen Memnonem
inclinavit.] At deinde suum scutum Ajax in-altum attol-
lens] percussit *manu* sublata oppressitque fortem virum
Ejus vero post pedes secutus-est divus Achilles,
clamque in-cervicem Memnonis impulit æreum ensem.
Eum igitur reliquit anima; Ajax autem occidit Polyda-
mantem,] ducem Phœnicum; tremebant vero gentes In-
dorum,] ubi duos reges suos inter mortuos viderunt.
Cædebantur autem multi acervatim, alius apud alium,
ipsi ab ipsis et *ab* Achæis ære-vestitis;
fuga autem cepit omnes e-tumultu vehementi,
viventes tamen mortuis prohibebantur fugere.
Argivi igitur a-tergo arma omnia legebant,
indesinenter occidentes, donec nox immortalis veniret.
Obscuritate autem suos utrinque comburebant mortuos.
Memnonem vero, et myrrha et Assyriis sarmentis
exequiis-factis, Æthiopes condebant in-urnam.
Sic autem Polydamantem etiam posthac domum portabant.
Trojæ vero gemitus et ejulatus erant;
Troes enim magnanimi, inclusi intra turres,
misere gementes suos plorabant socios.
Nondum lacrimantibus in oculis lacrimæ aruerant;
eruperunt tamen rursus, portarum apertis repagulis,
Deiphobus, Paris ac Troilus ex-curru-pugnax
cum populo multo, contra Achæos pugnaturi.
Hos vero Achilles propulit ad Xanthi fluenta,
interficiens indesinenter; parique modo alii Achæi.
Et illi quidem effugerunt fortem hastam Pelidæ,
Deiphobus atque infelix-Paris; fatum autem deprehendit
Troilum,] qui luctum Trojanis non-minorem quam-Hector
injecit] ob virtutem et pulcritudinem ac florem juventutis.
Agedum etiam Trojanorum regum cognoscas formam,
cum his etiam Troili equorum-domitoris.
Namque Priamus junctis-superciliis, magnus atque magno-
naso,] glaucis-oculis, ruficolor, specieque erat admirabilis,
bene-ornatus, pulcris-oculis, densasque habebat comas.
Hecuba autem mellicolor erat, pulcro-naso, speciosa,
ætate provectissima, ambitiosa, tranquilla tamen.
Andromache autem eodem-modo, vivida tamen erat, me-
dia-ætate,] magnis-oculis, gratiosa, genasque habebat ri-
dentes.] Cassandra vero erat modica statura, viro-similis,
candidior lacte; micantes habebat oculos,
tumidasque habebat mammas; parvis-pedibus, tranquilla
erat.] Ejus autem frater, Helenus, bona-structura erat, ma-
gnus, valde-barbatus,] candidus, flavicomus, magno-naso,
specie gracilis;] tergum vero ejus curvatum-erat leniter, fu-
git tamen multos.] Deiphobus porro erat juventute media,

σίμαλος ἠδὲ μελάγχρους, εὔωψ, ἠϋγένειος.
Αἰνείας δ' ἄρα βαιὸς, ἀτὰρ παχὺς, εὔστηθος πέλε,
γλαυκὸς, λευκόχρους, ἀναφάλας, εὐρυμέτωπος.
Ἀντήνωρ δὲ μακρὸς, ῥαδινὸς πέλεν ἠδὲ γλαγόχρους,
γλαυκὸς, ῥῖνα φέρων καμπύλην, ξανθοέθειρος.
Τρωΐλος αὖ μέγας, ὠκὺς ἦν, μελανόχροος, εὔριν,
εἴδεϊ δ' αὖ χαρίεις, δασυπώγων, ταναέθειρος.[σιν.
Τὸν δ' Ἀχιλεὺς κατέπεφνε παραὶ Σκαμάνδροιο ῥοῆ-
Αὐτὰρ ἐπεὶ καὶ ἀρήϊον εἷλεν μοῖρα Τρωΐλον
ἐγγὺς ἔην θάνατος Πηληϊάδῃ Ἀχιλῆϊ,
ὕστατα γαμβρεύοντι παραιφασίῃσι Πριάμου.
Ἦτοι γὰρ Πριάμου ποτὶ δώματα δῖος Ἀχιλλεὺς
ἤρχετο πολλάκι Πολυξένης εἵνεκα νύμφης,
τήν οἱ ὑπέσχετο δωσέμεν, ὄφρα μόθου ἀπολήξῃ·
ἀλλ' ὅτε δὴ Τρῶες παρὰ Θύμβρῃ θῦον Ἀπόλλῳ,
Ἰδαῖον προέηκαν ἐπ' Αἰακίδην Ἀχιλῆα,
ἐς νηὸν καλέοντα· ὁ δ' αἶψα μάλα πιθήσας,
γυμνὸς ἐὼν καὶ ἄνοπλος ἐπήλυθεν ἔνδοθι νηοῦ.
Δηΐφοβος δ' ἄρα χερσὶ περίβαλε οἷά τε γαμβρὸν,
Δύσπαρις αὖτε μάχαιραν ἐπήλασεν ἔγκασι φωτός·
αὐτὰρ ὁ τοῖος ἐὼν ἥρως πέσεν ἀφραδίῃσιν.
Ὥστε λέων πέσεν ἐς βόθρον ὑπ' ἀϋτῆς ἐρίφοιο,
εὖτ' ἄρα μιν παραπλάγξωσιν θηρήτορες ἄνδρες,
ὣς πέσεν ἀφραδίῃσι πελώριος ὄβριμος ἥρως.
Αἶψα δ' ἄρ' ἐς πόλιν ἐκ νηοῦ φοβέοντο φονῆες.
Τοὺς δ' Ὀδυσεὺς ἐνόησε ποτὶ πτόλιν αἶψα θέοντας,
Τυδείδῃ δὲ καὶ Αἴαντι ποτὶ μῦθον ἔειπεν·
Ἡρώων ὄχ' ἄριστοι, τέκνα κλυτῶν γενετήρων,
δεῦτε ποτὶ Θύμβρην, καὶ σχέτλια ἔργα ἴδωμεν·
οἴμαι, Πηλείδης παρὰ νηὸν κάτθανε Φοίβου.
Πολλὸν ἄπεστι χρόνον, φεύγουσι δὲ Τρῶες ἐς ἄστυ.
Ὣς ὁ μὲν εἶπεν Ὀδυσσεὺς, τοὶ δὲ θέοντες ἔβαινον.
Ἀλλ' ὅτε δὴ κατὰ νηὸν Θυμβραίοιο γένοντο,
εὗρον ἔπειτ' Ἀχιλῆα πελώριον ἐν κονίῃσι,
λοίσθια φυσιόωντα παραὶ θανάτοιο πύλῃσι.
Τοὺς δὲ ἰδὼν δάκρυσε καὶ ὕστατον ἔννεπε μῦθον·
Ὦ φίλοι, οὔ τι τόσον στενάχω θανάτοιο τελευτὴν
ἥβην τ' ἀνθεμόεσσαν ἰδ' ἠνορέην ἐρατεινὴν,
οὔ τι τόσον ταῦτα στενάχω, φίλοι, οὐδ' ἀκάχημαι—
κοιναὶ γὰρ μοῖραι πᾶσιν θανάτοιο τελευτῆς,
πολλοὶ δ' αὖ θάνον, ἠμὲν τοῖοι, ἠδέ τε τοῖοι,—
ἀλλὰ τό μοι ἄχος, ὅττι με τοῖος Δύσπαρις ἔκτα.
Ἀλλ' ὑμεῖς Πατρόκλῳ με καὶ Ἀντιλόχῳ μεγαθύμῳ,
εὖ μάλα κοσμήσαντες, ἐπὴν κατὰ μοῖρα λάβῃσι,
χρύσεον ἐς μητρώϊον ἔνθεσθ' ἀμφιφορῆα,
ὡς ἂν μηδὲ θανὼν γε φίλων ἀπάτερθεν ἐσοίμην.
Ὣς εἰπὼν ἀπέπνευσε μέγα στέρνοιο φυσήσας.
Αἴας δακρυχέων δὲ νέκυν ὤμοις ἀναείρας
ἔκφερεν ἐς κλισίας, μετόπισθε δὲ Τρῶες ἔβαινον,
τὸν νέκυν ἐξ Αἴαντος ἀφαρπάσαι ἐμμενέοντες.
Ἀλλ' ὁ μὲν ἐν κλισίῃσι φέρων λεχέεσσιν ἔθηκε,
κοσμήσας σὺν ἅπασιν Ἀχαιῶν ἡγεμόνεσσιν.
Ἄλλοι δ' ὧδ' ἐρέουσι· θανόντα Τρῶες ἔπεσχον,
Ἀργείοις δὲ δόσαν, λύτρα Ἕκτορος αὖθις ἑλόντες.

larga-fronte,]pressis-naribus ac nigricolor, bono-visu, pulcra
-barba.] Æneas vero parvus, sed crassus, bono-pectore erat,
glaucus, albicolor, calvus, larga-fronte.
Agenor autem magnus, gracilis erat ac lacticolor,
glaucus, nasum habens curvum, flavicomus.
Troilus porro magnus, velox erat, nigricolor, pulcro-naso,
specie vero graciosus, hirsuta-barba, longis-capillis.
Hunc igitur Achilles interfecit ad Scamandri fluenta.
At postquam etiam bellacem deprehendit fatum Troilum,
prope erat mors Pelidæ Achilli,
postremum se-socianti invitationibus Priami.
Profecto enim Priami ad ædes divus Achilles
abiit sæpe Polyxenæ gratia sponsæ,
quam ipsi pollicitus-erat se-daturum, ut bello desineret;
at ubi Trojani ad Thymbram sacra-fecerunt Apollini,
Idæum miserunt ad Æaciden Achillem,
in templum qui-*eum*-vocaret; is vero statim facile obse-
quens,] nudus et sine-armis profectus-est in templum.
Deiphobus igitur manibus *eum* amplexus-est ut affinem,
infelix-Paris autem cultrum infixit in-viscera viri;
at is, talis qui-erat heros, cecidit imprudentia.
Uti leo cecidit in foveam *audito* clamore hœdi,
quando quidem eum seduxerunt venatores viri;
sic cecidit imprudentia ingens, fortis heros.
Statim vero in urbem ex templo aufugerunt occisores.
Quos Ulysses animadvertit ad urbem subito currere,
Tydidæ igitur atque Ajaci *hæc* verba dixit:
Heroum longe optimi, filii inclytorum parentum,
abeamus (ad) Thymbram, et infelicia opera videamus;
Pelides, credo, ad templum mortuus-est Apollinis.
Ex-longo abest tempore, fugiuntque Trojani ad urbem.
Sic quidem dixit Ulysses, illi autem currentes profecti
-sunt.] Sed ubi jam ad templum Thymbræi *Apollinis* ve-
nerunt,] repererunt ibi Achillem ingentem in pulvere,
postrema suspiria-ducentem ad mortis januas.
His autem visis lacrimavit et ultimum prolocutus-est ser-
monem:] O amici, non tam ingemisco mortis termino
juventutique floridæ et virtuti amabili,
non tam his ingemisco, amici, neque doleo *his*;
(communia enim fata omnibus termini mortis,
multique moriuntur, tum tales, tum tales,)
sed ille mihi dolor, quod me talis infelix-Paris interfecit.
Sed vos cum-Patroclo me et Antilocho magnanimo,
optime ornatum, quando fatum deprehenderit,
in aurea, materna collocate urna,
ne vel mortuus ab-amicis procul sim.
Sic locutus expiravit magnum e-pectore flatum-edens.
Ajax autem lacrimans mortuum humeris sublatum
extulit in castra, a-tergo vero Trojani ibant,
cadaver Ajaci subripere cupientes.
Sed is in castra portatum lectis *id* imposuit,
ornans cum omnibus Achæorum principibus.
Alii autem sic narrant: mortuum Trojani retinebant,
Argivis tamen reddiderunt, pretiis-redemptionis Hectoris.

Καὶ τότε τὸν κοσμήσαντες δῖοι Παναχαιοὶ
ἔκφερον ἐν λεχέεσσι κεκασμένον εὖ κατὰ κόσμον,
Ἀργεῖοι δ' ἐν ὅπλοισι κεκασμένοι ἐστιχόωντο
φαλαγγηδὸν, πεζοὶ, πάντες δακρυχέοντες.
Μοῦσαι δὲ στονόεσσαν ἐπέβρεμον ἄπλετον ἠχὴν,
αὐλοῖς καὶ φόρμιγξιν. Ὁ δ' ἐν λεχέεσσιν ἔκειτο,
ἀστράπτων ἐν ὅπλοισι· τὰ γὰρ περὶ φέρτρον ἔκειτο.
Στρωμνῆς δ' αὖτε πέλας βασιλῆες ἴσαν Ἀχαιῶν.
Ἵπποι δὲ πρυλέων προπάροιθεν ἐστιχόωντο
Ἀργείων βασιλήων· αὐτοῦ δ' αὖτ' Ἀχιλῆος,
κόσμον ὑπαυχένιον τετμημένοι, ἐγγὺς ἕποντο.
Ἅρμα δὲ τοῖο φέρεσκε χρύσεον ἀμφιφορῆα,
ὀστέα Πατρόκλοιο καὶ Ἀντιλόχοιο φέροντα,
τῷ ἐνὶ Πηλείδη θήσειν ἐθέλεσκον Ἀχαιοί.
Μυρμιδόνες δ' ἑκάτερθε μελάμπεπλοι ἐφέποντο,
πάντες ἐπ' ἀσκεπέες, περὶ κόρσας τέφραν ἔχοντες.
Ληϊάδες δὲ γυναῖκες ὅσαι Τρώων παρ' Ἀχαιοῖς,
φέρτρου ἴσαν μετόπισθε, Βρισηΐς θ' Ἱπποδάμεια
κλαίουσα λιγέως δουρικτήτη περ ἐοῦσα.
Ἀλλ' ὅτε νισσόμενοι ποτὶ πυρκαϊὴν ἀφίκοντο,
ἐν δὲ μέσῃ νέκυν ἥρωες θέσαν εἷο ἑταίρου,
αὐτίκα Νηρῆος κοῦραι, μέγα κῦμα θαλάσσης,
ἐξ ἁλὸς ἤϊξαν, μόρμυρε δὲ πόντος ἀπείρων.
Ἥρωες δὲ φόβηθεν Ἀχαιοὶ τάσδε ἰδόντες,
τρέσσαν δ' ἄλλῃ ἄλλος, ὅπῃ νόος ὦρσεν ἕκαστον,
ἐλπόμενοι κλόνιον Σεισίχθονα, κυανοχαίτην,
ἐς γαῖαν ἐλάαν ἐρίδουπον ἅρμα καὶ ἵππους·
Νέστωρ δ' αὖ κατέρυξεν, ἐπέσχε τε φύζαν ἁπάντων.
Ταὶ δ' ἄρα σὺν Θέτιδι παρὰ Σιγεῖον παριοῦσαι,
κοψάμεναι μέγα τὸν νέκυν, ἐς βυθὸν αὖθις ἵκοντο.
Τῶν δ' ἄρ' ἀναξυρίδες καὶ ἡρώων περ ἐόντων
θείην ἐκ θεέων εὐώδεα πνεῦσαν ἀϋτμήν.
Πηλείδη δ' ἐπεὶ ἂρ κατέδαψε σιδήρειον πῦρ,
θῆκαν σὺν Πατρόκλῳ τε καὶ Ἀντιλόχῳ μεγαθύμῳ
Ἀργείων οἱ ἄριστοι Σιγείοιο παρ' ἄκρας
χρύσεον ἐς φιάλην, καθύπερθε δὲ τύμβον ἔτευξαν,
ἔνθ' ἄρα Πατρόκλοιο τετεύχατο σῆμα πάροιθεν.
Ἀλλ' ἦτοι αἴων καὶ μορφὴν φράζεο τῶνδε.
Ἦτοι μὲν Πηλῆος ἀγαυοῦ φαίδιμος υἱὸς
εὐμήκης, εὔστηθος ἔην, χαρίεις περὶ πάντας,
λευκὸς, ξανθοκόμης, οὐλόθριξ, πυκνοέθειρος,
μακρόῤῥις, μελίγηρυς, κούρης δ' εἶχεν ὀπωπάς·
γοργὸς ἔην ὀφθαλμοῖς, ἐν δὲ δρόμοισι ποδάρκης·
μακρὰ δ' ἔχε σκέλεα, ὑπὸ δ' ἐσπάνιστο ὑπήνη.
Πάτροκλος δὲ προγάστωρ, εὐπώγων, μεσοήλιξ,
ξανθοκόμης, πυῤῥόχρους, εἴδεϊ δ' ἦεν ἀγητός.
Ἀντίλοχος δὲ νεώτερος ἄλλων ἔπλεν Ἀχαιῶν·
εὐήλιξ, εὐαύχην, λευκὸς ἔην, μακρόῤῥις,
γοργὸς ἐν ὀφθαλμοῖσιν, ἀελλόπος, ἀρτιγένειος,
ξανθοκόμης, εὐχαίτης· γλαυκαὶ δ' ἦσαν ὀπωπαί.
Αὐτὰρ ἐπεὶ κτερέϊξαν τοὺς δῖοι Παναχαιοὶ,
ὅπλ' Ἀχιλῆος ἔθεντο τὸν ὤριστον λαβέσθαι.
Ἀνστάντες δ' Ὀδυσεύς τε καὶ Αἴας δηριόωντο.
Χρησμοὶ δ' ἐκτελέοντο, κακὸν δ' ἀμφαίνετο Τροίῃ.

receptis.] Et tunc illum ornatum divi Achæi
extulerunt in lectis bene decoratum ritu,
Argivique (in) armis decorati ex-ordine-incedebant
turmatim, pedites, omnes lacrimantes.
Musæ vero lamentabilem ediderunt infinitum sonitum,
tibiis ac citharis. Ille autem in lectis jacebat,
splendens in armis; ea enim in feretro jacebant.
At prope stragulum reges ibant Achæorum.
Equique militum incedebant-ordine ante
Argivorum reges; ibi vero etiam Achillis *equi*,
ornatu collari resecto, prope sequebantur.
Currus autem illius ferebat auream urnam,
ossa Patrocli et Antilochi continentem,
in qua Pelidem ponere volebant Achæi.
Myrmidones vero utrinque nigris-vestibus-induti sequebantur,] omnes inoperti, in capitibus cinerem habentes.
Captivæ autem mulieres, quotquot Trojanorum apud Achæos *erant*,] post feretrum ibant, Briseisque Hippodamia
plorans acute, captiva quamquam erat.
At ubi procedentes ad rogum pervenerunt,
inque medio cadaver heroes collocarunt sui socii,
statim Nirei filiæ, magnus fluctus maris,
ex mari prorumpebant, ac murmurabat pontus infinitus.
Heroes autem Achæi metuerunt has intuiti,
trepidabantque alio alius, quo mens impulit unumquemque,
expectantes tumultuosum Neptunum, nigricomum,
in terram incitaturum sonorum currum et equos;
Nestor vero retinuit, inhibuitque fugam omnium.
Illæ igitur cum Thetide ad Sigeum profectæ,
plancto valde mortuo in profundum revertebantur.
Illorum autem vestes, quamquam heroes erant,
divinum a deabus fragrantem exhalabant vaporem.
At Peliden postquam consumpsit ferreus ignis,
posuerunt cum Patroclo et Antilocho magnanimo
Argivorum principes apud Sigei promontoria
aureo in vase, superque tumulum extruxerunt,
ubi quidem Patrocli extructum-erat monimentum antea.
Agedum vero audiens etiam formam cognoscito horum:
Namque Pelei nobilis splendidus filius
procerus, bono-pectore erat, graciosus præ omnibus,
candidus, flavicomus, crispus, densis-capillis,
magno-naso, mellita-lingua, virginis vero habebat oculos;
vividus erat oculis, et in cursibus velox;
longa vero habebat crura, raraque-erat barba.
Patroclus autem ventriosus, pulcra-barba, media-ætate,
flavicomus, ruficolor, specieque erat admirabilis.
Antilochus vero natu-minor aliis erat Achæis,
pulcra-statura, pulcro-collo, candidus erat, magno-naso,
vividus oculis, celeripes, pubescens,
flavicomus, pulcra-cæsarie; glauci autem erant oculi.
At postquam sepelierunt hos divi Achæi,
arma Achillis proposuerunt, ut-optimus *ea* sumeret.
Surgentes autem Ulysses et Ajax certabant.
Oracula vero implebantur, malumque apparebat Trojæ.

Pyrrhus

Παῖδες δὲ Τρώων δορυθήρατοι ἦσαν Ἀχαιοῖς,
οἳ βουλῇ Δαναῶν τούτους κρίναντες ἅμ' ἄμφω
υἱέϊ Λαέρταο ἐπήρατα ὤπασαν ὅπλα,
φάντες ὑπὲρ Αἴαντα λυγρὰ Τρώεσσιν ἰάψαι.
Αἴας δ' αὖ λύπῃ βεβαρειὼς εἵνεκεν ὅπλων
ἦλθεν ἐπὶ κλισίας καί ἑ ἔκτανε χαλκεόθυμος.
Ὣς θάνε· τῷ δ' ἄρα Ῥοιτείῳ πάρα τύμβον ἔτευξαν.
Ἀλλ' ἤτοι καὶ τοῦδ' ἥρωος ἄκουε μορφήν.
Ἠὺς ἔην, μέγας, εὔρις, εὔθετος, οὐλοκάρηνος,
κυάνεος χροιὴν, βλοσυρῶπις, ἠϋγένειος·
κάλλεϊ δὲ προφέρεσκεν ἁπάντων πλὴν Ἀχιλῆος.
Τρίτον ἔην ἦμαρ ἀπὸ Πηλείδαο τελευτῆς,
Αἴανθ' ὁππότε τύμβευσαν μεγάθυμοι Ἀχαιοί.
Καὶ τότε δή ῥα Πολυξείνη, κούρη Πριάμοιο,
ἐννυχίη προμολοῦσα, φίλους προφυγοῦσα τοκῆας,
πολλὰ κλαυσαμένη περὶ τύμβου Πηλείδαο,
νυμφίῳ εὐγενέϊ καλὴ παρακάππεσε νύμφη,
εὐνῇ ἐν αὐτοκλήτῳ χάλκεον ὕπνον ἑλοῦσα,
Φλάβιος ὡς ἐρέει· τά δ' ἄρ' Εὐριπίδου ἀλλοῖα.
Ἀλλ' ἄρα καὶ τῆς μάνθανε μορφῆς εἶδος ἀγητόν.
Εὔοψ, μακρὰ ἔην, λευκὴ, πάνυ δουλιχόδειρος,
μικρόπος, ἀνθερόχειλος, καλλίμαστος, ἀρίστη·
ὀκτὼ καὶ δέκα δ' ἦν ἐτέων, χρόνος ἥλικος ἥβης.
Κάτθανε δ' αὖτε κόρη ἢ οὕτως ἢ καὶ ἐκείνως.
Ἀργεῖοι δ' ἐπεὶ ἔκθανον Αἰακίδαι μεγάθυμοι,
οἳ μέγα ἕρκος ἔησαν Ἀχαιῶν ἐν πολέμοισι,
χρησμοῖς ὦτα πετάννυον· ὅσσα δὲ τοῖσιν ἐπῄει,
Παλλάδος εἴ κεν ἄγοιεν ἀπὸ Τροίηθεν ἄγαλμα,
Τροίην εὐρυάγυιαν ὑπ' ἔγχεϊ τῶνδε γενέσθαι.
Καὶ τότ' Ὀδυσσεὺς νύκτωρ ἠδὲ πάϊς Τυδῆος
αὐτονυχεὶ κόμισαν, Ἀντήνορος ὦκα λαβόντες·
τοῖς γὰρ ἔην φίλος, ἠδὲ δάμαρ ἱέρεια θεοῖο.
Ὣς οἱ μὲν Δαναοὶ Τροίην δοκέεσκον πέρσαι.
Εὐρύπυλος δ' ἐπίκουρος Τρωσὶν ἐπήλυθεν αὖθις,
Τηλεφίδης μεγάθυμος, Μυσὸς, ἐπήρατος ἄναξ.
Κτεῖνε δὲ πολλοὺς Ἀργείων Ἀσκληπιάδη τε,
ἥρω ἰητῆρα, Μαχάονα, κάλλιμον ἄνδρα,
ὥς ῥα Κόϊντος ἔφη· ὁ δ' ἄρ' Ὀρφεὺς ἄλλ' ἐπαείδει.
Καὶ τότ' ἀπὸ Σκύροιο Νεοπτόλεμος θεοειδὴς
ἤλυθεν Ἀργείοισι, μέγα δ' ἐχάροντο ἰδόντες.
Ἀλλ' ἤτοι καὶ μορφὴν μείρακος ἄϊε τοῦδε.
Πυῤῥὸς ἔην πολὺ, τῷ καί ἑ Πύῤῥον μιν καλέεσκον·
εὐῆλιξ, ὑπόγλαυκος, λεπτὸς, γλαγεόχροιος,
εὔριν, εὐθώραξ, τολμήεις, οὐλοκάρηνος,
εὔσκυλτος, πικρὸς, προπετὴς, μέγας, ἀγριόθυμος·
λάχνη δ' οἱ χαρίεσσα ἐφύετο ἀνθερεῶνι.
Ἤϊε δ' ἐκ Θέτιδος πατρώϊον αἷμα διώκων.
Οἱ δ' Ὀδυσῆ ἐρέουσιν ἀπὸ Σκύροιο κομίσσαι
χρησμοῖς, μαντοσύναισιν ἢ αὐτομόλοισιν ἀνάγκαις·
τῷ δ' ἄρα καὶ πατρώϊα χρύσεα ὤπασεν ὅπλα.
Θῦσε δ' ἄρα πρῶτα πατρώϊον ἐς τάφον ἐλθὼν,
κειράμενός τ' ἀνέθηκεν ἑὴν χρυσότριχα χαίτην
ἠδ' οὓς ἐκ πάτρης φέρεν πλοκάμους γενετήρων,
μητρὸς Δηϊδαμείης ἠδέ τε πατροτοκήων.

Filii autem Trojanorum bello-capti erant Achæis,
qui de-consilio Danaum his judicatis simul ambobus
filio Laertæ amabilia præbuerunt arma,
dicentes Ajacem calamitatem Trojanis immisisse.
Ajax vero tristitia oppressus propter arma,
abiit in castra et se interfecit æreo-animo.
Ita mortuus-est; ei autem prope Rhœteum *promontorium* tumulum extruxerunt.] Age vero etiam hujus herois audito formam.] Pulcer erat, magnus, pulcro-naso, pulcra-statura, crispo-capite,] niger colore, trucibus-oculis, pulcra-barba;
pulcritudine autem excellebat inter-omnes præter Achillem
Tertius erat dies e Pelidæ morte,
quando Ajacem humabant magnanimi Achæi.
Et tum jam Polyxena, filia Priami,
noctu abiens, caros fugiens parentes,
multum plorans in tumulo Pelidæ,
prope sponsum nobilem pulcra procubuit sponsa,
lecto in sponte-parato æreum somnum capiens,
ut Flavius narrat; illa vero Euripidis diversa *sunt*.
Age igitur etiam hujus disce formæ speciem admirabilem.] Pulcris-oculis, longa erat, candida, valde longo-collo,
parvis pedibus, floridis-labiis, pulcris-mammis, egregia;
octo et decem erat annorum, ætas maturæ juventutis.
Mortua-est igitur puella sive hoc-modo sive illo.
Argivi autem, cum mortui-essent Æacidæ magnanimi,
qui magnum præsidium fuerant in Achæorum bellis,
vaticiniis aures aperuerunt; oraculum enim iis advenerat,
si Palladis abstulissent (a) Troja simulacrum,
Trojam latis-viis sub hasta eorum fore.
Et tum Ulysses noctu ac filius Tydei
eadem-nocte apportarunt *illud* ab-Antenore statim acceptum;] his enim erat amicus, atque uxor *ejus* sacerdos deæ.] Sic quidem Danai Trojam sibi-visi-sunt expugnare.
Eurypylus autem socius Trojanis venit rursus,
Telephides magnanimus, Mysus, amabilis rex.
Interfecit autem multos Argivorum Æsculapiique-filium,
heroem medicum, Machaonem, pulcrum virum,
ut quidem Quintus dixit; contra Orpheus alia canit.
Et tum e Scyro Neoptolemus divina-specie
advenit Argivis, maximeque gaudebant *eum* videntes.
Age igitur etiam formam adolescentis audito hujus.
Rufus erat valde, quare etiam Pyrrhum eum vocabant,
pulcra-statura, subglaucus, gracilis, lacticolor,
pulcro-naso, pulcro-pectore, audax, crispo-capite,
agilis, acer, impetuosus, magnus, feroci-animo;
lanugo autem ipsi graciosa provenit in-mento.
Venit autem a Thetide *missus* patris cædem ulturus.
Alii Ulyssem narrant a Scyro *eum* adduxisse
ex-oraculis, vaticiniis aut sponte-profectus ob-necessitatem;] illi igitur etiam paterna aurea præbuit arma.
At sacra-fecit primum ad paternum sepulcrum profectus,
tonsusque imposuit suam flavicomam cæsariem
et, quos e patria attulerat, cincinnos parentum,
matris Deidamiæ ac parentum-patris.

Αὐτὰρ ἐπεὶ δάκρυσεν ἔθυσέν τε τῷ ὅσσα ἐῴκει,
τὸν μὲν ἔπειτ' Ἀτρείδης ἐν κλισίῃσι κατέσχε,
δῶρα δὲ δοὺς ἀπέπεμψε ποτὶ κλισίας Ἀχιλῆος.
Ἐν δὲ Βρισηῒς πάντα πατρώϊα χρήματα δεῖξε,
χήρατο δ' ὡς ἐνόησε καὶ ἔδρακεν ὡς φίλον υἷα·
ὃς δ' ὡς μητέρα τίεσκεν καὶ ἔχεσκε παρ' αὐτῷ.
Αὐτὰρ ἐπεὶ καμάτου ἀνεπαύσατο αἰόλα γυῖα,
ἑσσάμενος ῥεθέεσσι πατρώϊα χρύσεα τεύχη,
ἐς δίφρον τ' ἀναβὰς σύν γ' Αὐτομέδοντι ἑταίρῳ,
Ἄρεϊ χαλκοχίτωνι ἀλίγκιος ἐς μέσον ἔστη·
Μυρμιδόνες δ' ἑκάτερθε καὶ Ἀργεῖοι στιχόωντο.
Τρωσὶ δὲ πρῶτος ἔλασσε πατρώϊον ἅρμα καὶ ἵππους.
Οἱ δ' ὡς εἶδον, ὑπέτρεσαν· ἀμφασίη γὰρ ἐπέσχεν
οἰομένους Ἀχιλῆα πελώριον αὖθις ὁρᾶν.
Μυρμιδόνες δὲ καὶ Ἀργεῖοι κεράϊζον ὄπισθεν.
Αὐτὸς δ' αὖ Μελάνιππον Μυσῶν ἡγεμονῆα
ἠὺν πέφνε, φίλον γόνον Ἰστριάδαο Ἑλώρου.
Ἀλκιδάμαντα δ' ἔπειτα ἀνεψιὸν ἔκτανε τοῖο,
υἱὸν ὑπερθύμοιο ποδώκεος Ἀκταίοιο.
Κτεῖνε δὲ Τηλεφίδην, Ἱέρης γόνον ἐγχεσίμαργον,
ὃς μέγα κυδιάασκεν, ἄναξ δ' ἄρα ἦεν ἐκείνων.
Ὡς γάρ μιν ὀλέκοντα ἑοὺς ἐνόησεν ἑταίρους
Τηλεφίδης μεγάθυμος, ἀτάσθαλος, ὄβριμος ἥρως,
ἦλθε Νεοπτολέμοιο καταντίον ἔγχεος αἰχμῆς.
Τοῦ δ' ἄρα παῖς Ἀχιλῆος ἀτάσθαλον ἦτορ ἀπηύρα,
στέρνῳ ἐν ὀβριμόεντι πελώριον ἔγχος ἐλάσσας.
Ὡς πέσεν· οἱ δὲ φέβοντο λεῷ κείνοιο πεσόντος.
Οἵδε Νεοπτολέμῳ Μυσῶν πέσον ἡγεμονῆες·
αὐτὰρ οἱ ἄλλοι ὥστε κόνις ἀνέμοιο θυέλλῃ,
ἥν τε Τυφὼς ἀνάειρε, κεδάννυντ' ἄλλοθι ἄλλος.
Τρῶες δ' ὡς ἐνόησαν ἀήσυλα μέρμερα ἔργα,
κειάμενοι νέκυας, ποτὶ πύργους ἔνδον ἵκοντο.
Καὶ τότε μὲν Ἕλενος, θεόφοιτος μάντις ἀμύμων,
ἤ ῥ' Ὀδυσῆος ἐν ἔργμασιν Ἀργείοισιν ἐπελθὼν,
ἢ μόνος αὐτομόλοισιν ἐπηλυσίῃσι βαδίσσας,
ἐκ σιδηρίταο, κατ' Ὀρφέα, μαντιπόλοιο,
λίθου ἀνδρολόγοιο, μαθὼν ὅσα τεύχετο Τροίῃ,
εἶπε Φιλοκτήταο βίην κομίσαι ἀπὸ Λήμνου,
ὀστέα τε Πέλοπος ἐξ Ἤλιδος οἰσέμεν ὦκα·
αἶσα γὰρ ὧδε πεσεῖν ὑπ' Ἀχαιῶν Τρώϊον ἄστυ.
Ὡς Ἕλενος ἐρέεινε θεόπροπος· οἱ δ' ἐτέλειον.
Αὐτίκα δ' ἐκ Λήμνοιο Ποιάντιος ἤλυθεν ἥρως,
εὐμήκης, μελανόχροος, εὔθετος ἠδὲ σύνοφρυς,
τόξα φέρων στονόεντα· πόδας δέ οἱ ἕλκος ἔτειρε.
Πέτρῃ δ' ἀρτεμέα ἐχιήτιδι τεῦξε Μαχάων.
Τὸν δ' ὁ Κόϊντος ἔπεφνεν ὑπ' Εὐρυπύλοιο βολῆσιν.
Αὐτίκα δὲ Ποιάντιος ὄβριμος υἱὸς ἐκεῖνος
ἐς μόθον ἐκκαλέεσκε Τρώων ὅς κε θέλῃσιν
ἀντία τοξάζεσθαι· μοῖρα δὲ Δύσπαριν ἦγεν,
ὅς ῥά τε νηπιέῃσι καταντίον ἤλυθε τοῖο.
Ἦτοι γὰρ βέλος ἧκε, Φιλοκτήταο δ' ἅμαρτεν.
Αὐτὰρ ὁ δεύτατος ἐσσυμένως προέηκεν ὀϊστὸν,
καὶ βάλε μιν πρώτιστον ἱεὶς λαιὴν κατὰ χεῖρα·
δεύτερον αὖτ' ἐφέηκε καὶ ὄμματος ἔκβαλε γλήνην

At postquam lacrimavit ac justa-persolvit illi, quanta decebat,] hunc quidem deinceps Atrides in castris retinebat,
muneribus autem datis misit ad tentoria Achillis.
Ubi Briseis omnes paternas res ostendebat,
gavisa-est autem, ubi *cum* vidit, et suspexit tanquam carum filium;] qui contra tanquam matrem honorabat *eam*
et retinebat apud se.] At postquam fatigatione desiverunt
agilia membra,] induto corpore paternis aureis armis,
curruque conscenso cum Automedonte socio,
Marti ære-vestito similis in medio stetit;
Myrmidones autem utrinque et Argivi ordine-incedebant.
In-Troes vero primus incitavit paternum currum atque equos.] Qui ubi viderunt, tremebant; consternatio enim tenebat *eos*] existimantes *se* Achillem ingentem rursus conspicere.] Myrmidones autem et Argivi stragem-edebant a-tergo.] Ipse vero Melanippum Mysorum ducem
egregium interfecit, carum filium Istriadæ Helori.
Alcidamantem autem deinde, patruelem illius, occidit,
filium temerarii celeripedis Actæi.
Occidit autem Telephiden, Hieræ filium hasta-furentem,
qui valde superbiebat, rex autem erat illorum.
Ubi enim illum interimere suos vidit socios
Telephides magnanimus, perniciosus, fortis heros,
ivit obviam Neoptolemi hastæ mucroni.
Hujus igitur perniciosum cor filius Achillis abstulit,
in pectus forte ingenti hasta infixa.
Ita cecidit; at fugiebant populi illo cæso.
Atque a-Neoptolemo Mysorum cædebantur duces;
verum reliqui tanquam pulvis venti turbine,
quem Typhos tollit, dispergebantur, alibi alius.
Troes vero ubi viderunt iniqua, gravia facinora,
combustis cadaveribus intra turres se-receperunt.
Et tum quidem Helenus, divinus vates excellens,
sive Ulyssis in vinculis ad-Argivos venisset,
sive solus spontaneo adventu accessisset,
a siderite, secundum Orpheum, vaticino,
lapide humana-voce-prædito, edoctus, quæ parata-essent Trojæ,] dixit Philoctetæ vim adducendam e Lemno,
ossaque Pelopis ex Elide afferenda celeriter;
fatale enim *esse* excisum-iri ab Achæis Trojanam urbem.
Sic Helenus pronunciavit vates; illi vero *id* perfecerunt.
Statim igitur e Lemno Pœantius venit heros,
procerus, nigricolor, bona-statura ac junctis-superciliis,
arcum ferens tristificum; pedes vero ejus vulnus contriverat.] Lapide vero echitide integrum restituit Machaon.
Hunc autem Quintus interfici-fecit Eurypyli telis.
Statim vero Pœantis fortis filius ille
ad certamen provocavit Trojanorum quicunque vellet
contra sagittis-pugnare; fatum autem infelicem-Paridem impulit,] qui quidem stultitia *adductus* obviam ivit illi.
Profecto enim telum misit, a-Philocteta autem aberravit.
At is posterior velociter jaculatus-est sagittam,
et percussit illum, primum mittens, sinistra in manu;
secundam dein *sagittam* emisit, et oculi dejecit pupillam

δεξιτεροῦ, γοόωντος· ὁ δὲ τρίτον ἧκεν ὀϊστὸν,
καὶ βάλεν οὐδ' ἀφάμαρτεν ἐπὶ σφυρίοισι τιτῆνας.
Τὸν δέ τε Τρῶες ἄειραν, νυκτί τε κάτθανε μέσσῃ.
Σὺν δ' ἄρα τοῖο γυνὴ προτέρη θάνε φίλτρῳ ἐκείνου,
ἢ πυρὶ, ὡς ὁ Κόϊντος, ἢ, ὡς Λυκόφρων, ἀπὸ πύργου,
ἢ βρόχον ἁψαμένη, ὡς Δίκτυϊ εἴδετ' ἄριστον·
κάτθανε δ' οὖν αὐτὴ, εἴθ' οὕτως εἴτε ἐκείνως.
Δηΐφοβος δ' Ἑλένης πόσις ἔπλετο Τυνδαρεώνης,
ἢ ῥ' ἀέκουσαν ἑλὼν, εἴτε Πριάμοιο φραδαῖσιν.
Ἀργεῖοι δ' ὡς χάρμης οὐκέτι δέρκετο τέρμα,
αὖθις Ὀδυσσέα Τρωσὶν ἐπίσκοπον ἧκαν ἐν ὄρφνῃ.
Ἕσπετο καὶ Τυδεΐδης· Τρωσὶ δὲ μίχθεν ἰόντες.
Οἱ δὲ θεοῖσιν ἔρεζον, πῦρ δ' οὐ καίετο ἱρῶν,
βωμῶν δ' αὖ κατέπιπτε βοῶν τε κρέα καὶ αἰγῶν.
Τρῶες δ' ὡς ἐνόησαν ἀπαίσια σήματα ἱρῶν,
Ἀργείοις Ἀντήνορα πρέσβεα δῖον ἕηκαν,
εἰπέμεν Ἀτρεΐδῃσι καὶ ἄλλοισιν Δαναοῖσιν,
Ἀργείην Ἑλένην καὶ χρήματα πολλὰ λαβόντας
παύσασθαι πολέμοιο· ἅλις τετίηνται Τρῶες.
Ὣς ὁ μὲν εἶπεν ἐπελθὼν, οἱ δ' ἐθέλεσκον Ἀχαιοί.
Ἀλλ' Ὀδυσεὺς Τυδεΐδης τ' αὖ κατέρυξαν ἰόντες,
φάντες ὅσα Τρώεσσι μεμιγμένοι ἔννυχον εἶδον.
Τῷ πάντας κατέρυξαν, ἐτώσια πρέσβιν ἱέντες.
Αὐτοὶ δ' αὖθ' ἑλέειν φράζοντο Τρώϊον ἄστυ.
Οὔτοι Ὀδυσσέα οἶδα σάφα, πότε Τρῶες ἐπέσχον,
ἢ ἐνὶ κείνῃ νυκτὶ ἐπίσκοπον εἴτε τοι ἄλλῃ.
Κεῖνον γὰρ Ἑκάβη κατεέσχεθε, λῦσε δὲ ὦκα.
Αὐτὰρ ἐμὲ δολόεσσα γυνὴ Ἰσαακίοιο
θλῖψεν ἐπικρατέως, λεπροῖς δ' ἐχαρίζετο πολλὰ,
οὕνεκά οἱ καλῶς καταθύμια πάντα ἔρεζον,
ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον ἦεν.
Τοὔνεκα ἧς ἀνίης μεμνημένος οὐκ ἀλέγισσα,
ὁππότε Τρῶες Ὀδυσσέα Τρώϊον εἶλον ἐς ἄστυ.
Ἓν τόδ' ἐπισταμένως τε καὶ ἀτρεκέως καταλέξω,
ὡς ἄρ' ἔην ἀγνώμων ἠδὲ δόλων ὑποεργὸς,
ὃς καὶ δειλὸς ἐὼν ἀνὴρ πολέμοισι γεγήθει.
Ὣς δ' ἄρα καὶ τότε πρεσβείην Τρώων ἀποπέμψας,
μήδετο ἀγκυλόβουλος Τρώϊον ἠμύσαι ἄστυ,
καὶ δὴ δουράτεον μέγαν ἵππον ἐκέκλετο τεῦξαι.
Αὐτίκα δ' Αἰακίδης περιδέξιος εἶπεν Ἐπειός·
Οὗτος ἐμός γε ἄεθλος, ὑμεῖς δέ μοι ἄξετε ὕλην.
Ὣς ἐρέεινεν ἀνήρ· οἱ δὲ ῥώοντο πρὸς ἔργον.
Ἀλλ' ὅτε δὴ πάντα χρειώδεα δοῦρα κόμισσαν,
δαιμονίῃσι χέρεσσι πελώριον ἤδρασεν ἵππον,
χρῶσε δ' ἐπὶ χρυσῷ τε καὶ ἀργύρῳ, εὖ κατὰ κόσμον,
μαρμαρυγὰς δὲ λίθων τοῖο περὶ δέργματι θῆκεν.
Γαστὴρ δ' ἦν εὐρεῖα, χάνδανε δ' ἔνδοθι πολλούς.
Γαστέρι δὲ κρυφίη θύρη, ἐν δὲ πόδεσσι τροχίσκοι.
Αὐτὰρ ἐπεὶ ποίησε πελώριον Ἄρεος ἔργον,
εἴκοσι τρεῖς τε ἔβαινον ἐπίδμονες ἄνδρες ἄρηος.
Πρῶτα Νεοπτόλεμος, Διομήδης καὶ Κυάνιππος,
Ἰδομενεὺς, Μενέλαος ἰδ' Ἰλέος ἄλκιμος Αἴας
Κάλχας Τεῦκρός τε καὶ Νεστορίδης Θρασυμήδης,
Εὔμηλός τε, Λεοντεὺς, Εὐρυπύλοιο βίη τε,

dexteri, plorantis; idem vero tertiam jecit sagittam,
ac percussit, neque aberravit, ad malleolos-pedis oculis-col-
lineatis.] Eum vero Troes sustulerunt, nocteque mortuus
-est media.] Simul autem ejus uxor prior mortua-est philtro
illius,] aut igni, ut Quintus, aut, ut Lycophron *ait*, de turri
præcipitata,] aut laqueo suspensa, ut Dyctyi videtur opti-
mum;] mortua-igitur est ipsa, sive hoc-modo, sive illo.
Deiphobus autem Helenæ conjux factus-est Tyndaridis,
sive nolentem *eam* ducens, sive Priami voluntate.

Argivi autem, quia contentionis nondum visus-est termi-
nus,] statim Ulyssem Trojanis exploratorem miserunt per
tenebras.] Secutus-est etiam Tydides; Trojanis igitur misce-
bantur profecti.] Hi vero diis sacra-fecerunt, ignis autem sa-
crorum non ardebat,] atque ex-aris deciderunt boum car-
nes et caprarum.] Troes igitur ubi viderunt infausta omina
sacrorum,] Argivis Antenorem legatum divum miserunt,
qui-diceret Atridis et aliis Danais,
ut-Argiva Helena atque opibus multis acceptis
desinerent a-bello; satis cruciati-sunt Troes.

Sic ille quidem dixit aggressus, ac volebant Achæi.
Sed Ulysses Tydidesque *eos* prohibuerunt reversi,
narrantes, quæ inter-Troes mixti noctu vidissent.
Quare omnes prohibuerunt, infecta-re legationem remitten-
tes.] Ipsi igitur capiendam suadebant Trojanam urbem.
Non-sane Ulyssem scio bene, quando Trojani retinuerint,
utrum illa nocte exploratorem, an potius alia.
Illum enim Hecuba retinebat, solvit autem mox.
At me dolosa conjux Isaaci
afflixit vehementer, leprosis autem gratificata-est multum,
quia ipsi bene grata omnia faciebant,
sed ego *ei* non obsecutus-sum; certe multo utilius-fuisset.
Ideo ejus injuriâ recordatus, non curavi *cognoscere*,
quando Troes Ulyssem Trojana includerent in urbe.
Unum hoc scienter ac vere referam,
quod fuerit injustus et dolis obnoxius,
qui quamvis ignavus esset vir, bellis gaudebat.

Sic igitur etiam tunc legatione Trojanorum remissa,
meditatus-est versutus Trojanam dejicere urbem,
et jam ligneum magnum equum jussit exstrui.
Statim igitur Æacides habilissimus dixit Epeus:

Hic meus quidem labor, vos autem mihi apportate mate-
riem.] Sic locutus-est vir; illi autem alacres-ruebant ad opus.
At cum jam omnia utilia ligna apportassent,
divinis manibus ingentem erexit equum,
colorabatque auro atque argento, bene uti convenit,
splendoremque lapidum ejus in oculis posuit.
Venter autem erat amplus, capiebatque intus multos.
In-ventre autem clandestina porta, inque pedibus rotulæ
erant.] At postquam fecit ingens Martis opus,
viginti tres intrarunt viri periti Martis.
Primum Neoptolemus, Diomedes et Cyanippus,
Idomeneus, Menelaus atque Oilei *filius* fortis Ajax,
Calchas Teucerque et Nestorides Thrasymedes,
Eumelusque, Leonteus, Eurypylique vis,

Δημοφόων Ἀκάμας τε καὶ Ἄντικλος, ὃς θάνεν ἵππῳ,
Πηνέλεώς τε Μέγης τε καὶ Ἀντιφάτης ἐπὶ τοῖσιν,
Ἰφιδάμας, πρὸς δ' Εὐρυδάμας καὶ Ἀμφιδάμας τις,
σὺν δ' ἄρα τοῖσιν Ἐπειὸς καὶ Ὀδυσεὺς πολύβουλος.
Ἀλλ' ἄρ' Ἀτρειδῶν βαιῶν τ' ἄλλων εἶδος ἐνίσπω·
αὐτὰρ ἔπειτ' ἐρέω πάντα πάλιν, εὖ κατὰ κόσμον.
Ἤτοι μὲν κρατέων Ἀγαμέμνων, κοίρανος ἀνδρῶν,
λευκὸς ἔην, μέγας, εὐρυπώγων, κυανοχαίτης,
ἠϋγενὴς, εὐπαίδευτος, μακάρεσσιν ὁμοῖος.
Τοῖο δ' ἀδελφὸς βαιὸς ἔην δέμας, εἶχε δ' ἄρ' εὖρος·
πυῤῥόχροος δ' ἄρ' ἔην, δασυπώγων, ξανθοέθειρος.
Νέστωρ δ' αὖ μέγας ἠδὲ κατάῤῥις, γλαυκόφθαλμος,
μάκροψις, ὑπόπυῤῥος, λευκοκόμης, πολυφράδμων.
Ἰδομενεὺς δ' ἄρα γοργὸς, κυανόχρους, μεσοήλιξ,
κονδόθριξ, δασυπώγων, εὔριν, οὐλοκάρηνος,
Μηριόνης βαιὸς, πλατὺς, εὔθριξ, οὐλοέθειρος,
λευκὸς, στρεβλόῤῥιν, εὐπώγων, εὐρυμέτωπος.
Λοκρὸς δ' αὖτ' ἄρ' ἔην μακρὸς, ὄσσε δὲ τοῖο φαολκὰ,
μάκροψις, μελίχρους, οὐλόθριξ, κυανοχαίτης.
Κάλχας μικρὸς ἔην, λεπτὸς, λευκὸς, δασυχαίτης,
κρᾶτα φέρων πολιὴν, ὁλόλευκον πρὸς δ' ἄρ' ὑπήνην.
Τυδείδης δ' ἄρα σώματι ἦεν τεσσαράγωνος,
εὐσχήμων, σιμὸς, σιμαύχην, ξανθογένειος.
Δουρατέου δ' ἄρα ἵππου τέκτων ἦεν, Ἐπειὸς,
λευκὸς, ἐν ἡλικίῃ, μέγας, εὔχαρις, εἴδεϊ καλός.
Αὐτὰρ Ὀδυσσεὺς ἡλικίην μέσος ἦν ἰδὲ γάστωρ,
λευκὸς, ἁπλούθριξ, ἠδὲ κατάῤῥιν γλαυκιόων τε·
ὕστατος αὖτ' ἄλλων ἐπιβὰς ποτὶ δούρεον ἵππον,
τοῦδε θύρην κλήϊσε· ῥίγια δ' εἴδετο ἔργα.
Αὐτὰρ ἐπεὶ κεῖνοι ταλακάρδιοι ἐς λόχον ἦλθον,
ἡρώων ἄλλων ὅσοι ἦσαν ὄβριμοι υἷες
πῦρ ζαφλεγὲς προέηκαν, ὄφρα κλισίας ἀμαθύνῃ.
Τοὶ δ' ἄρ' ἐν εἰρεσίῃ περόωντες ψευδέα νόστον
ἐς Τένεδον κατάγοντο, Σίνωνα δὲ Τροίῃ ἔασαν
γυμνὸν, ἐνὶ μελέεσσιν ἑκούσια τραύματ' ἔχοντα·
τῷ δ' ἄρα πᾶν ἐτέταλτο Ἀχαιῶν ἔργον ἀνύσαι.
Ὄρθρῳ μὲν τὰ τελείετο ἔργα δόλοιο Ἀχαιῶν·
αὐτὰρ ἐπεὶ καλὴ ἐφάνη φαεσίμβροτος Ἠὼς,
Τρῶες ἀνεγρόμενοι μάλα μέρμερα ἔργα θεῶντο.
Αὐτὰρ ἐπεὶ κατέβησαν ὅθι πάρος ἦσαν Ἀχαιοὶ,
εἰσορόωντες θήπεον, οὐδὲ δύναντο νοῆσαι.
Τοῖς δὲ Σίνων δολόμητις ἐπέδραμε τραύμασι βρίθων.
Μειλιχίοις δ' ὁ γέρων ἀναείρετο, τίς πόθεν εἴη.
Ὁ δὲ δολοφροσύνῃσιν ἀμείβετο ἀγκύλα πάντα.
Εἰμὶ μὲν ἐκ Δαναῶν, Δαναοὶ δέ με ἔδρασαν οὕτως,
ὑμέτερον καλέοντες ἀρηγόνα, ὡς Παλαμήδη.
Τόνδ' ἄρα δούρεον ἵππον ἄγαλμ' ἀνέθεντο Ἀθήνῃ,
φάντες ὅτι Τρώεσσιν ὀλέθριον ἦμαρ ἔσεῖται,
εἴ κεν ἐᾶτέ μιν οὐδὲ νεῷ ἀγάγητε Ἀθήνης.
Ὣς φάτο· τῷ δ' ὁ γέρων πόρεν εἵματα σιγαλόεντα.
Τρῶες δ' αὖ προτὶ ἄστυ πελώριον εἴρυον ἵππον,
νήπιοι, οὐδ' ἐνόησαν ἑὸν φθόρον ἐγκονέοντες.
Αὐλοὶ δ' ἄρ καὶ φόρμιγγες βρέμον ἄπλετον ἠχήν.
Τρυφιόδωρος δ' οὐκ εἰδὼς, ὅτε πέρθετο Τροίη,

Demophon Acamasque et Anticlus, qui mortuus-est in -equo,] Peneleusque Megesque et Antiphates ad illos, Iphidamas, prætereaque Eurydamas et Amphidamas quidam,] cum his autem Epeus et Ulysses versutus.

Sed Atridarum inferiorumque aliorum speciem exponam;] at dein narrabo omnia rursus, bene ut convenit.
Profecto quidem imperator Agamemnon, dux virorum,
candidus erat, magnus, longa-barba, nigricomus,
nobilis, bene-educatus, diis similis.
Ejus frater autem parvus erat corpore, habebat vero latitudinem,] ruficolor autem erat, densa-barba, flavicomus.
Nestor contra magnus ac naso-demisso, glaucis-oculis,
longe-videns, subrufus, albicomus, sapientissimus.
Idomeneus vero velox, nigricolor, media-statura,
brevi-coma, densa-barba, pulcro-naso, crispo-capite,
Meriones parvus, latus, pulcricomus, crispis-capillis,
candidus, torto-naso, pulcra-barba, lata-fronte.
Locrus vero erat longus, oculique ejus strabi,
longe-videns, mellicolor, crispicomus, nigris-capillis.
Calchas parvus erat, gracilis, candidus, densis-capillis,
caput habens canum, plane-albam vero insuper barbam.
Tydides autem corpore erat quadratus,
bono-habitu, simus, acclivi-cervice, flava-barba.
Lignei vero equi faber, Epeus, erat
candidus, juventutis-ætate, magnus, gratiosus, facie pulcer.] At Ulysses statura media erat atque ventriosus,
candidus, simplicibus-comis, ac naso-demisso glaucisque-oculis.] Postremus vero aliorum ingressus in ligneum equum,] hujus portam clausit; horrenda autem videbantur opera.] At postquam illi ærumnosi in latibulum intrarant,
heroum aliorum quotquot erant fortes filii
ignem ardentem injecerunt, qui castra in-pulverem-redigeret.] Hi vero remigatione transmissi fictum reditum
in Tenedum devecti-sunt, Sinonem autem Trojæ reliquerunt] nudum, in membris spontanea vulnera habentem;
huic autem totum commissum-est Achæorum opus perficiendum.] Primo-mane quidem perfecta-sunt opera doli Achæorum.] At quando pulcra apparebat lucifera Aurora,
Trojani exspergefacti valde gravia opera videbant.
At postquam descenderunt, ubi prius fuerant Achæi,
intuiti stupebant, neque poterant intelligere.
His autem Sinon dolosus accurrit vulneribus oneratus.
At blandis-verbis senex (*Priamus*) interrogavit, quis et unde esset.] Is igitur astutiis respondit versuta omnia.

Sum quidem e Danais, Danai autem me affecerunt ita,
vestrum *me* vocantes adjutorem, ut Palamedem.
Hunc vero ligneum equum donarium obtulerunt Minervæ,
dicentes Troibus exitiosum diem fore,
si siveritis eum *hic* neque in templum duxeritis Minervæ.

Sic dixit; ei vero senex dedit vestes splendidas.
Troes vero ad urbem ingentem trahebant equum,
stulti, neque intelligebant suum exitium se-accelerare.
Tibiæ autem ac citharæ resonabant immenso sonitu.
Tryphiodorus vero haud sciens, quando expugnata-fuisset

πολλοῖς σὺν ἑτέροις κἀμὲ δοκέων ἀπαφίσκειν,
οὕνεκά μ' Ἰσαάκιος ἀτίσατο αἰσχεοτίμας,
ἄνθεσιν ἐστεφάνωσε τὸν ἵππον ἐκ ποταμοῖο,
χειμῶνος μεσάτοιο ἐόντος, ὡς ἐρεείνω·
Ὀρφεὺς γάρ μ' ἐδίδαξεν, ἀπ' ἀνέρος ἄλλου ἀκούσας,
ψευδέα μή ποτε μῦθον ἐνίσπειν ἀνθρώποισιν.
Ἀλλὰ τὰ μὲν ἐρέω καὶ οὐκ ἀτέλεστα ἐάσω.
Ἵππον δ' ὡς ἐνόησε καθελκόμενον Κασσάνδρη,
Τρωσὶ τορὸν βοάασκε κατάξαι ἢ καταπρῆσαι,
μηδὲ πόλει φερέμεν τυκτὸν κακὸν ὀβριμόεργον.
Ὡς ἡ μὲν βοάασκε, πατὴρ δ' ἐπὶ πύργον ἐνεῖρξεν
οἷά τε μαινομένην· ἡ δὲ γοάασκε πεσοῦσα.
Λαοκόων δὲ μόνος δορὶ τόνδ' ἵππον οὐτήσας,
παῖδα δρακοντείοισιν ἀπώλεσεν ἐσθλὸν ὀδοῦσι.
Οἱ δ' ἐς Ἀθηναίης ποτὶ ἕσπερον ἤγαγον ἵππον.
Ἀλλ' ὅτε δὴ ἐπέρεξαν ἐνὶ βωμοῖς ἑκατόμβας,
κρητῆρες θανάτοιο περὶ πτόλιν ἦσαν ἁπάντῃ.
Γυιοβαρὴς Διόνυσος ἐπέβρεμε, χαῖρε δ' Ἐνυώ. [τας.
Ἀλλ' ὅτε δὴ κατέμαρψεν ἐπ' ἄμβροτος ὕπνος ἅπαν-
νὺξ δ' ἄρ' ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη,
καὶ τότε δὴ Δαναοῖσι Σίνων φλόγα δεῖξεν ἑταίροις.
Οἱ δὲ μάλ' εἰρεσίῃσιν ἐπεσσυμένως ἐλόωντες,
ὀτραλέως ἀφίκοντο καὶ ἔνδοθι πάντες ἔβησαν.
Καὶ τότε δὴ στοναχή τε καὶ οἰμωγὴ γένετ' ἀνδρῶν,
ἀνδρῶν ἠδὲ γυναικῶν, ὠκυμόρων βρεφέων τε,
κτεινομένων κατὰ νύκτα παρὰ κρητῆρσι καὶ εὐναῖς.
Αἱματόεν δὲ πέλαγος ἐπώρνυε κύματα μακρὰ
χαλκείοις ἀνέμοισιν, Ἄρης δ' ἐπενήχετο λύθρῳ.
Καὶ τότε δὴ Μενέλαος ἀριστήεσσι σὺν ἄλλοις
Δηϊφόβου μελάθροισι πελάσσας, κτεῖνε μὲν αὐτὸν,
αὐτὸς δὲ στονόεσσαν ἀφείλετο Τυνδαρεώνην.
Αἰακίδης δὲ Νεοπτόλεμος Πρίαμον κατέπεφνε
ἐς Διὸς ἑρκείοιο μέγαν περικαλλέα βωμόν.
Ἑκτορίδας δ' ἀπὸ πύργων ἄγριος ὦσεν Ὀδυσσεύς.
Κασσάνδρην δ' ἐκ νηοῦ Λοκρὸς ἀφείλετο Αἴας.
Τὴν δ' ἄρα Λαοδίκην ἐνὶ χάσματι δέξατο γαῖα.
Αἰνείας δὲ καὶ Ἀγχίσης φύγον Αὐσονίηνδε,
ἐξ ὧν περ γενεὴ Λατίνων πέλεν ὀβριμόθυμος.
Παῦροι δ' αὖτε καὶ ἄλλοι ἔκφυγον υἷας Ἀχαιῶν.
Οἱ δ' ἄλλοι κοινῷ θανάτῳ κατὰ μοῖραν ἐπέσπον.
Οἴην μὴν Ἀντήνορος εἰρύσαντο γενέθλην
Ἀργεῖοι, ξενίης μνήμην φορέοντες ἐκείνου,
παρδαλέην προθύροις ἀρίγνωτον σῆμα βαλόντες.
Αὐτὰρ ἐπεὶ τετέλεστο μακρόχρονον ἔργον Ἄρηος,
χρυσὸν ὁμοῦ καὶ ἄργυρον ἠδέ τε Τρώϊον ὄλβον
Τρωϊάδας τε γυναῖκας μοιρήσαντες Ἀχαιοὶ,
θύσαντες νεκύεσσιν ἑοῖς παρὰ θινὶ θαλάσσης,
ὠκυάλων ἐπέβαινον νηῶν κυανοπρώρων,
ἐς πάτραν δ' ἀνάγοντο, βαθύρροον οἶδμα περῶντες.
Στησίχορος δ' ἐρέησιν ἑοῖς ἐπέεσσιν νόστον,
ἠμὲν ὅσοι πελάγει φθάρεν ἠδ' ὅσοι ἤλυθον ἄλλῃ,
ἠδ' ὅσοι εἰσαφίκοντο φίλην παρὰ πατρίδα γαῖαν.
Κεῖνος ταῦτ' ἐρέησιν ἀνὴρ, γλῶσσα δ' ἄρ' ἐμεῖο
βουλῇ Ἰσαακίοιο δολόφρονος οἷ τε δάμαρτος

Troja,]multis cum aliis etiam-me putans se-falsurum,
quia me Isaacus dehonestabat probrosus-honorator,
floribus coronavit equum e fluvio,
hiems media cum-esset, ut declaro;
Orpheus enim me docuit, a viro alio qui-audierat,
ne unquam mendax verbum dicam hominibus.
Sed hæc quidem exponam neque imperfecta relinquam.
Equum autem ubi vidit attrahi Cassandra,
Trojanis accute acclamavit, ut-diffringerent *cum* aut comburerent]neque urbi ferrent fabricatam calamitatem immanem.] Sic illa clamavit, pater autem in turrem inclusit *eam*
ut dementem; illa autem ingemuit prostrata.
Laocoon vero solus, hasta hoc equo percusso,
filium serpentinis perdidit dentibus egregium.
Illi autem in Minervæ templum sub vesperam ducebant
equum.] Sed cum jam sacrificassent in aris hecatombas,
pocula mortis per urbem erant ubique.
Membris-gravatis Bacchus fremebat, gaudebatque Bellona.
Sed cum jam deprehendisset divinus somnus omnes,
nox autem esset media, lucidaque oriretur luna,
tum jam Danais Sinon facem ostendit amicis.
Hi igitur remigatione velocissime vecti,
mox advenerunt et intus omnes se-contulerunt.
Et tunc jam gemitus atque ejulatus erat virorum,
virorum ac mulierum, infantiumque brevis-vitæ,
interfectorum per noctem inter pocula et *in* lectis.
Sanguineum autem pelagus sustulit undas magnas
æneis ventis, Mars vero nabat in-cruore.
Et tum Menelaus cum principibus aliis
Deiphobi ædibus aggressus, occidit quidem ipsum,
ipse autem gemebundam abripuit Tyndaridem.
Æacides autem Neoptolemus Priamum interfecit
ad Jovis Hercei magnam perpulcram aram.
Hectoris-filios vero de turribus ferox detrusit Ulysses.
Cassandramque e templo Locrus abripuit Ajax.
At Laodicen in hiatu accepit terra.
Æneas autem et Anchises fugerunt in-Ausoniam,
e quibus genus Latinorum erat magnanimum.
Pauci vero etiam alii effugerunt filios Achæorum.
Reliqui autem communem mortem fato obibant.
Solam tamen Antenoris servabant familiam
Argivi, hospitalitis memoriam tenentes illius,
pantherinam-pellem vestibulo clarissimum signum injicientes.]At postquam perfectum-est diuturnum opus Martis,
aurum simul et argentum ac Trojanas opes
Troadesque mulieres partiti Achæi,
justis-factis mortuis suis ad littus maris,
veloces conscenderunt naves nigris-proris,
inque-patriam revehebantur, altifluum æquor-secantes.
Stesichorus autem narrat suis carminibus reditum,
et qui in-mari interierint, et qui appulerint alio,
et qui pervenerint caram ad patriam terram.
Ille hæc narrat vir, lingua vero mea
consilio Isaaci dolosi ejusque uxoris

ἄρτου δευομένη καταίσχεται, οὐδ' ἐπαείδει
οὐδὲ θέλει πονέειν, περὶ ἄλγεσι θυμὸν ἔχουσα.
Καὶ τόδε τίς που εἴσεται ἀνὴρ ὄρθια κρίνων,
ὡς ἄρ' ἄτερ καμάτοιο ὑμῖν κατὰ πάντ' ἐρέεινα.
Ἀλλ' ὑμεῖς, τέκνα μοιρηγενέων γενετήρων,
ἄλλοθεν Ἀργείων νόστον δίζεσθ' ἐπαείδειν.
Αὐτὰρ ἐγὼν ἐρέω, περὶ τέρματι Μοῦσαν ἑλίσσων,
Τροίην ὁππότε πέρσαν ἀρήϊοι υἷες Ἀχαιῶν.
Πρωτίστης προπάροιθεν Ὀλυμπιάδος μεγακύκλου
μέτρον ἀπειρέσιον τετρακοσίων λυκαβάντων
ὀγδοάτων δεκάτων τε Τρώϊον ὤλετο ἄστυ,
ὡς Σικελὸς Διόδωρος ἐν Ἱστορίῃσιν ἐνείρει.
Ἀλλὰ τὰ μὲν κατέλεξα κύκλα μεγάλων ἐνιαυτῶν.
Μῆνα δὲ ἤδη ἐρείω ἦμάρ τ' ἠδέ τε ὥρην
οἰκτροτάτου λυκάβαντος, ὃς ἄλγεα θήκατο Τροίῃ.
Δωδεκάτη μὲν ἔην μηνὸς Θαργηλιῶνος,
τόν ῥ' Αἰωνάριον κικλήσκει μὲν Λογγῖνος,
Ἰανουάριον δ' ἀνέρες πάντες καλέουσι.
Νὺξ δ' ἄρ' ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη,
παρθένου εἰσελάουσα δρόμον μεγάλοισιν ἐν ἄστροις,
ἠελίου ἀμφ' Αἰγόκερον Κρόνου οἶκον ἐόντος.
Καλλιστὼ δ' ἱέρεια κλειναῖς ἦν ἐν Ἀθήναις
οἰκτροτάτου μεγάλου λυκάβαντος. Κείνῃ ἐν ὥρῃ,
κείνῃ νυκτὶ ὁ Λέσβιος Ἑλλάνικος ἀείδει,
σὺν τῷ καὶ Δοῦρις, Τροίην ἑλέειν Παναχαιούς,
οἴκαδε δ' ἐλθέμεναι λυγρὸν τὸν νόστον ἰδόντας.

pane carens se-inhibet, neque amplius-canit
neque vult laborare, in doloribus animo retento.
Et hoc quicunque sciet vir recte judicans,
quod sine difficultate vobis omnia enarraverim.
Agite vos, liberi læto-fato-natorum parentum,
aliunde Argivorum reditum petite canendum.
At ego dicam, circa metam Musam flectens,
Trojam quando expugnarint bellicosi filii Achæum.
Primam ante olympiadem magni-circuli
spatio immenso quadringentorum annorum
et duodeviginti Trojana periit urbs,
ut Siculus Diodorus in Historiis refert.
Sed hos quidem recensui circulos magnorum annorum.
Mensem vero jam indicabo diemque et horam
tristissimi anni, qui dolores paravit Trojæ.
Duodecimus quidem *dies* erat mensis Thargelionis,
quem Æonarium quidem nominat Longinus,
Januarium autem viri omnes vocant.
Nox autem erat media, lucidaque orta-erat luna,
incitans cursum virginis magnis in astris,
sole in Capricorno, Saturni domo, versante
Callisto autem sacerdos celebribus erat in Athenis
tristissimi magni anni. Illa hora,
illa nocte Lesbius Hellenicus canit,
cum eo etiam Duris, Trojam cepisse Græcos,
domum autem venisse luctuosum reditum videntes.

INDEX NOMINUM.

A. ANTEHOMERICA; H. HOMERICA; P. POSTHOMERICA.

A.

B.

Γ.

Δ.

E.

P.

Σ.

T.

ASII, PISANDRI,

PANYASIDIS, CHŒRILI ET ANTIMACHI

FRAGMENTA CUM ANNOTATIONE EDITIT.

FRED. DÜBNER.

PRÆFATIO.

Finito hoc volumine, quod epicorum poetarum septem complectitur carmina et fragmenta, ægre tulit literatissimus auctor Collectionis, prorsus abesse nomina in illo genere poeseos olim celebratissima, *Pisandri, Panyasidis, Antimachi.* Quorum postremum, copia reliquiarum illos longe superantem, quum ante decennium fere accuratius tractasse mihi viderer, Viro egregio me in his fragmentis partim colligendis, partim augendis et retractandis operam positurum significavi. Quod præstiti, ut potui, otio usus vehementer circumscripto, non ita tamen angusto, ut hinc mihi possit omissorum admissorumve impunitas esse. Et eximie adjuvabar virorum aliquot præstantissimorum scriptis, in primis Welckeri et O. Mülleri, quæ suis quæque locis indicantur: nam ab aliis quæcumque sumpsi, ea leguntur cum nominibus ipsorum. *Chœrili* quoque fragmenta, ob continuitatem, in illam seriem recipienda esse duxi, et *Asii* pauculas reliquias præmittendas.

Quum eam partem negotii, quæ molestissima erat, peregissem et Pisandri Panyasidisque fragmenta corrasissem undecumque, affertur mihi H. Düntzeri liber, *fragmenta epicæ poeseos Græcorum ad tempora usque Alexandri M.* complectens (Coloniæ, 1840). Ex quo didici de Panyasidis vita et poesi scripsisse duos viros juvenes, Tzschirnerum et Funckeum, præterea Ecksteinium in Erschii et Gruberi Encyclopædia. Hac igitur statim inspecta, gavisus sum Ecksteinium jam in usum convertisse illa scripta (Tzschirneri *de Panyasidis Halicarnassei poetæ vita et carminibus*, Vratislav. 1836; Funckei *de Pan. Halicarnassensis vita et poesi*, Bonnæ, 1837), quæ in his regionibus frustra quæsivissem; et vidi me in iis, quæ jam typis expressa tenebam, nihil scripsisse quod hoc loco retractandum esset; sed lectoribus commendamus accuratam dissertationem Eckstenii, Encyclopædiæ voce *Panyasis*, p. 8–14; id solum annotantes, viro docto natum videri poetam circa

olympiadem 65, motum autem contra Lygdamidem tyrannum, in quo occubuit poeta, ponendum olympiadis 82 anno fere 3.

In fragmento 6 Panyasidis, versu 4, Düntzerus quoque scripsit ἐπιθῇσι, ex Funckei conjectura, sed cetera hoc modo,

ἐσθλοῖς τε ξενίοισι κακὴν ἐπιθῇσι τελευτήν,

omisso δ'. Verum quantivis pretii est medicina ultimo versui ejusdem fragmenti allata ab Nækio, in Funckei libello, uti suspicor, prodita

Καὶ γάρ οἱ Ἄτης τε καὶ Ὕβριος αἶσ' ἅμ' ὀπηδεῖ.

Idem Düntzerus, cui hujus emendationis notitiam debeo, in fragmento 15, v. 4, ante me conjecerat ἀνάγκῃ. Ceterum ejus viri, in bonis literis demerendis impigerrimi, collectionem fragmentorum epicorum utilissimam magis etiam probaremus, si vetera editionum vitia paullo diligentius cavisset; nam vitiosa multa reliquit dudum vel ex codicibus correcta vel a felicibus ingeniis instaurata. In Germaniæ oppidis prompta cuivis et parata est criticorum librorum copia beatissima; in Urbe nostra hæ scilicet nugæ, nisi possideas ipse, cum summa difficultate et temporis dispendio immani colliguntur. Damnum aliquatenus resarcit manuscriptorum codicum thesaurus, et Conservatorum ejus ardor admirabilis ea studia gnaviter adjuvandi, quæ recto judicio institui cognoverunt. Vel harum plagularum tenuitas Illorum largam voluntatem testabitur.

Fr. DÜBNER.

Parisiis, a. d. X kal. apriles.



ASII SAMII

FRAGMENTA.

Asius Samius, Amphiptolemi filius, non traditur a scriptoribus quo tempore vixerit. Sed Pausanias (IV, 2, 1) et Apollodorus (Bibl. III, 8, 2) ex carminibus ejus testimonia petentes eàdem memorant Hesiodi Eœas, Eumelum, Naupactia et Cinæthonem; Athenæus ipsius nomini verba addit τὸν παλαιὸν ἐκεῖνον: quare dudum ab omnibus inter antiquos Epicos relatus est. Pausanias quo dixi loco se legisse testatur ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν. Scripsit igitur (ut verbo jam indicavit G. J. Vossius De poetis Græcis p. 85) Asius γενεαλογίας, sive hunc sive alium scriptioni indicem dederit vel ipse vel grammatici. Ætatem ejus O. Müllerus (de Minerva Poliade p. 41) ad decimam fere olympiadem refert; qua olympiade non multo certe posteriorem vixisse eum videri concedit Welckerus (de Cyclo epico p. 144). Opportune autem observavit Bodius (Hist. poeseos Græcæ vol. 1, p. 492), poetam jam elegiacis numeris usum, ab nemine tamen inter auctores elegiæ memorari: non posse igitur illum ante Callinum poni et Archilochum; posse florem ejus referri ad *olympiadem vicesimam*, circa annum 700 a. Chr. n. Ceterum recte Nækius (de Chœrilo p. 64) Asium inter illos Epicos recensuisse videtur qui Homericum sermonem, simplicitatem Homericam quam proxime sint secuti.

Prima ponimus fragmenta genealogici argumenti.

1.

Pausanias II, 6, 2: Λαμέδων γὰρ ὁ Κορώνου βασιλεύσας μετὰ Ἐπωπέα ἐξέδωκεν Ἀντιόπην· ἡ δὲ ὡς ἐς Θήβας ἤγετο τὴν ἐπ' Ἐλευθερῶν, ἐνταῦθα καθ' ὁδὸν τίκτει· καὶ ἐπὶ τούτῳ πεποίηκεν Ἄσιος ὁ Ἀμφιπτολέμου·

Ἀντιόπη δ' ἔτεκε Ζῆθον καὶ Ἀμφίονα δῖον
Ἀσωποῦ κούρη ποταμοῦ βαθυδινήεντος,
Ζηνί τε κυσαμένη καὶ Ἐπωπέϊ ποιμένι λαῶν.

Hoc loco duo tantum codices (inter quos optimus Parisinus) Ἀμφιπτολέμου, in quo consentiunt pæne cuncti VII, 4, 2. Ceteri Ἀμφιπολ. In omnibus autem Asii nomen sic corruptum, Ἄγις. V. 1 codd. κ' ἀμφίονα. Nækius (de Chœrilo p. 76) ob crasin in epica poesi inauditam proposuit Ζῆθόν τ' Ἀμφίονά θ' υἱόν. Sane non supersunt in versibus epicis ejusdem modi craseos exempla alia: sed quoniam antiquus poeta scolii celeberrimi ἔκθλιψιν multo etiam insolentiorem admittere non dubitavit, ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων, non est cur in eodem genere κἀμφίονα repudietur.

2.

Idem VIII, 1, 2: Πεποίηται δὲ Ἀσίῳ τοιάδε ἐς αὐτόν (Pelasgum)·

Ἀντίθεον δὲ Πελασγὸν ἐν ὑψικόμοισιν ὄρεσσι
Γαῖα μέλαιν' ἀνέδωκεν, ἵνα θνητῶν γένος εἴη.

Pelasgus etiam Hesiodo erat αὐτόχθων.

3.

Strabo VI, p. 265 = 406, B: Δοκεῖ δ' Ἀντίοχος τὴν πόλιν Μεταπόντιον εἰρῆσθαι πρότερον Μέταβον, παρωνομάσθαι δ' ὕστερον· τήν τε Μελανίππην οὐ πρὸς τοῦτον, ἀλλὰ πρὸς Δῖον κομισθῆναι, ἐλέγχειν ἡρῷον

1.

Lamedon, Coroni filius, Epopei in regno successor, ultro Antiopen Lyco dedidit. Quæ quum Thebas reduceretur, in ipsa, quæ Eleutheras ducit, via filios peperit. Ea de re versus hosce fecit Asius Amphiptolemi filius:

Antiope peperit Zethum atque Amphiona dium,
Asopo celeri currenti vortice nata:
Juppiter hos genuitque simul regnator Epopeus.

2.

Asius de Pelasgo hæc cecinit:

Montibus alticomis emisit nigra Pelasgum
Tellus dîs similem, sæcli mortalis in ortum.

3.

Existimat Antiochus urbem olim Metabum dictam, postea Metapontium denominatam; Melanippamque non ad

τοῦ Μετάβου, καὶ Ἄσιον τὸν ποιητὴν, φήσαντα ὅτι τὸν Βοιωτὸν

Δίου ἐνὶ μεγάροις τέκεν εὐειδὴς Μελανίππη,

ὡς πρὸς ἐκεῖνον ἀχθεῖσαν τὴν Μελανίππην, οὐ πρὸς τὸν Μέταβον.

4.

Schol. Ambros. Homeri Odyss. Δ, 797, ἰφθίμη κούρη κτλ., de sorore Penelopes, ubi alii, Ἰφθίμη, κούρη, de nomine proprio cogitantes: Οὕτως ἐκαλεῖτο κυρίως ἡ ἀδελφὴ τῆς Πηνελόπης· Ἄσιος δέ φησιν·

Κοῦραί τ' Ἰκαρίοιο Μέδη καὶ Πηνελόπεια.

5.

Pausanias II, 29, 4: Φώκῳ δὲ Ἄσιος ὁ τὰ ἔπη ποιήσας γενέσθαι φησὶ Πανοπέα καὶ Κρῖσον, καὶ Πανοπέως μὲν ἐγένετο Ἐπειὸς, ὁ τὸν ἵππον τὸν δούρειον, ὡς Ὅμηρος ἐποίησεν, ἐργασάμενος· Κρίσου δὲ ἦν ἀπόγονος τρίτος Πυλάδης, Στροφίου τε ὢν τοῦ Κρίσου καὶ Ἀναξιβίας ἀδελφῆς Ἀγαμέμνονος.

6.

Idem VII, 4, 2: Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος ἐποίησεν ἐν τοῖς ἔπεσιν, ὡς Φοίνικι ἐκ Περιμήδης τῆς Οἰνέως γένοιτο Ἀστυπάλαια καὶ Εὐρώπη, Ποσειδῶνος δὲ καὶ Ἀστυπαλαίας εἶναι παῖδα Ἀγκαῖον, βασιλεύειν δὲ αὐτὸν τῶν καλουμένων Λελέγων. Ἀγκαίῳ δὲ τὴν θυγατέρα τοῦ ποταμοῦ λαβόντι τοῦ Μαιάνδρου Σαμίαν γενέσθαι Περίλαον καὶ Ἔνουδον, καὶ Σάμον καὶ Ἀλιθέρσην καὶ θυγατέρα ἐπ' αὐτῷ Παρθενόπην· Παρθενόπης δὲ τῆς Ἀγκαίου καὶ Ἀπόλλωνος Λυκομήδην γενέσθαι. Ἄσιος μὲν ἐς τοσοῦτον ἐν τοῖς ἔπεσιν ἐδήλωσεν.

7.

Idem IX, 23, 3: Προελθόντι δὲ ἀπὸ τῆς πόλεως (Thebarum) ἐν δεξιᾷ πέντε που καὶ δέκα σταδίους τοῦ Ἀπόλλωνός ἐστι τοῦ Πτώου τὸ ἱερόν· εἶναι δὲ Ἀθάμαντος καὶ Θεμιστοῦς παῖδα τὸν Πτῷον, ἀφ' οὗ τῷ τε Ἀπόλλωνι (ἡ) ἐπίκλησις καὶ τῷ ὄρει τὸ ὄνομα ἐγένετο, Ἄσιος ἐν τοῖς ἔπεσιν εἴρηκεν. Vulgo ὡς Ἄσ. Particulam meliores codd. omnes ignorant. De re conf. O. Müller. Orchom. p. 170.

8.

Apollodorus Bibl. III, 8, 2: Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστώ γενέσθαι. Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως Φερεκύδης δὲ Κητέως.

9.

Pausan. V, 17, 4: Ἄσιος δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀλκμήνην ἐποίησε θυγατέρα Ἀμφιαράου καὶ Ἐριφύλης εἶναι.

Codd. Αἴσιος. Correxit Sylburgius.

10.

Idem III, 13, 5: Θέστιον γὰρ τὸν Λήδας πατέρα Ἄσιός φησιν ἐν τοῖς ἔπεσιν Ἀγήνορος παῖδα εἶναι τοῦ Πλευρῶνος.

Codd. omnes Ἄρειος. Sed adjecta verba, ἐν τοῖς ἔπεσιν, quæ jam quater cum Asii nomine conjungi a Pausania vidimus, dubitari non sinunt quin vere conjecerint Palmerius, Hemsterhusius, Valckenarius. Offensioni fuisse librariis Pausaniæ nomen Asii ex illis locis abunde apparet, in quibus substituerunt Ἆγις et Αἴσιος: in nostro quum ACIOC lectum esset AEIOC, exortus est Ἄρειος. Siebelisius de Lacedæmonio poeta, qui Antonino Ἀρεὺς ὁ Λάκων, ejusque ᾄσματι Κύκνῳ cogitavit: sed viderit de addito ἐν ἔπεσιν, quum Areus ille fuerit lyricus. Ejus sententiam probarunt vel alium nescio quem Ἄρειον epicum noverunt recentissimi editores Pausaniæ, qui Ἆγιδα et Αἴσιον expulerint, reliquerint Ἄρειον.

Metabum, sed ad Dium pervenisse: idque sacello Metabi argui, et Asii poetæ testimonio, qui ait: Bœotum

in Dii formosa domo peperit Melanippe;

ad hunc nimirum adductam innuens Melanippam, non ad Metabum.

4.

Secundum quosdam Penelopes soror vocabatur Iphthime; sed Asius dicit:

Filiæque Icarii Meda et Penelope.

5.

Phoco Asius poeta filios fuisse memoriæ prodidit Panopeum et Crisum: quorum e Panopeo natus est Epeus, qui Durateum equum fecit, uti Homerus memorat: Crisi autem nepos fuit Pylades, Strophio, Crisi filio, et Anaxibia Agamemnonis sorore genitus.

6.

Asius, filius Amphiptolemi, Samius, in carminibus epicis scripsit, Phœnici ex Perimeda Œnei filia genitas esse Astypalæam et Europen: Neptuni satu ex Astypalæa natum filium Ancæum, qui Lelegibus dictis populis imperarit. Hunc Mæandri fluvii filiam Samiam uxorem duxisse, quæ ipsi Perilaum, Enudum, Samum, Alithersen, et insuper Parthenopen filiam pepererit. Porro ex Parthenope Ancæi filia Apollini Lycomeden genitum. Hæc versibus testatus est Asius.

7.

Progressus stadia ferme quindecim ab urbe Thebarum, ad dexteram Apollinis Ptoi templum cernis: Ptoum autem Athamantis et Themistûs fuisse filium, abs quo Apollini cognomen, et monti nomen datum, Asius in carminibus epicis prodidit.

8.

Eumelus et alii quidem Lycaoni etiam filiam fuisse narrant Callisto: quam Hesiodus Nympham dicit, Asius Nyctei, Pherecydes Cetei filiam.

9.

Asius in carminibus epicis Alcmenam etiam ex Amphiarao et Eriphyle genitam tradit.

10.

Thestium enim Ledæ patrem Asius in carminibus epicis prodidit Agenore Pleuronis filio genitum.

11.

Athenæus XII, p. 525, E, F: Περὶ τῆς Σαμίων τρυφῆς Δοῦρις ἱστορῶν παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας περὶ τοῖς βραχίοσι, καὶ τὴν ἑορτὴν ἄγοντες τῶν Ἡραίων, ἐβάδιζον κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους· τὸ δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι καὶ ὑπὸ παροιμίας τῆσδε, Βαδίζειν Ἡραῖον ἐμπεπλεγμένον. Ἔστι δὲ τὰ τοῦ Ἀσίου ἔπη οὕτως ἔχοντα·

Οἱ δ' αὕτως φοίτεσκον, ὅπως πλοκάμους κτενίσαιντο,
εἰς Ἥρης τέμενος, πεπυκασμένοι εἵμασι καλοῖς·
χιονέοισι χιτῶσι πέδον χθονὸς εὐρέος εἶχον·
χαῖται δ' ἠωρεῦντ' ἀνέμῳ χρυσέοις ἐνὶ δεσμοῖς·
χρύσειαι δὲ κόρυμβαι ἐπ' αὐτῶν τέττιγες ὥς·
δαιδάλεοι δὲ χλιδῶνες ἄρ' ἀμφὶ βραχίοσιν * *
* * * * ησαντες ὑπασπίδιον πολεμιστήν.

Versus corruptelis et lacunis laborantes corrigi aliquatenus a criticis, sanari non potuerunt. V. 1 cod. Marcianus φοιτέεσκον. « Ὅπως ... κτενίσαιντο, *ut primum, simul ac, postquam capillos sibi compserunt.* Similiter ὅκως cum optativo significationem habet temporalem apud Herodot. I, 17: Ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρὸς, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν· VII, 119: Ὅκως δὲ ἀπίκοιτο ἡ στρατιὴ, σκηνὴ μὲν ἔσκε πεπηγυῖα ἑτοίμη. » *Bach.* Nimirum in his locis omnibus repetitur factum, quoties eædem res incidunt. — V. 2 codd. Ἥρας. Post hunc versum excidisse videri quædam recte observant Hermannus et Dindorfius. Sequentia uti leguntur, ἀσυνδέτως adjici non poterant, ceterum nec ipsa, credo, sana. Χιτῶσι πέδον ἔχειν ut intelligi posse confiteor quid hoc loco sibi velit, ita dictum esse a poeta non concedam. Non novit antiquum dicendi genus ejusmodi ambiguam laxitatem. Recte diceretur quod Jacobsius proposuit, χιτῶσι πέδον χθονὸς εὐρὺ ἔσαιρον. Nækius (de Chœrilo p. 74) conjecit, χιτῶσι πέδου χθονὸς εὐρέος εἶχον, eo sensu, ni fallor, *solum tangebant;* cujus constructionis, inquit, « si quis alia exempla desideret, hoc inter ea numerandum esse puto, quæ etiam sine exemplo ferri possint, præsertim in poeta tam antiquo. » At idem, quum de syntaxi χθονὸς εὐρέος dubitasset, incidens in Homericum ἡδὺς ἀϋτμή, jam minus liberalis hæc adjecit (p. 267): « Etsi vel sic dubitatio restat an χθονὸς εὐρέος non dicturus fuisset Asius, quippe cui obversari debebat ex Homero εὐρεῖα χθών. » Imo obversabatur *poetæ tam antiquo* linguæ analogia quid ferret, et addendum erat hoc exemplum paucis aliquatenus similibus, si cetera hujus versus sana haberi potuissent. Adeo studium abripit etiam præstantissimos! Hermannus, nisi desit aliquid, hanc emendationem proponit:

πεπυκασμένοι εἵμασι καλοῖς,
χιονέοισι χιτῶσι, πέδου χθονὸς εὐρέος ἄχρι,

quam recepit Bachius: sed in priore eximii viri sententia acquiescendum erat. Versus 4 et 5 inverso ordine legebantur in codicibus Athenæi, χρύσειαι δὲ ... ὥς· χαῖται δ' ... δεσμοῖς. In quibus ἐπ' αὐτῶν nihil habet quo referri possit apte. Feliciter eos transposuit Nækius: qua transpositione, præter incommoda quibus medetur, etiam elegantiæ illud aperitur quod in hac repetitione inest: ... χρυσέοις ἐνὶ δεσμοῖς· χρύσειαι δὲ κόρυμβαι κτλ. Tribus deinceps versibus ab eadem litera incipientibus fieri poterat ut unum librarius præteriret, errore animadverso subjiceret alteri. Sed hoc ex antiquiorum codicum forma pendet, de qua ignoro si quid hodie explorari possit: istud vehementer miror, Dindorfium emendationis illius, quocumque te vertas necessariæ, ne verbo quidem meminisse. Casaubono debentur hæc δ' ἠωρεῦντ' ἀνέμῳ. Cod. Marc. δ' ὠρευτανέμω, reliqui δωρευτανέμω. Conf. HSteph. Thes. vol. 1, p. 1129 ed. Paris. V. 5 ad verbum sonat, *aurea etiam fastigia super ipsis* (comis) *erant, cicadis similia:* i. e. etiam summæ comæ in vertice constrictæ erant auro cicadas insidentes referente. Quibus describitur celeber ille Ionum κρώβυλος. Conf. HSteph. in v. Κόρυμβος. — V. 6 codd. δαιδαλέοι, quod correxit Dindorfius. Lacunam ubi statuenda sit indicat codicis Marciani scriptura ἀμφὶ βραχίοσιν ησαντες eo quod sine accentu cernuntur postrema. Nam in ejusmodi locis vel leviora indicia non sunt negligenda. Schweighæuserus scripsit: ἀμφὶ βραχίοσιν ἦσαν *** ἥσαντες: et ob earundem literarum repetitionem videri possint media intercidis-

. 11.

De Samiorum luxu verba faciens Duris, apponit Asii versus, ex quibus patet gestasse illos armillas circa brachia, et festum Junonis agentes incedere solitos esse coma depexa et in cervicem et humeros rejecta. Ejusdemque moris documentum, ait Duris, esse etiam proverbium hoc, *incedere Junonium implexis capillis.* Sunt autem Asii versus huiusmodi:

Hi vero procedebant, quum primum cincinnos depexerant,
in Junonis templum, induti amiculis pulchris:
niveis tunicis solum latæ terræ tenebant;
et capilli vento agitabantur sub aureis vinculis,
aureique corymbi superne erant cicadis similes,
et affabre factæ armillæ circa brachia ...
.... clypeo tectum bellatorem.

se, quod nimis sæpe factum. Dindorfius maluit: ... ἦσαν * * * τες, quanquam criticum egregium hoc concedere puto, ἦσαν, ut res nunc sunt, valde incertum esse, ante τες autem lacunam pro arbitrio potius quam ex indicio aliquo constitui. Ceteri codd. ἀμφιβραχίοσι νήσαντες. « Hinc quod erui (inquit Nækius),

Δαιδάλεοι δὲ χλιδῶνες.......

ἀμφιβραχιονίσαντες ὑπασπίδιον πολεμιστήν,

versum efficit rotundissimum, et jocosa [!] Asii magniloquentia dignissimum est. Cognata περιβραχιόνιον, βραχιονιστήρ suppeditat HSteph. in Thesauro. Particula ἄρ' indicium fortasse habet vocis, quæ olim legebatur, ἀριπρεπές, aut ἀρηρότες. Nisi hoc merum librariorum additamentum est ad explendum versum. Nam verbum ἀμφιβραχιονίσαντες quum mature corruptum fuisset, jam olim exstitisse videntur qui inde exsculperent hæc verba, ἀμφὶ βραχίοσιν ἦσαν. Poetæ, quod in ultimis verbis inest, acumen miror fugere potuisse viros eruditos. Quæ lucem capiunt ex versu secundo. Ὑπασπίδιον πολεμιστὴν eum jocose appellat Asius, qui veste utitur longa, ad terram pertinente. Homerus, ὑπασπίδια προβιβῶντος. » Fateor mihi, quum sæpius legissem Nækii egregium librum, numquam blanditos esse illos χλιδῶνας ἀμφιβραχιονίσαντας ὑπασπίδιον πολεμιστήν. Ἀμφιβραχιονίζειν non potest quin proprie significet, *brachiis suis cingere* vel *cingere tanquam brachiis*. Nam βραχιονιστήρ, *armilla*, alioqui Plutarcho antiquiorem testem non habens, minime probat verbum βραχιονίζω significasse, *brachium cingo*. Unum inveni quod cum specie aliqua comparari possit, apud Phrynichum Bekkeri p. 58, 3: Περιπλευριεῖς: σημαίνει τὸ περιπλακῆναι καὶ συγκοιμηθῆναι. Sed finge περιβραχιονίζειν, περισκελίζειν, et diversa res est: nam amplectimur brachiis, quod menti prius se offert quam cinctus brachii. Illo autem confugere non licet, ἀμφιβραχιονίζειν esse ἀμφιβραχιονίῳ *instruere*, ut est περικράνιον, περιτραχήλιον: usu enim confirmata et frequentata ejusmodi vocabula esse debent, antequam verba inde fingi possint, quorum sensus ex composito substantivo pendeat: at ἀμφιβραχιονίου nullum usquam vestigium. Quare secundum conjecturam illam ita jam necesse est loquatur Asius, « χλιδῶνες bellatorem *circumbrachiant*, » verbo non audacius nec nove magis ex Plinii *brachiatis arboribus* decerpto. In quo illud merito interrogamus viros doctos qui eam conjecturam probarunt et in ipsa verba poetæ admiserunt, quidnam judicaverint de Duride. Is enim παρατίθεται Ἀσίου ποιήματα, in quibus narretur ὅτι ἐφόρουν χλιδῶνας περὶ τοῖς βραχίοσιν: at hoc quis efficiat ex illis, χλιδῶνες ἀμφιβραχιονίσαντες πολεμιστήν? Bellum sane historicum aut antiquarium ageret, metaphorica dicendi genera cui hoc modo placeret accipere. Faceta is deprehenderet in hoc Ennii,

Verrunt extemplo placidum mare marmore [flavo.

Superest in versu 6 particula ἄρ', de qua Nækius, « inane versus fulcrum est, quale ab Asio profectum esse vix potuit. » Vere dictum videtur; sed non ita habito in Epicis ut de hac re pronuntiem. « Indicium fortasse habet vocis quæ olim legebatur, ἀριπρεπές, aut ἀρηρότες. » Hermannus, ἀρηρότες ἀμφοτέρωθεν, Bachius ἀριπρεπέες ἐφάνησαν, probato Nækii ἀμφιβραχιονισμῷ. — Sine dubio cum ironia quadam pingit Asius illam pompam Junoniam, sed « jocus » hinc abest.

12.

ELEGIÆ.

Athenæus III, p. 125, B et D: Κνισολοιχός τις εἶ καὶ κατὰ τὸν Σάμιον ποιητὴν Ἄσιον τὸν παλαιὸν ἐκεῖνον καὶ κνισοκόλαξ. ... Ἐζήτει ὁ Οὐλπιανὸς ... τίνα ἐστὶ τὰ τοῦ Ἀσίου ἔπη τὰ περὶ τοῦ κνισοκόλακος. Τὰ μὲν οὖν τοῦ Ἀσίου, ἔφη ὁ Μυρτίλος, ἔπη ταῦτ' ἐστι·

Χωλὸς, στιγματίης, πολυγήραος, ἶσος ἀλήτῃ,
ἦλθε κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος· ἐν δὲ μέσοισιν
ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

V. 2 articulum addidit Schweighæuserus ex Marciano, ut ait, codice et editis: sed recte Dindorfius codicis mentionem omisit. Laur. ἦλθεν κν., epitome ἦλθε κν. Etiam in minore codicum auctoritate scriptura sine articulo præferenda fuisse videtur: sed antecedentium interitus certum in hac re judicium non admittit. — Meles ille, in cujus nuptias ingruit κνισοκόλαξ, dubitari non potest quin sit fluvius ad Smyrnam; idem salse dicitur heros et adesse cœno egressus. Hæc vere observasse Welckerus (de Cyclo epico p. 141 sq.) etiam illis omnibus videbitur, qui aliter statuent de ceteris ibidem explicatis.

12.

Samius poeta Asius, antiquus ille, dixit κνισοκόλαξ (adipis caussa adulator), in his versibus:

Claudus, notis inustus, vetulus, mendico similis,
venit Cnisocolax, nuptias quum celebraret Meles,
invocatus, jusculi indigens: in mediis vero
constitit heros, e cœno quum emersisset.

PISANDRI

FRAGMENTA.

De Pisandro Suidas : Πείσανδρος, Πείσωνος καὶ Ἀρισταίχμας, Καμειραῖος, ἀπὸ Ῥόδου· Κάμειρος γὰρ ἦν πόλις Ῥόδου· καί τινες μὲν αὐτὸν Εὐμόλπου τοῦ ποιητοῦ σύγχρονον καὶ ἐρώμενον ἱστοροῦσι· τινὲς δὲ καὶ Ἡσιόδου πρεσβύτερον· οἱ δὲ κατὰ τὴν λγ′ Ὀλυμπιάδα τάττουσιν. Ἔσχε δὲ καὶ ἀδελφὴν Διόκλειαν. Ποιήματα δὲ αὐτοῦ Ἡράκλεια, ἐν βιβλίοις β′. Ἔστι δέ τὰ Ἡρακλέους ἔργα· ἔνθα πρῶτος Ἡρακλεῖ ῥόπαλον περιτέθεικε· τὰ δὲ ἄλλα τῶν ποιημάτων αὐτοῦ νόθα δοξάζεται, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀριστέως τοῦ ποιητοῦ.

Prodigia illa, cum Eumolpo vixisse Pisandrum vel ante Hesiodum, de altero quodam Pisandro accipienda, ut infra apparebit.

De olympiade 33 vel anno 648 a. Chr. n. nihil est quod repugnet quin eo tempore Pisander vixisse dicatur. Carmen ipsum post olympiadem 37 compositum statuit O. Müllerus (Doriens. vol. II, p. 477), ob Antæi mythum ex Cyrenensium fabulis derivatum ; de Antæo autem rem acu tetigisse videtur idem Müllerus (vol. I, p. 452) : « Mihi dubitatio nulla est quin Herculis illa lucta cum Antæo Terræ filio, e matris tactu novas usque vires colligente, sit Græcorum colonorum pugna cum Libyum catervis, sæpe victis, sed iterum iterumque ex deserto in victores erumpentibus. » Adde eundem Minyis p. 346.

In rerum tractatione primum illud nos advertere debet, universum gestorum Herculis ambitum duobus modo voluminibus fuisse comprehensum : unde apparet et episodiis, longioribus certe, prorsus abstinuisse Pisandrum, et concinnitati in ponendo toto valde studuisse. Quare tractandarum fabularum egit delectum, Bœoticas et Doricas (observante Müllero Dor. vol. II, p. 476 sq.) plane, ut videtur, omittens; reliquarum eas formas sive deligens sive adeo fingens ipse, quæ Herculis quale informaverat ingenio essent accommodatissimæ. Hinc heroem θυμολέοντα non tulit habitu pugnatorum in campo Scamandrio peragrare orbem cum hasta, scuto et lorica, vel uti sagittis, et quæ sunt alia infra in ipsis fragmentis commemoranda : ex iisdem intelligetur illum, quæ postea invaluerunt apud plurimos, suo tempore novasse, maximo, ut nobis persuasum est, carminis sui commodo. Ac dolendum est in poeta qui suo potius judicio rem administravit quam mythorum suavitati se permitteret narratorem, ne talia quidem argumenta ad nos pervenisse qualia sunt Cycli. Pisinus Lindius, ex cujus carminibus Heracleam a Pisandro compilatam affirmat Clemens Alex. (Strom. VI, p. 751), quis homo fuerit hodie prorsus ignotum est, certum vero malam fidem aut errores illi famæ originem dedisse.

Omissis grammaticorum locis qui sunt de laude Pisandri ab Alexandrinis in Canonem recepti, ponimus Theocriti versus, Epigr. 20 :

Εἰς ἀνδριάντα Πεισάνδρου τοῦ τὴν Ἡράκλειαν ποιήσαντος.

Τὸν τῶ Ζανὸς ὅδ' ὔμμιν υἱὸν ὡνὴρ,
τὸν λειοντομάχαν, τὸν ὀξύχειρα,
πρᾶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος συνέγραψεν ὡκ Καμείρου,
χὤσσους ἐξεπόνασεν εἶπ' ἀέθλους.

Pisander, Pisonis et Aristæchmæ filius, Camiræus, ex Rhodo : Camirus enim erat urbs Rhodi. Hunc quidam Eumolpi poetæ æqualem et amasium fuisse scribunt : nonnulli Hesiodo antiquiorem. Alii vero eum ad olympiadem tertiam et tricesimam referunt. Habuit sororem Diocleam. Scripsit *Heracleam*, sive poema de rebus ab Hercule gestis, libris duobus : in quibus Herculem clava armat primus. Reliqua vero ejus poemata adulterina putantur, utpote partim ab aliis, partim ab Aristeo poeta composita.

IN STATUAM PISANDRI QUI HERACLEAM SCRIPSIT.

Jovis hic vobis filium vir,
cum leone pugnantem, expeditum manu
primus superiorum poetarum
Pisander conscripsit ex Camiro,
et omnes quas ille sustinuit ærumnas narravit.

Τοῦτον δ' αὐτὸν ὁ δᾶμος, ὡς σάφ' εἰδῇς,
ἔστασ' ἐνθάδε, χάλκεον ποήσας
πολλοῖς μασὶν ὄπισθε χὴνιαυτοῖς.

Quod de ἄθλοις significavit Theocritus, præcipuam partem eos fuisse pceseos Pisandri, id fragmenta videntur confirmare. Conf. Müller. Dor. vol. I, p. 444. Plutarchus (Mor. p. 857, F), Pisandrum inter antiquos scriptores rerum Herculis memorat, quorum nullus noverit Herculem Ægyptium.

Quæ de carminibus falso ad Pisandrum relatis Suidas verba facit, ostendere videntur non fuisse pauca, primum τὰ δὲ ἄλλα τῶν ποιημάτων, non hoc vel illud; deinde, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀριστέως, non unius, sed plurium. Et supersunt fragmenta quæ ad Heracleam referri nequeunt; superest memorabilis locus Macrobii, multo etiam magis aliena ab illo poemate narrans (Saturn. V, 2, p. 62) : « Dicturumne me putatis ea quæ vulgo nota sunt? quod Theocritum (Virgilius) sibi fecerit pastoralis operis auctorem ? . . . . vel quod eversionem Trojæ, cum Sinone suo et equo ligneo, ceterisque omnibus quæ librum secundum faciunt, *a Pisandro pæne ad verbum transcripserit?* qui (Pisander) inter Græcos poetas eminet opere quod a nuptiis Jovis et Junonis incipiens, universas historias, quæ mediis omnibus sæculis *usque ad ætatem ipsius Pisandri* contigerunt, in unam seriem coactas redegerit, et unum ex diversis hiatibus temporum corpus effecerit ? in quo opere inter historias ceteras interitus quoque Trojæ in hunc modum relatus est. » Illa de carmine Pisandri « a Jovis et Junonis nuptiis incipiente » hæc Suidæ appellant de altero Pisandro dicta : Πείσανδρος, Νέστορος τοῦ ποιητοῦ υἱός, Λαρανδεύς, ἢ Λυκάνιος (sic optimi codices : recte Gaisfordus Λυκαόνιος : nam ejus tractus erant Laranda), γεγονὼς ἐπὶ Ἀλεξάνδρου βασιλέως τοῦ Μαμαίας παιδὸς, ἐποποιὸς καὶ αὐτός. Ἔγραψεν ἱστορίαν ποικίλην δι' ἐπῶν, ἣν ἐπιγράφει Ἡραϊκῶν (sic) θεογαμίων, ἐν βιβλίοις ἕξ· καὶ ἄλλα καταλογάδην. Sed poetam sub Alexandro Severo viventem Virgilius imitari non poterat : ab altera parte ἡρωϊκῶν θεογαμίων liber adeo aptus est descriptioni Macrobianæ, ut mirum maxime foret si intelligeretur alius. Vel codicum Suidæ omnium scriptura ἡραϊκῶν profecta videri potest ab ipso compilatore, qui apud Hesychium fortasse Milesium legeret ἡρωϊκῶν illorum θεογαμίων initium fuisse Ἥρας καὶ Διὸς γάμον : nam vocabulum ἡρωϊκός fortuito librariorum consensu abiisse in vocem inauditam quis credat ? (Adde disputata ab Heynio, Excursu I in Virg. Æn. II, p. 316 sq. ed. Paris.) Macrobio accedit Zosimus testis, Histor. V, 29 : . . . ὁ ποιητὴς Πείσανδρος ὁ τῇ τῶν Ἡρωϊκῶν Θεογαμίων ἐπιγραφῇ πᾶσαν ὡς εἰπεῖν ἱστορίαν παραλαμβάνων.

Verum non morabor lectorem enarrandis difficultatibus, vel Heynio inexplicabilibus, quibus illa de Pisandris quæstio premebatur, antequam Welckerus (de Cyclo epico p. 97 sqq.) exitum ex illis ambagibus monstraret : cui viro præstantissimo ut per omnia assentiamur, facit et rei natura, et testimoniorum vis recte æstimata, et alia in istis rivulis, unde multorum scriptorum cognitio nobis haurienda est, simili modo inversa, contaminata, confusa. Paucis quæ ille exposuit complectimur.

Veteres critici ex carminibus, quæ Pisandri nomine ferebantur, Heracleam solam Camirensi tribuebant ; reliqua pro spuriis habebant : sed non pauca inveniuntur apud grammaticos doctos et recentibus libris minime utentes commemorata ex Pisandro quibus locus esse non poterat in Heraclea ; accedit opus ab Macrobio et Zosimo delineatum, ne ipsum quidem recens, utpote Virgilii exemplar. Hoc opus Ἡρωϊκῶν Θεογαμίων non poterat esse Larendensis istius Pisandri, Alexandro Severo æqualis : nam perscripta ibi erant « quæ *usque ad ætatem ipsius Pisandri* contigerunt ; » hæc verba et erroris suspicionem omnem removent a Macrobio, et explicationem porrigunt rei permiræ : qui factum sit ut Pisander, quem confitentur omnes plurima in rebus Herculis innovasse et a priscis poetis discessisse, nihilominus a quibusdam haberetur Eumolpi æqualis et amasius, ab aliis Hesiodo antiquior. Nimirum Pseudopisander in fine *heroici* ævi sese constituerat. Quæ res vicissim confirmat et de Zosimi ἡρωϊκοῖς θεογαμίοις loqui Macrobium, et supposititium fuisse hoc opus. Jam non necesse est de eo Pisandro sollicite quærere, quocum θεογαμίων scriptorem Suidas confuderit. Codex Parisinus B apud Gaisfordum, duo Parisini apud Kusterum præbent ἐν βιβλίοις non ἕξ, sed ξ', 60,

Hunc vero ipsum populus, ut certo scias,
collocavit hic, æneum ponens,
multis mensibus post et annis.

Pisander, Nestoris poetæ filius, Larandensis, aut Lycaonius, qui vixit temporibus Alexandri imperatoris, Mamææ filii : poeta epicus et ipse. Scripsit historiam variam versibus, quam inscripsit *Heroica Theogamia* (i. e., ut videtur, res heroum inde a deorum nuptiis), libris sex (*sive potius* sexaginta) constantem. Item alia, oratione soluta.

quod recipi debebat: nam vicesimum sextum librum Pisandri commemorari videbis; et amplitudo argumenti satis testata excedit sex voluminum ambitum. Separanda sunt igitur Heracleæ fragmenta a ceteris, quæ vel omnia vel maximam partem petita sunt ex amplo hoc θεογαμίων opere, tam dextre ex optimis fontibus concinnato, ut plurimos grammaticos origo ejus fefellerit. Aristeum, quem Suidas Pisandrea scripsisse refert, prorsus ignoramus: Aristeæ tenuis memoria est inter criticos Homeri.

ΗΡΑΚΛΕΙΑ.

1.

Strabo XV, p. 688=1009, B, locutus de Bacchi et Herculis in Indiam expeditionibus minime veri similibus: Καὶ ἡ τοῦ Ἡρακλέους δὲ στολὴ ἡ τοιαύτη πολὺ νεωτέρα τῆς Τρωϊκῆς μνήμης ἐστὶ, πλάσμα τῶν τὴν Ἡράκλειαν ποιησάντων, εἴτε Πείσανδρος ἦν εἴτ' ἄλλος τις· τὰ δ' ἀρχαῖα ξόανα οὐχ οὕτω διεσκεύασται. Idem tamen XIV, p. 655=969, A: Καὶ Πείσανδρος ὁ τὴν Ἡράκλειαν γράψας, Ῥόδιος. Dubitationis autem illa significatio, εἴτε Πείσανδρος ἦν εἴτ' ἄλλος τις, duobus modis explicari potest: vel enim non curat illo loco Strabo, quisnam ex iis qui Heracleas scripserant primus induxerit novum illum habitum, hoc dixisse contentus, fictum esse ab Heracleæ poetis, sive Pisandro sive alio quodam. (Sic fere Heynius Excursu I ad Virg. Æn. II, p. 316 ed. Paris.) Vel inaudiverat de criticorum dissensu in scriptis quibusdam Pisandro vel tribuendis vel ab eo abjudicandis; et cautius Heracleam quoque memorare voluit, conscius sibi, certum esse quod de habitu Herculis observarit, quicquid statuatur de scriptore Heracleæ.

Pellem leonis gessit Hercules ex primo certamine cum leone Nemeæo. Eratosthenes Cataster. c. 12, Λέων: Τινὲς δέ φασιν ὅτι Ἡρακλέους πρῶτος ἆθλος ἦν εἰς τὸ μνημονευθῆναι· φιλοδοξῶν γὰρ μόνον τοῦτον οὐχ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπλακεὶς ἀπέπνιξε. Λέγει δὲ περὶ αὐτοῦ Πείσανδρος ὁ Ῥόδιος, ὅτι καὶ τὴν δορὰν αὐτοῦ ἔσχεν, ὡς ἔνδοξον (ἔργον) πεποιηκώς. Sic Fellus. Codex Πίνδαρος ὁ Ῥόδ. (Conf. fr. 7.) Voc. ἔργον Heynius recte inseruit ex Phavorino p. 10, 4, et Eudocia p. 276. — Quæ sequuntur apud Eratosthenem, ea quoque scholiastes Germanici Aratcor. p. 52 ad Pisandrum refert: *Periandrus* (sic) *Rhodius refert eum* (leonem) *ob primos labores Herculis memoriæ caussa astris illatum.* Verisimile est autem ex his et tanta celebritate novi habitus quem Herculis ex hoc certamine induit, primum ἆθλον hunc positum esse a Pisandro. Conf. Müller. Dor. vol. II, p. 475, qui observat, hinc verisimile esse Bœotica certamina (quorum nullum in fragmentis vestigium) vel omisisse Pisandrum, vel alibi inseruisse. Hyginus Poetic. Astrom. II, 24, p. 399 (475): *Nonnulli etiam hoc amplius dicunt, quod Herculis prima fuerit hæc certatio, et quod eum inermis interfecit. De eo Pisandrus et complures alii scripserunt.*

2.

Pausanias II, 37, 4: Κεφαλὴν δὲ εἶχεν (hydra Lernæa), ἐμοὶ δοκεῖν, μίαν, καὶ οὐ πλείονας. Πείσανδρος δὲ ὁ Καμιρεὺς, ἵνα τὸ θηρίον τε δοκοίη φοβερώτερον καὶ αὐτῷ γίγνηται ἡ ποίησις ἀξιόχρεως μᾶλλον, ἀντὶ τούτων τὰς κεφαλὰς ἐποίησε τῇ ὕδρᾳ τὰς πολλάς.

3.

Schol. Pindari Olymp. III, 52: Θήλειαν δὲ εἶπε (τὴν ἔλαφον) καὶ χρυσόκερων ἀπὸ Ἰστρίας· ὁ γὰρ Θησηίδα γράψας τοιαύτην αὐτὴν λέγει καὶ Πείσανδρος ὁ Καμειρεὺς καὶ Φερεκύδης.

4.

Pausan. VIII, 22, 4: Ἐπὶ δὲ τῷ ὕδατι τῷ ἐν Στυμφάλῳ κατέχει λόγος, ὄρνιθάς ποτε ἀνδροφάγους ἐπ' αὐτῷ τραφῆναι· ταύτας κατατοξεῦσαι τὰς ὄρνιθας Ἡρακλῆς λέγεται. Πείσανδρος δὲ αὐτὸν ὁ Καμιρεὺς ἀποκτεῖναι τὰς ὄρνιθας οὔ φησιν, ἀλλὰ ὡς ψόφῳ κροτάλων ἐκδιώξειεν αὐτάς. Hanc quoque Pisandri narrationem secuti erant Pherecydes et Hellani-

HERACLEA.

1.

Hic Herculis habitus, *clava et pelle leonis instructi,* multo posterior Trojanarum rerum memoria, commentum eorum esse videtur, qui Heracleam scripserunt, sive is Pisander fuit, sive alius: antiquæ certe statuæ ligneæ Herculis hoc modo factæ non sunt.

Pisander quoque, Heracleæ carminis scriptor, Rhodius fuit.

Leonem dicunt primum fuisse certamen quo Hercules inclaruerit: famam enim quærens hunc solum non armis occidit, sed brachiis constrictum suffocavit. Narrat de eo Pisander Rhodius, exuvias eum leonis gestasse, ut ex glorioso facinore.

2.

Caput, ut ego opinor, unum habebat hydra Lernæa, non plura. Verum Pisander Camirensis, quo et fera terribilior esse videretur et carmina ipsius plus dignitatis haberent, ideo illi plura capita dedit.

3.

Pisander Camirensis, Theseidis scriptor, Pherecydes et Pindarus cervam fuisse narrant Istrianam, *non cervum,* et aurea cornua habuisse.

4.

Fabulis vulgatum est, in lacu Stymphali aliquando aves, quæ humana carne victitarent, degisse: has Herculem sagittis confecisse dicitur; at Pisander Camirensis

cus (scholl. Apoll. Rhod. II, 1054), ut ceteras. Boni aliquot codices præbent Στυμφήλῳ.

5.

Athen. XI, p. 469, C: Πείσανδρος ἐν δευτέρῳ Ἡρακλείας τὸ δέπας ἐν ᾧ διέπλευσεν ὁ Ἡρακλῆς τὸν Ὠκεανὸν εἶναι μέν φησιν Ἡλίου, λαβεῖν δ' αὐτὸ παρ' Ὠκεανοῦ Ἡρακλέα.

6.

Schol. Pindari Pyth. IX, 183: Ἀλεξίδαμον... γενέσθαι μνηστῆρα τῆς Ἀνταίου θυγατρός· ὄνομα δὲ αὐτῇ Ἀλκηΐς, ὥς φησι Πείσανδρος ὁ Καμειρεύς· ἕτεροι δὲ Βάρκην. Hæc sine dubio ad locum de lucta cum Antæo pertinent. Conf. O. Müller. Minyis p. 346.

7.

Schol. Rav. Aristophanis Nub. 1047: Ἡρακλεῖ πολλὰ καμόντι (vulgata μογήσαντι) περὶ Θερμοπύλας Ἀθηνᾶ θερμὰ λουτρὰ ἀναδέδωκεν. (Vulg. ἐπαφῆκεν, Ven. φασὶ τὴν Ἀθηνᾶν χαρίσασθαι τῷ Ἡρ. θ. λ., ὡς) Πείσανδρος·

Τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη
ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.

Zenobius Prov. VI, 49: Ἡ Ἀθηνᾶ τῷ Ἡρακλεῖ ἀνῆκε πολλαχοῦ θερμὰ λουτρὰ πρὸς ἀνάπαυλαν πόνων, ὥς φησὶ καὶ Πίνδαρος (sic) ὁ ποιητὴς ἐν τοῖς περὶ Ἡρακλέους. Πολλαχοῦ dixit Zenobius quia narratio ad alias quoque thermas, Ἡράκλεια λουτρά, transferebatur.

Etiam sequentia fragmenta nihil est cur veteri Pisandro non possint tribui.

8.

Stobæus Floril. XII, 6: Πεισάνδρου·

Οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

« Poterant hæc, inquit Müllerus, in historia Cercopum dici. »

9.

Hesychius: « Νοῦς οὐ παρὰ Κενταύροισι· » παροιμιῶδες. Ἔστι δὲ Πεισάνδρου κομμάτιον, ἐπὶ τῶν ἀδυνάτων ταττόμενον. Codex N. οὐ π Κεντ. Photius et Suidas: « Νοῦς οὐκ ἔνι Κενταύροις· » παροιμία ἐπὶ τῶν ἀδυνάτων (καὶ ἀνοήτων addit Suid.) ταττομένη. Aliter Diogenianus VI, 84, et Vatic. Append. III, 10: « Νοῦς οὐ παρὰ Κενταύροις· » ἐπὶ τῶν ἐπιλησμόνων καὶ πλεονεκτῶν· παρόσον ὑπὸ πλεονεξίας ἀπώλοντο.

10.

Olympiodor. In Platonis Alcib. I, p. 157 ed. Creuzer.: Διό φησι περὶ αὐτοῦ (de Hercule) ὁ Πείσανδρος·

Δικαιοτάτου τε φονῆος·
ἐπὶ γὰρ καθαρότητα φόνους ἐποίει.

PSEUDOPISANDRI
ΗΡΩΙΚΩΝ ΘΕΟΓΑΜΙΩΝ

immensi operis paucas reliquias nihil attinet ad rerum vel temporis seriem quandam redigere: sed illud refert in opere cujus index semel memoratur, quinam scriptores eo sint usi.

1.

Zosimus V, 29: ... εἰς Ἥμωνα πόλιν, μεταξὺ Παιονίας τῆς ἀνωτάτω καὶ Νωρικοῦ κειμένην. Ἄξιον δὲ μὴ παραδραμεῖν ὅσα τῆς πόλεώς ἐστι ταύτης, καὶ ὅπως τὴν ἀρχὴν ἔτυχεν οἰκισμοῦ. Τοὺς Ἀργοναύτας φασὶν ὑπὸ τοῦ Αἰήτου διωκομένους ταῖς εἰς τὸν Πόντον ἐκβολαῖς τοῦ Ἴστρου προσορμισθῆναι, κρῖναί τε καλῶς ἔχειν διὰ τούτου πρὸς ἀντίον τὸν ῥοῦν ἀναχθῆναι, καὶ μέχρι τοσούτου διαπλεῦσαι τὸν ποταμὸν εἰρεσίᾳ καὶ πνεύματος ἐπιτηδείου φορᾷ, μέχρις ἂν

---

non peremptas eas ab Hercule aves, sed crepitaculorum sonitu e loco pulsas tradidit.

5.

Pisander libro secundo Heracleæ poculum, in quo Oceanum transvectus est Hercules, Solis fuisse poculum ait, accepisseque illud ab Sole Herculem.

6.

Filiam Antæi, cujus procus erat Alexidamus, Pisander Camirensis appellavit Alceidem, alii Barcen.

7.

Herculi, qui multos labores sustinuerat, circa Thermopylas Minerva calida lavacra *ex terra* emisit. Pisander:

Huic in Thermopylis dea cæsia Minerva
parabat calida lavacra in litore maris.

Zenob.: Minerva Herculi multis locis calida lavacra emisit, ut a laboribus requiesceret; narrat etiam Pisander in carminibus de Hercule.

8.

Non est grande nefas animam præponere vero. HGR.

9.

« Mens non est apud Centauros »: pars versus Pisandri, quæ in proverbium abiit de iis quæ fieri non possunt (vel insana sunt). — « Mens non est apud Centauros »: in obliviosos atque violentos: hi enim violentia sua perierunt.

10.

Pisander de Hercule dixit: « Et justissimi occisoris »: nam cædes faciebat ad purgandam terram.

PSEUDOPISANDRI
HEROICA THEOGAMIA.

1.

Venerunt Hemonem oppidum, inter Pannoniam supremam et Noricum situm. Atque hoc loco minime par est silentio præteriri quæ ad oppidum hoc pertinent, et quonam modo condi ab initio cœptum sit. Aiunt Argonautas, quum eos Æetes persequeretur, ad Istri appulisse ostia, quibus in Pontum ille se exonerat; recteque se facturos

τῇ θαλάσσῃ πλησιαίτεροι γένοιντο. Πράξαντες δὲ ὅπερ ἔγνωσαν, ἐπειδὴ κατὰ τοῦτον ἐγένοντο τὸν τόπον, μνήμην καταλιπόντες τῆς σφετέρας ἀφίξεως τὸν τῆς πόλεως οἰκισμὸν, μηχαναῖς ἐπιθέντες τὴν Ἀργὼ καὶ τετρακοσίων σταδίων ὁδὸν ἄχρι θαλάσσης ἑλκύσαντες, οὕτω ταῖς Θεσσαλῶν ἀκταῖς προσωρμίσθησαν, ὡς ὁ ποιητὴς Πίσανδρος (sic) ὁ τῇ τῶν Ἡρωϊκῶν Θεογαμίων ἐπιγραφῇ πᾶσαν ὡς εἰπεῖν ἱστορίαν παραλαμβάνων. Recte Reitemeierus: « πᾶσαν ἱστορίαν] intelligo hic totam historiam temporis mythologici. » De re Heynius conferri jubet Cluverium Ital. ant. I, c. 21. Et in Excursu jam aliquoties memorato p. 319: « Repetit eadem [non nominato Pisandro] Sozomenus Hist. Eccl. I, 6, uterque, ut equidem suspicor, ex Olympiodoro, cui Zosimus multa debet. »

2.

Stephanus Byz. v. Ἀγάθυρσοι: Κέκληνται δὲ ἢ ἐπ' Ἀγαθύρσου τοῦ Ἡρακλέους, ἢ, ὡς Πείσανδρος, ἀπὸ τῶν θύρσων τοῦ Διονύσου.

3.

Idem: Νιφάτης, ὄρος Ἀρμενίας. ... Ἔοικε παρὰ τοῦ νείφειν, ἀλλ' ὀνοματικῶς διὰ τοῦ ι γράφεται. Καὶ Πείσανδρος ἑβδόμῳ

Ταύρου πρυμνώρειαν ἐΰσκόπελόν τε Νιφάτην.

Editiones et codd. male πρυμνώρεια. Et accusativus est ap. Suidam v. Νιφάτης, hæc sine poetæ nomine ponentem.

4.

Idem: Ἄστακος, πόλις Βιθυνίας.... καὶ Ἀκαρνανίας... τὸ ἐθνικὸν... Ἀστάκιος καὶ Ἀστακία· ἀφ' οὗ Ἀστακιεύς... καὶ Ἀστακιήτης καὶ Ἀστακίδης πατρωνυμικόν. Πείσανδρος δεκάτῃ.

5.

Idem: Κυβέλεια, πόλις Ἰωνίας. ... Ἔστι καὶ Κύβελα Φρυγίας. Καὶ Κύβελον ὄρος, ἀφ' οὗ Κυβέλη ἡ Ῥέα λέγεται, Κυβεληγενὴς καὶ Κυβελίς. Πείσανδρος δεκάτῳ.

6.

Idem: Ἀπέννιον, ὄρος ... τὸ ἐθνικὸν Ἀπεννῖνος, ὡς Ῥηγῖνος, ὃ παρὰ Πεισάνδρῳ κεῖται ιγ'.

7.

Idem: Οἰνωτρία, χώρα τῆς Ἰταλίας. ... Πείσανδρος τρισκαιδεκάτῳ ἀπὸ τῆς τοῦ οἴνου χρήσεως κεκλῆσθαι αὐτήν φησι.

8.

Idem: Λυκόζεια, πόλις Θρᾴκης· τὸ ἐθνικὸν Λυκόζειοι, ὡς Πείσανδρος τεσσαρεσκαιδεκάτῃ.

9.

Idem: Βοαύλεια, πόλις Σκυθίας. Πείσανδρος εἰκοστῇ ἕκτῃ.

10.

Scholiastes Apollonii Rhod. I, 151: Φερεκύδης τὴν μητέρα τῶν περὶ Ἴδαν (vel, ut codex Paris., Λυγκέως καὶ Ἴδου) Ἀρήνην φησὶν, Πείσανδρος Πολυδώραν.

11.

Idem I, 471: Ἀρήνη, πόλις Πελοποννήσου· νῦν δὲ Ἱεράνα λέγεται, ὥς φησι Πείσανδρος. Heynius ad Hom. Iliad. B, 592: « Lege Ἔρανα. Perperam tamen hæc tradi docet Strabo VIII, p. 554, A. nam Erana alio loco sita erat inter Coryphasium et Pylum Messeniacum, » etc. Adde Weichert. De vita et scriptis Apoll. Rh. p. 240 sq.

---

existimasse, si adverso flumine veherentur, ac tantisper in hoc amne remigiis et idonei venti adjumento navigarent, donec ad mare propius accessissent. Quum id consilium essent exsecuti, jamque ad locum hunc pervenissent, ipsa structura oppidi hujus ad memoriam adventus in istam regionem sui relicta, et Argo machinis imposita, perque stadiorum quadringentorum spatium usque ad mare tracta, Thessalorum littoribus appulerunt; sicuti Pisander poeta memoriæ prodidit, qui Heroicorum Theogamiorum titulo totam propemodum historiam complexus est.

2.

Agathyrsi, aut ab Agathyrso Herculis filio, aut, ut perhibet Pisander, a Bacchi thyrsis ita dicti.

3.

Niphates, mons Armeniæ...... Videtur a voce νείφειν, *ningere*, derivari: sed substantivum nomen per iota scribitur. Et Pisander libro septimo:

Tauri extremam partem et scopulis insignem Niphaten.

4.

Astacus, urbs Bithyniæ.... et Acarnaniæ.... Gentile.... Astacius et Astacia, a quo Astaciensis..... et Astacieta, et Astacides patronymicum; Pisander libro decimo.

5.

Cybelea, urbs Ioniæ...... Est quoque Cybela Phrygiæ et Cybelum mons, a quo Cybele Rhea dicitur, Cybelogenitus et Cybelis; Pisander libro decimo.

6.

Apennium, mons...... Gentile, Apenninus, quemadmodum Rheginus, quod apud Pisandrum libro tertio decimo legitur.

7.

Œnotria, regio Italiæ...... Pisander libro tertio decimo hanc sic nuncupatam tradit a vini (οἴνου) usu.

8.

Lycozea, urbs Thraciæ. Gentile, Lycozei, apud Pisandrum libro quarto decimo.

9.

Boaulia, urbs Scythiæ; Pisander libro vigesimo sexto.

10.

Pherecydes Lyncei et Idæ matrem Arenen dicit, Pisander Polydoram.

11.

Arene, urbs Peloponnesi; nunc Erana vocatur, teste Pisandro.

12.

Idem I, 1196, χαλκοβαρεῖ, de clava Herculis: Πείσανδρος δέ φησιν ὁλόχαλκον εἶναι τὸ ῥόπαλον Ἡρακλέους. Quum reliqua ab hoc schol. ex Pisandro memorata non sint antiqui Heracleæ scriptoris, Herculis mentio id efficere non potest ut de hoc solo contrarium in modum statuatur. Nam de Hercule in Θεογαμίοις quoque scripta fuisse multa quis negaverit? Præterea clava ex solido ære in antiquo Pisandro nec per se est probabilis, nec ab iis memoratur, qui ipsa Heraclea usi sunt.

13.

Idem II, 98: Ἀπολλώνιος μὲν ἐμφαίνει ὡς ἀνῃρημένον τὸν Ἄμυκον. Ἐπίχαρμος δὲ καὶ Πείσανδρος φασὶν ὅτι ἔδησεν αὐτὸν ὁ Πολυδεύκης. Verisimile est et hoc ab Epicharmo sumpsisse Pseudopisandrum, et ab aliis poetis scenicis alia.

14.

Idem II, 1089, de Harpyiis: Πιθανῶς δὲ ὁ Πείσανδρος τοὺς ὄρνιθάς φησιν εἰς Σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεσαν.

15.

Idem IV, 57: Τὸν Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλίκης παῖδα λέγει, παρὰ Διὸς εἰληφότα δῶρον, αὐτὸν ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι· καὶ Πείσανδρος δὲ τὰ αὐτά φησι, καὶ Ἀκουσίλαος, κτλ.

16.

Idem IV, 1396: Τὸν δράκοντα Λάδωνά ἐκάλουν. Τοῦτον δὲ Πείσανδρος ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι. Hoc non magis quam fr. 12 ad antiquum Pisandrum referri debet.

17.

Schol. Homeri in illa Il. Δ, 147, Τοῖοί τοι, Μενέλαε, μιάνθην αἵματι μηροὶ εὐφυέες, κνημαί τ' ἠδὲ σφυρὰ κάλ' ὑπένερθεν: Νικάνωρ τὸ εὐφυέες τῷ μηροί προσάπτει, οἱ δὲ ὑπομνηματισταὶ τῷ κνῆμαι. Καὶ Πείσανδρος·

Ξανθοκόμης, μέγας ἦν, γλαυκόμματος, ἄρτι παρειὰ λοχμάζων, εὔκνημος.

18.

Scholium Taurinense ad Eurip. Phœn. 834: Πείσανδρος ἱστορεῖ ὅτι ζάνξη (vel ξάνξη) Τειρεσίας ἐποίησε παῖδας δ', Φαινένφερ σεκερδὴν, Χλῶριν, Μαντώ. De quibùs certi nihil habeo quod afferam.

19.

Schol. Euripidis Phœn. 1760: Ἱστορεῖ Πείσανδρος, ὅτι κατὰ χόλον τῆς Ἥρας ἐπέμφθη ἡ Σφὶγξ τοῖς Θηβαίοις ἀπὸ τῶν ἐσχάτων μερῶν τῆς Αἰθιοπίας. ὅτι τὸν Λάϊον ἀσεβήσαντα εἰς τὸν παράνομον ἔρωτα τοῦ Χρυσίππου, ὃν ἥρπασεν ἀπὸ τῆς Πίσης, οὐκ ἐτιμωρήσαντο. Ἦν δὲ ἡ Σφὶγξ, ὥσπερ γράφεται, τὴν οὐρὰν ἔχουσα δράκοντος, ἀναρπάζουσα δὲ μικροὺς καὶ μεγάλους κατήσθιεν, ἐν οἷς καὶ Αἵμονα τὸν Κρέοντος παῖδα, καὶ Ἵππιον τοῦ Εὐρυνόμου, τοῦ τοῖς Κενταύροις μαχεσαμένου· ἦσαν δὲ Εὐρύνομος καὶ Ἠϊονεὺς υἱοὶ Μάγνητος τοῦ Αἰολίδου καὶ Φιλοδίκης. Ὁ μὲν οὖν Ἵππιος καὶ ξένος ὢν ὑπὸ τῆς Σφιγγὸς ἀνῃρέθη, ὁ δὲ Ἠϊονεὺς ὑπὸ τοῦ Οἰνομάου, ὃν τρόπον καὶ οἱ ἄλλοι μνηστῆρες. Πρῶτος δὲ ὁ Λάϊος τὸν ἀθέμιστον ἔρωτα τοῦτον ἔσχεν. Ὁ δὲ Χρύσιππος ὑπὸ αἰσχύνης ἑαυτὸν διεχρήσατο τῷ ξίφει. Τότε μὲν οὖν ὁ Τειρεσίας, ὡς μάντις, εἰδὼν ὅτι θεοστυγὴς ἦν ὁ Λάϊος, ἀπέτρεπεν αὐτὸν τῆς ἐπὶ τὸν Ἀπόλλωνα ὁδοῦ, τῇ δὲ Ἥρᾳ μᾶλλον τῇ γαμοστόλῳ θεᾷ θύειν ἱερά. Ὁ δὲ αὐτὸν ἐξεφαύλιζεν. Ἀπελθὼν τοίνυν ἐφονεύθη ἐν τῇ σχιστῇ ὁδῷ αὐτὸς καὶ ὁ ἡνίοχος αὐτοῦ, ἐπειδὴ ἔτυψε τῇ μάστιγι

12.

Pisander ex solido ære clavam Herculis fuisse dicit.

13.

Epicharmus et Pisander Amycum a Polluce non peremptum, sed vinctum modo dicunt.

14.

Harpyiàs Pisander probabiliter narrat in Scythiam avolasse, unde venerant.

15.

Hesiodus Endymionem dicit filium esse Calices et Aethlii Jovis filii; eidem Jovem hoc tribuisse, ut suæ ipse mortis esset dispensator, et moreretur quando vellet. Eadem Pisander narrat, et Acusilaus.

16.

Draconem, qui Lado vocatur, e terra natum credidit Pisander.

17.

Pisander, de Menelao:

Flava coma, procerus erat, cæsiis oculis, cui modo obumbrari cœpit, pulchris cruribus. [gena

18.

Pisander narrat Tiresiam ex.... suscepisse liberos quattuor,.... Chlorin, Manto.

19.

Narrat Pisander, per Junonis iram Sphingem Thebanis ex ultimis oris Æthiopiæ immissam esse, quoniam illi Laium, qui nefando amore Chrysippum Pisa raptum violaverat, pœna nulla affecerint. Habebat autem Sphinx, ut scribitur, caudam draconis, et parvos magnosque correptos devorabat; in quibus Hæmonem Creontis filium, et Hippium Eurynomi illius qui cum Centauris pugnaverat: ex his Eurynomus cum Eioneo filius erat Magnetis, Æoli et Philodicæ filii; Hippius, licet peregrinus a Sphinge peremptus est, Eioneus autem ab Œnomao similiter ac ceteri proci *Hippodamiæ*. Laius auctor erat nefandi amoris illius; cujus pudore Chrysippus se ipse gladio confodit. Tunc igitur Tiresias vates Laium, quem videret diis exosum esse, dehortabatur ab itinere ad Apollinem suscipiendo, et Junoni potius, nuptiarum præsidi deæ, sacra facere jubebat. At ille vatem contempsit. Itaque profectus in via trifida *Phocidis* cum auriga suo obtruncatus est, quoniam flagello percusserat Œdipodem. Qui occisos statim terra obruit cum vestimentis, Laii au-

τὸν Οἰδίποδα. Κτείνας δὲ αὐτοὺς ἔθαψε παραυτίκα σὺν τοῖς ἱματίοις, ἀποσπάσας τὸν ζωστῆρα καὶ τὸ ξίφος τοῦ Λαΐου καὶ φορῶν, τὸ δὲ ἅρμα ὑποστρέψας ἔδωκε τῷ Πολύβῳ. Εἶτα ἔγημε τὴν μητέρα, λύσας τὸ αἴνιγμα. Μετὰ ταῦτα δὲ θυσίας τινὰς τελέσας ἐν τῷ Κιθαιρῶνι, κατήρχετο ἔχων καὶ τὴν Ἰοκάστην σὺν τοῖς ὀχήμασι. Καὶ γενομένων αὐτῶν περὶ τὸν τόπον ἐκεῖνον τῆς σχιστῆς ὁδοῦ, ὑπομνησθεὶς ἐδείκνυε τῇ Ἰοκάστῃ τὸν τόπον, καὶ τὸ πρᾶγμα διηγήσατο, καὶ τὸν ζωστῆρα ἔδειξεν. Ἡ δὲ δεινῶς φέρουσα ὅμως ἐσιώπα· ἠγνόει γὰρ υἱὸν ὄντα. Καὶ μετὰ ταῦτα ἦλθέ τις γέρων ἱπποβουκόλος ἀπὸ Σικυῶνος, ὃς εἶπεν αὐτῷ τὸ πᾶν, ὅπως τε αὐτὸν εὗρε καὶ ἀνείλετο καὶ τῇ Μερόπῃ δέδωκε. Καὶ ἅμα τὰ σπάργανα αὐτῷ ἐδείκνυε καὶ τὰ κέντρα, ἀπῄτει τε αὐτὸν τὰ ζωάγρια. Καὶ οὕτως ἐγνώσθη τὸ ὅλον. Φασὶ δὲ, ὅτι μετὰ τὸν θάνατον τῆς Ἰοκάστης καὶ τὴν αὐτοῦ τύφλωσιν ἔγημεν Εὐρυγάνην παρθένον (« fort. Περίφαντος. » *Valck.*), ἐξ ἧς αὐτῷ γεγόνασι τέσσαρες παῖδες. Ταῦτα φησὶ Πείσανδρος.

20.

Apollodorus I, 8, 5, 2 : Ἐγενήθη δὲ ἐκ ταύτης (ex Peribœa) Οἰνεῖ Τυδεύς· Πείσανδρος δὲ αὐτὸν ἐκ Γόργης γενέσθαι λέγει· τῆς γὰρ θυγατρὸς Οἰνέα κατὰ τὴν βούλησιν Διὸς ἐρασθῆναι. Assentimur enim Welckeri rationibus (de Cyclo ep. p. 101 sq.) hæc ex Heraclea non esse statuentis.

21.

Olympiodorus In Platonis Phædonem ap. Wyttenb. Phæd. p. 251 : Δηλοῖ καὶ ὁ Πείσανδρος θεολογῶν τὰ κατὰ Κάδμον ἐν τῷ μύθῳ, ἐν ᾧ φησι τὸν Κάδμον ὑποτίθεσθαι τῷ Διὶ, πῶς ἂν καταγωνίσαιτο τὸν Τυφῶνα. V. Welckerum ibidem.

22.

Lydus De magistrat. III, 64, p. 258 : Σπουδὴ γέγονε τοῖς πολυχρύσοις τὸ πάλαι Λυδοῖς ... καὶ χρυσοστήμονας διεργάζεσθαι χιτῶνας· καὶ μάρτυς ὁ Πείσανδρος, εἰπὼν

Λυδοὶ χρυσοχίτωνες.

23.

Euagrius Hist. eccl. 1, 20, apud quem Eudocia Augusta orationem ad Antiochenses clausit versu Homerico :

Ὑμετέρης γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι,

τὰς ἐκ τῆς Ἑλλάδος ἐνταῦθα σταλείσας ἀποικίας αἰνιττομένη. Εἰ δέ τῳ περισπούδαστον ταύτας εἰδέναι, ἱστόρηται περιέργως Στράβωνι τῷ γεωγράφῳ, Φλέγοντί τε καὶ Διοδώρῳ τῷ ἐκ Σικελίας, Ἀῤῥιανῷ τε αὖ καὶ Πεισάνδρῳ τῷ ποιητῇ. « Quæ narratio qualis fuerit, ex Joanne Malala disci potest Chronogr. p. 32 sq. (28-30 ed. Bonn.) et Cedreni Compend. Hist. p. 134 sq. » *Heynius* in Excursu cit. p. 319.

24.

Excerpta e cod. 1630 ap. Cramer. Anecd. Paris. vol. 2, p. 380, 7 : Τούτους (Gigantes) Πείσανδρος ποιητὴς Ἑλλήνων ὠνόμασε « δρακοντόποδας. » Nam sine dubio hoc solum a Pisandro est; cetera commenta aliunde petita.

25.

Servius Fuldensis ad Virg. Æneid. II, 211. *Filios Laocoontis Ethronem et Melanthum Thessandrus dicit.* Ubi Heynius emendat *Pisandrus*. Conf. locum Macrobii p. 6. Incidunt hæc in lacunam codicis nunc Casellani, a v. 105 ad 243.

26.

Fulgentius Mythologicōn I, 14, eorum quæ de novem Musis allegorice exponit, inter alios testem advocat *Pisandrum physicum*: quo Pseudopisandrum significari nec negari potest nec affirmari.

---

tem zonam et gladium ablata subinde gestabat ipse; deinde, quum rediisset, currum dono dedit Polybo. Postea, ænigmate soluto, matrem duxit. Tempore interjecto, quum sacra quædam solemnia in Cithærone perfecisset, rediit cum Iocasta et curru illo, quem olim Polybo dederat. Ut venere in locum istum trifidæ viæ, recordatus facinoris et locum monstrat Iocastæ et rem narrat, et ostendit zonam. Illa animo vehementer cruciata, nihilominus silere: nam filium esse suum ignorabat. Post ea senex equorum pastor a Sicyone ad Œdipum venit, omnia ipsi aperiens, ut et invenerit Œdipum et sustulerit et dederit Meropæ. Simul crepundia ei monstrabat, et stimulos, vitæ servatæ præmia postulans. Hoc modo detecta sunt omnia. Dicunt autem post Iocastæ mortem et suam excæcationem nuptias illum iniisse cum Eurygane virgine, ex qua susceperit liberos quattuor. Hæc Pisander.

20.

Œneo ex Peribœa natus est Tydeus : verum Pisander ex Gorge natum dicit ; filiæ enim suæ amore correptum esse Œneum ex voluntate Jovis.

21.

Pisander de Cadmo hunc mythum refert : Jovi subjecisse Cadmum quibus modis ille Typhonem superare posset.

22.

Auro olim abundantes Lydi tunicas adeo aureis staminibus studiose texebant : quod testatur Pisander, dicens :

Lydi aureas tunicas gerentes.

23.

Colonias olim ex Græcia in Syriam et agrum Antiochenum deductas si quis cognoscere cupit, copiose exponitur de iis a Strabone, Phlegonte, Diodoro Siculo, Arriano et Pisandro poeta.

24.

Pisander, poeta Græcus, Gigantas dixit « draconipedes. »

EPIGRAMMA.

(Anthol. Palat. VII, 304.)

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν· ἵππῳ δὲ Πόδαργος·
καὶ κυνὶ Θήραργος· καὶ θεράποντι, Βάϐης.
Θεσσαλὸς, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός·
ὤλετο δ' ἐν προμάχοις ὀξὺν Ἄρη συνάγων.

Fabricius et Heynius ab juniore, quem statuunt, Pisandro profectum putant: nec sane probabili modo ad antiquum Heracleæ auctorem referas. Celebre fuisse epigramma ex Polluce et Dione Chrysostomo intelligitur, qui poetam non memorant. Vaticanus codex hoc lemma habet: Πισάνδρου Ῥοδίου. Τούτου τοῦ ἐπιγράμματος μέμνηται Νικόλαος ὁ Δαμασκηνὸς ὡς ἀρίστου. Pollux V, 46: Οὐ μὴν οὐδὲ ὁ Μάγνης ὁ κύων, τὸ Ἱππαίμονος (sic enim codd.) κτῆμα, ᾧ Λήθαργος ἐπώνυμον οὐκ ἀνώνυμος, ὃς τῷ δεσπότῃ συντέθαπται, καθάπερ μηνύει τοὐπίγραμμα· deinde primum distichum ponit, Λήθαργος exhibens de cane, quod etiam in Vat. cod. est inter lineas cum γρ., et apud Dionem Chrys. Orat. 37, p. 121, 15 ed. Reisk., qui post primum distichum ita pergit: Τίς οὖν οἶδεν Ἑλλήνων, οὐχ ὅτι τὸν ἵππον, ἀλλ' αὐτὸν τὸν Ἱππαίμονα; δοκοῦμεν οὐδὲ Μαγνήτων, ὅθεν ἦν Ἱππαίμων Οὗτος μὲν οὖν φροῦδος ἐξ ἀνθρώπων αὐτῷ Βάϐητι καὶ Ποδάργῳ. « Secundum Pollucem igitur canis erat Magnesius, secundum Dionem Hippæmon ipse. Hoc verisimilius. Nobiles sunt equi Thessali, canes Cretenses: servi patriam Pisander præteriit. » *Jacobs.*

EPIGRAMMA.

Hippæmon vir dictus erat, sonipesque Podargus,
Therargusque canis, mancipiumque Babes:
Thessalus, e Creta, Magnes genus, Hæmone natus,
occidit, in primo dum movet arma loco.

HGR.

PANYASIDIS

FRAGMENTA.

Post Pisandrum epica poesis jacuisse videtur apud Græcos, usquedum victoria de Persis, « fomes ille ingeniorum », hanc quoque suscitaret. Suidas: Πανύασις, Πολυάρχου, Ἁλικαρνασεὺς, τερατοσκόπος, καὶ ποιητὴς ἐπῶν· ὃς σβεσθεῖσαν τὴν ποιητικὴν ἐπανήγαγε. Δοῦρις δὲ Διοκλέους τε παῖδα ἀνέγραψε, καὶ Σάμιον· ὁμοίως δὲ (om. codex Gronovii) καὶ Ἡροδότος Θούριον. Ἱστόρηται δὲ Πανύασις Ἡρόδοτου τοῦ ἱστορικοῦ ἐξάδελφος. Γέγονε γὰρ Πανύασις Πολυάρχου· ὁ δὲ Ἡρόδοτος Λύξου (Ξύλου cod. Gron.) τοῦ Πολυάρχου ἀδελφοῦ. Τινὲς δὲ οὐ Λύξην, ἀλλὰ Ῥοιὼ (in voce Ἡρόδοτος vocatur Δρυώ), τὴν μητέρα Ἡροδότου, Πανυάσιδος ἀδελφὴν ἱστόρησαν. Ὁ δὲ Πανύασις γέγονε κατὰ τὴν οη' ὀλυμπιάδα· κατὰ δέ τινας, πολλῷ πρεσβύτερος· καὶ γὰρ ἦν (vulgo γέγονε γὰρ) ἐπὶ τῶν Περσικῶν. Ἀνῃρέθη δὲ ὑπὸ Λυγδάμιδος τοῦ τρίτου τυραννήσαντος Ἁλικαρνασοῦ. Ἐν δὲ ποιηταῖς τάττεται μεθ' Ὅμηρον· κατὰ δέ τινας καὶ μεθ' Ἡσίοδον καὶ Ἀντίμαχον. Ἔγραψε δὲ καὶ (om. cod. Gron.) Ἡρακλειάδα ἐν βίβλοις ιδ' (sic etiam Eudocia p. 357: codd. duo δ') εἰς ἔπη ,θ', [καὶ] Ἰωνικὰ ἐν πενταμέτρῳ (ἔστι δὲ τὰ περὶ Κόδρον καὶ Νηλέα καὶ τὰς Ἰωνικὰς ἀποικίας) εἰς ἔπη ,ζ'.

Quæ de genere et ætate poetæ a Suida scribuntur, inter se valde discrepant. Polyarchum patrem agnoscit etiam Pausanias X, 8, 5. De Diocle nihil alibi traditur. Hoc, ni fallor, voluit grammaticus, a Duride Samium appellari Panyasin, eodem modo quo Herodotus a nonnullis, vel ab ipso Duride, vocetur Thurius; videlicet ibi satis diu commoratus. Nam Ἡρόδοτον legendum cum Wesselingio, cujus vocis mutatio apparet tali loco quantum fuerit in proclivi; et δέ cum codice expellendum. Mireris Bodium (Hist. poes. Gr. vol. 1, p. 504), qui, hujusmodi indicium secutus, Panyasin « Thurios recens conditam » miserit, deinde hominem, cujus ætatem ultra olympiadem 83 produxerit, occisum narret ab Lygdamide: quam cædem O. Müllerus (Dor. vol. II, p. 471) factam statuit olymp. 78 fere exeunte, Clintonus 80 exeunte, a. 457; et ante Thuriensem coloniam accidisse illos motus Halicarnassi, loquuntur omnia. Qualis vero fuerit Panyasidis cum Herodoto cognatio, difficile est quæsitu: tempora suadent, ut Panyasin avunculum potius quam patruelem Herodoti fuisse credamus: quod demonstrare conatus est Nækius de Chœrilo p. 14 sqq. Eusebius (ed. Ang. Mai p. 337) ad annum 4 olympiadis 72, 490, qui secutus est Marathoniæ pugnæ annum, hæc ascripsit: *Panyasis poeta habetur illustris*, ut vertit Hieronymus. Conf. Clinton. Fast. Att. ad annum 489. Eusebius secutus est illos apud Suidam, qui Panyasin πολλῷ πρεσβύτερον olympiade 78 ἐπὶ τῶν Περσικῶν vixisse statuerunt; quæ hic et in Chœrilo de Marathonicis temporibus recte accepit Nækius. Olympiadem 78, fortasse de flore poetæ dictam, de adolescentia vel juventute cepisse videtur Suidas, qui subjiciat πολλῷ πρεσβύτερος. Sed hoc prorsus diluitur narratione de mortis genere, quæ temere fingi non potuit. Ab eodem Suida τερατοσκόπον credibilius est vocatum esse poetam, quia confundebatur cum altero Panyaside Halicarnassensi, quam ob munus aliquod sacerdotale: nam celebrior erat horum compilatorum tempore interpres somniorum. Hesychius: Τερατοσκόποι, ὀνειροκρίται.

Panyasis, Polyarchi filius, Halicarnassensis, prodigiorum interpres, et poeta heroicus; qui poesin exstinctam in vitam revocavit. Duris memoriæ prodidit eum fuisse Dioclis filium, et Samium; similiter Herodotus [*an*, atque Herodotum?] Thurium. Traditur Panyasis Herodoti historici patruelis fuisse. Fuit enim Panyasis Polyarchi filius; Herodotus vero, Lyxi, Polyarchi fratris. Quidam vero non Lyxen, sed Rhœo, Herodoti matrem, Panyasidis sororem fuisse narrarunt. Vixit autem Panyasis Olympiade septuagesima octava: secundum alios multo antiquior fuit; vixisse enim tempore belli Persici. Occisus est autem a Lygdamide, tertio Halicarnassi tyranno. Inter poetas secundus ei post Homerum locus tribuitur: nonnulli post Hesiodum etiam et Antimachum ponunt. Scripsit et Heracliada, libris quattuordecim, versibus circiter novies mille; et Ionica carmine elegiaco (agitur autem in eo poemate de Codro et Neleo et coloniis Ionicis) versibus circiter septies mille.

Alexandrini Panyasin in canonem Epicorum receperunt. De ejus poeseos indole ita Dionysius Halic. qui fertur (Censura vett. scriptt. p. 419 Reisk.) : Πανύασις δὲ τάς τ' ἀμφοῖν (Hesiodi et Antimachi) ἀρετὰς ἠνέγκατο, καὶ αὐτῶν πραγματείᾳ καὶ τῇ κατ' αὐτὸν οἰκονομίᾳ διήνεγκεν. Quæ pleniora et distinctius relata legerat Quintilianus (X, 1, § 54), qui de Hesiodo et Antimacho locutus ita pergit : *Panyasin ex utroque mixtum putant in eloquendo, neutriusque æquare virtutes.* (Ex quorum judicio illa scripta sunt apud Suidam : κατὰ δέ τινας [τάττεται] καὶ μεθ' Ἡσίοδον καὶ Ἀντίμαχον.) *Alterum tamen ab eo materia, alterum disponendi ratione vinci.* Conf. Nækium de Chœrilo p. 61 sq.

Heraclea Panyasidis non quattuor, sed quattuordecim librorum fuit : memoratur undecimus, et fragmenta quædam ostendunt non picturis modo eum, sed sermonibus etiam heroum res gestas animasse. Usus esse videtur illis fere omnibus, quæ ante eum Pisander, Stesichorus, fortasse alii quoque poetæ lyrici et scenici vel nova Herculi tribuerant, vel minus nota ex locorum mythis in lucem protulerant : nam de rebus nonnullis diserte illud testantur scriptores; ad antiquorum ἐπῶν fabulam reversum esse memorant nusquam. Illis enim apud Clementem Alex. Strom. VI, p. 751 : Αὐτοτελῶς τὰ ἑτέρων ὑφελόμενοι ὡς ἴδια ἐξήνεγκαν ... (quum alii tum) Πανύασις ὁ Ἁλικαρνασεὺς παρὰ Κρεωφύλου τοῦ Σαμίου τὴν Οἰχαλίας ἅλωσιν, nemo qui istam de *plagiis* tragœdiam totam inspexerit, id sibi persuaderi patiatur ut Panyasin in eo loco per omnia Creophylum expressisse dicat. Ceterum nimis levi caussa permotus O. Müllerus de ratione qua poeta res Herculis tractaverit hoc judicium emisit (Dor. II, p. 472) : « Panyasidis Heraclea si libris quattuordecim, versuum millibus novem comprehendebatur, gesta quædam, in medio præsertim carmine, maxima cum copia et satis prolixe narrata fuisse necesse est : nam ἄθλους omnes complectebatur liber primus. Quare Panyasin breviter retulisse puto quæ ab aliis jam tractata essent; at fabulas ante ipsum fere neglectas, ut Herculis peregrinationem in Lydia, luxurianti ingenio copiose exornasse. » Nimirum Athenæus (fr. 8 navigationem in Erytheam ex *primo* libro commemorat : quæ res ἄθλους adeo in arctum cogit, ut poeta dissimillimus appareat ei quem ex tertii libri fragmentis cognoscimus, ut tractationis æquabilitas omnis operi ob « disponendi rationem » laudato eripiatur. Nec per se est credibile, illius ætatis poetam sui ingenii impetum, sui operis legem ex aliorum poesi quamvis felici suspendisse. Alia ne addam, videtur apud Athenæum Α abiisse in Δ : eam literam leniter vertere malim quam Heracleam torquere vehementer.

Non possum Aristotelis de hujusmodi argumento judicium præterire : quod verum esse et ex ipsa poeseos natura petitum eventus hodieque probat. Nam per omne tempus scripta sunt et scribuntur ἔπη quæ biographica dixeris. Ea si maximos plausus retulisse narrantur, hoc credas efficere, ut lectores cum admiratione frigeant. Sic igitur Aristoteles, Poetic. c. 8 : Μῦθός ἐστιν εἷς, οὐχ, ὥσπερ τινὲς οἴονται, ἐὰν περὶ ἕνα ᾖ· πολλὰ γὰρ καὶ ἄπειρα τῷ ἑνὶ συμβαίνει· ἐξ ὧν ἐνίων οὐδέν ἐστιν ἕν. Οὕτω δὲ καὶ πράξεις ἑνὸς πολλαί εἰσιν, ἐξ ὧν μία οὐδεμία γίγνεται πρᾶξις. Δι' ὃ πάντες ἐοίκασιν ἁμαρτάνειν, ὅσοι τῶν ποιητῶν Ἡρακληΐδα καὶ Θησηΐδα καὶ τὰ τοιαῦτα ποιήματα πεποιήκασιν· οἴονται γάρ, ἐπεὶ εἷς ἦν ὁ Ἡρακλῆς, ἕνα καὶ τὸν μῦθον εἶναι προσήκειν. Ὁ δὲ Ὅμηρος, ὥσπερ καὶ τὰ ἄλλα διαφέρει, καὶ τοῦτ' ἔοικε καλῶς ἰδεῖν, ἤτοι διὰ τέχνην ἢ διὰ φύσιν. Ὀδυσσείαν γὰρ ποιῶν οὐκ ἐποίησεν ἅπαντα ὅσα αὐτῷ συνέβη, οἷον πληγῆναι μὲν ἐν τῷ Παρνασῷ, μανῆναι δὲ προσποιήσασθαι ἐν τῷ ἀγερμῷ· ὧν οὐδὲν θατέρου γενομένου ἀναγκαῖον ἦν ἢ εἰκὸς θάτερον γενέσθαι· ἀλλὰ περὶ μίαν πρᾶξιν, οἵαν λέγομεν, τὴν Ὀδυσσείαν συνέστησεν.

HERACLEA.

1.

Stephanus Byz. : Βεμβῖνα, κώμη τῆς Νεμέας... Ὁ πολίτης Βεμβινίτης... παρὰ δὲ Ῥιανῷ Βεμβινάτης. Ἔοικεν οὖν (adde ὡς, sed in exemplis quoque

---

Fabula est in se una, non, ut quidam opinantur, si versatur circa hominem unum : multa enim et infinita uni accidunt; ex quorum quibusdam nihil fit unum. Sic etiam actiones unius multæ sunt, ex quibus una nulla fit actio. Quare omnes videntur errare, quicumque poetarum Heracleidem et Theseidem et similia poemata fecerunt. Putant enim, quoniam unus fuit Hercules, unam etiam esse fabulam debere. Homerus vero, sicuti ceteris in rebus eminet, ita hoc quoque videtur recte perspexisse, sive artis seu naturæ beneficio. Odysseam enim quum faceret, non enarravit omnia quæ illi acciderunt, ut in Parnasso vulneratum esse, et insaniam simulasse in delectu; quorum neutrum, si alterum factum esset, fieri necessarium aut verisimile erat : sed de una, qualem diximus, actione Odysseam composuit.

HERACLEA.

1.

Bembina, vicus Nemeæ..... cujus oppidanus Bembinites..... Apud Rhianum vero Bembinates, ut Æginates et

(erratum) Αἰγινάτης καὶ Αἰγινήτης κατὰ τροπὴν, ὡς Πανύασις ἐν Ἡρακλείας πρώτῃ·

Δέρμα τε θήρειον Βεμβινήταο λέοντος·

καὶ ἄλλως·

Καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος.

In quibus mirum est illud καὶ ἄλλως (agnitum etiam codicibus Parisinis), quum alibi epitomator solito more dicat καὶ πάλιν, καὶ αὖθις, ὁ αὐτός. Voluit igitur, si vox integra, *et aliter* (eundem versum efferens); sive correxerit eundem versum Panyasis, sive ita mutatum repetierit alibi. Ceterum de gestamine Herculis dicti, non ex descriptione pugnæ cum leone petiti videntur.

2.

Eratosthenes Cataster. c. 11, Καρκίνος: Οὗτος δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι δι' Ἥραν, ὅτι μόνος, Ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων, ὅτε τὴν Ὕδραν ἀνῄρει, ἐκ τῆς λίμνης ἐκπηδήσας ἔδακεν αὐτοῦ τὸν πόδα, καθάπερ φησὶ Πανύασις ἐν Ἡρακλείᾳ. Θυμωθεὶς δ' ὁ Ἡρακλῆς δοκεῖ τῷ ποδὶ συνθλάσαι αὐτόν. Ad illa, τῶν ἄλλων συμμαχούντων, Heynius: « Qui sunt autem illi? Ex fabula apud Apollodorum (II, 5, 2) et alios satis constat Iolaum fuisse. Quare Galeus, τοῦ Ἰολάου συμμαχοῦντος· Koppiersius, τῶν περὶ Ἰόλαον συμμαχούντων. Vitium tamen exstat etiam ap. Schol. Arati 147 et Phavorin. v. Καρκίνος. » — Interpres Germanici Arateor. p. 51: *Cancer in astris positus esse dicitur, beneficio Junonis; quod quum Hercules cum Hydra ad fontem Lernæum depugnaret, hic cancer Herculis pedem morsu deprehendit, ut Panyasis auctor dicit. Quem iratus Hercules calcatum contrivit, beneficioque Junonis magnis honoribus decoratus est.*

3.

Athen. XI, p. 498, D: Πανύασις τρίτῳ Ἡρακλείας φησί·

Τοῦ κεράσας κρητῆρα μέγαν χρυσοῖο φαεινὸν,
σκύπφους αἰνύμενος θαμέας ποτὸν ἡδὺν ἔπινε.

Probabiliter ex convivio apud Pholum centaurum. Quo sequentia etiam fragmenta referimus ex probabili conjectura O. Mülleri (Dor. II, p. 473).

4.

Stobæus Floril. XVIII, 22:

Ξεῖν' ἄγε δὴ καὶ πῖν'· ἀρετή νύ τις ἔστι καὶ αὕτη,
ὅς κ' ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ
εὖ καὶ ἐπισταμένως, ἅμα τ' ἄλλον φῶτα κελεύῃ.
Ἶσόν θ' ὅστ' ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνὴρ
ὑσμίνας διέπων ταλαπενθέας, ἔνθα τε παῦροι
θαρσαλέοι τελέθουσι, μένουσί τε θοῦρον Ἄρηα·
τοῦ μὲν ἐγὼ θείμην ἶσον κλέος, ὅστ' ἐνὶ δαιτὶ
τέρπηται παρεὼν, ἅμα τ' ἄλλον λαὸν ἀνώγῃ.
Οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς, οὐδὲ βιῶναι
ἀνθρώποιο βίον ταλασίφρονος, ὅστις ἀπ' οἴνου
θυμὸν ἐρητύσας πίνει ποτὸν ἄλλ' ἐνεόφρων.
Οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ,
ἐσθλὸν, ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς.
Ἐν μὲν γὰρ θαλίης ἐρατὸν μέρος, ἀγλαΐης τε,
ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος.
Τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ
πίνειν, μηδὲ βορῆς κεχορημένον ἠΰτε γῦπα
ἧσθαι πλημμύροντα, λελασμένον εὐφροσυνάων.

Abest hic locus ab optimo codice Parisino. V. 5 vulgo male ἔνθα δὲ π. Correxit Brunckius ex suo codice. V. 9 Brunckius tacite ἠὲ βιῶναι, tort. ex eod. V. 11 egregie restituit Valckenarius. Vulgo ἄλλο νεόφρων. Schæferus conjecerat κενόφρων. Versus 12 et 13 sunt apud Suidam v. Οἶνος, 12—18 apud Athenæum II, p. 37, A. V. 13 Athenæus πάσῃ σ. ἀνίῃ, unde Valckenarius πάσῃ σ. ἀοιδῇ. V.

Æginetes dicitur; uti Panyasis libro primo Heracleæ:

Pellisque belluina Bembinetæ leonis;

et aliter:

Et Bembinatæ immanis leonis exuviæ.

2.

Cancer inter sidera relatus esse videtur propter Junonem: solus enim, quum ceteri Herculem in perimenda Hydra adjuvarent, ex palude alacriter egressus illius pedem momordit, ut Panyasis narrat in Heraclea. Hinc ab Hercule irato fertur pede obtritus esse.

3.

Panyasis tertio libro Heracleæ ait:

Hoc (vino) quum ingentem miscuisset craterem auro splendentem,
crebros scyphos capiens suavem potum hauriebat.

4.

Quin bibis, o hospes? non est hæc infima virtus
appositis dapibus calices educere multos
artis ad ingenium, atque alios ad pocla vocare.
Et mensa pariter robur spectatur et armis;
namque ut confertos ductor ruit acer in hostes,
quamvis late alii trepident et bella pavescant:
talis et ille mihi (levior nec gloria) lætus
qui conviva sedens alios ad gaudia cogit.
Ille mihi vita penitus caruisse videtur,
aut certe minime vitalem ducere vitam,
qui vinum fugiens aliis se potibus implet
stultus. Prima hominum generi bona, flamma merumque:
pulsa mero longe cedunt mala; carmina vivunt.
Namque sui partem vino tribuere venustas,
et jocus et festivus amor, mollesque choreæ.
Mente igitur grata Bacchi complectere munus,
et bibe, ne ventrem stipans dape, vulturis instar,
assideas mensæ, lætæ dulcedinis expers. HGR.

14 ἐρατὸν Athen. Ap. Stob. ἱερὸν μ. Versum 15 sequitur apud Stobæum hic,

'Εν δέ τε μὲν θήρης καὶ δυσφροσύνης ἀλεγεινῆς.

De quo recte Grotius : « Aut aliunde infartus est aut a sciolo ascriptus. Neque apud Athenæum quicquam ejus apparet. » V. 16 Athenæi cdd. δεδευμένον, quod Valckenarius prætulit ; codd. δεδεμένον. V. 17 idem Athen. βορῆς κεχορημένον, optime. Stob. βορῇ κεκακωμένον, quod non aptum huic loco. Deinde Athen. ἠΰτε παῖδα, et v. 18 λελησμένον.

5.

Athen. II, p. 37, A : Πανύασις δὲ λέγει (sequuntur versus septem modo positi) ... καὶ πάλιν·

Οἶνος δὲ θνητοῖσι θεῶν πάρα δῶρον ἄριστον,
ἀγλαός· ᾧ πᾶσαι μὲν ἐφαρμόζουσιν ἀοιδαὶ,
πάντες δ' ὀρχηθμοὶ, πᾶσαι δ' ἐραταὶ φιλότητες·
πάσας δ' ἐκ κραδίης ἀνίας ἀνδρῶν ἀλαπάζει.
πινόμενος κατὰ μέτρον· ὑπὲρ μέτρον δὲ χερείων.

V. 1 δὲ omittunt codd. Clemens Alex., qui hunc et postremum versum affert Strom. VI, p. 742, ὡς οἶνος. V. 3 codd. ὀρχησμοὶ, forma non epica. V. 4 codd. κραδίας (καρδίας cod. Par.). Brunckius tacite ἐκ κραδίης ἀνδρῶν ἀλαπάζει ἀνίας. « Conf. Porson. ad Eurip. Phœn. 1334. » *Gaisf.* V. 5 cod. Paris. a me inspectus κατὰ μέτρα. Deinde Clemens ὑπέρμετρος.

6.

Athenæus II, p. 36, D : Πανύασις δ' ὁ ἐποποιὸς τὴν μὲν πρώτην πόσιν ἀπονέμει Χάρισιν, Ὥραις καὶ Διονύσῳ, τὴν δὲ δευτέραν Ἀφοοδίτῃ καὶ πάλιν Διονύσῳ· Ὕβρει δὲ καὶ Ἄτῃ τὴν τρίτην. Πανύασίς φησι·

Πρῶται μὲν Χάριτές τ' ἔλαχον, καὶ εὔφρονες Ὧραι
μοῖραν, καὶ Διόνυσος ἐρίβρομος· οἵπερ ἔτευξαν·
τοῖς δ' ἔπι Κυπρογένεια θεὰ λάχε, καὶ Διόνυσος·
ἔνθα τε κάλλιστος πότος ἀνδράσι γίγνεται οἴνου,
εἴ τις μὲν πίνοι, καὶ ἀπότροπος οἴκαδ' ἀπέλθοι
δαιτὸς ἀπὸ γλυκερῆς, οὐκ ἄν ποτε πήματι κύρσαι.
Ἀλλ' ὅτε τις μοίρης τριτάτης πρὸς μέτρον ἐλαύνοι,
πίνων ἀβλεμέως, τότε δ' Ὕβριος αἶσα καὶ Ἄτης
γίγνεται ἀργαλέα, κακὰ δ' ἀνθρώποισιν ὀπάζει.
Ἀλλὰ, πέπον, μέτρον γὰρ ἔχεις γλυκεροῖο ποτοῖο,
στεῖχε παρὰ μνηστὴν ἄλοχον, κοίμιζε δ' ἑταίρους·
δείδια γὰρ, τριτάτης μοίρης μελιηδέος οἴνου
πινομένης, μή σ' Ὕβρις ἐνὶ φρεσὶ θυμὸν ἀέρσῃ,
ἐσθλοῖσι ξενίοισι κακὴν δ' ἐπιθῇσι τελευτήν.
Ἀλλὰ πιθοῦ, καὶ παῦε πολὺν πότον.

Καὶ ἑξῆς, περὶ ἀμέτρου οἴνου·

Ἐκ γάρ οἱ Ἄτης τε καὶ Ὕβριος αἶσα ὀπηδεῖ.

V. 1 et 2 Hœschelius Πρώτην et ἥνπερ, quibus non opus est. Vulgatum καὶ εὔφρονες correxit Dindorf. V. 4 cod. Par. ποτός. V. 9 Schweighæuserus κύρσας, rotundius; sed alterum non improbo. V. 7 Hœschelii codex ἐλαύνει, et v. 9 κακὰ δ'. Versum 14 hoc modo exhibent codices, ἐσθλοῖς ἐν ξενίοισι κακὴν δ' ἐπιθήσειε τελ. Quæ ita correxit Jacobsius, ἐσθλοῖσι ξενίοισι κακὴν ἐπιθεῖσα τελευτήν· additque Dindorfius: « Aliis fortasse placebit ἐσθλοῖσιν δὲ (s. τε) κακὴν ἐπιθῇ (s. ἐπιθῇς) ξενίοισι τελ. » Quod ipsum minima cum mutatione, transpositione nulla reposui. Iotacismi lapsus ἐπιθῆσει illud ἐπιθήσειε gignere potuit. V. 15 codd. ἀλλ' ἄπιθι. Meinekii correctionem probavit Dindorfius. Cod. Par. ποτόν. Postremo versu non exputo quid sibi velit præpos. ἐκ : nam Ἄτης καὶ Ὕβριος cum αἶσα jungenda sunt, ut v. 8, et ἐξοπηδεῖν vereor ut formari unquam potuerit. Etiam hiatus αἶσα ὀπηδεῖ valde displicet

7.

Schol. Pindari Pyth. III, 177 : Ἔνιοι δὲ τὴν Θυώνην ἑτέραν τῆς Σεμέλης λέγουσιν εἶναι, τροφὸν τοῦ Διονύσου, ὥσπερ Πανύασις ἐν τρίτῳ Ἡρακλείας,

---

5.

Rursusque idem :

Vinum optimum est munus a diis datum mortalibus,
luculentum : vinum sequuntur omnes cantiones,
saltationes omnes, omnes amabiles amplexus.
Vinum omnes ex hominum corde molestias pellit,
modice si bibitur; supra modum, noxium est.

6.

Panyasis, epicus poeta, primam potionem Gratiis adscribit, Horis et Baccho; secundam Veneri, ac denuo Baccho; Contumeliæ vero et Noxæ tertiam. Ejus hæc sunt verba :

Primæ Gratiæ sortitæ sunt et hilares Horæ
partes, et Bacchus strepitum amans, qui (vinum) pa-
post hos Cypria dea sortita est et Bacchus. [rarunt :
Et tum quidem optima est hominibus potio vini,
quum quis, postquam bibit, domum versus abit
dulcibus ab epulis : damnum non unquam acceperit.
At si quis ad tertiæ portionis mensuram excurrit,
bibens impotenter; tum Contumeliæ sors et Noxæ
incumbit gravis, et mala sequuntur homines.
Tu igitur, o bone! sat enim habes dulcis liquoris,
abi castam ad uxorem, et cubitum mitte sodales :
vereor enim, tertiam si mellei vini portionem [excitet,
bibere aggrederis, ne tibi Contumelia spiritus intus
et honestis hospitalibusque epulis malam finem impo-
Audi me, inquam, et multo potui pone modum. [nat.

Rursusque, de immodico vini usu :

Nam sequitur eum Noxæ et Contumeliæ sors.

7.

Nonnulli Thyonen aliam esse dicunt ac Semelen : nu

Καί ῥ' ὁ μὲν ἐκ κόλποιο τροφοῦ θόρε ποσσὶ Θυώνης.

Quod Mercurium ex Hymno Homerico in mentem vocat. In iisdem de potu sermonibus hunc versum alicubi lectum fuisse admodum probabiliter statuit Müllerus.

8.

Athen. XI, p. 469, D: Πανύασις δ' ἐν πρώτῳ Ἡρακλείας παρὰ Νηρέως φησὶ τὴν τοῦ Ἡλίου φιάλην κομίσασθαι τὸν Ἡρακλέα καὶ διαπλεῦσαι εἰς Ἐρύθειαν. Dubitationem de libri numero significavi supra. In epitome hæc prorsus omissa sunt. De partibus Nerei in hac fabula conf. Heynium ad Apollodor. p. 170 sq. Macrobius Saturn. V, 21, p. 147: *Poculo autem Herculem vectum ad* Ἐρύθειαν, *Hispaniæ insulam, navigasse et Panyasis, egregius scriptor Græcorum, dicit, et Pherecydes auctor est: quorum verba subdere supersedi, quia propiora sunt fabulæ quam historiæ.*

9.

Schol. Q Homeri Odyss. M, 301: Πανύασις φύλακα τῶν Ἡλίου βοῶν Φυλάκιόν (cod. Vindob. Φύλαιόν) φησι γενέσθαι.

10.

Clemens Alex. Proptr. c. 2, 36, p. 31: Ναὶ μὴν καὶ τὸν Ἀϊδωνέα ὑπὸ Ἡρακλέους τοξευθῆναι Ὅμηρος λέγει, καὶ τὸν Ἠλεῖον Αὐγέαν Πανύασις ἱστορεῖ. Ἤδη δὲ καὶ τὴν Ἥραν τὴν ζυγίαν ἱστορεῖ ὑπὸ τοῦ αὐτοῦ Ἡρακλέους ὁ αὐτὸς οὗτος Πανύασις « ἐν Πύλῳ ἠμαθόεντι. » Ubi Heynius ad Apollodor. p. 161, correxit τὸν Ἥλιον αὐτὸν Παν., a Müllero quoque probatus. Codex Collegii novi, non Ἠλεῖον, sed καὶ τὸν ἡλίου Αὐγέαν, unde Potterus τὰς ἡλίου αὐγὰς Π. De re Apollodorus Bibl. II, 5, 10, 5: Θερμαινόμενος δὲ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν, τὸ τόξον ἐπὶ τὸν θεὸν ἐνέτεινον. Quod jam ad Panyasin auctorem referri licet.

11.

Interpres Germanici Aratecr. p. 42: *Draconem immensæ magnitudinis, hortorum custodem insomnem, dum a Junone ad custodienda aurea mala esset constitutus, Hercules, quum ad mala aurea profectus fuisset, ut refert Panyasis in Heraclea, fertur peremisse.* Hyginus Poetic. Astron. II, 6, p. 369 Munck.: *Engonasin. Hunc Eratosthenes Herculem dicit supra draconem collocatum, ...eumque paratum ut ad decertandum, sinistra manu pellem leonis, dextra clavam tenentem, conatum interficere draconem Hesperidum, qui nunquam oculos operuisse somno coactus existimatur, quo magis custos appositus esse demonstratur. De hoc etiam Panyasis in Heraclea dicit.* Eadem apud Eratosthenem nostrum cap. 4, sed sine poetæ nomine. V. Schaubach. p. 76 sq. Avienus multis narrat hæc de Dracone imagine,

cujus latuit quoque causa laboris,
Panyasi sed nota tamen, cui longior ætas
eruit excussis arcana exordia rebus,

v. 169-193.

12.

Pausanias X, 29, 4: Πανύασις δὲ ἐποίησεν ὡς Θησεὺς καὶ Πειρίθους ἐπὶ τῶν θρόνων παράσχοιντο σχῆμα οὐ κατὰ δεσμώτας, προσφυὲς δὲ ἀπὸ τοῦ χρωτὸς ἀντὶ δεσμῶν σφίσιν ἔφη τὴν πέτραν. Ex eo loco petitum ubi Herculis descensum ad inferos descripsit: et intelligi videtur ex hac Thesei commemoratione copiose illum fuisse exornatum.

13.

Idem IX, 11, 1: Ἐπιδεικνύουσι δὲ (Thebani) Ἡρακλέους τῶν παίδων τῶν ἐκ Μεγάρας μνῆμα, οὐδέν τι ἀλλοίως τὰ ἐς τὸν θάνατον λέγοντες ἢ Στησίχορος ὁ Ἱμεραῖος καὶ Πανύασις ἐν τοῖς ἔπεσιν ἐποίησαν. Θηβαῖοι δὲ καὶ τάδε ἐπιλέγουσιν ὡς Ἡρακλῆς ὑπὸ τῆς μανίας καὶ Ἀμφιτρύωνα ἔμελλεν ἀποκτιννύναι, et reliqua, quæ non narrabantur a Panyaside. Vulgo legebatur οὐδέν τι ὁμοίως, pro quo Bekkerus ex optimo cod. Paris. aliorumque vestigiis posuit ἀλλοίως.

14.

Idem X, 8, 5: Πανύασις δὲ ὁ Πολυάρχου πεποιηκὼς εἰς Ἡρακλέα ἔπη, θυγατέρα Ἀχελῴου τὴν Κασταλίαν φησὶν εἶναι· λέγει γὰρ δὴ περὶ τοῦ Ἡρακλέους,

---

mirum nutricem Bacchi, ut Panyasis in tertio libro Heracleæ:

Atque ille ex sinu nutricis Thyones pedibus exsiliit.

8.

Panyasis autem, primo (?) libro Heracleæ ait, a Nereo accepisse Herculem Solis phialam, eaque transnavigasse in Erytheam.

9.

Solis boum custodem Panyasis fuisse dicit Phylacium (*al.* Phylæum).

10.

Quin etiam Plutonem sagittis petitum esse ab Hercule refert Homerus, et Eleum Augeam [*emenda*, et ipsum Solem] refert Panyasis. Qui Junonem quoque conjugalem esse vulneratam refert ab eodem Hercule « in Pylo arenosa. »

12.

Panyasis in carmine suo finxit Theseum et Pirithoum in sedibus non alligatorum speciem ostendisse, sed quasi agnatum corpori ipsorum adhæsisse saxum pro vinculis.

13.

Thebani ostendunt etiam Herculis ex Megara liberûm sepulcrum, non alio modo de eorum morte narrantes atque Himeræus Stesichorus et Panyasis in carminibus retulerunt.

14.

Panyasis autem, Polyarchi filius, in eo carmine, quod de Hercule fecit, Acheloi filiam fuisse Castaliam perhibet. Sic enim de Hercule loquens scripsit:

Παρνησὸν νιφόεντα θοοῖς διὰ ποσσὶ περήσας,
ἵκετο Κασταλίης Ἀχελωΐδος ἄμβροτον ὕδωρ.

Hæc Müllerus (Dor. I, p. 436) ad illud iter refert, quod Hercules suscepit Delphos, ut expiaretur a deo.

15.

Clemens Alex. Protrept. c. 2, 36, p. 30: Πανύασις πρὸς τούτοις καὶ ἄλλους παμπόλλους ἀνθρώποις θεοὺς λατρεῦσαι ἱστορεῖ, ὧδέ πως γράφων·

Τλῆ μὲν Δημήτηρ, τλῆ δὲ κλυτὸς Ἀμφιγυήεις·
τλῆ δὲ Ποσειδάων, τλῆ δ' ἀργυρότοξος Ἀπόλλων
ἀνδρὶ παρὰ θνητῷ θητευέμεν εἰς ἐνιαυτόν·
τλῆ δὲ καὶ ὀβριμόθυμος Ἄρης ὑπὸ πατρὸς ἀνάγκης,

καὶ τὰ ἐπὶ τούτοις. « Quibus solabatur aliquis servitutem Herculis. » Müller. l. c. V. 3 editiones θητευσέμεν. V. 4 mirum ni ἀνάγκῃ scripserit Panyasis.

16.

Schol. Apollonii Rh. IV, 1149: Πανύασις δέ φησιν, ἐν Λυδίᾳ νοσήσαντα Ἡρακλέα τυχεῖν ἰάσεως ὑπὸ Ὕλλου τοῦ ποταμοῦ· ὅς ἐστι τῆς Λυδίας· διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ὕλλους ὀνομασθῆναι. Sed schol. Homeri Il. Ω, 616, de his, ἀμφ' Ἀχελώϊον: Τινὲς « ἀμφ' Ἀχελήσιον· » ποταμὸς δὲ Λυδίας, ἐξ οὗ πληροῦται Ὕλλος· καὶ Ἡρακλέος νοσήσαντος ἐπὶ τῶν τόπων, ἀναδόντων αὐτῷ θερμὰ λουτρὰ τῶν ποταμῶν, τοὺς παῖδας Ὕλλον ἐκάλεσε καὶ τὸν ἐξ Ὀμφάλης Ἀχέλητα, ὃς Λυδῶν ἐβασίλευεν. Εἰσὶ δὲ καὶ νύμφαι Ἀχαλήτιδες (sic), ὥς φησι Πανύασις. Qui non videtur de duobus Hyllis locutus esse, quos ad eum refert scholiastes Apollonii. In Homerico scholio scribe Ἀκελ—. Stephanus Byz.: Ἀκέλη, πόλις Λυκίας. Οἱ πολῖται Ἀκελῆτες, τὸ θηλυκὸν Ἀκελῆτις. Ἔοικε δὲ λέγεσθαι ἀπὸ Ἀκέλου τοῦ Ἡρακλέους καὶ Μαλίδος παιδὸς, δούλης τῆς Ὀμφαλίδος, et quæ sequuntur. De fluvio Ἀκέλης loci grammaticorum in HSt. Thes. Paris. p. 1181, A.

17.

Stephanus Byz.: Τρεμίλη· ἡ Λυκία ἐκαλεῖτο οὕτως· οἱ κατοικοῦντες, Τρεμιλεῖς, ἀπὸ Τρεμίλου, ὡς Πανύασις·

Ἔνθα δ' ἔναιε μέγας Τρέμιλος, καὶ ἔγημε θύγατρα
νύμφην Ὠγυγίην, ἣν Πραξιδίκην καλέουσι,
Σίβρῳ ἐπ' ἀργυρέῳ, ποταμῷ παρὰ δινήεντι·
τῆς δ' ὀλοοὶ παῖδες, Τλῷος, Ξάνθος, Πίναρός τε,
καὶ Κράγος, ὃς κρατέων πάσας ληΐζετ' ἀρούρας.

V. 3 cod. Vratislav. σίμβρῳ, v. 4 τμῷος. Codd. Parisini duo τιμῷος ξανθός τε πίναρος. Sed v. Strabonem XIV, p. 665 980, B, C. « Quos Tremili filios sine dubio occidisse narrabatur Hercules in sequentibus. » Müller.

18.

Schol. Euripidis Alc. 1: Ἀπολλόδωρος δέ φησι κεραυνωθῆναι τὸν Ἀσκληπιὸν ἐπὶ τῷ τὸν Ἱππόλυτον ἀναστῆσαι, Ἀμελησαγόρας δὲ, ὅτι Γλαῦκον· Πανύασις, ὅτι Τυνδάρεων. Apollodorus Bibl. III, 10, 3: Εὗρόν τινας λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ (Æsculapio) Καπανέα καὶ Λυκοῦργον· ὡς δὲ Στησίχορός φησιν, Ἐριφύλην· Ἱππόλυτον, ὡς ὁ τὰ Ναυπακτικὰ συγγράψας λέγει· Τυνδάρεων, ὥς φησι Πανύασις.

Hæc, Müllero observante, ex eo loco desumpta esse videntur, ubi expeditio contra Hippocoontem narrabatur tyrannum Spartæ, quam illo expulso Tyndareo tradidit.

19.

Clemens loco supra fr. 10 citato: Καὶ τὴν Ἥραν τὴν ζυγίαν ἱστορεῖ (τοξευθῆναι) ὑπὸ Ἡρακλέους ὁ Πανύασις « ἐν Πύλῳ ἠμαθόεντι. » Ubi Aidoneum vulneratum ex Homero memoraverat. Sed Arnobius Adv. gentes IV, 25: *Non ex vobis Panyasis unus est, qui ab Hercule Ditem patrem, et reginam memorat sauciatam esse Junonem?* » V. dicta et citata a Müllero Dor. I, p. 444 sq.

Parnassi ut celeri pede saxa nivalia liquit,
Castaliæ tetigit juges Acheloidos undas.

15.

Panyasis autem, præter hos, alios quoque plurimos deos refert serviisse hominibus, sic scribens:

Passa Ceres; passusque insignis Mulciber, estque
passus Neptunus, passusque est Phœbus Apollo
mortali ipse suas operas mercede locare:
passus Marsque ferox, irato a patre coactus.

16.

Panyasis narrat Herculem in Lydia sanatum esse ab Hyllo fluvio Lydiæ. Quare Hyllos vocasse duos filios.

Acelas fluvius est Lydiæ, in Hyllum influens. In his regionibus quum Hercules morbo correptus esset, fluvii illi calida lavacra emiserunt. Quare filios suos, alterum Hyllum vocavit, alterum ex Omphale (*alii*, ex Malide, Omphalæ ancilla), Aceletem, qui postea Lydis imperavit. Sunt etiam « Nymphæ Aceletides, » quarum meminit Panyasis.

17.

Tremile, sic Lycia vocabatur. Incolæ, Tremilenses, a Tremilo, ut Panyasis:

Hic vero habitabat magnus Tremilus, uxoremque duxit filiam
nympham Ogygiam, quam Praxidicam vocant,
ad Sibrum argenteum, juxta verticosum fluvium,
ex qua exitiales filii, Tlous, Xanthus et Pinarus,
et Cragus, qui potens omnes prædabatur terras.

18.

Æsculapium fulmine percussum esse, quia Tyndareum a mortuis excitaverit, narrat Panyasis; alii alios nominant, ut Capaneum, Eriphylen, Hippolytum.

19.

Panyasis Junonem quoque conjugalem sagittis petitam esse refert ab Hercule « in Pylo arenosa. »

20.

Stephanus Byz. v. Ἀσπὶς, p. 60, 23: Ἔστι καὶ πέραν Πίσης, ὡς Πανύασις ἐν Ἡρακλείας ἑνδεκάτῃ. In undecimo igitur libro (inquit Müllerus Dor. II, p. 474) narratus fuisse videtur Hercules Olympios ludos instituere.

21.

Schol. Homeri Il. A, 591, p. 45, 17: Βηλὸς ...ἀπὸ τοῦ βεβηκέναι ...καὶ Πανύασις δὲ τὰ πέδιλα « βηλὰ » λέγει. Quod corruptum apud alios grammaticos: v. Heyn. ad locum Homeri, G. Dindorf. ad HSt. Thes. vol. 2, p. 229, C.

22.

Apollodorus I, 5, 2: Πανύασις δὲ Τριπτόλεμον Ἐλευσῖνος (παῖδα) λέγει· φησὶ γὰρ Δήμητραν πρὸς αὐτὸν ἐλθεῖν. Ad Ἰωνικὰ referre malit Müllerus.

23.

Idem III, 14, 4: Πανύασις δέ φησι (Adonidem filium esse) Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν. Αὕτη κατὰ μῆνιν Ἀφροδίτης (οὐ γὰρ αὐτὴν ἐτίμα) ἴσχει τοῦ πατρὸς ἔρωτα· καὶ συνεργὸν λαβοῦσα τὴν τροφὸν, ἀγνοοῦντι τῷ πατρὶ νύκτας δώδεκα συνευνάσθη. Ὁ δὲ ὡς ᾔσθετο, σπασάμενος ξίφος, ἐδίωκεν αὐτήν· ἡ δὲ, περικαταλαμβανομένη, θεοῖς ηὔξατο ἀφανὴς γενέσθαι. Θεοὶ δὲ κατοικτείραντες αὐτὴν εἰς δένδρον μετήλλαξαν, ὃ καλοῦσι σμύρναν. Δεκαμηνιαίῳ δὲ ὕστερον χρόνῳ, τοῦ δένδρου ῥαγέντος, γεννηθῆναι τὸν λεγόμενον Ἄδωνιν· ὃν Ἀφροδίτη διὰ κάλλος ἔτι νήπιον, κρύφα θεῶν, εἰς λάρνακα κρύψασα, Περσεφόνῃ παρίστατο. Ἐκείνη δὲ, ὡς ἐθεάσατο, οὐκ ἀπεδίδου. Κρίσεως δὲ ἐπὶ Διὸς γενομένης, εἰς μοίρας διῃρέθη ὁ ἐνιαυτός· καὶ μίαν μὲν παρ' ἑαυτῷ μένειν τὸν Ἄδωνιν, μίαν δὲ παρὰ Περσεφόνῃ προσέταξε, τὴν δὲ ἑτέραν παρὰ Ἀφροδίτῃ. Ὁ δὲ Ἄδωνις ταύτῃ προσένειμε καὶ τὴν ἰδίαν μοῖραν. Quæ Heynius ex Ἰωνικοῖς esse statuit p. 327, « forte ubi de urbis Smyrnæ originibus egit. Ex eodem poeta petita esse arbitror ea quæ scholiastes Lycophr. 829 memorat de Myrrha, cumque sequitur ipse Lycophron eo loco.» Præterea Hesychius: Ἠοίην, τὸν Ἄδωνιν. Πανύασις. Müllerus p. 474: « Quod si ex Heraclea petitum est, a Panyaside derivari licebit quod narratur de Hercule Adonidem contemnente, cujus signum esse οὐδὲν ἱερόν (in qua voce Hesych. et Suid., schol. Theocr. V, 21). »

24.

Athen. IV, p. 172, D: Πεμμάτων δὲ πρῶτόν φησι μνημονεῦσαι Πανύασιν Σέλευκος ἐν οἷς περὶ τῆς παρ' Αἰγυπτίοις ἀνθρωποθυσίας διηγεῖται, « πολλὰ μὲν ἐπιθεῖναι λέγων πέμματα, πολλὰς δὲ νοσσάδας ὄρνις, » προτέρου Στησιχόρου ...εἰρηκότος κτλ. In incertis posui, licet mihi quoque vero non absimilia disseruisse videatur Müllerus (Dor. II, p. 472): « Fieri potest ut cum expeditione in Hesperidas Panyasis primus conjunxerit Ionum narrationem, qualis est apud Herodotum II, 45, de Hercule immolando. Busirin an noverit, non traditur: Pherecydes novit. » Quod ita dixit Bodius (Hist. poes. Græcæ vol. I, p. 508): « *Pugnam cum Ægyptio Busiride cecinit.* » Sed poterat in Ionicis quoque, carmine Odysseæ dimidiam partem æquante, oblata esse de Ægyptiorum ἀνθρωποθυσίᾳ dicendi occasio.

25.

Probus ad Virgilii Ecl. II, 24: *Pamnyasis* (sic) *et Alexander lyram* (Amphioni) *a Mercurio muneri datam dicit, quod primus Cynaram liberaverit.* Sic editiones, nisi quod ab Georgio Fabricio excusum video *Panyasis.* Codex bibl. Regiæ, recens tamen ille: *Panocus et Alex. lyram a M. m. d. d., quod primus exianara liberavit.* De matre ab Lyci insidiis liberata non est cogitandum, ob vocabulum *primus.* Mythographus Vatic. alter, c. 74, p. 100, 6 ed. Bod.: « Quorum Zethus

---

20.

Exstat etiam locus ultra Pisam Aspis dictus, cujus Panyasis libro undecimo Heracleæ meminit.

21.

Panyasis calceos βηλὰ dicit.

22.

Panyasis Triptolemum fuisse dicit Eleusinis filium; et ad eum venisse Cererem.

23.

Panyasis Adonidem Thiantis esse filium dicit, Assyriorum regis, qui filiam habebat Smyrnam. Hæc per iram Veneris, quam nullis honoribus afficiebat, amore in patrem correpta est; et nutricis opera adjuta, cum patre imprudente duodecim noctibus concubuit. Qui ut rem rescivit, evaginato gladio eam persecutus est. Filia, quum in eo esset ut corriperetur, ab diis petiit ut e conspectu evanesceret. Dii miseriti eam in arborem mutarunt, quam smyrnam (myrrham) vocant. Post decem menses arborem ferunt ruptam edidisse Adonidem qui dicitur. Eum Venus, quia pulcherrimus erat, infantem clam diis in arca absconditum Proserpinæ commendavit: quæ, ut conspexerat, reddere noluit. Judicio igitur de hac re Jovi mandato, in partes divisus est annus, quarum unam apud se transigere Adonidem jussit, alteram apud Proserpinam, tertiam apud Venerem. Verum Adonis suam quoque partem Veneri addidit.

Eœen, Adonidem.

24.

Bellaria Seleucus narrat primum memorasse Panyasin in iis quæ de victimis humanis apud Ægyptios mactatis refert; hos enim illis imposuisse bellaria multa, multas ex nidis aves.

rusticus, Amphion vero, lyra a Mercurio *promerita*, musicæ exstitit peritus. Qui matris injurias vindicaturi, » etc. Meritum Amphionis apud Pausaniam invenio, IX, 5, § 4 : Μυρὼ δὲ... Ἑρμῇ βωμόν φησιν ἱδρύσασθαι πρῶτον Ἀμφίονα, καὶ ἐπὶ τούτῳ λύραν παρ' αὐτοῦ λαβεῖν. Hoc ipsum narraverant illi apud Probum, ut jam perspicue apparet; verba liquido restitui non possunt, quia paullo plura referri videntur quam ex Pausania scimus.

Barkerus inter Panyasidis fragmenta retulit versum ap. Etymologum M. p. 266, 15:

Δηρὸν βουλεύειν, ἵν' ἔχῃ καὶ πολλὸν ἄμεινον,

suasu Gaisfordi ad Hesiodum p. 93 ed. Lips. Is igitur, quum præmitterentur versui illi hæc verba, ἔνθα καὶ πᾶσι, « codex Dorvillii, inquit, ἐν καὶ π^{θ} ^{α}; Præclare igitur Sylburgius : ἔνθεν καὶ Πανύασις. » Mihi et versus ipsius κόμμα et codicis compendium παροιμίαν monstrare videbantur, quum hoc ipsum, ἔνθεν καὶ παροιμία, ex Gudiano codice annotari deprehenderem.

Jam e manibus dimiseram quaternionem præcedentem, quum in Jacobsii conjecturam inciderem, quæ præteriri non debebat in v. 13 fragmenti 4. « Utramque lectionem (inquit vir egregius ad Anthol. Palat. p. 670) conciliare licet scribendo, πάσῃ συνοπηδὸν ἀδείῃ· quod vinum ærumnis et timore, quo animus cruciatur, exsolvit securitatemque tribuit. »

Ionica Panyasidis elegiaco metro scripta fuisse, nobis non magis credibile est quam Ulricio (Hist. poes. Gr. I, p. 505); sed ex codicis Gronoviani scriptura manci et turbati illo loco nihil efficitur, neque effecit Nækius quod temere illi tribuit Bodius I, p. 509, not. 5. Ulricii novam sententiam de *Pisandri* ætate non retulimus, quia et alia ei refragari videbantur, et hæc apertissime, Πανύασις σβεσθεῖσαν τὴν ποιητικὴν ἐπανήγαγε.

CHOERILI SAMII

FRAGMENTA.

Etiam in hoc poeta fundamentum quæstionis sunt verba Suidæ: Χοιρίλος, Σάμιος, τινὲς δὲ Ἰασέα, ἄλλοι δὲ Ἁλικαρνασέα ἱστοροῦσι. Γενέσθαι δὲ κατὰ Πανύασιν τοῖς χρόνοις· ἐπὶ δὲ τῶν Περσικῶν, Ὀλυμπιάδι οε', νεανίσκον ἤδη εἶναι. Δοῦλόν τε Σαμίου τινὸς αὐτὸν γενέσθαι, εὐειδῆ πάνυ τὴν ὥραν· φυγεῖν τε ἐκ Σάμου καὶ Ἡροδότῳ τῷ ἱστορικῷ παρεδρεύσαντα λόγων ἐρασθῆναι· οὗτινος αὐτὸν καὶ παιδικὰ γεγονέναι φασίν. Ἐπιθέσθαι δὲ ποιητικῇ, καὶ τελευτῆσαι ἐν Μακεδονίᾳ παρὰ Ἀρχελάῳ τῷ τότε αὐτῆς βασιλεῖ. Ἔγραψε δὲ ταῦτα· τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου· ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε, καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη. Λαμιακά, καὶ ἄλλα τινὰ ποιήματα αὐτοῦ φέρεται. Samium fuisse Chœrilum extra dubitationem positum est. Alia quædam testimonia videbis infra. Halicarnassensis dici poterat ab iis, qui Herodoti auditorem et delicias perhiberent. Iasum in tempus mittamus. Quum per Panyasidem ejus ætas definiatur, quærendum quot fere annis illo junior fuisse existimandus sit: nam junior erat. Olympiade septuagesima quinta sive anno 479 si adolescens erat, primum Herodoti deliciæ non poterat esse anno 484 nati; deinde ad Archelaum non venire ante annum ætatis septuagesimum octavum; cum Lysandro autem debebat esse senex fere nonagenarius, idque κοσμήσων, ut sperabat Lysander, τὰς πράξεις αὐτοῦ διὰ ποιητικῆς. « Hinc sequitur (inquit Nækius p. 24) ut falsum sit quod dixit Suidas, Chœrilum jam adolescentem fuisse Olympiade 75. Caussas erroris primas nemo nunc dispiciet. Potest in carmine Chœrili fuisse unde colligeretur poetam tum, quum Græciam invaderet Xerxes, adolevisse. Quomodocumque de caussis erroris statuamus, facilius accidere potuit ut annum adolescentiæ Chœrili aliquis falso poneret, quam ut longa de vita Chœrili fingeretur et continua narratio, temporum Chœrili calculis prorsus adversa. » Jam igitur, per tempus quidem, Chœrili cum Herodoto commercium admitti poterit; nisi (quod potius crediderim) fictum esse dicas ex utriusque viri studio simillimo Græcorum magna gesta celebrandi. Nækio, pensitatis omnibus, videtur Chœrilus natus esse olympiade 77 fere ineunte, vel a. Chr. 472. Hoc si statueris, in reliquis nulla difficultas: sunt autem illa quæ de Lysandro et Archelao Chœrilum secum esse volentibus narrantur. Plutarchus, Vita Lysandri c. 18: Σάμιοι δὲ τὰ παρ' αὐτοῖς Ἡραῖα Λυσάνδρια καλεῖν ἐψηφίσαντο· τῶν δὲ πολιτῶν Χοιρίλον μὲν ἀεὶ περὶ αὐτὸν εἶχεν, ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς. Quem locum rectissime cepit Nækius p. 46--49. Lysander quum brevi post prœlium ad Ægos flumen frustra oppugnavisset Samum (olymp. 93, 4), postea capta Athenarum urbe et longis muris eversis, expugnavit, veteres cives constituit et administrationem rerum composuit (ol. 94, 1). Hinc magnum Samiorum studium in Lysandrum; qui civem ipsorum, poeseos fama maxima florentem, se comitari voluit, spe ductus fore ut ipsius quoque splendide facta carminibus celebraret. Verba τῶν δὲ πολιτῶν arcte cum superioribus jungenda; et omnia bene procedunt: τῶν δὲ ποιητῶν si præferas, male hæc juncta reperies. Ex Parisinis codicibus quattuor hoc exhibent, ab iis illatum qui *poetæ* quam *civis* nomen huic loco aptius esse crederent. Πολιτῶν servavit codex 1671 (Wyttenbachio *A*): quem alia quoque sincera offerre memini, in altero codice optimo 1672 (Wytt. *E*) eadem scripta Plutarchi complectente jam vitiata. Post Sami expugnationem illi, quos Plutarchus narrat, honores Lysan-

Chœrilus, Samius: quem nonnulli Iasensem, alii vero Halicarnassensem fuisse tradunt; æqualem Panyasidis, et adolescentem jam belli Persici temporibus, olympiade septuagesima quinta. Idem servus fuisse traditur Samii cujusdam, forma pulcherrima præditus: et Samo profugus, quum Herodoto historico operam daret, literarum amore captus esse: Herodoti etiam amasium fuisse dicunt. Animum autem ad poeticam appulisse, et in Macedonia obiisse apud Archelaum, tunc illius terræ regem. Scripsit vero hæc: Victoriam Atheniensium de Xerxe: pro cujus poematis singulis versibus aureum staterem accepit; et decretum fuit, ut poema illud cum Homeri carminibus recitaretur. Lamiaca, et alia quædam ejus poemata feruntur.

dro a Samiis habiti sunt. « Itaque circa hoc tempus (ol. 93, 4 et 94, 1) cum Lysandro versatus est Chœrilus. ... Jure vero dubites, an non ultra olympiadis 94 annum primum cum Lysandro fuerit Chœrilus. Non videtur cum illo Spartam abiisse, sed potius ex Samo in Macedoniam profectus esse, olymp. 94, 2 vel anno insequente (fere 402 a. Chr.); aliis de caussis, an sola Archelai invitatione inductus, nescimus.» Apud Archelaum lautissime habebatur; narrat Ister apud Athen. VIII, p. 345, D: Ἴστρος δέ φησι, Χοιρίλον τὸν ποιητὴν τέσσαρας μνᾶς ἐφ' ἡμέρᾳ λαμβάνοντα ταύτας καταναλίσκειν εἰς ὀψοφαγίαν, γενόμενον ὀψοφάγον. « Chœrilum ab Archelao *quotidie, in singulos dies,* accepisse quattuor minas (quod græca verba sonant), alius credat, non ego. Semel tantam pecuniam, ab Archelao acceptam, diei spatio in obsonia expenderit.» *Nækius* p. 88. Mortuus est ante annum 399, quo obiit Archelaus. (Conf. Ritschelii Specimen de Agathone p. 4 sqq.) Denique inter Thucydidis æquales Chœrilum recenset Marcellinus in Vita Thuc.

Carmen ejus, *Atheniensium victoria de Xerxe,* Περσηΐς, decretum fuisse ut cum Homeri carminibus publice recitaretur (Panathenæis), minime est incredibile : sed accepisse poetam versuum singulorum præmium staterem aureum (18 fere libras monetæ Gallicæ), illud vero rerum publicarum florentium moribus prorsus est contrarium : quod de Alexandri M. comite Chœrilo narratur (Horat. Epist. II, 1, 233 et scholl.), istam fabellam peperit. Vide Nækium p. 82—86, 89—92.

Lamiaca dispici non potest quale argumentum habuerint nisi bellum Lamiacum : quod si ita est, fieri nequit ut ad Samium referantur. Nækius (p. 101) ad Alexandri M. comitem retulit. Idem Chœrilus Iasensis videtur fuisse, ut Fabricius statuit, consentiente Nækio (p. 40 sqq.) : sed ex Stephani Byz. loco aperte corrupto nihil in hac re potest confici : Ἰασσός. .... Ὁ πολίτης Ἰασσεύς, ἀφ' οὗ Χοιρίλλος ἐὼν Ἰασσεύς. Sic etiam codd. Parisini. Strabo XIV, p. 658, inter claros Iasenses non recenset Chœrilum. Cetera carmina, ab nonnullis abjudicata, ut videtur, Chœrilo (φέρεται), Suidas non nominat. Sine dubio erratum in his Eudociæ, Persica prætereuntis : Ἔγραψε δὲ ἐπιστολὰς πολλὰς, καὶ ἐπιγράμματα, καὶ κωμῳδίας. Conf. Næk. p. 101 sq.

De Chœrili dictione, novo in epica poesi argumento, Perseidis ambitu Nækius ex tenuissimis quæ supersunt indiciis eleganter et probabiliter judicavit p. 59 sqq., 78 sqq., 92 sqq. Quorum summa huc redit. Chœrilum non longe abfuisse ab Homeri simplicitate, sed oratione usum magis figurata, adeo, ut ab reconditioribus quoque rebus exempla peteret, vel talia poneret quæ non ab omni parte essent propria. Rerum descriptionem fuisse uberem et copiosam; dispositionem fere Homericam; summum momentum in pugna Salaminia.

Platonis tempore gloria maxime floruisse Chœrilum docet Procli locus in Antimacho ponendus. Deinde Aristoteles in poeseos præceptis tradendis ejus aliquoties meminit : v. frag. 1 et 2. De exemplis ejus, quod supra indicatum est, ita scribit, Top. VIII, 1, fin. : Εἰς δὲ σαφήνειαν παραδείγματα καὶ παραβολὰς οἰστέον· παραδείγματα δὲ οἰκεῖα καὶ ἐξ ὧν ἴσμεν, οἷα Ὅμηρος, μὴ οἷα Χοιρίλος. Sed Alexandrinis temporibus aperte deprimebatur Chœrilus, efferebatur Antimachus ; cujus rei caussas et effectus optime explicuit Nækius p. 96 sqq. Quamquam non sine lite quadam et dissensione id factum apparere videtur ex Cratetis grammatici epigrammate, ambiguitatis malitiosissimæ pleno :

Χοιρίλος Ἀντιμάχου πολὺ λείπεται· ἀλλ' ἐπὶ πᾶσι
χοιρίλον Εὐφορίων εἶχε διὰ στόματος, κτλ.

Octo quæ sequuntur fragmenta et duodecimum sine dubio ex Perseide sumpta : de reliquis certo statui non potest.

1.

Aristot. Rhetor. III, 14, 4 : Ἔτι δ' ἐκ τῶν δικανικῶν προοιμίων· τοῦτο δ' ἐστιν, ἐκ τῶν πρὸς τὸν ἀκροατὴν, εἰ περὶ παραδόξου λόγος, ἢ περὶ χαλεποῦ, ἢ περὶ τεθρυλημένου πολλοῖς, ὥστε συγγνώμην ἔχειν, οἷον Χοιρίλος·

Νῦν δ' ὅτε πάντα δέδασται.

Ipsos versus ex Græcis Commentariis eruit Victorius, nuper ex codice produxit Gaisfordius in edit. Rhetorices p. 448 sq. (quod ex Nækii libello in fr. 12 citato didici) :

Ἆ μάκαρ, ὅστις ἔην κεῖνον χρόνον ἴδρις ἀοιδῆς,
Μουσάων θεράπων, ὅτ' ἀκήρατος ἦν ἔτι λειμών·

1.

Judicialia proœmia, id est, ea forma, quæ ad auditorem refertur, si de re incredibili sermo est, aut de difficili, aut de re inter omnes pervagata, quo veniam dent auditores : quale hoc est Chœrili :

Ah felix, quicunque erat illo tempore peritus carminis,
Musarum famulus, quando illibatum adhuc erat pratum :

νῦν δ' ὅτε πάντα δέδασται, ἔχουσι δὲ πείρατα τέχναι,
ὕστατοι ὥστε δρόμου καταλείπομεθ'· οὐδέ πη ἔστι
πάντη παπταίνοντα νεοζυγὲς ἅρμα πελάσσαι.

Hæc pro Perseidis initio haberi posse putat Nækius : neque abesse gratiam ab hac novandi audacia dixerim; sed recte judicat Hermannus præcessisse quædam. Cum v. 1 Nækius comparat hoc Theognidis v. 1015 :

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος κτλ.

Ap. Victor. ἀοιδῶν, quod ἀοιδέων scribendum; sed cod. Gaisf. ἀοιδῆς, quod prætulit Nækius. V. 2 Victorius ediderat ἀκείρατος, tacite mutatum a Scaligero. De codice nihil annotat Nækius : nam Gaisfordi librum ad manus non habeo. Osannus (Auctar. Lex. p. 8) illud tueri conatur, argumentis non ex re petitis. Quod in HSt. Thesauro ex cod. Barocc. citatur, Ἀκείρατον, τὸ ἄκοπον, quid valeat nescio, quum ceteras glossas ejus codicis ignorem. V. 3, ἔχουσι δὲ πείρατα τέχναι. « His verbis hic sensus inest, ut Chœrilus non solum conqueratur de exhausta ab antiquioribus Epicis epici carminis materia, sed etiam de eo, quod poeseos genera, inter se separata et discreta, suos quodque sibi fines, suum dominium vindicaverint, quum antiquis poetis epicis quolibet evagari et nullam materiam non licuisset aggredi. Respexit autem Ch. etiam his verbis se suumque conamen. Phrynicho, Æschylo fas erat res Persicas, easque recentissimas, tractare. An idem poetæ liceret epico, ea vero erat quæstio. » *Nækius*. V. 4 Victor. οὐδέ τοι. Nækii conjecturam ab Hermanno commendatam, Gaisfordi codice firmatam recepimus. Idem codex ἔστι, « quod præstat atque accommodatius est » futuro ἔσται apud Victorium.

2.

Herodianus Περὶ μονήρ. λέξ. p. 13, 4 : Ἀρέθουσα κρήνη κυρίως· ἀλλὰ καὶ πᾶσαι κρῆναι κατ' ἐπιθετικὴν ἔννοιαν οὕτω καλοῦνται, ὑπὸ τοῦ ἄρδην ἴσως σχηματισθεῖσαι. Ὁ γοῦν Χοιρίλος ἐν α' Περσικῶν·

Παρὰ δὲ κρήνας ἀρεθούσας
μυρία φῦλ' ἐδονεῖτο, πολυσμήνοισι μελίσσαις
[εἴκελοι].

Ita hæc scripsi, ut sine ambagibus patefaciam quomodo intellexerim. Ingentes copiæ Xerxis circa fontes discurrebant, velut apum examina (circa flores). Ex descriptione itineris copiarum in Asia petitum puto, ex loco de commoratione Celænis. Herodotus VII, 26, 27 : Οἱ δὲ, ἐπεί τε διαβάντες τὸν Ἅλυν ποταμὸν ὡμίλησαν τῇ Φρυγίῃ, δι' αὐτῆς πορευόμενοι, παρεγένοντο ἐς Κελαινάς· ἵνα πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου ποταμοῦ καὶ ἑτέρου οὐκ ἐλάσσονος ἢ Μαιάνδρου. ... Ἐν ταύτῃ τῇ πόλι ὑποκατήμενος Πύθιος ὁ Ἄτυος, ἀνὴρ Λυδὸς, ἐξείνισε τὴν βασιλέος στρατιὴν πᾶσαν ξεινίοισι μεγίστοις, καὶ αὐτὸν Ξερξέα. Quæ sine dubio non neglexerat Chœrilus : et in his illi versus locum habere poterant commodissime.

H. Düntzerus, cujus libellum (*Fragmenta poeseos epicæ Græcorum usque ad Alexandri M. tempora. Collegit H. D.* Coloniæ, 1840), quum in his versarer, accepi, quomodo intellexerit verba μυρία φῦλ' ἐδονεῖτο πολυσμήνοισι μελίσσαις, exputare non possum : scripsit autem p. 97 : « Ad hæc refero quæ scholiastes Apollonii I, 212, memorat ... (de raptu Orithyiæ flores legentis ad Cephissi fontes, fr. 5). » De apibus cepit μυρία φῦλα, sed constructionem lectori reliquit expediendam. Deinde mirum si Chœrilus in primo libro de Orithyiæ raptu narraverit. — His scriptis, in Nækii libello, quo ad fr. 12 utendum erat, p. 4, hæc dicta vidi : « Descriptio est regionis cujusdam Atticæ. » Nihil præterea addidit vir præstantissimus : quem quid in Atticam hoc loco deferre potuerit, non dispicio. De scriptura hoc monendum, παρά (quod sæpe accidit) ita pictum in codice ut nescias an non περί voluerit librarius. Idem φιλεδονεῖτο.

Nækius secundum fragmentum duxerat ex Aristotelis loco in fr. 1 posito, Ἡγεό μοι λόγον ἄλλον κτλ. (Cyclicorum fragmenta p. 586), quæ Chœrili esse non possunt : v. Welckerum de Cyclo epico p. 313 sq.

3.

Strabo VII, p. 303=464, A : Καλεῖ δὲ καὶ (Ἔφορος) Χοιρίλον εἰπόντα ἐν τῇ διαβάσει τῆς σχεδίας, ἣν ἔζευξε Δαρεῖος·

---

nunc vero, quum omnia distributa sunt, et fines suos habet ars quæque,
tanquam ultimi in cursu, relinquimur : nequaquam licet,
in omnes partes circumspicienti, novo more junctum currum adigere.

2.

Arethusa etiam de quovis fonte adjective dicitur, fortasse ab ἄρδην formatum, quod est *sursum*. Chœrilus in primo libro Persicorum :

Circa fontes Arethusas
infinitæ copiæ agitabantur, magno examine volantibus apibus (similes).

3.

Citat Ephorus Chœrilum, qui in transitu ratis, qua Darius mare junxit, hæc posuerit :

Μηλονόμοι δὲ Σάκαι, γενεῇ Σκύθαι, αὐτὰρ ἔναιον
Ἀσίδα πυροφόρον· νομάδων γε μὲν ἦσαν ἄποικοι,
ἀνθρώπων νομίμων.

Sic correxit Causaubonus codicum scripturam ἦσαν ἄνθρωποι ἀποίκων νομίμων. « Distinxi post ἄποικοι. Sacæ ex mente Chœrili fuerunt cognati et coloni Scytharum, quos quidem Scythas cum ceteris antiquissimis scriptoribus in Europa posuit et *nomades* appellat et ἀνθρώπους νομίμους, id est δικαιοτάτους ἀνθρώπων, ut Homerus nobili loco, Iliad. N. 6, quem manifesto innuit Chœrilus.» *Nækius,* qui plura p. 121 sqq. Sacæ in exercitu Xerxis erant: v. Herodot. VII, 64, 96, 184 et alibi; apud Thermopylas memorantur Diodoro XI, 7. Darii ratem, qua Bosporum Thracium junxit, vel pontem Istricum si intelligas cum Strabone, maximæ difficultates oriuntur, expositæ a Nækio p. 127 sq., qui de his recte statuit hunc in modum : « Ephorus nihil scripserat nisi hæc: Χοιρίλος ἐν τῇ διαβάσει τῆς σχεδίας, vel similiter, non addito Xerxis nomine, quum Chœrili carmen de Xerxe tum in manibus esset omnium, et proinde nemo de alia quam Xerxis rate cogitare posset. Strabo, qui Chœrili carmine vel plane non utebatur, vel certe tum Ephori disputationem excerpere satis habebat, Chœrili rerum immemor, dum Ephorum excerpebat, parum opportune Darii illam ratem recordatus, inseruit verba, ἣν ἔζευξε Δαρεῖος. Potuit autem facile hoc accidere Straboni, ut animo Scythicis rebus repleto, in quibus totus Ephori locus versaretur, etiam Scythica Darii expeditio male occurreret. ... Præterea id quoque memoria dignum, quod sine hoc fragmento non satis constaret, recensionem populorum Persicorum ibi insertam fuisse ab Chœrilo, ubi exercitus per Hellespontum transitum describeret. Qua in re discessit ab Herodoto. Ac bene discessit, ut poeta. Quippe nihil dabatur aptius et magis magnificum, quam Asiæ populos recensere eo temporis momento, quo per pontem, immensum et plus quam humanum opus, ex Asia in Europam transirent, spectante e littoribus rege. Conf. Herodot. VII. 56.» Multo probabilius hæc disputata sunt quam quæ opposuit H. Ulricius (Hist. poes. Gr. vol. I, p. 508 sq.): Chœrilum, Athenienses potissimum in carmine suo celebrantem, quum caussas belli exponeret, etiam Marathoniam pugnam descripsisse videri et structum secundum nonnullos a Dario pontem Hellesponti: quo eodem Xerxem quoque usum finxerit.

4.

Josephus Contra Apionem I, p. 454 Haverc.: Καὶ Χοιρίλος δὲ ἀρχαιότερος γενόμενος ποιητὴς μέμνηται τοῦ ἔθνους ἡμῶν, ὅτι συνεστράτευται Ξέρξῃ τῷ Περσῶν βασιλεῖ ἐπὶ τὴν Ἑλλάδα. Καταριθμησάμενος γὰρ πάντα τὰ ἔθνη, τελευταῖον καὶ τὸ ἡμέτερον ἐνέταξε λέγων

Τῶν δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ἰδέσθαι,
γλῶσσαν μὲν Φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες,
ᾤκεον δ' ἐν Σολύμοις ὄρεσιν, πλατέῃ ἐπὶ λίμνῃ·
αὐχμαλέοι κορυφὰς, τροχοκουράδες· αὐτὰρ ὕπερθεν
ἵππων δαρτὰ πρόσωπ' ἐφόρευν ἐσκληκότα καπνῷ.

Δῆλον οὖν ἐστιν, ὡς οἶμαι, πᾶσιν ἡμῶν αὐτὸν μεμνῆσθαι, τῷ καὶ τὰ Σόλυμα ὄρη ἐν τῇ ἡμετέρᾳ εἶναι χώρᾳ, ἃ κατοικοῦμεν, καὶ Ἀσφαλτῖτιν λεγομένην λίμνην· αὕτη γὰρ πασῶν τῶν ἐν Συρίᾳ λίμνη πλατυτέρα καὶ μείζων καθέστηκεν. Καὶ Χοιρίλος μὲν οὕτω μέμνηται ἡμῶν. Similiter Eusebius Præpar. evang. IX, 9, p. 241=412, ultima ita dicens: Δῆλον δ' ἐστὶν ὅτι περὶ Ἰουδαίων αὐτῷ ταῦτ' εἴρηται, ἐκ τοῦ καὶ τὰ Ἱεροσόλυμα ἐν τοῖς παρ' Ἕλλησι Σολύμοις ὀνομαζομένοις ὄρεσι κεῖσθαι, πλησίον δὲ εἶναι τὴν Ἀσφ. λίμνην, πλατυτάτην οὖσαν κατὰ τὸν ποιητὴν καὶ μείζονα πασῶν τῶν ἐν Συρίᾳ λιμνῶν. V. 1 τῶν Euseb.; edd. Josephi τῷ δ'. V. 2 ᾤκουν δ' Euseb. editus; codices Parisini duo, quorum varietatem mecum benigne communicavit vir ill. Maximilianus de Seguier, ᾤκεον δ', quod posuit Nækius. Apud Jos. variatur, codd. Hafn. et Big. ᾤκεε δ', ed. pr. ᾤκεεθ', al. ᾠκέετ', ᾠκεῖν τ', ᾤκουν τ'. V. 3 ἐπὶ λ. cod. Hafn. Josephi, ap. quem ἐνὶ λ. Euseb. παρὰ λ. V. 4 Euseb. κεφαλὰς

Pastores ovium, Scythica de gente creati,
Asida triticeam clarorum habitare coloni
integritate Sacæ Nomadum.

4.

Quin et Chœrilus ex antiquioribus poetis de gente nostra meminit, quod cum Xerxe Persarum rege expeditionis in Græciam particeps fuerit. Quum enim gentes omnes enumerasset, novissimam nostram posuit, dicens,

Exin miranda specie gens castra secuta est,
Phœnicum ignoto quæ voces ederet ore. [tum,
Hæc Solymos habitans montes stagnum prope vas-
circumtonsa comis, squalenti vertice, equini
exuvias capitis duratas igne gerebat.

Palam ergo est, sicut arbitror, omnibus, nostri illum meminisse, quod et Solymi montes in nostra regione sint, in quibus habitamus, et palus quæ dicitur Asphaltitis : hæc enim omnium quæ in Syria sunt latissima et maxima. Et Chœrilus quidem ita nostri meminit. *Vel ut Eusebius* : Ac Judæos quidem his ab eo verbis esse designatos inde constat, quod et Hierosolyma in montibus iis quos Solymos Græci vocant sita est, et prope abest ab Asphaltitide palude, quæ, ut poeta loquitur, latissima est omniumque Syriæ paludum maxima.

Joseph. τροχοκουρίδες. V. 5 uterque ἐφόρουν. Ἐφόρευν, supra ᾤκεον Nækius, quem v. p. 147 sqq.

De Judæis loqui poetam Nækius pervicit, sed ita ut videri debeat vel aliorum populorum propria quædam transtulisse in illos, vel horum in alium quendam: nam nomen populi non addit. Lingua Phœnicia et habitationis locus unà memorata non intelligi de Judæis non possunt; in orbem tonsi erant Phœnices et Arabes, non Judæi; quod notare debuisse Josephum recte dixit Salmasius. Postremum de equorum capitibus fumo siccatis, quæ pro galeis sibi imponebant, Herodotus, et ipse in recensione copiarum (VII, 70), narrat de Æthiopibus Asiaticis. Cui Nonnum Dion. XXVI, 340 sqq. addit Nækius in libello fr. 12 memorato.

5.

Schol. Apollonii Rhod. I, 212, de Orithyiæ raptu veterum narrationes recensens, memoratis Simonide, Stesichoro, Pherecyde: Χοιρίλος δὲ ἁρπασθῆναι αὐτὴν ἄνθη ἀμέλγουσαν (vulgari verbo, ut sæpe, schol. Paris. ἐκλέγουσαν) ὑπὸ τὰς τοῦ Κηφισσοῦ πηγάς. Ex quibus Hermannus hunc versum effici posse animadvertit,

Ἄνθε' ἀμέργουσαν πηγὰς ὑπὸ Κηφισσοῖο.

Nisi *Cephissum* pro *Ilisso* scripsit scholiastes, quæ Nækii (p. 153) valde probabilis sententia est. Idem: « Haud dubie eodem loco atque eadem occasione Boreæ et Orithyiæ mentionem fecerat Chœrilus, qua eam fabulam insertam legimus ab Herodoto (VII, 189). Boreæ operam, qua adjuvisset Athenienses, fortasse splendida narratione descripsit Chœrilus, ceteroqui parcus, ut videtur, in adhibendis diis. »

6.

Hesychius: Σαμιακὸς τρόπος ... Δίδυμος δέ, τὰς σαμαίνας ἰδιαιτέραν παρὰ τὰς ἄλλας ναῦς τὴν κατασκευὴν ἔχειν· εὐρύτεραι μὲν γάρ· εἰσι τὰς γαστέρας· τοὺς δὲ ἐμβόλους σεσίμωνται (sic Schneiderus pro σεσήμανται: codex σεσήμονται), ὡς δοκεῖν ῥύγχεσιν ὑῶν ὁμοίως κατεσκευάσθαι, οἷον ἰχθυπρώρους (ὑοπρ. Vales. et Salm.) εἶναι. Διὸ καὶ ἐπὶ ταύτης λέγεται·

Νηῦς δέ τις ὠκύπορος Σαμίη, συὸς εἶδος ἔχουσα.

Photius Lex.: Σαμιακὸν τρόπον· ... ὑοὶ γὰρ ἐμφερεῖς εἶχε τὰς πρώρας τὰ τῶν Σαμίων πλοῖα, ὡς Χοιρίλοχος (sic) ὁ Σάμιος. Obversabatur librario Κρατῖνος Ἀρχιλόχοις, quod modo exaraverat. In versu ap. Hesych. scribebatur ναῦς... Σαμία, ὑὸς ... « Nescio an aptior nostro fragmento sedes inveniri non possit quam in ea narratione quæ est apud Herodotum IX, 90, et apud Diodorum XI, 34; ubi Samiorum legatos in Delum insulam venisse narratur, Græcorum pro Ionia auxilium imploraturos. Hanc igitur fortasse narrationem et librum ultimum ita exorsus est Chœrilus. » *Nækius.*

7.

Stobæus Floril. XXVII, 1: Χοιρίλου Περσηίδος (sic etiam Arsenius Dresdensis Ms.)·

Ὅρκον δ' οὔτ' ἄδικον χρεὼν ἔμμεναι οὔτε δίκαιον.

« Persam loquentem audire tibi videaris, vel poetam de Persis, quos veritatis fuisse studiosissimos testantur multi. » *Nækius.*

8.

Athenæus XI, p. 464, A: Παραιτητέον δ' ἡμῖν τὰ κεραμεᾶ ποτήρια. Καὶ γὰρ Κτησίας, Παρὰ Πέρσαις, φησὶν, ὃν ἂν βασιλεὺς ἀτιμάσῃ, κεραμεοῖς χρῆται. Χοιρίλος δ' ὁ ἐποποιός φησιν·

Χερσὶν [δ'] ὄλβον ἔχω, κύλικος τρύφος ἀμφὶς ἐαγὸς,
ἀνδρῶν δαιτυμόνων ναυάγιον, οἷά τε πολλὰ
πνεῦμα Διωνύσοιο πρὸς Ὕβριος ἔκβαλεν ἀκτάς.

Dubitabat Nækius an hæc non sint ex Perseide, « quia longe longeque excedant epicum modum. » Ab altera parte et Ctesiæ mentio et additum ὁ ἐποποιὸς, non additum nomen carminis tanquam vel unici vel celeberrimi, monstrare videntur Perseidem. Et eximie, nobis judicibus, conjecit Hermannus, potuisse hæc a Xerxe victo

---

5.

Chœrilus Orithyiam raptam dicit flores legentem ad Cephissi [*Ilissi?*] fontes.

6.

Samiæ naves peculiari et diversa ab aliis structura unt: latiores habent ventres, et rostra sima vel recurva, ut cum suum rostris comparari possint, prora tanquam piscis caput referente. Quare de tali nave dicitur (a Chœrilo Samio):

Navis quædam celeriter vehens Samia, suis speciem habens.

7.

Injuste justeve, nefas jurare putandum est.

8.

Repudianda autem sunt nobis pocula fictilia. Etenim Ctesias, Apud Persas, inquit, quemcumque rex ignominia affecit, is fictilibus utitur. Chœrilus vero, poeta epicus, dicit:

Manibus opes (meas) teneo, calicis testam undique fractam,
virorum epulantium naufragium; qualia multa
ventus Bacchi in Petulantiæ ejicit littora.

dici. Sed præcedentia quum perierint, de primis verbis non satis certo statui potest. *En manibus teneo opes meas*, quæ terras et maria brevi ante impleverant, *fracti populi frustum*, etc. Lucem hæc acciperent si sciremus quo habitu, quæ agentem in fuga pinxerit poeta Xerxem, si sunt Xerxis. Δ' addidit Hermannus ob versum. Toupius conjecit χερσὶν ἄνολβον ἔχω κύλικος τρύφος, receptum a Schweighæusero et Düntzero; quod hoc loco nescio quid elumbe sonat. Felicior erat Nækii conatus, χερσὶν | ὄλβον ἄνολβον ἔχω. V. 3 codices ἔκβαλ' ἄνακτος, quod luculenter correxit Guil. Canterus. Conf. Panyasidis fr. 6. Metaphoras plures, quæ apud alios poetas vel scriptores poetici coloris amantes habentur singulæ, Chœrilus in unam imaginem eamque splendidissimam feliciter conjunxit. Paraphrasin infra posui.

9.

Simplicius In Aristotelis Phys. VIII, f. 276, b: ... ὅμοιόν ἐστιν ἐκείνῳ τῷ λόγῳ τῷ περὶ τοῦ, τὸν συνεχῆ τοῦ ὕδατος σταλαγμὸν κοιλαίνειν τὴν πέτραν.

Πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ,

φησὶν ὁ Χοιρίλος. Sine nomine poetæ atque ut proverbialem versum commemorat Galenus De temperam. III, 4, vol. 3, p. 84, C; De locis aff. I, 2, vol. VII, p. 387, A; alii scriptores multi ad eum respicere videntur.

10.

Diogenes Laert. I, 24, de Thalete: Ἔνιοι δὲ καὶ αὐτὸν πρῶτον εἰπεῖν φασιν ἀθανάτους τὰς ψυχάς· ὧν ἐστι Χοιρίλος ὁ ποιητής.

11.

Tzetzes Commentario in Hermogenem ap. Ruhnken. ad Longin. p. 235 ed. Weisk. et Walzium Rhetorum vol. III, p. 651:

Καὶ πόρρω δὲ λαμβάνονται, ὥσπερ ποιεῖ Χοιρίλος,
καλῶν τοὺς λίθους « γῆς ὀστᾶ », τοὺς ποταμοὺς « γῆς φλέβας. »

« Chœrilum Samium decent hæc metaphorica, quem figurato sermone delectatum fuisse constet ... Ac quominus referantur ad Persica, nihil impedit; immo aliquid persuadet. Nam rem tam levem nisi ex magno quodam et celebri carmine non enotaturi fuissent et propagaturi. Nec tamen Chœrilum credemus ὀστέα et φλέβας *terræ* simpliciter dixisse saxa et flumina, sed moderate ea metaphora usus est. » *Nækius.*

12.

Suidas: Μᾶσσον, μεῖζον, μακρότερον.

Ἐπὶ πρὸ δὲ μᾶσσον ἐπ' ἄκρου
Αἰγάλεω θυμόεντος, ἄγων μέγαν ὑετὸν, ἔστη.

Nækii de his dicta in Indice prælectt. hibernarum Bonnens. 1827, repeto integra, quia paucis versare eos libellos contingit. « Non scribam ἐπιπρὸ in hac sede versus. Addo eadem legi e Suida apud Favorinum, et partem loci, ἄγων ... ἔστη, recurrere apud Suidam v. Ὑετός, ubi male vulgo ἄγον. De Xerxe poetam loqui, qui spectaturus erat pugnam Salaminiam (ex Ægaleo, Atticæ colle e regione Salaminis, Herodot. VIII, 90 Toupius Emend. in Suid. part. II, vol. I, p. 398 sq. Ox. accurata explicatione docet: illud animadvertendum Buttmanno reliquit, Chœrilum esse hunc poetam. Θυμόεντος epitheton non erat sollicitandum a viris doctis (θυόεντος conjicientibus). Μᾶσσον, ut solent hi poetæ frusta colligere de mensa Homerica, ex unico Homeri loco, Od. Θ, 203, desumpsit Chœrilus. Quamquam usos esse eo vocabulo etiam alios poetas epicos ante Chœrilum probabile est. Præterea quod olim monui, usum esse Chœrilum oratione figurata, hoc quoque loco comprobatur. Verum, ut dicam quod sentio, hoc loco tam vehementer figurata est, ut modum excesserit poeta. Nam de deo hoc dici, Jove, sive qui alii pluviam immittere solent, ἄγων μέγαν ὑετὸν, consentaneum est: at pugnam aut agmen ὑετὸν dici simpliciter, id paullo durius. Neque *pluvia* per se satis apta: præstaret νέφος aut χειμῶνα. Quare ego comparationem Xerxis cum aliquo deo ex eorum numero, qui pluviam faciunt, præcessisse conjicio: unde lucem capiebat audax metaphora. Ceterum de variis, quæ tum circumferebantur in Græcia, narrationibus, de sella in qua ibi consedisset

---

(*Quæ imagines hac paraphrasi explicari possunt*: En opes meas, quasi fracti calicis testam, fragmentum ex naufragio (vasorum) ab epulatoribus excitato; cujusmodi multa vehemens ebrietas petulantiæ scopulis allidit, i. e. ad petulantiam progressa frangit).

9.

Saxum cavat gutta cadentis aquæ assiduitate, ait Chœrilus.

10.

Sunt qui Thaletem primum animas immortales dixisse referant: ex quibus est Chœrilus poeta.

11.

Chœrilus lapides dixit « ossa terræ; » et fluvios, « terræ venas. »

12.

(Chœrilus, de Xerxe:)

Ulterius vero progressus, in summo vertice Ægalei thymo abundantis, adducens ingentem pluviam, stetit.

Xerxes; de platano aurea, sub qua consedisse cum Xerxe Draconem, acutissimo visu hominem, Ptolemæus Hephæst. in Photii Bibl. p. 148, 5, auctor est: de his omnibus quantum in suam rem converterit Chœrilus, incertum est. »

13.

Servius in Excerptis ex codice G apud Burmannum, ad Virg. Georg. I, 482: *Thesias* (*Ctesias*) *hunc* (Eridanum fluvium) *in Media esse, Chœrilus in Germania, in quo flumine Edion* (*Phaethon*) *exstinctus est.* Esse poterant in mentione Eridani apud Chœrilum, unde grammaticus efficeret in Germania positum esse a poeta. Nækii de hoc loco observationibus in Indice prælectt. hibernarum Bonnens. 1838 propositis frui non dabatur.



ANTIMACHI

FRAGMENTA.

Antimachus, Hyparchi filius (secundum Suidam), a plurimis Colophonius, sed a Cicerone (Bruto c. 51) et Ovidio (Trist. I, 6, 1) *Clarius poeta* appellatur. Hinc jure statuere videntur Clari natum, patriæ nomen duxisse a vicina urbe nobiliore, in qua habitasse eum et maximam ætatis partem degisse ex aliis testimoniis fit probabile. « Atque idem, inquit Schellenbergius, contigisse videtur Nicandro, quem plures Colophonium vocant, quamvis ipse in fine Theriacorum Κλάρον νιφόεσσαν πολίχνην patriam suam nuncupaverit. Quod quidem eo verisimilius est, quum Apollinis oppidum Colophoniorum ditioni subjectum fuerit, unde deus ipse nonnunquam Colophonius dicitur. V. Spanhem. ad Callimachi H. in Apoll. v. 70. »

Tempus quo vixit quum alii produnt, tum Apollodorus apud Diodorum XIII, 108, narrato fine belli Peloponnesiaci hoc modo pergentem: Μικρὸν δὲ τῆς εἰρήνης ὕστερον ἐτελεύτησε Δαρεῖος ὁ τῆς Ἀσίας βασιλεύς ... τὴν δ' ἡγεμονίαν διεδέξατο τῶν υἱῶν ὁ πρεσβύτερος Ἀρταξέρξης (Mnemon) ... ὃν δὴ χρόνον καὶ Ἀντίμαχον τὸν ποιητὴν Ἀπολλόδωρος ὁ Ἀθηναῖος (in Chronicis) φησὶν ἠνθηκέναι. Floruit igitur circa annum 405 a. Chr. Suidas nihil certi de Antimacho annotatum invenit, qui scripserit: Ἀντ. ..., γραμματικὸς καὶ ποιητής. Τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι. Ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου. Γέγονε δὲ πρὸ Πλάτωνος. In quibus mirabile est Antimachum Panyasidis simul et Stesimbroti auditorem vocari: quorum alter, ut supra dictum, anno 457 exstinctus esse videtur, alter Pericli superstes erat, si premere volumus verba Athenæi XIII, p. 589, E. Sed « grammatici (ut Nækii verbis utar de Chœrilo p. 21 sq.) hominibus inclytis magistros quærunt inclytos, et sine magistro esse vix ullum patiuntur. Ita nonnunquam factum est, ut magistros et discipulos dixerint eos, inter quos illud doctrinæ commercium fuisse vel non probabile est, vel esse non potuisse demonstrari potest. » Panyasin in antiquæ poeseos epicæ imitatione excepit Antimachus: nam Chœrilum, ut vidimus, non agnoscebant grammatici. Stesimbroti studia Homerica (v. Wolf. Proleg. in Hom. p. CLXII) in caussa fuisse videntur, ut Antimacho darent magistrum.

De vita Antimachi ex teste certo, in *Lydes* fragmentis ponendo, hoc solum didicimus, poetam Lydes sive amicæ sive uxoris amore correptum, in Lydiam, Sardes ut videtur, se contulisse; qua mortua rediisse Colophonem et elegiacis carminibus scribendis dolorem fefellisse. Præterea Plutarchus in Vita Lysandri (c. 18) hæc narrat: Ἀντιμάχου τοῦ Κολοφωνίου καὶ Νικηράτου τινὸς Ἡρακλεώτου ποιήμασι Λυσάνδρια (in Samo) διαγωνισαμένων ἐπ' αὐτῷ (Lysandro judice), τὸν Νικήρατον ἐστεφάνωσεν· ὁ δὲ Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. Πλάτων δὲ νέος ὢν τότε καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ, βαρέως φέροντα τὴν ἧτταν ἀνελάμβανεν καὶ παρεμυθεῖτο, τοῖς ἀγνοοῦσι κακὸν εἶναι τὴν ἄγνοιαν, ὡς τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν. Et apud Ciceronem, Bruto c. 51, § 191: *Nec enim posset idem Demosthenes dicere, quod dixisse Antimachum, Clarium poetam, ferunt; qui quum, convocatis auditoribus, legeret eis magnum illud quod novistis volumen suum, et eum legentem omnes præter Platonem reliquissent, « Legam, inquit, nihilo minus: Plato enim mihi unus est omnium millium. »* Quibus statim subjiciamus de eodem Platone

---

Suidas: Antimachus, grammaticus et poeta. Sunt qui servum fuisse retulerint Panyasidis poetæ, sed prorsus fallunt. Erat enim auditor ejus, similiter ac Stesimbroti. Vixit ante Platonem.

Plutarch. Lys.: Quum Antimachus Colophonius et Niceratus quidam Heracleota in Lysandri festo carminibus certarent, Lysander, judex certaminis, Niceratum coronavit. Quod tam ægre tulit Antimachus, ut carmen suum aboleret. Plato autem, illo tempore juvenis, admirans Antimachi facultatem poeticam, solabatur poetam, qui se superatum dolebat, et hoc dicto erexit, inscitis malum esse ipsam inscitiam, ut cæcitatem iis qui non vident.

Antimachi studioso Heraclidæ Pontici testimonium gravissimum, servatum a Proclo, Comment. in Plat. Tim. I, p. 28 med.: Εἴπερ τις ἄλλος καὶ ποιητῶν ἄριστος κριτὴς ὁ Πλάτων. ... Ἡρακλείδης γοῦν ὁ Ποντικός φησιν ὅτι τῶν Χοιρίλου τότε εὐδοκιμούντων Πλάτων τὰ Ἀντιμάχου προὐτίμησεν, καὶ αὐτὸν ἔπεισε τὸν Ἡρακλείδην εἰς Κολοφῶνα ἐλθόντα τὰ ποιήματα συλλέξαι τοῦ ἀνδρός. Μάτην οὖν φληναφοῦσι Καλλίμαχος καὶ Δοῦρις, ὡς Πλάτωνος οὐκ ὄντος ἱκανοῦ κρίνειν ποιητάς. Notum igitur et testatum erat Platonis de Antimacho judicium; ac sine dubio cum aliis ejusdem viri in re poetica apud Alexandrinos multum jactabatur. Quæ res si ad narrationes illas Plutarchi et Ciceronis adhibetur, non potest quin suspicionem augeat ex illarum comparatione sponte oborientem. Iis enim si credimus, Plato bis auditor erat Antimachi, primum quum juvenis esset viginti quattuor annorum, deinde quum vir fama maxima florens; bis solabatur Antimachum ipse solus. Sami autem adfuisse Platonem anno 404, Athenarum victorem sectatum, nihil in ceteris documentis loquitur; Lysandriis, Samiorum novo festo et quasi privato, certasse Antimachum ipso illo anno, quem tanquam floris ejus annotat Apollodorus, victum etiam ab Nicerato *quodam* (fortasse eodem, in quem ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα dictum Thrasymachi memorat Aristoteles Rhetor. III, 11), sane non credibile est. Insunt autem alia quoque in his narrationibus, quæ fictas esse, fortasse non sine ironia, ex cognito illo Platonis judicio et Antimacheæ poeseos doctæ nec popularis indole demonstrent. Luculenter de ea re exposuit Welckerus, de Cyclo epico p. 105 sqq., in quo capite scepsin agnosco sanissimam et judicium ex ipsa rei natura ductum, quamquam ne memoratum quidem a Bodio in Historia poeseos Græcæ (vol. I, p. 515).

Antimachus viam a Chœrilo monstratam non est persecutus, sed doctrinæ et ingenii vim omnem ad veteres mythos reflexit. Homeri, cujus carmina scriptis illustravit et emendavit, studio innutritus (v. Tatian. Adv. Græcos p. 269, A ed. Bened.; Wolf. Proleg. p. CLXXXI sqq.), epos ingens, *Thebaidem*, composuit. De cujus ambitu hæc Porphyrion ad Horatii A. P. 136: *Antimachus fuit Cyclicus poeta. Hic aggressus est materiam, quam sic extendit, ut XXIII volumina impleverit antequam septem duces usque ad Thebas produceret.* Hoc per se videri potest incredibile: interim certo testimonio constat, narrationem de epulis quibus Adrastus domi suæ excepit duces collectos, exstitisse in libro quinto; deinde ex fragmentis hoc effici potest, poetam in itinere exercitus pingendo ad mythos locorum, quos ille transiit, esse digressum. Quare, etiamsi non tenemus numerum illum Porphyrionis, latissime tractata fuisse omnia et quam possint plurima ex mythis congesta apparet. Horatii versum de Homero, qui

reditum Diomedis ab interitu Meleagri

non orditur, ad Thebaidem refert Acron (ad A. P. 136). Et hos ipsos fuisse terminos carminis (ut observat Welckerus de Cyclo ep. p. 103 sq.), pro certo haberi potest: nam Meleagri mors in caussa erat, cur post Melanis filiorum OEneo insidiatorum cædem Tydeus ex patria abigeretur; Diomedis reditu plane implentur promissa Adrasti de reducendis generis. Et Epigonorum res complexam esse Thebaidem, scholiastæ Aristophanis etiam error monstrare videtur, ad Pacis v. 1269, ἀρχὴ τῶν Ἐπιγόνων Ἀντιμάχου, quum sit Alcmæonidis initium. Fortasse illa pars Thebaidis immensæ separatim ferebatur nomine Ἐπιγόνων, et hac de caussa prius periit. Nam paucissima ex ea servata sunt, indicia tamen non ita tenuia, ut Epigonos cecinisse Antimachum sine temeritatis periculo neges. Adde quæ diximus ad fragm. 34.

Tractationem rerum mythographicam fuisse, ipsa fragmenta ostendunt: hinc cyclici poetæ ingenium veteres in eo agnovisse demonstravit Welckerus. Quintilianus Inst. X, 1, § 53: *In Antimacho vis et gravitas et minime vulgare eloquendi genus habet laudem. Sed quamvis ei secundas fere* (post Homerum) *grammaticorum consensus deferat; et affectibus, et jucunditate, et dispositione, et omnino arte deficitur, ut plane manifesto appareat, quanto sit aliud proximum esse, aliud secundum.* Dispositionis Antimacheæ, quæ mythos ex mythis sereret, quasi specimen superesse credo in garruli descriptione apud Plutarchum. Unus, inquit (p. 513, A, B), interrogatus, Intusne Socrates? respondet tanquam invitus, Non est; alius paullo humanior, respondet, Non est intus, sed ad mensas: ὁ δὲ περιττὸς καὶ ἀδολέσχης, ἄν γε δὴ τύχῃ καὶ τὸν Κολοφώνιον ἀνεγνωκὼς

Proclus: Poetarum quoque, si quis alius, optimus judex erat Plato. Heraclides enim Ponticus eum narrat, quum illo tempore Chœrili carmina in summo honore haberentur, prætulisse scripta Antimachi: adeo ut ipsi Heraclidæ suaderet, proficisceretur Colophonem et conquireret hujus viri poemata. Frustra blaterant ergo Callimachus et Duris, quasi Plato non esset idoneus judicandis poetis.

Ἀντίμαχον (*præsertim si legit Antimachum*), Οὐκ ἔνδον, φησίν, ἀλλ' ἐπὶ ταῖς τραπέζαις, ξένους ἀναμένων Ἴωνας, ὑπὲρ ὧν αὐτῷ γέγραφεν Ἀλκιβιάδης περὶ Μίλητον ὢν καὶ παρὰ Τισσαφέρνῃ διατρίβων, τῷ τοῦ μεγάλου σατράπῃ βασιλέως, ὃς πάλαι μὲν ἐβοήθει Λακεδαιμονίοις, νῦν δὲ προστίθεται δι' Ἀλκιβιάδην Ἀθηναίοις· ὁ γὰρ Ἀλκιβιάδης ἐπιθυμῶν κατελθεῖν εἰς τὴν πατρίδα, τὸν Τισσαφέρνην μετατίθησι, κτλ. Quid videtur? scio non dicturum fuisse Plutarchum, *Garrulus, præsertim si legit Antimachum, sic respondet*, nisi in tali responso mos Antimachi, quem probe cognitum habebat homo doctissimus, animo ipsius sese obtulisset.

Dicendi genus Antimachi et compositio ad vivum pingitur a Dionysio Halicarn. in Censura vett. scriptt. p. 419: Ἀντίμαχος δ' εὐτονίας καὶ ἀγωνιστικῆς τραχύτητος (ἐφρόντισεν) καὶ τοῦ συνήθους τῆς ἐξαλλαγῆς· in libro de Compos. verb. p. 300 ed. Schæf., dum una cum Pindaro et Æschylo Antimachum refert inter exempla τῆς αὐστηρᾶς ἁρμονίας, et a Plutarcho Vita Timol. c. 36: Ἡ μὲν Ἀντιμάχου ποίησις καὶ τὰ Διονυσίου ζωγραφήματα, τῶν Κολοφωνίων, ἰσχὺν ἔχοντα καὶ τόνον, ἐκβεβιασμένοις καὶ καταπόνοις ἔοικε, ταῖς δὲ Νικομάχου γραφαῖς καὶ τοῖς Ὁμήρου στίχοις μετὰ τῆς ἄλλης δυνάμεως καὶ χάριτος πρόσεστι τὸ δοκεῖν εὐχερῶς καὶ ῥᾳδίως ἀπειργάσθαι. Et Proclus In Timæum Platonis I, p. 20 fin.: Καὶ γὰρ εἴ τι τεχνικον εστι παρά τινι τῶν ποιητῶν ὕψος, πολὺ τὸ μεμηχανημένον ἔχει καὶ στομφῶδες, μεταφοραῖς χρώμενον ὡς τὰ πολλὰ, καθάπερ τὸ Ἀντιμάχειον. (Jacobsius, alicubi proferens hunc locum, scribit καὶ σομφῶδες, *et spongiosum*, quod non credo voluisse Proclum.) Hinc multa ab reliquorum illa ætate omnium usu maxime recedentia ex ipso notabant grammatici, et Cicero, argumenti simul respectu, Thebaidem appellat (Brut. c. 51) *poema reconditum*; denique Spartianus, cap. 15 de Hadriano, Antimachi carmina fere oblivione sepulta eruente et Homericis præferente (Dio Cass. LXIX, 4), *libros obscurissimos, Antimachum imitando, scripsit.* Sed quod Catullo (cxv, 10) audit *tumidus*, id de abundanti longitudine carminum ejus dictum est, Cinnæ *parvis monumentis* opposita. V. Weichertum Poetar. Lat. reliq. I, p. 182.

A criticis Alexandrinis in canone Epicorum positus est: quod non sine disceptatione et varietate studiorum et sententiarum factum esse supra in Chœrilo tetigimus. Chœrilo potius favebat Euphorio. Callimachi judicium in Lyde videbimus; quædam, quæ ad singula spectant, in fragmentis. Ab laudantium partibus stat Antipater Thessalonicensis (Anthol. Palat. VII, 409):

Ὄβριμον ἀκαμάτου στίχον αἴνεσον Ἀντιμάχοιο,
ἄξιον ἀρχαίων ὀφρύος ἡμιθέων,
Πιερίδων χαλκευτὸν ἐπ' ἄκμοσιν, εἰ τορὸν οὖας
ἔλλαχες, εἰ ζαλοῖς τὰν ἀγέλαστον ὄπα,
εἰ τὰν ἄτριπτον καὶ ἀνέμβατον ἀτραπὸν ἄλλοις
μαίεαι. Εἰ δ' ὕμνων σκᾶπτρον Ὅμηρος ἔχει,
καὶ Ζεύς τοι κρέσσων Ἐνοσίχθονος· ἀλλ' Ἐνοσίχθων
τοῦ μὲν ἔρυ μείων, ἀθανάτων δ' ὕπατος·
καὶ νaετὴρ Κολοφῶνος ὑπέζευκται μὲν Ὁμήρῳ,
ἁγεῖται δ' ἄλλων πλάθεος ὑμνοπόλων.

Ubi observa laudatoris verbis, εἰ ζαλοῖς τὰν ἀγέλαστον ὄπα, confirmari illa Quintiliani, *affectibus et jucunditate deficitur.* Ceterum Antimachi exemplum maximi momenti fuisse in eo poeseos genere conformando, quod ab Alexandria nomen ducit, pulchre demonstravit Nækius de Chœrilo cap. 9, p. 69 sq.: in quo capite de Antimachi et Alexandrinorum sermone multa perite disseruntur. De Nicandro Antimachi imitatore diserte tradidit scholiastes Theriac. c. 3: Ἔστιν ὁ Νίκανδρος ζηλωτὴς Ἀντιμάχου· διόπερ ἐν πολλοῖς δωρίζει. V. ad fr. 5.

De ceteris carminibus Antimachi ad ipsa eorum fragmenta dicemus. Superest ut commemoremus eos qui olim in poesi ejus et sermone explicando posuerint operam. Servata est autem memoria, primum Dionysii Phaselitæ, cujus quædam ἐκ τοῦ περὶ τῆς Ἀντιμάχου ποιήσεως citat vetus scri-

---

Dionysius: Antimachus nervosum dicendi genus et contentiosam asperitatem sectabatur, et perpetuam novitatem. — Exemplum est severæ et austeræ compositionis.

Plutarchus Timol.: Colophoniorum Antimachi poesis et Dionysii pictura, vim habent et nervos, sed similes sunt rebus labore expressis et operosis, quum Nicomachi imagines et versus Homeri præter reliquam virtutem et gratiam hoc quoque habeant, ut facili manu condita esse videantur.

Proclus: Si artificiosa est in poetarum aliquo sublimitas, multa habet operose quæsita, multum verborum strepitum, metaphoris plerumque utens, ut est genus Antimacheum.

ANTIPATRI EPIGRAMMA.

Antimachi fortes numeros et carmina lauda,
heroum veterum digna supercilio;
formata Aoniis incudibus, auris acuta
si tibi, si tua mens ora severa probat,
nullius pede trita juvat si te via. Quodsi
Pieriæ sceptrum laudis Homerus habet,
vincit Neptunum quoque Juppiter; attamen ille
tam dîs est major, quam Jove rege minor.
Sic uni cedit civis Colophonis Homero,
sed colit hunc vatum cetera turba ducem. HGR.

ptor Vitæ Nicandri; deinde Philonis, cujus εἰς τὰ ῥηματικὰ Ἀντιμάχου observatio citatur ab Etymologo M. p. 4, 8 (Καταχήνης fr.); tum Longini, qui λέξεις Ἀντιμάχου scripsit secundum Suidam (conf. Ruhnken. de Longino p. XLV ed. Paris.), Platonis, ut videtur, de Antimacho judicium probans (conf. Proclus In Pl. Tim. I, p. 28 med.). Silenum quoque in Glossis, quibus sæpe utitur Athenæus libro XI, Antimachea exposuisse dubium esse non potest. Deinde Porphyrius in Vita Plotini c. 7, p. 104 ed. Fabricii (B. Gr. vol. IV) narrat: Συνῆν δὲ (Πλωτίνῳ) καὶ Ζωτικὸς, κριτικός τε καὶ ποιητικὸς, ὃς καὶ τὰ Ἀντιμάχου διορθωτικὰ πεποίηται καὶ τὸν Ἀτλαντικὸν (λόγον) εἰς ποίησιν μετέβαλε πάνυ ποιητικῶς. Sic Callistratus Διορθωτικὰ scripserat in Homerum. Quo pertineat Lycophronis mentio apud Eusebium (in fragm. 34), definiri non potest. De Antimachi vita et poesi egerat etiam Rufus in Historiæ musicæ libro 6; cujus narrationem in Collectanea sua retulit Constantini M. ætate Sopater sophista, ut tradidit Photius Bibl. cod. 161, p. 103, 37. Idem Photius (cod. 167, p. 114, 29) Antimachum recenset inter eos poetas, quibus ad Florilegium condendum usus fuerit Joannes Stobæus; sed hodie in lemmatibus non amplius exstat hoc nomen. Etiam grammatici multa sine nomine poetæ proferunt, in quibus Antimacheus color agnoscitur: verum in tanta similis studii poetarum multitudine periculosum erat talia recipere.

ΘΗΒΑΪΣ.

I.

Eustath. in Hom. Il. A, 1, p. 9, 44: Ἄειδε].... Τῷ δὲ Ὁμηρικῷ τούτῳ σχήματι πολλοὶ καὶ ἄλλοι ἐνηγλαίσαντο· οὐ μόνον γὰρ Ἡσίοδος ἐκ τῆς τῶν Μουσῶν ἐπικλήσεως ἄρχεται, ἀλλὰ καὶ Ἀντίμαχος Ὁμηρικῷ ζήλῳ φησίν·

Ἐννέπετε Κρονίδαο Διὸς μεγάλοιο θύγατρες.

Ap. scholiastam p. 1, 25, male Κρονίωνος. Dubium esse non potest quin hic versus exordium Thebaidis sit habendus; quod Lambinus observavit ad Horatii A. P. 146. Conf. Villoison. Prolegg. in Hom. p. 24.

II.

Aristot. Rhetor. III, 6: Καὶ τὸ Ἀντιμάχου χρήσιμον, ἐξ ὧν μὴ ἔχει λέγειν, ὃ ἐκεῖνος ποιεῖ ἐπὶ τοῦ Τευμησσοῦ,

Ἔστι τις ἠνεμόεις ὀλίγος λόφος·

αὔξεται γὰρ οὕτως εἰς ἄπειρον.

Strabo IX, p. 409 (627, B): Ἐν δὲ τῇ Θηβαίων εἰσὶ καὶ αἱ Θεράπναι καὶ ὁ Τευμησσὸς, ὃν ἐκόσμησεν Ἀντίμαχος διὰ πολλῶν ἐπῶν, τὰς μὴ προσούσας ἀρετὰς διαριθμούμενος·

Ἔστι τις ἠνεμόεις ὀλίγος λόφος·

γνώριμα δὲ τὰ ἔπη. Sequebatur celeberrima, ut ex his apparet, olim descriptio Teumessi. Lepidus est error interpretis, *vanis laudibus celebrans*. « Sententia eorum versuum, inquit Schellenbergius, ejusdem fere tenoris debuit esse, ut in Homeri Od. Δ, 566 sq., ubi de Elysio loquens, *non nives ibi esse* ait, *non hiemem, neque imbrem*, etc. (coll. Od. Z, 431 sqq.). Sed noster in cumulandis negationibus, pro loquacitate sua, minus sibi videtur temperasse, ut ejus locus in arte exemplo magis idoneus existimari potuerit. » Præcessisse hæc fragmentum sequens, in ipso apparebit.

III.

Stephanus Byz.: Τευμησσὸς, ὄρος Βοιωτίας ... Ἐκλήθη δ' οὕτως, ὡς Ἀντίμαχος πρώτῳ Θηβαΐδος·

Οὕνεκά οἱ Κρονίδης, ὃς δὴ μέγα πᾶσιν ἀνάσσει,
ἄντρον ἐνὶ σκηνῇ τευμήσατο, τόφρα κεν εἴη
Φοίνικος κούρη κεκευθμένα, ὥς ῥα ἓ μή τις
μηδὲ θεῶν ἄλλος γε παρὲξ φράσσαιτό κεν αὐτοῦ.

Ad hos versus spectans Etymol. M. p. 755, 50: Τευμήσατο· παρεσκευάσατο, ἐτεχνήσατο. Εἴρηται δὲ ὅτι τὸν Τευμησσὸν τὸ ὄρος ὑπὸ τοῦ Διὸς κατασκευα-

---

THEBAIS.

1.

Non solum Hesiodus a Musarum invocatione orditur, sed Antimachus quoque Homerum imitatus ita loquitur:

Dicite Saturnii Jovis magni filiæ.

2.

Etiam illa Antimachi poetæ ratio (ad amplificandum) utilis, ut quæ rei non insunt dicas; quod ille facit de Teumesso,

Est quidam vento expositus parvus collis:

nam hoc modo augeri potest res quæ describitur in infinitum.

In Thebana regione sunt etiam Therapnæ et Teumessus, quem Antimachus multis versibus exornavit, eas laudes recensendo quæ non insunt:

Est quidam vento expositus parvus collis.

Sed noti sunt illi versus.

3.

Teumessus, mons Bœotiæ....... Sic autem vocatus fuit, ut Antimachus primo Thebaidis:

Quare Europæ filius Saturni, qui magnum in omnes imperium exercet,
antrum in tecto loco struxit, ut tum esset
Phœnicis filia abscondita, quo ne quis eam
vel deorum alius sciret (ubi esset) præter ipsum.

***Etym.* Teumessum montem ab Jove structum fuisse dicunt, ut Europam in eo occultaret; quare dictum Teumessum, ab τευμήσασθαι, *exstruere*.**

σθέντα εἰς ἀπόκρυψιν τῆς Εὐρώπης ἀπὸ τούτου κληθῆναι Τευμησὸν, ἀπὸ τοῦ κατεσκευάσθαι. V. 1, οἱ, Europæ. Codd. ὅς μέγα πάντων ἀνάσσει, quod ut edidimus correxit Schellenbergius; melius, opinor, quam Düntzerus, ὅς δὴ πάντων μέγ' ἀνάσσει. Qui recte explodit Schneidewini commentum (ad Ibycum p. 19), etiam versui male consulentis. V. 2 vulgo σκιῇ, quod metro repugnat. Meinekius ad Euphor. p. 129, correxit ἐνὶ στίῃ (Hesychius: Στία, στενοχωρία ἢ λιθοκοπία), Schneiderus in Lexico citat ἐνὶ σκοπιῇ, ipsius emendationem an critici alius ignoro. Vratislaviensis codicis scripturam σκηνῇ, ut nunc res est, tenendam esse puto. Collem quum per singula descripserit Antimachus, fieri potest ut locum quendam ibi distinxerit obumbratum, in cujus recessu Jupiter antrum struxerit. Eum autem σκηνὴν poterat appellare, vel σκηνῆς vocabulo in mentem revocare lectoribus. V. 3 idem codex κούρη κεκυθμένα, ceteri (etiam Parisini) κούρα κεκευθμένα. Meinekius ibidem: « Fortasse dederat poeta: Φοίνικος κούρη κεκυημένη. Nec enim placet in quod quivis incidit κεκρυμμένη » (et multo etiam minus Düntzeri κούρη γε κεκευθμένη). At præter Etymologum l. c. etiam Pausanias in eadem narratione *occultandi* verbo utitur, IX, 19, 1: Ἐπὶ ταύτῃ τῇ λεωφόρῳ χωρίον ἐστὶ Τευμησός. Εὐρώπην δὲ ὑπὸ Διὸς κρυφθῆναί φασιν ἐνταῦθα· ut illa notio nulla cum probabilitate videatur ex his versibus expelli. Verbi κεύθειν vestigia, ut res est, sine temeritate non deserentur. Fortasse structura alia erat: τόφρα κεν εἴη (nimirum τὸ ἄντρον) Φοίνικος κούρῃ ..... (velut κεῦθος, ut Æschylus Suppl. 777: Φύγωμεν ... κελαινὸν εἴ τι κεῦθός ἐστί που).— Deinde codices ὅς ῥα μή τις, præter Vratislaviensem, qui ἕ fortuna optima servavit. Ὡς conjecit Schellenbergius, et versum sequentem correxit, in quo codd. πάρεξ (Vrat. πάρος ἐξ) φράσαι τό κεν αὐτοῦ. Jam præteriri potest Meinekii de his sententia. Addam Jacobsii tentamen ingeniosum (ad Porsoni Advers. p. 320): τόφρα κεν εἴη (scil. αὐτὸς) Φοίνικος κούρῃ τε κεκευθμένος· ὥς ἄρ' ἄκοιτις μηδὲ θεῶν ἄλλος γε ... φράσσαιτο, μή ante ἄκοιτις omisso, ut in talibus aliquoties factum; et mira hæc Paradoxographi rerum Thebanarum (vol. I, p. 156): « Istos versus mihi ego sic legere consuevi:

Οὕνεκ' ἐκεῖ Κρονίδης, ὅς καὶ μέγα πᾶσιν ἀνάσσει,
ἄντρῳ ἔνι σκηνὴν τευμήσατο· τόφρα κ' ἐνείη
Φοίνικος κούρη τε κεκευθμένη, ὥς ῥά ἑ μή τις
μηδὲ θεῶν ἄλοχόν τε παρὲξ φράσσαιτό κεν αὐτοῦ.

Vel in v. 2 ἄντρον ἐν Ἰσμήνῃ, vel ἐπ' Ἰσμηνῷ. » Non explicuit quid sibi velint versibus 3 et 4 particulæ τε, hoc observasse contentus: « αὐτοῦ aptum esse ex παρέξ ostendit libri Vrat. scriptura πάρος ἐξ, nimirum ab iis conflata, qui idem esse cognossent πάρος δωμάτων et παρὲξ δωμάτων. » Librarii esse credideram παρ' ἐξ ita legentis quasi scriptum esset παρ° ἐξ.

Ex hoc fragmento apparet Antimachum res Thebanas ab ovo incepisse, in iisque primordiis minime breviter esse versatum. In fine Stephanus: Καὶ τὸ ἐκ τόπου Τευμησόθεν, καὶ τὸ εἰς τόπον Τευμησόνδε. Ἀντίμαχος ἐν πρώτῳ Θηβαΐδος.

IV.

Etymol. M. p. 189, 6: Βασιλεύτωρ· παρὰ τὸ βασιλεύω. Ἀντίμαχος ἐν πρώτῃ Θηβαΐδος·

Οἷοι ἔσαν βασιλεύτορες Αἰγιαλήων.

Edebatur οἵ οἱ, sed cod. Bibl. Regiæ 346 οἷοι, quomodo scribendum esse viderat Meinekius ad Euphor. p. 146. Αἰγιαλήων, i. e. Græcorum (v. Meinek. l. c.), debetur Valckenario. Cod. αἰπαλήων.

V. (5, 6 *Schell.*)

Priscianus VI, 18, p. 722=283: « *Tydeus Tydei*. In hujuscemodi tamen terminatione quædam inveniuntur mutatione *eus* diphthongi in *es* longam prolata, ut Ἀχιλλεύς, *Achilles*, Περσεύς, *Perses*, Οὐλιξεύς, *Ulixes*. In quo Dores sequimur, qui pro Φυλεύς Φύλης, pro Ὀρφεύς Ὄρφης et Ὄρφην dicunt, pro Τυδεύς Τύδης. Sic Antimachus in I Thebaidos:

Τύδης τ' Οἰνείδης.

Et vocativum in *e* productam,

Τὸν καὶ φωνήσας προσέφης, Οἰνήϊε Τύδη,

teste Herodiano, qui hoc ponit in I Catholicorum.» Fortasse Herodianus eo in libro pluribus notaverat Dorismum Antimachi, de quo ut de re explorata loquitur scholiastes Nicandri ad Theriac. 3. In versu Antimachi (qui ex alio libro ac primo esse potest) ζωγρήσας ap. Schellenb. est error veterum aliquot editionum Prisciani. Præclare de toto hoc loco meritus est Schneidewinus ad Ibycum p. 143, 161 et 231, cujus rationes indubiis codicum vestigiis comprobatas sequimur. Editum erat Ὀδυσσεύς, *Ulixes* ... φιλεύς,

---

4.

Antimachus in primo libro Thebaidis:

Quales erant reges Ægialensium.

5.

« Tydes Œnides, » pro Tydeus.

Hunc inde verbis allocutus es, OEneie Tyde.

φίλης ... προσέφης, Οἰνείδη Τύδη, postremum recte, nisi Schneidewini codices alterum perspicue monstrarent.

VI (7).

Stephanus Byz.: Κύνθος· παρ' Ἀντιμάχῳ ἐν πρώτῃ Θηβαΐδος. Recte statuere videtur Schellenbergius, non montem Deli insulæ hoc loco dici, notum omnibus et Antimachi auctoritate minime indigentem; sed antiquum nomen ipsius insulæ significari. Steph. v. Δῆλος: Ἐκαλεῖτο δὲ Κύνθος ἀπὸ Κύνθου τοῦ Ὠκεανοῦ. Apud Plinium H. N. IV, 22, *Cynthia* (si vera est scriptura) inter antiquas appellationes Deli recensetur.

VII (8).

Apollon. Dysc. De pronom. p. 113, C: Τὸ πλῆρες σφῶε· παρὰ δὲ (sic Salmasius, locum e codice proferens ad Solin. p. 598, B: editio γὰρ) Ἀντιμάχῳ ἐν τρίτῃ Θηβαΐδος·

Τῷ καί σφω γείνατο μήτηρ·

καὶ ἐν πρώτῃ,

Ἀσπασίως δέ σφω ἄγεν οἴκαδε,

quod σφῶ scribi poterat, nisi debebat. Ad Tydeum et Polynicem ab Adrasto exceptos referri posse observavit Schellenb., a quo nolim hoc addi pro argumento, « Succurrit sedes fragmenti in libro primo, et Statius eandem rem in principio exponens. » Imo si vera est libri notatio, non temere de illa conjectura dubitaveris, licet Tydeus in eodem jam sit memoratus (fr. 5). Multo etiam minus constitui potest quinam sint illi alteri σφώ in tertio libro, cujus digressiones ex fr. 8 auguramur. In priore versu codex τὸ καί, quod correxit editor Apollonii. In altero Salmasii apographum secuti sumus: editio ἀσπασιώς τέ σφω.

VIII.

Interpretes Virgilii ab Ang. Maio editi, ad Æneid. X, 565: *Homerus* (Iliad. A, 402 sqq.) *amicum Ægæona dicit Jovis. Sed Antimachus in III. Thebaidos d. (dicit) adversum eum armacm* (cum lineola supra *c*. Maius *armatum*). Conf. Titanomachiæ fr. 5.

Fragmenta sex quæ sequuntur petita sunt ex descriptione epularum quibus Adrastus duces apud se collectos excepit. Athenæus libri XI initio: Παρὰ τῷ Ἀδράστῳ, ἄνδρες φίλοι, καθίσαντες οἱ ἀριστεῖς δειπνοῦσιν. Ea præpostero ordine legi apud Schellenbergium recte observavit Welckerus in Diariis Zimmermanni a. 1832, p. 118; sed idem si duo fragmenta (10 et 11) ex alius cœnæ descriptione (Epigonorum, ut conjicit de Cyclo ep. p. 104) huc delata esse statuit, hoc prorsus in medio relinquendum esse puto. Sunt quidem repetita aliqua pæne ad verbum, et fragmento 11 iterum post quinti libri versus quosdam posito præmittuntur verba ἀλλαχοῦ δέ φησι. Verum in tanta prolixitate Thebaidis nescimus an non interposita digressio aliqua fuerit; deinde hoc etiam prorsus ignoramus, quid Antimacho placuerit de Homerico more eadem repetendi verbis iisdem: qui licet adversari videatur poeseos ipsius ingenio, potest tamen nonnunquam simplicitatem præ se tulisse, vel variandi et lectorem recreandi gratia. Denique ἀλλαχοῦ δέ dixit Athenæus postquam usus erat verbis καὶ πάλιν: ἐν πέμπτῳ Θηβαΐδος ... καὶ πάλιν ... ἀλλαχοῦ δὲ [ταύτης τῆς βίβλου] ... ut in hoc nihil sit alterius testimonii disertissimi vim infirmans. Sed hæc Welckeri observatio quantivis pretii est, ex antiqua Thebaide hujus descriptionis argumentum petitum videri, quoniam heroes non vinum, sed mel aqua dilutum bibunt, quod in usu sacrificiorum permansit. Plutarch. Quæst. symp. p. 672, B: Μέλι ἦν σπονδὴ καὶ μέθυ, πρὶν ἄμπελον φανῆναι.

IX (12).

Athenæus XI, p. 475, D: Νίκανδρος ὁ Κολοφώνιος ἐν ταῖς Γλώσσαις (φησὶ) ποιμενικὸν ἀγγεῖον μελιτηρὸν τὴν κελέβην εἶναι· καὶ γὰρ Ἀντίμαχος ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησί·

Κήρυκας ἀθανάτοισι φέρειν μέλανος οἴνοιο
ἀσκὸν ἐνίπλειον, κελέβειόν θ' ὅττι φέριστον
οἷσιν ἐνὶ μεγάροις κεῖται μέλιτος πεπληθός.

V. 1 ἀθάνατοι huc non pertinent, etiam si κήρυκας sine offensione esset. Schweighæuser., δ' αὐτοῖσι, Jacobsius ταγοῖσι (quos Homerus quidem corripit), Düntzerus κήρυκας ἀγοῖσι, Blomfieldus κηρύξας ἄλλοισι, quorum nihil probabilitatis exi-

---

6.

Cynthus [*appellabatur Delus insula*] apud Antimachum, libro primo Thebaidis.

7.

Antimachus in primo libro Thebaidis:

Comiter ambos duxit domum,

et in tertio:

Cui ambos peperit mater.

9.

Nicander Colophonius, in Glossis, pastoritium vas esse dicit *celebam*, in quo servetur mel. Nam Antimachus Colophonius quinto libro Thebaidis ait:

Præcones (jussit) ducibus (?) afferre nigri vini plenum utrem, et celebeum, quodcumque optimum in ædibus suis repositum esset, melle repletum.

miæ. Si jussa Adrasti his verbis continentur (Ἄδραστος ἐκέλευσε φέρειν), videri potest paullo post secutum esse fr. 10, quo suam orationem in ipsa verba Adrasti flexerit poeta. V. 2 vulgo κελεβήϊον ὅττι φ. Cod. Marc. κελέβειον, cui θ' subjunxit Schweighæuserus, cogente re ipsa. Ἐνίπλειον Casaub. Marc. ἐνιπλεῖον. Blomf. ἀσκὸν ἑοῖ πλεῖον.

X (10).

Athenæus post verba in fr. 13 posita, C: Καὶ πάλιν·

Ἄλλοι δὲ κρητῆρα πανάργυρον ἠδὲ δέπαστρα
οἰσόντων χρύσεια, τά τ' ἐν μεγάροισιν ἐμοῖσι
κεῖται.

V. 1 ἄλλοι cod. Marc., quod jam conjecerat Schellenb.; ceteri ἄλλοις et ἄλλος. Deinde ἠδὲ Dindorfius ex codice Laurent. Reliqui ἢδ δ. Verba Adrasti.

XI (11).

Idem ibid.: Κἀν τοῖς ἑξῆς δέ φησι·

Καὶ χρύσεια δέπαστρα καὶ ἀσκηθὲς κελέβειον
ἔμπλειον μέλιτος, τό ῥά οἱ προφερέστερον εἴη.

Inferius, p. 475, E, repetitis versibus iisdem subjicit: Σαφῶς γὰρ νῦν κελέβειον ἀντὶ ἀγγείου τινὸς τέθεικε προειπὼν ποτήρια δέπαστρα. Verba Adrasti ab alio relata.

XII (13).

Idem post versus in fragm. 9 positos: Καὶ πάλιν·

Ἀτὰρ ἀμφίθετον κελέβειον ἑλόντες
ἔμπλειον μέλιτος, τό ῥά οἱ προφερέστερον ἦεν.

Schellenb. προφ. εἴη, calami lapsu. Præcones exsequuntur jussa Adrasti. De ἀμφίθετος v. Athenæum p. 501.

XIII (9).

Idem XI, p. 468, A: Σειληνὸς καὶ Κλείταρχος ἐν Γλώσσαις, παρὰ Κλειτορίοις τὰ ποτήρια δέπαστρα καλεῖσθαι. Ἀντίμαχος ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησίν·

Πάντα μάλ', ὅσσ' Ἄδρηστος ἐποιχομένους ἐκέλευσε
ῥεξέμεν· ἐν μὲν ὕδωρ, ἐν δ' ἀσκηθὲς μέλι χεῦαν
ἀργυρέῳ κρητῆρι, περιφραδέως κερόωντες·
νώμησαν δὲ δέπαστρα θοῶς βασιλεῦσιν Ἀχαιῶν
ἐνσχερὼ ἑστιόωσι, καὶ ἐς λοιβὴν χέον εἶθαρ
χρυσείῃ προχόῳ.

Initium pendet a verbo quodam præcedente. V. 2. codd. χεῦε, Laur. χεῦεν, Schellenb. χεῦαν. V. 5 ἐνσχερὼ debetur Jacobsii ingenio. Apollonius Rh. I, 912, de remigibus: Ἐνσχερὼ ἑζόμενοι. Alibi ἐπισχερώ. Cod. Marcian. ἐκχέρως, ceteri ἐκ χερός. Deinde codd. εἰστιῶσι, unus ἑστιῶσι, quod correxerunt Schweighæuserus et Porsonus (Advers. p. 108 ed. Lips.).

XIV (14).

Idem XI, p. 482, F, de κυπέλλῳ disputans: Ἀντίμαχος ἐν πέμπτῳ Θηβαΐδος·

Πᾶσιν δ' ἡγεμόνεσσιν ἐποιχόμενοι κήρυκες
χρύσεα καλὰ κύπελλα τετυγμένα νωμήσαντο.

XV (63).

Etymol. M. p. 443, 55, v. Θαύμακτρον: Τὸ ζύγαστρον παρὰ τὸ ζυγάσω ἐνήνεκται παρὰ τῷ ποιητῇ, ὡς καὶ παρὰ Ἀντιμάχῳ τὸ δεπάζω δέπαστρον, οἷον « πλῆσεν δ' ἄρ' ἐπιστράψας δέπαστρον. » Οὐχ ὑγιῶς ἐχρήσατο τῷ σημαινομένῳ· ἐθήκαμεν γὰρ ἐπὶ τοῦ ποτηρίου τὴν λέξιν, τὸ δεπαζόμενον· αὐτὸς δὲ ἀντὶ τοῦ δεπάζοντος, ὡς εἰ πινόμενον εἰρήκει ἀντὶ τοῦ πίνοντος. Ex ipsis verbis poetæ, quæ recte emendari videntur ab Jacobsio (Animadv. in Athen. p. 252),

Πλῆσεν δ' ἄρ' ἐπιστέψας (τὸ) δέπαστρον,

non apparet quid insolentius commiserit Antimachus. Nec satis perspicua est grammatici veteris

---

10.

Alii vero craterem solido ex argento, aut depastra (*i. e.* pocula) afferant aurea, quæ in ædibus meis reposita sunt.

11.

Et in sequentibus:

Et aurea depastra, et illibatum celebeum
melle repletum, quod ei præstantissimum esset.

12.

Ceterum utrimque-stabile celebeum sumentes
melle repletum, quod ei præstantissimum erat.

13.

Silenus et Clitarchus in Glossis tradunt, apud Clitorios pocula vocari *depastra*. Antimachus Colophonius quinto libro Thebaidos ait: (Fecerunt præcones)

Omnia quæcumque obeuntes Adrastus jusserat
facere: et aquam et illibatum mel infuderunt
argenteum in craterem, scite miscentes: [rum,
distribueruntque propere depastra regibus Achivo-
ex ordine epulum celebrantibus, et ad libationem sta-
aureo gutturnio .... [tim infundebant

14.

Antimachus quinto libro Thebaidis:

Ducibus cunctis obeuntes præcones [runt.
aurea cypella (pocula) pulcra fabrefacta distribue-

15.

Implevit inde admovens [coronans?] depastrum, quod ab Antimacho non recte alia ac poculi significatione dictum.

observatio, cui vix dubito quin ab recentiore Græculo assuta fuerint hæc, ὡς εἰ πινόμενον εἰρήκει ἀντὶ τοῦ πίνοντος. Jacobsianæ emendationis ignari Spohnius (De extrema parte Odyss. p. 208) et Blomfieldus ἐπιστέψασα δ. Sylburgius conjecerat ἐπιστρέψας, quæ est scriptura codicis Reg. 2654.

XVI (15).

Strabo VIII, p. 387=594: Τοῦ δ' Ἀντιμάχου Καυκωνίδα τὴν Δύμην εἰπόντος, οἱ μὲν ἐδέξαντο ἀπὸ τῶν Καυκώνων ἐπιθέτως εἰρῆσθαι αὐτὸ μέχρι δεῦρο καθηκόντων, καθάπερ ἐπάνω προείπομεν· οἱ δ' ἀπὸ Καύκωνος ποταμοῦ τινος, ὡς αἱ Θῆβαι Διρκαῖαι καὶ Ἀσωπίδες, Ἄργος δ' Ἰνάχειον, κτλ. Remittit ad hunc locum ejusdem libri, p. 345: Οἱ μὲν γὰρ καὶ ὅλην τὴν νῦν Ἠλείαν, ἀπὸ τῆς Μεσσηνίας μέχρι Δύμης, Καυκωνίαν λεχθῆναί φασιν· Ἀντίμαχος οὖν Ἐπειοὺς καὶ Καύκωνας ἅπαντας προσαγορεύει. Ibidem p. 342, Δύμης ὑπό τινων Καυκωνίδος λεγομένης, ad Antimachum quoque respicit. Ex primo loco facile corrigitur error apud Stephanum voce Δύμη, p. 108, 17: Ἀντίμαχος δὲ Καυκωνίδα φησὶν αὐτὴν ἀπὸ Καύκωνος ποταμοῦ, ὡς Διρκαίας· ἔνιοι δὲ καὶ Ἀσωπίδα. Versus ipsos servavit Tzetzes ad Lycophr. 591:

Ὡς ἐπαπειλήτην, ὥσπερ Καυκωνίδα Δύμην
ἐπραθέτην παίδεσσιν Ἐπειῶν ἀρχεύοντες.

Principes illos Epeorum duos sine dubio esse Molionas, observat Welckerus Diariis Zimm. 1832, p. 121. Idem heroes geminos alios quærit alteri verbo ἐπαπειλήτην, nescio an sollicite nimis. Hæc sententia esse videtur: *Minitabantur se, ut Dymen cepissent, (ita etiam cum* alia *urbe acturos)*. Grammaticus de Dyme loquens sequentibus opus non habebat. Ὡς igitur vocabulum, quod etiam ob proximum ὥσπερ offendit, mutandum videtur in Ὥδ', vel ὣ δ' ἐπαπειλήτην κτλ. Omittit codex Reg. 2724. Idem cum duobus aliis quos inspexi, ἀρχεύοντες, non, ut Viteb. alter, ἀρχεύοντε.

XVII (16).

Stephan. Byz. v. Δύμη: Λέγεται καὶ Δύμιος. ...Ἀντίμαχος ἐν πέμπτῳ Θηβαΐδος·

Ἐν δὲ σὺ τοῖσι μάλα πρόφρων ἐπίουρος ἀμορβῶν
ὡμίλησας, ἕως διεπέρσατε Δύμιον ἄστυ.

Ita hos versus integritati restituit Jacobsius Anim. ad Athen. p. 258. Codex ἐπίκουρος et ὡμιλήσαε ὡς. Düntzerus, quem hæc fugerant, ὡμιλήσαο, ὡς. Etym. M.: Ἀμορβός· σημαίνει καὶ τὸν ἀκόλουθον, ὁ ἅμα τινὶ ὁρμῶν. Welckerus: «Ita Adrastus vel Tydeus alloquitur eorum bellatorum unum, qui Oleni occupationi adfuerat: nam Δύμιον ἄστυ Olenus est, quia Achivi Dymen traduxerant Olenios. Strabo VIII, p. 386. Et p. 388: Ἔχουσι δὲ Δυμαῖοι τὴν χώραν.» Hæc ex sermonibus petita videntur inter epulas habitis.

XVIII (93).

Scholiastes Homeri Il. Δ, 400, de Tydeo: Ἀντίμαχος δέ φησιν, ὅτι παρὰ συφορβοῖς ἐτράφη·

XIX (29).

Scholiastes Æschyli Septem 553 Stanl.: Παρθενοπαῖος Ἀρκάς.] Ἀντίμαχος φησὶν Ἀργεῖον αὐτὸν, οὐκ Ἀρκάδα. Omnium fere consensu Arcas, sed quomodo Argos ipsi velut altera patria facta, plenius aliis narrat Euripides Suppl. 888-898. Hinc Ἀργεῖος epitheto non negari Arcadem natu fuisse dicerem, nisi Euripides alio loco (Phœn. 1153) ita loqueretur:

Ὁ δ' Ἀρκὰς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος,

qui versus ostendit ab aliquibus eum simpliciter Argivum olim esse habitum.

XX (18).

Pausanias VIII, 25: Ἀντίμαχος δὲ (Arionem equum) παῖδα εἶναι Γῆς φησι·

Ἄδρηστος Ταλαϊδ' υἱὸς Κρηθηϊάδαο,
πρώτιστος Δαναῶν, ἐὼ αἰνετὼ ἤλασεν ἵππω,

16.

Quum Dymen Antimachus dixerit Cauconidem, quidam cognomen hoc ei impositum censuerunt propter Caucones, qui, uti supra ostendimus, eo usque pertinuerint. Alii a fluvio quodam Caucone tractum nomen putant; quomodo Thebæ appellantur Dircææ et Asopides, Argos Inachium, etc.—*Supra:* Quidam totam illam, quæ nunc Elea dicitur, regionem a Messenia Dymam usque, Cauconiam appellatam fuisse affirmant; itaque Antimachus incolas universos Epeos et Cauconas nominat.

Dymen nonnulli Cauconida appellant.

Ambo minitabantur, se, ut Cauconidem Dymen destruxissent filiis Epeorum imperantes,....

17.

A Dyme est adjectivum Dymius. Antimachus libro quinto Thebaidos:

Inter hos vero tu prudentissimus militum dux
versatus es, usque dum destruxistis Dymiam urbem.

18.

Antimachus dicit apud subulcos enutritum esse Tydeum.

19.

Antimachus Parthenopæum Argivum dicit, non Arcadem.

20.

Antimachus e Terra genitum Arionem his versibus prodidit:

Adrastus Talao Cretheide natus, Achivûm
primus duxit equos insigni laude superbos,

Καιρόν τε κραιπνὸν καὶ Ἀρείονα Θελπουσαῖον,
τόν ῥά τ' Ἀπόλλωνος σχεδὸν ἄλσεος Ὀγκαίοιο
αὐτὴ γαῖ' ἀνέδωκε, σέβας θνητοῖσιν ἰδέσθαι.

V. 1 vulgo Ταλαῶ. Grammaticus Bekkeri Anecd. p. 1223 : Ταλαῶ Ταλαῶο ὡς παρ' Ἀντιμάχῳ. Hinc Ταλαῶ' Siebelis. et Th. Bergkius. Ceterum Cretheus Talai non pater erat, sed proavus. Vide paullo post. V. 2 vulgo Δαναῶν περ ἐπαινετὼ ἦλ. Codd. meliores δαναῶ νεωαινέτω, unde quam edidimus scripturam verissimam effecit Buttmannus, postea inventam in Lugdunensibus excerptis. Male Blomfieldus παρ' ἐπαινετὼ ἦλ. V. 3 Valckenarius malebat Κραιρόν τε, Jacobsius (ad Anthol. Palat. p. 455), Κίρκον τε (coll. Iliad. X, 139), quia Cærus equus alibi non memoratur. Verum alia multa nomina equorum semel modo in veterum monumentis inveniuntur. Satis erat aptum equo esse nomen Cæri. Thelpusius dicitur Arion ut in Thelpusia regione natus (ibi enim situm Onceum Arcadicum), nisi poeta simul ad alteram narrationem Thelpusiorum respexit, de qua Pausanias eod. cap., ubi etiam de Apolline Oncæo.

Addimus hoc loco generis Adrasti notationem ex Antimacho petitam a scholiasta Euripidis Phœniss. 150, quem indicavit Düntzerus : Παρθενοπαῖος;] ὡς μὲν Ἀντίμαχος Ἰάσονος (sic) φησὶ Ταλαοῦ τοῦ Βίαντος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός, μητρὸς δὲ Λυσιμάχης τῆς Κερκυόνος τοῦ Ποσειδῶνος. Turbatum aliquid in initio scholii, et erratum a grammatico Adrasti genus ex Antimacho cum Parthenopæi genere apud Hellanicum comparante, ac si de eodem uterque heroe loqueretur.

XXI (19).

Idem ibid.: Λέγεται καὶ τοιάδε· Ἡρακλέα πολεμοῦντα Ἠλείοις αἰτῆσαι παρ' Ὄγκου τὸν ἵππον (Arionem), καὶ ἑλεῖν τὴν Ἦλιν ἐπὶ τῷ Ἀρίονι ὀχούμενον ἐς τὰς μάχας· δοθῆναι δὲ ὑπὸ Ἡρακλέους ὕστερον Ἀδράστῳ τὸν ἵππον. Ἐπὶ τούτῳ δὲ ἐς τὸν Ἀρίονα ἐποίησεν Ἀντίμαχος·

Ὅς ῥά ποτ' Ἀδρήστῳ τριτάτῳ δέδμηθ' ὑπ' ἄνακτι.

Schellenb. et Siebelis. ῥα τότ'. Deinde τριτάτῳ δέδμ. codices Parisini teste Clavierio (unus δ' ἐδμηθ'), quo alludunt alii. Vulgo τριτάτῳ γ' ἔδμ. Conf. fr. 6 Thebaidis Cyclicæ.

XXII (17).

Idem ibid. §. 3: Καλοῦσι δὲ Ἐρινὺν οἱ Θελπούσιοι τὴν θεόν (Cererem)· ὁμολογεῖ δέ σφισι καὶ Ἀντίμαχος, ἐπιστρατείαν Ἀργείων ποιήσας ἐς Θήβας· καί οἱ τὸ ἔπος ἔχει·

Δήμητρος τόθι φασὶν Ἐρινύος εἶναι ἕδεθλον.

Qui versus fortasse in eadem expositione de Arionis origine locum habebat, ut Thelpusiorum quoque narratio (v. Pausan.) a poeta memorata fuerit. Quo spectare possit vocabulum φασίν.

XXIII.

Schol. Pindari Ol. VI, 21: Τοὺς δὲ ἵππους αὐτοῦ (Amphiarai) φησιν Ἀντίμαχος ἀσυστάτους· οἱ δὲ Θεσσαλούς· ὀνόματα δὲ αὐτῶν Θόας καὶ Δίας· ὁ δὲ ἡνίοχος αὐτοῦ Βάτων ἐκαλεῖτο ἢ Σχοίνικος, συγκαταποθεὶς αὐτῷ. Nomina equorum et ipsa ex Antimacho memorari videntur, et alteruter aurigarum. Sed recte Meinekius ad Euphorion. p. 72 voc. ἀσυστάτους corruptum esse judicat. Illud nemo largietur Ungero (Paradox. Theban. I, p. 475), *Antimachum* scripsisse scholiastam, quum vellet *Euphorionem*, et Ἀσβωτίους· nisi lacunam statuas, φησὶν Ἀντίμαχος ** (ὁ δὲ Εὐφορίων) Ἀσβωτίους.

XXIV (31).

Vetus scholiastes Statii Theb. III, 466, ad verba *Gemini vates,* Melampus et Amphiaraus: *Dicunt poetam ista omnia ex Græco poeta Antimacho deduxisse, qui et ipse* (lon)*gam Thebaidem scripsit et veteribus in magno pretio habitam.* Quæ per se vage dicta sunt: sed quia huic loco, non primis versibus Statii adjecta leguntur, ex antiquiore et accuratiore notatione fluxisse statuo.

---

et Cærum pernicem, et Ariona Thelpusæum,
quem juxta Oncæi Phœbi nemus edidit ipsa
Terra parens, cunctorum oculis mirabile monstrum.

Genus Adrasti hoc est apud Antimachum : Adrastus, Talaus, Bias, Amythaon, Cretheus, Æolus, Hellen, Jupiter : Adrasti mater erat Lysimache, Cercyonis Neptuni filii filia.

21.

Narrantur hæc quoque : Herculem cum Eleis bellantem ab Onco poposcisse Arionem; eoque invectum Elidem expugnasse, ab Hercule deinde Adrasto concessum esse eum equum. Hanc in rem de Arione scripsit Antimachus :

Tertio ab Adrasto est domitus ductore Pelasgûm.

22.

Thelpusii Cererem vocant Erinnyn : quod ipsum nomen cum iis agnoscit Antimachus, usurpans eo carmine, quo Argivorum in Thebanos expeditionem scripsit. Versus ejus sic habet:

Delubrum Cereris fama est ibi Erinnydos esse.

23.

Amphiarai equos Antimachus narravit fuisse insociabiles (?) ; alii, fuisse Thessalos : nomina vero eorum sunt Thoas et Dias. Auriga eorum vocabatur Bato, aut Schœnicus, una cum Amphiarao terra absorptus.

XXV (27).

Eustath. ad Il. B, 212, p. 205, 10: Σημείωσαι δὲ ὅτι, Ὁμήρου δευτέρας συζυγίας εἰδότος τὸ χολῳῶ, καθὰ δηλοῖ τὸ ἐκολῴα, ὅμοιον ὂν τῷ ἐβόα, φασὶν οἱ παλαιοὶ καὶ πρώτης αὐτὸ εἶναι παρ' Ἀντιμάχῳ, εἰπόντι,

Ὣς ῥα τότ' Ἀργείων ἐκολῴει | στρατός.

Buttmannus Lexil. I, p. 160, corrigit χολῴει, correpto ῳ ante vocalem. Sed recte animadvertit G. Dindorfius, deesse quædam ante στρατός, fortasse epitheton. Blomfieldus στρατός ponit ante Ἀργείων cum lacunæ signo. Aliter verba transposuerat Spohnius de extrema parte Odyss. p. 209.

XXVI (21).

Athen. VII, p. 304, F, de hippo pisce: Μνημονεύει δ' αὐτοῦ Ἀντιφάνης ὁ Κολοφώνιος ἐν τῇ Θηβαΐδι λέγων οὕτως·

Ἢ ὕκην, ἢ ἵππον, ἢ ὃν κίχλην καλέουσιν.

Recte Jonsius et alii Ἀντίμαχος ὁ Κ. Antiphani hic non est locus. In versu vulgo ὕκχην. Hesychius: Ἵππος, ὁ μέγας θαλάσσιος ἰχθύς.

XXVIII (30).

Scholiastes Æschyli Septem v. 169 ed. Stanl.: Ὀγκαία τοίνυν ἡ Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις. Ὄγκα δὲ παρὰ Φοίνιξιν ἡ Ἀθηνᾶ, καὶ Ὀγκαῖαι πύλαι. Μέμνηται τούτου (τούτων?) καὶ Ἀντίμαχος καὶ Ῥιανός. V. Ungerum Paradox. Theban. I, p. 267 sqq.

XXIX.

Apollon. Dysc. De pronom. p. 113, B: Διὰ τοῦ ε ἡ νῶε παρὰ Ἀντιμάχῳ ενθηδεσιν (sic).

Ἔδρακε νῶε μολοῦσα.

XXX.

Idem ibid. p. 141, B, C: Καὶ ἀπ' αὐτῆς (pronomine σφῶϊν) κτητικὴν παρ' Ἀντιμάχῳ εἰρῆσθαι ἐπὶ Τυδέως καὶ Πολυνείκους τὸ « σφωϊτέρην ὀϊζύν· » καὶ διὰ τῆς δευτέρας Ἐτεοκλέους καὶ Πολυνείκους τὸ « σφωΐτερον μῦθον », ἑαυτοῖς ἐναντιοῦνται. Prius dictum videtur de Adrasto illos heroes apud se recipiente, σφωϊτέρην (δι') ὀϊζύν.

XXXI (28).

Stephanus Byz. v. Αἶα: Ἔστιν Αἶα καὶ Μακεδονίας πηγή, ὡς Ἀντίμαχος ἐν Θηβαΐδι. Vel ex Antimacho, ut alia passim, vel ex antiquis criticis ad Iliadis B, 850, Etymologus M. p. 27, 25: Αἶα καλεῖται καὶ κρήνη ἐν Παιονίᾳ. Æa in Axium decurrit.

XXXII (59).

Plutarch. Quæst. Symp. V, 8, 3, p. 683, F: Γραμματικοί τινες ἔφασαν ὑπέρφλοια (ab Empedocle) λελέχθαι τὰ μῆλα διὰ τὴν ἀκμήν· τὸ γὰρ ἄγαν ἀκμάζειν καὶ τεθηλέναι φλοίειν (φλύειν) ὑπὸ τῶν ποιητῶν λέγεσθαι· καὶ τὸν Ἀντίμαχον οὕτω πως « φλοίουσαν (φλύ—) ὀπώραις » εἰρηκέναι τὴν τῶν Καδμείων πόλιν. Ad quæ respicit IX, 9, p. 735, D: Τὸ μετόπωρον, ὅτε μάλιστα χλωρὰν καὶ « φλοιοῦσαν », ὡς Ἀντίμαχος ἔφη, τὴν ὀπώραν γενομένην κτλ. Ubi recte Valckenar. (ad Eur. Phœn. p. 312) et Salmasius scripserunt φλύουσαν, quod in altero quoque loco voluit Plutarchus (conf. Ælian. V. H. III, 41, schol. Apollon. Rh. I, 115): sed in ejusmodi lusibus perpetuum est incommodum, quod oculis scribi debent, auribus non possunt.

XXXIII (20).

Apollodorus III, 6, 8: Ἄδραστον δὲ μόνον ἵππος διέσωσεν Ἀρίων. Barthius ad Statii Theb. 11, 197, appositis his verbis: « In cujus auctoris, inquit, manuscripto exemplari Palatino in margine scriptum offendimus: Ἀντιμάχου. Ut versus ille fuerit Antimachi. » Quem Barthio melius sic scripsit Mitscherlichius:

Ἄδραστον δὲ μόνον δῖος διέσωσεν Ἀρίων.

Sed versum ita similiterve conceptum exstitisse in Thebaide non admodum verisimile est. Aliorum narrationes contulit Welckerus in Diariis Zimm. l. c. p. 153.

25.

Ita tunc Argivorum exercitus tumultuabatur.

26.

Meminit hippi piscis Antimachus Colophonius, in Thebaide, his verbis:

Aut hyccam, aut equum, aut quem turdum appellant.

28.

Minerva Oncæa colitur a Thebanis. Apud Phœnices Onca est Minerva. Hinc Oncæa porta (Thebarum). Meminerunt Antimachus et Rhianus.

29.

Antimachus in Thebaide:

Conspexit mulier nos ambos accedens.

30.

Antimachus diverso modo de Tydeo et Polynice dicit «ipsorum miserationem», *quæ de iis concipitur;* et «ipsorum sermonem», *quem* Eteocles et Polynices *faciunt.*

31.

Est etiam Æa fons Macedoniæ, uti Antimachus in Thebaide refert.

32.

Grammatici quidam dixerunt, mala ab Empedocle dici *hyperphlœa* ab vigorem. Nam apud poetas verbo φλοίειν significari quod est majorem in modum vigere et germinare. Ita fere Antimachum Cadmeorum urbem dixisse « florentem (s. vegetam, φλοίουσαν) frugibus. »

33.

Servavit solum Adrastum divinus Arion.

34.

XXXIV (51-53).

Porphyrius apud Eusebium Præpar. evang. X, c. 3, p. 467 : Ὁ Ἀντίμαχος τὰ Ὁμήρου κλέπτων παραδιορθοῖ· Ὁμήρου γὰρ εἰπόντος (Iliad. I, 558),

Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν,

Ἀντίμαχος λέγει·

Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων ἦν ἀνδρῶν.

Καὶ Λυκόφρων ἐπαινεῖ τὴν μετάθεσιν, ὡς δι' αὐτῆς ἐστηριγμένου τοῦ στίχου. Τὸ γάρ,

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Διομήδης,

σιγῶ, Ὁμήρου κωμῳδηθέντος ὑπὸ Κρατίνου διὰ τὸ πλεονάσαι ἐν τῷ Τὸν δ' ἀπαμειβόμενος· ὅπερ οὕτω πεπατημένον οὐκ ὤκνησεν Ἀντίμαχος μεταθεῖναι. Τοῦ δὲ (Odyss. B, 234),

Λαῶν, οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν,

Ὁμηρικοῦ ὄντος, καὶ πάλιν ἀλλαχοῦ που λεγομένου (Il. Π, 563),

Οἱ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,

ὁ Ἀντίμαχος μεταθεὶς ἡμίστιχα, πεποίηκε·

Λαῶν, οἷσιν ἄνασσον, ἐκαρτύναντο φάλαγγας.

Absurditatem obtrectationis non opus est notari. Idas iterum memoratur fr. 105. Versum de Diomede per se momentum non facere in quæstione de Epigonis tanquam parte Thebaidis, recte dixit Schellenbergius p. 19 et 93 : sed mirum ni ex Thebaide petiti sint hi tres versus, imo pro certo id haberi posse arbitror: tum vero hæc mentio Diomedis in illa quæstione non est nihili judicanda. Homericus Iliad. A, 316, similis est.

XXXV.

Schol. Homeri Il. Δ, 439: Δεῖμος καὶ Φόβος Ἄρεος υἱοί· πλανηθεὶς δ' Ἀντίμαχος ἵππων Ἄρεος ὀνόματα ἀποδέδωκεν·

Δεῖμός τ' ἠδὲ Φόβος πόδας αἰνετώ, υἷε Θυέλλης.

De Φόβῳ idem testatur schol. ad N, 299. Quæ præterea Düntzerus addit tanquam Antimachi fragmentum (καί ῥ' ἵππους κέλετο Δεῖμόν τε Φόβον τε ζευγνύμεν), ea Homeri sunt Il. O, 119.

His fragmentis, quæ sine dubio ad Thebaidem referri poterant, addimus alia quæ in eadem olim lecta fuisse valde probabile est.

XXXVI (23).

Strabo XIII, p. 588=880, A: Ἐνταῦθα μὲν οὖν (ἐν Ἀδραστείας πεδίῳ) οὐδὲν ἱερὸν Ἀδραστείας δείκνυται, οὐδὲ Νεμέσεως· περὶ δὲ Κύζικόν ἐστιν Ἀδραστείας ἱερόν. Ἀντίμαχος δ' οὕτω φησίν·

Ἔστι δέ τις Νέμεσις, μεγάλη θεός, ἣ τάδε πάντα
πρὸς μακάρων ἔλαχεν· βωμὸν δέ οἱ εἵσατο πρῶτος
Ἄδρηστος ποταμοῖο παρὰ ῥόον Αἰσήποιο,
ἔνθα τετίμηταί τε καὶ Ἀδρήστεια καλεῖται.

Versus olim celeberrimi, citati etiam ab Harpocratione v. Ἀδραστείαν, p. 6, Suida in ead. v., Eustathio Il. p. 355, 25, Apostolio Prov. I, 40. V. 2 Eust.: εἵσατο, ἤγουν ἵδρυσε. V. 3 Eust. περὶ ῥόον, duo codd. Harpocr. et gramm. Bekkeri Anecd. p. 342, 16, παρὰ ῥόῳ. « In versu 1 τάδε πάντα ad ea refer, de quibus ante in carmine dictum erat, forte, impiorum facinorum ultionem, justorumque remunerationem. » *Schellenb.* Æsepus fluvius Lyciæ Trojanæ, Hom. Il. B, 825.

34.

Antimachus quæ ab Homero furatus est, ea paullum immutat; velut quum Homerus dixerit,

Idæ, mortales cunctos qui robore vicit,

Antimachus ita :

Idæ, mortales qui robore cunctos vicit:

quam ejus emendationem Lycophron probat, quod ea versum firmiorem reddere videatur. Nam alterum quidem illum,

His contra princeps Diomedes vocibus infit,

taceo, quum hoc nomine Homerus a Cratino in comœdia traducatur, quod suum illud, τὸν δ' ἀπαμειβόμενος, ad satietatem inculcet. Quod usque deo tritum licet, suis tamen inserere non dubitavit Antimachus. Præterea Homericum illud est,

Eque suis populis, patrio quos more regebat,

et alterum hoc,

At postquam hinc atque hinc densam instruxere phalangem,

quo ex utroque sumptis hemistichiis Antimachus versum hunc conflavit,

Eque suis populis densam instruxere phalangem.

35.

Terror (*Dimus*) et Metus (*Phobus*) filii sunt Martis. Per errorem factum est ut Antimachus tanquam equorum Martis nomina ederet :

Terror et Metus, pedibus præstantes, Procellæ filii.

36.

In Adrasteæ campo nullum hodie Adrasteæ, nullum Nemeseos visitur templum; sed prope Cyzicum est Adrasteæ fanum. Antimachi vero sunt hæc :

Est quædam Nemesis, numen grave : cuncta dedere
sorte illi superi : cui primus condidit aram [hæc
Æsepi tumidum prudens Adrastus ad amnem :
hic sacris colitur dea, et Adrastea vocatur.

XXXVII (26).

Schol. Nicandri Ther. 472, p. 83: Ὁ Σάος καὶ ὁ Μόσυχλος ὄρη εἰσὶ τῆς Σάμου. Μέμνηται δὲ τούτων τῶν τόπων ἐν Λήμνῳ τε καὶ Σαμοθρᾴκῃ, τὰς νήσους ἑκατέρων ἀπὸ τούτων σημαίνων. Ἐκαλεῖτο δὲ Σάος καὶ (omittit codex Reg. 2403) ἡ ὅλη Θρᾳκικὴ Σάμος· Μόσυχλος δὲ, τὰ ὄρη τῆς Λήμνου, ὡς Ἀντίμαχος·

Ἡφαίστου πυρὶ εἴκελον, ἥν ῥα τιτύσκει
δαίμων ἀκροτάτης ὄρεος κορυφῇσι Μοσύχλου.

Cod. Reg. Ἡφαίστοιο. Schellenbergius observat, ἥν referendum videri ad φλόγα vel ejusmodi vocabulum, quod olim præcesserit: quamquam in verbis per se spectatis multo probabilius est ὅ ῥα. Librarius non satis attentus scripsisse videtur Ἡφαίστου πυρὶ, quum deberet φλογί. Heroem quendam cum igne comparari, probabiliter conjecit Düntzerus. De grammatici verbis prioribus dicere omittimus nihil ad Antimachum pertinentia: sed Eratosthenis versum, qui apud scholiastam fragmentum nostrum excipit, ex codice Regio emendabo. Olim legebatur, καὶ Ἐρατοσθένης, Εὖ τοι ὅσοις φαίνεσκε ... Schneiderus ex codice, ut ait, Gottingensi scripsit, Καὶ Ἐρ. φησί· « Παμφαίνεσκε Μοσυχλ. ... », vereor ne humani quid passus. Nam Regius cum Gottingensi in iis locis quos contuli prorsus consentiens, hæc ita ponit, Ἐρ. φ. εὖτοι ὅσσε χάνθων (nimirum χάν, superpositis θ et sigla ων) φαίν. etc., id est,

Εὖτέ (?) οἱ ὄσσε
ἐκ χανθῶν φαίνεσκε Μοσυχλαίῃ φλογὶ ἶσον.

Alexandrini ὄσσε cum singulari struebant.

XXXVIII (75).

Herodianus Περὶ μονήρ. λέξ. p. 4, 10, postquam de accentu adjectivorum νηφαλέος, δειμαλέος, etc., egit: Τὸ μέντοι δαιδάλεος τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν ... καὶ παρὰ Ἀντιμάχῳ κονισάλεος·

Τὼ δ' αὖτ' ἀμφὶ κονισάλεον πεπονήατο δίφρον.

Καὶ δῆλον ὅτι ἡ ἀναλογία ἰωμένη τῷ τοιούτῳ διαφόρου κινήσεως παρίστησι τὰς λέξεις· ὡς ὅτι τοῦ δαιδάλεος καὶ κονισάλεος, κτητικὴ Ἰωνικὴ ἐστιν ἐνδείᾳ τοῦ ι, ὁμοίως καὶ Ἑκτόρεος καὶ Νεστόρεος. Excerpsit hæc Etymologus M. p. 261, 48 sqq., unde partem fragmenti sumpserat Schellenbergius. Τὼ scripsi ex Welckeri conjectura (de Cyclo ep. p. 104), ad Molionas (conf. ad fr. 16) hæc referentis. Editio τῷ. Cod. Taurin. omittit αὖτ'.

XXXIX.

Herodianus Περὶ διχρόνων in Crameri Anecd. vol. III, p. 296, 10, de correptione tertiæ personæ pluralis perfectorum loquens: Ὡς παρ' Ἀντιμάχῳ·

Οἱ δὲ πάροιθε πόνοιο νενεύκασιν ἄλλος ἐπ' ἄλλῳ.

Ex eodem codice versum jam protulerat Bekkerus Anecd. p. 1436. Est etiam ap. Draconem Straton. p. 33, 10, et in excerptis Crameri An. vol. IV, p. 415, 23. Conf. ad Gregor. Cor. p. 166.

XL (64).

Etymol. M. p. 558, 25: Λαχμῷ, τῷ δασεῖ τῶν ἐρίων. Σέλευκος δὲ (in Homeri Odyss. I, 445) ἀξιοῖ διὰ τοῦ ν γράφεσθαι λάχνῳ, ὃ σημαίνει λάχνην. Ἀντίμαχος δὲ τῶν ἵππων τὸν λακτισμόν· οἷον,

Λαχμὸν δ' οὐ δείδιεν ἵππων.

Hesychius: Λαχμῶν, ἱππείων λακτισμῶν.

XLI (62).

Idem p. 371, 21, v. Ἐρεχμός: Διωχμὸν λέγουσιν οἱ Αἰολεῖς διὰ τοῦ χ καὶ ληχμὸν, ὡς Ἀντίμαχος·

Ληχμὸν δ' ἐμπάζεσθαι ἀλεείνων.

Spohnius De extr. parte Od. p. 208, ληχμῶν, quo minime opus est. Hesychius: Ληχμὸν, λῆξιν.

XLII (24).

Plutarch. Quæst. Rom. p. 275, A: Διὰ τί τῷ τοῦ Κρόνου ναῷ χρῶνται (Romani) ταμείῳ τῶν δημοσίων χρημάτων, ἅμα δὲ καὶ φυλακτηρίῳ τῶν συμβολαίων; . . . ἢ ὅτι καρπῶν ἀρετῆς ἢ γεωργίας ἡγεμὼν ὁ θεός; ἡ γὰρ ἅρπη τοῦτο σημαίνει, καὶ οὐχ, ὡς γέγραφεν Ἀντίμαχος Ἡσιόδῳ πειθόμενος·

Λέχρις δὲ δρεπάνῳ τέμνων ἄπο μήδεα πατρὸς
Οὐρανοῦ Ἀχμονίδεω λάσιος Κρόνος ἀντιτέτυκτο.

Locus Hesiodi est Theog. 160 sqq., ubi fabula

37.

Mosychlus, mons ignivomus Lemni, ut apud Antimachum:

Vulcani flammæ similem, quam excitat
deus summis in cacuminibus montis Mosychli.

38.

Ambo rursus circa pulverulentum currum operati erant.

39.

Hi .:aro ante laborem (pugnam?) innuerunt alius alii.

40.

Calcitratum non timuit equorum.

41.

Sortitionem curare evitans.

42.

Cur Saturni templo utuntur Romani loco ærarii, ibidemque contractuum monimenta asservant?..... an quia deus ille fructuum virtuti atque agriculturæ præesse creditur? hoc enim falx designat; non id quod Hesiodum secutus dixit Antimachus:

Hunc contra situs est hirtus, genitalia patris
Acmonidæ Cœli Saturnus falce revellens.

de Cœli genitalibus a Crono filio exsectis. V. 1 recte Schellenbergius λέχρις (quod melius hoc loco quam λέχρια), i.e. *oblique*, ἐκ πλαγίου, ut exponit schol. Apoll. Rh. III, 228. Codd. λέχριε. De Urano Acmonis filio conf. Eustath. p. 1154, 23, Alcmanis auctoritate utentem. Verbum ἀντιτέτυκτο si proprie accipiendum est, *Contra* vel *ex adverso structus fuit*, ostendere videtur describi ab Antimacho locum statuis ornatum.

XLIII.

Scriptor Vitæ Arati, in ἐξηγήσει ad v. 15 sq., Χαῖρε, πάτερ, ... αὐτὸς καὶ προτέρη γενεή, p. 441 Buhl.: Ἤτοι οἱ Τιτᾶνες. Ἴσως καὶ παρὰ Ἀντιμάχῳ·

Γηγενέας τε θεοὺς προτερηγενέας Τιτῆνας.

Correxit Schneidewinus. Vulgo προτ. τε Τιτῆνας.

XLIV.

Chœrobosc. in Bekkeri Anecd. p. 1393 : Τὸ Λάδων (ἔστι δὲ ὄνομα ποταμοῦ) ὑπὸ Ἀντιμάχου διὰ τοῦ ω κέκλιται ἀναλόγως, οἷον «Λάδωνος.» Conf. Pausan. VIII, 25, 4.

Præter hæc in Thebaide locum habere poterant fragmenta incerta 66, 69, 71, 73, 80, 84, 90, 111, quod in ipsis ostendi.

ΛΥΔΗ.

Antimachus Lydes amore correptus Colophone relicta in Lydiam, fortasse Sardibus ipsis habitatum abiit. Inde post mortem illius in patriam rediit et dolorem elegiarum libris scribendis solabatur. Narrat hoc Hermesianax in celeberrima Elegia, v. 41 sqq.:

Λύδης δ' Ἀντίμαχος Λυσηΐδος ἐκ μὲν ἔρωτος
πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ.
Σαρδιανὴν δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν,
Τμώλιον αἴζαον δ' ἦλθεν ἀποπρολιπὼν
ἄκρην ἐς Κολοφῶνα, γόων δ' ἐνεπλήσατο βίβλους
ἱράς, ἐκ παντὸς παυσάμενος καμάτου.

Et Plutarchus Consolatione ad Apollonium p. 106, B : Ἀντίμαχος ὁ ποιητής, ἀποθανούσης τῆς γυναικὸς αὐτοῦ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὑτῷ ἐποίησε τὴν Ἐλέγειαν τὴν καλουμένην Λυδην, ἐξαριθμησάμενος τὰς ἡρωϊκὰς συμφοράς, τοῖς ἀλλοτρίοις κακοῖς ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην. (Conf. etiam Athen. XIII, p. 597, A). Hoc carmen amorem Antimachi et Lydes sæculorum memoriæ commendavit : v. Ovid. Trist. I, 6, 1; Posidippum in Anthol. Pal. XII, 168, Asclepiaden ibid. IX, 63; sed hujus ipsa verba referenda sunt :

Λύδη καὶ γένος εἰμὶ καὶ οὔνομα, τῶν δ' ἀπὸ Κόδρου
σεμνοτέρη πασῶν εἰμὶ δι' Ἀντίμαχον.
Τίς γὰρ ἔμ' οὐκ ἤεισε; τίς οὐκ ἀνελέξατο Λύδην
τὸ ξυνὸν Μουσῶν γράμμα καὶ Ἀντιμάχου;

Non effugit tamen hoc carmen quantumlibet celebratum notam acrimoniam Callimachi, *crassum et minime acutum* vel *elegans* dicentis. Schol. Dionysii Perieg. init. p. 317, 21 Bernh.: Ὅτι δὲ διαβέβληται τὸ παχύ, σαφῶς ὁ Καλλίμαχος ἐν τοῖς Ἐπιγράμμασι δηλοῖ· διασύρων γὰρ Ἀντιμάχου τὸ ποίημα τὴν Λύδην, ἔφη (fr. 441)·

Λύδη καὶ παχὺ γράμμα καὶ οὐ τορόν.

Desunt reliqua epigrammatis, in quibus Platonis de Antimacho judicium Callimachus perstrinxisse videtur; probabiliter hoc colligas ex Procli verbis supra p. 29 init. appositis.

Nækius de Chœrilo p. 73 : «Quod ad elegiam attinet, non dubito quin, quam vim Thebais Antimachi in epicam poesin, eandem fere Lyde in elegiam exseruerit. Ille primus antiquam elegiæ simplicitatem, a Callino, Mimnermo, Tyrtæo præscriptam, temerasse, præclaro exemplo, dispositionem artificiosiorem, sed eandem molestiorem, doctrinæ quum in rebus, tum in dictione ostentationem intulisse in hoc poeseos genus videtur. Quod quidem cum Lyda omnibus conditionibus comparari posset, elegiacum carmen fortasse nullum usquam exstitit, si forte Hermesianactis Leontium exceperis : ac non maximo in honore fuisse apud Alexandrinos mirum illud Antimachi carmen, certe apud Callimachum non fuisse, ostendit illius fr. 441. Nihilominus cer-

---

43.

Deos ex terra natos, prius genitos Titanas.

44.

Ladonis (*Arcadiæ fluvii*).

LYDE.

Lydes, Lysei filiæ, amore percussus Antimachus ad Pactoli fluenta tendit. Ubi quum defunctam sub Sardiana arida terra composuisset, Tmoli arce relicta, profectus est in altam Colophonem; et libros sacros querelis implevit, sic ab omni dolore sanatus.

Hoc genere animum demulcendi usus est etiam Antimachus poeta : quum enim morte amisisset Lyden uxorem, quam admodum caram habuerat, lenlendi doloris causa elegiam scripsit Lyden dictam, in qua enumeratis heroum et heroinarum calamitatibus, alienorum malorum commemoratione suum mœrorem deterebat.

Asclepiadæ epigramma.

Sum Lyde genus et nomen, magis inclyta Codri
progenie cuncta facta per Antimachum.
Quis non me cecinit? quis non Lyden recitavit,
communem Musarum Antimachique librum?

tum est illas, quas Antimachi Lydæ ascripsi, virtutes, sive malis, vitia, in Callimachi et Philetæ elegia passim, ne dicam perpetuo, occurrisse. Et profecto, præ aliis poeseos generibus, elegia hoc habet ut variis formis, hoc ævo docta, illo simplex, vel eodem ævo, apud hunc poetam docta, apud illum simplex placeat. » Quæ postrema scribenti Nækio popularium poetarum admirabilia exempla sine dubio obversabantur. Ceterum in illis ἡρωϊκαῖς συμφοραῖς enarrandis Antimachum non brevius quam in Thebaide versatum, sed otiose per singula mythorum deambulasse, nec amores modo infelices heroum pinxisse, fragmenta demonstrant. Quare Agatharchides Cnidius, sæculo fere ante res Christianas, tam dives mythicæ doctrinæ opus in compendium pedestri oratione scriptum redegit, teste Photio Bibl. cod. 213, p. 171. Ceterum commendamus quæ de hoc carmine scite disseruit Welckerus de Cyclo ep. p. 108.

Antimachi Lyden inter Romanos imitatus est C. Proculus, quod didicimus ex Appuleii qui fertur libro de Orthographia, § 43 : *Battus .... fuit ... Polymnesti filius, qui Cyrenen condidit; unde Cyrenenses poetæ dicuntur Battiadæ Herodio et Proculo et Proclo Pindari* (Pythic. V, 36) *enarratoribus* ** *Callimachus* ** *Strabo item; sed et C. Proculus Antimachum secutus in opere quod de Lyde et ipse habet centum et quadraginta elegorum libris; unde « latus Antimachus » C. Melisso in libris Jocorum dicitur sic* ** Rectissime Osannus *Antimachum* bis substituit *Callimacho*, qui legitur in codice. Idem egregie observavit, Catulli *tumidum Antimachum*, de quo supra mentionem fecimus, non de ipso Antimacho intelligi debere, sed de imitatore ejus Proculo. Minime obstat Osanno Ovidianum illud (Ep. ex Ponto IV, 16, 32),

Callimachi Proculus molle teneret iter.

De numero librorum Lydes latinæ incerta res est : non desunt in codice illius opusculi manifesta glossarum et transpositionum exempla; quare ne *centum et quadraginta* libri Ineptiarum vel Jocorum Melissi fraudem huic loco intulerint verendum est. Totum segmentum posui, quod doceret poetam Græcum Batti quoque res in Lyde tetigisse, nisi verba *Antimachum secutus* ad ipsam scriptionem probabilius referrentur: sed poterat etiam ab exemplari suo hæc sumpsisse. Certior res est in altero loco, § 4, qui pro fragmento Antimachi haberi debet : *Rhœo, filia Staphyli et Chryseidis* (leg. videtur *Chrysothemidis*), *sororibus Molpadia major, Parthenia minor; quæ ab Apolline compressa gravidaque facta, a patre in arca inclusa est, et in mare dejecta, in Delum appulit, filiumque genuit nomine Anium, qui clam ab Apolline alitus et divinitate donatus est. ... C. Proculus in sua Lyde, et Sextus Gracchus in libris Amorum historiam elegantissime exornarunt.*

XLV (34).

Stephanus Byz. v. Δώτιον, p. 114, 27 : ... καὶ Δωτιάς, ὡς Ἰλιάς τοῦ Ἰλιεύς. ... Καὶ Ἀντίμαχος ἐν β' Λύδης·

Φεύγοντας γαίης ἔκτοθι Δωτιάδος.

Δωτιὰς γαῖα, ab aliis fere Δώτιον πεδίον dictum, in media prope Thessalia situm erat, Perrhæbia, Ossa et Bœbeitide palude propinquis, teste Strabone IX, p. 442 (674). Verba ipsa ad Thessalos cum Triopa, Helii filia, in Cnidum emigrantes (Diodor. V, 61, Bœckh. ad Pindari schol. p. 314 sq.) retulerunt Schellenb., Weberus (Eleg. Græc. p. 653 sq.) et alii.

XLVI (36).

Photius Lex. p. 344, v. Ὀργεῶνες : Σέλευκος δὲ ἐν τῷ ὑπομνήματι τῶν Σόλωνος ἀξόνων ὀργεῶνάς φησι καλεῖσθαι τοὺς συνόδους ἔχοντας περί τινας ἥρωας ἢ θεούς· ἤδη δὲ μεταφέροντες καὶ τοὺς ἱερεῖς οὕτω καλοῦσιν· ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λύδῃ γ'·

Ἔνθα Καβάρνους θῆκεν ἀγακλέας ὀργειῶνας.

Codex Λυδῆι (β)· Γενεαῖ καβάρνους θ. ἀγακλέας ὀργίωνας. In verbis ita ut scripsimus ponendis consentiunt Friedemannus De media syll. pent. p. 344, Bœckhius in Corp. inscrr. vol. 2, p. 347, J. H. Vossius ad Hymn. in Cer. p. 150. Similiter corruptus locus est ap. Suidam v. Ὀργεῶνες. Eum respicit Harpocr. in Ὀργεῶνας. Hesychius: Κάβαρνοι, οἱ τῆς Δήμητρος ἱερεῖς, ὡς Πάριοι. Paros insula ipsa olim Κάβαρνις dicta, teste Stephano p. 225, 38, ἀπὸ Καβάρνου τοῦ μηνύσαντος τὴν ἁρπαγὴν τῇ Δήμητρι τῆς θυγατρός. Conf. Welcker. Trilog. Æsch. p. 221. Apparet igitur ex hoc versu, raptum Proserpinæ narratum fuisse in Lyde.

45.

Dotias..... Et Antimachus libro secundo Lydes :

Fugientes ex terra Dotiade.

46.

Orgeones Seleucus in commentariis de legibus Solonis vocari dicit eos qui conventus habent ad heroes quosdam vel deos : nunc autem translate sacerdotes ita vocant. Antimachus in tertio libro Lydes :

Ibi (Ceres) Cabarnos posuit (sibi) claros sacerdotes.

Cabarni apud Parios vocantur sacerdotes Cereris.

XLVII (34).

Schol. Euripidis Phœn. 44 : Ὅτι δὲ Πολύβῳ (OEdipus) ἔδωκε τοὺς ἵππους καὶ Ἀντίμαχός φησιν ἐν Λύδῃ·

Εἶπε δὲ φωνήσας· Πόλυβε, θρεπτήρια τούσδε
ἵππους τοι δώσω δυσμενέων ἐλάσας.

Sunt equi Laii. Euripides:

Παῖς πατέρα καίνει, καὶ λαβὼν ὀχήματα
Πολύβῳ τροφεῖ δίδωσιν.

Ubi v. notam Valckenarii. Codices (etiam Parisinus antiquus) θρεπτήρια τάδε, quod in ταῦτα mutarunt Barnesius et Valck., amplectitur et tenet crisis Bachiana. Malui τούσδε, quod et per se melius est et commendatur frequenti permutatione siglarum ου et ους cum α apud librarios. Ceterum apparet ex hoc disticho res OEdipi vel partem rerum ejus per singula tractatas fuisse in elegis Antimachi.

XLVIII (25).

Athen. XI, p. 469, F : Ὅτι καὶ ὁ Ἥλιος ἐπὶ ποτηρίου διεκομίζετο ἐπὶ τὴν δύσιν, Στησίχορος μὲν οὕτω φησίν ... καὶ Ἀντίμαχος οὑτωσὶ λέγει· « Τότε δὴ εὐχρέῳ ἐν δέπαϊ Ἠέλιον πομπεῖ ἀγακλυμένη Ἐρύθεια. » Sic cod. Marcianus, πομπεῖ. Quod quum facile oriri posset ex πόμπευ cum affixa sigla εν et maxima cum probabilitate restituerint πόμπευεν Jacobsius et Schweighæuserus, deinde quoniam verba ἐν δέπαϊ, finis pentametri, vitii suspicione nulla premuntur, ego quoque ad Lyden hoc fragmentum retuli, cum Jacobsio Animadv. ad Athen. p. 252 ita scribens,

Τότε δὴ *εὐχρέῳ* ἐν δέπαϊ
Ἠέλιον πόμπευεν ἀγακλυμένη Ἐρύθεια·

licet idem in alia abierit posterius, in Append. Advers. Porsoni p. 320, ad Anthol. III, 3, p. 845. Sed vocabulum εὐχρέῳ sanum esse, ut Schweighæuserus vult, mihi non persuadeo : etiam Jacobsius, qui olim probaverat ad Athen., deinde εὐχρύσῳ δέπαϊ ᾧ scripsit. Aureum illud poculum est etiam apud Mimnermum et Pherecydem (schol. Apollon. IV, 1396). An sana exempla hiatus in media sede pentametri Friedemanno possint opponi, ignoro. Probabiliter Casaubonus χρυσέῳ.

XLIX (37).

Etymol. M. p. 375, 40 : Ἕρκτωρ, ὁ πρακτικός. Ἀντίμαχος·

Ὅσσοι σῶν μεγάλων ἕρκτορες εἰσὶ κακῶν.

Sic Valckenarius ad Eur. Phœn. p. 607, indicio codicis Leidensis, qui οἱ τῶν μ. Editiones nihil nisi τῶν μεγ. ... præbent.

L (57).

Schol. Apollonii Rhod. I, 1008 : Δύπτειν δέ ἐστι τὸ δύνειν, ὡς παρὰ Καλλιμάχῳ ... Πρότερος δὲ Ἀντίμαχος·

Ἠΰτε τις καύηξ δύπτησιν ἐς ἁλμυρὸν ὕδωρ.

Sic egregia conjectura restituit Janus Rutgersius, qui hoc legerat in antiquo scholiasta, ἠΰτε καύηξ δύνῃ ἐς ἁλμ. πέλαγος. Parisinus, ἠΰτε κ. δύπτει εἰς ἁλμ. ὕδωρ, pro quo οἶδμα posuerat Rutgersius. Emendationem probarunt et contra minus felices tuiti sunt Wolfius Epist. ad Schellenb. p. 125 sq. et Schneidewinus ad Ibycum p. 69. Ceterum ad Lyden Schellenbergius retulit hoc fragm. eo argumento, quod alibi scholiasta Apollonii unum hoc carmen ad partes vocet. Cujusmodi argumentum ut in ceteris valet quæ ad res Argonautarum spectant, ita non valet in notatione grammatica. Reliquimus tamen fragmentum.

LI (38).

Idem ad I, 211 : Ζήτης αὖ Κάλαΐς τε]... Καταλέγει δὲ τούτους καὶ Ἀντίμαχος, inter Argonautas, quorum expeditionem in Lyde relatam fuisse sequentia fragmenta ostendunt.

LII (39).

Idem ad I, 1290 : Ἀντίμαχος δὲ ἐν τῇ Λύδῃ φησὶν ἐκβιβασθέντα τὸν Ἡρακλέα (ex Argo navi), διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος. Conf. schol. Pindari Pyth. IV, 303.

47.

Laii occisi equos ab Œdipo datos esse Polybo, narrat Antimachus in Lyde :

Allocutus est eum his verbis : Polybe, nutritionis mercedem hos
tibi dabo equos, quos ab hostibus abegi.

48.

Solem etiam ab ortu ad occasum vehi in poculo, Stesichorus ait..... Et Antimachus ita scribit :

Tunc vero commodo (?) in poculo
Solem magnifice arcessivit illustris Erythea.

49.

Quotquot tuorum malorum magnorum sunt auctores.

50.

Velut quando mergus aliquis se immergit in salsam aquam (maris).

51.

Etiam Zeten et Calain inter Argonautas refert Antimachus.

52.

Antimachus in Lyde narrat, Herculem ex Argo nave exire jussum, quia pondere suo heros eam gravabat.

LIII (43).

Idem ad III, 409 : Καὶ Ἀντίμαχος ἐν τῇ Λύδῃ Ἡφαιστοτεύκτους τοὺς ταύρους ἀπεφήνατο. Parisinus schol. χαλκόποδας, calami lapsu : nam χαλκόποδες sunt apud Apollonium. Schol. Pindari Pyth. IV, 398 : Τοὺς πυρίπνους ταύρους Ἀντίμαχος ἐν Λύδῃ Ἡφαιστοτεύκτους λέγει. De tauris quos Æetes Iasonem sub jugum mittere jussit. Mirum neque Schellenbergium neque Bachium in hoc vocabulo, quod consensu præbent testes duo, cogitasse de metro elegiaco talem mensuram repudiante. An poeta Æschylea voce usus fuerit ἡφαιστοτυκεῖς ?

LIV (44).

Idem ad IV, 156 : Ἐν τούτοις δὲ καὶ τοῖς ἐφεξῆς φησὶ τὴν Μήδειαν ἐπιῤῥαίνουσαν ἀρκεύθῳ τὸ φάρμακον κοιμίσαι τὸν δράκοντα, ἐπᾴδουσαν, καὶ οὕτω τὸ κῶας ἀνελέσθαι· καὶ χωρῆσαι ἀμφοτέρους ἐπὶ τὴν ναῦν, κοιμωμένου τοῦ θηρίου· συμφώνως Ἀντιμάχῳ.

LV (46).

Idem ad IV, 1153 : Ἰστέον ὅτι Τιμαίου λέγοντος ἐν Κερκύρᾳ τοὺς γάμους (Iasonis et Medeæ) ἀχθῆναι ... Ἀντίμαχος ἐν Λύδῃ ἐν Κόλχοις πλησίον τοῦ ποταμοῦ μιγῆναι αὐτῇ φησι τὸν Ἰάσονα. Verba ἐν Κόλχοις ex Parisino scholiasta accesserunt : unde solvitur Schellenbergii dubitatio de flumine. Est Phasis.

LVI (45).

Idem ad IV, 259 : Ἡσίοδος δὲ καὶ Πίνδαρος ἐν Πυθιονίκαις, καὶ Ἀντίμαχος ἐν Λύδῃ διὰ τοῦ Ὠκεανοῦ φησὶν ἐλθεῖν αὐτοὺς (Argonautas) εἰς Λιβύην, καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

LVII (41, 42).

Idem ad II, 296 : Στροφάδας (insulas) φησὶ κεκλῆσθαι διὰ τὸ τοὺς Βορεάδας (Zeten et Calain) αὐτόθεν ὑποστρέψαι, στραφέντας εἰς τοὐπίσω· λαβὼν παρὰ Ἀντιμάχου (οὕτω γὰρ ἐκεῖνος ἐν τῇ Λύδῃ περὶ αὐτῶν μέμνηται). Οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες ηὔξαντο τῷ Διὶ καταλαβεῖν τὰς Ἁρπυίας· κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται. Quæ parentheseos signis cinguntur, ex Parisino schol. accessere.

Idem ad seq. v. : Αἱ πλωταὶ νῆσοι μετωνομάσθησαν Στροφάδες. Μέμνηται αὐτῶν καὶ Ἀντίμαχος ἐν τῇ Λύδῃ.

LVIII (40).

Idem ad II, 178 : Ἀγήνορος παῖς ἐστιν (Phineus), ὡς Ἑλλάνικος· ὡς δὲ Ἡσίοδός φησι, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιοπείας. Ὁμοίως δὲ καὶ Ἀσκληπιάδης καὶ Ἀντίμαχος καὶ Φερεκύδης φησίν. Ἐκ γὰρ Κασσιοπείας τῆς Ἀράβου Φοίνικι γίνεται Κίλιξ καὶ Φινεὺς καὶ Δόρικλος. Eadem valde depravata ap. Eudociam p. 414.

LIX.

Schol. Venetus Hom. Iliad. Z, 200 : Ἐπειδὴ τὰς μὲν εὐτυχίας εἰώθασιν ἀναφέρειν εἰς τὴν θεοφιλίαν, τὰς δὲ δυστυχίας εἰς ἀπέχθειαν θεῶν, τὴν μεταβολὴν ἐπὶ τὸ χεῖρον τοῦ Βελλεροφόντου εἰκότως εἰς ἀπέχθειαν θεῶν ἀνατέθεικεν (Homerus). Ὅτι δὲ πολλή τις ἡ κατ' αὐτὸν μεταβολὴ γέγονε, δηλοῖ ἃ καταλέγει δυστυχήματα αὐτοῦ. .... Ἀντίμαχος δὲ ἐν τῇ Λύδῃ, ὅτι τοὺς Σολύμους ἀνεῖλε θεοῖς ὄντας προσφιλεῖς, διὰ τοῦτο μισηθῆναι αὐτόν φησιν ὑπὸ τῶν θεῶν.

LX.

Schol. Palat. Hom. Odyss. E, 283 : Οἱ Σόλυμοι ὠνομάσθησαν ἀπὸ Σολύμου τοῦ Διὸς καὶ Καλχηδονίας, ὡς Ἀντίμαχος λέγει.

53.

Tauros Æetæ Antimachus in Lyde « ab Vulcano factos » scripsit.

54.

Apollonius in eo consentit cum Antimacho, ut narret Medeam junipero aspersisse medicamentum, atque ita cum incantamentis sopiisse draconem, et abstulisse vellus; tum, dormiente bellua, ambos in navem concessisse.

55.

Timæus in Corcyra insula factas esse nuptias Iasonis et Medeæ narrat; in Colchis illos prope fluvium (Phasidem) coiisse, Antimachus in Lyde.

56.

Præter Hesiodum et Pindarum Antimachus quoque in Lyde narrat Argonautas per Oceanum descendisse in Libyam, deinde humeris vecta Argo in nostrum mare venisse.

57.

Strophades insulas, quum Plotæ prius dicerentur ita vocatas ob Boreæ filios, Zeten et Calain, qui ab ea regione se retro vertissent (*quod græce est* στραφῆναι, *unde* στροφή, Στροφάδες), narrat Apollonius, ab Antimacho acceptum, qui in Lyde illarum meminit. Alii hanc rationem attulerunt, quod ad Jovem conversi petiissent ut Harpyias perdere ipsis contingeret. Ceterum apud Hesiodum, Antimachum et Apollonium Harpyiæ non occiduntur.

58.

Phineus Hesiodo est filius Phœnicis, Agenoris et Cassiopeæ filii. Similiter Asclepiades, Antimachus, Pherecydes referunt. Nam ex Cassiopea, Arabi filia, nascuntur Phœnici Cilix, Phineus et Doriclus.

59.

Bellerophontis infortunia Antimachus in Lyde inde accidisse dicit, quod Solymos exciderit, (Lyciæ) gentem diis amicam : hinc ipsum odio fuisse diis.

60.

Solymos vocatos esse a Solymo, Jovis et Calchedoniæ filio, Antimachus dicit.

LXI.

Schol. Homeri Il. Γ, 144, Κλυμένη δὲ βοῶπις, Helenæ ἀμφίπολος : Ἀντίμαχος δὲ τὴν Κλυμένην Ἱππάλκου θυγατέρα εἶναί φησιν. Quod in Lyde factum esse puto, in qua Antimachum res Helenæ siluisse non est probabile.

Ex incertis fragmentis ad Lydam pertinere possunt 75, 79, 86, 105 et 109, ubi vide annotata.

ΔΕΛΤΟΙ.

LXII (49).

Athenæus VII, p. 300, D : Καὶ περὶ τὸν Εὐλέα ποταμὸν (esse anguillas), οὗ μνημονεύει Ἀντίμαχος ἐν ταῖς ἐπιγραφομέναις Δέλτοις οὕτως·

Ἐλθὼν Εὐλείας πηγὰς ἔπι δινήεντος.

In verbis Athenæi codd. εὐκλέα, quod correxit Schweighæserus; in fragm. Marcianus et Laur. recte, vulgo εὐκλείας. Fluvius ignotus. Schweighæuserus cogitavit de Eulæo (Εὐλαίῳ), Mediæ Persiæque fluvio.

Dubitari potest ab Antimachone ipso inscriptum illi libro fuerit Δέλτοι, *Pugillares*, an ab eo qui scripta poetæ collegit (συνέλεξε : v. supra p. 29), congestis ibi quæ non edita in pugillaribus ejus invenisset. Neque argumenta superesse videntur quibus permotus in alteram utram partem magis inclines. Conferri poterit scriptum Callimachi Γραφεῖον dictum, cujus notitiam cum fragmento aliquot versuum nuper ex codice eruere mihi contigit, Καλλίμαχος ἐν τῷ χαλουμένῳ γραφίῳ (sic).

ΚΑΤΑΧΗΝΗ.

De hoc scripto Theodori Bergkii est dissertatio, in Zimmermanni *Zeitschrift f. d. Alterthumsw.* 1835, n. 37, p. 300 sq., quam apponimus compendifactam.

« Spartianus in Vita Hadriani cap. 15 : *Famæ celebris tam cupidus fuit, ut libros vitæ suæ scriptos a se libertis suis literatis dederit, jubens ut eos suis nominibus publicarent : nam Phlegontis libri Hadriani esse dicuntur. Catacrianos libros obscurissimos, Antimachum imitando, scripsit.* Quam imitationem in uno dicendi genere constitisse non est credibile : imo prorsus non dubito quin imperator etiam in argumento et inscriptione operis Colophonium poetam sit secutus. Jam vero facile quilibet intelligit, neque de Thebaide neque de Lyde cogitari posse. Ipsa autem literarum vestigia *catacacmos, catacannas*, etc., aperte produnt Spartianum scripsisse : « *Catachenas*, libros obscurissimos, Antimachum imitando scripsit. » Institutum igitur horum librorum fuit irrisioni atque objurgationi aptatum : id enim significat καταχήνη. ... [V. Thesaur. HSteph. s. ea v.] Superest illud, ut demonstrare coner etiam Antimachum libros et argumento et titulo similes edidisse. Ac videor mihi reperisse hujus rei non obscura vestigia.

LXIII (50).

In Etymol. enim M. p. 4, 7, hæc leguntur : Ἀβολήτωρ ... Ἀντίμαχος Ἰαχίνῃ· « Τοὶ δ' ἄρ' οἱ ἀβολήτορες ἄνδρες ἔασιν· » ἀντὶ τοῦ μάρτυρες, συνηλλαχότες καὶ συντυχόντες. Οὕτω Φίλων εἰς τὰ ῥηματικὰ αὐτοῦ. Quæ hoc modo corrigere tentavit Blomfieldus : Ἀντίμαχος· Ἰάχοντι δ' ἄρ' οἱ ἀβολήτορες ἄνδρες ἔασιν· quæ conjectura non unam ob causam improbanda est *. Credo me non aberrare a vero, si ita potius corrigam : Ἀντίμαχος Καταχήνῃ·

Τοὶ δ' ἄρα οἱ ἀβολήτορες ἄνδρες ἔασιν.

Antimachus utrum unum an plures libros sic inscripserit, non audeam decernere : potuit enim hac in re Hadrianus a Colophonio poeta recedere. Hanc meam conjecturam alia quoque confirmare videntur : sunt enim quædam inter reliquias Antimachi, quæ neque in Thebaide, neque in Lyde locum commodum tenere videantur. Vide enim illud quod Herodianus Philet. p. 439 (398 Lips.) Mœridis Piers. ex Antimacho profert :

* Mihi quoque improbabatur illa conjectura in præfat. ad Statium Collectionis Panckouckianæ, p. VI, ubi melius, opinor, tentabam : Ἀντίμαχος·

Ἰναχίδαι δ' ἄρα οἱ ἀβολήτορες ἄνδρες ἔασιν.

61.

Clymenen (Helenæ famulam) Hippalci filiam esse dicit Antimachus.

PUGILLARES.

62.

Euleæ fluvii meminit Antimachus in libro qui inscribitur *Pugillares* :

Quum venisset ad Euleæ fontes vorticosi.

CATACHENE.

63.

Hi autem sunt illi testes (s. conciliatores) viri.

LXIV (77).

Ἐννεάμυχλος ὄνος· παρὰ Ἀντιμάχῳ. Ὄνου μύχλαι δὲ λέγονται αἱ ἐν τοῖς σκέλεσιν τῶν ὄνων περιγραφαί. Hæc enim a dignitate epici pariter atque elegiaci carminis abhorrent. Tzetzes quidem ad Lycophr. v. 771 et Etymologus M. p. 594, 20, hæc, sed auctiora, tribuunt Callimacho :

Ἔστιν μοι Μάγνης ἐννεάμυχλος ὄνος.

Ego vero censeo illos grammaticos sive potius librarios Callimachi nomen notissimum substituisse Antimacho, cujus memoria multo fuit obscurior, quod vel Xiphilinus LXIX, 4, satis superque indicat : Τὸν γοῦν Ὅμηρον καταλύων Ἀντίμαχον ἀντ' αὐτοῦ εἰσῆγεν, οὗ μηδὲ τὸ ὄνομα πολλοὶ πρότερον ἠπίσταντο. Credo autem illum ipsum versiculum ex Catachene petitum esse : ut enim Callimachi illud carmen, quod inscribitur *Ibis*, fuit elegiacum, sic hoc quoque ex distichis constitisse non abhorret a probabilitatis specie : nisi forte quis malit hunc pentametrum ad Δέλτους referre. »

Hesych. : Μύχλαι, αἱ περὶ τὰ σκέλη καὶ ἐν τοῖς ποσὶ καὶ ἐπὶ νώτου τῶν ὄνων μέλαιναι γραμμαί. H Steph. Thes. : « Ἐννεάμυχλος Hesychio ἐνναετής, ἰσχυρός, Novem annorum, Robustus et validus. Forsitan autem exponitur ἐνναετής, quoniam ex μυχλῶν numero cognoscebatur annus; et ἰσχυρός, quia talis habebatur qui multas haberet μύχλας. »

FRAGMENTA INCERTA.

LXV (22).

Tzetzes ad Lycophr. 245 : Χρησμὸς ἦν δοθεὶς τοῖς Ἕλλησι, τὸν προπηδήσαντα τῶν Ἑλλήνων κατὰ τῶν Τρώων ἐκ τῶν ὁλκάδων πρῶτον τῶν ἄλλων ἀποθανεῖν. Προπηδήσαντος δὲ τοῦ Πρωτεσιλάου καὶ ἀναιρεθέντος ὑφ' Ἕκτορος ἢ ἑτέρου τινός, ὁ Ἀχιλλεὺς τῷ τούτου παθήματι παιδευθείς, ὕστερον ἁπάντων τῆς ἰδίας νεὼς πηδήσας πλήττει τὴν γῆν, καὶ ὕδωρ ἐξ αὐτῆς, ὥς φασιν, ἀνεδόθη. Μαρτυρεῖ δὲ καὶ Ἀντίμαχος λέγων οὕτως (alii codd. ἐξ αὐτῆς ἀνεδ., ὥς φησὶ καὶ ὁ Ἀ.)·

Ῥίμφα δ' ἐπ' ἠπείροιο μελαίνης ὑψόσ' ἀερθεὶς
Πηλείδης ἀπόρουσεν ἐλαφρότερ' ἠύτε κίρκος·
τοῦ δ' ἔμπροσθε ποδῶν κρήνη γένετ' ἀενάουσα.

V. 1 Schellenb. ἐπ'. Codd. (etiam 3 Parisini) ἀπ'. V. 2 Vit. 2 ἐπόρουσεν. Deinde edebatur ἐλαφρὸς ἠύτε κ., quod emendavit Hermannus ad Eurip. Androm. 1108; cujus loci notitiam Fixii benevolentiæ debeo. De ἠύτε pro ἢ posito v. Buttmann. Lexil. vol. II, p. 229 sq. Circus, ex accipitrum genere, Homero est ἐλαφρότατος πετεηνῶν, Il. X, 139. — Nec Lydes esse nec Thebaidis hoc fragmentum apparet. De re Schellenbergius confert Eustathium ad Il. B, 698, Ὑπέτρεσεν (Achilles) κατά τινας, καὶ τελευταῖος εἰς γῆν κατεπήδησεν.

LXVI (57).

Scholiastes Nicandri Theriac. 295 : Πλόον, νῦν τὴν ὁδὸν τὴν πεζήν, τὴν πορείαν. Καὶ Ἀντίμαχος εἶπε·

Τοῖσιν δ' ὑλήεντα διὰ πλόον ἐρχομένοισι.

Editur τοῖσι δ' ἂν ὑλ. Lucian. Ver. hist. II, 42, de ficta navigatione per cacumina silvæ in medio mari inventæ : Θέντες (navem) ἐπὶ τῶν κλάδων, πετάσαντες τὰ ἱστία καθάπερ ἐν θαλάττῃ ἐπλέομεν τοῦ ἀνέμου προωθοῦντος ἐπισυρόμενοι. Ἔνθα δὴ καὶ τὸ Ἀντιμάχου τοῦ ποιητοῦ ἔπος ἐπεισῆλθε· φησὶ γάρ που κἀκεῖνος·

Τοῖσιν δ' ὑλήεντα διὰ πλόον ἐρχομένοισι.

Id est διερχομένοισι, « fortasse per Cithæronem. » *Schellenb.*

LXVII (60).

Epimerismi Hom. ap. Cramer. Anecd. vol. 1, p. 401, excerpta ib. vol. II, p. 329, 10, et Etym. M. p. 770, 10 : Κοία σημαίνει τὴν σφαῖραν· ἡ χρῆσις παρὰ Ἀντιμάχῳ·

Κοίας ἐκ χειρῶν σκόπελον μέτα ῥιπτάζουσιν.

64.

Apud Antimachum, « Asinus cum novem myclis » (lineis nigris).

Est mihi Magnes asinus novem myclorum.

FRAGMENTA INCERTA

65.

Oraculum datum fuerat Græcis, fore ut qui primus Græcorum ex navibus in terram Trojanam prosiliisset, is ante omnes occumberet. Quum igitur Protesilaus, hoc facere ausus, ab Hectore aut alio quodam obtruncatus esset, Achilles, hujus calamitate edoctus, ex sua nave postremus omnium desiliit, et saltu suo terram ita percussit, ut fontem emisisse feratur. Testatur Antimachus his verbis :

Alacriter in nigram terram, sursum elatus,
Pelides *navi* desiliit pernicius quam circus;
cujus ante pedes fons ortus est jugis.

66.

Πλοῦς (navigatio) de terrestri itinere dixit Antimachus :

His silvestrem navigationem peragentibus,

id est, « iter per silvas. »

67.

Pilas ex manibus in scopulum conjiciunt.

Sic hæc scripsit Spohnius De extrema parte Odyss. p. 208, recte. Omnes μεταριπτάζουσιν, et mirabili consensu ἐκ χειρῶν εἰς σκόπ., excerpta εἰς κόπελον. Εἰς removerat jam Schellenberg. Hesychius, ex hoc versu, ut videtur: Κοίας, σφαίρας, ἢ λίθους.

LXVIII.

Schol. Homeri Il. Ψ, 845: ·... χαλαῦροψ. Καὶ Ἀντίμαχος·

Πάντες δ' ἐν χείρεσσι χαλαύροπας οὐατοέσσας εἷλον.

Editur ἕλον.

LXIX (58).

Scholiastes Sophoclis OEdip. Col. 14 : Πωρεῖν οἱ Ἠλεῖοι τὸ πενθεῖν φασι. Καὶ Ἀντίμαχος, « Πωρήτοιν ἀλόχοισι (sic codex) καὶ οἷς τεκέεσσιν ἕκαστος. » Παρὰ τοῦτο οὖν ταλαίπωρος ἐτυμολογεῖται. Schol. Eurip. Orest. 382 : Ταλαίπωρος παρὰ τὴν πώρην, ὃ δηλοῖ τὸ πένθος. Ἀντίμαχος, « Πώρη τοι ἀλ. ... ἕκ. » Apud Suidam (vv. Πῶρος et Ταλαίπωρος) duo versus habentur, alter πῶρον τίν' ἀλ. κ. οἷς τεκέεσσιν ἔθεντο, alter πωρητὸν ἀλ. κ. οἷς τεκ. ἕκαστος. In scholio ad Aristophanis Plutum 33, quod antiqui codd. ignorant, Πῶρος πένθος ἐστὶ, καὶ Ἀντ. φησι, « πῶρός τοι ἀλ. ... ἕκ. Antimacho substantivum πωρητύς restituendum esse viderunt Sopingius ad Hesychii glossam, Πωρητύς, ταλαιπωρία, πένθος, et Kusterus. Emendationem perfecit G. Dindorfius ad scholium cit. Aristoph. :

Πωρητὺν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος θέντο.

Male Hemsterhusius et alii duo fragmenta esse crediderunt.

LXX (59).

Pollux II, 178: Τὴν ῥάχιν ἔνιοι τῶν ποιητῶν ὠνόμασαν κλόνιν, ὥσπερ Ἀντίμαχος·

Ὡς εἴτε κλόνιος τεθορυίης σφονδυλίων ἐξ.

Sic Canterus correxit quod in editionibus legitur κλόνιός τε θουρίης σφ. ἐξ. Abest locus ab melioribus codicibus.

LXXI (73).

Scholiastes Ambros. Homeri Od. Λ, 579: Τὸ δέρτρον Ἀντίμαχος μὲν ὁ Κολοφώνιος τὸν ἐπίπλουν ἀκούει τὸν ἐν τοῖς χαλουμένοις ἐγκάτοις· λέγει γὰρ « Οὐδέ τι θερμὸν ἀναπνέων χολάδας δέρτροισι καλύψας » (aut καλύψοις, quod codex ostendere videbatur Maio). Postrema habet etiam Eustathius, χ. δ. καλύψας. Buttmannus emendat ἀναπνείων, verum multo gravius hæc corrupta sunt, οὐδέ τι θ. ἀν. Hariolabar,

πρηόν' ἂν' αἰπεινῷ, χολάδας δέρτροισι καλύψας,

quod a codicis ductibus proxime abest. Jupiter Homericus sedet ἀνὰ Γαργάρῳ ἄκρῳ. Ut de sacrificio in Cadmea agatur. Ex οὐδέ τι θε nihil extrico; Οἰδιπόδῃ hic non est locus.

LXXII (61).

Etymol. M. p. 178, 10: Παρὰ τοῦ ἄφενος γίνεται ἄφνος, κατὰ συγκοπὴν ... ἐκ τούτου γίνεται ῥῆμα ἀφνῶ, καὶ ἐξ αὐτοῦ ἀφνήμων. Ἀντίμαχος·

Πολλὰ δὲ μῆλα, τάπερ ἀφνήμονας ἄνδρας.

« Excidit verbum ποιεῖ aut simile aliquod. » *Schellenb.*

LXXIII.

Theodosius gramm. ap. Bekker. Anecd. p. 1187 : Ἔστι γὰρ τῷ κυανοχαίτου (sic) καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ κυανοχαίτα καὶ οὐκ ἔχει προσγεγραμμένον τὸ ι, οἷον ὡς παρὰ Ἀντιμάχῳ,

Πατρί τε κυανοχαίτα Ποσειδάωνι πεποιθώς.

De quo loco Lobeckius a Bekkero memoratus, in Parerg. ad Phrynich. p. 658 : « Metaplasmi licentia efficta sunt πρωτόθρονες ἕδραι, πολυπάταγα θυμέλην et, puto, illud Antimachi κυανοχαῖτι (pro quo in Tryphonis Excc. apud Constant. Lascar. Gramm. n. 11 κυανοχαίτα scribitur), et quæ sunt his similia, in quibus patet terminationem licentiose ad tertiæ declinationis similitudinem vel euphoniæ vel metri causa traductam esse. » Ceterum de Ida dictum videtur, et ad Thebaidem pertinere : v. ad fr. 105.

LXXIV.

Epimerismi Hom. Crameri Anecd. vol. 1, p. 158, 24 : Βάθος ἀγχιβαθής· λέχος ἀγχιλεχής. Ἀντίμαχος·

68.

Omnes peda ansis instructa in manus ceperunt.

69.

Luctum uxoribus et liberis suis omnes pararunt.

70.

Spina labat ceu vertebris quum concita motis. CANT.

71.

Minime calidum respirans (?) intestina omentis quum texisset....

72.

Et multæ oves, quæ viros divites (*reddunt*).

73.

Et patre cæruleis-comis Neptuno fretus.

74.

Qui (gladius) ipsi prope lectum de clavo suspensus erat semper.

Τό ῥά οἱ ἀγχιλεχὶς χρέματο περὶ πάσσαλον αἰεί.

« Quocum componas Theocritum XXIV, 42 :

Δαιδάλεον δ' ὥρμησε μετὰ ξίφος, ὅ ῥ' οἱ ὕπερθε
κλιντῆρος κεδρίνῳ περὶ πασσάλῳ αἰὲν ἄωρτο.»

Th. Bergkius. Hæc ita comparata sunt ut non temere suspiceris Antimachum quoque illa de Amphitryone dixisse et Theocritum idem argumentum æmulo studio tractasse.

LXXV.

Iidem ibid. in θοῇ, p. 201, 11 : Καὶ παρὰ τῷ Ἀντιμάχῳ,

Ἀΐδος ἐκπρολιποῦσα θοὸν δόμον,

οὐ τὸν μέλανα, ἀλλὰ τὸν ἀκίνητον. Codex θοὸν δο". De Eurydice dictum videtur et ex Lyde petitum. «Θοὸν est Celerem, In quem celeriter pervenitur.» *G. Dind.* Thes.

LXXVI (65).

Hesychius v. Κλύμενος : Λέγεται δὲ καὶ κισσὸς, ὡς Ἀντίμαχος·

Κισσοῦ τε, κλυμένοιο καὶ ἀμπελίνης...

Ubi inepte Blomfieldus, Περικλυμένοιο καὶ ἀμπ. Videtur is a quo glossam petiit Hesychius, κλύμενον habuisse pro specie hederæ. Plinius H. Nat. XXV, 7, § 33 : *Clymenus a rege* (Arcadiæ Clymeno) *herba appellata, hederæ foliis, ramosa*, etc. Post ἀμπελίνης deest substantivum, velut φυλλάδος.

LXXVII (55).

Strabo VIII, p. 364=560 : Παρ' Ἐμπεδοκλεῖ δὲ « Μία γίνεται ἀμφοτέρων ὄψ, » ἡ ὄψις· καὶ παρ' Ἀντιμάχῳ·

Δήμητρός τοι Ἐλευσίνης ἱερὴ ὄψ,

καὶ τὸ ἄλφιτον, ἄλφι. Codd. Ἐλευσινίης, quod correxit Blomfield. Vide L. Dind. ad HSteph. Thes. s. v., p. 727.

LXXVIII (56).

Etymol. M. p. 18, 40 : Ἀδόροις, Ἀντίμαχος·

Ἐν δ' ἀδόροισι χέειν εὐήλατον ἄλφι.

Δόρυ γὰρ λέγεται παρὰ τὸ ἐκδεδάρθαι δόρος· καὶ δόροι, κατὰ πλεονασμὸν ἄδοροι, ἢ ἀντὶ τοῦ κακόδοροι. Οὕτως Ἡρωδιανός. Λέγονται δὲ καὶ κώρυκοι, θύλακοι, ἀσκοί· οἷον οὐ δεδαρμένοι. Hesych. : Ἄδοροι, ἀσκοί, κώρυκοι, θύλακοι. Apud Homerum Odyss. Β, 354 :

Ἐν δέ μοι ἄλφιτα χεῦαν ἐϋῤῥαφέεσσι δοροῖσιν.

Εὐήλατον tacite correxit Ruhnken. ad Hymn. in Cer. 208, post eum Blomf. Edebatur εὐίλατον, quod Schellenb. explicabat, *faventes et propitios reddens deos*, et comparabat Horatii *far pium*, Od. III, 23, 20.

LXXIX.

Chœroboscus in Bekkeri Anecd. p. 1416 : Πύδης Πύδου ὄνομα ποταμοῦ (Pisidiæ), ὡς παρὰ Ἀντιμάχῳ· « Καδδ' ἐναπύδηερέοντα. » Τοῦτο δὲ ἐναντίως ἔκλινεν ὁ Ἀντίμαχος. Ὅτε μὲν γὰρ ἰαμβικόν ἐστιν, ἰσοσυλλάβως αὐτὸ κλίνει, ὡς ἐπὶ τῆς λεχθείσης χρήσεως· ὅτε δὲ σπονδειακόν ἐστιν, περιττοσυλλάβως αὐτὸ κλίνει, οἷον « Πύδητος καὶ τηλεκλήτου ποταμοῖο.» Düntzerus proposuit, Καδδ' αἰνὰ Πύδην ἐρέοντα, non satis apparet quo sensu. Cogitavi, Καδδ' ᾖα Πύδην ἰρόεντα, vel alio epitheto, *descendi ad Pyden :* sed lacunam inter δη et ερ obliteravit librarius, ut jam incerta sint omnia. In codice, quem inspexi, dubium est utrum ille voluerit, ερέοντα an ερέωντα. In altero versu καί aperte vitiosum est; fortasse κρῆναι. In Pisidia sunt Solymi, quos a Bellerophonte excisos Antimachus memoraverat in Lyde : ex illo loco si hæc petita sunt, videri debet satis late tractasse res herois.

LXXX.

Idem ibid. p. 1422 : Καὶ ὁ Ἀντίμαχος δὲ γινώσκει τὴν διὰ τοῦ ντ κλίσιν (adjectivi τάλας), ἐν οἷς φησιν·

Οἱ δὲ τὸν αἰνοτάλαντα κατέστυγον.

Sic Bekkerus. Codex λινοτάλ. Fortasse de OEdipo dictum, qui

sceleris comperto fine, profundis
erepsit tenebris, sævoque e limine profert
mortem imperfectam,

apud Statium XI, 580.

LXXXI (72).

Eustathius ad Odyss. Β, 190, de comparativis in έστερος et έστατος agens, p. 1441, 18: Ἀντίμαχος δὲ,

Ὅτι ἀφνειέστατος ἔσχεν.

75.
Plutonis quum reliquisset domum celerem.

76.
Hederæque, clymeni et vitigineæ....

77.
Cereris Eleusiniæ sacra facies.

78.
Utribus infundere bene molitum far.

79.
Fluvii (Pisidiæ) nomen Pydes diverso modo flectit Antimachus, *Pydæ* correpta, *Pydetis* producta syllaba prima.

Pydetis (fontes) late-celebrati fluvii.

80.
Illi autem vehementer-miserum abominabantur.

81.
Quia locupletissimus erat.

LXXXII (74).

Schol. Homeri Iliad. Λ, 753 (et Etym. M. p. 271, 19) : Καὶ γὰρ Αἰσχύλος πολλάκις (Παλαμήδῃ?) τὴν λέξιν οὕτως ἔχουσαν τίθησι, ὅταν λέγῃ· « Σπίδιον μῆκος ὁδοῦ », καὶ ὁ Ἀντίμαχος,

Οὐδὲ σπιδόθεν προνοῆσαι,

τουτέστι μακρόθεν. Καὶ ταῦτα μὲν Ἀρίσταρχος.

LXXXIII (81).

Idem ad Il. B, 2 : Οἱ δὲ μεθ' Ὅμηρον (τὸ νήδυμος) καὶ χωρὶς τοῦ ν λέγουσιν· καὶ Ἀντίμαχος·

Ἐπεί ῥά οἱ ἤδυμος ἐλθών. ...

Tetigerat Eustathius.

LXXXIV.

Herodianus Περὶ μονήρ. λέξ. p. 36 extr. : Καὶ οὐδέτερον (ἐστὶ τὸ φάρος), ὁπότε σημαντικὸν τοῦ ἱματίου, ἢ καὶ τὸ (l. τοῦ) ἀρότρου, ὡς καὶ παρ' Ἀλκμᾶνι· ἀλλὰ καὶ παρ' Ἀντιμάχῳ, « ἀεὶ φάρεος χατεύουσιν ἔχων »· οὕτως ἐν τοῖς ἀντιγράφοις εἴρηται (κεῖται?). Hesych. in Βούφαρος : Φάρος γὰρ ἡ ἄροσις. Suspiceris, (χωροῖς) αἰεὶ φάρεος χατέουσιν, vel, Ἀγροῖσι φάρεος χατέουσιν· nam, quantum ex Herodiano intelligi potest, de aratro vel aratione dixerat Antimachus. In ἔχων latere potest Echion,

Κάββαλεν ὅπλ' ἐπ' ἀγροῖσι φάρεος χατέουσιν Ἐχίων.

Nam conculcato per pugnam Spartorum agro, quem araverat Cadmus, Echion

sua jecit humi monitu Tritonidis arma,

apud Ovidium Metam. III, 127.

LXXXV.

Codex Paris. 2638 v. Καρήατος, ap. Bekker. Anecd. p. 1386 : Κάρηας μὲν γὰρ οὐχ οἷόν τέ ἐστι παραλαμβάνειν τὴν εὐθεῖαν· ἐχρῆν δὲ παραλαμβάνειν παρὰ Ἀντιμάχου εὐθεῖαν, οἷον « οἰκέτην θέσκε κάρηαρ », ἀλλ' οὐχὶ κάρηας. Düntzerus, Οἴκτιστον θέσκε κάρηαρ. Inter οἰ et κέτην potest aliquid deesse in codice, quem inspexi, splendide, sed non satis fida manu scriptum.

LXXXVI (70).

Scholiasta Venet. Aristophanis Plut. 718 : Ὅτι ἡ Τῆνος, νῆσος μία τῶν Κυκλάδων, θηριώδης δοκεῖ εἶναι. .... Καὶ Ἀντίμαχος,

Τήνου τ' ὀφιοέσσης.

Καλλίστρατος δὲ ἐπὶ τὸ σαφὲς κατηνέχθη, ὡς σκοροδοφόρου τῆς γῆς οὔσης. Vulgata scholia his, Καλλ. ... οὔσης, ante fragmentum Antimachi positis pergunt : Διὸ καὶ τὸ παρ' Ἀντιμάχῳ Τ. τ' ὀφ. οὐ καλῶς ἔχειν δοκεῖ. Nimirum « serpentes abigit allium et scorpiones odore, » Plin. Hist. nat. XX, 6, § 23. Olim Tenus Ὀφίουσσα dicta. Productionem primæ syllabæ adjuvit αἰόλος ὄφις Homeri. Ad Lyden referunt hoc fragmentum, quod Zetes et Calais in insula Teno ab Hercule occisi traduntur.

LXXXVII (76).

Schol. Platonis in Phædrum p. 60 Ruhnk. = 315, 2 Bekk. : Σταθερόν τὸ σφόδρα θερμὸν, ἀπὸ τῆς ἐν τῷ θέρει μεσημβρίας. Καὶ Ἀντίμαχος·

Θέρεος σταθεροῖο.

Καὶ τὸ ἑστὸς δὲ καὶ ἠρεμοῦν σταθερὸν λέγουσιν. Vide Ruhnken. ad Timæum p. 235 sqq. Fragmentum citatur etiam a Suida v. Σταθερόν, quo vocabulo significantur quæ ἐν ἀκμῇ constituta sunt, quasi in summo efficacitatis suæ, ut nec augeantur amplius necdum cadant.

LXXXVIII.

Porphyrius ad Hom. Il. Ω, 23 : Τὸ « νείκεσεν » ἄκυρον ἐπὶ δικαστοῦ· ἐπὶ γὰρ τῶν δικαζομένων αὐτὸ τίθησιν (Homerus)... Οἱ δὲ νεώτεροι ἐπὶ τοῦ τὸ νεῖκος διαλύειν, ὡς Ἀντίμαχος, « Εὐνείκεα δ' ἔσαν λόγια, » ἀντὶ τοῦ εὐδιάκριτα. Sic Venetus alter, et Parisinus, nisi quod hic εὐνείκεστα. Codex Victorii, « μετὰ δὲ εὐνείκες κρίνον », Mosquensis, « εὐνείκεστα δ' ἦσαν τὰ λόγια, » quæ sunt ex interpolatione. Schneiderus in Lex., εὐνείκητα δ' ἔσαν λ.

LXXXIX.

Scholiastes Homeri Il. Ξ, 499 : Ὁ ποιητὴς οὐδέποτε οἶδε τὸ φή ἀντὶ τοῦ ὡς, οἱ δὲ μετ' αὐτὸν, ὥσπερ Ἀντίμαχος καὶ οἱ περὶ Καλλίμαχον. Et Venetus ad 500 : Οὐδέποτε δὲ Ὅμηρος τὸ φῆ ἀντὶ τοῦ ὡς τέταχεν. Ἴσως δὲ καὶ Ἀντίμαχος ἐντεῦθεν ἐπλανήθη « φη γέρων οἶσιν » εἰπών. V. Buttmann. Lexilogo vol. I, p. 237 sqq., qui Φή ῥα γέρων οἷσιν restituit. Bekkerus veri simillime Φῆ γεράνοισιν. Grammaticis notissimus erat versus, cujus prima vocabula indicasse sufficeret.

82
Neque e longinquo prævidere.
83.
Quoniam ei suavis accedens. ...
84.
Semper aratro indigentibus habens (?).
85.
.... reddebat caput.

86.
Et Teni serpentibus abundantis.
87.
Æstatis summo.
88.
Facilia dijudicatu erant oracula
89.
Sicut gruibus.

XC (91).

Eustath. ad Odyss. p. 1746, 19 : Μύζω· ἐξ οὗ τὸ,

Μεμυζότε μυδαλέω τε,

παρὰ Ἀντιμάχῳ. De Polynice et Tydeo dictum arbitror ad Adrastum venientibus. Vide modo Statii narrationem, I, 387 sqq.

XCI.

Herodian. Περὶ μονήρ. λέξ. p. 32, 33 : Θῆλυς· φόλυς,

Φόλυες κύνες

παρὰ τῷ Ἀντιμάχῳ. Ex Antimacho igitur Hesychius : Φόλυες κύνες (sic distingue), οἱ πυρροὶ ὄντες μέλανα στόματα εἶχον. Οἱ δὲ, φύλακας.

XCII.

Epimerismi Hom. Crameri Anecd. vol. I, p. 55, 29 :

Ἀμορφύνειν ἐθέλωσιν

ὁ Ἀντίμαχος, ἀντὶ τοῦ ἀμορφοποιεῖν. Ἀχαχύνω ὁ αὐτός· ἔνθεν ἀπαρέμφατον « ἀχαχυνέμεν. »

XCIII.

Iidem ib. p. 71, 30, citato loco Homeri Od. Υ, 149, Ἀγρειθ' αἱ μὲν δῶμα κορήσατε : Ὁ δέ γε Ἀντίμαχος « ἀργεῖτε » ἔφη ὑπερβιβάσας τὸ ρ. De quo dubitare licet. Fortasse verbum ἀργεῖτε, *Desides estis, moramini,* apud Antimachum sequebatur imperativus : quod grammatico in mentem revocaverit Homericum ἄγρειτε et idem esse persuaserit.

XCIV.

Iidem ib. p. 413, 16 : Ὁ δ' Ἀντίμαχος ἀπὸ τοῦ ὁ τέρενος εἶπε κατὰ συγκοπὴν « Τερέντρον », ἀπὸ τούτου (τοῦ?) τερενώτερος. Recte Bergkius (loco in Καταχήνῃ citato) τερέντερον scripsisse Antimachum statuit.

XCV (82).

Etymol. M. p. 710, 28, v. Σειραίνω : Ἔνιοι δὲ πάντα τὰ ἄστρα σείρια καλοῦσι ... Ὁ δὲ Ἀντίμαχος « Σείρινα » τὸν Δία ἔφη, διὰ τὸ ἄστρον. Schellenbergius Σείριον corrigit, Blomfieldus Σειρῆνα, ob Eustathii glossam ex Lexico rhetorico petitam (p. 1709, 54) : Σειρῆνες, τὰ ἄστρα· σείρια γὰρ καλοῦνται διὰ τὸ σειριᾶν, ὅ ἐστιν ἀστράπτειν.

XCVI (83).

Suidas : Ἀνατυπῶσαι, ἀντὶ τοῦ ἀνατρέψαι. Ἀντίμαχος. Ubi multa movent interpretes (p. 324 ed. Gaisf.) frustra.

XCVII.

Schol. Homeri Il. Τ, 233 : Ἔστι δὲ ἡ λέξις (ὀτρυντύς vocabulum) Ἀντιμάχειος (sic Victorianus codex : Venetus alter Ἀττική)· χαίρει δὲ καὶ Ἐρατοσθένης ταῖς τοιαύταις ἐκφοραῖς, ὡς τὸ « Πολλὴ ἀντιμαχητύς (v. Schæfer. ap. Jacobs. ad Anth. Pal. p. 525.) »

XCVIII (84).

Hesychius : Γαιηΐδα (codex Γαιήϊδα), τὴν Φοίβην. Ἀντίμαχος. Ubi Hemsterhusius : « Per Φοίβην intelligenda est Phœbe, Cœi qui Latonam genuit soror, Cœli Terræque filia ; ideoque Γαιηΐδα dixit Ant., quemadmodum Homero Γαιήϊος υἱὸς est Tityus. »

XCIX (85).

Idem : Ἑανηφόρος, ἡ Ἠώς, παρὰ Ἀντιμάχῳ.

C (86).

Idem : Εἴσχονιανοί, οἱ Ἐφέσιοι, ὡς Ἀντίμαχος. Is. Vossius Ἔϊσκον Ἰαννοὶ, probante Hemsterhusio, « ob simplicitatem. » Quidni, Ἔϊσκον Ἰαόνιοι, Ἐφέσιοι, ut substantivum sit secutum. Ionici (viri), inquit lexicographus, sunt Ephesii apud Antimachum.

CI (87).

Idem : Ἐπίηρα, τὴν μετ' ἐπικουρίας χάριν μεγάλην, ἢ ἐκ τῆς περιουσίας, ὡς Ἀντίμαχος. Codex Ἐπίηρος. Buttmann. Lexil. I, p. 156 recte vidit ad postrema modo, ἐκ τῆς περιουσίας, referri auctoritatem Antimachi, et scripsit ἐπὶ ἦρα.

CII (88).

Idem et Lexic. rhet. Bekkeri Anecd. p. 261, 19 : Ζειροφόρος, ὁ Ἅδης, παρὰ Ἀντιμάχῳ.

90.

Ambo conquerentes et (*imbre*) madidi.

91.

« Pholyes canes » apud Antimachum, i. e. corpore fulvo, oribus nigris. Alii explicant, custodes.

92.

Formam deturpare velint.
Dolore afficere.

93.

Agite.

94.

Tenerius.

95.

Antimachus Jovem dicit « Sirium (Sirenem ?) », ob Sirii sidus.

96.

Diffingere.

97.

Ὀτρυντύς (excitatio) Antimacheum vocabulum est.

98.

« Terræ filia », Antimacho est Phœbe.

99.

Idem Auroram dicit « deam pellucida veste. »

100.

« Assimilabant » vel « opinabantur Ionici », id est Ephesii.

101.

Animi causa.

102.

Apud Antimachum Pluto dicitur « *Ziram* ferens », i. e. tunicam in sinum replicatam.

CIII (89).

Idem : Σύστενον, στενοχωρημένον· τρίχινος χιτὼν, ἢ ῥυπαρός. Ἀντίμαχος. Codex Σύστηνον, Salmasius τρύχινος χ. In prioribus quoque vitia latent. Ridicula est διόρθωσις Blomfieldi.

CIV (90).

Idem : Χηρήϊον οἶκον· παρὰ Ἀντιμάχῳ, τὸν ἄτακτον.

CV (71).

Etymol. M. p. 465, 10, v. Ἴδας : Τὰ εἰς δας δισύλλαβα, εἰ μὲν περιττοσυλλάβως κλίνονται, διφθόγγῳ παραλήγεται, οἷον Φείδας Φείδαντος ... εἰ δὲ ἰσοσυλλάβως, ἑνὶ φωνήεντι, οἷον Λήδας Λήδου, Μίδας Μίδου· τὸ γὰρ διὰ τοῦ ντ κλινόμενον, Μείδας Μείδαντος, διὰ διφθόγγου. Οὕτως οὖν καὶ Ἴδας Ἴδου· ὅθεν καὶ Ἀντίμαχος ἥμαρτεν εἰπὼν διὰ τοῦ ι·

Ἴδαντος κούρη.

Cleopatram sive Alcyonen, Meleagri matrem, ab Ida, Lyncei fratre, ex Marpessa rapta genitam intelligit Schellenbergius. Idem meminit Idæ ab Statio in Thebaide inter heroes adversus Thebas ducentes sæpe memorati, *Tænarii* dicti VII, 588, quod explicat « Neptuni filii, » secundum Apollodorum III, 10, 3 : Κατὰ πολλοὺς δὲ Ἴδας ἐκ Ποσειδῶνος λέγεται. Conf. ad fr. 73. Ac probabile est ex Antimachi Thebaide Idam suum sumpsisse poetam Latinum. Nostrum tamen fragmentum fortasse ad Lyden referendum.

CVI.

Apollonius Dyscolus De pronomine p. 106, B : Ἔστι καὶ ἡ ε ἵ ν ἀπὸ τῆς τείν παρὰ Ἀντιμάχῳ καὶ Κορίννῃ, ἐπὶ δοτικῆς ἔσθ' ὅτε παραλαμβανομένη.

CVII (66).

Diodorus III, 65 : Τῶν δὲ ποιητῶν τινες, ὧν ἐστι καὶ Ἀντίμαχος, ἀποφαίνονται τὸν Λυκοῦργον οὐ Θρᾴκης, ἀλλὰ τῆς Ἀραβίας γεγονέναι βασιλέα, καὶ τῷ τε Διονύσῳ καὶ ταῖς βάκχαις τὴν ἐπίθεσιν ἐν τῇ κατὰ τὴν Ἀραβίαν Νύσῃ πεποιῆσθαι. Τὸν δ' οὖν Διόνυσόν φασι κολάσαντα μὲν τοὺς ἀσεβεῖς, ἐπιεικῶς δὲ προσενεχθέντα τοῖς ἄλλοις ἀνθρώποις, ἐκ τῆς Ἰνδικῆς ἐπ' ἐλέφαντος τὴν εἰς Θήβας ἐπάνοδον ποιήσασθαι. Postrema fortasse non tribuenda Antimacho.

CVIII (67).

Pausanias IX, 35, 1 : Ἀντίμαχος δὲ οὔτε ἀριθμὸν Χαρίτων οὔτε ὄνομα (Sylburg. ὀνόματα) εἰπὼν, Αἴγλης εἶναι θυγατέρας καὶ Ἡλίου φησὶν αὐτάς.

CIX (68).

Schol. Homeri Iliad. E, 389 : Ἀντίμαχος ὁ Κολοφώνιος τὴν Ἠερίβοιαν μητρυιὰν Ὤτου καὶ Ἐφιάλτου παραδίδωσιν. Ex Lyde petitum putat Schellenbergius.

CX.

Idem ad Il. P, 134 : Ὁ δὲ Ἀντίμαχος ἐκ τούτου (ex illo loco Homeri de leone, Ὧ ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕλῃ ἄνδρες) πλανηθεὶς ᾠήθη καὶ τὸν ἄρσενα (λέοντα) σκυμναγωγεῖν. Hoc ex carminibus Antimachi petitum videtur : sed quod idem scholiastes annotat in Il. Γ, 197 : Ἀντίμαχος τὸ λευκὸν ὡς ἀντικείμενον τῷ πηγῷ λαμβάνει, pro verbi Homerici explicatione Antimachea, ni fallor, haberi debet.

CXI (78).

Stephanus Byz. : Ἀμφιγένεια, πόλις Μεσσηνιακή. ... Ἔστι δὲ κατὰ μὲν Ἀπολλόδωρον τῆς Μακιστίας, κατὰ δὲ τὸν Ἀντίμαχον τῆς Μεσσηνίας. Ex Thebaide. « Apud Statium in catalogo copiarum IV, 178, *Huic* (Capaneo) *parere dati, quos fertilis Amphigenia ... nutrit*, ubi v. Barthium. » *Schellenb.*

CXII (79).

Idem in v. Ἄργος, p. 51, 32 : Καὶ Ἀργείωνες λέγονται, ὡς Καδμείωνες, καὶ Ἀργειώνη, ὡς Ἀντίμαχος. Hesychius : Ἀργείωνας, τοὺς Ἀργείους.

CXIII (80).

Idem : Ὑπερβόρεοι, ἔθνος ... Ἀντίμαχος τούς αὐτούς φησιν εἶναι τοῖς Ἀριμασποῖς.

103.

Systenum (?) apud Antimachum lacera vel sordida tunica.

104.

« Viduam domum », Antimachus dixit pro inordinata.

105.

Vitiose dixit Antimachus,

Idantis filia,

pro eo quod est Idæ.

107.

Poetarum quidam, in quibus Antimachus quoque, Lycurgum non Thraciæ, sed Arabiæ regem fuisse tradunt, et Baccho Bacchabusque Nysæ, quæ in Arabia est, insidias struxisse. (Bacchum igitur dicunt, quum impios punivisset, ceteris interim hominibus humaniter usus, ex India elephanto vectum Thebas rediisse.)

108.

Antimachus Gratiarum neque numerum neque nomina prodidit : hoc solum dixit, Ægles et Solis filias esse.

109.

Antimachus Eeribœam tradit Oti et Ephialtæ novercam fuisse.

110.

Antimachus versu Homeri qui est in Iliade P, 134, in errorem actus, leonem marem catulos ducere opinatus est.

111.

Amphigeniam urbem Messeniæ, non Macistiæ, esse dicit Antimachus.

112.

- Argiones, ut Cadmiones, et « Argione », pro Argivi, Argiva. Utitur Antimachus.

113.

Hyperboreos eosdem esse dicit Antimachus atque Arimaspos.

CXIV.

Probus ad Virgil. Ecl. X, 18 : *Adonis, ut Hesiodus ait, Phœnicis et Alphesibœæ ; Agenoris Choantis, qui Syriam Arabiamque tenuit imperio, ut Antimachus ait : regnavit in Cypro.* Initio scribendum videtur, ... *Alphesibœæ Agenoris; Thiantis, qui*, etc. V. supra fr. Panyasidis 23, in quo loco Apollodori similiter olim Θόαντος legebatur pro Θείαντος. Sed scholium in ceteris quoque turbatum est.

EPIGRAMMA.

(Anthol. Pal. IX, 321.)

ΑΝΤΙΜΑΧΟΥ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ ΟΠΛΟΦΟΡΟΥΣΑΝ.

Τίπτε μόθων ἄτλητος, Ἐνυαλίοιο λέλογχας,
Κύπρι; τίς δ ψεύστας στυγνὰ καθᾶψε μάτην
ἔντεα; σοὶ γὰρ Ἔρωτες ἐφίμεροι, ἅ τε κατ' εὐνὰν
τέρψις καὶ κροτάλων θηλυμανεῖς ὄτοβοι.
Δούρατα δ' αἱματόεντα μέθες Τριτωνίδι δίᾳ
ταῦτα· σὺ δ' εὐχαίταν εἰς ὑμέναιον ἴθι.

Callimachi epigramma esse credidit Ruhnkenius, cujus plurima sunt in Anthologia Græca, Antimachi hoc unum : lapsum enim videri librarium. Sed nescio an diverso modo rationeris probabilius. V. 2 Planud. μάταν. Ὁ ψεύστης de artifice qui Veneri tribuerit quæ ab natura ejus videbantur alienissima. Obversabantur, inquit Jacobsius, Antimacho Homerica (Iliad. E, 428 sq.) :

Οὔ τοι, τέκνον ἐμὸν, δέδοται πολεμήϊα ἔργα·
ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
ταῦτα δ' Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.

Deinde mutavi distinctionem, ejusdem viri suasu. Vulgo, ... καθᾶψε μάτην; Ἔντεα σοὶ γὰρ ... Nam quod alibi recte diceretur de Venere, *Tua arma sunt Amores, torus*, id huic epigrammati non est aptum; poeta hoc vult, nihil prorsus esse Veneri cum armis; non armorum genus aliud ipsi negat, aliud concedit. V. 3 sq. Plan. αἵ τε ... τέρψεις, v. 5 Vat. καθεσ (sic), et v. 6 σὺ δ' εὔχεται ἂν εἰς, vitiose. Edit. Florent. εὐχέταν. Recte Planudea.

Ejicienda erant ex Antimachi fragmentis primum quæ Schellenbergio sunt 32 et 33, ad cyclicam Thebaidem pertinentia; deinde ejusdem 48 vel Düntzeri 6, ex Stephano Byzantino petitum : Κοτύλαιον, ὄρος Εὐβοίας ἀνακείμενον Ἀρτέμιδι, ὥς φησιν Ἀντίμαχος ἐν Ἀρτέμιδος (sic) β'. Librarium vel epitomatorem voluisse Ἀρχέμαχος ἐν Εὐβοϊκῶν β' s. γ', apparet ex Harpocratione in eadem v., p. 115, 4. Idem Düntzerus ut fragmentum 53 posuit ex Herodiano Crameri Anecd. vol. III, p. 231, 2 : Μύκης... (significat) καὶ τοὺς ἀμανίτας τοὺς περὶ τὰ δένδρα γινομένους, ὡς παρὰ Ἀντιμάχῳ·

Φάγε δ' ὀπτὰ μύκητας πρινίνους.

Sunt verba *Antiphanis* apud Athenæum II, p. 60, D : Ὀπτὰ μύκητας πρινίνους· et E : Εἴ ... φάγοιμί τι, μύκητας ὠμοὺς ἂν φαγεῖν δοκῶ. Nec *Teius* Antimachus Colophonii reliquiis immisceri debebat (Collect. Düntz. p. 107) post monita Schellenbergii p. 16-18. Versus aliquot *Andromachi* Wesselingius ad Diodorum vol. 2, p. 299, 55, profert tanquam Antimacheos, calami lapsu in editione Dindorfiana repetito.

Natalis Comes Mythol. VII, 4, p. 722 : *Antimachus in Centauromachia illos* (Centauros) *ab Hercule pulsos e Thessalia in insulas Sirenum confugisse scripsit, ubi cantibus illarum delectati omnes in apertam perniciem fuerunt attracti : deinde ubi Nessus et alii Centauri sepulti fuissent, ex iis vulneribus non procul a Calydone, in colle qui Taphossus fuit nuncupatus, gravissimus odor ad montis radicem suffundebatur, ac tabo simile quiddam manabat, ut ait Strabo IX* [p. 427]. Res petita ex Tzetzæ scholiis in Lycophron. 670, ubi Antimachi vestigium nullum. Neque operæ pretium existimavi studiose investigare alterum locum, in quo Antimachi mentio fit, secundum hæc Catalogi « *Antimachus Argittus* (sic) *in Argonauticis.* »

EPIGRAMMA.

IN VENEREM ARMIFERAM.

Cur insueta capis Martis Cytherea labores?
quis teneræ mendax tam dat acerba deæ
arma? tibi strepitus crotalorum mollis, amorque
pervigil, et placidi gaudia multa tori.
Sanguine manantes hastas transcribe Minervæ :
i tu, quo carmen conjugiale vocat. HGR.

NOMINUM ET RERUM

IN FRAGMENTIS

ASII, PISANDRI, PANYASIDIS, CHOERILI, ANTIMACHI

MEMORATARUM INDEX.





